THE GREEK NEW TESTAMENT

According to Family 35

THE GREEK NEW TESTAMENT
According to Family 35

The only significant line of transmission, both ancient and independent, that has a demonstrable archetypal form in all 27 books; with a revised critical apparatus that gives a percentage of manuscript attestation to the variant readings, including six published editions.

Fourth Edition

Greek Text and Apparatus

Wilbur N. Pickering, ThM PhD

Typesetting and Accenting

Dwayne Green

Corrections and Modifications to Punctuation

Robert A. Boyd

Headings and formatting

Dr. William Penning

Copyright © 2024 Wilbur N. Pickering

Cover Photo: A rural scene in Goias, Brazil, courtesy of Dan Jore

Fourth Edition

ISBN: 979-8-9891013-2-0

First edition 2014

TABLE OF CONTENTS

PREFACE....iv
ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ....1
ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΡΚΟΝ....58
ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΛΟΥΚΑΝ....97
ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΙΩΑΝΝΗΝ....182
ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ....233
ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ....305
ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α΄....327
ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Β΄....351
ΠΡΟΣ ΓΑΛΑΤΑΣ....367
ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ....376
ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ....384
ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ....390
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α΄....397
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β΄....403
ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α΄....407
ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β΄....414
ΠΡΟΣ ΤΙΤΟΝ....419
ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ....422
ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ....424
ΙΑΚΩΒΟΥ ΕΠΙΣΤΟΛΗ....441
ΠΕΤΡΟΥ Α΄....449
ΠΕΤΡΟΥ Β΄....458
ΙΩΑΝΝΟΥ Α΄....463
ΙΩΑΝΝΟΥ Β΄....471
ΙΩΑΝΝΟΥ Γ΄....473
ΙΟΥΔΑ....475
ΑΠΟΚΑΛΥΨΙΣ....478
APPENDIX I....523
APPENDIX II....526

PREFACE

Once upon a time I was led to believe that Hermann von Soden's[1] work was basically reliable. This was important because his work underlies both the Hodges-Farstad and Robinson-Pierpont editions of the Majority (Byzantine) Text. However, the *Text und Textwert* (*TuT*)[2] collations demonstrate objectively that not infrequently Soden is seriously off the mark. Maurice Robinson's collations of the *Pericope Adulterae*[3] demonstrate objectively that Soden is very seriously wrong there. With reference to Soden's treatment of codex 223 K.W. Clark stated, "Furthermore, our collation has revealed sixty-two errors in 229 readings treated by von Soden."[4] 27% in error (62÷229) is altogether too much, and what is true of MS 223 may be true of other MSS as well. Hoskier was not entirely mistaken in his evaluation. For myself, I had to reconsider the evidence for the whole New Testament, and that exercise led me to the conclusion that the most important segment of the relevant evidence had been overlooked (more precisely, it had been despised, and therefore ignored).

Herewith a new Greek Text, and critical apparatus, for the entire New Testament, based on that important segment. I call that segment Family 35, because cursive 35 is the complete New Testament, faithful to the family archetype, with the smallest number. (Cursive 18, also a complete NT, defects from the family in Revelation.) For a thorough explanation of why I prefer Family 35,[5] please see my book, *God Has Preserved His Text!* (6th edition).[6] I there argue that God has preserved the precise original wording of the NT, and that we can, and do, know what it is, based on an empirical procedure. I claim to have demonstrated the superiority of Family 35 based on *size*, *independence*, *age*, *geographical distribution*, *profile*, *care*, and *range*. I challenge any and all to do the same for any other line of transmission.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ].[7] I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I used a variety of sources, which vary from book to book (please see the final footnote for each book for that information)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of those sources. I have determined the reading of $\mathbf{f}^{35}$ on the basis of well over thirty minuscule manuscripts (usually over forty, or even fifty) for each book, all of which I collated myself.[8] Since the MSS come from all over the Mediterranean world (including most monasteries on the Mt. Athos peninsula), the chances that they do not represent the main line of transmission are, quite frankly, nil. So here you have the archetypal Text of $\mathbf{f}^{35}$, beyond reasonable question.

---

[1] *Die Schriften des Neuen Testaments in ihrer ältesten erreichbaren Textgestalt* (Göttingen: Vanderhoeck und Ruprecht, 4 vols., 1911-1913).

[2] *Text und Textwert der Griechischen Handschriften des Neuen Testaments* (Ed. Kurt Aland, Berlin: Walter de Gruyter). The series contains over a dozen volumes, covering the entire New Testament except for the second half of John.

[3] So far as I know, this material has not yet been published; Robinson gave me the opportunity of working with a private copy of his collation pages.

[4] Eight *American Praxapostoloi* (Kenneth W. Clark, Chicago: The University of Chicago Press, 1941, p. 12).

[5] As explained elsewhere, I now use $\mathbf{f}^{35}$ instead of $\mathbf{K}^{r}$. I further insist that $\mathbf{f}^{35}$ should be factored out of the broad Byzantine tradition and be presented separately, because I now believe that $\mathbf{f}^{35}$ is earlier than $\mathbf{K}^{x}$, etc., being the base from which the others departed.

[6] The book is available from Clube de Autores, here in Brazil, and a prior edition from Amazon.com. A free PDF download is available at www.prunch.org.

[7] So far as I know, mine is the first apparatus to offer this information.

[8] I hold a copy of a perfect representative of the $\mathbf{f}^{35}$ archetype for 22 of the 27 NT books, and my best copy is perfect for 17 of them. I hold a copy of a complete representative for another five; by 'complete' I mean that with corrections and alternates no wording has been lost. Quite apart from these, most of the scribes who copied $\mathbf{f}^{35}$ exemplars did very careful work. The care with which $\mathbf{f}^{35}$ exemplars were copied contrasts sharply with that afforded to exemplars of all other lines of transmission.

I have included six published editions in the apparatus—RP, HF, OC, TR, CP, NU.[1] So how do I justify this new text and apparatus? Well, just the critical apparatus justifies the edition, being by far the most informative with reference to the large Byzantine majority and to **f**^{35}, which is both ancient and independent of the rest of the tradition. Also, my Text is sufficiently distinct from the rest to justify its existence (over a thousand differences from either HF or RP). For those who believe in an inerrant Text, as I do, each word is important (and even the spelling may prove to be significant).[2]

Where all six printed editions are in agreement, I arbitrarily limit inclusion in the apparatus to variants with at least [10%] attestation. Also, I have arbitrarily included the movable-*nu* in the Text, as well as the full form of οὕτως, at all points.[3]

As an arbitrary decision, I have limited the citation of individual MSS to those dated to the 5th century or earlier. I use *rell* to indicate that the reading is supported by all other witnesses (continuous text MSS, although until all of them have been collated this is obviously inexact), and printed editions (of the six included in the apparatus), compared to the other reading.[4]

Quotation marks have been added throughout to facilitate a correct understanding of the text. Because standard English quotation marks too closely resemble rough and smooth breathing marks, double angle quotation marks « » are used. Nested quotations are indicated by single angle quotations marks ‹ ›, and nested quotations within nested quotations are indicated by double angle quotations marks « ». When a quotation continues with a new paragraph, it is indicated with right-pointing double angle quotations marks ».

It is the aim of the editors of this volume to produce a text which exactly represents Family 35 with an apparatus that faithfully reproduces the evidence for the variants from the manuscripts and published editions cited in the footnotes. If you come across any errors in the text or apparatus, please contact:

Wilbur Pickering

wilbur.pickering@gmail.com

[1] RP = Robinson-Pierpont (2005), HF = Hodges-Farstad, OC = the text of the Orthodox Churches, TR = *Textus Receptus*, CP = Complutensian Polyglot, NU = N-A^{26}/UBS^{3} (N-A^{27}/UBS^{4} offer changes in the critical apparatus, *not* in the text; the text is still that of N-A^{26}/UBS^{3}).

[2] I venture to affirm to the reader that all original wording of the NT is preserved in this edition, if not in the Text, at least in the apparatus. "Diminish not a word" Jeremiah 26:2 (see Deuteronomy 4:2 and Luke 4:4, "every word" [as in 99.6% of the MSS]).

[3] Anyone who wishes to apply a numeric code to this Text should keep that in mind.

[4] My apparatus does not include lectionaries, patristic citations or ancient versions. I hold that those types of evidence are only relevant for those who deny that the NT writings are Inspired and that the transmission of the Text was normal. They hold that the original wording was lost, to the extent that it cannot be recovered by objective means. Since the transmission was basically normal, the hundreds, when not thousands, of primary witnesses, the continuous-text Manuscripts, are more than sufficient evidence.

Editions of the Greek New Testament cited in the Apparatus

CP	Complutensian Polyglot
f^{35}	Wilbur N. Pickering. *The New Testament According to Family 35*. 4th ed. WNP, 2024.
HF	Zane C. Hodges and Arthur L. Farstad, eds. *The Greek New Testament According to the Majority Text*. 2nd ed. Nashville: Thomas Nelson Publishers, 1985.
NU	Nestle-Aland 26th edition and United Bible Societies 3rd edition
Nestle^{24}	Nestle 24th edition
Nestle^{25}	Nestle 25th edition
UBS^{2}	UBS 2nd edition
OC	Orthodox Church
RP	*The New Testament in the Original Greek: Byzantine Textform 2005*. Compiled and arranged by Maurice A. Robinson and William G. Pierpont. Southborough, MA: Chilton Book Publishing, 2005.
TR	Textus Receptus

Signs and Abbreviations used in the Apparatus

𝔓^{1}	Capital letter **𝔓** indicates a papyrus. The superscript number that follows indicates the number of the papyrus.
M^{1}	Capital letter M followed by a superscript number indicates a particular line of transmission within the *Pericope Adulterae* (John 7:53–8:11).
M^{a}	Capital letter M followed by a superscript letter indicates a particular line of transmission within the book of Revelation.
^{pt}	The superscript letters ^{pt} indicates part of the family of manuscripts or line of transmission. Often this directly follows the superscript letter, such as ^{apt}, which means part of the ^{a} line of transmission.
^{½}	A superscript fraction ^{½} indicates a fraction of the family of manuscripts or line of transmission. Often this directly follows the superscript letter, such as ^{a½}, which means half of the ^{a} line of transmission.
( )	Witnesses which show only minor differences are noted in parentheses along with the witnesses for the main variant.
[NU]	Brackets around NU indicate that the NU editors are not completely convinced of the authenticity of the text.
[?]	Brackets around a question mark indicate doubt as to the reading of variant.
[[NU]]	Double brackets around NU indicate that the NU editors do not consider the text to be original.

[!?] Brackets around an exclamation point and a question mark indicate a questionable and surprising editorial decision.

«OC» Double angle quotation marks around OC indicate that the OC editors do not consider the text to be original.

¦ A broken bar separates the instances of variation from each other within a single verse or section of the apparatus.

--- Three hyphens indicate that the variant omits the footnoted text.

… A horizontal ellipsis indicates that the variant form cited is in agreement with the text.

~ A tilde indicates that the words in the text are transposed by the witnesses cited. The word order of the variant(s) is indicated by the numerals that follow (see below).

2 3 1 4 Variants of word order are represented by numerals which correspond to the order of the words in the text (1 = the first word in the text, etc.) This convention is followed not just for variants of transposition indicated by a tilde, but also for alternative forms within a single variation unit.

^{c} The superscript letter ^{c} indicates a correction made by a later hand, but sometimes also by the first hand.

^{v} The superscript letter ^{v} indicates that the reading attested by a witness cannot be determined with absolute certainty (*ut videtur*).

rell The abbreviation *rell* indicates that the rest of the manuscript tradition and printed editions support the text or variant (*reliqui*).

+ A plus sign indicates additional text in witnesses that support the main variant.

− A minus sign indicates text missing from witnesses that support the main variant.

→ An arrow sign indicates a probable correction made to the text.

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ

Abraham to Christ—1997 BC to 5 BC

1:**1** Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαυίδ,[1] υἱοῦ Ἀβραάμ·[2]

2 Ἀβραὰμ ἐγέννησεν τὸν Ἰσαάκ, Ἰσαὰκ δὲ ἐγέννησεν τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ· **3** Ἰούδας δὲ ἐγέννησεν τὸν Φαρὲς καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ, Φαρὲς δὲ ἐγέννησεν τὸν Ἑσρώμ, Ἑσρὼμ δὲ ἐγέννησεν τὸν Ἀράμ· **4** Ἀρὰμ δὲ ἐγέννησεν τὸν Ἀμιναδάβ,[3] Ἀμιναδὰβ δὲ ἐγέννησεν τὸν Ναασσών, Ναασσὼν δὲ ἐγέννησεν τὸν Σαλμών· **5** Σαλμὼν δὲ ἐγέννησεν τὸν Βοὸζ[4] ἐκ τῆς Ῥαχάβ, Βοὸζ δὲ ἐγέννησεν τὸν Ὼβὴδ[5] ἐκ τῆς Ῥούθ, Ὼβὴδ δὲ ἐγέννησεν τὸν Ἰεσσαί, **6** Ἰεσσαὶ δὲ ἐγέννησεν τὸν Δαυὶδ τὸν βασιλέα.

Δαυὶδ δὲ ὁ βασιλεὺς[6] ἐγέννησεν τὸν Σολομῶνα[7] ἐκ τῆς τοῦ Οὐρίου, **7** Σολομὼν δὲ ἐγέννησεν τὸν Ῥοβοάμ, Ῥοβοὰμ δὲ ἐγέννησεν τὸν Ἀβιά, Ἀβιὰ δὲ ἐγέννησεν τὸν Ἀσά·[8] **8** Ἀσὰ δὲ ἐγέννησεν τὸν Ἰωσαφάτ, Ἰωσαφὰτ δὲ ἐγέννησεν τὸν Ἰωράμ, Ἰωρὰμ δὲ ἐγέννησεν τὸν Ὀζίαν· **9** Ὀζίας δὲ ἐγέννησεν τὸν Ἰωάθαμ, Ἰωάθαμ δὲ ἐγέννησεν τὸν Ἄχαζ, Ἄχαζ δὲ ἐγέννησεν τὸν Ἐζεκίαν· **10** Ἐζεκίας δὲ ἐγέννησεν τὸν Μανασσῆν,[9] Μανασσῆς δὲ ἐγέννησεν τὸν Ἀμών,[10] Ἀμὼν δὲ ἐγέννησεν τὸν Ἰωσίαν· **11** Ἰωσίας δὲ ἐγέννησεν[11] τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ τῆς μετοικεσίας[12] Βαβυλῶνος.

12 Μετὰ δὲ τὴν μετοικεσίαν[13] Βαβυλῶνος Ἰεχονίας ἐγέννησεν τὸν Σαλαθιήλ, Σαλαθιὴλ δὲ ἐγέννησεν τὸν Ζοροβάβελ· **13** Ζοροβάβελ δὲ ἐγέννησεν τὸν Ἀβιούδ, Ἀβιοὺδ δὲ ἐγέννησεν τὸν Ἐλιακείμ,[14] Ἐλιακεὶμ δὲ ἐγέννησεν τὸν Ἀζώρ· **14** Ἀζὼρ δὲ ἐγέννησεν τὸν Σαδώκ, Σαδὼκ δὲ ἐγέννησεν τὸν Ἀχείμ,[15] Ἀχεὶμ δὲ ἐγέννησεν τὸν Ἐλιούδ· **15** Ἐλιοὺδ δὲ ἐγέννησεν τὸν Ἐλεάζαρ, Ἐλεάζαρ δὲ ἐγέννησεν τὸν Ματθάν, Ματθὰν[16] δὲ ἐγέννησεν τὸν Ἰακώβ· **16** Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς, ὁ λεγόμενος Χριστός.

17 Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυὶδ γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ Δαυὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ γενεαὶ δεκατέσσαρες.

Conception of Jesus—5 BC

1:**18** Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις[17] οὕτως ἦν· Μνηστευθείσης γὰρ[18] τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ, πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος Ἁγίου.

---

[1] Since most minuscules have the abbreviation δαδ, the choice between δαβιδ and δαυιδ becomes difficult, if not arbitrary. The LXX and most uncials have δαυιδ.

[2] ἁβρααμ **f**^{35} [60%] ¦ ἀβρααμ [40%] RP,HF,OC,CP,TR,NU [When Jehovah changed Abram's name to Abraham (Genesis 17:5) the intervocalic aspiration in Hebrew is adequately represented in English by 'h'; but so far as I know, there is noway in Greek to indicate intervocalic aspiration within a word—the only alternative to losing the aspiration altogether would be to place it at the beginning of the word.]

[3] αμιναδαβ *rell* ¦ αμιναδαμ [30%] (In the minuscule manuscripts β is often written like an μ, only without the 'tail'—if the scribe was the least bit careless, they could easily be confused.)

[4] βοοζ **f**^{35} W [99%] RP,HF,OC,CP,TR ¦ βοες **𝔓**^{1}ℵB [0.5%] NU ¦ βοος C [0.5%]

[5] ωβηδ **f**^{35} W [98%] RP,HF,OC,CP,TR ¦ ιωβηδ ℵB,C [2%] NU ¦ two other spellings

[6] ο βασιλευς **f**^{35} C,W [98%] RP,HF,OC,CP,TR ¦ --- **𝔓**^{1}ℵB [2%] NU

[7] σολομωνα **f**^{35} **𝔓**^{1}B,C [90%] RP,HF,OC,CP,NU ¦ σολομωντα W [9%] TR ¦ σαλομων ℵ [0.5%] ¦ σολομων [0.5%]

[8] ασα **f**^{35} W [98%] RP,HF,OC,CP,TR ¦ ασαφ **𝔓**^{1v}ℵB,C [2%] NU (twice)

[9] μανασσην **f**^{35} [25%] ¦ μανασση ℵB,C,W [73%] RP,HF,OC,CP,TR,NU ¦ μανασην [2%]

[10] αμων **f**^{35} W [96%] RP,HF,OC,CP,TR ¦ αμμων [2%] ¦ αμως ℵC [2%] NU ¦ αμνων B ¦ one other spelling

[11] εγεννησεν *rell* ¦ 1 τον ιωακειμ ιωακειμ δε 1 (11.6%)

[12] μετοικεσιας *rell* ¦ μετοικησιας [10%] (also in verse 17, twice)

[13] μετοικεσιαν *rell* ¦ μετοικησιαν [10%]

[14] ελιακειμ *rell* ¦ ελιακιμ W [10%] NU

[15] αχειμ **𝔓**^{1} *rell* ¦ αχιμ [10%] NU ¦ αχειν W ¦ two other spellings

[16] ματθαν *rell* ¦ ματθατ [2%] ¦ ματθαμ CP (twice) ¦ μαθθαν **𝔓**^{1}B

[17] γεννησις **f**^{35} [96.5%] RP,HF,OC,CP,TR ¦ γενεσις **𝔓**^{1}ℵB [3%] NU ¦ γενεσεις C,W ¦ two other spellings

[18] γαρ **f**^{35} W [98%] RP,HF,OC,CP,TR ¦ --- **𝔓**^{1}ℵB,C [2%] NU

19 Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι,[1] ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν. **20** Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδού, ἄγγελος Κυρίου κατ᾽ ὄναρ ἐφάνη αὐτῷ λέγων· «Ἰωσήφ, υἱὸς Δαυίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ[2] τὴν γυναῖκά σου, τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου. **21** Τέξεται δὲ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν, αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.» **22** Τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ[3] Κυρίου διὰ τοῦ προφήτου λέγοντος· **23** «Ἰδού, ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ,» ὅ ἐστιν μεθερμηνευόμενον, ‹μεθ᾽ ἡμῶν ὁ Θεός.› **24** Διεγερθεὶς[4] δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου καὶ παρέλαβεν τὴν γυναῖκα αὐτοῦ, **25** καὶ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκεν τὸν υἱὸν αὐτῆς, τὸν πρωτότοκον.[5] Καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ ΙΗΣΟΥΝ.

Jesus is born—5 BC

The ‘wise men’

2:**1** Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρῴδου τοῦ βασιλέως, ἰδού, μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἰεροσόλυμα[6] **2** λέγοντες· «Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; Εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα[7] ἐν τῇ ἀνατολῇ καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ.» **3** Ἀκούσας δὲ Ἡρῴδης ὁ βασιλεὺς[8] ἐταράχθη, καὶ πᾶσα Ἰεροσόλυμα μετ᾽ αὐτοῦ. **4** Καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ᾽ αὐτῶν ποῦ ὁ Χριστὸς γεννᾶται. **5** Οἱ δὲ εἶπον[9] αὐτῷ· «Ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, οὕτως γὰρ γέγραπται διὰ τοῦ προφήτου· **6** ‹Καὶ σύ, Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα, ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ.› » **7** Τότε Ἡρῴδης, λάθρα καλέσας τοὺς μάγους, ἠκρίβωσεν παρ᾽ αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος. **8** Καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ εἶπεν, «Πορευθέντες ἀκριβῶς ἐξετάσατε[10] περὶ τοῦ Παιδίου· ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ.»

The Star!

9 Οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως ἐπορεύθησαν, καὶ ἰδού, ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ ἀνατολῇ προῆγεν αὐτοὺς ἕως ἐλθὼν ἔστη[11] ἐπάνω οὗ ἦν τὸ Παιδίον. **10** Ἰδόντες δὲ τὸν ἀστέρα, ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. **11** Καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εἶδον[12] τὸ Παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ· καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ δῶρα· χρυσὸν καὶ λίβανον καὶ σμύρναν. **12** Καὶ χρηματισθέντες κατ᾽ ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρῴδην, δι᾽ ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.

The flight to Egypt

13 Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδού, ἄγγελος Κυρίου φαίνεται κατ᾽ ὄναρ τῷ Ἰωσὴφ λέγων· «Ἐγερθεὶς παράλαβε τὸ Παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ φεῦγε εἰς Αἴγυπτον καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι, μέλλει γὰρ Ἡρῴδης ζητεῖν τὸ Παιδίον τοῦ ἀπολέσαι αὐτό.» **14** Ὁ δὲ ἐγερθεὶς παρέλαβεν τὸ Παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον. **15** Καὶ ἦν ἐκεῖ

---

[1] παραδειγματισαι **f**^{35} ℵC,W [99%] RP,HF,OC,CP,TR ¦ δειγματισαι 𝔓^{1}B [1%] NU
[2] μαριαμ **f**^{35} ℵC,D,W [99%] RP,HF,OC,CP,TR ¦ μαριαν B [1%] NU
[3] του **f**^{35} [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,D,W [3%] NU
[4] διεγερθεις **f**^{35} D,W [99%] RP,HF,OC,CP,TR ¦ εγερθεις ℵB,C [1%] NU
[5] τον υιον αυτης τον πρωτοτοκον **f**^{35} C,D,N,W (99.5%) RP,HF,OC,CP,TR ¦ υιον ℵB (0.5%) NU (1454 vs 8 manuscripts)
[6] ιεροσολυμα *rell* ¦ ιερουσαλημ C,N,W [10%]
[7] αυτου τον αστερα *rell* ¦ ~ 231 [1%] CP
[8] ηρωδης ο βασιλευς **f**^{35} C,N,W [98%] RP,HF,OC,CP,TR ¦ ~ 231 ℵB,D [2%] NU
[9] ειπον *rell* ¦ ειπαν ℵB,NU
[10] ακριβως εξετασατε **f**^{35} W [96%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵ(B)C(D) [4%] NU
[11] εστη **f**^{35} W [98%] RP,HF,OC,CP,TR ¦ εσταθη ℵB,C,D [2%] NU
[12] ειδον *rell* ¦ ιδον ℵC,W [5%] ¦ ευρον [5%] TR ¦ ειδαν B

ἕως τῆς τελευτῆς Ἡρῴδου, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ[1] Κυρίου διὰ τοῦ προφήτου λέγοντος· «Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου.»

The massacre

16 Τότε Ἡρῴδης, ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀνεῖλεν πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ καὶ ἐν πᾶσιν τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσεν παρὰ τῶν μάγων. **17** Τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ[2] Ἱερεμίου[3] τοῦ προφήτου λέγοντος **18** «Φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη, θρῆνος καὶ[4] κλαυθμὸς καὶ ὀδυρμὸς πολύς· Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς καὶ οὐκ ἤθελεν παρακληθῆναι, ὅτι οὐκ εἰσίν.»

The return to Natsareth

19 Τελευτήσαντος δὲ τοῦ Ἡρῴδου, ἰδού, ἄγγελος Κυρίου κατ᾽ ὄναρ φαίνεται[5] τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ **20** λέγων· «Ἐγερθεὶς παράλαβε τὸ Παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ πορεύου εἰς γῆν Ἰσραήλ, τεθνήκασιν γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ Παιδίου.» **21** Ὁ δὲ ἐγερθεὶς παρέλαβεν τὸ Παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ ἦλθεν[6] εἰς γῆν Ἰσραήλ. **22** Ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει ἐπὶ[7] τῆς Ἰουδαίας ἀντὶ Ἡρῴδου τοῦ πατρὸς αὐτοῦ,[8] ἐφοβήθη ἐκεῖ ἀπελθεῖν. Χρηματισθεὶς δὲ κατ᾽ ὄναρ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας, **23** καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρέτ, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν, ὅτι Ναζωραῖος κληθήσεται.

Ministry of John the Baptizer—26 AD

3:**1** Ἐν δὲ[9] ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας **2** καὶ[10] λέγων, «Μετανοεῖτε, ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.» **3** Οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς ὑπὸ[11] Ἡσαΐου[12] τοῦ προφήτου λέγοντος· «Φωνὴ βοῶντος, ‹Ἐν τῇ ἐρήμῳ ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.› » **4** Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχεν τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ· ἡ δὲ τροφὴ αὐτοῦ ἦν[13] ἀκρίδες καὶ μέλι ἄγριον. **5** Τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα καὶ πᾶσα ἡ[14] Ἰουδαία καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου, **6** καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ[15] ὑπ᾽ αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

A bunch of snakes

7 Ἰδὼν δὲ πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς· «Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; **8** Ποιήσατε οὖν καρπὸν ἄξιον[16] τῆς μετανοίας, **9** καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, ‹Πατέρα ἔχομεν τὸν Ἀβραάμ,› λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. **10** Ἤδη δὲ καὶ[17] ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. Πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.

---

[1] του **f**[35] [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,D,W [3%] NU
[2] υπο **f**[35] [98%] RP,HF,OC,CP,TR ¦ δια ℵB,C,D,W [2%] NU
[3] ιερεμιου **f**[35] OC,CP,TR ¦ ιερεμιου RP,HF,NU
[4] θρηνος και **f**[35] C,D,W (99.2%) RP,HF,OC,CP,TR ¦ --- ℵB (0.7%) NU
[5] κατ οναρ φαινεται **f**[35] C,W [98%] RP,HF,OC,CP,TR ¦ ~ 312 ℵB,D [2%] NU
[6] ηλθεν **f**[35] D,N,W [99%] RP,HF,OC,CP,TR ¦ εισηλθεν ℵB,C [1%] NU
[7] επι **f**[35] C,D,W [95%] RP,HF,OC,CP,TR ¦ --- ℵB,N [5%] NU
[8] ηρωδου του πατρος αυτου **f**[35] D,N [99.7%] RP,HF,OC,CP,TR ¦ ~ 2341 ℵB,C,W [0.3%] NU
[9] δε *rell* ¦ --- D,N [10%]
[10] και **f**[35] C,D,N,W [99.8%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB [0.2%] Nestle[24]
[11] υπο **f**[35] N [98%] RP,HF,OC,CP,TR ¦ δια ℵB,C,D,W [2%] NU
[12] ησαιου **f**[35] OC,CP,TR ¦ ησαιου RP,HF,NU
[13] αυτου ην **f**[35] N [99%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB,C,D,W [1%] NU
[14] η *rell* ¦ --- [5%] CP
[15] ιορδανη **f**[35] D [85%] RP,HF,OC,CP,TR ¦ 1 ποταμω ℵB,C,W [15%] NU
[16] καρπον αξιον *rell* ¦ καρπους αξιους [5%] TR
[17] και **f**[35] [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,W [2%] NU

11 »Ἐγὼ μὲν βαπτίζω ὑμᾶς[1] ἐν ὕδατι εἰς μετάνοιαν, ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μου ἐστίν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι. Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁγίῳ·[2] **12** οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην·[3] τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ.»

Baptism of Jesus

3:13 Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ[4] τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ᾽ αὐτοῦ. **14** Ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν λέγων, «Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;» **15** Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτόν, «Ἄφες ἄρτι, οὕτως γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην.» Τότε ἀφίησιν αὐτόν. **16** Καὶ βαπτισθεὶς[5] ὁ Ἰησοῦς ἀνέβη εὐθὺς[6] ἀπὸ τοῦ ὕδατος, καὶ ἰδού, ἀνεῴχθησαν[7] αὐτῷ[8] οἱ οὐρανοί, καὶ εἶδεν τὸ[9] Πνεῦμα τοῦ[10] Θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν καὶ[11] ἐρχόμενον ἐπ᾽ αὐτόν. **17** Καὶ ἰδού, φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα, «Οὗτός ἐστιν ὁ Υἱός μου, ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα.»

Jesus tested by Satan

4:**1** Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ Πνεύματος πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. **2** Καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα[12] καὶ νύκτας τεσσαράκοντα,[13] ὕστερον ἐπείνασεν. **3** Καὶ προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν,[14] «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.» **4** Ὁ δὲ ἀποκριθεὶς εἶπεν, «Γέγραπται· ‹Οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται[15] ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ.› » **5** Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν καὶ ἵστησιν[16] αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, **6** καὶ λέγει αὐτῷ, «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω. Γέγραπται γὰρ ὅτι ‹Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσίν σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.› » **7** Ἔφη αὐτῷ ὁ Ἰησοῦς, «Πάλιν γέγραπται· ‹Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου.› » **8** Πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου καὶ τὴν δόξαν αὐτῶν. **9** Καὶ λέγει[17] αὐτῷ, «Ταῦτα πάντα σοι[18] δώσω ἐὰν πεσὼν προσκυνήσῃς μοι.» **10** Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· «Ὕπαγε ὀπίσω μου,[19] Σατανᾶ· γέγραπται γάρ· ‹Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.› » **11** Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος καὶ ἰδού, ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ.

Jesus chooses Capernaum as His base of operations—27 AD

4:12 Ἀκούσας δὲ ὁ Ἰησοῦς[20] ὅτι Ἰωάννης παρεδόθη,[21] ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν. **13** Καὶ

---

[1] βαπτιζω υμας **f**[35] C [98%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB,W [2%] NU
[2] αγιω **f**[35] [80%] RP,HF,CP ¦ 1 και πυρι ℵB,C,W [20%] OC,TR,NU
[3] αυτου εις την αποθηκην **f**[35] ℵC (76.1%) RP,HF,OC,CP,TR,NU ¦ ~ 2341 (13.9%) ¦ 234 (7.4%) ¦ 12341 B,W (2.6%)
[4] επι *rell* ¦ εις CP
[5] και βαπτισθεις **f**[35] W [99%] RP,HF,OC,CP,TR ¦ ~ 2 δε ℵB,C [1%] NU
[6] ανεβη ευθυς **f**[35] C [98.5%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB,W [1.5%] NU
[7] ανεωχθησαν **f**[35] ℵC,W [99%] RP,HF,OC,CP,TR ¦ ηνεωχθησαν B [1%] NU
[8] αυτω **f**[35] C,W (99.5%) RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB (0.3%) ¦ long omission (0.2%)
[9] το **f**[35] C,W (99.9%) RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB (alone)
[10] του **f**[35] C,W (99.6%) RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB (alone) ¦ omit phrase (0.3%)
[11] και **f**[35] C,D,W [99.9%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB
[12] τεσσαρακοντα **f**[35] W [99%] RP,HF,OC,CP,TR ¦ τεσσερακοντα ℵB(C) [1%] NU ¦ μ D
[13] τεσσαρακοντα **f**[35] (D)W [99%] RP,HF,OC,CP,TR ¦ τεσσερακοντα (ℵ)B,C [1%] NU
[14] αυτω ο πειραζων ειπεν **f**[35] C [98%] RP,HF,OC,CP,TR ¦ ~ 2341 ℵB,W [2%] NU ¦ 123 και 41 D
[15] ζησεται **f**[35] [90%] RP,HF,OC,CP,TR ¦ 1 ο ℵB,C,D,W [10%] NU
[16] ιστησιν **f**[35] W [99%] RP,HF,OC,CP,TR ¦ εστησεν ℵB,C,D [1%] NU
[17] λεγει **f**[35] W [98.5%] RP,HF,OC,CP,TR ¦ ειπεν ℵB,C,D [1.5%] NU
[18] παντα σοι **f**[35] D [98.5%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB,C,W [1.5%] NU
[19] οπισω μου **f**[35] D (88.1%) RP,HF,OC,CP ¦ --- ℵB,C,W (11.8%) TR,NU ¦ two other variants (0.1%)
[20] ο ιησους **f**[35] W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,D [1%] NU
[21] παρεδοθη *rell* ¦ παρεδωθη CP

καταλιπὼν τὴν Ναζαρέτ,[1] ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ[2] τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ· [3] **14** ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος **15** «Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, **16** ὁ λαὸς ὁ καθήμενος ἐν σκότει εἶδεν φῶς[4] μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς.»

Peter, Andrew, James and John

17 Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν, «Μετανοεῖτε, ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.» **18** Περιπατῶν δὲ[5] παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδεν δύο ἀδελφούς, Σίμωνα (τὸν λεγόμενον Πέτρον) καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν, ἦσαν γὰρ ἁλιεῖς. **19** Καὶ λέγει αὐτοῖς, «Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων.» **20** Οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. **21** Καὶ προβὰς ἐκεῖθεν, εἶδεν ἄλλους δύο ἀδελφούς, Ἰάκωβον (τὸν τοῦ Ζεβεδαίου) καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν, καταρτίζοντας τὰ δίκτυα αὐτῶν· καὶ ἐκάλεσεν αὐτούς. **22** Οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν ἠκολούθησαν αὐτῷ.

A tour of Galilee

23 Καὶ περιῆγεν ὅλην τὴν Γαλιλαίαν ὁ Ἰησοῦς,[6] διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. **24** Καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν· καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας—ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους, καὶ[7] δαιμονιζομένους καὶ σεληνιαζομένους καὶ παραλυτικούς—καὶ ἐθεράπευσεν αὐτούς. **25** Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας καὶ πέραν τοῦ Ἰορδάνου.

The Sermon on the Mount

5:1 Ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος καί, καθίσαντος αὐτοῦ, προσῆλθον[8] αὐτῷ οἱ μαθηταὶ αὐτοῦ.

The Beatitudes

2 Καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς λέγων· **3** «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. **4** Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. **5** Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσιν τὴν γῆν. **6** Μακάριοι οἱ πεινῶντες[9] καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. **7** Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. **8** Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. **9** Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. **10** Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

For disciples

11 »Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν, καὶ εἴπωσιν πᾶν πονηρὸν ῥῆμα[10]

---

[1] ναζαρετ **f**^{35} [89%] RP,HF,OC,CP,TR ¦ ναζαρεθ ℵD,W [10%] ¦ ναζαρα B [0.5%] NU ¦ ναζαραθ C [0.5%] ¦ one other spelling

[2] καπερναουμ **f**^{35} C [99%] RP,HF,OC,CP,TR ¦ καφαρναουμ ℵB,D,W [1%] NU

[3] νεφθαλειμ **f**^{35} ℵB,C,D [89%] RP,HF,OC,CP,TR ¦ νεφθαλιμ W [10%] NU ¦ νεφθαλημ [1%]

[4] ειδεν φως **f**^{35} (D) [97%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB,C,W [3%] NU

[5] δε *rell* ¦ 1 ο ιησους [5%] TR

[6] ολην την γαλιλαιαν ο ιησους **f**^{35} W (90.8%) RP,HF,OC,CP,TR ¦ ~ 45123 D (7.6%) ¦ 2345 (0.3%) ¦ 123 (0.5%) ¦ 45 (0.2%) ¦ ~ 45 εν οληι τη γαλιλαια C (0.1%) ¦ ~ 45 εν τη γαλιλαια ℵ ¦ εν οληι τη γαλιλαια B (alone) NU ¦ καθ οληις της γαλιλαιας 45 (0.3%) ¦ three other variants (0.2%)

[7] και **f**^{35} ℵD,W [98%] RP,HF,OC,CP,TR[NU] ¦ --- B,C [2%]

[8] προσηλθον *rell* ¦ προσηλθαν ℵB,NU

[9] πεινωντες *rell* ¦ πινωντες CP

[10] ρημα **f**^{35} C,W (99.8%) RP,HF,OC,CP,TR ¦ --- ℵB(D)NU

καθ᾽ ὑμῶν, ψευδόμενοι,[1] ἕνεκεν ἐμοῦ. **12** Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν
τοῖς οὐρανοῖς, οὕτως γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν. **13** Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς·
ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; Εἰς οὐδὲν ἰσχύει ἔτι εἰ μὴ βληθῆναι ἔξω καὶ[2]
καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. **14** Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις
κρυβῆναι ἐπάνω ὄρους κειμένη. **15** Οὐδὲ καίουσιν λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον,
ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ. **16** Οὕτως λαμψάτω τὸ φῶς ὑμῶν
ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσιν τὸν Πατέρα ὑμῶν τὸν
ἐν τοῖς οὐρανοῖς.

Jesus interprets the Law

17 »Μὴ νομίσητε[3] ὅτι ἦλθον καταλῦσαι τὸν Νόμον ἢ τοὺς Προφήτας· οὐκ ἦλθον καταλῦσαι
ἀλλὰ πληρῶσαι. **18** Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία
κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ Νόμου ἕως ἂν πάντα γένηται. **19** Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν
ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ[4] οὕτως τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ
βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν
οὐρανῶν. **20** Λέγω γὰρ ὑμῖν ὅτι ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν[5] πλεῖον τῶν γραμματέων
καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

About respecting others

21 »Ἠκούσατε ὅτι ἐρρέθη[6] τοῖς ἀρχαίοις, ‹Οὐ φονεύσεις, ὃς δ᾽ ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ
κρίσει.› **22** Ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ[7] ἔνοχος ἔσται τῇ
κρίσει. Ὃς δ᾽ ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, ‹Ῥακά,› ἔνοχος ἔσται τῷ συνεδρίῳ. Ὃς δ᾽ ἂν εἴπῃ,
‹Μωρέ,› ἔνοχος ἔσται εἰς τὴν Γέενναν[8] τοῦ πυρός. **23** Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ
θυσιαστήριον καὶ ἐκεῖ[9] μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, **24** ἄφες ἐκεῖ τὸ δῶρόν σου
ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε· πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν
πρόσφερε τὸ δῶρόν σου. **25** Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχύ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ᾽
αὐτοῦ,[10] μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτής σε παραδῷ[11] τῷ ὑπηρέτῃ, καὶ εἰς
φυλακὴν βληθήσῃ. **26** Ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως ἂν[12] ἀποδῷς τὸν ἔσχατον
κοδράντην.

About sexual sin

27 »Ἠκούσατε ὅτι ἐρρέθη,[13] ‹Οὐ μοιχεύσεις.› **28** Ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ βλέπων γυναῖκα
πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν[14] ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. **29** Εἰ δὲ ὁ ὀφθαλμός σου
ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν
μελῶν σου καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς Γέενναν. **30** Καὶ εἰ ἡ δεξιά σου χεὶρ σκανδαλίζει
σε, ἔκκοψον αὐτὴν καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου καὶ μὴ

---

[1] ψευδομενοι **f**[35] ℵB,C [99.9%] RP,HF,OC,CP,TR[NU] ¦ --- D (D omits καθ υμων ψευδομενοι)
[2] βληθηναι εξω και **f**[35] D,W [99%] RP,HF,OC,CP,TR ¦ βληθεν 2 ℵB,C [1%] NU
[3] νομισητε *rell* ¦ νομησητε [5%] CP
[4] διδαξη *rell* ¦ διδαξει CP
[5] η δικαιοσυνη υμων **f**[35] [70%] RP,HF,OC,CP,TR ¦ ~ 312 ℵB,W [30%] NU ¦ one other variant (D omits verse 20; C is missing)
[6] ερρεθη *rell* ¦ ερρηθη B,D [15%] (Wherever the word occurs a number of MSS will have the variant, but never more than 15%.)
[7] εικη **f**[35] D,W (96.2%) RP,HF,OC,CP,TR ¦ --- P[64]ℵB (1.9%) NU ¦ a long omission [homoioteleuton] (1.9%)
[8] γεενναν *rell* ¦ γεεναν [5%] CP
[9] και εκει **f**[35] D [80%] RP,HF,CP ¦ κακει ℵB,W [20%] OC,TR,NU
[10] εν τη οδω μετ αυτου **f**[35] [97%] RP,HF,OC,CP,TR ¦ ~ 45123 ℵB,D,W [3%] NU
[11] σε παραδω **f**[35] (D)W [97%] RP,HF,OC,CP,TR ¦ --- 𝔓[64v]ℵB [3%] NU
[12] αν *rell* ¦ ου W [3%] OC ¦ --- [2%]
[13] ερρεθη **f**[35] ℵB,D,W [90%] RP,HF,CP,NU ¦ 1 τοις αρχαιοις [10%] OC,TR
[14] αυτην **f**[35] B,D,W [90%] RP,HF,OC,CP,NU ¦ αυτης [10%] TR ¦ --- ℵ

ὅλον τὸ σῶμά σου βληθῇ εἰς Γέενναν.[1] **31** Ἐρρέθη[2] ὅτι[3] ‹ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ ἀποστάσιον.› **32** Ἐγὼ δὲ λέγω ὑμῖν ὅτι ὃς ἂν ἀπολύσῃ[4] τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι,[5] καὶ ὃς ἐὰν ἀπολελυμένην γαμήσῃ μοιχᾶται.

About swearing

33 »Πάλιν ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, ‹Οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ Κυρίῳ τοὺς ὅρκους σου.› **34** Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως· μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶν τοῦ Θεοῦ· **35** μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστιν τῶν ποδῶν αὐτοῦ· μήτε εἰς Ἰεροσόλυμα, ὅτι πόλις ἐστὶν τοῦ μεγάλου Βασιλέως· **36** μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ δύνασαι μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι.[6] **37** Ἔστω δὲ ὁ λόγος ὑμῶν ‹ναὶ ναί,› ‹οὒ οὔ›· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν.

About retaliation

38 »Ἠκούσατε ὅτι ἐρρέθη, ‹Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος.› **39** Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ᾽ ὅστις σε ῥαπίσει[7] ἐπὶ[8] τὴν δεξιὰν σιαγόνα,[9] στρέψον αὐτῷ καὶ τὴν ἄλλην. **40** Καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. **41** Καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἕν, ὕπαγε μετ᾽ αὐτοῦ δύο. **42** Τῷ αἰτοῦντί σε δίδου,[10] καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι[11] μὴ ἀποστραφῇς.

How to treat enemies

43 »Ἠκούσατε ὅτι ἐρρέθη, ‹Ἀγαπήσεις τὸν πλησίον σου καὶ μισήσεις τὸν ἐχθρόν σου.› **44** Ἐγὼ δὲ λέγω ὑμῖν· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς,[12] καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ[13] διωκόντων ὑμᾶς, **45** ὅπως γένησθε υἱοὶ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς [14]οὐρανοῖς· ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. **46** Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; Οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν; **47** Καὶ ἐὰν ἀσπάσησθε τοὺς φίλους[15] ὑμῶν μόνον, τί περισσὸν ποιεῖτε; Οὐχὶ καὶ οἱ τελῶναι[16] οὕτως[17] ποιοῦσιν; **48** Ἔσεσθε οὖν ὑμεῖς τέλειοι ὥσπερ[18] ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς[19] τέλειός ἐστιν.

---

[1] βληθη εις γεενναν **f**[35] W [98%] RP,HF,OC,CP,TR ¦ ~ 23 απελθη ℵB [2%] NU (D omits verse 30)
[2] ερρεθη **f**[35] ℵ [30%] ¦ 1 δε B,D,W [70%] RP,HF,OC,CP,TR,NU
[3] οτι **f**[35] W [97%] RP,HF,CP,TR ¦ --- ℵB,D [3%] OC,NU
[4] ος αν απολυση **f**[35] D [90%] RP,HF,OC,CP,TR ¦ πας ο απολυων ℵB,W [10%] NU
[5] μοιχασθαι **f**[35] [97%] RP,HF,OC,CP,TR ¦ μοιχευθηναι ℵB,D,W [3%] NU
[6] μιαν τριχα λευκην η μελαιναν ποιησαι **f**[35] [98%] RP,HF,OC,CP,TR ¦ ~ 123645 (ℵ)B(W) [1%] NU ¦ ~ 612345 [0.5%] ¦ ~ 126345 [0.5%] ¦ two other variants D
[7] ραπισει **f**[35] D [98%] RP,HF,OC,CP,TR ¦ ραπιζει ℵB,W [2%] NU
[8] επι **f**[35] D [96%] RP,HF,OC,CP,TR ¦ εις ℵB,W [4%] NU
[9] δεξιαν σιαγονα **f**[35] ℵW [65%] RP,OC ¦ 1 σου 2 [35%] HF,CP,TR ¦ 12 σου B[NU] ¦ 2 σου D
[10] διδου **f**[35] [98.5%] RP,HF,OC,CP,TR ¦ δος ℵB,D,W [1.5%] NU
[11] δανεισασθαι **f**[35] [97.5%] RP,HF,OC,CP,TR ¦ δανισασθαι ℵB,D,W [1.5%] NU ¦ δανησασθαι [1%] ¦ one other variant
[12] ευλογειτε τους καταρωμενους υμας καλως ποιειτε τοις μισουσιν (τους μισουντας 1.1% TR) υμας **f**[35] W (91.2%) RP,HF,OC,CP(TR) ¦ ten minor variations on this D (1.9%) ¦ 1234 (4.2%) ¦ 56789 (0.9%) ¦ ~ 5-9,1-4 (0.6%) ¦ five further partial variants (0.3%) ¦ --- ℵB (0.8%) NU
[13] επηρεαζοντων υμας και **f**[35] W (94.3%) RP,HF,OC,CP,TR ¦ 12 (2.8%) ¦ 13 (D) (1.8%) ¦ --- ℵB (0.8%) NU ¦ longer omission (0.3%)
[14] τοις **f**[35] [80%] RP,HF,CP ¦ --- ℵB,D,W [20%] OC,TR,NU
[15] φιλους **f**[35] W [96%] RP,HF,OC,CP ¦ αδελφους ℵB,D [3.5%] TR,NU ¦ two other variants [0.5%]
[16] τελωναι **f**[35] W (91.4%) RP,HF,OC,CP,TR ¦ εθνικοι ℵB,D (7.3%) NU ¦ long omissions (1.3%)
[17] ουτως **f**[35] (80.2%) RP,HF,OC,CP,TR ¦ το αυτο ℵB,D,W (17%) NU ¦ τουτο (1.5%) ¦ long omissions (1.3%)
[18] ωσπερ **f**[35] D,W [97%] RP,HF,OC,CP,TR ¦ ως ℵB [3%] NU
[19] εν τοις ουρανοις **f**[35] [85%] RP,HF,OC,CP,TR ¦ ουρανιος ℵB,W [15%] NU ¦ 13 D

Jesus warns against religious ostentation

6:1 »Προσέχετε[1] τὴν ἐλεημοσύνην[2] ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς. Εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. **2** Ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων. Ἀμὴν λέγω ὑμῖν, ἀπέχουσιν τὸν μισθὸν αὐτῶν. **3** Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου, **4** ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ· καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ αὐτὸς[3] ἀποδώσει σοι ἐν τῷ φανερῷ.[4] **5** Καὶ ὅταν προσεύχῃ,[5] οὐκ ἔσῃ[6] ὥσπερ[7] οἱ ὑποκριταί, ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως ἂν[8] φανῶσιν τοῖς ἀνθρώποις. Ἀμὴν λέγω ὑμῖν ὅτι[9] ἀπέχουσιν τὸν μισθὸν αὐτῶν. **6** Σὺ δέ, ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν[10] σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ φανερῷ.[11]

How to pray

7 »Προσευχόμενοι δὲ μὴ βαττολογήσητε[12] ὥσπερ οἱ ἐθνικοί· δοκοῦσιν γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. **8** Μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς, οἶδεν γὰρ ὁ Πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν. **9** Οὕτως οὖν προσεύχεσθε ὑμεῖς·

‹Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· **10** ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς[13] γῆς. **11** Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· **12** καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν[14] τοῖς ὀφειλέταις ἡμῶν. **13** Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.›[15] **14** Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος. **15** Ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν,[16] οὐδὲ ὁ Πατὴρ ὑμῶν[17] ἀφήσει τὰ παραπτώματα ὑμῶν.

How to fast

16 »Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ[18] οἱ ὑποκριταὶ σκυθρωποί, ἀφανίζουσιν γὰρ τὰ πρόσωπα αὐτῶν ὅπως φανῶσιν τοῖς ἀνθρώποις νηστεύοντες. Ἀμὴν λέγω ὑμῖν ὅτι[19] ἀπέχουσιν τὸν μισθὸν αὐτῶν. **17** Σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλήν, καὶ τὸ πρόσωπόν σου νίψαι, **18** ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ·[20] καὶ ὁ Πατήρ σου ὁ

---

[1] προσεχετε **f**[35] B,D,W [96%] RP,HF,OC,CP,TR ¦ 1 δε ℵ [4%] [NU]
[2] ελεημοσυνην **f**[35] W [99%] RP,HF,OC,CP,TR ¦ δικαιοσυνην ℵB,D [1%] NU
[3] αυτος **f**[35] D,W (75.2%) RP,HF,CP,TR ¦ --- ℵB (24.1%) OC,NU ¦ long omissions (0.7%)
[4] εν τω φανερω **f**[35] W (93.7%) RP,HF,OC,CP,TR ¦ --- ℵB,D (5.7%) NU ¦ long omissions (0.7%)
[5] προσευχη **f**[35] ℵD,W [98.5%] RP,HF,OC,CP,TR ¦ προσευχησθε B [1.5%] NU
[6] εση **f**[35] D,W [98.5%] RP,HF,OC,CP,TR ¦ εσεσθε ℵB [1.5%] NU
[7] ωσπερ **f**[35] W [99%] RP,HF,OC,CP,TR ¦ ως ℵB,D [1%] NU
[8] αν **f**[35] W [90%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [10%] NU
[9] οτι **f**[35] W [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [3%] NU
[10] ταμειον **f**[35] B [30%] NU [ταμιον ℵD,W] ¦ ταμιειον [70%] RP,HF,OC,CP,TR
[11] εν τω φανερω **f**[35] W (97.2%) RP,HF,OC,CP,TR ¦ --- ℵB,D (1.9%) NU ¦ long omissions (0.9%)
[12] βαττολογησητε **f**[35] [99%] RP,HF,OC,CP,TR ¦ βατταλογησητε ℵB,NU ¦ βλαττολογησηται D ¦ βατταλογειται W [0.5%] ¦ two other spellings
[13] της **f**[35] D [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,W [1%] NU
[14] αφιεμεν **f**[35] [98%] RP,HF,OC,CP,TR ¦ αφηκαμεν ℵB [1%] NU ¦ αφιομεν D,W [1%]
[15] οτι σου εστιν η βασιλεια και η δυναμις και η δοξα εις τους αιωνας αμην **f**[35] W (97.6%—with variations) RP,HF,OC,TR ¦ 1-11 (1.1%) ¦ αμην (0.2%) ¦ --- ℵB,D (1.1%) (CP)NU
[16] τα παραπτωματα αυτων **f**[35] B,W (97.7%) RP,HF,OC,CP,TR ¦ 12 υμων (0.5%) ¦ --- ℵD (1.1%) NU ¦ long omission (0.5%) ¦ two other variants (0.2%)
[17] υμων *rell* ¦ 1 ο ουρανιος [5%] CP
[18] ωσπερ **f**[35] W [98.5%] RP,HF,OC,CP,TR ¦ ως ℵB,D [1.5%] NU
[19] οτι **f**[35] W [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [3%] NU
[20] κρυπτω **f**[35] W [99%] RP,HF,OC,CP,TR ¦ κρυφαιω ℵB(D) [1%] NU (twice)

βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι.[1]

The right attitude toward material supply

19 »Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει καὶ ὅπου κλέπται διορύσσουσιν καὶ κλέπτουσιν· **20** θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν· **21** ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν[2] ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν.

About world-view

22 »Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. Ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ,[3] ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται. **23** Ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται. Εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστίν, τὸ σκότος πόσον.

"You cannot serve God and money"

24 »Οὐδεὶς δύναται δυσὶν κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει. Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ.[4] **25** Διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε καὶ τί πίητε·[5] μηδὲ τῷ σώματι ὑμῶν, τί ἐνδύσεσθε.[6] Οὐχὶ ἡ ψυχὴ πλείων[7] ἐστιν τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος; **26** Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. Οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; **27** Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; **28** Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; Καταμάθετε τὰ κρίνατοῦ ἀγροῦ, πῶς αὐξάνει·[8] οὐ κοπιᾷ οὐδὲ νήθει,[9] **29** λέγω δὲ ὑμῖν ὅτι οὐδὲ[10] Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. **30** Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ, σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; **31** Μὴ οὖν μεριμνήσητε λέγοντες, ‹Τί φάγωμεν;› ἢ ‹Τί πίωμεν;› ἢ ‹Τί περιβαλώμεθα;› **32** Πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ·[11] οἶδεν γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων. **33** Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ[12] καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. **34** Μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον, ἡ γὰρ αὔριον μεριμνήσει τὰ[13] ἑαυτῆς. Ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς.

The right attitude toward others

7:1 »Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. **2** Ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε· καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται[14] ὑμῖν. **3** Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς; **4** Ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ σου, ‹Ἄφες ἐκβάλω τὸ κάρφος ἀπὸ[15] τοῦ ὀφθαλμοῦ σου,› καὶ ἰδού, ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου; **5** Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου,[16] καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.

---

[1] σοι **f**[35] ℵB,D,W [90%] RP,HF,CP,NU ¦ 1 εν τω φανερω [10%] OC,TR (OC in small print)
[2] υμων **f**[35] W [99%] RP,HF,OC,CP,TR ¦ σου ℵB [1%] NU (D missing) (twice)
[3] ο οφθαλμος σου απλους η **f**[35] [99%] RP,HF,OC,CP,TR ¦ ~ 51234 ℵB,W [1%] NU
[4] μαμωνα *rell* ¦ μαμμωνα [5%] TR
[5] και τι πιητε **f**[35] N [97%] RP,HF,OC,CP,TR ¦ η 23 B,W [2%] [NU] ¦ --- ℵ [1%]
[6] ενδυσεσθε **f**[35] [20%] ¦ ενδυσησθε ℵB,N,W [80%] RP,HF,OC,CP,TR,NU [The future indicative was unexpected.]
[7] πλειων **f**[35] [20%] ¦ πλειον ℵB,N,W [80%] RP,HF,OC,CP,TR,NU ['Life' and 'food' are feminine, not neuter.]
[8] αυξανει **f**[35] N,W [99%] RP,HF,OC,CP,TR ¦ αυξανουσιν B [1%] NU ¦ ου ξενουσιν ℵ
[9] ου κοπια ουδε νηθει **f**[35] N,W [99%] RP,HF,OC,CP,TR ¦ 1 κοπιωσιν (κοπιουσιν B) 3 νηθουσιν (B) [1%] NU ¦ 3 νηθουσιν 3 κοπιωσιν ℵ
[10] ουδε *rell* ¦ 1 ο CP
[11] επιζητει **f**[35] N,W [97%] RP,HF,OC,CP,TR ¦ επιζητουσιν ℵB [3%] NU
[12] του θεου **f**[35] N,W (99%) RP,HF,OC,CP,TR[NU] ¦ των ουρανων (0.4%) ¦ αυτου (0.3%) ¦ --- ℵ(B) (0.2%)
[13] τα **f**[35] N [80%] RP,HF,OC,CP,TR ¦ --- ℵ(B)W [20%] NU ¦ long omission [0.5%] ¦ three other variants
[14] μετρηθησεται *rell* ¦ αντιμετρηθησεται N [10%] TR
[15] απο **f**[35] W [97%] RP,HF,OC,CP,TR ¦ εκ ℵB,N [3%] NU
[16] την δοκον εκ του οφθαλμου σου **f**[35] N,W [99.7%] RP,HF,OC,CP,TR ¦ ~ 345612 ℵB,C[v] [0.3%] NU

Analyze your audience

6 »Μὴ δῶτε[1] τὸ ἅγιον τοῖς κυσίν, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων· μήποτε καταπατήσωσιν[2] αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς.

Be persistent, yet considerate

7 »Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν.[3] **8** Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. **9** Ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν[4] αἰτήσῃ[5] ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; **10** Καὶ[6] ἐὰν[7] ἰχθὺν αἰτήσῃ,[8] μὴ ὄφιν ἐπιδώσει αὐτῷ; **11** Εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν; **12** Πάντα οὖν ὅσα ἂν[9] θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτως καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος[10] γάρ ἐστιν ὁ Νόμος καὶ οἱ Προφῆται.

Eternal destiny

13 »Εἰσέλθετε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι᾽ αὐτῆς. **14** Τί[11] στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.

A tree is known by its fruit

15 »Προσέχετε δὲ[12] ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασιν προβάτων, ἔσωθεν δέ εἰσιν λύκοι ἅρπαγες. **16** Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὴν[13] ἢ ἀπὸ τριβόλων σῦκα; **17** Οὕτως πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ, τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ. **18** Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν. **19** Πᾶν οὖν[14] δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. **20** Ἄρα γε, ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.

We have to do the Father's will

21 »Οὐ πᾶς ὁ λέγων μοι, ‹Κύριε, Κύριε,› εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν[15] οὐρανοῖς. **22** Πολλοὶ ἐροῦσίν μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ‹Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν,[16] καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν;› **23** Καὶ τότε ὁμολογήσω αὐτοῖς ὅτι ‹Οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ᾽ ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.›

All face adversity—foundation determines outcome

24 »Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους καὶ ποιεῖ αὐτούς, ὁμοιώσω αὐτὸν[17] ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησεν τὴν οἰκίαν αὐτοῦ[18] ἐπὶ τὴν πέτραν. **25** Καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον

---

[1] δωτε *rell* ¦ δοτε [5%] CP
[2] καταπατησωσιν **f**[35] ℵ [97%] RP,HF,OC,CP,TR ¦ καταπατησουσιν B,C,N,W [3%] NU
[3] υμιν *rell* ¦ ημιν OC
[4] εαν **f**[35] N,W [97.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C [0.5%] NU ¦ αν [2%]
[5] αιτηση **f**[35] N,W [98.5%] RP,HF,OC,CP,TR ¦ αιτησει ℵB [1.5%] NU ¦ αιτησεις C
[6] και **f**[35] N,W [85%] RP,HF,OC,TR ¦ η 1 ℵB,C [15%] CP,NU
[7] εαν **f**[35] N,W [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C [3%] NU
[8] αιτηση **f**[35] [97%] RP,HF,OC,CP,TR ¦ αιτησει ℵB,C,N,W [3%] NU
[9] αν **f**[35] B [98%] RP,HF,OC,CP,TR ¦ εαν ℵC,N,W [2%] NU
[10] ουτος *rell* ¦ ουτως [10%] CP
[11] τι **f**[35] C,N,W (99%) RP,HF,OC,CP,NU ¦ οτι ℵ,TR ¦ οτι δε B
[12] δε **f**[35] C,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB [1%] NU (N missing)
[13] σταφυλην **f**[35] W [99%] RP,HF,OC,CP,TR ¦ σταφυλας ℵB [1%] NU ¦ σταφυληνας C
[14] ουν **f**[35] C[c] [25%] ¦ --- ℵB,C[v],W [75%] RP,HF,OC,CP,TR,NU
[15] εν **f**[35] W [97%] RP,HF,OC,CP,TR ¦ 1 τοις ℵB,C [3%] NU
[16] προεφητευσαμεν **f**[35] [98%] RP,HF,OC,CP,TR ¦ επροφητευσαμεν ℵB,C,W [2%] NU
[17] ομοιωσω αυτον **f**[35] C,W [96%] RP,HF,OC,CP,TR ¦ ομοιωθησεται ℵB [4%] NU
[18] την οικιαν αυτου **f**[35] [98%] RP,HF,OC,CP,TR ¦ ~ 312 ℵB,C,W [2%] NU

οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέπεσον[1] τῇ οἰκίᾳ ἐκείνῃ· καὶ οὐκ ἔπεσεν, τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. **26** Καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους καὶ μὴ ποιῶν αὐτοὺς ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησεν τὴν οἰκίαν αὐτοῦ[2] ἐπὶ τὴν ἄμμον. **27** Καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσεν· καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη.»

Editorial comment

28 Καὶ ἐγένετο ὅτε συνετέλεσεν[3] ὁ Ἰησοῦς τοὺς λόγους τούτους, ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ, **29** ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς.[4]

The Messiah demonstrates His power

Jesus heals a leper

8:1 Καταβάντι δὲ αὐτῷ[5] ἀπὸ τοῦ ὄρους, ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί. **2** Καὶ ἰδού, λεπρὸς ἐλθὼν[6] προσεκύνει αὐτῷ, λέγων, «Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.» **3** Καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ ὁ Ἰησοῦς,[7] λέγων, «Θέλω, καθαρίσθητι.» Καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα. **4** Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· «Ὅρα μηδενὶ εἴπῃς· ἀλλ᾽[8] ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ καὶ προσένεγκαι[9] τὸ δῶρον ὃ προσέταξεν Μωσῆς,[10] εἰς μαρτύριον αὐτοῖς.»

Jesus heals at a distance

5 Εἰσελθόντι[11] δὲ αὐτῷ[12] εἰς Καπερναούμ,[13] προσῆλθεν αὐτῷ ἑκατόνταρχος, παρακαλῶν αὐτὸν καὶ λέγων, **6** «Κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός, δεινῶς βασανιζόμενος.» **7** Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς,[14] «Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν.» **8** Καὶ ἀποκριθεὶς ὁ ἑκατόνταρχος ἔφη· «Κύριε, οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· ἀλλὰ μόνον εἰπὲ λόγῳ,[15] καὶ ἰαθήσεται ὁ παῖς μου. **9** Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ᾽ ἐμαυτὸν στρατιώτας. Καὶ λέγω τούτῳ, ‹Πορεύθητι,› καὶ πορεύεται· καὶ ἄλλῳ, ‹Ἔρχου,› καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, ‹Ποίησον τοῦτο,› καὶ ποιεῖ.» **10** Ἀκούσας δὲ ὁ Ἰησοῦς ἐθαύμασεν, καὶ εἶπεν τοῖς ἀκολουθοῦσιν· «Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν[16] εὗρον. **11** Λέγω δὲ ὑμῖν ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσιν καὶ ἀνακλιθήσονται[17] μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· **12** οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον. Ἐκεῖ ἔσται ὁ[18] κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.» **13** Καὶ εἶπεν ὁ Ἰησοῦς τῷ

---

[1] προσεπεσον **f**[35] [93%] RP,HF,OC,CP,TR ¦ προσεπεσαν B,C [6%] NU ¦ προσεπεσεν ℵ ¦ προσεκρουσαν W ¦ two other variants [1%]
[2] την οικιαν αυτου **f**[35] C [98%] RP,HF,OC,CP,TR ¦ ~ 312 ℵB,W [2%] NU
[3] συνετελεσεν **f**[35] [94%] RP,HF,OC,CP,TR ¦ ετελεσεν ℵB,C,W [6%] NU
[4] γραμματεις **f**[35] C [95%] RP,HF,OC,CP,TR ¦ 1 αυτων ℵB,W [5%] NU
[5] καταβαντι δε αυτω **f**[35] [97.5%] RP,HF,OC,CP,TR ¦ 12 αυτου ℵ ¦ καταβαντος 2 αυτου B,C,W [1%] NU ¦ καταβαινοντος 2 αυτου [1%]
[6] ελθων **f**[35] C,W [75%] RP,HF,OC,CP,TR ¦ προσελθων ℵB,N [24%] NU ¦ --- [1%]
[7] ο ιησους **f**[35] N,W [96%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C [4%] NU
[8] αλλ **f**[35] [50%] TR ¦ αλλα ℵB,C,N,W [50%] RP,HF,OC,CP,NU
[9] προσενεγκαι **f**[35] [25%] ¦ προσενεγκε ℵN,W [75%] RP,HF,OC,CP,TR ¦ προσενεγκον B,C [0.5%] NU [The imperatival use of the infinitive is very normal Koine, being a continuation of classical usage.]
[10] μωσης **f**[35] C [90%] RP,HF,OC,CP ¦ μωυσης ℵB,N,W [10%] TR,NU
[11] εισελθοντι **f**[35] N,W [96%] RP,HF,OC,CP,TR ¦ εισελθοντος ℵB,C [4%] NU
[12] αυτω **f**[35] N,W [91%] RP,HF,OC,CP ¦ αυτου ℵB,C [4%] NU ¦ τω ιησου [5%] TR
[13] καπερναουμ **f**[35] C,N,W [99%] RP,HF,OC,CP,TR ¦ καφαρναουμ ℵB [1%] NU
[14] ο ιησους **f**[35] C,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- (ℵ)B [0.5%] NU
[15] λογω *rell* ¦ λογον [5%] TR
[16] ουδε εν τω ισραηλ τοσαυτην πιστιν **f**[35] ℵC,N (95.1%) RP,HF,OC,CP,TR ¦ οτι 1-6 (3.4%) ¦ 1 παρ ουδενι 2-6 (0.2%) ¦ παρ ουδενι 56 (0.3%) ¦ ~ παρ ουδενι 56234 B,W (0.7%) NU ¦ long omission (0.3%)
[17] ανακλιθησονται *rell* ¦ ανακληθησονται [10%] CP
[18] ο *rell* ¦ --- CP

ἑκατοντάρχῳ,[1] «Ὕπαγε, καὶ[2] ὡς ἐπίστευσας γενηθήτω σοι.» Καὶ ἰάθη ὁ παῖς αὐτοῦ[3] ἐν τῇ ὥρᾳ ἐκείνῃ.

Peter's mother-in-law

14 Καὶ ἐλθὼν[4] ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, εἶδεν τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν. **15** Καὶ ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός· καὶ ἠγέρθη καὶ διηκόνει αὐτῷ.[5] **16** Ὀψίας δὲ γενομένης, προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλούς. Καὶ ἐξέβαλεν τὰ πνεύματα λόγῳ, καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν, **17** ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος, «Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβεν[6] καὶ τὰς νόσους ἐβάστασεν.»

18 Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους[7] περὶ αὐτόν, ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν. **19** Καὶ προσελθὼν εἷς γραμματεὺς εἶπεν αὐτῷ, «Διδάσκαλε, ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ.» **20** Λέγει[8] αὐτῷ ὁ Ἰησοῦς, «Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσιν καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ Υἱὸς τοῦ Ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.» **21** Ἕτερος δὲ τῶν μαθητῶν[9] εἶπεν αὐτῷ, «Κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα μου.» **22** Ὁ δὲ Ἰησοῦς εἶπεν[10] αὐτῷ, «Ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς.»

Jesus controls wind and wave

23 Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. **24** Καὶ ἰδού, σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων. Αὐτὸς δὲ ἐκάθευδεν. **25** Καὶ προσελθόντες οἱ μαθηταὶ[11] ἤγειραν αὐτὸν λέγοντες, «Κύριε, σῶσον ἡμᾶς,[12] ἀπολλύμεθα.» **26** Καὶ λέγει αὐτοῖς, «Τί δειλοί ἐστε, ὀλιγόπιστοι;» Τότε ἐγερθεὶς ἐπετίμησεν τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη. **27** Οἱ δὲ ἄνθρωποι ἐθαύμασαν, λέγοντες, «Ποταπός ἐστιν οὗτος ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;»[13]

Jesus controls any number of demons

28 Καὶ ἐλθόντι αὐτῷ[14] εἰς τὸ πέραν, εἰς τὴν χώραν τῶν Γεργεσηνῶν,[15] ὑπήντησαν αὐτῷ δύο δαιμονιζόμενοι, ἐκ τῶν μνημείων ἐξερχόμενοι, χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης. **29** Καὶ ἰδού, ἔκραξαν λέγοντες· «Τί ἡμῖν καὶ σοί, Ἰησοῦ,[16] Υἱὲ τοῦ Θεοῦ; Ἦλθες ὧδε[17] πρὸ καιροῦ βασανίσαι ἡμᾶς;» **30** Ἦν δὲ μακρὰν ἀπ᾽ αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη. **31** Οἱ δὲ δαίμονες παρεκάλουν αὐτόν, λέγοντες, «Εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμῖν ἀπελθεῖν[18] εἰς τὴν ἀγέλην τῶν χοίρων.» **32** Καὶ εἶπεν αὐτοῖς, «Ὑπάγετε.» Οἱ δὲ ἐξελθόντες ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων.[19] Καὶ ἰδού, ὥρμησεν πᾶσα ἡ ἀγέλη τῶν χοίρων[20] κατὰ τοῦ

---

[1] εκατονταρχω **f**[35] [30%] OC,TR ¦ εκατονταρχη ℵB,C,N,W [70%] RP,HF,CP,NU
[2] και **f**[35] C,N [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,W [1%] NU
[3] αυτου **f**[35] C,N,W [99%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB [1%]
[4] ελθων *rell* ¦ εισελθων [5%] CP ελθων *rell* ¦ εισελθων [5%] CP
[5] αυτω **f**[35] ℵB,C,W [90%] RP,HF,OC,CP,NU ¦ αυτοις [10%] TR ¦ αυτων N
[6] ελαβεν *rell* ¦ ανελαβεν [5%] CP
[7] πολλους οχλους **f**[35] C,N [97%] RP,HF,OC,CP,TR ¦ πολυν οχλον [2%] ¦ 2 ℵ [1%] ¦ οχλον B,NU ¦ οχλον πολυν W ¦ one other variant
[8] λεγει **f**[35] [20%] ¦ και 1 ℵB,C,N,W [80%] RP,HF,OC,CP,TR,NU
[9] μαθητων **f**[35] ℵB [20%] ¦ 1 αυτου C,N,W [80%] RP,HF,OC,CP,TR[NU]
[10] ειπεν **f**[35] N,W [98%] RP,HF,OC,CP,TR ¦ λεγει ℵB,C [2%] NU
[11] οι μαθηται **f**[35] (80%) RP,HF,CP ¦ 12 αυτου W (19%) OC,TR ¦ αυτω 12 αυτου C (0.5%) ¦ --- ℵB (0.5%) NU
[12] ημας **f**[35] W [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C [3%] NU
[13] υπακουουσιν αυτω **f**[35] C [98.5%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB,W [1.5%] NU
[14] ελθοντι αυτω **f**[35] W [96%] RP,HF,OC,CP,TR ¦ ελθοντος αυτου B,C [4%] NU ¦ ελθοντων αυτων ℵ
[15] γεργεσηνων **f**[35] W [96%] RP,HF,OC,CP,TR ¦ γεργεσινων [2%] ¦ γαδαρηνων B,C [2%] NU ¦ γαζαρηνων ℵ
[16] ιησου **f**[35] W [96%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C [4%] NU
[17] **f**[35] generally has ὧδε, presumably to distinguish it from ὦ δε.
[18] επιτρεψον ημιν απελθειν **f**[35] C,W [98%] RP,HF,OC,CP,TR ¦ αποστειλον ημας ℵB [2%] NU
[19] την αγελην των χοιρων **f**[35] N,W [97%] RP,HF,OC,CP,TR ¦ τους χοιρους ℵB,C [3%] NU
[20] των χοιρων **f**[35] [95%] RP,HF,OC,CP,TR ¦ --- ℵB(C)N,W [5%] NU

κρημνοῦ εἰς τὴν θάλασσαν καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν. **33** Οἱ δὲ βόσκοντες ἔφυγον, καὶ ἀπελθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν πάντα, καὶ τὰ τῶν δαιμονιζομένων. **34** Καὶ ἰδού, πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν[1] τῷ Ἰησοῦ· καὶ ἰδόντες αὐτὸν παρεκάλεσαν ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν.

Jesus forgives sins

9:1 Καὶ ἐμβὰς εἰς τὸ[2] πλοῖον διεπέρασεν καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν. **2** Καὶ ἰδού, προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον. Καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν εἶπεν τῷ παραλυτικῷ, «Θάρσει, τέκνον· ἀφέωνταί[3] σοι αἱ ἁμαρτίαι σου.»[4] **3** Καὶ ἰδού, τινὲς τῶν γραμματέων εἶπον ἐν ἑαυτοῖς, «Οὗτος βλασφημεῖ.» **4** Καὶ εἰδὼς[5] ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν εἶπεν· «Ἱνατί ὑμεῖς[6] ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; **5** Τί γάρ ἐστιν εὐκοπώτερον, εἰπεῖν, ‹Ἀφέωνταί[7] σου[8] αἱ ἁμαρτίαι,› ἢ εἰπεῖν, ‹Ἔγειραι[9] καὶ περιπάτει›; **6** Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας»—τότε λέγει τῷ παραλυτικῷ, «Ἐγερθείς, ἆρόν σου τὴν κλίνην καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.» **7** Καὶ ἐγερθεὶς ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. **8** Ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν[10] καὶ ἐδόξασαν τὸν Θεόν, τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.

Matthew called

9 Καὶ παράγων ὁ Ἰησοῦς ἐκεῖθεν εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον[11] λεγόμενον, καὶ λέγει αὐτῷ, «Ἀκολούθει μοι.» Καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. **10** Καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδού, πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ. **11** Καὶ ἰδόντες οἱ Φαρισαῖοι εἶπον[12] τοῖς μαθηταῖς αὐτοῦ, «Διὰ τί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει[13] ὁ διδάσκαλος ὑμῶν;» **12** Ὁ δὲ Ἰησοῦς[14] ἀκούσας εἶπεν αὐτοῖς·[15] «Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες. **13** Πορευθέντες δὲ μάθετε τί ἐστιν, ‹Ἔλεον[16] θέλω καὶ οὐ θυσίαν.› Οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ[17] ἁμαρτωλοὺς εἰς μετάνοιαν.»[18]

Fasting

14 Τότε προσέρχονται αὐτῷ οἱ μαθηταὶ Ἰωάννου, λέγοντες, «Διὰ τί ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλά,[19] οἱ δὲ μαθηταί σου οὐ νηστεύουσιν;» **15** Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· «Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν ἐφ᾽ ὅσον χρόνον[20] μετ᾽ αὐτῶν ἐστιν ὁ νυμφίος; Ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν.

---

[1] συναντησιν **f**[35] C,N,W [98.5%] RP,HF,OC,CP,TR ¦ υπαντησιν ℵB [1.5%] NU
[2] το **f**[35] C,N,W [90%] RP,HF,CP,TR ¦ --- ℵB [10%] OC,NU
[3] αφεωνται **f**[35] C,W [98.5%] RP,HF,OC,CP,TR ¦ αφεονται [1%] ¦ αφιενται ℵB,NU ¦ αφεοντε N ¦ αφιοντε D
[4] σοι αι αμαρτιαι σου **f**[35] [96.5%] RP,HF,OC,CP,TR ¦ ~ 423 ℵB,C,W [2%] NU ¦ ~ 4234 N [1%] ¦ 123 D [0.5%]
[5] ειδως **f**[35] B (33.2%) ¦ ειδων (1%) ¦ ιδων ℵC,D(N)W (65.7%) RP,HF,OC,CP,TR,NU ['knowing' is better than 'seeing']
[6] υμεις **f**[35] N,W [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,D [2%] NU
[7] αφεωνται **f**[35] C,W [98.5%] RP,HF,OC,CP,TR ¦ αφεονται [1%] ¦ αφιονται ℵD ¦ αφιενται B,NU ¦ αφεοντε N
[8] σου **f**[35] ℵB,C,D,W [65%] RP,HF,OC,CP,NU ¦ σοι N [35%] TR
[9] εγειραι **f**[35] B [80%] RP,HF,CP,TR ¦ εγειρε ℵ,C,D,N,W [20%] OC,NU
[10] εθαυμασαν **f**[35] C,N (97.5%) RP,HF,OC,CP,TR ¦ εθαυμαζον (0.3%) ¦ εφοβηθησαν ℵB,D,W (2%) NU ¦ two other variants (0.2%)
[11] ματθαιον **f**[35] C [99.5%] RP,HF,OC,CP,TR ¦ μαθθαιον ℵB,D,NU ¦ ματθεον N ¦ μαθθεον W
[12] ειπον **f**[35] D,N [97%] RP,HF,OC,CP,TR ¦ ελεγον ℵB,C,W [3%] NU
[13] και πινει **f**[35] [30%] ¦ --- ℵB(C)(D)N,W [70%] RP,HF,OC,CP,TR,NU
[14] ιησους **f**[35] C,N,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1%] NU
[15] αυτοις **f**[35] N,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C [1%] NU
[16] ελεον **f**[35] W [98.5%] RP,HF,OC,CP,TR ¦ ελεος ℵB,C,D,N [1.5%] NU
[17] αλλα *rell* ¦ αλλ [5%] TR
[18] εις μετανοιαν **f**[35] C [96%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D,N,W [4%] NU
[19] πολλα **f**[35] C,D,N,W (98.6%) RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB (1.4%)
[20] χρονον **f**[35] [20%] OC ¦ --- ℵB,C,D,N,W [80%] RP,HF,CP,TR,NU

Old wineskins

16 »Οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ· αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ ἱματίου, καὶ χεῖρον σχίσμα γίνεται. **17** Οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μή γε, ῥήγνυνται οἱ ἀσκοί, καὶ ὁ οἶνος ἐκχεῖται καὶ οἱ ἀσκοὶ ἀπολοῦνται.[1] Ἀλλὰ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς[2] καινούς, καὶ ἀμφότεροι[3] συντηροῦνται.»

Jesus raises the dead

18 Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς, ἰδού, ἄρχων τις ἐλθὼν[4] προσεκύνει αὐτῷ, λέγων ὅτι «Ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν, ἀλλὰ ἐλθὼν ἐπίθες τὴν χεῖρά σου ἐπ᾽ αὐτὴν καὶ ζήσεται.» **19** Καὶ ἐγερθεὶς ὁ Ἰησοῦς ἠκολούθησεν αὐτῷ, καὶ οἱ μαθηταὶ αὐτοῦ. **20** Καὶ ἰδού, γυνὴ αἱμορροοῦσα δώδεκα ἔτη προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ. **21** Ἔλεγεν γὰρ ἐν ἑαυτῇ, «Ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ σωθήσομαι.» **22** Ὁ δὲ Ἰησοῦς ἐπιστραφεὶς[5] καὶ ἰδὼν αὐτὴν εἶπεν, «Θάρσει, θύγατερ· ἡ πίστις σου σέσωκέν σε.» Καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης. **23** Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος καὶ ἰδὼν τοὺς αὐλητὰς καὶ τὸν ὄχλον θορυβούμενον, λέγει αὐτοῖς,[6] **24** «Ἀναχωρεῖτε, οὐ γὰρ ἀπέθανεν τὸ κοράσιον ἀλλὰ καθεύδει.» Καὶ κατεγέλων αὐτοῦ. **25** Ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ἐκράτησεν τῆς χειρὸς αὐτῆς, καὶ ἠγέρθη τὸ κοράσιον. **26** Καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην.

Jesus restores sight and speech

27 Καὶ παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ, ἠκολούθησαν αὐτῷ[7] δύο τυφλοί, κράζοντες καὶ λέγοντες, «Ἐλέησον ἡμᾶς, Υἱὸς[8] Δαυίδ.» **28** Ἐλθόντι δὲ εἰς τὴν οἰκίαν, προσῆλθον αὐτῷ οἱ τυφλοί· καὶ λέγει αὐτοῖς,[9] «Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι;» Λέγουσιν αὐτῷ, «Ναί, Κύριε.» **29** Τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, λέγων, «Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν.» **30** Καὶ ἀνεῴχθησαν[10] αὐτῶν οἱ ὀφθαλμοί. Καὶ ἐνεβριμήσατο[11] αὐτοῖς ὁ Ἰησοῦς, λέγων, «Ὁρᾶτε μηδεὶς γινωσκέτω.» **31** Οἱ δὲ ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ.

32 Αὐτῶν δὲ ἐξερχομένων, ἰδού, προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφόν, δαιμονιζόμενον. **33** Καὶ ἐκβληθέντος τοῦ δαιμονίου, ἐλάλησεν ὁ κωφός. Καὶ ἐθαύμασαν οἱ ὄχλοι, λέγοντες ὅτι,[12] «Οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ.» **34** Οἱ δὲ Φαρισαῖοι ἔλεγον, «Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.»

The harvest needs workers

35 Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.[13] **36** Ἰδὼν δὲ τοὺς ὄχλους ἐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι ἦσαν ἐσκυλμένοι[14] καὶ

---

[1] απολουνται **f**[35] C,N,W [80%] RP,HF,OC,CP,TR ¦ απολλυνται **f**[35pt] ℵB [20%] NU ¦ απολλυται D [The verb is the same and both are Indicative; the first is future middle and the second is present passive. In the immediately prior clauses, both εκχεται and ρηγνυνται are present passive and go together; so why the second reference to the wineskins? (Perhaps because the wineskin was more valuable; an old one could be used for water, etc.) In the parallel passages in Mark and Luke the verb is future middle without question. The first form reproduces the archetype, beyond reasonable doubt.]

[2] βαλλουσιν οινον νεον εις ασκους *rell* ¦ ~ 23451 C [3%] OC

[3] αμφοτεροι *rell* ¦ αμφοτερα [5%] TR

[4] τις ελθων **f**[35] [30%] ¦ εις 2 [62%] RP,HF,CP,NU [C,D,N,W etc. have ΕΙΣΕΛΘΩΝ, which could be taken as one word, the verb] ¦ 2 [5%] TR ¦ προσελθων ℵ ¦ εις προσελθων B [2%] OC

[5] επιστραφεις **f**[35] C,W [97%] RP,HF,OC,CP,TR ¦ στραφεις ℵB(D)N [3%] NU

[6] λεγει αυτοις **f**[35] C,W [97%] RP,HF,OC,CP,TR ¦ 1 N ¦ ελεγεν ℵB,D [3%] NU ¦ two other variants

[7] αυτω **f**[35] ℵC,N,W [99.8%] RP,HF,OC,CP,TR[NU] ¦ --- B,D [0.2%]

[8] υιος **f**[35] B,W [70%] HF,NU ¦ υιε ℵC,D,N [30%] RP,OC,CP,TR

[9] αυτοις **f**[35] [20%] ¦ 1 ιησους ℵ ¦ 1 ο ιησους B,C,D,N,W [80%] RP,HF,OC,CP,TR,NU

[10] ανεωχθησαν **f**[35] ℵW [99.5%] RP,HF,OC,CP,TR ¦ ηνεωχθησαν B,D,N [0.5%] NU ¦ ηνοιχθησαν C

[11] ενεβριμησατο **f**[35] C,D,N,W [98.5%] RP,HF,OC,CP,TR ¦ ενεβριμηθη ℵ(B) [1.5%] NU

[12] οτι **f**[35] [25%] OC ¦ --- ℵB,C,D,N,W [75%] RP,HF,CP,TR,NU

[13] εν τω λαω **f**[35] ℵ [90%] RP,HF,OC,TR ¦ --- B,C,D,N,W [10%] CP,NU

[14] εσκυλμενοι **f**[35] ℵB,C,D,W [90%] RP,HF,CP,NU ¦ εκλελυμενοι [10%] OC,TR ¦ --- N

ἐρριμμένοι, ὡς[1] πρόβατα μὴ ἔχοντα ποιμένα. **37** Τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ· «Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι. **38** Δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.»

Jesus commissions and orients the twelve disciples—28 AD

10:1 Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔδωκεν αὐτοῖς ἐξουσίαν[2] πνευμάτων ἀκαθάρτων ὥστε ἐκβάλλειν αὐτά, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. **2** Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά εἰσιν[3] ταῦτα· πρῶτος Σίμων (ὁ λεγόμενος Πέτρος) καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ,[4] Ἰάκωβος (ὁ τοῦ Ζεβεδαίου) καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, **3** Φίλιππος καὶ Βαρθολομαῖος, Θωμᾶς καὶ Ματθαῖος[5] (ὁ τελώνης), Ἰάκωβος (ὁ τοῦ Ἀλφαίου) καὶ Λεββαῖος (ὁ ἐπικληθεὶς[6] Θαδδαῖος), **4** Σίμων (ὁ Κανανίτης)[7] καὶ Ἰούδας[8] Ἰσκαριώτης (ὁ καὶ παραδοὺς αὐτόν).

Orientation with immediate effect

5 Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς λέγων· «Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν[9] μὴ εἰσέλθητε. **6** Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. **7** Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες ὅτι ‹Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν.› **8** Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε,[10] δαιμόνια ἐκβάλλετε. Δωρεὰν ἐλάβετε, δωρεὰν δότε. **9** Μὴ κτήσησθε χρυσὸν μηδὲ ἄργυρον μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, **10** μὴ πήραν εἰς ὁδόν, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα, μηδὲ ῥάβδους·[11] ἄξιος γὰρ[12] ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν.[13]

11 »Εἰς ἣν δ᾽ ἂν πόλιν ἢ κώμην εἰσέλθητε, ἐξετάσατε τίς ἐν αὐτῇ ἄξιός ἐστιν, κἀκεῖ μείνατε ἕως ἂν ἐξέλθητε. **12** Εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν, ἀσπάσασθε αὐτήν·[14] **13** καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω[15] ἡ εἰρήνη ὑμῶν ἐπ᾽ αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω. **14** Καὶ ὃς ἐὰν[16] μὴ δέξηται ὑμᾶς μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι[17] τῆς οἰκίας ἢ τῆς πόλεως ἐκείνης, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν. **15** Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρων[18] ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ.

Orientation with prophetic effect

16 »Ἰδού, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. Γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. **17** Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων, παραδώσουσιν γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς. **18** Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. **19** Ὅταν δὲ παρα-

---

[1] ως **f**[35] C,D,N [50%] OC ¦ ωσει ℵB,W [50%] RP,HF,CP,TR,NU
[2] εξουσιαν *rell* ¦ 1 κατα [25%]
[3] εισιν **f**[35] [30%] OC,CP ¦ εστιν ℵB,C,D,N,W [70%] RP,HF,TR,NU
[4] αυτου **f**[35] ℵ,C,D,N,W [99.8%] RP,HF,OC,CP,TR ¦ 1 και B [0.2%] NU
[5] ματθαιος **f**[35] C,W [99.5%] RP,HF,OC,CP,TR ¦ μαθθαιος B,D,NU ¦ μαθθεος ℵ ¦ ματθεος N ¦ one other spelling
[6] λεββαιος ο επικληθεις **f**[35] N,W (99.4%) RP,HF,OC,CP,TR ¦ 1 (C)(D) ¦ --- ℵB (0.4%) NU
[7] κανανιτης **f**[35] ℵW [98%] RP,HF,OC,CP,TR ¦ καναναιος B,C,N [2%] NU ¦ χαναναιος D
[8] ιουδας **f**[35] (C)N,W [90%] RP,HF,CP,TR ¦ 1 ο ℵB(D) [10%] OC,NU
[9] σαμαρειτων **f**[35] B [95%] RP,HF,OC,CP,TR ¦ σαμαριτων ℵC,N,W [5%] NU ¦ σαμαριτανων D
[10] λεπρους καθαριζετε **f**[35] [94%] RP,HF,CP ¦ 12 νεκρους εγειρετε [2%] OC,TR ¦ νεκρους εγειρετε 12 ℵB,C(D)N [3%] NU ¦ ~ εκβαλλετε νεκρους εγειρετε (W) [1%] (OC in small print)
[11] ραβδους **f**[35] C,N,W [95%] RP,HF,CP ¦ ραβδον ℵB,D [5%] OC,TR,NU
[12] γαρ *rell* ¦ 1 εστιν D [3%] OC
[13] εστιν **f**[35] N,W [96%] RP,HF,CP,TR ¦ --- ℵB,C [3%] OC,NU ¦ ~ γαρ 1 D [1%]
[14] αυτην *rell* ¦ 1 λεγοντες ειρηνη τω οικω τουτω ℵD,W [10%] OC,CP
[15] ελθετω **f**[35] B [94%] RP,HF,OC,TR ¦ ελθατω ℵC,N,W [2%] NU ¦ εισελθετω [4%] CP ¦ εστε D
[16] εαν **f**[35] C [97%] RP,HF,OC,CP,TR ¦ αν ℵB,D,N,W [3%] NU
[17] εξερχομενοι **f**[35] C,N,W [97%] RP,HF,CP,TR ¦ 1 εξω ℵB,D [2%] OC,NU ¦ 1 εκ [1%]
[18] γομορρων *rell* ¦ γομορρας C [10%] OC ¦ γομορων W [1%] ¦ γομορας D ¦ γομμορας N [1%]

διδῶσιν[1] ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσετε,[2] δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε·[3] **20** οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν.

Like master, like slave

21 »Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς. **22** Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. **23** Ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην.[4] Ἀμὴν γὰρ λέγω ὑμῖν, οὐ μὴ τελέσητε τὰς πόλεις τοῦ Ἰσραὴλ ἕως ἂν ἔλθῃ ὁ Υἱὸς τοῦ Ἀνθρώπου. **24** Οὐκ ἔστιν μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. **25** Ἀρκετὸν τῷ μαθητῇ ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ, καὶ ὁ δοῦλος[5] ὡς ὁ κύριος αὐτοῦ. Εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ[6] ἀπεκάλεσαν,[7] πόσῳ μᾶλλον τοὺς οἰκειακοὺς[8] αὐτοῦ; **26** Μὴ οὖν φοβηθῆτε αὐτούς· οὐδὲν γάρ ἐστιν κεκαλυμμένον ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται.

"Do not be afraid"

27 »Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὃ εἰς τὸ οὖς ἀκούετε, κηρύξατε ἐπὶ τῶν δωμάτων. **28** Καὶ μὴ φοβεῖσθε[9] ἀπὸ τῶν ἀποκτενόντων[10] τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. Φοβήθητε[11] δὲ μᾶλλον τὸν δυνάμενον καὶ[12] ψυχὴν καὶ[13] σῶμα ἀπολέσαι ἐν Γεέννῃ. **29** Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; Καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ Πατρὸς ὑμῶν. **30** Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν. **31** Μὴ οὖν φοβηθῆτε·[14] πολλῶν[15] στρουθίων διαφέρετε ὑμεῖς.

Jesus demands total commitment

32 »Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν[16] οὐρανοῖς. **33** Ὅστις δ᾽ ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ[17] ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν[18] οὐρανοῖς.

34 »Μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν. Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἀλλὰ μάχαιραν. **35** Ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς· **36** καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκειακοὶ[19] αὐτοῦ.

37 »Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστιν μου ἄξιος, καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ οὐκ ἔστιν μου ἄξιος· **38** καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω

---

[1] παραδιδωσιν **f**[35] C [94%] RP,HF,CP,TR ¦ παραδωσιν ℵB [2%] NU ¦ παραδωσουσιν D,N,W [3%] OC ¦ παραδωσωσιν [1%]
[2] λαλησετε **f**[35] [30%] OC,CP ¦ λαλησητε ℵB,C,D,N,W [70%] RP,HF,TR,NU ¦ two other variants
[3] λαλησετε **f**[35] N [90%] RP,HF,OC,CP,TR ¦ λαλησητε ℵB,C,W [9%] NU ¦ --- D ¦ two other variants
[4] αλλην **f**[35] C(D)N (97%) RP,HF,OC,CP,TR ¦ ετεραν ℵB,W (2.9%) NU ¦ one other variant
[5] ο δουλος *rell* ¦ τω δουλω [2%] OC
[6] βεελζεβουλ *rell* ¦ βεελζεβουβ CP [Latin] ¦ βεεζεβουλ ℵB ¦ βελζεβουλ D [0.5%]
[7] απεκαλεσαν **f**[35] [30%] CP ¦ επεκαλεσαν B,C,W [20%] HF,NU ¦ εκαλεσαν [49%] RP,OC,TR ¦ επεκαλεσαντο ℵN [1%] ¦ καλουσιν D ¦ one other variant ['to stigmatize' is the appropriate verb here]
[8] οικειακους **f**[35] C,D,W [85%] RP,HF,CP ¦ οικιακους ℵN [15%] OC,TR,NU ¦ οικιακοις B
[9] φοβεισθε **f**[35] ℵC [95%] RP,HF,CP,NU ¦ φοβηθητε B,D,N,W [5%] OC,TR ¦ one other variant
[10] αποκτενοντων **f**[35] N [95%] RP,HF,CP ¦ αποκτεννοντων ℵC,D,W [3%] OC,NU ¦ αποκτεινοντων B [2%] TR
[11] φοβηθητε **f**[35] D,N [99%] RP,HF,OC,CP,TR ¦ φοβεισθε ℵB,C,W [1%] NU
[12] και **f**[35] ℵB,C,D,N [50%] OC,CP,TR,NU ¦ 1 την W [50%] RP,HF
[13] και **f**[35] B,C,D [50%] OC,CP,TR,NU ¦ 1 το ℵW [50%] RP,HF
[14] φοβηθητε **f**[35] C [97%] RP,HF,OC,CP,TR ¦ φοβεισθε ℵB,D,W [3%] NU
[15] πολλω **f**[35] [20%] CP ¦ πολλων ℵB,C,D,W [80%] RP,HF,OC,TR,NU
[16] εν **f**[35] **𝔓**[19]ℵD,W [95%] RP,HF,OC,CP,TR ¦ 1 τοις B,C [5%] [NU]
[17] αυτον καγω **f**[35] C [95%] RP,HF,OC,CP,TR ¦ ~ 21 **𝔓**[19vv]ℵB,D,W [5%] NU
[18] εν **f**[35] **𝔓**[19]ℵ,C,D,W [98%] RP,HF,OC,CP,TR ¦ 1 τοις B [2%] [NU]
[19] οικειακοι **f**[35] B [85%] RP,HF,CP ¦ οικιακοι ℵ [15%] OC,TR,NU

μου οὐκ ἔστιν μου ἄξιος. **39** Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν.

40 »Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται, καὶ ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά με. **41** Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου μισθὸν προφήτου λήψεται,[1] καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου μισθὸν δικαίου λήψεται. **42** Καὶ ὃς ἐὰν[2] ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον, εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.»

The Pharisees reject Jesus as Messiah

11:1 Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα μαθηταῖς αὐτοῦ, μετέβη ἐκεῖθεν τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν.

John needs reassuring

2 Ὁ δὲ Ἰωάννης, ἀκούσας ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Χριστοῦ, πέμψας δύο[3] τῶν μαθητῶν αὐτοῦ **3** εἶπεν αὐτῷ, «Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν;» **4** Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· «Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε· **5** τυφλοὶ ἀναβλέπουσιν καὶ χωλοὶ περιπατοῦσιν, λεπροὶ καθαρίζονται καὶ κωφοὶ ἀκούουσιν,[4] νεκροὶ ἐγείρονται καὶ πτωχοὶ εὐαγγελίζονται. **6** Καί, μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί.»

Jesus eulogizes John the Baptizer

7 Τούτων δὲ πορευομένων, ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου· «Τί ἐξήλθετε[5] εἰς τὴν ἔρημον θεάσασθαι, κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; **8** Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν, ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις[6] ἠμφιεσμένον; Ἰδού, οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλείων[7] εἰσίν. **9** Ἀλλὰ τί ἐξήλθετε[8] ἰδεῖν, προφήτην; Ναί, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. **10** Οὗτος γάρ[9] ἐστιν περὶ οὗ γέγραπται· ‹Ἰδού, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.› **11** Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν. **12** Ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ Βαπτιστοῦ ἕως ἄρτι ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. **13** Πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου προεφήτευσαν·[10] **14** καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. **15** Ὁ ἔχων ὦτα ἀκούειν[11] ἀκουέτω.

16 »Τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην; Ὁμοία ἐστὶν παιδίοις[12] ἐν ἀγορᾷ καθημένοις,[13]καὶ προσφωνοῦσιν[14] τοῖς ἑταίροις[15] αὐτῶν[16] **17** καὶ[17] λέγουσιν, ‹Ηὐλήσαμεν ὑμῖν καὶ οὐκ ὠρχήσασθε·[18] ἐθρηνήσαμεν ὑμῖν[19] καὶ οὐκ ἐκόψασθε.› **18** Ἦλθεν γὰρ Ἰωάννης μήτε ἐσθίων μήτε

---

[1] ληψεται **f**[35] [99%] RP,HF,OC,CP,TR ¦ λημψεται 𝔓[19]ℵB,C(D)W [1%] NU (twice)
[2] εαν **f**[35] ℵ,C,W [98%] RP,HF,OC,CP,TR ¦ αν B,D [2%] NU
[3] δυο **f**[35] [97%] RP,HF,OC,CP,TR ¦ δια ℵB,C,D,W [3%] NU
[4] ακουουσιν **f**[35] C,N (95.2%) RP,HF,OC,CP,TR ¦ 1 και ℵB,D,W (4.1%) NU ¦ long omissions (0.7%)
[5] εξηλθετε **f**[35] [96%] RP,HF,OC,CP,TR ¦ εξηλθατε ℵB,C,D,N,W [3.5%] NU ¦ εξεληλυθατε [0.5%] (also verse 8)
[6] ιματιοις **f**[35] C,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU
[7] βασιλειων **f**[35] N (63.1%) RP,HF,CP ¦ βασιλεων (ℵB)C,D,W (36.5%) OC,TR,NU ¦ long omission (0.3%)
[8] εξηλθετε **f**[35] [97%] RP,HF,OC,CP,TR ¦ εξηλθατε ℵB,C,D,N [2.5%] NU ¦ εξεληλυθατε W [0.5%]
[9] γαρ **f**[35] C,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU
[10] προεφητευσαν **f**[35] N,W [98%] RP,HF,OC,CP,TR ¦ επροφητευσαν ℵB,C,D [2%] NU
[11] ακουειν **f**[35] ℵ,C,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- B,D [0.5%] NU
[12] παιδιοις *rell* ¦ παιδαριοις [5%] TR
[13] εν αγορα καθημενοις **f**[35] [50%] CP ¦ 1 αγοραις 3 [45%] RP,HF,TR ¦ ~ 31 αγοραις C,N,W [4%] OC ¦ ~ 31 ταις αγοραις ℵB [1%] NU ¦ ~ 31 τη αγορα D
[14] και προσφωνουσιν **f**[35] N,W [97%] RP,HF,CP,TR ¦ α 2 C ¦ α προσφωνουντα ℵB,D [3%] OC,NU
[15] εταιροις **f**[35] [65%] RP,OC,CP,TR ¦ ετεροις ℵB,C,D,N,W [35%] HF,NU
[16] αυτων **f**[35] C,N,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1%] NU
[17] και **f**[35] C,N,W [98%] RP,HF,CP,TR ¦ --- ℵB,D [2%] OC,NU
[18] ωρχησασθε *rell* ¦ ορχησασθε [2%] CP
[19] υμιν **f**[35] C,N,W (97.4%) RP,HF,OC,CP,TR ¦ ημιν (0.5%) ¦ --- ℵB,D (1.4%) NU ¦ long omissions (0.7%)

πίνων, καὶ λέγουσιν, ‹Δαιμόνιον ἔχει›· **19** ἦλθεν ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν, ‹Ἰδού, ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν.› Καί, ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων[1] αὐτῆς.»

Jesus denounces three cities

20 Τότε ἤρξατο ὁ Ἰησοῦς[2] ὀνειδίζειν τὰς πόλεις ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν. **21** «Οὐαί σοι, Χωραζίν,[3] οὐαί σοι, Βηθσαϊδά·[4] ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο[5] αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ[6] μετενόησαν. **22** Πλὴν λέγω ὑμῖν, Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ ὑμῖν. **23** Καὶ σύ, Καπερναούμ,[7] ἡ[8] ‹ἕως τοῦ[9] οὐρανοῦ ὑψωθῇς,[10]› ἕως Ἅδου[11] καταβιβασθήσῃ· [12] ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο[13] αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοί, ἔμειναν[14] ἂν μέχρι τῆς σήμερον. **24** Πλὴν λέγω ὑμῖν ὅτι γῇ Σοδόμων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ σοί.»

“I praise you, Father”

25 Ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν· «Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας[15] ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. **26** Ναί, ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία[16] ἔμπροσθέν σου.

27 »Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. **28** Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. **29** Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρ�ΰς[17] εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· **30** ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.»

Jesus is Lord of the Sabbath

12:1 Ἐν ἐκείνῳ τῷ καιρῷ ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασιν διὰ τῶν σπορίμων. Οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν, καὶ ἤρξαντο τίλλειν στάχυας καὶ ἐσθίειν. **2** Οἱ δὲ Φαρισαῖοι ἰδόντες εἶπον[18] αὐτῷ, «Ἰδού, οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστιν ποιεῖν ἐν σαββάτῳ.» **3** Ὁ δὲ εἶπεν αὐτοῖς· «Οὐκ ἀνέγνωτε τί ἐποίησεν Δαυὶδ ὅτε ἐπείνασεν, αὐτὸς[19] καὶ οἱ μετ᾽ αὐτοῦ, **4** πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν,[20] οὓς[21] οὐκ ἐξὸν ἦν

---

[1] τεκνων **f**[35] C,D,N (99.4%) RP,HF,OC,CP,TR ¦ εργων ℵB,W (0.5%) NU ¦ long omission (0.1%)
[2] ο ιησους **f**[35] C,N,W [35%] ¦ --- ℵB,D [65%] RP,HF,OC,CP,TR,NU
[3] χωραζιν **f**[35] [20%] CP ¦ χοραζιν N [65%] RP,HF,OC,TR,NU ¦ χοραζειν ℵB,C,W [5%] ¦ χωραζειν [5%] ¦ χοραζην [2%] ¦ χοραζαιν D ¦ three other variants
[4] βηθσαιδα **f**[35] C(D)N [85%] RP,HF,OC,CP,NU ¦ βηθσαιδαν B,W [14%] TR ¦ βηδσαιδαν ℵ [1%] ¦ two other spellings
[5] εγενοντο *rell* ¦ εγενηθησαν [2%] OC
[6] σποδω *rell* ¦ 1 καθημεναι [10%] OC ¦ 1 καθημενοι ℵC [3%]
[7] καπερναουμ **f**[35] C,N,W [99%] RP,HF,OC,CP,TR ¦ καφαρναουμ ℵB,D [1%] NU
[8] ἡ **f**[35] [35%] ¦ ἡ N [64%] RP,HF,OC,CP,TR ¦ μη ℵB,C,D,W [1%] NU
[9] του **f**[35] C,N [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D,W [1%] NU
[10] υψωθης **f**[35] [35%] ¦ υψωθεισα N [63%] RP,HF,OC,CP,TR ¦ υψωθηση ℵB,C,D,W [1%] NU ¦ two other spellings
[11] αδου *rell* ¦ αιδου HF (And so wherever the word occurs.)
[12] καταβιβασθηση **f**[35] ℵ,C,N (98.5%) RP,HF,OC,CP,TR ¦ καταβηση B,D,W (0.4%) NU ¦ καταβληθηση (0.6%) ¦ κατενεχθηση (0.3%) ¦ long omissions (0.2%)
[13] εγενοντο **f**[35] N,W [99%] RP,HF,CP,TR ¦ εγενηθησαν ℵB,C,D [1%] OC,NU
[14] εμειναν **f**[35] D [97.5%] RP,HF,OC,CP,TR ¦ εμεινεν ℵB,C [1%] NU ¦ εμεινον W [1%] ¦ εμενεν N ¦ one other variant
[15] απεκρυψας **f**[35] C,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ εκρυψας ℵB,D [0.5%] NU ¦ εγρυψας 𝔓[62]
[16] εγενετο ευδοκια **f**[35] C,D,N [98.5%] RP,HF,OC,CP,TR ¦ ~ 21 𝔓[62]ℵB,W [1.5%] NU
[17] πραος **f**[35] N,W [99.5%] RP,HF,OC,CP,TR ¦ πραυς 𝔓[62]ℵB,C,D [0.5%] NU πραος **f**[35] N,W [99.5%] RP,HF,OC,CP,TR ¦ πραυς 𝔓[62]ℵB,C,D [0.5%] NU
[18] ειπον **f**[35] D,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ ειπαν ℵB,C [0.5%] NU
[19] αυτος **f**[35] [90%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,D,N,W [10%] NU
[20] εφαγεν **f**[35] C,D,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ εφαγον ℵB [0.5%] NU
[21] ους **f**[35] ℵC,N [99%] RP,HF,OC,CP,TR ¦ ο B,D,W [1%] NU

αὐτῷ φαγεῖν, οὐδὲ τοῖς μετ᾽ αὐτοῦ, εἰ μὴ τοῖς ἱερεῦσιν μόνοις;[1] **5** Ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦσιν καὶ ἀναίτιοί εἰσιν; **6** Λέγω δὲ ὑμῖν ὅτι τοῦ ἱεροῦ μεῖζόν[2] ἐστιν ὧδε.**7** Εἰ δὲ ἐγνώκειτε τί ἐστιν, ‹Ἔλεον[3] θέλω καὶ οὐ θυσίαν,› οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους. **8** Κύριος γάρ ἐστιν[4] τοῦ σαββάτου ὁ Υἱὸς τοῦ Ἀνθρώπου.»[5]

Jesus heals on the Sabbath

9 Καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν εἰς τὴν συναγωγὴν αὐτῶν. **10** Καὶ ἰδού, ἄνθρωπος ἦν[6] τὴν[7] χεῖρα ἔχων ξηράν. Καὶ ἐπηρώτησαν αὐτόν, λέγοντες, «Εἰ ἔξεστιν τοῖς σάββασιν θεραπεύειν;»[8]— ἵνα κατηγορήσωσιν αὐτοῦ. **11** Ὁ δὲ εἶπεν αὐτοῖς· «Τίς ἔσται ἐξ ὑμῶν ἄνθρωπος ὃς ἕξει πρόβατον ἕν, καὶ ἐὰν ἐμπέσῃ τοῦτο τοῖς σάββασιν εἰς βόθυνον, οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγερεῖ; **12** Πόσῳ οὖν διαφέρει ἄνθρωπος προβάτου. Ὥστε ἔξεστιν τοῖς σάββασιν καλῶς ποιεῖν.» **13** Τότε λέγει τῷ ἀνθρώπῳ,[9] «Ἔκτεινον τὴν χεῖρα σου.»[10] Καὶ ἐξέτεινεν, καὶ ἀποκατεστάθη[11] ὑγιὴς ὡς ἡ ἄλλη. **14** Οἱ δὲ Φαρισαῖοι συμβούλιον ἔλαβον κατ᾽ αὐτοῦ ἐξελθόντες,[12] ὅπως αὐτὸν ἀπολέσωσιν.[13]

A tactical withdrawal

15 Ὁ δὲ Ἰησοῦς γνοὺς ἀνεχώρησεν ἐκεῖθεν. Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί,[14] καὶ ἐθεράπευσεν αὐτοὺς ἁπάντας.[15] **16** Καὶ ἐπετίμησεν αὐτοῖς ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν,[16] **17** ὅπως[17] πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος· **18** «Ἰδού, ὁ παῖς μου ὃν ᾑρέτισα, ὁ ἀγαπητός μου εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου. Θήσω τὸ Πνεῦμά μου ἐπ᾽ αὐτόν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ. **19** Οὐκ ἐρίσει οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. **20** Κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν. **21** Καὶ[18] τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν.»

The Pharisees blaspheme the Holy Spirit

22 Τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος, τυφλὸς καὶ κωφός, καὶ ἐθεράπευσεν αὐτόν, ὥστε τὸν τυφλὸν καὶ κωφὸν[19,20] λαλεῖν καὶ βλέπειν. **23** Καὶ ἐξίσταντο πάντες οἱ ὄχλοι καὶ ἔλεγον, «Μήτι οὗτός ἐστιν ὁ Χριστός,[21] ὁ Υἱὸ Δαυίδ;» **24** Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες εἶπον, «Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια εἰ μὴ ἐν[22] Βεελζεβούλ, ἄρχοντι τῶν δαιμονίων.» **25** Εἰδὼς δὲ ὁ Ἰησοῦς[23] τὰς ἐνθυμήσεις αὐτῶν εἶπεν αὐτοῖς· «Πᾶσα βασιλεία μερισθεῖσα καθ᾽ ἑαυτῆς[24] ἐρημοῦται, καὶ

---

[1] τοις ιερευσιν μονοις *rell* ¦ ~ 312 [1%] OC
[2] μειζον *rell* ¦ μειζων N [10%] TR ¦ μειζοων C
[3] ελεον **f**[35] W [98.5%] RP,HF,OC,CP,TR ¦ ελεος ℵB,C,D,N [1.5%] NU
[4] εστιν *rell* ¦ 1 και [10%] TR
[5] του σαββατου ο υιος του ανθρωπου *rell* ¦ ~ 3456 και 12 OC
[6] ην **f**[35] [80%] RP,HF,CP,TR ¦ --- ℵB,C,W [0.5%] NU ¦ 1 εκει D,N [20%] OC
[7] την **f**[35] D [97%] RP,HF,OC,CP,TR ¦ ~ εχων 1 N [2%] ¦ --- ℵB,C,W [1%] NU
[8] θεραπευειν **f**[35] B,C,N [99.5%] RP,HF,OC,CP,TR ¦ θεραπευσαι ℵD,W [0.5%] NU
[9] ανθρωπω *rell* ¦ 1 τω εξηραμμενην εχοντι την χειρα [5%] CP
[10] την χειρα σου **f**[35] C,D,W [96%] RP,HF,CP,TR ¦ ~ 312 ℵB,N [4%] OC,NU
[11] αποκατεσταθη **f**[35] D [78%] RP,HF,OC,TR ¦ απεκατεσταθη ℵB,C,N,W [20%] CP,NU ¦ απεκατεστη [1%] ¦ one other variant
[12] οι δε φαρισαιοι συμβουλιον ελαβον κατ αυτου εξελθοντες **f**[35] N,W [95%] RP,HF,CP,TR ¦ ~ 12384567 [3%] ¦ ~ 82134567 (ℵ)B,C [1.5%] OC,NU ¦ ~ 8 και 134567 D [0.5%]
[13] απολεσωσιν *rell* ¦ απωλεσωσιν CP
[14] οχλοι πολλοι **f**[35] C,D,W (97.3%) RP,HF,OC,CP,TR[NU] ¦ ~ 21 (1.9%) ¦ 1 N (0.5%) ¦ 2 ℵB (0.3%)
[15] απαντας **f**[35] [20%] ¦ παντας ℵB,C,N(D,W) [80%] RP,HF,OC,CP,TR,NU
[16] αυτον ποιησωσιν *rell* ¦ ~ 21 OC
[17] οπως **f**[35] N,W [98%] RP,HF,OC,CP,TR ¦ ινα ℵB,C,D [2%] NU
[18] και *rell* ¦ 1 εν D [5%] TR ¦ 1 επι W
[19] τον τυφλον και κωφον **f**[35] C,N [96%] RP,HF,OC,CP,TR ¦ ~ 1432 W [3%] ¦ 14 ℵB,D [1%] NU
[20] κωφον **f**[35] ℵB,D,W [25%] NU ¦ 1 και C,N [75%] RP,HF,OC,CP,TR
[21] ο χριστος **f**[35] [20%] OC,CP ¦ --- ℵB,C,D,N,W [80%] RP,HF,TR,NU
[22] εν **f**[35] [25%] ¦ 1 τω ℵB,C,D,N,W [75%] RP,HF,OC,CP,TR,NU
[23] ο ιησους **f**[35] C,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU
[24] εαυτης *rell* ¦ εαυτην D [5%] OC (2x)

πᾶσα πόλις ἢ οἰκία μερισθεῖσα καθ᾽ ἑαυτῆς οὐ σταθήσεται. **26** Καὶ εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, ἐφ᾽ ἑαυτὸν ἐμερίσθη. Πῶς οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ; **27** Καὶ εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσιν;[1] Διὰ τοῦτο αὐτοὶ ὑμῶν ἔσονται κριταί.[2] **28** Εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ[3] ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. **29** Ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι,[4] ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν; Καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσῃ.[5]

The unforgivable sin

30 »Ὁ μὴ ὢν μετ᾽ ἐμοῦ κατ᾽ ἐμοῦ ἐστιν, καὶ ὁ μὴ συνάγων μετ᾽ ἐμοῦ σκορπίζει. **31** Διὰ τοῦτο λέγω ὑμῖν, πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις.[6] **32** Καὶ ὃς ἐὰν[7] εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ Ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ᾽ ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ Ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν[8] αἰῶνι οὔτε ἐν τῷ μέλλοντι.

Jesus denounces the Pharisees

33 »Ἢ ποιήσατε τὸ δένδρον καλὸν καὶ τὸν καρπὸν αὐτοῦ καλόν, ἢ ποιήσατε τὸ δένδρον σαπρὸν καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. **34** Γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν, πονηροὶ ὄντες; Ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ. **35** Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ[9] ἐκβάλλει[10] ἀγαθά, καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει[11] πονηρά. **36** Λέγω δὲ ὑμῖν ὅτι πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν[12] λαλήσωσιν[13] οἱ ἄνθρωποι, ἀποδώσουσιν περὶ[14] αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως. **37** Ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ.»

The sign of the prophet Jonah

38 Τότε ἀπεκρίθησάν[15] τινες τῶν γραμματέων καὶ Φαρισαίων, λέγοντες, «Διδάσκαλε,θέλομεν[16] ἀπὸ σοῦ σημεῖον ἰδεῖν.» **39** Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· «Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. **40** Ὥσπερ γὰρ ἦν[17] Ἰωνᾶς[18] ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται[19] ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. **41** Ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινοῦσιν αὐτήν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, καὶ ἰδού, πλεῖον Ἰωνᾶ ὧδε. **42** Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινεῖ αὐτήν, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος,[20] καὶ ἰδού, πλεῖον Σολομῶνος ὧδε.

---

[1] εκβαλλουσιν *rell* ¦ εκβαλουσιν N [3%] OC
[2] υμων εσονται κριται **f**[35] C,N [97%] RP,HF,CP,TR ¦ ~ 321 ℵB,D [1%] OC,NU ¦ ~ 312 [1%] ¦ ~ 32 αυτοι 1 W ¦ three other variants
[3] εγω εν πνευματι θεου **f**[35] [28%] OC,TR ¦ ~ 2341 ℵB,C,D,W [70%] RP,HF,CP,NU ¦ 234 [2%] ¦ ~ 2 δακτυλω 41 N
[4] διαρπασαι **f**[35] ℵD [98%] RP,HF,CP,TR ¦ αρπασαι B,C,N,W [2%] OC,NU
[5] διαρπαση **f**[35] ℵD,W [40%] ¦ διαρπασει B,C,N [60%] RP,HF,OC,CP,TR,NU
[6] τοις ανθρωποις **f**[35] C,D,N,W [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB [2%] NU
[7] εαν *rell* ¦ αν **!** [21]D [10%] TR
[8] τω νυν **f**[35] [90%] RP,HF,OC,CP ¦ τουτω 1 ℵB,C,D,N,W [5%] TR,NU ¦ ~ 1 αιωνι τουτω [5%]
[9] θησαυρου *rell* ¦ 1 της καρδιας [5%] TR
[10] εκβαλλει **f**[35] B,D,W [85%] RP,HF,OC,CP,NU ¦ 1 τα ℵC,N [14%] TR ¦ 1 το [1%]
[11] εκβαλλει *rell* ¦ 1 τα N [10%] CP
[12] εαν **f**[35] C,N,W (99.2%) RP,HF,OC,CP,TR ¦ αν (0.4%) ¦ --- ℵB,D (0.4%) NU
[13] λαλησωσιν **f**[35] N,W (97.3%) RP,HF,OC,CP,TR ¦ λαλησουσιν ℵB,C (2.2%) NU ¦ seven other variants D (0.4%)
[14] περι *rell* ¦ υπερ CP
[15] απεκριθησαν **f**[35] N,W [95%] RP,HF,OC,CP,TR ¦ 1 αυτω ℵB,C,D [5%] NU
[16] θελομεν *rell* ¦ θελωμεν [2%] CP
[17] ην *rell* ¦ εγενετο [2%] OC ¦ --- D
[18] ιωνας *rell* ¦ 1 ο προφητης [1%] OC
[19] εσται **f**[35] ℵB,C [65%] RP,HF,CP,TR,NU ¦ 1 και D,W [35%] OC
[20] σολομωνος *rell* ¦ σολομωντος C [10%] TR (both times; C only the first)

An empty ‘house’ is bad

43 »Ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι᾽ ἀνύδρων τόπων
ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει. **44** Τότε λέγει, ‹Ἐπιστρέψω[1] εἰς τὸν οἶκόν μου[2] ὅθεν
ἐξῆλθον.› Καὶ ἐλθὸν εὑρίσκει σχολάζοντα,[3] σεσαρωμένον, καὶ κεκοσμημένον. **45** Τότε πορεύεται
καὶ παραλαμβάνει μεθ᾽ ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα, πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοι-
κεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. Οὕτως ἔσται καὶ τῇ
γενεᾷ ταύτῃ τῇ πονηρᾷ.»[4]

New relationships

46 Ἔτι δὲ[5] αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις, ἰδού, ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἱστήκεισαν
ἔξω, ζητοῦντες αὐτῷ λαλῆσαι.[6] **47** Εἶπεν δέ τις αὐτῷ, «Ἰδού, ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω
ἑστήκασιν,[7] ζητοῦντές σοι λαλῆσαι.»[8,9] **48** Ὁ δὲ ἀποκριθεὶς εἶπεν τῷ εἰπόντι[10] αὐτῷ, «Τίς ἐστιν ἡ
μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου;» **49** Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς
αὐτοῦ εἶπεν·[11] «Ἰδού, ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου. **50** Ὅστις γὰρ ἂν ποιήσῃ[12] τὸ θέλημα τοῦ
Πατρός μου τοῦ ἐν οὐρανοῖς, αὐτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν.»

Parables of the Kingdom

13:1 Ἐν δὲ[13] τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς ἀπὸ[14] τῆς οἰκίας ἐκάθητο παρὰ τὴν θάλασσαν.
2 Καὶ συνήχθησαν πρὸς αὐτὸν ὄχλοι πολλοί, ὥστε αὐτὸν εἰς[15] πλοῖον ἐμβάντα καθῆσθαι, καὶ
πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει.

Parable of the soils

3 Καὶ ἐλάλησεν αὐτοῖς ἐν παραβολαῖς πολλὰ[16] λέγων· «Ἰδού, ἐξῆλθεν ὁ σπείρων τοῦ
σπεῖραι.[17] **4** Καὶ ἐν τῷ σπείρειν αὐτόν, ἃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν· καὶ ἦλθεν τὰ πετεινὰ καὶ[18]
κατέφαγεν αὐτά. **5** Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ εἶχεν γῆν πολλήν· καὶ εὐθέως
ἐξανέτειλεν διὰ τὸ μὴ ἔχειν βάθος γῆς. **6** Ἡλίου δὲ ἀνατείλαντος, ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ
ἔχειν ῥίζαν ἐξηράνθη. **7** Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι καὶ
ἀπέπνιξαν[19] αὐτά. **8** Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλὴν καὶ ἐδίδου καρπόν· ὃ μὲν ἑκατόν, ὃ
δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα. **9** Ὁ ἔχων ὦτα ἀκούειν,[20] ἀκουέτω.»

The reason for parables

10 Καὶ προσελθόντες οἱ μαθηταὶ εἶπον[21] αὐτῷ, «Διὰ τί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς;» **11** Ὁ
δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς ὅτι «Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν,

---

[1] επιστρεψω *rell* ¦ υποστρεψω [10%] CP
[2] επιστρεψω εις τον οικον μου **f**[35] C,W [99%] RP,HF,CP,TR ¦ ~ 23451 ℵB,D [1%] OC,NU
[3] σχολαζοντα *rell* ¦ 1 και ℵC [4%] OC
[4] ταυτη τη πονηρα *rell* ¦ ~ 231 [2%] OC
[5] δε **f**[35] C(D)W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB [1%] NU
[6] αυτω λαλησαι *rell* ¦ ~ 21 D [5%] OC
[7] εξω εστηκασιν *rell* ¦ ~ 21 OC
[8] σοι λαλησαι *rell* ¦ σε ιδειν OC
[9] the whole verse **f**[35] C(D)W [99%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB [1%]
[10] ειποντι **f**[35] C [98.5%] RP,HF,CP,TR ¦ λεγοντι ℵB,D [1.5%] OC,NU ¦ --- W
[11] ειπεν *rell* ¦ εφη [1%] OC
[12] ποιηση *rell* ¦ ποιησει [5%] CP ¦ ποιη C [0.5%] ¦ ποιει D
[13] δε **f**[35] C,D,W [98.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB [1.5%] NU
[14] απο **f**[35] C,W (97.7%) RP,HF,CP,TR ¦ εκ ℵ (0.5%) ¦ --- B (1.5%) OC,NU ¦ three other variants D (0.3%)
[15] εις **f**[35] ℵB,C,W [30%] OC,NU ¦ 1 το D [70%] RP,HF,CP,TR
[16] εν παραβολαις πολλα **f**[35] C [25%] ¦ ~ 312 ℵB,D,W [75%] RP,HF,OC,CP, TR,NU
[17] σπειραι **f**[35] ℵD,W [60%] OC,CP ¦ σπειρειν B,C [40%] RP,HF,TR,NU
[18] ηλθεν τα πετεινα και **f**[35] ℵ,C(D)W [98%] RP,HF,CP,TR ¦ ελθοντα 23 B [2%] OC,NU
[19] απεπνιξαν **f**[35] B,C,N,W [98%] RP,HF,OC,CP,TR ¦ επνιζαν ℵD [2%] NU ¦ one other variant
[20] ακουειν **f**[35] C,D,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB [0.5%] NU
[21] ειπον *rell* ¦ ειπαν ℵB [0.5%] NU

ἐκείνοις δὲ οὐ δέδοται. **12** Ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ καὶ περισσευθήσεται· ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽ αὐτοῦ. **13** Διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσιν καὶ ἀκούοντες οὐκ ἀκούουσιν οὐδὲ συνιοῦσιν. **14** Καὶ ἀναπληροῦται[1] αὐτοῖς[2] ἡ προφητεία Ἡσαΐου ἡ λέγουσα· ‹Ἀκοῇ ἀκούσετε[3] καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε[4] καὶ οὐ μὴ ἴδητε. **15** Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν· μήποτε ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσιν καὶ τῇ καρδίᾳ συνῶσιν, καὶ ἐπιστρέψωσιν·[5] καὶ ἰάσωμαι[6] αὐτούς.› **16** Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ ὅτι βλέπουσιν, καὶ τὰ ὦτα ὑμῶν ὅτι ἀκούει·[7] **17** ἀμὴν γὰρ λέγω ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε καὶ οὐκ εἶδον,[8] καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν.

Parable of the soils explained

18 »Ὑμεῖς οὖν ἀκούσατε τὴν παραβολὴν τοῦ σπείροντος·[9] **19** Παντὸς ἀκούοντος τὸν λόγον τῆς βασιλείας καὶ μὴ συνιέντος, ἔρχεται ὁ πονηρὸς καὶ ἁρπάζει[10] τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ—οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς. **20** Ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρείς—οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ εὐθὺς[11] μετὰ χαρᾶς[12] λαμβάνων αὐτόν· **21** οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ ἀλλὰ πρόσκαιρός ἐστιν. Γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθὺς σκανδαλίζεται. **22** Ὁ δὲ εἰς τὰς ἀκάνθας σπαρείς—οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ ἡ μέριμνα τοῦ αἰῶνος τούτου[13] καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται. **23** Ὁ δὲ ἐπὶ τὴν γῆν τὴν καλὴν[14] σπαρείς—οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ συνιῶν,[15] ὃς δὴ καρποφορεῖ καὶ ποιεῖ· ὁ μὲν ἑκατόν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα.»

Wheat and tares

24 Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων· «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείραντι[16] καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ· **25** ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς καὶ ἔσπειρεν[17] ζιζάνια ἀνὰ μέσον τοῦ σίτου καὶ ἀπῆλθεν. **26** Ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος καὶ καρπὸν ἐποίησεν, τότε ἐφάνη καὶ τὰ ζιζάνια. **27** Προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου εἶπον αὐτῷ, ‹Κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ; Πόθεν οὖν ἔχει[18] ζιζάνια;› **28** Ὁ δὲ ἔφη αὐτοῖς, ‹Ἐχθρὸς ἄνθρωπος τοῦτο ἐποίησεν.› Οἱ δὲ δοῦλοι εἶπον αὐτῷ,[19] ‹Θέλεις οὖν ἀπελθόντες συλλέξομεν[20] αὐτά;› **29** Ὁ δὲ ἔφη·[21] ‹Οὔ, μήποτε συλλέγοντες τὰ ζιζάνια ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον. **30** Ἄφετε συναυξάνεσθαι ἀμφότερα μέχρι[22] τοῦ θερισμοῦ, καὶ

---

[1] οτι βλεποντες ου βλεπουσιν και ακουοντες ουκ ακουουσιν ουδε συνιουσιν και αναπληρουται *rell* ¦ ινα βλεποντες μη βλεπωσιν και ακουοντες μη ακουωσι μηδε συνωσι μηποτε επιστρεψωσι και τοτε πληρωθησεται OC

[2] αυτοις *rell* ¦ επ 1 D [5%] TR

[3] ακουσετε **f**[35] ℵC [80%] RP,HF,OC,CP,TR,NU ¦ ακουσητε N,W [20%] ¦ ακουσατε B ¦ ακουσεται D

[4] βλεψετε **f**[35] B,C [90%] RP,HF,OC,CP,TR,NU ¦ βλεψητε ℵN [10%] ¦ βλεψεται D ¦ βλεψηται W

[5] επιστρεψωσιν *rell* ¦ επιστρεψουσιν N,W [10%]

[6] ιασωμαι **f**[35] [50%] TR ¦ ιασομαι ℵB,C,D,N,W [50%] RP,HF,OC,CP,NU

[7] ακουει **f**[35] W [93%] RP,HF,CP,TR ¦ ακουουσιν ℵB,C,D,N [7%] OC,NU

[8] ειδον **f**[35] C,W [99%] RP,HF,OC,CP,TR ¦ ιδον [0.5%] ¦ ιδαν ℵN [0.5%] ¦ ειδαν B,NU ¦ ηδυνηθησαν ειδειν D

[9] σπειροντος **f**[35] C,D,N [98%] RP,HF,CP,TR ¦ σπειραντος ℵB,W [2%] OC,NU

[10] αρπαζει *rell* ¦ αιρει [2%] OC

[11] ευθυς *rell* ¦ ευθεως [4%] OC

[12] χαρας *rell* ¦ 1 δεχομενος και OC (small print)

[13] τουτου **f**[35] C,N,W [99.8%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D,NU

[14] γην την καλην **f**[35] D,W [95%] RP,HF,OC,CP,TR ¦ ~ 31 ℵB,C,N [5%] NU ¦ two other variants

[15] συνιων **f**[35] C,N,W [99%] RP,HF,OC,CP,TR ¦ συνιεις ℵB,D [1%] NU

[16] σπειραντι **f**[35] ℵB,N,W [30%] OC,CP,NU ¦ σπειροντι C,D [70%] RP,HF,TR

[17] εσπειρεν **f**[35] C,D,W [98%] RP,HF,OC,CP,TR ¦ επεσπειρεν B,N [2%] NU ¦ επεσπαρκεν ℵ

[18] εχει **f**[35] B,C,D,N,W [95%] RP,HF,OC,CP,NU ¦ 1 τα ℵ [5%] TR

[19] ειπον αυτω **f**[35] (N)W [98.5%] RP,HF,OC,CP,TR ¦ λεγουσιν 2 ℵ(D) [1%] NU ¦ ~ 2 λεγουσιν B,C [0.5%]

[20] συλλεξομεν **f**[35] [80%] RP,HF,CP ¦ συλλεξωμεν ℵB,C,N [20%] OC,TR,NU ¦ συνλεξωμεν D,W

[21] εφη **f**[35] N,W [98.5%] RP,HF,OC,CP,TR ¦ φησιν ℵB,C [1%] NU ¦ λεγει D [0.5%]

[22] μεχρι **f**[35] C,N [98.5%] RP,HF,OC,CP,TR ¦ αχρι ℵ ¦ εως B,D [1%] NU ¦ μεχρις W

ἐν[1] καιρῷ τοῦ θερισμοῦ ἐρῶ τοῖς θερισταῖς, «Συλλέξατε πρῶτον τὰ ζιζάνια καὶ δήσατε αὐτὰ εἰς δέσμας πρὸς τὸ κατακαῦσαι αὐτά, τὸν δὲ σῖτον συναγάγετε εἰς τὴν ἀποθήκην μου.» › »

Mustard seed

31 Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων· «Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἀγρῷ αὐτοῦ· **32** ὃ μικρότερον μέν ἐστιν πάντων τῶν σπερμάτων, ὅταν δὲ αὐξηθῇ μεῖζον πάντων[2] τῶν λαχάνων ἐστὶν καὶ γίνεται δένδρον, ὥστε ἐλθεῖν[3] τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ.»

Yeast

33 Ἄλλην παραβολὴν ἐλάλησεν αὐτοῖς· «Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἔκρυψεν[4] εἰς ἀλεύρου σάτα τρία ἕως οὗ ἐζυμώθη ὅλον.»

34 Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις, καὶ χωρὶς παραβολῆς οὐκ[5] ἐλάλει αὐτοῖς, **35** ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου, λέγοντος· «Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου· ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου.»[6]

"Wheat and tares" explained

36 Τότε ἀφεὶς τοὺς ὄχλους ἦλθεν εἰς τὴν οἰκίαν ὁ Ἰησοῦς.[7] Καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες, «Φράσον[8] ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ.» **37** Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς·[9] «Ὁ σπείρων τὸ καλὸν σπέρμα ἐστὶν ὁ Υἱὸς τοῦ Ἀνθρώπου. **38** Ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος· τὸ δὲ καλὸν σπέρμα, οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας· τὰ δὲ ζιζάνιά εἰσιν οἱ υἱοὶ τοῦ πονηροῦ. **39** Ὁ δὲ ἐχθρὸς ὁ σπείρας αὐτά ἐστιν ὁ διάβολος· ὁ δὲ θερισμὸς συντέλεια τοῦ[10] αἰῶνός ἐστιν, οἱ δὲ θερισταὶ ἄγγελοί εἰσιν. **40** Ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια καὶ πυρὶ καίεται,[11] οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου.[12] **41** Ἀποστελεῖ ὁ Υἱὸς τοῦ Ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα, καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν· **42** καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός. Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. **43** Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν. Ὁ ἔχων ὦτα ἀκούειν[13] ἀκουέτω.

Treasure and pearl

44 »Πάλιν[14] ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν ἀγρῷ,[15] ὃν εὑρὼν ἄνθρωπος ἔκρυψεν, καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει καὶ πάντα ὅσα ἔχει πωλεῖ[16] καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον.

45 »Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας, **46** ὃς εὑρὼν[17] ἕνα πολύτιμον μαργαρίτην, ἀπελθὼν πέπρακεν πάντα ὅσα εἶχεν καὶ ἠγόρασεν αὐτόν.

---

[1] εν **f**[35] B,D,N,W [95%] RP,HF,OC,CP,NU ¦ 1 τω ℵ,C [5%] TR
[2] παντων **f**[35] [30%] OC,CP ¦ --- ℵB,C,D,N,W [70%] RP,HF,TR,NU
[3] ελθειν *rell* ¦ κατελθειν CP
[4] εκρυψεν **f**[35] N [85%] RP,HF ¦ ενεκρυψεν ℵB,C,D,W [15%] OC,CP,TR,NU
[5] ουκ **f**[35] D [95%] RP,HF,CP,TR ¦ ουδεν ℵB,C,W [5%] OC,NU
[6] κοσμου **f**[35] ℵC,D,W (99.4%) RP,HF,OC,CP,TR[NU] ¦ --- B (0.5%) ¦ long omission (0.1%)
[7] ο ιησους **f**[35] C,W [98%] RP,HF,CP,TR ¦ αυτου [1%] OC ¦ --- ℵB,D [1%] NU
[8] φρασον **f**[35] C,D,W [99%] RP,HF,OC,CP,TR ¦ διασαφησον ℵB [1%] NU
[9] αυτοις **f**[35] C,W [98.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1.5%] NU
[10] του **f**[35] C,W [98.5%] RP,HF,OC,CP,TR ¦ --- B,D [1.5%] NU ¦ ℵ omits most of the verse
[11] καιεται **f**[35] C,W [90%] RP,HF,OC,CP ¦ κατακαιεται ℵB [10%] TR[NU] ¦ κατακαιονται D
[12] τουτου **f**[35] C,W [99%] RP,HF,OC,TR ¦ --- ℵB,D [1%] CP,NU
[13] ακουειν **f**[35] C,D,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB [0.5%] NU
[14] παλιν **f**[35] C,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU
[15] εν αγρω **f**[35] D,N [30%] ¦ 1 τω 2 B,C,W [70%] RP,HF,OC,CP,TR,NU ¦ --- ℵ
[16] παντα οσα εχει πωλει **f**[35] C,N,W (91.3%) RP,HF,OC,CP,TR ¦ ~ 4123 ℵD (4.1%) NU ¦ ~ 423 B (1.1%) ¦ 234 (2.3%) ¦ six other variants (0.7%) ¦ long omissions (0.6%)
[17] ος ευρων **f**[35] C,N,W [98.5%] RP,HF,OC,CP,TR ¦ ~ 2 δε ℵB(D) [1.5%] NU

A fishing net

47 »Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συναγαγούσῃ, **48** ἣν ὅτε ἐπληρώθη, ἀναβιβάσαντες[1] ἐπὶ τὸν αἰγιαλόν· καὶ καθίσαντες συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα,[2] τὰ δὲ σαπρὰ ἔξω ἔβαλον. **49** Οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος. Ἐξελεύσονται οἱ ἄγγελοι καὶ ἀφοριοῦσιν τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων, **50** καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός. Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.»

51 Λέγει αὐτοῖς ὁ Ἰησοῦς,[3] «Συνήκατε ταῦτα πάντα;» Λέγουσιν αὐτῷ, «Ναί, Κύριε.»[4] **52** Ὁ δὲ εἶπεν αὐτοῖς, «Διὰ τοῦτο πᾶς γραμματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν[5] τῶν οὐρανῶν ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά.»

A visit to Natsareth

53 Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν. **54** Καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν, ὥστε ἐκπλήττεσθαι[6] αὐτοὺς καὶ λέγειν· «Πόθεν τούτῳ ἡ σοφία αὕτη καὶ αἱ δυνάμεις; **55** Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; Οὐχὶ[7] ἡ μήτηρ αὐτοῦ λέγεται Μαριάμ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσῆς[8] καὶ Σίμων καὶ Ἰούδας; **56** Καὶ αἱ ἀδελφαὶ αὐτοῦ, οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσιν; Πόθεν οὖν τούτῳ ταῦτα πάντα;»[9] **57** Καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, «Οὐκ ἔστιν προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ[10] καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.» **58** Καὶ οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλὰς διὰ τὴν ἀπιστίαν αὐτῶν.

The death of John the Baptizer

14:1 Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν Ἡρῴδης ὁ τετράρχης[11] τὴν ἀκοὴν Ἰησοῦ, **2** καὶ εἶπεν τοῖς παισὶν αὐτοῦ, «Οὗτός ἐστιν Ἰωάννης ὁ Βαπτιστής· αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ.» **3** Ὁ γὰρ Ἡρῴδης κρατήσας τὸν Ἰωάννην ἔδησεν αὐτὸν[12] καὶ ἔθετο ἐν φυλακῇ[13] διὰ Ἡρωδιάδα, τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. **4** Ἔλεγεν γὰρ αὐτῷ ὁ Ἰωάννης,[14] «Οὐκ ἔξεστίν σοι ἔχειν αὐτήν.» **5** Καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβεῖτο[15] τὸν ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν εἶχον. **6** Γενεσίων[16] δὲ ἀγομένων[17] τοῦ Ἡρῴδου, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ καὶ ἤρεσεν τῷ Ἡρῴδῃ. **7** Ὅθεν μεθ᾽ ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται. **8** Ἡ δέ, προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, «Δός μοι,» φησίν, «ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ.» **9** Καὶ ἐλυπήθη[18] ὁ βασιλεύς· διὰ δὲ[19] τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους, ἐκέλευσεν δοθῆναι. **10** Καὶ πέμψας ἀπεκεφάλισεν τὸν[20]

---

[1] αναβιβασαντες *rell* ¦ 1 αυτην (D) [10%] OC ¦ 1 και C [2%]
[2] αγγεια **f**^{35} (D)W [98.5%] RP,HF,OC,CP,TR ¦ αγγη ℵB,C,N [1.5%] NU
[3] λεγει αυτοις ο ιησους **f**^{35} C,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU
[4] κυριε **f**^{35} C,N,W [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [2%] NU
[5] εις την βασιλειαν **f**^{35} [90%] RP,HF,OC,CP,TR ¦ τη βασιλεια ℵB,C,N,W [9%] NU ¦ εν τη βασιλεια D [1%]
[6] εκπληττεσθαι **f**^{35} [90%] RP,HF,OC,TR ¦ εκπλησσεσθαι ℵB,C,D,N,W [10%] CP,NU ¦ two other variants
[7] ουχι **f**^{35} D [95%] RP,HF,OC,CP,TR ¦ ουχ ℵB,C,N,W [5%] NU
[8] ιωσης **f**^{35} W [90%] RP,HF,OC,CP,TR ¦ ιωση [2%] ¦ ιωαννης ℵD [7%] ¦ ιωσηφ B,C,N [1%] NU
[9] ταυτα παντα *rell* ¦ ~ 21 D,N,W [10%]
[10] πατριδι αυτου **f**^{35} N,W [97.5%] RP,HF,OC,CP,TR ¦ 1 B,D [0.5%] NU ¦ ιδια 1 ℵ [2%] ¦ ιδια 12 C
[11] τετραρχης **f**^{35} B,D,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ τετρααρχης ℵC [0.5%] NU
[12] αυτον **f**^{35} ℵC,D,N,W [99.5%] RP,HF,OC,CP,TR[NU] ¦ --- B [0.5%]
[13] εθετο εν φυλακη **f**^{35} C,N,W [97.5%] RP,HF,OC,CP,TR ¦ ~ 23 απεθετο ℵB [1%] NU ¦ 2 τη 3 D ¦ ~ 2 τη 3 απεθετο [0.5%] ¦ 12 τη 3 [0.5%] ¦ three other variants
[14] αυτω ο ιωαννης **f**^{35} C,N,W [99%] RP,HF,OC,CP,TR ¦ ~ 231 (B) [0.5%] NU ¦ 3 ℵ ¦ 13 D [0.5%]
[15] <u>εφοβειτο</u> **f**^{35} [20%] ¦ εφοβηθη ℵB,C,D,N,W [80%] RP,HF,OC,CP,TR,NU [the imperfect is correct]
[16] γενεσιων **f**^{35} C,N,W [99%] RP,HF,OC,CP,TR ¦ γενεσιοις ℵB,D [1%] NU
[17] αγομενων **f**^{35} W [97%] RP,HF,OC,CP,TR ¦ αγομενοις [0.5%] ¦ γενομενων C,N [2%] ¦ γενομενοις ℵB,D [0.5%] NU
[18] ελυπηθη **f**^{35} ℵC,W (98.7%) RP,HF,OC,CP,TR ¦ λυπηθεις B,D (1.2%) NU ¦ two other variants (0.1%)
[19] δε **f**^{35} ℵC,W (98%) RP,HF,OC,CP,TR ¦ και (0.2%) ¦ --- B,D (1.7%) NU
[20] τον **f**^{35} C,D,W [99%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB [1%]

Ἰωάννην ἐν τῇ φυλακῇ. **11** Καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ[1] ἐπὶ πίνακι καὶ ἐδόθη τῷ κορασίῳ, καὶ ἤνεγκεν τῇ μητρὶ αὐτῆς. **12** Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἦραν τὸ σῶμα[2] καὶ ἔθαψαν αὐτό,[3] καὶ ἐλθόντες[4] ἀπήγγειλαν τῷ Ἰησοῦ.

Food for 15,000

13 Καὶ ἀκούσας[5] ὁ Ἰησοῦς ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ᾽ ἰδίαν. Καὶ ἀκούσαντες οἱ ὄχλοι ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων. **14** Καὶ ἐξελθὼν ὁ Ἰησοῦς[6] εἶδεν πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ᾽ αὐτοῖς[7] καὶ ἐθεράπευσεν τοὺς ἀρρώστους αὐτῶν.

15 Ὀψίας δὲ γενομένης, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ,[8] λέγοντες· «Ἔρημός ἐστιν ὁ τόπος καὶ ἡ ὥρα ἤδη παρῆλθεν. Ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώματα.» **16** Ὁ δὲ Ἰησοῦς[9] εἶπεν αὐτοῖς· «Οὐ χρείαν ἔχουσιν ἀπελθεῖν. Δότε αὐτοῖς ὑμεῖς φαγεῖν.» **17** Οἱ δὲ λέγουσιν αὐτῷ, «Οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας.» **18** Ὁ δὲ εἶπεν, «Φέρετέ μοι αὐτοὺς ὧδε.»[10] **19** Καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι[11] ἐπὶ τοὺς χόρτους,[12] λαβὼν[13] τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν· καὶ κλάσας ἔδωκεν τοῖς μαθηταῖς τοὺς ἄρτους, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. **20** Καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν· καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων, δώδεκα κοφίνους πλήρεις. **21** Οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι, χωρὶς γυναικῶν καὶ παιδίων.

Peter walks on water

22 Καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰησοῦς[14] τοὺς μαθητὰς αὐτοῦ[15] ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους. **23** Καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος κατ᾽ ἰδίαν προσεύξασθαι. Ὀψίας δὲ γενομένης, μόνος ἦν ἐκεῖ. **24** Τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν,[16] βασανιζόμενον ὑπὸ τῶν κυμάτων, ἦν γὰρ ἐναντίος ὁ ἄνεμος. **25** Τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἀπῆλθεν[17] πρὸς αὐτοὺς ὁ Ἰησοῦς,[18] περιπατῶν ἐπὶ τῆς θαλάσσης.[19] **26** Καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ[20] ἐπὶ τὴν θάλασσαν[21] περιπατοῦντα ἐταράχθησαν, λέγοντες ὅτι «Φάντασμά ἐστιν.» Καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. **27** Εὐθέως[22] δὲ ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς,[23] λέγων· «Θαρσεῖτε, ἐγώ εἰμι· μὴ φοβεῖσθε.» **28** Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν,[24] «Κύριε, εἰ σὺ εἶ,

---

[1] ηνεχθη η κεφαλη αυτου *rell* ¦ ~ 2341 CP
[2] σωμα **f**[35] W [95%] RP,HF,OC,CP,TR ¦ πτωμα (א)B,C(D) [5%] NU
[3] αυτο **f**[35] C,D,W [99.5%] RP,HF,OC,CP,TR ¦ αυτον אB [0.5%] [NU]
[4] ελθοντες *rell* ¦ εξελθοντες CP
[5] και ακουσας **f**[35] C,W [95%] RP,HF,CP,TR ¦ ~ 2 δε אB,D [5%] OC,NU
[6] ο ιησους **f**[35] C,W [97%] RP,HF,OC,CP,TR ¦ --- אB,D [3%] NU
[7] αυτοις *rell* ¦ αυτους W [5%] TR ¦ περι αυτων D
[8] αυτου **f**[35] C,D,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- אB [0.5%] NU
[9] ιησους **f**[35] B,C,W [99%] RP,HF,OC,CP,TR[NU] ¦ --- אD [1%]
[10] αυτους ωδε **f**[35] C,W (98.8%) RP,HF,OC,CP,TR ¦ ~ 21 אB (0.2%) NU ¦ 1 D (0.6%) ¦ long omissions (0.4%)
[11] ανακλιθηναι *rell* ¦ ανακληθηναι CP
[12] τους χορτους **f**[35] [96%] RP,HF,OC,CP,TR ¦ του χορτου אB,C,W [3%] NU ¦ τον χορτον D [1%]
[13] λαβων **f**[35] B [96%] RP,HF,OC,CP,NU ¦ και 1 אC,W [4%] TR ¦ ελαβεν D
[14] ο ιησους **f**[35] [95%] RP,HF,OC,CP,TR ¦ --- אB,C,D,W [5%] NU
[15] αυτου **f**[35] B [30%] OC,TR ¦ --- אC,D,W [70%] RP,HF,CP,NU
[16] μεσον της θαλασσης ην **f**[35] אC,W [98%] RP,HF,OC,CP,TR ¦ σταδιους πολλους απο της γης απειχεν B [2%] NU ¦ ~ 4 εις 123 D ¦ two other variants
[17] απηλθεν **f**[35] C,D,W [96%] RP,HF,OC,CP,TR ¦ ηλθεν אB [4%] NU
[18] ο ιησους **f**[35] [97%] RP,HF,OC,CP,TR ¦ --- אB,C,D,W [3%] NU
[19] της θαλασσης **f**[35] C,D [97%] RP,HF,OC,CP,TR ¦ την θαλασσαν אB,W [3%] NU
[20] και ιδοντες αυτον οι μαθηται **f**[35] C,W (94.4%) RP,HF,OC,CP,TR ¦ 12345 αυτου (0.9%) ¦ 123 (1.3%) ¦ 2 δε 345 (1.3%) ¦ ~ 4 δε 523 B,D (0.9%) NU ¦ 2 δε 3 א (0.2%) ¦ three other variants (0.3%)
[21] την θαλασσαν **f**[35] W [97%] RP,HF,OC,CP,TR ¦ της θαλασσης אB,C,D [3%] NU
[22] ευθεως **f**[35] C,W [97.5%] RP,HF,OC,CP,TR ¦ ευθυς אB,D [2.5%] NU
[23] αυτοις ο ιησους **f**[35] C,W [99%] RP,HF,OC,CP,TR ¦ ~ 231 B [0.5%] [NU] ¦ 1 אD [0.5%]
[24] ο πετρος ειπεν **f**[35] [25%] ¦ 123 αυτω B [1%] ¦ αυτω 123 אC,W [73%] RP,HF,OC,CP,TR,NU ¦ αυτω 23 D ¦ one other variant

κέλευσόν με πρός σε ἐλθεῖν[1] ἐπὶ τὰ ὕδατα.» **29** Ὁ δὲ εἶπεν, «Ἐλθέ.» Καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ[2] Πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα ἐλθεῖν[3] πρὸς τὸν Ἰησοῦν. **30** Βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν[4] ἐφοβήθη, καὶ ἀρξάμενος καταποντίζεσθαι ἔκραξεν, λέγων, «Κύριε, σῶσόν με.» **31** Καὶ εὐθέως[5] ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ καὶ λέγει αὐτῷ· «Ὀλιγόπιστε, εἰς τί ἐδίστασας;» **32** Καὶ ἐμβάντων[6] αὐτῶν εἰς τὸ πλοῖον, ἐκόπασεν ὁ ἄνεμος. **33** Οἱ δὲ ἐν τῷ πλοίῳ ἐλθόντες[7] προσεκύνησαν αὐτῷ, λέγοντες, «Ἀληθῶς Θεοῦ Υἱὸς εἶ.»

At Genesaret

34 Καὶ διαπεράσαντες ἦλθον εἰς[8] τὴν γῆν[9] Γενησαρέτ.[10] **35** Καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου ἐκείνου ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας· **36** καὶ παρεκάλουν αὐτὸν ἵνα κἂν[11] μόνον ἅψωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ ὅσοι ἥψαντο διεσώθησαν.

Jesus antagonizes the Pharisees—29 AD

15:1 Τότε προσέρχονται τῷ Ἰησοῦ οἱ[12] ἀπὸ Ἱεροσολύμων γραμματεῖς καὶ Φαρισαῖοι[13] λέγοντες· **2** «Διὰ τί οἱ μαθηταί σου παραβαίνουσιν τὴν παράδοσιν τῶν πρεσβυτέρων; Οὐ γὰρ νίπτονται τὰς χεῖρας αὐτῶν[14] ὅταν ἄρτον ἐσθίωσιν.» **3** Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· «Διὰ τί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν; **4** Ὁ γὰρ Θεὸς ἐνετείλατο, λέγων,[15] ‹Τίμα τὸν πατέρα[16] καὶ τὴν μητέρα,› καὶ ‹Ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω.› **5** Ὑμεῖς δὲ λέγετε· ‹Ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρί, «Δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς» **6** —καὶ[17] οὐ μὴ τιμήσῃ[18] τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα.›[19] Καὶ ἠκυρώσατε τὴν ἐντολὴν[20] τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν. **7** Ὑποκριταί, καλῶς προεφήτευσεν[21] περὶ ὑμῶν Ἡσαΐας, λέγων **8** ‹Ἐγγίζει μοι[22] ὁ λαὸς οὗτος τῷ στόματι αὐτῶν, καὶ[23] τοῖς χείλεσίν με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ᾽ ἐμοῦ. **9** Μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων.› »

That which defiles

10 Καὶ προσκαλεσάμενος τὸν ὄχλον εἶπεν αὐτοῖς· «Ἀκούετε καὶ συνίετε. **11** Οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος—τοῦτο

---

[1] προς σε ελθειν **f**[35] [95%] RP,HF,OC,CP,TR ¦ ~ 312 ℵB,C,D,W [5%] NU
[2] ο **f**[35] C,W [99.8%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB,D
[3] ελθειν **f**[35] D,W [99%] RP,HF,OC,CP,TR ¦ και ηλθεν B,C [1%] NU ¦ ελθιν ηλθεν ουν ℵ
[4] ισχυρον **f**[35] C,D,W [99.5%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB [0.5%]
[5] και ευθεως **f**[35] [20%] CP ¦ ~ 2 δε (ℵ)B,C,D,W [80%] RP,HF,OC,TR,NU
[6] εμβαντων **f**[35] C,N,W [98%] RP,HF,OC,CP,TR ¦ αναβαντων ℵB,D [2%] NU
[7] ελθοντες **f**[35] C,D,W [96%] RP,HF,OC,CP,TR ¦ --- ℵB,N [2%] NU ¦ προσελθοντες [2%]
[8] εις **f**[35] [95%] RP,HF,OC,CP,TR ¦ επι ℵB,C,D,N,W [5%] NU
[9] γην **f**[35] C,N [98%] RP,HF,OC,CP,TR ¦ 1 εις ℵB,D,W [2%] NU
[10] γενησαρετ **f**[35] N [30%] ¦ γεννησαρετ ℵB,C,W [55%] RP,HF,OC,CP,TR,NU ¦ γεννησαρεθ [14%] ¦ γενησαρεθ [0.5%] ¦ γεννησαρ D (According to the Targum, the name is spelled with one ‘n’, according to the LXX it is with two.)
[11] καν **f**[35] [35%] OC,CP ¦ --- ℵB,C,D,N,W [65%] RP,HF,TR,NU
[12] οι **f**[35] C,N,W [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [3%] NU
[13] γραμματεις και φαρισαιοι **f**[35] C,N,W [97%] RP,HF,OC,CP,TR ¦ ~ 321 ℵB,D [3%] NU
[14] αυτων **f**[35] C,D,N,W [98%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB [2%]
[15] ενετειλατο λεγων **f**[35] ℵ,C,N,W [98.5%] RP,HF,OC,CP,TR ¦ ειπεν B,D [1.5%] NU
[16] πατερα *rell* ¦ 1 σου N,W [10%] TR
[17] και **f**[35] N,W [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,D [3%] NU
[18] τιμηση **f**[35] ℵ [95%] RP,HF,OC,CP,TR ¦ τιμησει B,C,D,N,W [5%] NU
[19] η την μητερα **f**[35] [25%] ¦ 123 αυτου C,N,W [75%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU
[20] την εντολην **f**[35] N,W (98.5%) RP,HF,OC,CP,TR ¦ τον νομον ℵC (1.1%) ¦ τον λογον B,D (0.4%) NU
[21] προεφητευσεν **f**[35] N,W [99%] RP,HF,OC,CP,TR ¦ επροφητευσεν ℵB,C,D [1%] NU
[22] εγγιζει μοι **f**[35] C,N,W [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [2%] NU
[23] τω στοματι αυτων και **f**[35] C,N,W [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [2%] NU

κοινοῖ τὸν ἄνθρωπον.» **12** Τότε προσελθόντες οἱ μαθηταὶ αὐτοῦ[1] εἶπον[2] αὐτῷ, «Οἶδας ὅτι οἱ Φαρισαῖοι[3] ἀκούσαντες τὸν λόγον ἐσκανδαλίσθησαν;»[4] **13** Ὁ δὲ ἀποκριθεὶς εἶπεν· «Πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται. **14** Ἄφετε αὐτούς. Ὁδηγοί εἰσιν τυφλοὶ[5] τυφλῶν·[6] τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται.»[7]

15 Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ, «Φράσον ἡμῖν τὴν παραβολὴν ταύτην.»[8] **16** Ὁ δὲ Ἰησοῦς[9] εἶπεν· «Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε; **17** Οὔπω[10] νοεῖτε ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται; **18** Τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος ἐκ τῆς καρδίας ἐξέρχεται· κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον. **19** Ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, βλασφημίαι. **20** Ταῦτά ἐστιν τὰ κοινοῦντα τὸν ἄνθρωπον, τὸ δὲ ἀνίπτοις χερσὶν φαγεῖν οὐ κοινοῖ τὸν ἄνθρωπον.»

A crumb for a little dog

21 Καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. **22** Καὶ ἰδού, γυνὴ[11] Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἐκραύγασεν[12] αὐτῷ,[13] λέγουσα· «Ἐλέησόν με, Κύριε, Υἱὲ[14] Δαυίδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται.» **23** Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. Καὶ προσελθόντες[15] οἱ μαθηταὶ αὐτοῦ ἠρώτων[16] αὐτόν, λέγοντες, «Ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν.» **24** Ὁ δὲ ἀποκριθεὶς εἶπεν, «Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.» **25** Ἡ δὲ ἐλθοῦσα προσεκύνησεν[17] αὐτῷ λέγουσα, «Κύριε, βοήθει μοι.» **26** Ὁ δὲ ἀποκριθεὶς εἶπεν, «Οὐκ ἔστιν καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις.» **27** Ἡ δὲ εἶπεν, «Ναί, Κύριε, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν.» **28** Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ· «Ὦ γύναι, μεγάλη σου ἡ πίστις. Γενηθήτω σοι ὡς θέλεις.» Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

Food for 4,000 men

29 Καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς ἦλθεν παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, καὶ ἀναβὰς εἰς τὸ ὄρος ἐκάθητο ἐκεῖ. **30** Καὶ προσῆλθον αὐτῷ ὄχλοι πολλοί, ἔχοντες μεθ' ἑαυτῶν χωλούς, τυφλούς, κωφούς, κυλλούς,[18] καὶ ἑτέρους πολλούς, καὶ ἔρριψαν αὐτοὺς παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ,[19] καὶ ἐθεράπευσεν αὐτούς· **31** ὥστε τοὺς ὄχλους[20] θαυμάσαι—βλέποντας κωφοὺς[21] λαλοῦντας, κυλλοὺς ὑγιεῖς,[22] χωλοὺς περιπατοῦντας, καὶ τυφλοὺς βλέποντας—καὶ ἐδόξαζον[23]

---

[1] αυτου **f**[35] C,N,W [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [2%] NU
[2] ειπον **f**[35] (ℵ)C,N,W [98%] RP,HF,OC,CP,TR ¦ λεγουσιν B,D [2%] NU
[3] φαρισαιοι *rell* ¦ 1 οι CP
[4] ακουσαντες τον λογον εσκανδαλισθησαν *rell* ¦ ~ 4123 OC
[5] οδηγοι εισιν τυφλοι **f**[35] ℵ,C,N,W [98%] RP,HF,OC,CP,TR ¦ ~ 321 B(D) [2%] NU
[6] τυφλων **f**[35] C,N,W [99.5%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB,D [0.5%]
[7] εμπεσουνται **f**[35] (D)W [30%] CP ¦ πεσουνται ℵB,C [70%] RP,HF,OC,TR,NU
[8] ταυτην **f**[35] C,D,W [99%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB [1%]
[9] ιησους **f**[35] C,W [98.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1.5%] NU
[10] ουπω **f**[35] ℵ,C,W [99%] RP,HF,OC,CP,TR ¦ ου B,D [1%] NU
[11] γυνη *rell* ¦ 1 τις CP
[12] εκραυγασεν **f**[35] C,W [97%] RP,HF,OC,CP,TR ¦ εκραζεν B,D [1%] NU ¦ εκραξεν ℵ [1%] ¦ εκραυγαζεν [1%]
[13] αυτω **f**[35] W [95%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C [5%] NU ¦ οπισω αυτου D
[14] υιε **f**[35] ℵ,C [99%] RP,HF,OC,CP,TR ¦ υιος B,D,W [1%] NU
[15] προσελθοντες *rell* ¦ 1 αυτω CP
[16] ηρωτων **f**[35] W [98.5%] RP,HF,OC,CP,TR ¦ ηρωτουν ℵB,C,D [0.5%] NU ¦ ηρωτησαν [1%]
[17] προσεκυνησεν **f**[35] C,W [90%] RP,HF,OC,CP ¦ προσεκυνει ℵB,D [10%] TR,NU
[18] τυφλους κωφους κυλλους **f**[35] [94%] RP,HF,OC,CP,TR ¦ ~ 213 C(W) [5%] ¦ ~ 132 ℵ [0.5%] NU ¦ ~ 312 B ¦ 13 D
[19] του ιησου **f**[35] C,W [97%] RP,HF,OC,CP,TR ¦ αυτου ℵB,D [3%] NU
[20] τους οχλους **f**[35] B,W [95%] RP,HF,OC,CP,TR ¦ τον οχλον ℵC,D [5%] NU
[21] κωφους *rell* ¦ 1 ακουοντας αλαλους OC (small print)
[22] υγιεις **f**[35] [92%] RP,HF,OC,CP,TR ¦ 1 και ℵB,C,D,W [8%] NU
[23] εδοξαζον **f**[35] ℵ [30%] CP ¦ εδοξασαν B,C,D,N,W [70%] RP,HF,OC,TR,NU

τὸν Θεὸν[1] Ἰσραήλ.

32 Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπεν· «Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέρας[2] τρεῖς προσμένουσίν μοι καὶ οὐκ ἔχουσιν τί φάγωσιν· καὶ ἀπολῦσαι αὐτοὺς νήστις[3] οὐ θέλω, μήποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ.» **33** Καὶ λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ,[4] «Πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι, ὥστε χορτάσαι ὄχλον τοσοῦτον;» **34** Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, «Πόσους ἄρτους ἔχετε;» Οἱ δὲ εἶπον,[5] «Ἑπτά, καὶ ὀλίγα ἰχθύδια.» **35** Καὶ ἐκέλευσεν[6] τοῖς ὄχλοις[7] ἀναπεσεῖν ἐπὶ τὴν γῆν. **36** Καὶ λαβὼν[8] τοὺς ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας,[9] εὐχαριστήσας ἔκλασεν, καὶ ἔδωκεν[10] τοῖς μαθηταῖς αὐτοῦ,[11] οἱ δὲ μαθηταὶ τῷ ὄχλῳ.[12] **37** Καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν. Καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων,[13] ἑπτὰ σπυρίδας πλήρεις. **38** Οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες, χωρὶς γυναικῶν καὶ παιδίων. **39** Καὶ ἀπολύσας τοὺς ὄχλους ἐνέβη[14] εἰς τὸ πλοῖον καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγδαλά.[15]

The sign of the prophet Jonah

16:1 Καὶ προσελθόντες οἱ Φαρισαῖοι καὶ Σαδδουκαῖοι πειράζοντες ἐπηρώτησαν αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι[16] αὐτοῖς. **2** Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· «Ὀψίας γενομένης λέγετε, ‹Εὐδία, πυρράζει γὰρ ὁ οὐρανός›· **3** καὶ πρωΐ, ‹Σήμερον χειμών, πυρράζει γὰρ στυγνάζων ὁ οὐρανός.› Ὑποκριταί,[17] τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε.[18] **4** Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου.»[19] Καὶ καταλιπὼν αὐτοὺς ἀπῆλθεν.

"Beware of the leaven of the Pharisees"

5 Καὶ ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ[20] εἰς τὸ πέραν ἐπελάθοντο ἄρτους λαβεῖν. **6** Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, «Ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων.» **7** Οἱ δὲ διελογίζοντο ἐν ἑαυτοῖς, λέγοντες ὅτι «Ἄρτους οὐκ ἐλάβομεν.» **8** Γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς·[21] «Τί διαλογίζεσθε ἐν ἑαυτοῖς, ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἐλάβετε;[22] **9** Οὔπω νοεῖτε, οὐδὲ μνημονεύετε τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων καὶ πόσους κοφίνους ἐλάβετε; **10** Οὐδὲ τοὺς ἑπτὰ ἄρτους τῶν τετρακισχιλίων καὶ πόσας σπυρίδας ἐλάβετε; **11** Πῶς οὐ νοεῖτε ὅτι οὐ περὶ

---

[1] θεον *rell* ¦ 1 του [2%] CP
[2] ημερας **f**[35] ℵN [30%] CP,TR ¦ ημεραι B,C,D,W [70%] RP,HF,OC,NU
[3] νηστις **f**[35] ℵN [25%] ¦ νηστεις B,C,D,W [75%] RP,HF,OC,CP,TR,NU
[4] αυτου **f**[35] C,D,N,W [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB [2%] NU
[5] ειπον *rell* ¦ ειπαν ℵ [2%] NU ¦ 1 αυτω D [1%] CP
[6] εκελευσεν **f**[35] C,N,W (97%) RP,HF,OC,CP,TR ¦ κελευσας (1.7%) ¦ παραγγειλας ℵB,D (1.3%) NU ¦ one other variant
[7] τοις οχλοις **f**[35] N,W (78.8%) RP,HF,OC,CP,TR ¦ τους οχλους C (19.2%) ¦ τω οχλω ℵB,D (1.4%) NU ¦ τον οχλον (0.3%) ¦ three other variants (0.2%)
[8] και λαβων **f**[35] C,N,W (97.2%) RP,HF,OC,CP,TR ¦ ελαβεν ℵB,D (2.8%) NU
[9] ιχθυας **f**[35] C,N,W [97%] RP,HF,OC,CP,TR ¦ 1 και ℵB,D [3%] NU
[10] εδωκεν **f**[35] C,N,W [97%] RP,HF,OC,CP,TR ¦ εδιδου ℵB,D [3%] NU
[11] αυτου **f**[35] C,N,W [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [3%] NU
[12] τω οχλω **f**[35] C,D,N,W [96%] RP,HF,CP,TR ¦ τοις οχλοις ℵB [4%] OC,NU
[13] ηραν το περισσευον των κλασματων **f**[35] ℵ,C,N,W [98.5%] RP,HF,OC,CP,TR ¦ ~ 23451 B,D [1.5%] NU
[14] ενεβη **f**[35] ℵB [30%] RP,OC,TR,NU ¦ ανεβη C,N,W [70%] HF,CP ¦ ενβαινει D
[15] μαγδαλα **f**[35] [98%] RP,HF,OC,CP,TR ¦ μαγδαλαν C,N,W [2%] ¦ μαγαδαν ℵB(D)NU
[16] επιδειξαι *rell* ¦ υποδειξαι CP
[17] υποκριται **f**[35] [94%] RP,HF,OC,CP,TR[NU] ¦ --- C,D,W [3%] ¦ (omit verses 2b-3 ℵB [3%])
[18] from οψιας, verse 2, to δυνασθε, end of verse 3 **f**[35] C,D,N,W [97%] RP,HF,CP,TR[NU] [OC adds γνωναι] ¦ --- ℵB [3%]
[19] του προφητου **f**[35] C,N,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1%] NU
[20] αυτου **f**[35] N,W [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,D [2%] NU
[21] αυτοις **f**[35] C [90%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D,W [10%] NU
[22] ελαβετε **f**[35] C,W (97.4%) RP,HF,OC,CP,TR ¦ ελαβομεν (0.6%) ¦ εχετε ℵB,D (1.7%) NU ¦ long omissions (0.2%)

ἄρτου[1] εἶπον ὑμῖν προσέχειν[2] ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων;» **12** Τότε συνῆκαν ὅτι οὐκ εἶπεν προσέχειν ἀπὸ τῆς ζύμης τοῦ ἄρτου,[3] ἀλλὰ[4] ἀπὸ τῆς διδαχῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων.

Jesus openly declares His death and ministers on that basis

16:13 Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου ἠρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων, «Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι,[5] τὸν Υἱὸν τοῦ Ἀνθρώπου;» **14** Οἱ δὲ εἶπον,[6] «Οἱ μὲν Ἰωάννην τὸν Βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν, ἕτεροι δὲ Ἰερεμίαν ἢ ἕνα τῶν προφητῶν.» **15** Λέγει αὐτοῖς, «Ὑμεῖς δέ, τίνα με λέγετε εἶναι;» **16** Ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπεν, «Σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.» **17** Καὶ ἀποκριθεὶς[7] ὁ Ἰησοῦς εἶπεν αὐτῷ· «Μακάριος εἶ, Σίμων Βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέν σοι, ἀλλ᾽ ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. **18** Κἀγὼ δέ σοι λέγω ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι Ἅδου οὐ κατισχύσουσιν αὐτῆς. **19** Καὶ[8] δώσω σοι τὰς κλεῖς[9] τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς, καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς.»

20 Τότε διεστείλατο τοῖς μαθηταῖς αὐτοῦ[10] ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν[11] ὁ Χριστός. **21** Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς Ἱεροσόλυμα[12] καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. **22** Καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος ἤρξατο ἐπιτιμᾶν αὐτῷ, λέγων, «Ἵλεώς σοι, Κύριε· οὐ μὴ ἔσται σοι τοῦτο.» **23** Ὁ δὲ στραφεὶς εἶπεν τῷ Πέτρῳ· «Ὕπαγε ὀπίσω μου, Σατανᾶ· σκάνδαλόν μου εἶ,[13] ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.»

How to save your life

24 Τότε ὁ Ἰησοῦς εἶπεν τοῖς μαθηταῖς αὐτοῦ· «Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω[14] μοι. **25** Ὃς γὰρ ἂν[15] θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν, ὃς δ᾽ ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν. **26** Τί γὰρ ὠφελεῖται[16] ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; Ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; **27** Μέλλει γὰρ ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ, καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ

---

[1] αρτου **f**[35] D,W [90%] RP,HF,OC,CP,TR ¦ αρτων ℵB,C [10%] NU ¦ αρτους [0.5%]

[2] προσεχειν **f**[35] W [95.5%] RP,HF,OC,CP,TR ¦ προσεχετε D [1%] ¦ προσεχετε δε ℵB,C [1.5%] NU ¦ αλλα προσεχετε [1%] ¦ two other variants [1%]

[3] του αρτου **f**[35] C,W (94.2%) RP,HF,OC,CP,TR ¦ των αρτων B (1.3%) NU ¦ --- D (0.7%) ¦ των φαρισαιων και σαδδουκαιων ℵ (0.4%) ¦ three other variants (0.4%) ¦ long omissions (3%)

[4] αλλα **f**[35] ℵB,C,D,W [75%] RP,HF,CP,NU ¦ αλλ [25%] OC,TR

[5] με λεγουσιν οι ανθρωποι ειναι **f**[35] [98.5%] RP,HF,OC,CP,TR ¦ 2345 B [0.5%] NU ¦ ~ 21345 C,W [0.5%] ¦ ~ 3452 ℵ ¦ ~ 13425 D ¦ one other variant

[6] ειπον *rell* ¦ ειπαν B [0.5%] NU

[7] και αποκριθεις **f**[35] C,W [97%] RP,HF,OC,CP,TR ¦ ~ 2 δε ℵB,D [3%] NU

[8] και **f**[35] C,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1%] NU

[9] κλεις **f**[35] C,D [99.5%] RP,HF,OC,CP,TR ¦ κλειδας ℵB,W [0.5%] NU

[10] αυτου **f**[35] W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,D [1%] NU

[11] εστιν **f**[35] ℵB [35%] NU ¦ 1 ιησους C(D)W [65%] RP,HF,OC,CP,TR

[12] απελθειν εις ιεροσολυμα **f**[35] C,W [97%] RP,HF,OC,CP,TR ¦ ~ 231 ℵB,D [3%] NU

[13] μου ει **f**[35] W [97%] RP,HF,OC,CP,TR ¦ ~ 21 C [0.5%] ¦ ~ 2 εμου ℵB [2%] NU ¦ ~ 2 εμοι D [0.5%] ¦ one other variant

[14] ακολουθειτω *rell* ¦ ακολουθητω CP

[15] αν **f**[35] D,W [99%] RP,HF,OC,CP,TR ¦ εαν ℵB,C [1%] NU

[16] ωφελειται **f**[35] C,D,W [97%] RP,HF,OC,CP,TR ¦ ωφεληθησεται ℵB [3%] NU

τὴν πρᾶξιν αὐτοῦ. **28** Ἀμὴν λέγω ὑμῖν,[1] εἰσίν τινες[2] ὧδε ἑστῶτες[3] οἵτινες οὐ μὴ γεύσωνται[4] θανάτου ἕως ἂν ἴδωσιν τὸν Υἱὸν τοῦ Ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ.»

Jesus meets with Moses and Elijah

17:1 Καὶ μεθ᾽ ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν. **2** Καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψεν τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο[5] λευκὰ ὡς τὸ φῶς. **3** Καὶ ἰδού, ὤφθησαν[6] αὐτοῖς Μωσῆς[7] καὶ Ἠλίας[8] μετ᾽ αὐτοῦ συλλαλοῦντες.[9] **4** Ἀπο-κριθεὶς δὲ ὁ Πέτρος εἶπεν τῷ Ἰησοῦ, «Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, ποιήσωμεν[10] ὧδε τρεῖς σκηνάς· σοὶ μίαν καὶ Μωσεῖ[11] μίαν καὶ μίαν Ἠλίᾳ.»[12] **5** Ἔτι αὐτοῦ λαλοῦντος, ἰδού, νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς· καὶ ἰδού, φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα. Αὐτοῦ ἀκούετε.»[13] **6** Καὶ ἀκούσαντες οἱ μαθηταὶ ἔπεσον[14] ἐπὶ πρόσωπον αὐτῶν καὶ ἐφοβήθησαν σφόδρα. **7** Καὶ προσελθὼν ὁ Ἰησοῦς ἥψατο αὐτῶν καὶ[15] εἶπεν, «Ἐγέρθητε καὶ μὴ φοβεῖσθε.» **8** Ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν, οὐδένα εἶδον εἰ μὴ τὸν Ἰησοῦν[16] μόνον.

Elijah and ‘Elijah’

9 Καὶ καταβαινόντων αὐτῶν ἐκ[17] τοῦ ὄρους, ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων, «Μηδενὶ εἴπητε τὸ ὅραμα ἕως οὗ ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.»[18] **10** Καὶ ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ,[19] λέγοντες, «Τί οὖν οἱ γραμματεῖς λέγουσιν ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;» **11** Ὁ δὲ Ἰησοῦς[20] ἀποκριθεὶς εἶπεν αὐτοῖς·[21] «Ἠλίας μὲν ἔρχεται πρῶτον,[22] καὶ ἀποκαταστήσει πάντα. **12** Λέγω δὲ ὑμῖν ὅτι ‹Ἠλίας› ἤδη ἦλθεν, καὶ οὐκ ἐπέγνωσαν αὐτόν, ἀλλ᾽[23] ἐποίησαν ἐν αὐτῷ ὅσα ἠθέλησαν. Οὕτως καὶ ὁ Υἱὸς τοῦ Ἀνθρώπου μέλλει πάσχειν ὑπ᾽ αὐτῶν.» **13** Τότε συνῆκαν οἱ μαθηταὶ ὅτι περὶ Ἰωάννου τοῦ Βαπτιστοῦ εἶπεν αὐτοῖς.

A tough kind of demon

14 Καὶ ἐλθόντων αὐτῶν[24] πρὸς τὸν ὄχλον, προσῆλθεν αὐτῷ ἄνθρωπος γονυπετῶν αὐτόν,[25] καὶ λέγων· **15** «Κύριε, ἐλέησόν μου τὸν υἱόν, ὅτι σεληνιάζεται καὶ κακῶς πάσχει· πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ καὶ πολλάκις εἰς τὸ ὕδωρ. **16** Καὶ προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου, καὶ οὐκ

---

[1] υμιν **f**[35] C,D,W [96%] RP,HF,OC,CP,TR ¦ 1 οτι ℵB [4%] NU
[2] τινες **f**[35] W [85%] RP,HF ¦ 1 των ℵB,C,D [15%] OC,CP,TR,NU
[3] εστωτες **f**[35] W [85%] RP,HF ¦ εστηκοτων [10%] OC,CP,TR ¦ εστωτων ℵB,C,D [5%] NU
[4] γευσωνται *rell* ¦ γευσονται [5%] CP
[5] εγενετο **f**[35] ℵB,C,D,W [40%] OC,CP,TR,NU ¦ εγενοντο [60%] RP,HF ¦ --- [0.5%]
[6] ωφθησαν **f**[35] C,W [96%] RP,HF,OC,CP,TR ¦ ωφθη ℵB,D [4%] NU
[7] μωσης **f**[35] C [90%] RP,HF,OC,CP,TR ¦ μωυσης ℵB,D,W [10%] NU
[8] ηλιας *rell* ¦ ηλιας TR
[9] μετ αυτου συλλαλουντες **f**[35] C(D) [99%] RP,HF,OC,CP,TR ¦ ~ 312 (ℵB,W) [1%] NU
[10] ποιησωμεν **f**[35] D,W [99.5%] RP,HF,OC,CP,TR ¦ ποιησω ℵB,C [0.5%] NU
[11] μωσει **f**[35] [50%] OC ¦ μωση C [47%] RP,HF,CP,TR ¦ μωυσει ℵB,D [2%] NU ¦ μωυση [1%] ¦ μωυσι W
[12] μιαν ηλια **f**[35] (B) [90%] RP,HF,OC,CP,TR ¦ ~ 21 (ℵ)C(D)(W) [10%] NU
[13] αυτου ακουετε **f**[35] C,W [99%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB,D [1%] NU
[14] επεσον *rell* ¦ επεσαν ℵB,C,D,W [2%] NU
[15] προσελθων ο ιησους ηψατο αυτων και **f**[35] C,W [98.5%] RP,HF,OC,CP,TR ¦ ~ 1236 αψαμενος 5 [1%] ¦ προσηλθεν 236 αψαμενος 5 ℵB [0.5%] NU ¦ ~ προσηλθεν 236 ηψατο 56 D
[16] τον ιησουν **f**[35] C(D) [98.5%] RP,HF,OC,CP,TR ¦ αυτον 2 B [0.5%] NU ¦ ~ 2 αυτον ℵ [1%] ¦ 2 W
[17] εκ *rell* ¦ απο [5%] OC,TR
[18] αναστη **f**[35] ℵC(W) [99.8%] RP,HF,OC,CP,TR ¦ εγερθη B,D [0.2%] NU
[19] αυτου **f**[35] B,C,D [99%] RP,HF,OC,CP,TR ¦ --- ℵW [1%] NU
[20] ιησους **f**[35] C [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D,W [3%] NU
[21] αυτοις **f**[35] ℵC [99%] RP,HF,OC,CP,TR ¦ --- B,D,W [1%] NU
[22] πρωτον **f**[35] C [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D,W [3%] NU
[23] αλλ **f**[35] ℵB [50%] OC,CP,TR ¦ αλλα C,D,W [50%] RP,HF,NU
[24] αυτων **f**[35] C,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1%] NU
[25] αυτον *rell* ¦ αυτω [5%] TR ¦ εμπροσθεν αυτου D ¦ αυτων [0.5%] ¦ --- [0.5%]

ἠδυνήθησαν αὐτὸν θεραπεῦσαι.» **17** Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· «Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι μεθ᾽ ὑμῶν;[1] Ἕως πότε ἀνέξομαι ὑμῶν; Φέρετέ μοι αὐτὸν ὧδε.» **18** Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐξῆλθεν ἀπ᾽ αὐτοῦ τὸ δαιμόνιον· καὶ ἰάθη[2] ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης.

19 Τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ᾽ ἰδίαν εἶπον, «Διὰ τί ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό;» **20** Ὁ δὲ Ἰησοῦς εἶπεν[3] αὐτοῖς· «Διὰ τὴν ἀπιστίαν[4] ὑμῶν. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, ‹Μετάβηθι[5] ἐντεῦθεν[6] ἐκεῖ,› καὶ μεταβήσεται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν. **21** Τοῦτο δὲ τὸ γένος οὐκ ἐκπορεύεται εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.»[7]

22 Ἀναστρεφομένων[8] δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ,[9] εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, «Μέλλει ὁ Υἱὸς τοῦ Ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων, **23** καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται.» Καὶ ἐλυπήθησαν σφόδρα.

Money from a fish

24 Ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναούμ,[10] προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ καὶ εἶπον,[11] «Ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ[12] δίδραχμα;» **25** Λέγει, «Ναί.» Καὶ ὅτε εἰσῆλθον[13] εἰς τὴν οἰκίαν, προέφθασεν αὐτὸν ὁ Ἰησοῦς, λέγων· «Τί σοι δοκεῖ, Σίμων; Οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσιν τέλη ἢ κῆνσον, ἀπὸ τῶν υἱῶν αὐτῶν ἢ ἀπὸ τῶν ἀλλοτρίων;» **26** Λέγει αὐτῷ ὁ Πέτρος,[14] «Ἀπὸ τῶν ἀλλοτρίων.» Ἔφη αὐτῷ ὁ Ἰησοῦς· «Ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί. **27** Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς εἰς τὴν[15] θάλασσαν βάλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα[16] πρῶτον ἰχθὺν ἆρον. Καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ εὑρήσεις στατῆρα· ἐκεῖνον λαβὼν δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.»

How to be ‘big’ in the Kingdom

18:1 Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες, «Τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν;» **2** Καὶ προσκαλεσάμενος ὁ Ἰησοῦς[17] παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν, καὶ εἶπεν· **3** «Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. **4** Ὅστις οὖν ταπεινώσει[18] ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

About offenses

5 »Καὶ ὃς ἐὰν δέξηται παιδίον τοιοῦτον ἓν[19] ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. **6** Ὃς δ᾽ ἂν

---

[1] εσομαι μεθ υμων **f**[35] W [97%] RP,HF,OC,CP,TR ¦ ~ 231 ℵB,C,D [3%] NU
[2] ιαθη **f**[35] [20%] ¦ εθεραπευθη ℵB,C,D,W [80%] RP,HF,OC,CP,TR,NU
[3] ιησους ειπεν **f**[35] C,W [97%] RP,HF,OC,CP,TR ¦ λεγει ℵB,D [3%] NU
[4] απιστιαν **f**[35] C,D,W (98.3%) RP,HF,OC,CP,TR ¦ ολιγοπιστιαν ℵB (1.5%) NU ¦ --- (0.1%)
[5] μεταβηθι **f**[35] C,D,W [97%] RP,HF,OC,CP,TR ¦ μεταβα ℵB [3%] NU
[6] εντευθεν **f**[35] C,W [99%] RP,HF,OC,CP,TR ¦ ενθεν ℵB,D [1%] NU
[7] whole verse **f**[35] C,D,W (99.4%) RP,HF,OC,CP,TR ¦ --- ℵB (0.6%) NU
[8] αναστρεφομενων **f**[35] C(D)W [99%] RP,HF,OC,CP,TR ¦ συστρεφομενων ℵB [1%] NU
[9] εν τη γαλιλαια *rell* ¦ εις την γαλιλαιαν OC
[10] καπερναουμ **f**[35] C [99%] RP,HF,OC,CP,TR ¦ καφαρναουμ ℵB,D,W [1%] NU
[11] ειπον *rell* ¦ ειπαν B(D)NU
[12] τα **f**[35] B,C [99%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵD ¦ το W [0.5%]
[13] οτε εισηλθον **f**[35] [25%] ¦ 1 εισηλθεν (W) [72%] RP,HF,OC,CP,TR ¦ 1 ηλθον C [1%] ¦ ελθοντα B [1%] NU ¦ εισελθοντα ℵ ¦ εισελθοντων [1%] ¦ εισελθοντι D ¦ one other variant [the reference is to the group, including Jesus.]
[14] λεγει αυτω ο πετρος **f**[35] (C)W [99%] RP,HF,OC,CP,TR ¦ ειποντες δε B [1%] NU ¦ ο δε εφη απο των αλλοτριων ειποντες δε ℵ ¦ 12 D
[15] την **f**[35] D [90%] RP,HF,OC,CP,TR ¦ --- ℵB,W [10%] NU
[16] αναβαντα **f**[35] ℵB,D [40%] OC,TR,NU ¦ αναβαινοντα W [60%] RP,HF,CP
[17] ο ιησους **f**[35] D,W [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB [3%] NU
[18] ταπεινωσει *rell* ¦ ταπεινωση [5%] TR
[19] παιδιον τοιουτον εν **f**[35] [95%] RP,HF,OC,CP,TR ¦ ~ 312 D [1%] ¦ ~ 31 τοιουτο B [2%] NU ¦ ~ 132 [0.5%] ¦ ~ 13 τοιουτο ℵ ¦ 1 τοιουτο 3 W ¦ two other variants

σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς εἰς[1] τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. **7** Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων· ἀνάγκη γάρ ἐστιν[2] ἐλθεῖν τὰ σκάνδαλα, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ[3] δι᾽ οὗ τὸ σκάνδαλον ἔρχεται.

8 »Εἰ δὲ ἡ χείρ σου ἢ ὁ πούς σου σκανδαλίζει σε, ἔκκοψον αὐτὰ[4] καὶ βάλε ἀπὸ σοῦ· καλόν σοι ἐστὶν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν ἢ κυλλόν,[5] ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον. **9** Καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· καλόν σοι ἐστὶν μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν Γέενναν τοῦ πυρός.

God loves children

10 »Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων, λέγω γὰρ ὑμῖν ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσιν τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. **11** ⸀Ἦλθεν γὰρ ὁ Υἱὸς τοῦ Ἀνθρώπου σῶσαι[6] τὸ ἀπολωλός.[7] **12** Τί ὑμῖν δοκεῖ; Ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα, καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφεὶς[8] τὰ ἐνενήκοντα ἐννέα ἐπὶ τὰ ὄρη[9] πορευθεὶς ζητεῖ τὸ πλανώμενον; **13** Καὶ ἐὰν γένηται εὑρεῖν αὐτό, ἀμὴν λέγω ὑμῖν ὅτι χαίρει ἐπ᾽ αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐνενήκοντα ἐννέα τοῖς μὴ πεπλανημένοις. **14** Οὕτως οὐκ ἔστιν θέλημα ἔμπροσθεν τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς ἵνα ἀπόληται εἷς[10] τῶν μικρῶν τούτων.

Handling a recalcitrant brother

15 »Ἐὰν δὲ ἁμάρτῃ[11] εἰς σὲ[12] ὁ ἀδελφός σου, ὕπαγε,[13] ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. Ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου. **16** Ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα. **17** Ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ. Ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης.

Agreeing in prayer

18 »Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ,[14] καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς ἔσται λελυμένα ἐν τῷ οὐρανῷ.[15] **19** Πάλιν ἀμὴν[16] λέγω ὑμῖν ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν[17] ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. **20** Οὗ γάρ εἰσιν δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν.»

---

[1] εις **f**[35] W [95%] RP,HF,OC ¦ επι D,N [3%] CP,TR ¦ περι ℵB [2%] NU ¦ one other variant
[2] εστιν **f**[35] ℵD,W [97%] RP,HF,OC,CP,TR ¦ --- B,N [3%] NU
[3] εκεινω **f**[35] B,N(W) [99%] RP,HF,OC,CP,TR ¦ --- ℵD [1%] NU
[4] αυτα **f**[35] N,W [95%] RP,HF,OC,CP,TR ¦ αυτον ℵB,D [5%] NU ¦ one other variant
[5] χωλον η κυλλον **f**[35] D,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ ~ 321 ℵB [0.5%] NU
[6] σωσαι **f**[35] D,N,W (83.7%) RP,HF,OC,CP,TR ¦ ζητησαι και 1 (14.8%) ¦ [ℵB (1.5%) NU omit the whole verse]
[7] the whole verse **f**[35] D,N,W (98.5%) RP,HF,OC,CP,TR ¦ --- ℵB (1.5%) NU
[8] αφεις **f**[35] ℵN,W [98%] RP,HF,OC,CP,TR ¦ αφησει B [2%] NU ¦ αφιησι D
[9] ορη **f**[35] ℵN,W [98%] RP,HF,OC,CP,TR ¦ 1 και B,D [2%] NU
[10] εις **f**[35] W [98%] RP,HF,OC,CP,TR ¦ εν ℵB,D,N [2%] NU
[11] αμαρτη **f**[35] W [25%] CP ¦ αμαρτηση ℵB,D,N [74%] RP,HF,OC,TR,NU ¦ αμαρτει [0.5%] ¦ αμαρτησει [0.5%] [2nd or 1st aorist?]
[12] εις σε **f**[35] D,N,W [99%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB [1%]
[13] υπαγε **f**[35] ℵB,D [30%] NU ¦ 1 και N,W [70%] RP,HF,OC,CP,TR
[14] τω ουρανω **f**[35] N,W [98.5%] RP,HF,OC,CP,TR ¦ 2 B [0.5%] NU ¦ τοις ουρανοις ℵD [1%]
[15] τω ουρανω **f**[35] N,W [98.5%] RP,HF,OC,CP,TR ¦ 2 ℵB [0.5%] NU ¦ τοις ουρανοις D [1%]
[16] αμην **f**[35] B [95%] RP,HF,OC,CP[NU] ¦ --- ℵD [4%] TR ¦ δε N,W [1%]
[17] υμων συμφωνησωσιν **f**[35] W [96%] RP,HF,OC,CP,TR ¦ εξ 12 [1.5%] ¦ 1 συμφωνησουσιν N [0.5%] ¦ ~ 2 εξ 1 B [1%] NU ¦ ~ συμφωνησουσιν εξ 1 ℵD [0.5%] ¦ two other variants

About forgiveness

21 Τότε προσελθὼν αὐτῷ ὁ Πέτρος εἶπεν,[1] «Κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ· ἕως ἑπτάκις;» **22** Λέγει αὐτῷ ὁ Ἰησοῦς· «Οὐ, λέγω σοι, ἕως ἑπτάκις, ἀλλ'[2] ἕως ἑβδομηκοντάκις ἑπτά.

23 »Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ ὃς ἠθέλησεν συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. **24** Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. **25** Μὴ ἔχοντος δὲ αὐτοῦ[3] ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν ὁ κύριος αὐτοῦ[4] πραθῆναι, καὶ τὴν γυναῖκα αὐτοῦ[5] καὶ τὰ τέκνα καὶ πάντα ὅσα εἶχεν,[6] καὶ ἀποδοθῆναι. **26** Πεσὼν οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ λέγων, ‹Κύριε,[7] μακροθύμησον ἐπ᾽ ἐμοί, καὶ πάντα σοι ἀποδώσω.›[8] **27** Σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκείνου ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ.

28 »Ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια. Καὶ κρατήσας αὐτὸν ἔπνιγεν, λέγων, ‹Ἀπόδος μοι[9] εἴ[10] τι ὀφείλεις.› **29** Πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ εἰς τοὺς πόδας αὐτοῦ[11] παρεκάλει αὐτόν, λέγων, ‹Μακροθύμησον ἐπ᾽ ἐμοί, καὶ[12] ἀποδώσω σοι.› **30** Ὁ δὲ οὐκ ἤθελεν, ἀλλὰ ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακὴν ἕως οὗ[13] ἀποδῷ τὸ ὀφειλόμενον. **31** Ἰδόντες δὲ[14] οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα ἐλυπήθησαν σφόδρα, καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ ἑαυτῶν[15] πάντα τὰ γενόμενα. **32** Τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ λέγει αὐτῷ· ‹Δοῦλε πονηρέ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με. **33** Οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ[16] σε ἠλέησα;› **34** Καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ.[17]

35 »Οὕτως καὶ ὁ Πατήρ μου ὁ ἐπουράνιος[18] ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν.»[19]

Jesus ministers in Perea—29/30 AD

19:1 Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, μετῆρεν ἀπὸ τῆς Γαλιλαίας καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου. **2** Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτοὺς ἐκεῖ.

Jesus denies divorce

3 Καὶ προσῆλθον αὐτῷ οἱ[20] Φαρισαῖοι πειράζοντες αὐτόν, καὶ λέγοντες αὐτῷ,[21] «Εἰ ἔξεστιν

---

[1] αυτω ο πετρος ειπεν **f**[35] N,W [99%] RP,HF,OC,CP,TR ¦ ~ 2341 B [1%] NU ¦ 234 ℵ ¦ ~ 341 D
[2] αλλ *rell* ¦ αλλα B,D [0.5%] NU
[3] αυτου *rell* ¦ αυτω CP
[4] αυτου **f**[35] N,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU
[5] αυτου **f**[35] D,N,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB [1%] NU
[6] ειχεν **f**[35] ℵD,N,W [99%] RP,HF,OC,CP,TR ¦ εχει B [1%] NU
[7] κυριε **f**[35] ℵW [99%] RP,HF,OC,CP,TR ¦ --- B,D [1%] NU
[8] σοι αποδωσω **f**[35] W [97%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB [3%] NU ¦ 2 D
[9] μοι **f**[35] C [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D,W [3%] NU
[10] ει *rell* ¦ ο [5%] TR
[11] εις τους ποδας αυτου **f**[35] W [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,D [3%] NU (easy homoioteleuton)
[12] και *rell* ¦ 1 παντα W [10%] TR
[13] ου **f**[35] D,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C [0.5%] NU
[14] δε **f**[35] C,W [99.5%] RP,HF,OC,CP,TR ¦ ουν ℵB,D [0.5%] NU
[15] εαυτων *rell* ¦ αυτων D [10%] TR
[16] και εγω **f**[35] C,W [99%] RP,HF,OC,CP,TR ¦ καγω P[25]ℵB,D [1%] NU
[17] αυτω **f**[35] ℵ,C,W [99%] RP,HF,OC,CP,TR ¦ --- B,D [1%] NU
[18] επουρανιος **f**[35] C,W [95%] RP,HF,OC,CP,TR ¦ ουρανιος ℵB,D [5%] NU
[19] τα παραπτωματα αυτων **f**[35] C,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1%] NU (possible homoioteleuton)
[20] οι **f**[35] ℵD [95%] RP,HF,OC,CP,TR ¦ --- P[25]B,C,W [5%] NU
[21] αυτω **f**[35] W [95%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C(D) [5%] NU

ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν;» **4** Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς·[1] «Οὐκ ἀνέγνωτε ὅτι ὁ ποιήσας[2] ἀπ᾽ ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς; **5** Καὶ εἶπεν, ‹Ἕνεκεν[3] τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ[4] καὶ τὴν μητέρα καὶ προσκολληθήσεται[5] πρὸς τὴν γυναῖκα[6] αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.› **6** Ὥστε οὐκέτι εἰσὶν δύο, ἀλλὰ σὰρξ μία. Ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.» **7** Λέγουσιν αὐτῷ, «Τί οὖν Μωσῆς[7] ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου καὶ ἀπολῦσαι αὐτήν;»[8] **8** Λέγει αὐτοῖς ὅτι «Μωσῆς[9] πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν, ἀπ᾽ ἀρχῆς δὲ οὐ γέγονεν οὕτως. **9** Λέγω δὲ ὑμῖν ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, μὴ ἐπὶ πορνείᾳ,[10] καὶ γαμήσῃ[11] ἄλλην μοιχᾶται· καὶ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται.»[12] **10** Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ,[13] «Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι.» **11** Ὁ δὲ εἶπεν αὐτοῖς· «Οὐ πάντες χωροῦσιν τὸν λόγον τοῦτον,[14] ἀλλ᾽ οἷς δέδοται. **12** Εἰσὶν γὰρ εὐνοῦχοι οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν[15] οὕτως, καί εἰσιν εὐνοῦχοι οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων, καί εἰσιν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Ὁ δυνάμενος χωρεῖν χωρείτω.»

Jesus blesses children

13 Τότε προσηνέχθη[16] αὐτῷ παιδία, ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς[17] καὶ προσεύξηται· οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς. **14** Ὁ δὲ Ἰησοῦς εἶπεν, «Ἄφετε τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.» **15** Καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας[18] ἐπορεύθη ἐκεῖθεν.

It is difficult for a rich person to enter the Kingdom

16 Καὶ ἰδού, εἷς τις[19] προσελθὼν εἶπεν αὐτῷ,[20] «Διδάσκαλε ἀγαθέ,[21] τί ἀγαθὸν ποιήσω ἵνα ἔχω ζωὴν αἰώνιον;»[22] **17** Ὁ δὲ εἶπεν αὐτῷ· «Τί με λέγεις ἀγαθόν;[23] Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς, ὁ Θεός.[24] Εἰ δὲ θέλεις εἰσελθεῖν εἰς τὴν ζωήν,[25] τήρησον τὰς ἐντολάς.» **18** Λέγει αὐτῷ, «Ποίας;» Ὁ δὲ Ἰησοῦς εἶπεν· «Τὸ ‹Οὐ φονεύσεις, Οὐ μοιχεύσεις, Οὐ κλέψεις, Οὐ ψευδομαρτυρήσεις, **19** Τίμα

---

[1] αυτοις **f**[35] C,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1%] NU
[2] ποιησας **f**[35] ℵ,C,D,W [99%] RP,HF,OC,CP,TR ¦ κτισας B [1%] NU
[3] ενεκεν **f**[35] C,D,W [99.5%] RP,HF,OC,CP,TR ¦ ενεκα ℵB [0.5%] NU
[4] αυτου **f**[35] C [50%] OC,CP ¦ --- ℵB,D,W [50%] RP,HF,TR,NU
[5] προσκολληθησεται **f**[35] ℵC [90%] RP,HF,CP,TR ¦ κολληθησεται B,D,W [10%] OC,NU
[6] προς την γυναικα **f**[35] [20%] ¦ τη γυναικι ℵB,C,D,W [80%] RP,HF,OC,CP,TR,NU
[7] μωσης *rell* ¦ μωυσης B(D)N,W [5%] NU
[8] αυτην **f**[35] B,C,N,W [99%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵD [1%]
[9] μωσης *rell* ¦ μωυσης B(D)N,W [5%] NU
[10] μη επι πορνεια **f**[35] ℵ,C,N,W [95%] RP,HF,OC,CP,NU ¦ ει 123 [3%] TR ¦ παρεκτος λογου πορνειας B,D [2%]
[11] γαμηση *rell* ¦ γαμησει [5%] CP
[12] και ο απολελυμενην γαμησας μοιχαται **f**[35] B [95%] RP,HF,OC,CP,TR ¦ --- ℵD [0.5%] NU ¦ 123 γαμων 5 C,N,W [4.5%] ¦ ωσαυτως 12 γαμων 35 P[25]
[13] αυτου **f**[35] ❗[25]D,N,W [99.5%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB [0.5%]
[14] τουτον **f**[35] ℵ,C,D,N,W [99%] RP,HF,OC,CP,TR[NU] ¦ --- B [1%]
[15] εγεννηθησαν *rell* ¦ εγενηθησαν [1%] CP
[16] προσηνεχθη **f**[35] W [97%] RP,HF,OC,TR ¦ προσηνεχθησαν ℵB,C,D [3%] CP,NU
[17] τας χειρας επιθη αυτοις *rell* ¦ ~ 3412 [1%] OC
[18] αυτοις τας χειρας **f**[35] C,W [96%] RP,HF,CP,TR ¦ ~ 231 B,D [3%] OC,NU ¦ ~ 23 επ αυτους ℵ ¦ 23 [1%]
[19] τις **f**[35] [25%] ¦ --- ℵB,C,D,W [75%] RP,HF,OC,CP,TR,NU
[20] ειπεν αυτω **f**[35] C,W [98%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB [2%] NU ¦ λεγει 2 D
[21] αγαθε **f**[35] C,W (99%) RP,HF,OC,CP,TR ¦ --- ℵB,D (1%) NU
[22] ποιησω ινα εχω ζωην αιωνιον **f**[35] (W) [98.5%] RP,HF,OC,CP,TR ¦ 12 σχω 45 B,C,D [0.5%] NU ¦ ποιησας 45 κληρονομησω ℵ [1%]
[23] λεγεις αγαθον **f**[35] C,W (99%) RP,HF,OC,CP,TR ¦ ερωτας περι του αγαθου ℵB(D) (0.9%) NU ¦ --- (0.2%)
[24] ουδεις αγαθος ει μη εις ο θεος **f**[35] C,W (99.1%) RP,HF,OC,CP,TR ¦ εις (–ε. B) εστιν ο αγαθος ℵ(B) (0.3%) NU ¦ εις εστιν αγαθος D (0.6%)
[25] εισελθειν εις την ζωην **f**[35] W [97%] RP,HF,OC,CP,TR ¦ ~ 2341 ℵB,C(D) [3%] NU

τὸν πατέρα[1] καὶ τὴν μητέρα,›[2] καὶ ‹Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.› » **20** Λέγει αὐτῷ ὁ νεανίσκος· «Πάντα ταῦτα ἐφυλαξάμην[3] ἐκ νεότητός μου.[4] Τί ἔτι ὑστερῶ;» **21** Ἔφη αὐτῷ ὁ Ἰησοῦς, «Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς[5] πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ·[6] καὶ δεῦρο ἀκολούθει μοι.» **22** Ἀκούσας δὲ ὁ νεανίσκος τὸν λόγον ἀπῆλθεν λυπούμενος, ἦν γὰρ ἔχων κτήματα πολλά.

23 Ὁ δὲ Ἰησοῦς εἶπεν τοῖς μαθηταῖς αὐτοῦ· «Ἀμὴν λέγω ὑμῖν ὅτι δυσκόλως πλούσιος[7] εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. **24** Πάλιν δὲ λέγω ὑμῖν, εὐκοπώτερόν ἐστιν κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν[8] ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν.»[9] **25** Ἀκούσαντες δὲ οἱ μαθηταὶ αὐτοῦ[10] ἐξεπλήσσοντο σφόδρα, λέγοντες, «Τίς ἄρα δύναται σωθῆναι;» **26** Ἐμβλέψας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, «Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστιν, παρὰ δὲ Θεῷ πάντα δυνατά.»[11]

27 Τότε ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ· «Ἰδού, ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι. Τί ἄρα ἔσται ἡμῖν;» **28** Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· «Ἀμὴν λέγω ὑμῖν ὅτι ὑμεῖς, οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ Παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε[12] καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους,[13] κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. **29** Καί, πᾶς ὃς[14] ἀφῆκεν οἰκίας ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς[15] ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται,[16] καὶ ζωὴν αἰώνιον κληρονομήσει. **30** Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ[17] ἔσχατοι πρῶτοι.

The desperate landowner

20:1 »Ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. **2** Καὶ συμφωνήσας[18] μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. **3** Καὶ ἐξελθὼν περὶ[19] τρίτην

---

[1] πατερα *rell* ¦ 1 σου W [35%] TR
[2] μητερα *rell* ¦ 1 σου [5%] CP
[3] εφυλαξαμην **f**^{35} C,W [98.5%] RP,HF,OC,CP,TR ¦ εφυλαξα ℵB,D [1.5%] NU
[4] εκ νεοτητος μου **f**^{35} C,W (99%) RP,HF,OC,CP,TR ¦ --- ℵB (1%) NU ¦ 12 D
[5] δος **f**^{35} ℵC,W [99.5%] RP,HF,OC,CP,TR ¦ 1 τοις B,D [0.5%] [NU]
[6] ουρανω **f**^{35} ℵW [99.5%] RP,HF,OC,CP,TR ¦ ουρανοις B,C,D [0.5%] NU
[7] δυσκολως πλουσιος **f**^{35} W [97%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB,C,D [3%] NU
[8] διελθειν **f**^{35} B,D [90%] RP,HF,OC,CP,TR,NU ¦ εισελθειν ℵ,C(W) [10%]
[9] εις την βασιλειαν του θεου εισελθειν **f**^{35} C,W [98.5%] RP,HF,OC,CP,TR ¦ ~ 612345 B,D [0.5%] NU ¦ 12345 ℵ [0.5%] ¦ 123 των ουρανων [0.5%]
[10] αυτου **f**^{35} W [90%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,D [10%] NU
[11] παντα δυνατα **f**^{35} B,C,W [70%] RP,HF,CP,NU ¦ ~ 21 ℵ [0.5%] ¦ 12 εστιν D [30%] OC,TR
[12] καθισεσθε **f**^{35} C,D [94%] RP,HF,OC,CP,TR ¦ καθησεσθε ℵB,W [5%] NU ¦ καθεσθησεσθε [1%] ¦ two other readings
[13] θρονους rell ¦ θρονων CP
[14] ος **f**^{35} [90%] RP,HF,OC,CP,TR ¦ οστις ℵB,C,D,W [10%] NU
[15] οικιας η αδελφους η αδελφας η πατερα η μητερα η γυναικα η τεκνα η αγρους **f**^{35} W [66%] RP,HF,OC,TR ¦ οικιαν 2-15 **f**^{35pt} [30%] CP ¦ 1-9,12-15 B [0.5%] NU ¦ 3-15 ℵ [0.5%] ¦ ~ 3-15,21 C [1%] ¦ 1-5,8-9,12-15 D ¦ ~ 3-6 γονεις 12-15,21 [1%] ¦ at least three further variations [Plural or singular? As with the brothers, if you only have one, that is all you can leave; and if you have none, you leave none. In the parallel passages in Mark and Luke, the evidence is all but unanimous for the singular, so where did Matthew get the plural? Matthew heard Jesus say it, in Hebrew, whereas Mark and Luke did not. Since comparatively few people would have more than one house, presumably, the singular is expected. If the original of Matthew was singular, why would anyone change it to plural, since no one did it in Mark or Luke? But if the original was plural, there would be obvious pressure to change it to singular. The cruel fact is that the family representatives are evenly divided, but I consider that the better representatives are generally on the side of the plural. Putting it all together, I consider that the first form reproduces the archetype, even though there is reasonable doubt.]
[16] ληψεται rell ¦ λημψεται ℵB,C,D,W [1%] NU
[17] και rell ¦ 1 οι C [5%] CP
[18] και συμφωνησας **f**^{35} [85%] RP,HF,OC,CP ¦ ~ 2 δε ℵB,C,D,W [15%] TR,NU
[19] περι rell ¦ 1 την C [5%] TR

ὥραν εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς. **4** Καὶ ἐκείνοις[1] εἶπεν, ‹Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον δώσω ὑμῖν.› Οἱ δὲ ἀπῆλθον. **5** Πάλιν[2] ἐξελθὼν περὶ ἕκτην καὶ ἐνάτην[3] ὥραν ἐποίησεν ὡσαύτως. **6** Περὶ δὲ τὴν ἑνδεκάτην ὥραν[4] ἐξελθὼν εὗρεν ἄλλους ἑστῶτας ἀργούς,[5] καὶ λέγει αὐτοῖς, ‹Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;› **7** Λέγουσιν αὐτῷ, ‹Ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο.› Λέγει αὐτοῖς, ‹Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον λήψεσθε.›[6] **8** Ὀψίας δὲ γενομένης, λέγει ὁ κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ, ‹Κάλεσον τοὺς ἐργάτας καὶ ἀπόδος αὐτοῖς τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων.› **9** Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν ἔλαβον ἀνὰ δηνάριον. **10** Ἐλθόντες δὲ[7] οἱ πρῶτοι ἐνόμισαν ὅτι πλείονα[8] λήψονται·[9] καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον.[10] **11** Λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, **12** λέγοντες ὅτι[11] ‹Οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασιν τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα.› **13** Ὁ δὲ ἀποκριθεὶς εἶπεν ἑνὶ αὐτῶν·[12] ‹Ἑταῖρε, οὐκ ἀδικῶ σε. Οὐχὶ δηναρίου συνεφώνησάς μοι; **14** Ἆρον τὸ σὸν καὶ ὕπαγε. Θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί. **15** Ἢ[13] οὐκ ἔξεστίν μοι ποιῆσαι ὃ θέλω[14] ἐν τοῖς ἐμοῖς; Εἰ[15] ὁ ὀφθαλμός σου πονηρός ἐστιν ὅτι ἐγὼ ἀγαθός εἰμι;› **16** Οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι. Πολλοὶ γάρ εἰσιν κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.»[16]

Jesus alerts the disciples, again

17 Καὶ ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἰεροσόλυμα παρέλαβεν τοὺς δώδεκα μαθητὰς[17] κατ᾽ ἰδίαν ἐν τῇ ὁδῷ καὶ[18] εἶπεν αὐτοῖς· **18** «Ἰδού, ἀναβαίνομεν εἰς Ἰεροσόλυμα, καὶ ὁ Υἱὸς τοῦ Ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσιν καὶ γραμματεῦσιν, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, **19** καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ σταυρῶσαι. Καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.»[19]

Selfish ambition rebuked

20 Τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου μετὰ τῶν υἱῶν αὐτῆς, προσκυνοῦσα καὶ αἰτοῦσά τι παρ᾽[20] αὐτοῦ. **21** Ὁ δὲ εἶπεν αὐτῇ, «Τί θέλεις;» Λέγει αὐτῷ, «Εἰπὲ ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων[21] σου[22] ἐν τῇ βασιλείᾳ σου.» **22** Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· «Οὐκ οἴδατε τί αἰτεῖσθε. Δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ μέλλω πίνειν, ἢ[23] τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι;»[24] Λέγουσιν αὐτῷ, «Δυνάμεθα.»

---

[1] και εκεινοις **f**[35] ℵB,W [90%] RP,HF,OC,CP,NU ¦ κακεινοις C,D [10%] TR
[2] παλιν **f**[35] B,W [99%] RP,HF,OC,CP,TR ¦ 1 δε ℵ,C,D [1%] [NU]
[3] ενατην **f**[35] ℵB,C,W [90%] RP,HF,OC,CP,NU ¦ εννατην (D) [10%] TR
[4] ωραν **f**[35] C,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU
[5] αργους **f**[35] C,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1%] NU
[6] και ο εαν η δικαιον ληψεσθε **f**[35] (C,N,W) [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1%] NU
[7] ελθοντες δε **f**[35] ℵ,W [97.5%] RP,HF,OC,CP,TR ¦ ~ και 1 B,C,D [2%] NU ¦ 12 και N [0.5%]
[8] πλειονα **f**[35] ℵ [97%] RP,HF,OC,CP,TR ¦ πλειον B,C,N,W [3%] NU ¦ πλειω D
[9] ληψονται rell ¦ λημψονται ℵB,C,D,W [1%] NU ¦ λημψοντε N
[10] και αυτοι ανα δηναριον **f**[35] D,W [99%] RP,HF,OC,CP,TR ¦ ~ 3412 B ¦ ~ το 3412 ℵ [0.5%] [NU] ¦ ~ 34 το 12 C ¦ 12 το 34 N
[11] οτι **f**[35] C,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU
[12] ειπεν ενι αυτων **f**[35] C,N,W [99%] RP,HF,OC,CP,TR ¦ ~ 231 ℵD [0.5%] NU ¦ ~ 321 B ¦ one other variant
[13] η **f**[35] ℵ,C,N,W [99.5%] RP,HF,OC,CP,TR[NU] ¦ --- B,D [0.5%]
[14] ποιησαι ο θελω **f**[35] C,N [97%] RP,HF,OC,CP,TR ¦ ~ 231 ℵB,D [3%] NU ¦ 1 ως 3 W
[15] ει **f**[35] [85%] RP,HF,OC,CP,TR ¦ η ℵB,C,D,N,W [15%] NU
[16] πολλοι γαρ εισιν κλητοι ολιγοι δε εκλεκτοι **f**[35] C,D,N,W (98.5%) RP,HF,OC,CP,TR ¦ --- ℵB (1.5%) NU
[17] μαθητας **f**[35] B,C,N,W [98.5%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵD [1.5%]
[18] εν τη οδω και **f**[35] C,D,N,W [97%] RP,HF,OC,CP,TR ¦ ~ 4123 ℵB [3%] NU
[19] αναστησεται **f**[35] B,D,W [99%] RP,HF,OC,CP,TR ¦ εγερθησεται ℵC,N [1%] NU
[20] παρ **f**[35] ℵC,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ απ B,D [0.5%] NU
[21] ευωνυμων rell ¦ ευωνιμων CP
[22] σου rell ¦ --- D [5%] TR
[23] η **f**[35] C,N,W [90%] RP,HF,OC,CP ¦ και [9%] TR ¦ --- ℵB,D [1%] NU
[24] το βαπτισμα ο εγω βαπτιζομαι βαπτισθηναι **f**[35] C,N,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1%] NU

23 Καὶ[1] λέγει αὐτοῖς· «Τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε,[2] τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου[3] οὐκ ἔστιν ἐμὸν[4] δοῦναι, ἀλλ᾽ οἷς ἡτοίμασται ὑπὸ τοῦ Πατρός μου.»

24 Καὶ ἀκούσαντες οἱ δέκα ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν. **25** Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς εἶπεν· «Οἴδατε ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν· **26** οὐχ οὕτως δὲ[5] ἔσται[6] ὑμῖν. Ἀλλ᾽ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι ἔσται[7] ὑμῶν διάκονος, **27** καὶ ὃς ἐὰν[8] θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος ἔσται[9] ὑμῶν δοῦλος· **28** ὥσπερ ὁ Υἱὸς τοῦ Ἀνθρώπου—οὐκ ἦλθεν διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.»

Two blind men

29 Καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἰεριχώ, ἠκολούθησεν αὐτῷ ὄχλος πολύς. **30** Καὶ ἰδού, δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδόν, ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, ἔκραξαν, λέγοντες, «Ἐλέησον ἡμᾶς, Κύριε,[10] Υἱὸς Δαυίδ.» **31** Ὁ δὲ ὄχλος ἐπετίμησεν αὐτοῖς ἵνα σιωπήσωσιν, οἱ δὲ μεῖζον ἔκραζον,[11] λέγοντες, «Ἐλέησον ἡμᾶς, Κύριε, Υἱὸς Δαυίδ.» **32** Καὶ στὰς ὁ Ἰησοῦς ἐφώνησεν αὐτοὺς καὶ εἶπεν, «Τί θέλετε ποιήσω ὑμῖν;» **33** Λέγουσιν αὐτῷ, «Κύριε, ἵνα ἀνοιχθῶσιν[12] ἡμῶν οἱ ὀφθαλμοί.»[13] **34** Σπλαγχνισθεὶς[14] δὲ ὁ Ἰησοῦς ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν,[15] καὶ εὐθέως ἀνέβλεψαν αὐτῶν οἱ ὀφθαλμοί,[16] καὶ ἠκολούθησαν αὐτῷ.

The last week

The triumphal entry—Sunday, 03/31/30 AD

21:1 Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα καὶ ἦλθον εἰς Βηθσφαγῆ,[17] πρὸς[18] τὸ Ὄρος τῶν Ἐλαιῶν, τότε ὁ[19] Ἰησοῦς ἀπέστειλεν δύο μαθητάς, **2** λέγων αὐτοῖς· «Πορεύθητε[20] εἰς τὴν κώμην τὴν ἀπέναντι[21] ὑμῶν, καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένην,[22] καὶ πῶλον μετ᾽ αὐτῆς. Λύσαντες ἀγάγετέ μοι. **3** Καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε ὅτι ‹Ὁ Κύριος αὐτῶν χρείαν ἔχει›· εὐθέως[23] δὲ ἀποστέλλει[24] αὐτούς.» **4** Τοῦτο δὲ ὅλον[25] γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου, λέγοντος· **5** «Εἴπατε τῇ θυγατρὶ Σιών, ‹Ἰδού, ὁ βασιλεύς σου ἔρχεταί σοι, πραὺς καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον,

---

[1] και **f**35 C,N,W [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [2%] NU
[2] και το βαπτισμα ο εγω βαπτιζομαι βαπτισθησεσθε **f**35 C,N,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1%] NU
[3] μου **f**35 N,W [85%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,D [15%] NU
[4] εμον **f**35 ℵB,N [97%] RP,HF,OC,CP,TR ¦ 1 τουτο C,D,W [3%] [NU]
[5] δε **f**35 C [85%] RP,HF,CP,TR ¦ --- ℵB,D,W [15%] OC,NU
[6] εσται **f**35 [20%] ¦ 1 εν ℵB,C,D,N,W [80%] RP,HF,OC,CP,TR,NU
[7] εσται rell ¦ εστω [10%] TR
[8] εαν **f**35 C,N [99%] RP,HF,OC,CP,TR ¦ αν ℵB,D,W [0.5%] NU ¦ --- [0.5%]
[9] εσται **f**35 𝔓45C,N,W [35%] OC,CP,NU ¦ εστω B [65%] RP,HF,TR ¦ εστε ℵD
[10] ελεησον ημας κυριε **f**35 𝔓45C,W [98%] RP,HF,OC,CP,TR[NU] ¦ ~ 312 B [0.5%] ¦ 12 ιησου ℵ [1%] ¦ 123 ιησου N ¦ 12 D [0.5%]
[11] εκραζον **f**35 C,N,W [98%] RP,HF,OC,CP,TR ¦ εκαρξαν ℵB,D [1%] NU ¦ εκραυγασαν 𝔓45 ¦ εκραυγαζον [1%]
[12] ανοιχθωσιν **f**35 C,N [97%] RP,HF,OC,CP,TR ¦ ανοιγωσιν B [3%] NU ¦ ανυγωσιν ℵD ¦ ανεωχθωσιν W
[13] ημων οι οφθαλμοι **f**35 C,N,W [99%] RP,HF,OC,CP,TR ¦ ~ 231 (υμων ℵ) (ℵ)B,D [1%] NU
[14] σπλαγχνισθεις rell ¦ σπλαχνισθεις CP
[15] των οφθαλμων αυτων **f**35 C,N,W [99%] RP,HF,OC,CP,TR ¦ 12 αυτου ℵ ¦ 1 ομματων 3 D [1%] NU ¦ ~ 31 ομματων B
[16] αυτων οι οφθαλμοι **f**35 C,N,W [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [2%] NU
[17] βηθσφαγη **f**35 N,W [85%] RP,HF,OC,CP ¦ βηθφαγη ℵB,C,D [15%] TR,NU ¦ three other spellings
[18] προς **f**35 ℵC,D,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ εις B [0.5%] NU
[19] ο **f**35 ℵ(N)W [93%] RP,HF,OC,CP,TR ¦ --- B,C,D [7%] NU
[20] πορευθητε **f**35 C,N,W [96%] RP,HF,OC,CP,TR ¦ πορευεσθε ℵB,D [4%] NU ¦ one other variant
[21] απεναντι **f**35 N,W [95%] RP,HF,OC,TR ¦ κατεναντι ℵB,C,D [5%] CP,NU
[22] δεδεμενην rell ¦ δεδεμενον CP
[23] ευθεως **f**35 C(D)N,W [99%] RP,HF,OC,CP,TR ¦ ευθυς ℵB [1%] NU
[24] αποστελλει **f**35 C,N,W [96%] RP,HF,OC,CP ¦ αποστελει ℵB,D [4%] TR,NU ¦ one other variant
[25] ολον **f**35 B,N,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵC,D [1%] NU

καὶ[1] πῶλον, υἱὸν ὑποζυγίου.› » **6** Πορευθέντες δὲ οἱ μαθηταὶ καὶ ποιήσαντες καθὼς προσέταξεν[2] αὐτοῖς ὁ Ἰησοῦς, **7** ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον. Καὶ ἐπέθηκαν ἐπάνω[3] αὐτῶν τὰ ἱμάτια αὐτῶν,[4] καὶ ἐπεκάθισεν[5] ἐπάνω αὐτῶν. **8** Ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν αὐτῶν[6] τὰ ἱμάτια ἐν τῇ ὁδῷ, ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ. **9** Οἱ δὲ ὄχλοι οἱ προάγοντες[7] καὶ οἱ ἀκολουθοῦντες ἔκραζον, λέγοντες· «Ὡσαννὰ τῷ Υἱῷ Δαυίδ.» «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.» «Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.» **10** Καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἰεροσόλυμα, ἐσείσθη πᾶσα ἡ πόλις, λέγουσα, «Τίς ἐστιν οὗτος;» **11** Οἱ δὲ ὄχλοι ἔλεγον, «Οὗτός ἐστιν Ἰησοῦς, ὁ προφήτης[8] ὁ ἀπὸ Ναζαρὲτ[9] τῆς Γαλιλαίας.»

The second cleansing of the temple

12 Καὶ εἰσῆλθεν ὁ[10] Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ Θεοῦ[11] καὶ ἐξέβαλεν πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψεν καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστεράς. **13** Καὶ λέγει αὐτοῖς, «Γέγραπται, ‹Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται,› ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε[12] ‹σπήλαιον λῃστῶν.› » **14** Καὶ προσῆλθον αὐτῷ χωλοὶ καὶ τυφλοὶ[13] ἐν τῷ ἱερῷ, καὶ ἐθεράπευσεν αὐτούς.

15 Ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὰ θαυμάσια ἃ ἐποίησεν καὶ τοὺς παῖδας[14] κράζοντας ἐν τῷ ἱερῷ καὶ λέγοντας, «Ὡσαννὰ τῷ Υἱῷ Δαυίδ,» ἠγανάκτησαν **16** καὶ εἶπον[15] αὐτῷ, «Ἀκούεις τί οὗτοι λέγουσιν;» Ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς· «Ναί. Οὐδέποτε ἀνέγνωτε ὅτι ‹Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον›;» **17** Καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν καὶ ηὐλίσθη ἐκεῖ.

"If you have faith"—Monday, 04/01/30 AD

18 Πρωΐας[16] δέ, ἐπανάγων εἰς τὴν πόλιν, ἐπείνασεν. **19** Καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ, ἦλθεν ἐπ᾽ αὐτὴν καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ εἰ μὴ φύλλα μόνον. Καὶ λέγει αὐτῇ, «Μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα.» Καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ. **20** Καὶ ἰδόντες οἱ μαθηταὶ ἐθαύμασαν, λέγοντες, «Πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ.» **21** Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· «Ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, ‹Ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν,› γενήσεται. **22** Καὶ πάντα ὅσα ἐὰν[17] αἰτήσητε ἐν τῇ προσευχῇ πιστεύοντες λήψεσθε.»[18]

About John's baptism—Tuesday, 04/02/30 AD

23 Καὶ ἐλθόντι αὐτῷ[19] εἰς τὸ ἱερόν, προσῆλθον αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ, λέγοντες, «Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;» καὶ «Τίς σοι ἔδωκεν τὴν ἐξουσίαν ταύτην;» **24** Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· «Ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα, ὃν ἐὰν

---

[1] και **f**[35] C,D,W (98%) RP,HF,OC,CP,TR ¦ 1 επι ℵB,N (2%) NU
[2] προσεταξεν **f**[35] ℵN,W [99.5%] RP,HF,OC,CP,TR ¦ συνεταξεν B,C,D [0.5%] NU
[3] επανω **f**[35] C,N,W [97%] RP,HF,OC,CP,TR ¦ επ ℵB,D [2%] NU ¦ --- [1%]
[4] αυτων **f**[35] C,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU
[6] επεκαθισεν rell ¦ επεκαθισαν [2%] some TRs ¦ εκαθισεν N,W [4%] ¦ εκαθισαν ℵ ¦ εκαθητο D ¦ two further variants
[6] αυτων **f**[35] D,W [30%] ¦ εαυτων ℵB,C,N [70%] RP,HF,OC,CP,TR,NU
[7] προαγοντες **f**[35] N,W [98%] RP,HF,OC,CP,TR ¦ 1 αυτον ℵB,C,D [2%] NU
[8] ιησους ο προφητης **f**[35] C,N,W [98.5%] RP,HF,OC,CP,TR ¦ ~ 231 ℵB,D [0.5%] NU ¦ 23 [1%]
[9] ναζαρετ **f**[35] N,W [90%] RP,HF,OC,CP,TR ¦ ναζαρεθ ℵB,C,D [10%] NU
[10] ο **f**[35] D,N [92%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,W [8%] NU
[11] του θεου **f**[35] C,D,N,W (96.6%) RP,HF,OC,CP,TR ¦ 2 (0.2%) ¦ --- ℵB (3.2%) NU
[12] εποιησατε **f**[35] C,D(N)W [99.5%] RP,HF,OC,CP,TR ¦ ποιειτε ℵB [0.5%] NU
[13] χωλοι και τυφλοι **f**[35] C,N,W [96%] RP,HF,OC,CP ¦ ~ 321 ℵB,D [4%] TR,NU
[14] παιδας **f**[35] C,W [99%] RP,HF,OC,CP,TR ¦ 1 τους ℵB,D,N [1%] NU
[15] ειπον **𝔓**[45] rell ¦ ειπαν ℵB,D [0.5%] NU
[16] πρωιας **f**[35] C,N,W [99.5%] RP,HF,OC,CP,TR ¦ πρωι ℵB,D [0.5%] NU
[17] εαν **f**[35] C,W [70%] RP,HF,OC,CP ¦ αν ℵB [30%] TR,NU ¦ --- D
[18] ληψεσθε rell ¦ λημψεσθε ℵB,NU ¦ λημψεσθαι D,W [0.5%] ¦ ληψεσθαι [0.5%]
[19] ελθοντι αυτω **f**[35] W [96%] RP,HF,OC,CP,TR ¦ ελθοντος αυτου ℵB,C,D [3%] NU ¦ εισελθοντι 2 [0.5%]

εἴπητέ μοι, κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ· **25** Τὸ βάπτισμα[1] Ἰωάννου—πόθεν ἦν· ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων;» Οἱ δὲ διελογίζοντο παρ'[2] ἑαυτοῖς, λέγοντες· «Ἐὰν εἴπωμεν, ‹Ἐξ οὐρανοῦ,› ἐρεῖ ἡμῖν, ‹Διὰ τί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ;› **26** Ἐὰν δὲ εἴπωμεν, ‹Ἐξ ἀνθρώπων,› φοβούμεθα τὸν ὄχλον, πάντες γὰρ ἔχουσιν τὸν Ἰωάννην ὡς προφήτην.»[3] **27** Καὶ ἀποκριθέντες τῷ Ἰησοῦ εἶπον,[4] «Οὐκ οἴδαμεν.» Ἔφη αὐτοῖς καὶ αὐτός, «Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

Two parables against the Pharisees

28 »Τί δὲ ὑμῖν δοκεῖ; Ἄνθρωπός τις[5] εἶχεν τέκνα δύο· καὶ προσελθὼν τῷ πρώτῳ εἶπεν, ‹Τέκνον, ὕπαγε σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου.›[6] **29** Ὁ δὲ ἀποκριθεὶς εἶπεν, ‹Οὐ θέλω› (ὕστερον δὲ μεταμεληθεὶς ἀπῆλθεν). **30** Καὶ προσελθὼν[7] τῷ ἑτέρῳ[8] εἶπεν ὡσαύτως. Ὁ δὲ ἀποκριθεὶς εἶπεν, ‹Ἐγώ, κύριε› καὶ οὐκ ἀπῆλθεν. **31** Τίς ἐκ τῶν δύο ἐποίησεν τὸ θέλημα τοῦ πατρός;» Λέγουσιν αὐτῷ,[9] «Ὁ πρῶτος.» Λέγει αὐτοῖς ὁ Ἰησοῦς· «Ἀμὴν λέγω ὑμῖν ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. **32** Ἦλθεν γὰρ πρὸς ὑμᾶς Ἰωάννης[10] ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν αὐτῷ· ὑμεῖς δὲ ἰδόντες οὐ[11] μετεμελήθητε ὕστερον τοῦ πιστεῦσαι αὐτῷ.

33 »Ἄλλην παραβολὴν ἀκούσατε· Ἄνθρωπός τις[12] ἦν οἰκοδεσπότης ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ φραγμὸν αὐτῷ περιέθηκεν, καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ ᾠκοδόμησεν πύργον. Καὶ ἐξέδοτο[13] αὐτὸν γεωργοῖς καὶ ἀπεδήμησεν. **34** Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλεν τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς λαβεῖν τοὺς καρποὺς αὐτοῦ. **35** Καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ—ὃν μὲν ἔδηραν,[14] ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν. **36** Πάλιν ἀπέστειλεν ἄλλους δούλους, πλείονας τῶν πρώτων, καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. **37** Ὕστερον δὲ ἀπέστειλεν πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ, λέγων, ‹Ἐντραπήσονται τὸν υἱόν μου.› **38** Οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν εἶπον ἐν ἑαυτοῖς· ‹Οὗτός ἐστιν ὁ κληρονόμος. Δεῦτε, ἀποκτείνωμεν αὐτὸν καὶ κατάσχωμεν[15] τὴν κληρονομίαν αὐτοῦ.› **39** Καὶ λαβόντες αὐτὸν ἐξέβαλον[16] ἔξω τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν. **40** Ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις;» **41** Λέγουσιν αὐτῷ· «Κακοὺς κακῶς ἀπολέσει αὐτούς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται[17] ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν.» **42** Λέγει αὐτοῖς ὁ Ἰησοῦς· «Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς Γραφαῖς· ‹Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστιν θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν›; **43** Διὰ τοῦτο λέγω ὑμῖν ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. **44** Καί, ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν.»[18]

45 Καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τὰς παραβολὰς αὐτοῦ ἔγνωσαν ὅτι περὶ

---

[1] βαπτισμα **f**[35] D,W [99.5%] RP,HF,OC,CP,TR ¦ 1 το ℵB,C [0.5%] NU
[2] παρ **f**[35] ℵC,D,W [99.5%] RP,HF,OC,CP,TR ¦ εν B [0.5%] NU
[3] εχουσιν τον ιωαννην ως προφητην **f**[35] D,W [98.5%] RP,HF,OC,CP,TR ¦ ~ 45123 ℵB,C [1.5%] NU
[4] ειπον rell ¦ ειπαν ℵD [0.5%] NU
[5] τις **f**[35] C [50%] OC,CP ¦ --- ℵB,D,W [50%] RP,HF,TR,NU
[6] μου **f**[35] B,W [92%] RP,HF,OC,CP,TR ¦ --- ℵC,D [8%] NU
[7] και προσελθων **f**[35] C,W [97%] RP,HF,OC,CP,TR ¦ ~ 2 δε ℵB,D [3%] NU
[8] ετερω **f**[35] ℵC,D,W [70%] HF,NU ¦ δευτερω B [30%] RP,OC,CP,TR
[9] αυτω **f**[35] C,W [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [2%] NU
[10] προς υμας ιωαννης **f**[35] D,W [98%] RP,HF,OC,CP,TR ¦ ~ 312 ℵB,C [2%] NU
[11] ου **f**[35] ℵC,W [97%] RP,HF,OC,CP,TR ¦ ουδε B [3%] NU ¦ --- D
[12] τις **f**[35] [90%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,D,W [10%] NU
[13] εξεδοτο **f**[35] D,W [99.5%] RP,HF,OC,CP,TR ¦ εξεδετο ℵC [0.5%] NU ¦ εξεδετε B
[14] εδηραν **f**[35] [25%] ¦ εδειραν ℵB,C,D,W [75%] RP,HF,OC,CP,TR,NU
[15] κατασχωμεν **f**[35] C,W [98.5%] RP,HF,OC,CP,TR ¦ σχωμεν ℵB,D [1.5%] NU
[16] αυτον εξεβαλον rell ¦ ~ 21 CP
[17] εκδωσεται rell ¦ εκδοσεται [10%] TR ¦ εκδωσει C [0.5%]
[18] the whole verse **f**[35] ℵB,C,W [99.9%] RP,HF,OC,CP,TR[NU] ¦ --- D

αὐτῶν λέγει. **46** Καὶ ζητοῦντες αὐτὸν κρατῆσαι, ἐφοβήθησαν τοὺς ὄχλους, ἐπειδὴ ὡς[1] προφήτην αὐτὸν εἶχον.

Parable of the wedding feast

22:1 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς πάλιν εἶπεν αὐτοῖς ἐν παραβολαῖς,[2] λέγων· **2** «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ ὅστις ἐποίησεν γάμους τῷ υἱῷ αὐτοῦ. **3** Καὶ ἀπέστειλεν τοὺς δούλους αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους, καὶ οὐκ ἤθελον ἐλθεῖν. **4** Πάλιν ἀπέστειλεν ἄλλους δούλους, λέγων, ‹Εἴπατε τοῖς κεκλημένοις· «Ἰδού, τὸ ἄριστόν μου ἡτοίμασα·[3] οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα ἕτοιμα. Δεῦτε εἰς τοὺς γάμους.» › **5** Οἱ δὲ ἀμελήσαντες ἀπῆλθον—ὁ[4] μὲν εἰς τὸν ἴδιον ἀγρόν, ὁ[5] δὲ εἰς[6] τὴν ἐμπορίαν αὐτοῦ. **6** Οἱ δὲ λοιποί, κρατήσαντες τοὺς δούλους αὐτοῦ ὕβρισαν καὶ ἀπέκτειναν. **7** Καὶ ἀκούσας ὁ βασιλεὺς ἐκεῖνος[7] ὠργίσθη, καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ ἀπώλεσεν τοὺς φονεῖς ἐκείνους καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησεν.

8 »Τότε λέγει τοῖς δούλοις αὐτοῦ· ‹Ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι. **9** Πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἂν[8] εὕρητε καλέσατε εἰς τοὺς γάμους.› **10** Καὶ ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς συνήγαγον πάντας ὅσους[9] εὗρον, πονηρούς τε καὶ ἀγαθούς· καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων. **11** Εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου. **12** Καὶ λέγει αὐτῷ, ‹Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου;› Ὁ δὲ ἐφιμώθη. **13** Τότε εἶπεν ὁ βασιλεὺς[10] τοῖς διακόνοις, ‹Δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας,[11] ἄρατε αὐτὸν καὶ[12] ἐκβάλετε[13] εἰς τὸ σκότος τὸ ἐξώτερον.› Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. **14** Πολλοὶ γάρ εἰσιν κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.»

Jesus bests the Herodians

15 Τότε πορευθέντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ. **16** Καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν, μετὰ τῶν Ἡρῳδιανῶν, λέγοντες· «Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις· καὶ οὐ μέλει[14] σοι περὶ οὐδενός, οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων. **17** Εἰπὲ οὖν ἡμῖν τί σοι δοκεῖ· ἔξεστιν δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ;» **18** Γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν εἶπεν· «Τί με πειράζετε, ὑποκριταί; **19** Ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου.» Οἱ δὲ προσήνεγκαν[15] αὐτῷ δηνάριον. **20** Καὶ λέγει αὐτοῖς, «Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή;» **21** Λέγουσιν αὐτῷ, «Καίσαρος.» Τότε λέγει αὐτοῖς, «Ἀπόδοτε οὖν τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ.» **22** Καὶ ἀκούσαντες ἐθαύμασαν, καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.[16]

---

[1] επειδη ως **f**[35] C,W [98.5%] RP,HF,OC,CP,TR ¦ επει εις B [1%] NU ¦ επι εις ℵ ¦ επι 2 D ¦ one other variant
[2] αυτοις εν παραβολαις **f**[35] C,W [97%] RP,HF,OC,CP,TR ¦ ~ 231 B,D [2%] NU ¦ ~ 31 ℵ ¦ 23 [0.5%]
[3] ητοιμασα **f**[35] W [96%] RP,HF,OC,CP,TR ¦ ητοιμακα ℵB,C,D [4%] NU
[4] ο **f**[35] ℵC [95%] RP,HF,OC,CP,TR ¦ ος B,W [5%] NU ¦ οι D
[5] ο **f**[35] [95%] RP,HF,OC,CP,TR ¦ ος ℵB,C,W [5%] NU ¦ οι D
[6] εις **f**[35] W [96%] RP,HF,OC,CP,TR ¦ επι ℵB,C,D [4%] NU
[7] και ακουσας ο βασιλευς εκεινος **f**[35] C,W [95%] RP,HF,CP ¦ ~ 5342 D ¦ ~ 2 δε 345 [1%] OC ¦ ~ 2 δε 34 TR ¦ ~ 3 δε 42 [1%] ¦ ~ 3 δε 4 ℵB [2%] NU ¦ ~ 3 δε 425 [1%] ¦ one other variant
[8] αν **f**[35] D,W [60%] RP,HF,TR ¦ εαν ℵB,C [40%] OC,CP,NU ¦ --- [0.5%]
[9] οσους **f**[35] C,W [99.5%] RP,HF,OC,CP,TR ¦ ους ℵB,D [0.5%] NU
[10] ειπεν ο βασιλευς **f**[35] C,D,W [98%] RP,HF,OC,CP,TR ¦ ~ 231 ℵB [2%] NU
[11] χειρας και ποδας **f**[35] [60%] CP ¦ ~ 321 ℵB,C,W [40%] RP,HF,OC,TR,NU ¦ ποδων 2 χειρων D
[12] αρατε αυτον και **f**[35] C,W [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB [3%] NU ¦ 3 D
[13] εκβαλετε **f**[35] C,W [97%] RP,HF,OC,CP,TR ¦ 1 αυτον ℵB(D) [3%] NU
[14] μελει rell ¦ μελλει [10%]
[15] προσηνεγκαν rell ¦ προνηνεγκαν CP
[16] απηλθον rell ¦ απηλθαν B,D,W [0.5%] NU

Jesus bests the Sadducees

23 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι, οἱ[1] λέγοντες μὴ εἶναι ἀνάστασιν, καὶ ἐπηρώτησαν αὐτόν, **24** λέγοντες· «Διδάσκαλε, Μωσῆς[2] εἶπεν, ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. **25** Ἦσαν δὲ παρ᾽ ἡμῖν ἑπτὰ ἀδελφοί. Καὶ ὁ πρῶτος γαμήσας[3] ἐτελεύτησεν, καὶ μὴ ἔχων σπέρμα ἀφῆκεν τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ. **26** Ὁμοίως καὶ ὁ δεύτερος, καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά. **27** Ὕστερον δὲ πάντων ἀπέθανεν καὶ[4] ἡ γυνή. **28** Ἐν τῇ οὖν ἀναστάσει[5] τίνος τῶν ἑπτὰ ἔσται[6] γυνή; Πάντες γὰρ ἔσχον αὐτήν.» **29** Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· «Πλανᾶσθε, μὴ εἰδότες τὰς Γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ. **30** Ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται,[7] ἀλλ᾽ ὡς ἄγγελοι τοῦ Θεοῦ[8] ἐν[9] οὐρανῷ εἰσιν. **31** Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν, οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ Θεοῦ, λέγοντος, **32** ‹Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ›; Οὐκ ἔστιν ὁ Θεὸς[10] Θεὸς νεκρῶν ἀλλὰ ζώντων.» **33** Καὶ ἀκούσαντες οἱ ὄχλοι ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

Jesus bests the Pharisees

34 Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες ὅτι ἐφίμωσεν τοὺς Σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτό. **35** Καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν, νομικός,[11] πειράζων αὐτόν, καὶ λέγων,[12] **36** «Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ;» **37** Ὁ δὲ Ἰησοῦς[13] ἔφη[14] αὐτῷ· « ‹Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ[15] καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ[16] ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου.› **38** Αὕτη ἐστὶν πρώτη καὶ μεγάλη[17] ἐντολή. **39** Δευτέρα δὲ ὁμοία αὕτῃ,[18] ‹Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.› **40** Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ Νόμος καὶ οἱ Προφῆται κρέμανται.»[19]

David's Son and Lord

41 Συνηγμένων δὲ τῶν Φαρισαίων, ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς, **42** λέγων, «Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ· τίνος υἱός ἐστιν;» Λέγουσιν αὐτῷ, «Τοῦ Δαυίδ.» **43** Λέγει αὐτοῖς· «Πῶς οὖν Δαυὶδ ἐν Πνεύματι Κύριον αὐτὸν καλεῖ,[20] λέγων, **44** ‹Εἶπεν ὁ[21] Κύριος τῷ Κυρίῳ μου, «Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον[22] τῶν ποδῶν σου» ›; **45** Εἰ οὖν Δαυὶδ καλεῖ

---

[1] οι **f**[35] [65%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D,W [35%] NU
[2] μωσης **f**[35] ℵ [95%] RP,HF,OC,CP,TR ¦ μωυσης B,D,W [5%] NU
[3] γαμησας **f**[35] D,W [97%] RP,HF,OC,CP,TR ¦ γημας ℵB [3%] NU
[4] και **f**[35] D [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,W [3%] NU
[5] ουν αναστασει **f**[35] W [95%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB,D [5%] NU
[6] εσται rell ¦ 1 η [1%] OC
[7] εκγαμιζονται **f**[35] [93%] RP,HF,OC,CP,TR ¦ γαμιζονται ℵB,D [5%] NU ¦ γαμισκονται W [1%] ¦ three other variants [1%]
[8] του θεου **f**[35] W [95%] RP,HF,CP,TR ¦ 2 ℵ [4%] OC ¦ --- B,D [1%] NU
[9] εν **f**[35] D,W [95%] RP,HF,OC,CP,TR ¦ 1 τω ℵB [5%] NU
[10] ο θεος **f**[35] [97.5%] RP,HF,OC,CP,TR ¦ 1 B [2%] [NU] ¦ --- ℵD,W [0.5%] (An easy case of homoioteleuton, or -arcton, or both.)
[11] νομικος rell [NU] ¦ --- [1%]
[12] και λεγων **f**[35] D,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB [0.5%] NU
[13] ιησους **f**[35] (D)W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB [1%] NU
[14] εφη rell ¦ ειπεν W [5%] TR
[15] τη **f**[35] D [40%] OC,TR,NU ¦ --- ℵB,W [60%] RP,HF,CP
[16] τη **f**[35] ℵD [60%] OC,TR,NU ¦ --- B,W [40%] RP,HF,CP
[17] πρωτη και μεγαλη **f**[35] [95%] RP,HF,OC,CP,TR ¦ ~ 321 D ¦ ~ η 321 ℵB [3.5%] NU ¦ η 123 [1%] ¦ η 12 η 3 W
[18] αὕτη **f**[35] [50%] ¦ αὐτῇ [50%] RP,HF,OC,CP,TR,NU ¦ ταυτη D ¦ --- B (some uncials can be ambiguous)
[19] και οι προφηται κρεμανται **f**[35] W [99%] RP,HF,OC,CP,TR ¦ ~ κρεμαται 123 ℵB,D [1%] NU
[20] κυριον αυτον καλει **f**[35] W [98.5%] RP,HF,OC,CP,TR ¦ ~ 321 D [0.5%] NU [~ 3221 B] ¦ ~ 312 ℵ [0.5%] ¦ two other variants
[21] ο **f**[35] W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU
[22] υποποδιον **f**[35] W [97%] RP,HF,OC,CP,TR ¦ υποκατω ℵB,D [3%] NU

αὐτὸν ‹Κύριον›, πῶς υἱὸς αὐτοῦ ἐστιν;» **46** Καὶ οὐδεὶς ἐδύνατο[1] ἀποκριθῆναι αὐτῷ[2] λόγον, οὐδὲ ἐτόλμησέν τις ἀπ᾽ ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι[3] αὐτὸν οὐκέτι.

Jesus excoriates the scribes and Pharisees

23:1 Τότε ὁ Ἰησοῦς ἐλάλησεν τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ, **2** λέγων· «Ἐπὶ τῆς Μωσέως[4] καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι· **3** πάντα οὖν ὅσα ἐὰν[5] εἴπωσιν ὑμῖν τηρεῖν,[6] τηρεῖτε καὶ ποιεῖτε·[7] κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε, λέγουσιν γὰρ καὶ οὐ ποιοῦσιν. **4** Δεσμεύουσιν γὰρ[8] φορτία βαρέα καὶ δυσβάστακτα,[9] καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων· τῷ δὲ[10] δακτύλῳ αὐτῶν οὐ θέλουσιν κινῆσαι αὐτά.

5 »Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσιν πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. Πλατύνουσιν δὲ[11] τὰ φυλακτήρια αὐτῶν καὶ μεγαλύνουσιν τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν·[12] **6** φιλοῦσιν τε[13] τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, **7** καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων, ‹Ῥαββί, Ῥαββί.›[14]

We have only one Teacher and one Father

8 »Ὑμεῖς δὲ μὴ κληθῆτε ‹Ῥαββί›· εἷς γάρ ἐστιν ὑμῶν[15] ὁ διδάσκαλος,[16] ὁ Χριστός,[17] πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε. **9** Καὶ ‹πατέρα› μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ Πατὴρ ὑμῶν,[18] ὁ ἐν τοῖς οὐρανοῖς.[19] **10** Μηδὲ κληθῆτε καθηγηταί· εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητής,[20] ὁ Χριστός. **11** Ὁ δὲ μείζων ὑμῶν ἔστω[21] ὑμῶν διάκονος. **12** Ὅστις δὲ ὑψώσει ἑαυτὸν ταπεινωθήσεται, καὶ ὅστις ταπεινώσει ἑαυτὸν ὑψωθήσεται.

A series of ‘Woes’

13 »Οὐαὶ δὲ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι. Διὰ τοῦτο λήψεσθε περισσότερον κρῖμα.[22] **14** Οὐαὶ[23] ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν.[24] **15** Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυτον, καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν Γεέννης διπλότερον ὑμῶν.

---

[1] εδυνατο rell ¦ ηδυνατο [5%] CP
[2] αποκριθηναι αυτω **f**[35] ℵB,D [30%] NU ¦ ~ 21 W [69%] RP,HF,OC,CP,TR ¦ 1 [1%]
[3] επερωτησαι rell ¦ επερωταν CP
[4] μωσεως **f**[35] [95%] RP,HF,OC,CP,TR ¦ μωυσεως ℵB(D)W [5%] NU
[5] εαν **f**[35] ℵW [90%] RP,HF,OC,CP,NU ¦ αν B,D [9%] TR ¦ --- [1%]
[6] τηρειν **f**[35] W (97.4%) RP,HF,OC,CP,TR ¦ ποιειν (1.2%) ¦ --- ℵB,D (1.4%) NU
[7] τηρειτε και ποιειτε **f**[35] W (96.3%) RP,HF,OC,CP,TR ¦ ~ ποιησατε 21 B (0.4%) NU ¦ ποιησατε ℵ ¦ ~ 321 D (0.7%) ¦ 3 (0.7%) ¦ 1 (1.2%) ¦ 12 φυλασσετε (0.5%) ¦ one other variant
[8] γαρ **f**[35] D,W [90%] RP,HF,OC,CP,TR ¦ δε ℵB [9%] NU ¦ --- [1%]
[9] και δυσβαστακτα **f**[35] B(D)W [99%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵ [1%]
[10] τω δε **f**[35] W [99%] RP,HF,OC,CP,TR ¦ ~ αυτοι 21 ℵB,D [1%] NU
[11] δε **f**[35] W [95%] RP,HF,CP,TR ¦ γαρ ℵB,D [5%] OC,NU
[12] των ιματιων αυτων **f**[35] W [98.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1.5%] NU
[13] τε **f**[35] W [90%] RP,HF,CP,TR ¦ δε ℵB,D [10%] OC,NU ¦ --- [0.5%] ¦ two other variants
[14] ραββι **f**[35] D,W [95%] RP,HF,OC,CP,TR ¦ --- ℵB [5%] NU
[15] εστιν υμων rell ¦ ~ 21 [2%] OC
[16] διδασκαλος **f**[35] B [30%] OC,NU ¦ καθηγητης ℵD(W) [70%] RP,HF,CP,TR
[17] ο χριστος **f**[35] [96%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D,W [4%] NU
[18] ο πατηρ υμων **f**[35] D,W [99%] RP,HF,OC,CP,TR ¦ ~ 312 ℵB [1%] NU
[19] εν τοις ουρανοις **f**[35] [96%] RP,HF,OC,CP,TR ¦ ουρανιος ℵB [2%] NU ¦ 13 D,W [2%]
[20] εις γαρ εστιν υμων ο καθηγητης **f**[35] ℵ [30%] ¦ 12356 W [2%] ¦ ~ 123564 [1%] ¦ 12456 [0.5%] ¦ ~ 124356 [65%] RP,HF,OC,CP,TR ¦ ~ οτι 6431 B [0.5%] NU ¦ ~ οτι 643 [0.5%] ¦ ~ οτι 64 [0.5%] ¦ ~ οτι 6413 D
[21] εστω **f**[35] [25%] ¦ εσται (ℵ)B,D,W [75%] RP,HF,OC,CP,TR,NU
[22] the whole verse **f**[35] W [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [2%] NU (An easy case of homoioarcton.) [NU calls this verse ‘14’ (omitted) and prints our ‘14’ as ‘13’.] ¦ reverse the order of verses 13 and 14 [1%] some TRs
[23] ουαι **f**[35] ℵW [97%] RP,HF,OC,CP,TR ¦ 1 δε B,D [3%] NU
[24] Some TRs and [1%] invert the order of verses 13 and 14.

16 »Οὐαὶ ὑμῖν, ὁδηγοὶ τυφλοί, οἱ λέγοντες, ‹Ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν· ὃς δ᾽ ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει.› **17** Μωροὶ καὶ τυφλοί· τίς γὰρ μείζων ἐστίν, ὁ χρυσὸς ἢ ὁ ναὸς ὁ ἁγιάζων[1] τὸν χρυσόν; **18** Καί, ‹Ὃς ἐὰν[2] ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν· ὃς δ᾽ ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ, ὀφείλει.› **19** Μωροὶ καὶ[3] τυφλοί· τί γὰρ μεῖζον, τὸ δῶρον ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον; **20** Ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ, ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσιν τοῖς ἐπάνω αὐτοῦ. **21** Καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ, ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ κατοικήσαντι[4] αὐτόν. **22** Καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ, ὀμνύει ἐν τῷ θρόνῳ τοῦ Θεοῦ καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ.

23 »Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου· τὴν κρίσιν καὶ τὸν ἔλεον[5] καὶ τὴν πίστιν. Ταῦτα[6] ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι. **24** Ὁδηγοὶ τυφλοί, οἱ διϋλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες.

25 »Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀδικίας.[7] **26** Φαρισαῖε τυφλέ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος,[8] ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν[9] καθαρόν.

27 »Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας. **28** Οὕτως καὶ ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε[10] ὑποκρίσεως καὶ ἀνομίας.

29 »Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων· **30** καὶ λέγετε,[11] ‹Εἰ ἦμεν[12] ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν[13] ἐν τῷ αἵματι τῶν προφητῶν.› **31** Ὥστε μαρτυρεῖτε ἑαυτοῖς ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας. **32** Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν.

Snakes!

33 »Ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς Γεέννης; **34** Διὰ τοῦτο, ἰδού· ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς· καὶ[14] ἐξ αὐτῶν ἀποκτενεῖτε, καὶ σταυρώσετε· καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν **35** —ὅπως ἔλθῃ ἐφ᾽ ὑμᾶς πᾶν αἷμα δίκαιον ἐκχυνόμενον[15] ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵματος Ἄβελ[16] τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. **36** Ἀμὴν λέγω ὑμῖν ὅτι[17] ἥξει πάντα ταῦτα[18] ἐπὶ τὴν γενεὰν ταύτην.

---

[1] αγιαζων **f**[35] C,W [99.5%] RP,HF,OC,CP,TR ¦ αγιασας ℵB,D [0.5%] NU
[2] εαν **f**[35] W [90%] RP,HF,CP,TR ¦ αν ℵB,C,D [10%] OC,NU
[3] μωροι και **f**[35] B,C,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵD [1%] NU
[4] κατοικησαντι **f**[35] C,D,W [90%] RP,HF,OC,CP ¦ κατοικουντι ℵB [10%] TR,NU
[5] τον ελεον **f**[35] C,W [97%] RP,HF,OC,CP,TR ¦ το ελεος ℵB,D [2%] NU ¦ το 2 [1%]
[6] ταυτα **f**[35] ℵD [95%] RP,HF,CP,TR ¦ 1 δε B,C,W [5%] OC[NU]
[7] αδικιας **f**[35] C [93%] RP,HF,OC,CP ¦ ακρασιας ℵB,D [5%] TR,NU ¦ ακαθαρσιας [1%] ¦ ακρασιας αδικειας W ¦ two other variants
[8] και της παροψιδος **f**[35] ℵB,C,W [99%] RP,HF,OC,CP,TR ¦ --- D [1%] NU
[9] αυτων **f**[35] ℵC,W [97%] RP,HF,OC,CP,TR ¦ αυτου B(D) [3%] NU
[10] μεστοι εστε **f**[35] W [98%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB,C,D [2%] NU
[11] λεγετε rell ¦ 1 οτι [1%] CP
[12] ημεν **f**[35] W [90%] RP,HF,OC,TR ¦ ημεθα ℵB,C,D [10%] CP,NU (twice)
[13] κοινωνοι αυτων **f**[35] ℵC,W [97%] RP,HF,OC,CP,TR ¦ ~ 21 B,D [3%] NU
[14] και **f**[35] C,D [94%] RP,HF,OC,CP,TR ¦ --- ℵB,W [6%] NU
[15] εκχυνομενον **f**[35] [95%] RP,HF,OC,CP,TR ¦ εκχυννομενον ℵB,C(D)W [5%] NU
[16] ἀβελ **f**[35] [90%] RP,OC,CP,TR ¦ ἀβελ [10%] HF,NU
[17] οτι **f**[35] C,W [96%] RP,HF,OC,CP ¦ --- ℵB,D [4%] TR,NU
[18] παντα ταυτα **f**[35] B,W [65%] RP,HF,CP ¦ ~ 21 ℵC,D [35%] OC,TR,NU

Jesus laments over Jerusalem

37 »Ἰερουσαλήμ, Ἰερουσαλήμ, ἡ ἀποκτένουσα[1] τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ὄρνις[2] τὰ νοσσία ἑαυτῆς[3] ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. **38** Ἰδού, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. **39** Λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε[4] ἀπ᾽ ἄρτι ἕως ἂν εἴπητε, ‹Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.› »

The Olivet Discourse

24:1 Καὶ ἐξελθὼν ὁ Ἰησοῦς ἐπορεύετο ἀπὸ τοῦ ἱεροῦ,[5] καὶ προσῆλθον αὐτῷ[6] οἱ μαθηταὶ αὐτοῦ ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ. **2** Ὁ δὲ Ἰησοῦς[7] εἶπεν αὐτοῖς· «Οὐ βλέπετε πάντα ταῦτα;[8] Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ[9] καταλυθήσεται.»

“A beginning of birth pains”

3 Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ Ὄρους τῶν Ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ᾽ ἰδίαν, λέγοντες, «Εἰπὲ ἡμῖν,[10] πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς[11] συντελείας τοῦ αἰῶνος.» **4** Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· «Βλέπετε μή τις ὑμᾶς πλανήσῃ. **5** Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες, ‹Ἐγώ εἰμι ὁ Χριστός,› καὶ πολλοὺς πλανήσουσιν. **6** Μελήσετε[12] δὲ ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων· ὁρᾶτε μὴ θροεῖσθε· δεῖ γὰρ πάντα[13] γενέσθαι, ἀλλ᾽ οὔπω ἐστὶν τὸ τέλος. **7** Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασι-λείαν, καὶ ἔσονται λιμοὶ καὶ λοιμοὶ[14] καὶ σεισμοὶ κατὰ τόπους· **8** πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων.

The increase of lawlessness

9 »Τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν καὶ ἀποκτενοῦσιν ὑμᾶς, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου. **10** Καὶ τότε σκανδαλισθήσονται πολλοί, καὶ ἀλλήλους παραδώσουσιν καὶ μισήσουσιν ἀλλήλους. **11** Καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται καὶ πλανήσουσιν πολλούς. **12** Καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. **13** Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. **14** Καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον πᾶσιν τοῖς ἔθνεσιν, καὶ τότε ἥξει τὸ τέλος.

The Great Tribulation

15 »Ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου, ἑστὼς[15] ἐν τόπῳ ἁγίῳ» (ὁ ἀναγινώσκων νοείτω), **16** «τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ[16] τὰ

---

[1] αποκτενουσα **f**^{35} (א) [87%] RP,HF,CP ¦ αποκτεινουσα B,D,W [10%] TR,NU ¦ αποκτεννουσα C [2%] OC ¦ αποκτεινασα [1%]

[2] επισυναγει ορνις **f**^{35} C,W [97%] RP,HF,OC,CP,TR ¦ ~ 21 אB,D [3%] NU

[3] εαυτης **f**^{35} C [98.5%] RP,HF,OC,CP,TR ¦ αυτης אD,W [1.5%] NU ¦ --- B

[4] ιδητε rell ¦ ιδετε [1%] OC

[5] επορευετο απο του ιερου **f**^{35} C,W [95%] RP,HF,OC,CP,TR ¦ ~ 2341 א [5%] NU ¦ ~ εκ 341 B [0.5%]

[6] αυτω **f**^{35} [25%] ¦ --- אB,C,D,W [75%] RP,HF,OC,CP,TR,NU

[7] ιησους **f**^{35} C,W [96.5%] RP,HF,OC,CP,TR ¦ αποκριθεις אB,D [3%] NU ¦ three other variants

[8] παντα ταυτα **f**^{35} D,W [75%] RP,HF,TR ¦ ~ 21 B,C [25%] OC,CP,NU ¦ 2 א^{v}

[9] ου rell ¦ 1 μη [10%] TR

[10] ημιν rell ¦ υμιν CP

[11] της **f**^{35} D,W [97%] RP,HF,OC,CP,TR ¦ --- אB,C [3%] NU

[12] μελησετε **f**^{35} [25%] ¦ μελλησετε אC [72%] RP,HF,OC,CP,TR,NU ¦ μελλησεται B,W [1%] ¦ μελλετε D [0.5%] ¦ three other spellings [1%] [Is the verb μελλω or μελω? The latter is a good classical verb, and fits the context well.]

[13] παντα **f**^{35} C,W (94.2%) RP,HF,OC,CP,TR ¦ ταυτα (2.2%) ¦ 1 ταυτα (1.6%) ¦ ταυτα 1 (0.7%) ¦ --- אB,D (1%) NU ¦ two other variants (0.2%)

[14] και λοιμοι **f**^{35} C,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- (א)B,D [0.5%] NU (easy homoioteleuton)

[15] εστως **f**^{35} D [80%] RP,HF,OC ¦ εστος אB,W [20%] CP,TR,NU

[16] επι **f**^{35} אW [95%] RP,HF,OC,CP,TR ¦ εις B,D [5%] NU

ὄρη· **17** ὁ ἐπὶ τοῦ δώματος μὴ καταβαινέτω[1] ἆραι τὰ[2] ἐκ τῆς οἰκίας αὐτοῦ, **18** καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὸ ἱμάτιον[3] αὐτοῦ. **19** Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. **20** Προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος μηδὲ[4] σαββάτῳ. **21** Ἔσται γὰρ τότε θλῖψις μεγάλη οἵα οὐ γέγονεν ἀπ᾽ ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδ᾽ οὐ μὴ γένηται. **22** Καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. **23** Τότε ἐάν τις ὑμῖν εἴπῃ, ‹Ἰδού, ὧδε ὁ Χριστός,› ἢ ‹Ὧδε,› μὴ πιστεύσητε. **24** Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσιν σημεῖα μεγάλα καὶ τέρατα ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. **25** Ἰδού, προείρηκα ὑμῖν. **26** Ἐὰν οὖν εἴπωσιν ὑμῖν, ‹Ἰδού, ἐν τῇ ἐρήμῳ ἐστίν,› μὴ ἐξέλθητε· ‹Ἰδού, ἐν τοῖς ταμείοις,› μὴ πιστεύσητε. **27** Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ[5] ἡ παρουσία τοῦ Υἱοῦ τοῦ Ἀνθρώπου· **28** ὅπου γὰρ[6] ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί.

The King's return to earth

29 »Εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων, ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. **30** Καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ Ἀνθρώπου ἐν τῷ[7] οὐρανῷ, καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ὄψονται τὸν Υἱὸν τοῦ Ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. **31** Καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος[8] φωνῆς[9] μεγάλης καὶ ἐπισυνάξουσιν τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ᾽ ἄκρων οὐρανῶν ἕως[10] ἄκρων αὐτῶν.

Learn from the fig tree

32 »Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκεται[11] ὅτι ἐγγὺς τὸ θέρος. **33** Οὕτως καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα πάντα,[12] γινώσκετε ὅτι ἐγγύς ἐστιν, ἐπὶ θύραις. **34** Ἀμὴν λέγω ὑμῖν,[13] οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα ταῦτα γένηται. **35** Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται,[14] οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.

The Rapture

36 »Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ[15] ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν,[16] εἰ μὴ ὁ Πατήρ μου[17] μόνος. **37** Ὥσπερ δὲ[18] αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται καὶ[19] ἡ παρουσία τοῦ Υἱοῦ τοῦ Ἀνθρώπου. **38** Ὥσπερ[20] γὰρ ἦσαν ἐν ταῖς ἡμέραις[21] ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγον-

---

[1] καταβαινετω **f**[35] W [96%] RP,HF,OC,CP,TR ¦ καταβατω ℵB,D [4%] NU
[2] τα rell ¦ τι D [5%] TR ¦ το ℵ
[3] το ιματιον **f**[35] ℵB,D [30%] CP,NU ¦ τα ιματια W [70%] RP,HF,OC,TR
[4] μηδε rell ¦ 1 εν [10%] TR
[5] και **f**[35] W [50%] RP,OC,CP,TR ¦ --- ℵB,D [50%] HF,NU
[6] γαρ **f**[35] W [97%] RP,HF,OC,CP,TR ¦ --- (ℵ)B,D [3%] NU
[7] τω **f**[35] W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB(D) [0.5%] NU
[8] σαλπιγγος rell ¦ 1 και D [5%] CP
[9] φωνης **f**[35] B,D [97%] RP,HF,OC,CP,TR ¦ --- ℵW [3%] NU
[10] εως **f**[35] ℵD,W [97%] RP,HF,OC,CP,TR ¦ 1 των B [3%] [NU]
[11] γινωσκεται **f**[35] D,W [25%] ¦ γινωσκετε ℵB [75%] RP,HF,OC,CP,TR,NU
[12] ταυτα παντα **f**[35] ℵD,W [65%] RP,HF,OC,CP ¦ ~ 21 B [35%] TR,NU
[13] υμιν **f**[35] ℵW [95%] RP,HF,OC,CP,TR ¦ 1 οτι B,D [5%] NU
[14] παρελευσονται **f**[35] W [90%] RP,HF,OC,CP,TR ¦ παρελευσεται B,D [10%] NU ¦ ℵ omits verse
[15] και rell ¦ 1 της [5%] TR
[16] ουρανων **f**[35] W (94.2%) RP,HF,OC,CP,TR ¦ 1 ουδε ο υιος ℵB,D (5.8%) NU
[17] μου **f**[35] W [92%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [8%] NU
[18] δε **f**[35] ℵW [99.7%] RP,HF,OC,CP,TR ¦ γαρ B,D [0.3%] NU
[19] και **f**[35] D,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB [1%] NU
[20] ωσπερ **f**[35] D,W [99.5%] RP,HF,OC,CP,TR ¦ ως ℵB [0.5%] NU
[21] ημεραις **f**[35] ℵW [99.5%] RP,HF,OC,CP,TR ¦ 1 εκειναις B,D [0.5%] [NU]

τες καὶ πίνοντες, γαμοῦντες καὶ ἐκγαμίζοντες,[1] ἄχρι ἧς ἡμέρας εἰσῆλθεν Νῶε εἰς τὴν κιβωτόν, **39** καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται καὶ[2] ἡ παρουσία τοῦ Υἱοῦ τοῦ Ἀνθρώπου. **40** Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ· ὁ[3] εἷς παραλαμβάνεται καὶ ὁ εἷς ἀφίεται. **41** Δύο ἀλήθουσαι ἐν τῷ μυλῶνι·[4] μία παραλαμβάνεται καὶ μία ἀφίεται. **42** Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ[5] ὁ Κύριος ὑμῶν ἔρχεται. **43** Ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν εἴασεν διορυγῆναι[6] τὴν οἰκίαν αὐτοῦ. **44** Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε[7] ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἔρχεται.

45 »Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος ὃν κατέστησεν ὁ κύριος αὐτοῦ[8] ἐπὶ τῆς θεραπείας[9] αὐτοῦ τοῦ διδόναι[10] αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ; **46** Μακάριος ὁ δοῦλος ἐκεῖνος ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως.[11] **47** Ἀμὴν λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσιν τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. **48** Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, ‹Χρονίζει ὁ κύριός μου[12] ἐλθεῖν,›[13] **49** καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους,[14] ἐσθίειν[15] τε[16] καὶ πίνειν[17] μετὰ τῶν μεθυόντων, **50** ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, **51** καὶ διχοτομήσει αὐτόν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει. Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Parable of the ten virgins

25:1 »Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν[18] ἐξῆλθον εἰς ἀπάντησιν[19] τοῦ νυμφίου. **2** Πέντε δὲ ἦσαν ἐξ αὐτῶν[20] φρόνιμοι καὶ αἱ πέντε μωραί.[21] **3** Αἵτινες[22] μωραί, λαβοῦσαι τὰς λαμπάδας αὐτῶν,[23] οὐκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον· **4** αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν[24] μετὰ τῶν λαμπάδων αὐτῶν.[25] **5** Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον· **6** μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ‹Ἰδού, ὁ νυμφίος ἔρχεται,[26] ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ.›[27] **7** Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν.[28] **8** Αἱ δὲ μωραὶ ταῖς

---

[1] εκγαμιζοντες **f**[35] [97%] RP,HF,OC,CP,TR ¦ εγγαμιζοντες [2%] ¦ γαμιζοντες ℵD [0.5%] NU ¦ γαμισκοντες B ¦ εκγαμισκοντες W
[2] και **f**[35] ℵW [99.5%] RP,HF,OC,CP,TR[NU] ¦ --- B,D [0.5%]
[3] ο **f**[35] W [96%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [4%] NU (twice)
[4] μυλωνι **f**[35] D [90%] RP,HF,OC,CP,TR ¦ μυλω ℵB,W [10%] NU
[5] ωρα **f**[35] [95%] RP,HF,OC,CP,TR ¦ ημερα ℵB,D,W [5%] NU
[6] διορυγηναι **f**[35] B,W [98.5%] RP,HF,OC,CP,TR ¦ διορυχθηναι ℵD [1.5%] NU
[7] ωρα ου δοκειτε **f**[35] W [99%] RP,HF,OC,CP,TR ¦ ~ 231 ℵB,D [1%] NU
[8] αυτου **f**[35] W [98.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1.5%] NU
[9] θεραπειας **f**[35] D [94.5%] RP,HF,OC,CP,TR ¦ οικετειας B,W [4%] NU ¦ οικιας ℵ [1.5%]
[10] διδοναι **f**[35] W [92%] RP,HF,OC,CP,TR ¦ δουναι ℵB,C(D) [8%] NU
[11] ποιουντα ουτως **f**[35] W [96%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB,C,D [4%] NU
[12] ο κυριος μου **f**[35] W [97%] RP,HF,OC,CP,TR ¦ ~ 312 ℵB,C,D [3%] NU
[13] ελθειν **f**[35] C,D,W [98.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB [0.5%] NU ¦ ερχεσθαι [1%]
[14] συνδουλους **f**[35] W [90%] RP,HF,CP,TR ¦ 1 αυτου (εαυτου ℵ) (ℵ)B,C,D [10%] OC,NU
[15] εσθιειν **f**[35] W [90%] RP,HF,CP,TR ¦ εσθιη ℵB,C,D [10%] OC,NU
[16] τε **f**[35] C,W [30%] ¦ δε ℵB,D [70%] RP,HF,OC,CP,TR,NU
[17] πινειν **f**[35] W [90%] RP,HF,CP,TR ¦ πινη ℵB,C,D [10%] OC,NU
[18] αυτων **f**[35] ℵC,W [99.5%] RP,HF,OC,CP,TR ¦ εαυτων B,D [0.5%] NU
[19] απαντησιν **f**[35] D,W [99%] RP,HF,OC,CP,TR ¦ υπαντησιν ℵB,C [1%] NU
[20] ησαν εξ αυτων **f**[35] W [95%] RP,HF,OC,CP,TR ¦ ~ 231 ℵB,C,D [5%] NU
[21] φρονιμοι και αι πεντε μωραι **f**[35] [90%] RP,HF,OC,CP,TR ¦ 1245 W [8%] ¦ ~ 5241 ℵB,C,D [2%] NU
[22] αιτινες **f**[35] W [98%] RP,HF,OC,CP,TR ¦ αι γαρ ℵB,C [0.5%] NU ¦ δε αι [1%] ¦ οι ουν D ¦ two other variants
[23] αυτων **f**[35] B,C,D,W [95%] RP,HF,CP,NU ¦ εαυτων [5%] OC,TR ¦ --- ℵ [0.5%]
[24] αυτων **f**[35] C,W [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [2%] NU
[25] αυτων **f**[35] D,W [98.5%] RP,HF,OC,CP,TR ¦ εαυτων ℵB [0.5%] NU ¦ --- C [1%]
[26] ερχεται **f**[35] W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C [1%] NU ¦ εξερχεται D
[27] αυτου **f**[35] A,D,W [99.5%] RP,HF,OC,CP,TR[NU] ¦ αυτω C ¦ --- ℵB [0.5%]
[28] αυτων **f**[35] C,D,W [99%] RP,HF,OC,CP,TR ¦ εαυτων ℵA,B [1%] NU

φρονίμοις εἶπον,[1] ‹Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται.› **9** Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι, ‹Μήποτε οὐκ[2] ἀρκέσῃ[3] ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ[4] μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς.› **10** Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος, καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους—καὶ ἐκλείσθη ἡ θύρα. **11** Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι, λέγουσαι, ‹Κύριε, κύριε, ἄνοιξον ἡμῖν.› **12** Ὁ δὲ ἀποκριθεὶς εἶπεν, ‹Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς.› **13** Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἔρχεται.[5]

Parable of the talents

14 »Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσεν τοὺς ἰδίους δούλους καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ. **15** Καὶ ᾧ μὲν ἔδωκεν πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν, καὶ ἀπεδήμησεν εὐθέως. **16** Πορευθεὶς δὲ[6] ὁ τὰ πέντε τάλαντα λαβὼν εἰργάσατο[7] ἐν αὐτοῖς, καὶ ἐποίησεν[8] ἄλλα πέντε τάλαντα.[9] **17** Ὡσαύτως καὶ[10] ὁ τὰ δύο ἐκέρδησεν καὶ αὐτὸς[11] ἄλλα δύο. **18** Ὁ δὲ τὸ ἓν λαβὼν ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ[12] καὶ ἀπέκρυψεν[13] τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ.

19 »Μετὰ δὲ χρόνον πολύν,[14] ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων καὶ συναίρει μετ᾽ αὐτῶν λόγον.[15] **20** Καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν προσήνεγκεν ἄλλα πέντε τάλαντα, λέγων, ‹Κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε, ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ᾽ αὐτοῖς.›[16] **21** Ἔφη δὲ[17] αὐτῷ ὁ κύριος αὐτοῦ· ‹Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω. Εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.› **22** Προσελθὼν δὲ[18] καὶ ὁ τὰ δύο τάλαντα λαβὼν[19] εἶπεν, ‹Κύριε, δύο τάλαντά μοι παρέδωκας· ἴδε, ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ᾽ αὐτοῖς.›[20] **23** Ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· ‹Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω. Εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.›

24 »Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰληφὼς εἶπεν· ‹Κύριε, ἔγνων σε ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας. **25** Καὶ φοβηθεὶς ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε, ἔχεις τὸ σόν.› **26** Ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ εἶπεν αὐτῷ· ‹Πονηρὲ δοῦλε καὶ ὀκνηρέ, ᾔδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα. **27** Ἔδει οὖν σε[21] βαλεῖν τὸ ἀργύριόν[22] μου τοῖς τραπεζίταις, καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. **28** Ἄρατε οὖν ἀπ᾽ αὐτοῦ τὸ τάλαντον καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα. **29** Τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται, καὶ περισσευθήσεται· ἀπὸ δὲ τοῦ[23] μὴ ἔχοντος,

---

[1] ειπον rell ¦ ειπαν B,C [0.5%] NU
[2] ουκ **f**[35] ℵA [85%] RP,HF,OC,CP,TR ¦ ου μη B,C,D,W [15%] NU
[3] αρκεση rell ¦ αρκεσει D [5%] OC,CP
[4] δε **f**[35] C,W [90%] RP,HF,OC,CP,TR ¦ --- ℵA,B,D [10%] NU
[5] εν η ο υιος του ανθρωπου ερχεται **f**[35] (89.3%) RP,HF,OC,CP,TR ¦ --- **𝔓**[35]ℵA,B,C,D,W (10.7%) NU
[6] δε **f**[35] A,C,D,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB [0.5%] NU
[7] ειργασατο **f**[35] A,C [98.5%] RP,HF,OC,CP,TR ¦ ηργασατο ℵB,D,W [1.5%] NU
[8] εποιησεν **f**[35] ℵA,W [95%] RP,HF,OC,CP,TR ¦ εκερδησεν B,C,D [5%] NU
[9] ταλαντα **f**[35] ℵA,C,D,W [99%] RP,HF,OC,CP,TR ¦ --- B [1%] NU
[10] και **f**[35] B(D)W [98%] RP,HF,OC,CP,TR ¦ δε 1 A [1%] ¦ --- ℵC [1%] NU
[11] και αυτος **f**[35] A(D)W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C [1%] NU
[12] εν τη γη **f**[35] A,D,W [99%] RP,HF,OC,CP,TR ¦ την γην C ¦ γην ℵB [0.5%] NU
[13] απεκρυψεν **f**[35] W [98.5%] RP,HF,OC,CP,TR ¦ εκρυψεν ℵA,B,C,D [1.5%] NU
[14] χρονον πολυν **f**[35] A [96%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB,C,D [4%] NU ¦ 1 τινα W
[15] μετ αυτων λογον **f**[35] A,W [90%] RP,HF,OC,TR ¦ ~ 312 ℵB,C,D [10%] CP,NU
[16] επ αυτοις **f**[35] A,C,W [97%] RP,HF,OC,CP,TR ¦ εν 2 [2%] ¦ --- **𝔓**[35]ℵB(D) [1%] NU
[17] δε **f**[35] A,W [93%] RP,HF,CP,TR ¦ --- **𝔓**[35]ℵB,C,D [7%] OC,NU
[18] δε **f**[35] A,C,D,W [99.5%] RP,HF,OC,CP,TR[NU] ¦ --- **𝔓**[35v]ℵB [0.5%]
[19] λαβων **f**[35] ℵD [95%] RP,HF,OC,CP,TR ¦ --- **𝔓**[35]A,B,C,W [5%] NU ¦ one other variant
[20] επ αυτοις **f**[35] A,C,W [98%] RP,HF,OC,CP,TR ¦ εν 2 [1%] ¦ --- **𝔓**[35]ℵB,D [1%] NU
[21] ουν σε **f**[35] A,D,W [99%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB,C [1%] NU
[22] το αργυριον **f**[35] A,C,D [99.5%] RP,HF,OC,CP,TR ¦ τα αργυρια ℵB,W [0.5%] NU
[23] απο δε του **f**[35] A,C,W [99%] RP,HF,OC,CP,TR ¦ ~ 32 ℵB,D [1%] NU

καὶ ὃ δοκεῖ ἔχειν[1] ἀρθήσεται ἀπ᾽ αὐτοῦ. **30** Καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλετε[2] εἰς τὸ σκότος τὸ ἐξώτερον.› Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Judgment in preparation for the Millennium

31 »Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι[3] ἄγγελοι μετ᾽ αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ. **32** Καὶ συναχθήσονται[4] ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφοριεῖ[5] αὐτοὺς ἀπ᾽ ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων. **33** Καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. **34** Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· ‹Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. **35** Ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα καὶ ἐποτίσατέ με, ξένος ἤμην καὶ συνηγάγετέ με, **36** γυμνὸς καὶ περιεβάλετέ με, ἠσθένησα καὶ ἐπεσκέψασθέ με, ἐν φυλακῇ ἤμην καὶ ἤλθετε[6] πρός με.› **37** Τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι, λέγοντες· ‹Κύριε, πότε σε εἴδομεν πεινῶντα[7] καὶ ἐθρέψαμεν, ἢ διψῶντα καὶ ἐποτίσαμεν; **38** Πότε δέ σε εἴδομεν ξένον καὶ συνηγάγομεν, ἢ γυμνὸν καὶ περιεβάλομεν; **39** Πότε δέ σε εἴδομεν ἀσθενῆ[8] ἢ ἐν φυλακῇ καὶ ἤλθομεν πρός σε;› **40** Καὶ ἀποκριθεὶς ὁ βασιλεὺς ἐρεῖ αὐτοῖς, ‹Ἀμὴν λέγω ὑμῖν, ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.›

41 »Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· ‹Πορεύεσθε ἀπ᾽ ἐμοῦ, οἱ[9] κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. **42** Ἐπείνασα γὰρ καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα καὶ οὐκ ἐποτίσατέ με, **43** ξένος ἤμην καὶ οὐ συνηγάγετέ με, γυμνὸς καὶ οὐ περιεβάλετέ με, ἀσθενὴς καὶ ἐν φυλακῇ καὶ οὐκ ἐπεσκέψασθέ με.› **44** Τότε ἀποκριθήσονται[10] καὶ αὐτοί, λέγοντες, ‹Κύριε, πότε σε εἴδομεν πεινῶντα ἢ διψῶντα ἢ ξένον ἢ γυμνὸν ἢ ἀσθενῆ ἢ ἐν φυλακῇ καὶ οὐ διηκονήσαμέν σοι;› **45** Τότε ἀποκριθήσεται αὐτοῖς, λέγων, ‹Ἀμὴν λέγω ὑμῖν, ἐφ᾽ ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε.› **46** Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.»

26:1 Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς[11] τοὺς λόγους τούτους, εἶπεν τοῖς μαθηταῖς αὐτοῦ, **2** «Οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ Πάσχα γίνεται, καὶ ὁ Υἱὸς τοῦ Ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι.»

The Sanhedrin conspires—04/03/30

3 Τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς[12] καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως, τοῦ λεγομένου Καϊάφα, **4** καὶ συνεβουλεύσαντο ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσωσιν[13] καὶ ἀποκτείνωσιν. **5** Ἔλεγον δέ, «Μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ.»

Someone anoints Jesus' head

6 Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, **7** προσῆλθεν αὐτῷ γυνὴ

---

[1] δοκει εχειν **f**[35] [30%] CP ¦ εχει ℵA,B,C,D,W [70%] RP,HF,TR,OC,NU

[2] εκβαλετε **f**[35] ℵA,B,W [88%] RP,HF,OC,CP,NU ¦ εκβαλλετε [10%] TR ¦ εκβαλεται C [1%] ¦ βαλεται εξω D ¦ four other variants

[3] αγιοι **f**[35] A,W [96%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [4%] NU

[4] συναχθησονται **f**[35] ℵB,D [25%] CP,NU ¦ συναχθησεται **f**[35pt] A,W [75%] RP,HF,OC,TR [Singular, or plural; mass noun, or not? The meaning is the same in either case. The better representatives are generally with the plural. The first form reproduces the archetype, beyond reasonable doubt.]

[5] αφοριει **f**[35] A,B,D [98%] RP,HF,OC,CP,TR ¦ αφορισει ℵW [2%] NU

[6] ηλθετε **f**[35] [95%] RP,HF,OC,CP,TR ¦ ηλθατε ℵA,B,D,W [5%] NU

[7] πεινωντα rell ¦ πινωντα CP

[8] ασθενη **f**[35] ℵA,W [99.5%] RP,HF,OC,CP,TR ¦ ασθενουντα B,D [0.5%] NU

[9] οι **f**[35] A,D,W [99.5%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB [0.5%]

[10] αποκριθησονται **f**[35] A,B,D,W [95%] RP,HF,CP,NU ¦ 1 αυτω (ℵ) [5%] OC,TR

[11] ιησους **f**[35] [25%] ¦ 1 παντας ℵA,B,D,W [75%] RP,HF,OC,CP,TR,NU

[12] και οι γραμματεις **f**[35] (W) [95%] RP,HF,OC,CP,TR ¦ --- ℵA,B,D [5%] NU

[13] δολω κρατησωσιν rell ¦ ~ 21 [5%] TR

ἀλάβαστρον μύρου ἔχουσα[1] βαρυτίμου καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν[2] αὐτοῦ ἀνακειμένου. **8** Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ[3] ἠγανάκτησαν λέγοντες· «Εἰς τί ἡ ἀπώλεια αὕτη; **9** Ἠδύνατο[4] γὰρ τοῦτο τὸ μύρον[5] πραθῆναι πολλοῦ καὶ δοθῆναι τοῖς[6] πτωχοῖς.» **10** Γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· «Τί κόπους παρέχετε τῇ γυναικί; Ἔργον γὰρ καλὸν εἰργάσατο[7] εἰς ἐμέ. **11** Πάντοτε γὰρ τοὺς πτωχοὺς[8] ἔχετε μεθ᾽ ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. **12** Βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν. **13** Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς.»

Judas offers to betray Jesus

14 Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς, εἶπεν, **15** «Τί θέλετέ μοι δοῦναι καὶ ἐγὼ[9] ὑμῖν παραδώσω αὐτόν;» Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια. **16** Καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν ἵνα αὐτὸν παραδῷ.

The last night—begins Thursday evening, 04/04/30, and ends the next morning

26:17 Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες αὐτῷ,[10] «Ποῦ θέλεις ἑτοιμάσομέν[11] σοι φαγεῖν τὸ Πάσχα;» **18** Ὁ δὲ εἶπεν, «Ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα καὶ εἴπατε αὐτῷ, ‹Ὁ διδάσκαλος λέγει, «Ὁ καιρός μου ἐγγύς ἐστιν· πρός σὲ ποιῶ τὸ Πάσχα μετὰ τῶν μαθητῶν μου.» › » **19** Καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς, καὶ ἡτοίμασαν τὸ Πάσχα.

The traitor identified

20 Ὀψίας δὲ γενομένης, ἀνέκειτο μετὰ τῶν δώδεκα. **21** Καὶ ἐσθιόντων αὐτῶν εἶπεν, «Ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.» **22** Καὶ λυπούμενοι σφόδρα ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν,[12] «Μήτι ἐγώ εἰμι, Κύριε;» **23** Ὁ δὲ ἀποκριθεὶς εἶπεν· «Ὁ ἐμβάψας μετ᾽ ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα,[13] οὗτός με παραδώσει. **24** Ὁ μὲν Υἱὸς τοῦ Ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ, οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ ὁ Υἱὸς τοῦ Ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.» **25** Ἀποκριθεὶς δὲ Ἰούδας, ὁ παραδιδοὺς αὐτόν, εἶπεν, «Μήτι ἐγώ εἰμι, Ῥαββί;» Λέγει αὐτῷ, «Σὺ εἶπας.»

Jesus institutes the Lord's Supper

26 Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν[14] ἄρτον καὶ εὐλογήσας,[15] ἔκλασεν καὶ ἐδίδου[16] τοῖς μαθηταῖς καὶ[17] εἶπεν, «Λάβετε, φάγετε· τοῦτό ἐστιν τὸ σῶμά μου.» **27** Καὶ λαβὼν τὸ[18] ποτήριον καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς λέγων· «Πίετε ἐξ αὐτοῦ πάντες· **28** τοῦτο γάρ ἐστιν

---

[1] αλαβαστρον μυρου εχουσα **f**^{35} A,W [98%] RP,HF,OC,CP,TR ¦ ~ 312 ℵB,D [2%] NU
[2] την κεφαλην **f**^{35} A,W [95%] RP,HF,OC,CP,TR ¦ της κεφαλης ℵB,D [5%] NU
[3] αυτου **f**^{35} A,W [98.5%] RP,HF,OC,CP,TR ¦ --- **𝔓**^{45v}ℵB,D [1.5%] NU
[4] ηδυνατο **f**^{35} A,D [96%] RP,HF,OC,CP,TR ¦ εδυνατο **𝔓**^{45v}ℵB,W [4%] NU
[5] το μυρον **f**^{35} [93%] RP,HF,OC,CP,TR ¦ --- ℵA,B,D,W [7%] NU
[6] τοις **f**^{35} A,D,W [40%] OC,CP ¦ --- ℵB [60%] RP,HF,TR,NU (OC is in small print)
[7] ειργασατο **f**^{35} A [98.5%] RP,HF,OC,CP,TR ¦ ηργασατο ℵB,D,W [1.5%] NU
[8] παντοτε γαρ τους πτωχους **f**^{35} ℵA,B,D,W [40%] RP,CP,TR,NU ¦ ~ 3421 [60%] HF,OC
[9] και εγω **f**^{35} ℵD,W [40%] OC,CP ¦ καγω A,B [60%] RP,HF,TR,NU
[10] αυτω **f**^{35} A [90%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D(W) [10%] NU
[11] ετοιμασομεν **f**^{35} D [85%] RP,HF ¦ ετοιμασωμεν ℵA,B,W [15%] OC,CP,TR,NU
[12] εκαστος αυτων **f**^{35} **𝔓**^{37v}A,W [97%] RP,HF,OC,CP,TR ¦ εις 12 **𝔓**^{45v}D [2%] ¦ εις 1 ℵB,C [1%] NU ¦ one other variant
[13] μετ εμου εν τω τρυβλιω την χειρα **f**^{35} C,W [98%] RP,HF,OC,CP,TR ¦ ~ 6712345 **𝔓**^{37,45v}(D) [0.5%] ¦ ~ 1267345 ℵA,B [1.5%] NU
[14] τον **f**^{35} A,W [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,D [3%] NU
[15] ευλογησας **f**^{35} **𝔓**^{45}ℵB,C,D [30%] CP,TR,NU ¦ ευχαριστησας A,W [70%] RP,HF,OC
[16] εδιδου **f**^{35} ℵA,C,W [97%] RP,HF,OC,CP,TR ¦ δους **𝔓**^{37}B,D [3%] NU
[17] και **f**^{35} A,C,W [97%] RP,HF,OC,CP,TR ¦ --- **𝔓**^{37}ℵB,D [3%] NU
[18] το **f**^{35} A,C,D [96%] RP,HF,OC,CP,TR ¦ --- ℵB,W [4%] NU

τὸ αἷμά μου, τὸ τῆς καινῆς[1] διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον[2] εἰς ἄφεσιν ἁμαρτιῶν. **29** Λέγω δὲ ὑμῖν ὅτι[3] οὐ μὴ πίω ἀπ᾽ ἄρτι ἐκ τούτου τοῦ γενήματος[4] τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω μεθ᾽ ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Πατρός μου.» **30** Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν.

Jesus predicts Peter's denials

31 Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· «Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ, γέγραπται γάρ· ‹Πατάξω τὸν Ποιμένα, καὶ διασκορπισθήσεται[5] τὰ πρόβατα τῆς ποίμνης.› **32** Μετὰ δὲ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.» **33** Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ, «Εἰ καὶ[6] πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ[7] οὐδέποτε σκανδαλισθήσομαι.» **34** Ἔφη αὐτῷ ὁ Ἰησοῦς, «Ἀμὴν λέγω σοι ὅτι ἐν ταύτῃ τῇ νυκτί, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με.» **35** Λέγει αὐτῷ ὁ Πέτρος, «Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσωμαι.»[8] Ὁμοίως δὲ[9] καὶ πάντες οἱ μαθηταὶ εἶπον.

Gethsemane—Jesus almost dies!

36 Τότε ἔρχεται μετ᾽ αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ,[10] καὶ λέγει τοῖς μαθηταῖς, «Καθίσατε αὐτοῦ ἕως οὗ[11] ἀπελθὼν προσεύξωμαι ἐκεῖ.»[12] **37** Καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. **38** Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς·[13] «Περίλυπός ἐστιν ἡ ψυχή μου, ἕως θανάτου. Μείνατε ὧδε καὶ γρηγορεῖτε μετ᾽ ἐμοῦ.» **39** Καὶ προελθὼν[14] μικρὸν ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ προσευχόμενος καὶ λέγων, «Πάτερ μου, εἰ δυνατόν ἐστιν, παρελθέτω[15] ἀπ᾽ ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ[16] ὡς ἐγὼ θέλω, ἀλλ᾽ ὡς σύ.» **40** Καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· «Οὕτως, οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ᾽ ἐμοῦ; **41** Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.» **42** Πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο λέγων, «Πάτερ μου, εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον[17] παρελθεῖν ἀπ᾽ ἐμοῦ[18] ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου.» **43** Καὶ ἐλθὼν εὗρεν αὐτοὺς πάλιν[19] καθεύδοντας, ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι. **44** Καὶ ἀφεὶς αὐτοὺς ἀπελθὼν πάλιν

---

[1] το της καινης **f**[35] A,C,W [99%] RP,HF,OC,CP,TR ¦ 2 **𝔓**[37]ℵB [1%] NU ¦ 23 D

[2] εκχυνομενον **f**[35] **𝔓**[37]W [90%] RP,HF,OC,CP,TR ¦ εκχυννομενον ℵA,B,C,D [10%] NU

[3] οτι **f**[35] A,C,W [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [3%] NU

[4] γενηματος **f**[35] ℵA,B,C,D [30%] OC,NU ¦ γεννηματος **f**[35pt] **𝔓**[37]W [70%] RP,HF,CP,TR [The difference of one letter changes the word. The first refers to plant produce; the second refers to animal offspring. In the context, the Lord Jesus is clearly referring to produce. So much so, that a reader seeing the longer form would give it the secondary meaning, and we have two ways of saying the same thing. The first form reproduces the archetype, beyond reasonable doubt.]

[5] διασκορπισθησεται **f**[35] **𝔓**[37]D,W [90%] RP,HF,CP,TR ¦ διασκορπισθησονται **𝔓**[53]ℵA,B,C [10%] OC,NU ¦ one other variant

[6] ει και **f**[35] W [30%] CP,TR ¦ 1 **𝔓**[37,53]A,B,C,D [70%] RP,HF,OC,NU ¦ --- ℵ

[7] εγω **f**[35] **𝔓**[37,53]ℵA,B,C,D,W [40%] CP,TR,NU ¦ 1 δε [60%] RP,HF,OC

[8] απαρνησωμαι **f**[35] A [85%] RP,HF,CP ¦ απαρνησομαι **𝔓**[37]ℵB,C,D,W [15%] OC,TR,NU

[9] δε **f**[35] A,W [95%] RP,HF,OC,CP ¦ --- ℵB,C,D [5%] TR,NU

[10] γεθσημανη **f**[35] [85%] RP,HF,OC,CP,TR ¦ γεθσημανει **𝔓**[37]A,B,C [5%] ¦ γεθσημανι ℵ [5%] NU ¦ γεθσαμανει D ¦ γεδσημανι W ¦ at least eight further spellings [5%]

[11] ου **f**[35] B [94%] RP,HF,OC,CP,TR[NU] ¦ αν D,W [5%] ¦ 1 αν **𝔓**[53]A ¦ --- ℵC [1%

[12] προσευξωμαι εκει **f**[35] A,C,W [86%] RP,HF,OC,CP,TR ¦ προσευξομαι 2 [10%] ¦ ~ 21 **𝔓**[37,53vid]ℵB(D) [4%] NU

[13] ο ιησους **f**[35] [90%] RP,HF,OC ¦ --- **𝔓**[37,53]ℵA,B,C,D,W [10%] CP,TR,NU

[14] προελθων **f**[35] **𝔓**[37]B [35%] OC,CP,TR,NU ¦ προσελθων **𝔓**[53]ℵA,C,D,W [65%] RP,HF

[15] παρελθετω **f**[35] **𝔓**[53]B,W [98%] RP,HF,OC,CP,TR ¦ παρελθατω ℵA,C,D [2%] NU

[16] ουχ rell ¦ ουκ CP

[17] το ποτηριον **f**[35] (D) [97%] RP,HF,OC,CP,TR ¦ --- **𝔓**[37]ℵA,B,C,W [3%] NU

[18] απ εμου **f**[35] A,C,W [98%] RP,HF,OC,CP,TR ¦ --- **𝔓**[37vid]ℵB,D [2%] NU

[19] ευρεν αυτους παλιν **f**[35] A,W [30%] ¦ ευρισκει 23 [66%] RP,HF,OC,CP,TR ¦ ~ 312 **𝔓**[37]ℵB,C,D [4%] NU

προσηύξατο[1] ἐκ τρίτου, τὸν αὐτὸν λόγον εἰπών.[2] **45** Τότε ἔρχεται πρὸς τοὺς μαθητὰς αὐτοῦ[3] καὶ λέγει αὐτοῖς· «Καθεύδετε τὸ[4] λοιπὸν καὶ ἀναπαύεσθε. Ἰδού, ἤγγικεν ἡ ὥρα καὶ ὁ Υἱὸς τοῦ Ἀνθρώπου παρα-δίδοται εἰς χεῖρας ἁμαρτωλῶν. **46** Ἐγείρεσθε, ἄγωμεν· ἰδού,[5] ὁ παραδιδούς με.»

Jesus is betrayed

47 Καὶ ἔτι αὐτοῦ λαλοῦντος ἰδού, Ἰούδας, εἷς τῶν δώδεκα, ἦλθεν, καὶ μετ᾽ αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. **48** (Ὁ δὲ παραδιδοὺς[6] αὐτὸν ἔδωκεν αὐτοῖς σημεῖον λέγων, «Ὃν ἐὰν[7] φιλήσω, αὐτός ἐστιν· κρατήσατε αὐτόν.») **49** Καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ εἶπεν, «Χαῖρε, Ῥαββί,» καὶ κατεφίλησεν αὐτόν. **50** Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, «Ἑταῖρε, ἐφ᾽ ᾧ[8] πάρει;» Τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν καὶ ἐκράτησαν αὐτόν. **51** Καὶ ἰδού, εἷς τῶν μετὰ Ἰησοῦ, ἐκτείνας τὴν χεῖρα, ἀπέσπασεν τὴν μάχαιραν αὐτοῦ, καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. **52** Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· «Ἀπόστρεψόν σου τὴν μάχαιραν[9] εἰς τὸν τόπον αὐτῆς, πάντες γὰρ οἱ λαβόντες μάχαιραν ἐν μαχαίρᾳ[10] ἀποθανοῦνται.[11] **53** Ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν Πατέρα μου, καὶ παραστήσει μοι[12] πλείους[13] ἢ[14] δώδεκα λεγεῶνας[15] ἀγγέλων; **54** Πῶς οὖν πληρωθῶσιν αἱ Γραφαὶ ὅτι οὕτως δεῖ γενέσθαι;» **55** Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις· «Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε[16] μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με; Καθ᾽ ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην ἐν τῷ ἱερῷ διδάσκων,[17] καὶ οὐκ ἐκρατήσατέ με. **56** Τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῶσιν αἱ Γραφαὶ τῶν προφητῶν.» Τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν ἔφυγον.

57 Οἱ δὲ κρατήσαντες τὸν Ἰησοῦν ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν. **58** Ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν, ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως. Καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν ὑπηρετῶν, ἰδεῖν τὸ τέλος.

Jesus tried by the Council

59 Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι,[18] καὶ τὸ συνέδριον ὅλον, ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ ὅπως θανατώσωσιν αὐτόν,[19] **60** καὶ οὐχ εὗρον. Καὶ[20] πολλῶν ψευδομαρτύρων

---

[1] απελθων παλιν προσηυξατο **f**^{35} [94%] RP,HF,OC,CP,TR ¦ ~ 213 ℵB,C,D [2%] NU ¦ ~ 132 A,W [3%] ¦ 13 **𝔓**^{37v} [1%]

[2] ειπων **f**^{35} A,C,D,W [99.5%] RP,HF,OC,CP,TR ¦ 1 παλιν **𝔓**^{37}ℵB [0.5%] NU

[3] αυτου **f**^{35} D,W [90%] RP,HF,OC,CP,TR ¦ --- **𝔓**^{37v}ℵA,B,C [10%] NU

[4] το **f**^{35} **𝔓**^{37}ℵA,D [98.5%] RP,HF,OC,CP,TR[NU] ¦ --- B,C,W [1.5%]

[5] ιδου **f**^{35} [20%] ¦ 1 ηγγικεν ℵA,B,C,D,W [80%] RP,HF,OC,CP,TR,NU

[6] παραδιδους rell ¦ παραδους CP

[7] εαν **f**^{35} **𝔓**^{37}ℵA,W [40%] ¦ αν B,C,D [60%] RP,HF,OC,CP,TR,NU

[8] ω **f**^{35} [90%] RP,HF,OC,CP,TR ¦ ο **𝔓**^{37}ℵA,B,C,D,W [10%] NU

[9] σου την μαχαιραν **f**^{35} A,C,W [95%] RP,HF,OC,CP,TR ¦ ~ 231 ℵB,D [2%] NU ¦ 23 [3%]

[10] μαχαιρα **f**^{35} D,W [98.5%] RP,HF,OC,CP,TR ¦ μαχαιρη **𝔓**^{37}ℵA,B,C [1.5%] NU

[11] αποθανουνται **f**^{35} W [90%] RP,HF,OC,CP ¦ απολουνται **𝔓**^{37}ℵA,B,C,D [10%] TR,NU

[12] αρτι παρακαλεσαι τον πατερα μου και παραστησει μοι **f**^{35} A,C,D,W [97%] RP,HF,OC,CP,TR ¦ 12345678 ωδε [1%] ¦ ~ 23456781 B [0.5%] NU ¦ ~ 2345678 ωδε 1 ℵ ¦ 2345678 [1%] ¦ two other variants

[13] πλειους **f**^{35} A,C,W [99.5%] RP,HF,OC,CP,TR ¦ πλειω ℵB,D [0.5%] NU

[14] η **f**^{35} A,C,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU

[15] λεγεωνας **f**^{35} W [96%] RP,HF,OC,CP,TR ¦ λεγιωνας B,NU ¦ λεγιωνων ℵ ¦ λεγεωνων C [3%] ¦ λεγεονων A ¦ λεγειονης

[16] εξηλθετε **f**^{35} [96%] RP,HF,OC,CP,TR ¦ εξηλθατε ℵA,B,C,W [4%] NU ¦ ηλθατε D

[17] προς υμας εκαθεζομην εν τω ιερω διδασκων **f**^{35} C(D) [30%] ¦ ~ 1237456 W [69%] RP,HF,OC,CP,TR ¦ ~ 3127456 A ¦ ~ 45637 ℵB [0.5%] NU ¦ one other variant

[18] και οι πρεσβυτεροι **f**^{35} A,C,N,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1%] NU

[19] θανατωσωσιν αυτον **f**^{35} [90%] RP,HF,OC,CP ¦ θανατωσουσιν 2 A,W [5%] ¦ ~ 21 ℵB [3%] TR,NU ¦ ~ 2 θανατωσουσιν C,D,N [2%]

[20] και **f**^{35} A(D)W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,N [1%] NU

προσελθόντων,[1] οὐχ εὗρον.[2] Ὕστερον δὲ προσελθόντες δύο ψευδομάρτυρες[3] **61** εἶπον,[4] «Οὗτος ἔφη, ‹Δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ Θεοῦ καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν.› »[5] **62** Καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· «Οὐδὲν ἀποκρίνῃ; Τί οὗτοί σου καταμαρτυροῦσιν;» **63** Ὁ δὲ Ἰησοῦς ἐσιώπα. Καὶ ἀποκριθεὶς[6] ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ, «Ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ[7] Θεοῦ.» **64** Λέγει αὐτῷ ὁ Ἰησοῦς· «Σὺ εἶπας. Πλὴν λέγω ὑμῖν, ἀπ᾽ ἄρτι ὄψεσθε τὸν Υἱὸν τοῦ Ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς Δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ.» **65** Τότε ὁ ἀρχιερεὺς διέρρηξεν τὰ ἱμάτια αὐτοῦ, λέγων ὅτι[8] «Ἐβλασφήμησεν· τί ἔτι χρείαν ἔχομεν μαρτύρων; Ἴδε, νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ.[9] **66** Τί ὑμῖν δοκεῖ;» Οἱ δὲ ἀποκριθέντες εἶπον, «Ἔνοχος θανάτου ἐστίν.» **67** Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐκολάφισαν αὐτόν· οἱ δὲ ἐρράπισαν[10] **68** λέγοντες· «Προφήτευσον ἡμῖν, Χριστέ. Τίς ἐστιν ὁ παίσας σε;»

Peter denies Jesus

69 Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο[11] ἐν τῇ αὐλῇ. Καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη λέγουσα, «Καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου.» **70** Ὁ δὲ ἠρνήσατο ἔμπροσθεν αὐτῶν[12] πάντων[13] λέγων, «Οὐκ οἶδα τί λέγεις.» **71** Ἐξελθόντα δὲ αὐτὸν[14] εἰς τὸν πυλῶνα, εἶδεν αὐτὸν ἄλλη καὶ λέγει αὐτοῖς[15] ἐκεῖ, «Καὶ[16] οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου.» **72** Καὶ πάλιν ἠρνήσατο, μεθ᾽[17] ὅρκου, ὅτι «Οὐκ οἶδα τὸν ἄνθρωπον.» **73** Μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ, «Ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ, καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ.» **74** Τότε ἤρξατο καταθεματίζειν[18] καὶ ὀμνύειν ὅτι «Οὐκ οἶδα τὸν ἄνθρωπον.» Καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν. **75** Καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος[19] Ἰησοῦ εἰρηκότος αὐτῷ[20] ὅτι «Πρὶν ἀλέκτορα[21] φωνῆσαι, τρὶς ἀπαρνήσῃ με.» Καὶ ἐξελθὼν ἔξω ἔκλαυσεν πικρῶς.

Crucifixion Day—Friday, 04/05/30

27:1 Πρωΐας δὲ γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι[22] κατὰ τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι αὐτόν.[23] **2** Καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ παρέδωκαν αὐτὸν[24] Ποντίῳ[25] Πιλάτῳ τῷ ἡγεμόνι.

---

[1] ψευδομαρτυρων προσελθοντων **f**[35] C,N,W [99%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵA,B [1%] NU ¦ προσηλθον ψευδομαρτυρες D
[2] ουχ ευρον **f**[35] A(D)W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C,N [1%] NU
[3] ψευδομαρτυρες **f**[35] (A)C,D [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB [1%] NU ¦ τινες 1 N,W [1%]
[4] ειπον rell ¦ ειπαν ℵ [0.3%] NU (also in verse 66)
[5] οικοδομησαι αυτον **f**[35] A,D,N,W [98.5%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵC [0.5%] ¦ 1 B [1%] NU
[6] αποκριθεις **f**[35] A,C,N,W [97%] RP,HF,OC,CP,TR ¦ --- B [3%] NU ¦ 1 ουν D ¦ one other variant ¦ ℵ has a long omission
[7] του rell ¦ --- CP
[8] λεγων οτι **f**[35] A,C,W [99%] RP,HF,OC,CP,TR ¦ 1 B,D [1%] NU ¦ και λεγει ιδε ℵ
[9] αυτου **f**[35] A,C,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU
[10] ερραπισαν **f**[35] [95%] RP,HF,OC,CP,TR ¦ εραπισαν ℵA,B,C(D)(W) [5%] NU
[11] εξω εκαθητο **f**[35] A,C,W [97%] RP,HF,OC,CP,TR ¦ ~ 21 ℵB,D [2.5%] NU ¦ ~ 2 εξωθεν [0.5%]
[12] αυτων **f**[35] A,C,W [90%] RP,HF,OC,CP ¦ --- ℵB,D [10%] TR,NU
[13] παντων rell ¦ απαντων CP ¦ --- [2%]
[14] αυτον **f**[35] A,C,W [98.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB [1.5%] NU ¦ αυτου D
[15] αυτοις **f**[35] A,C [90%] RP,HF,OC,CP ¦ τοις ℵB,D,W [10%] TR,NU
[16] και **f**[35] A,C,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU
[17] μεθ **f**[35] D [97%] RP,HF,OC,CP,TR ¦ μετα ℵA,B,C,W [3%] NU
[18] καταθεματιζειν rell ¦ καταναθεματιζειν [5%] TR
[19] ρηματος **f**[35] ℵA,B,C,D [35%] OC,CP,NU ¦ 1 του W [65%] RP,HF,TR
[20] αυτω **f**[35] A,C,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [1%] NU
[21] αλεκτορα rell ¦ αλεκτωρα [2%] CP ¦ αλεκτωρ [0.5%] ¦ αλεκτοροφονιας [0.5%]
[22] πρεσβυτεροι **f**[35] [20%] ¦ 1 του λαου ℵA,B,C,D,W [80%] RP,HF,OC,CP,TR,NU
[23] ωστε θανατωσαι αυτον rell ¦ ~ οπως 3 θανατωσωσιν CP
[24] αυτον **f**[35] A,W [95%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C [5%] NU
[25] ποντιω **f**[35] A,C,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB [0.5%] NU

The end of Judas—parenthetical

3 (Τότε ἰδὼν Ἰούδας, ὁ παραδιδοὺς αὐτόν, ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψεν[1] τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσιν καὶ τοῖς[2] πρεσβυτέροις **4** λέγων, «Ἥμαρτον, παραδοὺς αἷμα ἀθῷον.» Οἱ δὲ εἶπον·[3] «Τί πρὸς ἡμᾶς; Σὺ ὄψει.»[4] **5** Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ[5] ἀνεχώρησεν, καὶ ἀπελθὼν ἀπήγξατο. **6** Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπον, «Οὐκ ἔξεστιν βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστιν.» **7** Συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως, εἰς ταφὴν τοῖς ξένοις. **8** Διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος Ἀγρὸς Αἵματος ἕως τῆς σήμερον. **9** Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος· «Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου,[6] ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ, **10** καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέν μοι Κύριος.»)

Jesus before Pilate

11 Ὁ δὲ Ἰησοῦς ἔστη[7] ἔμπροσθεν τοῦ ἡγεμόνος. Καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν λέγων, «Σὺ εἶ ὁ Βασιλεὺς τῶν Ἰουδαίων;» Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ,[8] «Σὺ λέγεις.» **12** Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ[9] πρεσβυτέρων, οὐδὲν ἀπεκρίνατο. **13** Τότε λέγει αὐτῷ ὁ Πιλᾶτος, «Οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσιν;» **14** Καὶ οὐκ ἀπεκρίθη αὐτῷ, πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν.

"We want Barabbas!"

15 Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ[10] δέσμιον, ὃν ἤθελον. **16** Εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον[11] Βαραββᾶν. **17** Συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐτοῖς ὁ Πιλᾶτος, «Τίνα θέλετε ἀπολύσω ὑμῖν,[12] Βαραββᾶν[13] ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν;» **18** Ἤδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν.

19 Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλεν πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα, «Μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ, πολλὰ γὰρ ἔπαθον σήμερον κατ᾽ ὄναρ δι᾽ αὐτόν.»

20 Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. **21** Ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς, «Τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν;» Οἱ δὲ εἶπον,[14] «Βαραββᾶν.» **22** Λέγει[15] αὐτοῖς ὁ Πιλᾶτος, «Τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον Χριστόν;» Λέγουσιν αὐτῷ[16] πάντες, «Σταυρωθήτω.» **23** Ὁ δὲ ἡγεμὼν[17] ἔφη, «Τί γὰρ κακὸν ἐποίησεν;» Οἱ δὲ περισσῶς ἔκραζον λέγοντες, «Σταυρωθήτω.» **24** Ἰδὼν δὲ ὁ Πιλᾶτος ὅτι οὐδὲν ὠφελεῖ ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου λέγων· «Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου.[18] Ὑμεῖς ὄψεσθε.» **25** Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπεν, «Τὸ αἷμα αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.» **26** Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν, φραγελλώσας, παρέδωκεν ἵνα σταυρωθῇ.

---

[1] απεστρεψεν **f**[35] A,C,W [99.5%] RP,HF,OC,CP,TR ¦ εστρεψεν ℵB [0.5%] NU
[2] τοις **f**[35] A,W [98%] RP,HF,OC,CP,TR ¦ --- ℵB,C [2%] NU
[3] ειπον rell ¦ ειπαν [0.5%] NU (also in verse 6 & 21)
[4] οψει **f**[35] [90%] RP,HF,OC,CP,TR ¦ οψη ℵA,B,C,W [10%] NU
[5] εν τω ναω **f**[35] A,C,W (98.3%) RP,HF,OC,CP,TR ¦ εις τον ναον ℵB (1.3%) NU ¦ --- (0.2%) ¦ two other variants
[6] τετιμημενου rell ¦ τετιμημημενου OC
[7] εστη **f**[35] A,W [99%] RP,HF,OC,CP,TR ¦ εσταθη ℵB,C [1%] NU
[8] αυτω **f**[35] A,B,W [99%] RP,HF,OC,CP,TR ¦ --- ℵ [1%] NU
[9] και **f**[35] ℵB [30%] NU ¦ 1 των A,W [70%] RP,HF,OC,CP,TR
[10] ενα τω οχλω rell ¦ ~ 231 [5%] CP
[11] λεγομενον **f**[35] ℵA,B,D,W [99.5%] RP,HF,OC,CP,TR ¦ 1 ιησουν [0.5%] [NU] [This one is really pitiful.]
[12] υμιν **f**[35] ℵA,D,W [99.5%] RP,HF,OC,CP,TR ¦ 1 τον B ¦ 1 ιησουν τον [0.5%] [NU]
[13] βαραββαν rell ¦ βαραβαν CP
[14] ειπον **f**[35] A,D,W [98%] RP,HF,OC,CP,TR ¦ 1 τον ℵB [2%] NU
[15] λεγει rell ¦ 1 ουν CP
[16] αυτω **f**[35] [92%] RP,HF,OC,CP,TR ¦ --- ℵA,B,D,W [8%] NU
[17] ηγεμων **f**[35] A(D)W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB [0.5%] NU
[18] του δικαιου τουτου **f**[35] ℵW [99%] RP,HF,OC,CP,TR ¦ ~ 312 A [0.5%] ¦ 3 B,D [0.5%] NU

Soldiers make fun of Jesus

27 Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος, παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον, συνήγαγον ἐπ᾽ αὐτὸν ὅλην τὴν σπεῖραν. **28** Καὶ ἐκδύσαντες αὐτὸν περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην.[1] **29** Καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν[2] αὐτοῦ, καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν[3] αὐτοῦ· καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον[4] αὐτῷ λέγοντες, «Χαῖρε, ὁ Βασιλεὺς[5] τῶν Ἰουδαίων.» **30** Καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. **31** Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ· καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι.

The Crucifixion

32 Ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον Κυρηναῖον, ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. **33** Καὶ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅ[6] ἐστιν λεγόμενον Κρανίου Τόπος,[7] **34** ἔδωκαν αὐτῷ πιεῖν ὄξος[8] μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος οὐκ ἤθελεν[9] πιεῖν. **35** Σταυρώσαντες δὲ αὐτὸν διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ βαλόντες[10] κλῆρον.[11] **36** Καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ. **37** Καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην·

ΟΥΤΟΣ ΕΣΤΙΝ ΙΗΣΟΥΣ Ὁ ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

38 Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων. **39** Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν **40** καὶ λέγοντες· «Ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· εἰ υἱὸς εἶ τοῦ Θεοῦ,[12] κατάβηθι ἀπὸ τοῦ σταυροῦ.» **41** Ὁμοίως δὲ καὶ[13] οἱ ἀρχιερεῖς, ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων καὶ Φαρισαίων,[14] ἔλεγον· **42** «Ἄλλους ἔσωσεν· ἑαυτὸν οὐ δύναται σῶσαι. Εἰ[15] βασιλεὺς Ἰσραήλ ἐστιν, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ καὶ πιστεύσομεν[16] ἐπ᾽ αὐτῷ.[17] **43** Πέποιθεν ἐπὶ τὸν Θεόν· ῥυσάσθω νῦν αὐτόν,[18] εἰ θέλει αὐτόν· εἶπεν γὰρ ὅτι ‹Θεοῦ εἰμι Υἱός.› » **44** Τὸ δ᾽ αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες αὐτῷ[19] ὠνείδιζον αὐτόν.[20]

---

[1] περιεθηκαν αυτω χλαμυδα κοκκινην **f**[35] A,N,W [99%] RP,HF,OC,CP,TR ¦ ~ 3412 ℵB(D) [1%] NU

[2] την κεφαλην **f**[35] A,D,N,W [99%] RP,HF,OC,CP,TR ¦ της κεφαλης ℵB [1%] NU ¦ one other variant

[3] επι την δεξιαν **f**[35] W [95%] RP,HF,OC,CP,TR ¦ εν τη δεξια ℵA,B,D,N [5%] NU

[4] ενεπαιζον **f**[35] A,N,W [99%] RP,HF,OC,CP,TR ¦ ενεπαιξαν ℵB,D [1%] NU

[5] ο βασιλευς **f**[35] ℵA,N,W [97%] RP,HF,OC,CP,TR ¦ βασιλευ B,D [3%] NU

[6] ο **f**[35] ℵB,D,N,W [95%] RP,HF,OC,CP,NU ¦ ος A [5%] TR

[7] λεγομενον κρανιου τοπος **f**[35] N,W [30%] ¦ λεγομενος 23 A [67%] RP,HF,OC,CP,TR ¦ ~ 23 λεγομενος ℵB [2%] NU ¦ 23 D [1%]

[8] οξος **f**[35] A,N,W [96%] RP,HF,OC,CP,TR ¦ οινον ℵB,D [4%] NU

[9] ηθελεν **f**[35] A,W [97%] RP,HF,OC,CP,TR ¦ ηθελησεν ℵB,D [3%] NU

[10] βαλοντες **f**[35] ℵA,D [25%] OC,CP ¦ βαλλοντες **f**[35pt] B,W [75%] RP,HF,TR,NU [Is it aorist, or present? The controlling clause goes like this: “Having crucified Him they distributed His clothes among themselves, . . .” Is it “casting lots”, or “having cast lots”? Either one makes good sense, but strictly speaking, the distributing happened after the casting. According to Greek grammar, a participle in the aorist tense means that it happened before the time of the main verb to which it is subordinated; a participle in the present tense means it is simultaneous to the main verb. For that reason, and because most of the better representatives have the aorist, I here chose the minority reading to represent the archetype. In either case, the basic meaning is not changed.]

[11] κληρον rell ¦ 1 ινα πληρωθη το ρηθεν υπο του προφητου διεμερισαντο τα ιματια μου εαυτοις και επι τον ιματισμον μου εβαλον κληρον [5%] TR

[12] θεου **f**[35] B,W [99.5%] RP,HF,OC,CP,TR ¦ 1 και ℵA,D [0.5%] [NU]

[13] δε και **f**[35] D [95%] RP,HF,OC,CP,TR ¦ 2 B [3%] NU ¦ --- ℵA,W [2%]

[14] και φαρισαιων **f**[35] (D)(W) [90%] RP,HF,OC,CP ¦ --- (ℵ)A,B [10%] TR,NU

[15] ει **f**[35] A,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU

[16] πιστευσομεν rell ¦ πιστευσωμεν ℵW [10%] OC ¦ πιστευομεν A [0.5%]

[17] επ αυτω **f**[35] W [90%] RP,HF,OC,CP ¦ 2 A,D [8%] TR ¦ 1 αυτον ℵB [1.5%] NU ¦ εις αυτον [0.5%]

[18] αυτον **f**[35] A,D,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB [0.5%] NU

[19] αυτω **f**[35] A,W [99.5%] RP,HF,OC,CP,TR ¦ συν 1 ℵB,D [0.5%] NU

[20] αυτον rell ¦ αυτω [5%] TR

Jesus takes the 'wages' for our sin

45 Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης.[1] **46** Περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων, «Ἠλί, Ἠλί, λιμὰ[2] σαβαχθανί;» τοῦτ᾽ ἔστιν, «Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες;» **47** Τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων[3] ἀκούσαντες ἔλεγον ὅτι «Ἠλίαν φωνεῖ οὗτος.» **48** Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν καὶ λαβὼν σπόγγον, πλήσας τε ὄξους καὶ περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν· **49** οἱ δὲ λοιποὶ ἔλεγον, «Ἄφες, ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν.»

*The shout of **victory***

50 Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ ἀφῆκεν τὸ πνεῦμα. **51** Καὶ ἰδού, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω,[4] καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν, **52** καὶ τὰ μνημεῖα ἀνεῴχθησαν. (Καὶ πολλὰ σώματα, τῶν κεκοιμημένων ἁγίων, ἠγέρθη·[5] **53** καὶ ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς.) **54** Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ᾽ αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέγοντες, «Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος.»

55 Ἦσαν δὲ ἐκεῖ καὶ[6] γυναῖκες πολλαὶ ἀπὸ μακρόθεν θεωροῦσαι, αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας, διακονοῦσαι αὐτῷ· **56** ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ[7] τῶν υἱῶν Ζεβεδαίου.

The burial

57 Ὀψίας δὲ γενομένης, ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἀριμαθαίας, τοὔνομα Ἰωσήφ, ὃς καὶ αὐτὸς ἐμαθήτευσεν[8] τῷ Ἰησοῦ. **58** Οὗτος προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Τότε ὁ Πιλᾶτος ἐκέλευσεν ἀποδοθῆναι τὸ σῶμα.[9] **59** Καὶ λαβὼν τὸ σῶμα ὁ Ἰωσὴφ ἐνετύλιξεν αὐτὸ[10] σινδόνι καθαρᾷ **60** καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ. Καὶ προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου ἀπῆλθεν. **61** Ἦν δὲ ἐκεῖ Μαρία[11] ἡ Μαγδαληνή, καὶ ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου.

The tomb is guarded

62 Τῇ δὲ ἐπαύριον, ἥτις ἐστὶν μετὰ τὴν Παρασκευήν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς Πιλᾶτον **63** λέγοντες· «Κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν, ἔτι ζῶν, ‹Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι.› **64** Κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτὸν[12] καὶ εἴπωσιν τῷ λαῷ ὅτι,[13] ‹Ἠγέρθη ἀπὸ τῶν νεκρῶν,› καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης.» **65** Ἔφη δὲ[14] αὐτοῖς ὁ Πιλᾶτος, «Ἔχετε κουστωδίαν· ὑπάγετε ἀσφαλίσασθε ὡς οἴδατε.» **66** Οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον, σφραγίσαντες τὸν λίθον, μετὰ τῆς κουστωδίας.

---

[1] ενατης rell ¦ εννατης [10%] TR (twice)
[2] λιμὰ **f**[35] A [90%] RP,HF [λιμά CP, λιμᾶ OC] ¦ λειμα [8%] ¦ λεμα ℵB [0.5%] NU ¦ λαμα D [1.5%] TR ¦ μα W
[3] εστωτων **f**[35] A,D [99%] RP,HF,OC,CP,TR ¦ εστηκοτων ℵB,C(W) [1%] NU
[4] εις δυο απο ανωθεν εως κατω **f**[35] A(D)W [98%] RP,HF,OC,CP,TR ¦ 12456 ℵ [1%] ¦ ~ απ 45612 B,C [1%] NU
[5] ηγερθη **f**[35] A,C,W [96%] RP,HF,OC,CP,TR ¦ ηγερθησαν ℵB,D [4%] NU
[6] εκει και **f**[35] [35%] OC ¦ κακει ℵ ¦ 1 A,B,C,W [65%] RP,HF,CP,TR,NU ¦ 2 D ¦ two other variants
[7] ιωση μητηρ και η μητηρ **f**[35] A,B,C [99.5%] RP,HF,OC,CP,TR ¦ ιωσηφ 2345 D,W [0.5%] NU ¦ η μαρια η ιωσηφ και η μαρια η ℵ
[8] εμαθητευσεν **f**[35] A,B,W [98%] RP,HF,OC,CP,TR ¦ εμαθητευθη ℵC,D [1.5%] NU ¦ two other variants
[9] το σωμα **f**[35] A,C,D,W [98.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB [1.5%] NU
[10] αυτο **f**[35] ℵA,C,W [99%] RP,HF,OC,CP,TR ¦ 1 εν B,D [1%] NU
[11] μαρια **f**[35] A,D,W [98.5%] RP,HF,OC,CP,TR ¦ μαριαμ ℵB,C [1.5%] NU
[12] νυκτος κλεψωσιν αυτον **f**[35] [87%] RP,HF,OC,CP,TR ¦ ~ 231 [3%] ¦ 23 (ℵ)A,B,C,D,W [10%] NU
[13] οτι **f**[35] [25%] ¦ --- ℵA,B,C,D,W [75%] RP,HF,OC,CP,TR,NU
[14] δε **f**[35] ℵA,C,D,W [65%] RP,HF,CP,TR ¦ --- B [35%] OC,NU

Resurrection Day—Sunday, 04/07/30

28:1 Ὀψὲ δὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἦλθεν Μαρία[1] ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον. **2** Καὶ ἰδού, σεισμὸς ἐγένετο μέγας, ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ,[2] προσελθὼν ἀπεκύλισεν τὸν λίθον ἀπὸ τῆς θύρας,[3] καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. **3** Ἦν δὲ ἡ ἰδέα[4] αὐτοῦ ὡς ἀστραπὴ καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ[5] χιών. **4** Ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο[6] ὡσεὶ[7] νεκροί.

The angel does his duty

5 Ἀποκριθεὶς δὲ ὁ ἄγγελος εἶπεν ταῖς γυναιξίν· «Μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε. **6** Οὐκ ἔστιν ὧδε· ἠγέρθη γάρ, καθὼς εἶπεν. Δεῦτε, ἴδετε τὸν τόπον ὅπου ἔκειτο ὁ Κύριος.[8] **7** Καὶ ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ ὅτι ‹Ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἰδού, προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε.› Ἰδού, εἶπον ὑμῖν.» **8** Καὶ ἐξελθοῦσαι[9] ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης, ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ.

Jesus' second appearance

9 Ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ,[10] καὶ ἰδού,[11] Ἰησοῦς ἀπήντησεν[12] αὐταῖς λέγων, «Χαίρετε.» Αἱ δὲ προσελθοῦσαι, ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ. **10** Τότε λέγει αὐταῖς ὁ Ἰησοῦς· «Μὴ φοβεῖσθε· ὑπάγετε ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, καὶ ἐκεῖ[13] με ὄψονται.»

Guards are bribed

11 Πορευομένων δὲ αὐτῶν, ἰδού, τινὲς τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα. **12** Καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις λέγοντες· **13** «Εἴπατε ὅτι ‹Οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων.› **14** Καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτὸν[14] καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν.» **15** Οἱ δὲ λαβόντες τὰ ἀργύρια ἐποίησαν ὡς ἐδιδάχθησαν. Καὶ διεφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον.[15]

The Great Commission

28:16 Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. **17** Καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐτῷ,[16] οἱ δὲ ἐδίστασαν. **18** Καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς λέγων· «Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ[17] γῆς. **19** Πορευ-

---

[1] μαρια **f**[35] A,B,D,W [99.5%] RP,HF,OC,CP,TR ¦ μαριαμ ℵC [0.5%] NU
[2] ουρανου **f**[35] A,D [98%] RP,HF,OC,CP,TR ¦ 1 και ℵB,C,W [2%] NU
[3] απο της θυρας **f**[35] A,C,W [94%] RP,HF,OC,CP,TR ¦ 123 του μνημειου [5%] ¦ --- ℵB,D [0.5%] NU
[4] ιδεα **f**[35] W [92%] RP,HF,OC,CP,TR ¦ ειδεα A(B)C,D [8%] NU ¦ --- (ℵ)
[5] ωσει **f**[35] A,C,W [97%] RP,HF,OC,CP,TR ¦ ως ℵB,D [3%] NU
[6] εγενοντο **f**[35] A,W [99.5%] RP,HF,OC,CP,TR ¦ εγενηθησαν ℵB,C,D [0.5%] NU
[7] ωσει **f**[35] C [98%] RP,HF,OC,CP,TR ¦ ως ℵA,B,D,W [2%] NU
[8] ο κυριος **f**[35] A,C,D,W [99.5%] RP,HF,OC,CP,TR ¦ --- ℵB [0.5%] NU
[9] εξελθουσαι **f**[35] A,D,W [98%] RP,HF,OC,CP,TR ¦ απελθουσαι ℵB,C [2%] NU
[10] ως δε επορευοντο απαγγειλαι τοις μαθηταις αυτου **f**[35] A,C (88%—with minor variations) RP,HF,OC,CP,TR ¦ --- ℵB,D,W (11.8%) NU ¦ two other variants (0.2%) (Here is as crass a case of homoioteleuton as anyone could wish —the last four words are identical!)
[11] ιδου rell ¦ 1 ο D,W [10%] TR
[12] απηντησεν **f**[35] A,D,W [95%] RP,HF,OC,CP,TR ¦ υπηντησεν ℵB,C [5%] NU
[13] και εκει **f**[35] ℵA,C,W [90%] RP,HF,CP ¦ κακει B,D [10%] OC,TR,NU ¦ εκει [0.5%]
[14] αυτον **f**[35] A,C,D,W [99.5%] RP,HF,OC,CP,TR[NU] ¦ --- ℵB [0.5%]
[15] σημερον **f**[35] ℵA,W [99.5%] RP,HF,OC,CP,TR ¦ 1 ημερας B,D [0.5%] [NU]
[16] αυτω **f**[35] A,W [97%] RP,HF,OC,CP,TR ¦ --- ℵB,D [0.5%] NU ¦ αυτον [2.5%]
[17] επι **f**[35] ℵA,W [99.5%] RP,HF,OC,CP,TR ¦ 1 της B,D [0.5%] [NU]

θέντες[1] μαθητεύσατε πάντα τὰ ἔθνη· βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος· **20** διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδού, ἐγὼ μεθ᾽ ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος.» Ἀμήν.[2,3,4]

---

[1] πορευθεντες **f**^{35} ℵA [95%] RP,HF,OC,CP ¦ 1 ουν B,W [5%] TR,NU ¦ νυν D

[2] αμην **f**^{35} [98.5%] RP,HF,OC,CP,TR ¦ --- ℵA,B,D,W [1.5%] NU

[3] In the colophons, **f**^{35} [50%] have, "published eight years after the ascension of Christ", to which all but **f**^{35} add, "in Jerusalem". For 50% of the MSS to have this information probably means that the tradition is ancient; and of course, I have demonstrated, to my own satisfaction at least, that **f**^{35} goes back at least to the 3rd century. If this information is correct, then Matthew was 'published' in 38/39 AD. The same sources have Mark published two years later (40/41) and Luke another five years later (45/46), while John was 'published' thirty-two years after the ascension, or 61/62 AD. Not only were the authors eyewitnesses of the events, but many others were still alive when the Gospels appeared. They could attest to the veracity of the accounts, but could also be the source of textual variants, adding tidbits here and there, or 'correcting' something that they remembered differently.

[4] The citation of **f**^{35} is based on the following fifty-eight MSS—18, 35, 55, 128, 204, 246, 361, 363, 386, 402, 479, 510, 547, 553, 586, 685, 757, 769, 789, 824, 867, 897, 928, 955, 1040, 1046, 1062, 1072, 1075, 1111, 1117, 1145, 1189, 1339, 1435, 1461, 1496, 1503, 1551, 1560, 1572, 1637, 1652, 1667, 1694, 1713, 2122, 2175, 2253, 2352, 2382, 2466, 2503, 2554, 2621, 2692, 2765 and I.2110—all of which I collated myself. I also took account of two collated by Scrivener (201, 480), but did not re-collate them. 1046 and 2554 are 'perfect' representatives of **f**^{35} in Matthew, as they stand, while the exemplars of 1040, 1072, 1117, 1461, 1496, 1713 and I.2110 presumably were as well. Others come very close. The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Bucharest, Moscow, Constantinople, Lesbos, Leukosia, Aegean, Meteora, Kalavrita, Tirana, Mt. Athos [ten different monasteries], Athens, Corinth[?], Bologna, Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

I have included six published editions in the apparatus—RP,HF,OC,CP,TR,NU. RP = Robinson-Pierpont (2005), HF = Hodges-Farstad, OC = the Greek Text of the Greek Orthodox Church (also used by other Orthodox Churches), CP = Complutensian Polyglot, TR = Textus Receptus, NU = N-A^{26}/UBS^{3} (N-A^{27}/UBS^{4} offer changes in the critical apparatus, not in the text; the text is still that of N-A^{26}/UBS^{3}).

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from TuT, which I take to be reasonably precise. For the variant sets that are not covered there, I mainly depended on Legg (Novum Testamentum Graece Secundum Textum Westcotto-Hortianum. Evangelium Secundum Matthaeum [Ed. S.C.E. Legg, Oxonii: E. Typographeo Clarendoniano, 1940]). I occasionally supplemented from Swanson, Scrivener and von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±2%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±4%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%—since my sources had collated a lower percentage of the extant MSS than ECM for the General Epistles, for example, my guesses as to percentages are more tentative than they were there, except that I guarantee the witness of f^{35}.

As an arbitrary decision, I have limited the citation of individual MSS to those dated to the 5th century or earlier. I use rell to indicate that the reading is supported by all other primary witnesses, and printed editions (of the six included in the apparatus), compared to the other reading.

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΡΚΟΝ

1:1 Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ, Υἱοῦ τοῦ Θεοῦ.[1]

John the Baptizer

1:2 Ὡς[2] γέγραπται ἐν τοῖς προφήταις[3]—«Ἰδού, ἐγὼ[4] ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.»[5] **3** «Φωνὴ βοῶντος· ‹Ἐν τῇ ἐρήμῳ ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.› »—**4** Ἐγένετο Ἰωάννης[6] βαπτίζων ἐν τῇ ἐρήμῳ καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. **5** Καὶ ἐξεπορεύετο[7] πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα καὶ οἱ Ἱεροσολυμῖται, καὶ ἐβαπτίζοντο πάντες[8] ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ᾽ αὐτοῦ,[9] ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

6 Ἦν δὲ ὁ[10] Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον. **7** Καὶ ἐκήρυσσεν λέγων· «Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. **8** Ἐγὼ μὲν[11] ἐβάπτισα ὑμᾶς ἐν[12] ὕδατι, αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν Πνεύματι Ἁγίῳ.»

Jesus is baptized

1:9 Καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις, ἦλθεν ὁ[13] Ἰησοῦς ἀπὸ Ναζαρὲτ[14] τῆς Γαλιλαίας καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην.[15] **10** Καὶ εὐθέως[16] ἀναβαίνων ἀπὸ[17] τοῦ ὕδατος εἶδεν σχιζομένους τοὺς οὐρανοὺς καὶ τὸ Πνεῦμα, ὡσεὶ[18] περιστεράν, καταβαῖνον ἐπ᾽[19] αὐτόν. **11** Καὶ φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν· «Σὺ εἶ ὁ Υἱός μου, ὁ ἀγαπητός, ἐν ᾧ[20] εὐδόκησα.»[21]

Jesus is tested

1:12 Καὶ εὐθέως[22] τὸ Πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον. **13** Καὶ ἦν ἐκεῖ[23] ἐν τῇ ἐρήμῳ ἡμέρας τεσσαράκοντα[24] πειραζόμενος ὑπὸ τοῦ Σατανᾶ, καὶ ἦν μετὰ τῶν θηρίων· καὶ οἱ ἄγγελοι

---

[1] υιου του θεου **f**[35] A (98.4%) HF,RP,CP,TR,OC ¦ υιου θεου B,D,W (0.4%) [NU] ¦ --- ℵ (0.8%) ¦ two other variants (0.4%)
[2] ως **f**[35] A,D,W [97%] HF,RP,CP,TR,OC ¦ καθως ℵB [3%] NU
[3] τοις προφηταις **f**[35] A,W (96.7%) HF,RP,CP,TR,OC ¦ τω ησαια τω προφητη ℵB (1.3%) NU ¦ ησαια τω προφητη D (1.8%) ¦ one other variant (0.2%) [The first quote is from Malachi; only the second is from Isaiah.]
[4] εγω **f**[35] ℵA,W [99%] HF,RP,CP,TR,OC ¦ --- B,D [1%] NU
[5] εμπροσθεν σου **f**[35] A (96.7%) HF,RP,CP,TR,OC ¦ --- ℵB,D,W (3.3%) NU
[6] ιωαννης **f**[35] A(D)W (99.4%) HF,RP,CP,TR,OC ¦ 1 ο ℵB (0.6%) [NU]
[7] εξεπορευετο **f**[35] ℵA,B,D,W [70%] HF,RP,CP,TR,OC,NU ¦ εξεπορευοντο [30%]
[8] και εβαπτιζοντο παντες **f**[35] A,W [96%] HF,RP,CP,TR,OC ¦ ~ 132 [2%] ¦ ~ 312 B,D [1%] NU ¦ ~ 32 ℵ ¦ 12 [1%]
[9] εν τω ιορδανη ποταμω ὑπ αυτου **f**[35] A [98%] HF,RP,CP,TR,OC ¦ ~ 561234 ℵB [1%] NU ¦ 12356 W [1%] ¦ 1356 D
[10] ην δε ο **f**[35] [94%] HF,RP,CP,OC ¦ 12 A,D,W [5%] TR ¦ ~ και 13 ℵB [1%] NU ¦ two other variants
[11] μεν **f**[35] A(D)W [98%] HF,RP,CP,TR,OC ¦ --- ℵB [2%] NU
[12] εν **f**[35] A(D)W (95.5%) HF,RP,CP,TR,OC ¦ --- ℵB (4%) NU ¦ four other variants (0.5%)
[13] ο **f**[35] D [45%] CP,OC ¦ --- ℵA,B,W [55%] HF,RP,TR,NU
[14] ναζαρετ **f**[35] ℵB [70%] HF,RP,CP,TR,OC,NU ¦ ναζαρεθ D,W [29%] ¦ ναζαρατ A [1%]
[15] υπο ιωαννου εις τον ιορδανην **f**[35] A,W [97%] HF,RP,CP,TR,OC ¦ ~ 34512 ℵ(B,D) [3%] NU
[16] ευθεως **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB [1%] NU ¦ --- D (In Hellenistic Greek ευθεως is the normal adverbial form for the adjective ευθυς. People with a bias toward classical Greek, both in ancient Alexandria and in more modern times, have preferred ευθυς as the adverbial form as well.)
[17] απο **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ εκ ℵB,D,W [3%] NU
[18] ωσει **f**[35] (W) [70%] HF,RP,CP,TR ¦ ως ℵA,B,D [30%] OC,NU
[19] επ **f**[35] ℵA,W [98%] HF,RP,CP,TR,OC ¦ εις B,D [2%] NU
[20] ω **f**[35] A,W [90%] HF,RP,CP,TR ¦ σοι ℵB,D [10%] OC,NU
[21] ευδοκησα *rell* ¦ ηυδοκησα W [10%] OC
[22] ευθεως **f**[35] A,D [40%] OC ¦ ευθυς ℵB,W [60%] HF,RP,CP,TR,NU (Were one to follow the majority variant here, the idea would presumably be ‘straight into the wilderness’, which makes good sense.)
[23] εκει **f**[35] W [98%] HF,RP,CP,TR,OC ¦ --- ℵA,B,D [2%] NU
[24] ημερας τεσσαρακοντα **f**[35] [98%] HF,RP,CP,TR,OC ¦ 1 τεσσερακοντα A [1%] ¦ ~ 21 [0.5%] ¦ ~ τεσσερακοντα 1 B

διηκόνουν αὐτῷ.

Jesus ministers in Galilee

1:14 Μετὰ δὲ τὸ παραδοθῆναι τὸν[1] Ἰωάννην, ἦλθεν ὁ[2] Ἰησοῦς εἰς τὴν Γαλιλαίαν κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας[3] τοῦ Θεοῦ **15** καὶ[4] λέγων ὅτι «Πεπλήρωται ὁ καιρὸς καὶ ἤγγικεν ἡ βασιλεία τοῦ Θεοῦ. Μετανοεῖτε καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ.»

Peter, Andrew, James, John

16 Περιπατῶν δὲ[5] παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδεν Σίμωνα καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, τοῦ Σίμωνος,[6] βάλλοντας ἀμφίβληστρον[7] ἐν τῇ θαλάσσῃ, ἦσαν γὰρ ἁλιεῖς. **17** Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· «Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων.» **18** Καὶ εὐθέως[8] ἀφέντες τὰ δίκτυα αὐτῶν[9] ἠκολούθησαν αὐτῷ. **19** Καὶ προβὰς ἐκεῖθεν[10] ὀλίγον εἶδεν[11] Ἰάκωβον, τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ αὐτοὺς ἐν τῷ πλοίῳ καταρτίζοντας τὰ δίκτυα.[12] **20** Καὶ εὐθέως[13] ἐκάλεσεν αὐτούς, καὶ ἀφέντες τὸν πατέρα αὐτῶν Ζεβεδαῖον ἐν τῷ πλοίῳ μετὰ τῶν μισθωτῶν ἀπῆλθον ὀπίσω αὐτοῦ.

A demonized man

21 Καὶ εἰσπορεύονται εἰς Καπερναούμ.[14] Καὶ εὐθέως[15] τοῖς σάββασιν εἰσελθὼν εἰς τὴν[16] συναγωγὴν ἐδίδασκεν. **22** Καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς.

23 Καὶ[17] ἦν ἐν τῇ συναγωγῇ αὐτῶν ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ· καὶ ἀνέκραξεν **24** λέγων· «Ἔα,[18] τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; Ἦλθες ἀπολέσαι ἡμᾶς; Οἶδά σε τίς εἶ—ὁ Ἅγιος τοῦ Θεοῦ.» **25** Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς λέγων· «Φιμώθητι καὶ ἔξελθε ἐξ αὐτοῦ.»[19] **26** Καὶ σπαράξαν αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον, καὶ κράξαν[20] φωνῇ μεγάλῃ ἐξῆλθεν ἐξ αὐτοῦ.

[0.5%] NU ¦ 1 μ D ¦ ~ μ 1 ℵW

[1] τον **f**[35] ℵB,D,W [75%] HF,RP,CP,TR,NU ¦ --- A [25%] OC

[2] ο **f**[35] ℵB,D [60%] HF,RP,CP,TR,OC,NU ¦ --- A,W [40%]

[3] της βασιλειας **f**[35] A,D,W (97.9%) HF,RP,CP,TR,OC ¦ --- ℵB (2.1%) NU

[4] και **f**[35] B,W (79.4%) HF,RP,CP,TR,OC,NU ¦ --- (ℵ)A,D (19.9%) ¦ long omission (0.6%)

[5] περιπατων δε **f**[35] A,W [97%] HF,RP,CP,TR,OC ¦ και παραγων ℵB,D [2%] NU ¦ παραγων 2 [1%]

[6] αυτου του σιμωνος **f**[35] [90%] HF,RP,CP,OC ¦ 1 D,W [5%] TR ¦ 23 A [4%] ¦ 3 ℵB [1%] NU (Is the reading of the majority a conflation of D and A? It seems more likely that all the shorter readings are simplifications of the long one, especially if it seemed to be difficult, but why should Simon not be named after his father, in the event?)

[7] βαλλοντας αμφιβληστρον **f**[35] (83.1%) HF,RP,CP,TR,OC ¦ ~ 21 (3%) ¦ βαλλοντος 2 (0.4%) ¦ 1 αμφιβληστρα (0.4%) ¦ ~ αμφιβληστρα 1 (1.2%) ¦ αμφιβαλλοντας 2 (A)W (10.7%) ¦ αμφιβαλλοντας τα δικτυα D (0.9%) ¦ αμφιβαλλοντας ℵB (0.3%) NU (The reading of A,W could be a conflation. The reading of B was probably a stylistic retouching of that of **f**[35], that went on to contaminate A and D, etc.)

[8] ευθεως **f**[35] A,B,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵ [1%] NU

[9] τα δικτυα αυτων **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ 12 ℵB,C,W [3%] NU ¦ παντα D

[10] εκειθεν **f**[35] (ℵ)A,C [97%] HF,RP,CP,TR,OC ¦ --- B,D,W [3%] NU

[11] ειδεν *rell* ¦ ιδεν ℵA,C [10%] ειδεν *rell* ¦ ιδεν ℵA,C [10%]

[12] δικτυα *rell* ¦ 1 αυτων [15%]

[13] ευθεως **f**[35] A,C,D(W) [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB [1%] NU

[14] καπερναουμ **f**[35] A,C [98%] HF,RP,CP,TR,OC ¦ καφαρναουμ ℵB,D,W [2%] NU

[15] ευθεως **f**[35] A,B,C,D,W [98%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵ [2%] NU

[16] την *rell* ¦ --- [20%] some TRs

[17] και **f**[35] A,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ 1 ευθυς ℵB [1%] NU

[18] εα **f**[35] A,C [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D,W [1%] NU

[19] εξ αυτου **f**[35] ℵA,B,C (88.7%) HF,RP,CP,TR,OC,NU ¦ απ 2 (10.9%) ¦ εκ του ανθρωπου πνευμα ακαθαρτον D,W ¦ εκ του ανθρωπου το πνευμα το ακαθαρτον (0.2%)

[20] κραξαν **f**[35] A,C [99%] HF,RP,CP,TR,OC ¦ κραξας (D) ¦ ανεκραγεν (W) ¦ φωνησαν ℵB [1%] NU

27 Καὶ ἐθαμβήθησαν πάντες,[1] ὥστε συζητεῖν πρὸς ἑαυτούς,[2] λέγοντας·[3] «Τί ἐστιν τοῦτο; Τίς ἡ διδαχὴ ἡ καινὴ αὕτη; Ὅτι[4] κατ᾽ ἐξουσίαν καὶ τοῖς πνεύμασιν τοῖς ἀκαθάρτοις ἐπιτάσσει, καὶ ὑπακούουσιν αὐτῷ.» **28** Ἐξῆλθεν δὲ[5] ἡ ἀκοὴ αὐτοῦ εὐθὺς[6] εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας.

Peter's mother-in-law

29 Καὶ εὐθέως[7] ἐκ τῆς συναγωγῆς ἐξελθόντες ἦλθον εἰς τὴν οἰκίαν Σίμωνος καὶ Ἀνδρέου, μετὰ Ἰακώβου καὶ Ἰωάννου. **30** Ἡ δὲ πενθερὰ τοῦ[8] Σίμωνος κατέκειτο πυρέσσουσα, καὶ εὐθέως[9] λέγουσιν αὐτῷ περὶ αὐτῆς. **31** Καὶ προσελθὼν ἤγειρεν αὐτήν, κρατήσας τῆς χειρὸς αὐτῆς,[10] καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως[11] καὶ διηκόνει αὐτοῖς.

Many healings

32 Ὀψίας δὲ γενομένης, ὅτε ἔδυ ὁ ἥλιος, ἔφερον πρὸς αὐτὸν πάντας τοὺς κακῶς ἔχοντας καὶ τοὺς δαιμονιζομένους. **33** Καὶ ἡ πόλις ὅλη ἐπισυνηγμένη ἦν[12] πρὸς τὴν θύραν, **34** καὶ ἐθεράπευσεν πολλοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις καὶ δαιμόνια πολλὰ ἐξέβαλεν· καὶ οὐκ ἤφιεν λαλεῖν τὰ δαιμόνια, ὅτι ᾔδεισαν αὐτὸν Χριστὸν εἶναι.[13]

Alone to pray

35 Καὶ πρωῒ ἔννυχον[14] λίαν ἀναστάς, ἐξῆλθεν καὶ ἀπῆλθεν[15] εἰς ἔρημον τόπον, κἀκεῖ προσηύχετο. **36** Καὶ κατεδίωξαν[16] αὐτὸν ὁ[17] Σίμων καὶ οἱ μετ᾽ αὐτοῦ, **37** καὶ εὑρόντες[18] αὐτὸν[19] λέγουσιν αὐτῷ ὅτι «Πάντες σε ζητοῦσιν.»[20] **38** Καὶ λέγει αὐτοῖς· «Ἄγωμεν[21] εἰς τὰς ἐχομένας κωμοπόλεις, ἵνα καὶ ἐκεῖ[22] κηρύξω· εἰς τοῦτο γὰρ ἐλήλυθα.»[23]

39 Καὶ ἦν[24] κηρύσσων ἐν ταῖς συναγωγαῖς[25] αὐτῶν εἰς ὅλην τὴν Γαλιλαίαν, καὶ τὰ δαιμόνια ἐκβάλλων.

---

[1] παντες **f**[35] A,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ απαντες ℵB [1%] NU

[2] εαυτους **f**[35] A,C,D,W (95%) HF,RP,CP,OC,NU ¦ αυτους (ℵB) (3%) TR ¦ αλληλους (1.7%) ¦ five other variants (0.3%)

[3] λεγοντας **f**[35] ℵB,D (79.8%) HF,RP,CP,TR,OC,NU ¦ λεγοντες A,C,W (20%) ¦ --- (0.2%)

[4] τις η διδαχη η καινη αυτη οτι **f**[35] C [98%] HF,RP,CP,TR,OC ¦ 123456 W ¦ 123 εκεινη 456 η εξουσια 7 D ¦ ~ 125637 A [1%] ¦ 35 ℵB [0.5%] NU (A, D and W are closer to the majority reading than to B, and presumably derive from it; B looks like typical Alexandrian editing.)

[5] εξηλθεν δε **f**[35] A [97%] HF,RP,CP,TR ¦ ~ και 1 ℵB,C,D,W [3%] OC,NU

[6] ευθυς **f**[35] A,D [96%] HF,RP,CP,TR,OC ¦ ευθυς πανταχου B,C [1%] NU ¦ πανταχου W ¦ --- ℵ [3%] (Observe the contrast with the next footnote. Here ευθυς is more like an adjective; not an adverb of time as in the following case.)

[7] ευθεως **f**[35] A,C [97%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB [3%] NU ¦ --- D,W

[8] του **f**[35] [30%] CP ¦ --- ℵA,B,C(D,W) [70%] HF,RP,TR,OC,NU

[9] ευθεως **f**[35] A,C [98%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,D [2%] NU ¦ --- W

[10] αυτης **f**[35] A,C [99.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB(D,W) [0.5%] NU

[11] ευθεως **f**[35] A(D) [97%] HF,RP,CP,TR,OC ¦ --- ℵBC,W [3%] NU

[12] η πολις ολη επισυνηγμενη ην **f**[35] A(W) [97%] HF,RP,CP,TR ¦ ~ 53124 B,C,D [2%] NU ¦ ~ 12354 [1%] ¦ ~ 51234 OC ¦ --- ℵ ¦ four other variants

[13] χριστον ειναι **f**[35] B,W (28%) OC ¦ τον 12 (C) (11.6%) ¦ ~ 2 τον 1 (1.2%) ¦ --- ℵA(D) (58.9%) HF,RP,CP,TR,NU ¦ five other variants (0.4%)

[14] εννυχον **f**[35] A [98%] HF,RP,CP,TR ¦ εννυχα ℵB,C,D(W) [2%] OC,NU

[15] απηλθεν **f**[35] ℵA,C,D (71.7%) HF,RP,TR,OC,NU ¦ 1 ο ιησους (26.5%) CP ¦ ο ιησους (0.3%) ¦ --- B,W (1.3%) ¦ three other variants (0.2%)

[16] κατεδιωξαν **f**[35] A,C,D,W [95%] HF,RP,CP,TR,OC ¦ κατεδιωξεν ℵB [5%] NU

[17] ο **f**[35] A,C [89%] HF,RP,CP,TR,OC ¦ 1 τε [10%] ¦ το D ¦ --- ℵB,W [1%] NU

[18] ευροντες **f**[35] A,C [99%] HF,RP,CP,TR,OC ¦ ευρον ℵB(D) [1%] NU ¦ --- (W)

[19] αυτον **f**[35] A,C,D [99%] HF,RP,CP,TR,OC ¦ 1 και ℵB [1%] NU ¦ --- (W)

[20] σε ζητουσιν **f**[35] A [90%] HF,RP,CP,OC ¦ ~ 21 ℵB,C,D(W) [10%] TR,NU

[21] αγωμεν **f**[35] A,D,W [99%] HF,RP,CP,TR,OC ¦ 1 αλλαχου ℵB,C [1%] NU

[22] και εκει **f**[35] A,B,C [85%] HF,RP,CP,OC,NU ¦ κακει ℵD [14%] TR ¦ 2 [1%] ¦ --- W

[23] εληλυθα **f**[35] W [40%] ¦ εξεληλυθα A,D [59%] HF,RP,CP,TR,OC ¦ εξηλθον ℵB,C [1%] NU

[24] ην **f**[35] A,C,D,W (99.5%) HF,RP,CP,TR,OC ¦ ηλθεν ℵB (0.5%) NU

[25] εν ταις συναγωγαις **f**[35] [90%] HF,RP,CP,TR,OC ¦ εις τας συναγωγας ℵA,B,C,D,W [10%] NU

The hinge—proof, evaluation, rejection, blasphemy

A leper—the proof

1:40 Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς παρακαλῶν αὐτὸν καὶ γονυπετῶν αὐτὸν[1] καὶ λέγων αὐτῷ ὅτι «Ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.» **41** Ὁ δὲ Ἰησοῦς[2] σπλαγχνισθείς, ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ[3] καὶ λέγει αὐτῷ, «Θέλω· καθαρίσθητι.» **42** Καὶ εἰπόντος αὐτοῦ,[4] εὐθέως[5] ἀπῆλθεν ἀπ᾽ αὐτοῦ ἡ λέπρα,[6] καὶ ἐκαθαρίσθη. **43** Καὶ ἐμβριμησάμενος αὐτῷ, εὐθέως[7] ἐξέβαλεν αὐτόν, **44** καὶ λέγει αὐτῷ· «Ὅρα μηδενὶ μηδὲν εἴπῃς· ἀλλ᾽[8] ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ καὶ προσένεγκαι[9] περὶ τοῦ καθαρισμοῦ σου ἃ προσέταξεν Μωσῆς,[10] εἰς μαρτύριον αὐτοῖς.» **45** Ὁ δὲ ἐξελθὼν ἤρξατο κηρύσσειν πολλὰ καὶ διαφημίζειν τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς εἰς πόλιν εἰσελθεῖν, ἀλλ᾽ ἔξω ἐν[11] ἐρήμοις τόποις ἦν· καὶ ἤρχοντο πρὸς αὐτὸν πανταχόθεν.[12]

A paralytic—the evaluation

2:1 Καὶ εἰσῆλθεν πάλιν[13] εἰς Καπερναοὺμ[14] δι᾽ ἡμερῶν, καὶ[15] ἠκούσθη ὅτι εἰς οἶκόν[16] ἐστιν. **2** Καὶ εὐθέως[17] συνήχθησαν πολλοὶ ὥστε μηκέτι χωρεῖν, μηδὲ τὰ πρὸς τὴν θύραν, καὶ ἐλάλει αὐτοῖς τὸν λόγον. **3** Καὶ ἔρχονται πρὸς αὐτὸν παραλυτικὸν φέροντες,[18] αἰρόμενον ὑπὸ τεσσάρων. **4** Καὶ μὴ δυνάμενοι προσεγγίσαι[19] αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν· καὶ ἐξορύξαντες χαλῶσιν τὸν κράββατον[20] ἐφ᾽ ᾧ[21] ὁ παραλυτικὸς κατέκειτο. **5** Ἰδὼν δὲ[22] ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν λέγει τῷ παραλυτικῷ, «Τέκνον, ἀφέωνταί[23] σοι αἱ ἁμαρτίαι σου.»[24]

6 Ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι, καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν· **7** «Τί οὗτος οὕτως λαλεῖ βλασφημίας;[25] Τίς δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ εἷς, ὁ Θεός;» **8** Καὶ εὐθέως[26] ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ ὅτι οὕτως αὐτοὶ[27] διαλογίζονται ἐν ἑαυτοῖς εἶπεν[28] αὐτοῖς· «Τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; **9** Τί ἐστιν εὐκοπώτερον· εἰπεῖν τῷ

---

[1] και γονυπετων αυτον **f**[35] A,C (86.2%) HF,RP,CP,TR,OC ¦ 12 αυτω (3.7%) ¦ 12 א (6%) [NU] ¦ --- B,D,W (4.1%)
[2] ο δε Ιησους **f**[35] A,C,W [99.5%] HF,RP,CP,TR,OC ¦ και אB,D [0.5%] NU
[3] ηψατο αυτου **f**[35] A,C,W [99%] HF,RP,CP,TR,OC ¦ ~ 21 אB [1%] NU ¦ ~ 212 D
[4] ειποντος αυτου **f**[35] A,C (96%) HF,RP,CP,TR,OC ¦ 1 αυτω (0.4%) ¦ --- אB,D,W (2.3%) NU ¦ long omission (1.2%)
[5] ευθεως **f**[35] A,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς אB [1%] NU
[6] απ αυτου η λεπρα *rell* ¦ ~ 3412 A(C) [10%]
[7] ευθεως **f**[35] (A)C [98%] HF,RP,CP,TR,OC ¦ ευθυς אB,D [2%] NU ¦ W omits verse 43
[8] αλλ **f**[35] [85%] HF,RP,TR,OC ¦ αλλα אA,B,C,D,W [15%] CP,NU
[9] προσενεγκαι **f**[35] C [25%] ¦ προσενεγκε אA,B,D,W [75%] HF,RP,CP,TR,OC,NU
[10] μωσης **f**[35] A,C [85%] HF,RP,CP,TR ¦ μωυσης אB,D,W [15%] OC,NU
[11] εν **f**[35] A,C,D [99%] HF,RP,CP,TR,OC ¦ επ אB,W [1%] NU
[12] πανταχοθεν **f**[35] [90%] HF,RP,CP,TR,OC ¦ παντοθεν אA,B,C,D,W [10%] NU
[13] εισηλθεν παλιν **f**[35] A,C [92%] HF,RP,CP,OC ¦ εισηλθων 2 אB,D [2%] NU ¦ ~ 21 [5%] TR ¦ ~ 2 ερχεται W ¦ 1 [1%]
[14] καπερναουμ **f**[35] A,C [98%] HF,RP,CP,TR,OC ¦ καφαρναουμ אB,D,W [2%] NU
[15] και **f**[35] A,C,D,W [95%] HF,RP,CP,TR,OC ¦ --- אB [5%] NU
[16] εις οικον **f**[35] A,C (98.7%) HF,RP,CP,TR,OC ¦ εν οικω **𝔓**[88]אB,D,W (1%) NU ¦ one other variant (0.2%)
[17] ευθεως **f**[35] A,C,D [99%] HF,RP,CP,TR,OC ¦ --- **𝔓**[88v]אB,W [1%] NU
[18] προς αυτον παραλυτικον φεροντες **f**[35] A [96%] HF,RP,CP,TR,OC ¦ ~ 1243 C,D(W) [3%] ¦ ~ 4123 **𝔓**[88]אB [1%] NU
[19] προσεγγισαι **f**[35] A,C(D) [99%] HF,RP,CP,TR,OC ¦ προσενεγκαι אB [1%] NU ¦ προσελθειν W
[20] κραββατον **f**[35] [65%] HF,RP,CP,TR ¦ κραβαττον A,C,D,W [33%] OC,NU ¦ κραβακτον א ¦ κραβατον B [1%] ¦ κραβατγον [1%] (A similar statement obtains in verses 9, 11, 12.)
[21] εφ ω **f**[35] A,C [97%] HF,RP,CP,TR,OC ¦ εφ ου [1%] ¦ εφ ο [1%] ¦ οπου אB(D) [1%] NU ¦ εις ον W
[22] ιδων δε **f**[35] A,D,W [98%] HF,RP,CP,TR,OC ¦ και ιδων **𝔓**[88]אB,C [2%] NU
[23] αφεωνται **f**[35] **𝔓**[88]אA,C,D,W [98%] HF,RP,CP,TR,OC ¦ αφεονται [1%] ¦ αφιενται B [1%] NU
[24] σοι αι αμαρτιαι σου **f**[35] (A) [92%] HF,RP,CP,TR,OC ¦ 123 C [1%] ¦ 4234 [4%] ¦ ~ 423 **𝔓**[88v]אB,D,W [3%] NU
[25] βλασφημιας **f**[35] A,C,W [99.5%] HF,RP,CP,TR,OC ¦ βλασφημει **𝔓**[88]אB,D [0.5%] NU
[26] ευθεως **f**[35] A,C [98%] HF,RP,CP,TR,OC ¦ ευθυς **𝔓**[88v]אB [1%] NU ¦ --- D,W [1%]
[27] αυτοι **f**[35] A,C [90%] HF,RP,CP,OC ¦ --- **𝔓**[88v]אB,D,W [10%] TR,NU
[28] ειπεν **f**[35] A,C,D [99%] HF,RP,CP,TR,OC ¦ λεγει אB(W) [1%] NU

παραλυτικῷ, ‹Ἀφέωνταί[1] σου[2] αἱ ἁμαρτίαι,› ἢ εἰπεῖν, ‹Ἔγειραι[3] καὶ ἆρον τὸν κράββατόν σου[4] καὶ περιπάτει›; **10** Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας»[5]—λέγει τῷ παραλυτικῷ· **11** «Σοὶ λέγω, ἔγειραι[6] καὶ[7] ἆρον τὸν κράββατόν σου καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.» **12** Καὶ ἠγέρθη εὐθέως καὶ[8] ἄρας τὸν κράββατον ἐξῆλθεν ἐναντίον[9] πάντων· ὥστε ἐξίστασθαι πάντας καὶ δοξάζειν τὸν Θεόν, λέγοντας ὅτι «Οὐδέποτε οὕτως[10] εἴδομεν.»

Matthew called

13 Καὶ ἐξῆλθεν πάλιν παρὰ τὴν θάλασσαν· καὶ πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτόν, καὶ ἐδίδασκεν αὐτούς. **14** Καὶ παράγων,[11] εἶδεν[12] Λευὶν[13] τὸν τοῦ Ἀλφαίου καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ λέγει αὐτῷ, «Ἀκολούθει μοι.» Καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ.

15 Καὶ ἐγένετο,[14] ἐν τῷ[15] κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ· ἦσαν γὰρ πολλοὶ καὶ ἠκολούθησαν[16] αὐτῷ. **16** Καὶ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι,[17] ἰδόντες αὐτὸν ἐσθίοντα[18] μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν,[19] ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ, «Τί ὅτι[20] μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει;»[21] **17** Καὶ ἀκούσας ὁ Ἰησοῦς λέγει αὐτοῖς·[22] «Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες. Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.»[23]

Fasting

18 Καὶ ἦσαν οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ τῶν Φαρισαίων[24] νηστεύοντες· καὶ ἔρχονται καὶ λέγουσιν αὐτῷ, «Διὰ τί οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ[25] τῶν Φαρισαίων νηστεύουσιν, οἱ δὲ σοὶ μαθηταὶ οὐ νηστεύουσιν;» **19** Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· «Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος,

---

[1] αφεωνται **f**[35] A,C(D)W [99%] HF,RP,CP,TR,OC ¦ αφιενται ℵB [1%] NU ¦ three other variants
[2] σου **f**[35] **𝔓**[88]ℵB,W [90%] HF,RP,CP,OC,NU ¦ σοι A,C(D) [10%] TR
[3] εγειραι **f**[35] [65%] HF,RP,CP,TR ¦ εγειρε ℵA,C(D)W [34%] OC,NU ¦ εγειρου B [1%]
[4] τον κραββατον σου **f**[35] **𝔓**[88]ℵA,B,C(D) [40%] CP,OC,NU ¦ ~ 312 [59%] HF,RP,TR ¦ --- W [1%]
[5] επι της γης αφιεναι αμαρτιας **f**[35] **𝔓**[88]ℵC,D (47.7%) ¦ ~ 41235 A (46.6%) HF,RP,CP,TR,OC ¦ ~ 45123 B (3.2%) NU ¦ 45 W (1.5%) ¦ long omissions (0.9%) ¦ one other variant
[6] σοι λεγω εγειραι **f**[35] [45%] HF,RP,CP,TR ¦ 12 εγειρε A,B,C,D [54%] OC,NU ¦ ~ εγειρε 12 **𝔓**[88v]ℵ ¦ εγειρε W [1%] ¦ two other variants
[7] και **f**[35] A,W [98%] HF,RP,CP,TR,OC ¦ --- **𝔓**[88]ℵB,C,D [2%] NU
[8] ευθεως και **f**[35] A(D) [98%] HF,RP,CP,TR,OC ¦ ~ 21 C [1%] ¦ ~ 2 ευθυς **𝔓**[88]ℵB [1%] NU ¦ 2 W [1%]
[9] εναντιον **f**[35] A,C,D [98%] HF,RP,CP,TR,OC ¦ ενωπιον [1%] ¦ εμπροσθεν **𝔓**[88]ℵB(W) [1%] NU
[10] ουδεποτε ουτως **f**[35] A,C [99%] HF,RP,CP,TR,OC ¦ 21 **𝔓**[88]ℵB,D,W [1%] NU
[11] παραγων *rell* ¦ 1 ο ιησους [15%]
[12] ειδεν *rell* ¦ ιδεν A,C [10%]
[13] λευιν **f**[35] **𝔓**[88]C [70%] HF,CP,TR,OC,NU ¦ λευι A [26.5%] RP ¦ λευειν B,W [2%] ¦ λευει ℵ ¦ six further variations based on Levi [0.6%] ¦ ιακωβον D (0.9%) (*TuT* has garbled the evidence here.)
[14] εγενετο **f**[35] A,C,D [99%] HF,RP,CP,TR,OC ¦ γινεται **𝔓**[88]ℵ(B,W) [1%] NU
[15] εν τω **f**[35] A,C [98%] HF,RP,CP,TR,OC ¦ --- **𝔓**[88]ℵB(D,W) [2%] NU
[16] ηκολουθησαν **f**[35] A,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ ηκολουθουν ℵB [1%] NU
[17] και οι φαρισαιοι **f**[35] A,C(D) (99%) HF,RP,CP,TR,OC ¦ των φαρισαιων και **𝔓**[88v]ℵ (0.5%) ¦ των φαρισαιων B,W (0.2%) NU
[18] αυτον εσθιοντα **f**[35] (A)C (97.7%) HF,RP,CP,TR,OC ¦ οτι εσθιει B (0.3%) NU ¦ οτι ησθιεν **𝔓**[88]ℵ(D) (0.4%) ¦ 1 (1.2%) ¦ five other variants W (0.4%)
[19] τελωνων και αμαρτωλων **f**[35] ℵ(A)C (98.3%) HF,RP,CP,TR,OC ¦ ~ 321 (**𝔓**[88])B(D) (0.6%) NU ¦ 1 (0.7%) ¦ four other variants W (0.4%)
[20] τι οτι **f**[35] A (96%) HF,RP,CP,TR,OC ¦ 2 B,C (1.8%) NU ¦ δια 1 ℵD,W (0.4%) ¦ 1 (0.2%) ¦ long omission (1.4%) ¦ three other variants (0.2%)
[21] εσθιει και πινει **f**[35] **𝔓**[88]A (93.3%) HF,RP,CP,TR,OC ¦ εσθιετε 2 πινετε (0.9%) ¦ 123 ο διδασκολος υμων (C) (4.9%) ¦ 1 B,D,W (0.7%) NU ¦ 1 ο διδασκολος υμων ℵ (0.2%)
[22] αυτοις **f**[35] ℵA,C [98%] HF,RP,CP,TR,OC ¦ 1 οτι B [1%] NU ¦ --- D,W [1%] ¦ οτι **𝔓**[88]
[23] εις μετανοιαν **f**[35] C [90%] HF,RP,CP,TR,OC ¦ --- **𝔓**[88]ℵA,B,D,W [10%] NU
[24] των φαρισαιων **f**[35] (W) (93.4%) HF,RP,CP,TR,OC ¦ φαρισαιοι **𝔓**[88]ℵA,B,C,D (6.4%) NU
[25] οι **f**[35] D [98.5%] HF,RP,CP,TR,OC ¦ 1 μαθηται **𝔓**[88]ℵB,C [1%] NU ¦ --- A,W [0.5%]

ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστιν, νηστεύειν; Ὅσον χρόνον μεθ᾽ ἑαυτῶν ἔχουσιν τὸν νυμφίον[1] οὐ δύνανται νηστεύειν. **20** Ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν, ἐν ἐκείναις ταῖς ἡμέραις.[2]

Cloth and wineskins

21 »Καὶ[3] οὐδεὶς ἐπίβλημα ῥάκους ἀγνάφου ἐπιρράπτει[4] ἐπὶ ἱματίῳ παλαιῷ,[5] εἰ δὲ μή,[6] αἴρει τὸ πλήρωμα αὐτοῦ[7] τὸ καινὸν τοῦ παλαιοῦ, καὶ χεῖρον σχίσμα γίνεται. **22** Καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς, εἰ δὲ μή, ῥήσσει[8] ὁ οἶνος ὁ νέος[9] τοὺς ἀσκούς, καὶ ὁ οἶνος ἐκχεῖται καὶ οἱ ἀσκοὶ ἀπολοῦνται·[10] ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον.»[11]

Jesus is Lord of the Sabbath

23 Καὶ ἐγένετο παραπορεύεσθαι αὐτόν, ἐν τοῖς σάββασιν,[12] διὰ τῶν σπορίμων, καὶ ἤρξαντο οἱ μαθηταὶ αὐτοῦ[13] ὁδὸν ποιεῖν, τίλλοντες τοὺς στάχυας. **24** Καὶ οἱ Φαρισαῖοι ἔλεγον αὐτῷ, «Ἴδε, τί ποιοῦσιν ἐν[14] τοῖς σάββασιν ὃ οὐκ ἔξεστιν;» **25** Καὶ αὐτὸς ἔλεγεν[15] αὐτοῖς· «Οὐδέποτε ἀνέγνωτε τί ἐποίησεν Δαυίδ, ὅτε χρείαν ἔσχεν καὶ ἐπείνασεν, αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ; **26** Πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ (ἐπὶ Ἀβιάθαρ[16] ἀρχιερέως) καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἔξεστιν φαγεῖν εἰ μὴ τοῖς ἱερεῦσιν,[17] καὶ ἔδωκεν καὶ τοῖς σὺν αὐτῷ οὖσιν;» **27** Καὶ ἔλεγεν αὐτοῖς· «Τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο,[18] οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον. **28** Ὥστε Κύριός ἐστιν ὁ Υἱὸς τοῦ Ἀνθρώπου καὶ τοῦ σαββάτου.»

A Sabbath healing—the rejection

3:1 Καὶ εἰσῆλθεν πάλιν εἰς τὴν συναγωγήν, καὶ ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα. **2** Καὶ παρετήρουν αὐτόν, εἰ τοῖς σάββασιν θεραπεύσει αὐτόν, ἵνα κατηγορήσωσιν αὐτοῦ. **3** Καὶ λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην ἔχοντι τὴν χεῖρα,[19] «Ἔγειραι[20] εἰς τὸ μέσον.» **4** Καὶ λέγει αὐτοῖς· «Ἔξεστιν τοῖς σάββασιν ἀγαθοποιῆσαι[21] ἢ κακοποιῆσαι, ψυχὴν σῶσαι ἢ

---

[1] μεθ εαυτων εχουσιν τον νυμφιον **f**[35] A (91.4%) HF,RP,CP,TR,OC ¦ μετ αυτων 345 (1.7%) ¦ ~ 31245 (1.2%) ¦ ~ 3 μετ αυτων 45 (0.5%) ¦ ~ 34512 **𝔓**[88] (0.3%) ¦ ~ 345 μετ αυτων ℵB,C (0.7%) NU ¦ 12 εστιν 45 (0.2%) ¦ μετ αυτων 45 (0.3%) ¦ --- D,W (3.4%) ¦ three further variants (0.3%)

[2] εκαιναις ταις ημεραις **f**[35] [85%] HF,RP,CP,TR,OC ¦ εκεινη τη ημερα ℵA,B,C,D,W [15%] NU

[3] Και **f**[35] [75%] HF,RP,CP,TR ¦ --- ℵA,B,C,W [23%] OC,NU ¦ δε D [2%]

[4] επιρραπτει **f**[35] [80%] HF,RP,CP,TR,OC ¦ επιραπτει ℵA,B,C [20%] NU ¦ επισυνραπει D(W)

[5] ιματιω παλαιω **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ ιματιον παλαιον **𝔓**[88]ℵB,C,D [1%] NU

[6] μη *rell* ¦ μηγε [5%] OC

[7] το πληρωμα αυτου **f**[35] C [93%] HF,RP,CP,TR,OC ¦ 12 απ 3 [3%] NU ¦ ~ απ 312 A,W [3%] ¦ 12 D [1%] ¦ 2 απ 3 ℵ ¦ 12 αφ εαυτου B

[8] ρησσει **f**[35] A [98%] HF,RP,CP,TR,OC ¦ ρηξει **𝔓**[88]ℵB,C,D [2%] NU ¦ διαρρησσονται W

[9] ο νεος **f**[35] A [96%] HF,RP,CP,TR,OC ¦ --- **𝔓**[88]ℵB,C,D(W) [4%] NU

[10] εκχειται και οι ασκοι απολουνται **f**[35] ℵA,C(W) [99.5%] HF,RP,CP,TR,OC ¦ 2345 D ¦ ~ απολλυται 234 **𝔓**[88]B [0.5%] NU

[11] βλητεον **f**[35] **𝔓**[88]A,C (99.4%) HF,RP,CP,TR,OC ¦ --- ℵB (0.3%) NU ¦ βαλλουσιν W ¦ long omission D (0.2%)

[12] παραπορευεσθαι αυτον εν τοις σαββασιν **f**[35] A [90%] HF,RP,CP,TR,OC ¦ 1245 [6%] ¦ ~ 23451 (διαπορευεσθαι B,D πορευεσθαι W) **𝔓**[88]ℵ(B,D,W) [3%] NU ¦ ~ 45 διαπορευεσθαι 2 C [1%] ¦ at least four further variations

[13] ηρξαντο οι μαθηται αυτου **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ ~ 2341 **𝔓**[88]ℵB,C(D)W [3%] NU

[14] εν **f**[35] [95%] HF,RP,CP,TR,OC ¦ --- ℵ(A)B,C,D,W [5%] NU

[15] αυτος ελεγεν **f**[35] A [96.5%] HF,RP,CP,TR,OC ¦ 1 λεγει [0.5%] ¦ 2 **𝔓**[88]B [0.5%] ¦ λεγει ℵC,W [2%] NU ¦ αποκριθεις ειπεν D [0.5%]

[16] αβιαθαρ **f**[35] **𝔓**[88]ℵB (83.7%) HF,RP,OC,NU ¦ 1 του A,C (15.8%) CP,TR ¦ --- D,W (0.4%)

[17] τοις ιερευσιν **f**[35] A,C,(D,W) [97%] HF,RP,CP,TR,OC ¦ 12 μονοις [2%] ¦ 1 αρχιερευσιν [0.5%] ¦ τους ιερεις ℵB [0.5%] NU

[18] εγενετο **f**[35] A (98.6%) HF,RP,CP,TR,OC ¦ 1 και ℵB,C (0.9%) NU ¦ εκτισθη W (0.5%) ¦ --- D

[19] εξηραμμενην εχοντι την χειρα **f**[35] A (94.4%) HF,RP,CP,TR,OC ¦ 1 εχων 34 (3.1%) ¦ 1 εχοντα 34 (0.5%) ¦ ~ 2341 D (0.3%) ¦ ~ 3421 (0.2%) ¦ ~ 342 ξηραν B (0.4%) ¦ ~ 3 ξηραν 42 ℵC (0.3%) NU ¦ ξηραν 234 (0.3%) ¦ two other variations W (0.2%) ¦ long omission (0.2%)

[20] εγειραι **f**[35] [60%] HF,RP,CP,TR ¦ εγειρε ℵA,B,C,D,W [40%] OC,NU

[21] αγαθοποιησαι **f**[35] A,B,C [99.5%] HF,RP,CP,TR,OC ¦ αγαθον ποιησαι ℵ(D)W,NU

ἀποκτεῖναι;»[1] Οἱ δὲ ἐσιώπων. **5** Καὶ περιβλεψάμενος αὐτοὺς μετ᾽ ὀργῆς, συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν, λέγει τῷ ἀνθρώπῳ, «Ἔκτεινον τὴν χεῖρά σου.»[2] Καὶ ἐξέτεινεν, καὶ ἀποκατεστάθη[3] ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη.[4] **6** Καὶ ἐξελθόντες οἱ Φαρισαῖοι εὐθέως[5] μετὰ τῶν Ἡρῳδιανῶν συμβούλιον ἐποίουν[6] κατ᾽ αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσιν.

Healings by the Sea

7 Καὶ ὁ Ἰησοῦς ἀνεχώρησεν μετὰ τῶν μαθητῶν αὐτοῦ[7] πρὸς τὴν θάλασσαν· καὶ πολὺ πλῆθος ἀπὸ τῆς Γαλιλαίας ἠκολούθησεν[8] αὐτῷ[9]—καὶ ἀπὸ τῆς Ἰουδαίας **8** καὶ ἀπὸ Ἰεροσολύμων καὶ ἀπὸ τῆς Ἰδουμαίας καὶ πέραν τοῦ Ἰορδάνου, καὶ οἱ[10] περὶ Τύρον καὶ Σιδῶνα. Πλῆθος πολύ, ἀκούσαντες[11] ὅσα ἐποίει, ἦλθον πρὸς αὐτόν. **9** Καὶ εἶπεν τοῖς μαθηταῖς αὐτοῦ ἵνα πλοιάριον προσκαρτερῇ αὐτῷ, διὰ τὸν ὄχλον, ἵνα μὴ θλίβωσιν αὐτόν. **10** Πολλοὺς γὰρ ἐθεράπευσεν, ὥστε ἐπιπίπτειν αὐτῷ ἵνα αὐτοῦ ἅψωνται, ὅσοι εἶχον μάστιγας. **11** Καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα—ὅταν αὐτὸν ἐθεώρει,[12] προσέπιπτεν[13] αὐτῷ καὶ ἔκραζεν,[14] λέγοντα[15] ὅτι «Σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ.» **12** Καὶ πολλὰ ἐπετίμα αὐτοῖς ἵνα μὴ φανερὸν αὐτὸν[16] ποιήσωσιν.

The Twelve Chosen

13 Καὶ ἀναβαίνει εἰς τὸ ὄρος καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτός, καὶ ἀπῆλθον πρὸς αὐτόν. **14** Καὶ ἐποίησεν δώδεκα,[17] ἵνα ὦσιν μετ᾽ αὐτοῦ καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς κηρύσσειν **15**—καὶ ἔχειν ἐξουσίαν θεραπεύειν τὰς νόσους καὶ[18] ἐκβάλλειν τὰ δαιμόνια. **16** Καὶ[19] ἐπέθηκεν τῷ Σίμωνι ὄνομα[20] Πέτρον, **17** καὶ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβου (καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα[21] ‹Βοανεργές,›[22] ὅ ἐστιν ‹Υἱοὶ βροντῆς›)· **18** καὶ Ἀνδρέαν καὶ Φίλιππον καὶ Βαρθολομαῖον καὶ Ματθαῖον[23] καὶ Θωμᾶν καὶ Ἰάκωβον τὸν τοῦ Ἀλφαίου καὶ Θαδδαῖον καὶ Σίμωνα τὸν Κανανίτην·[24] **19** καὶ Ἰούδαν Ἰσκαριώτην,[25] ὃς καὶ παρέδωκεν αὐτόν.

---

[1] αποκτειναι *rell* ¦ απολεσαι W [10%]
[2] σου **f**^{35} ℵA,C,D,W [85%] HF,RP,CP,TR,OC ¦ --- B [15%] NU
[3] αποκατεσταθη **f**^{35} D [65%] HF,RP,CP,TR,OC ¦ απεκατεσταθη ℵA,B(C)W [35%] NU
[4] υγιης ως η αλλη **f**^{35} [95%] HF,RP,CP,TR,OC ¦ --- ℵA,B,C(D)W [5%] NU
[5] ευθεως **f**^{35} A [98%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C [1%] NU ¦ --- D,W [1%]
[6] εποιουν **f**^{35} A (92.7%) HF,RP,CP,TR,OC ¦ εποιησαν ℵC (5.1%) ¦ ποιουντες D (0.1%) ¦ εποιουντο W (0.6%) ¦ εδιδουν B (1.3%) NU ¦ two other variants (0.2%)
[7] ανεχωρησεν μετα των μαθητων αυτου **f**^{35} A,W [97%] HF,RP,CP,TR,OC ¦ ~ 23451 ℵB,C,D [3%] NU
[8] ηκολουθησεν **f**^{35} A,B (46.1%) CP[NU] ¦ ηκολουθησαν (ℵC) (52.5%) HF,RP,TR,OC ¦ ηκολουθουν (0.5%) ¦ --- D,W (0.5%) ¦ ηκολουθη (0.2%) ¦ long omission (0.2%)
[9] αυτω **f**^{35} A (98.6%) HF,RP,CP,TR,OC ¦ --- ℵB,C(D,W) (1%) NU ¦ two other variants (0.2%) ¦ long omission (0.2%)
[10] οι **f**^{35} A,D [99%] HF,RP,CP,TR,OC ¦ --- (ℵ)B,C,W [1%] NU
[11] ακουσαντες **f**^{35} A,C,D [97%] HF,RP,CP,TR,OC ¦ ακουοντες ℵB(W) [3%] NU
[12] εθεωρει **f**^{35} A [95%] HF,RP,CP,TR ¦ εθεωρουν ℵB,C,D [5%] OC,NU ¦ ιδον W
[13] προσεπιπτεν **f**^{35} [70%] HF,RP,CP,TR ¦ προσεπιπτον ℵA,C,D,W [30%] OC,NU ¦ προσεπιπταν B
[14] εκραζεν **f**^{35} [70%] HF,RP,CP,TR ¦ εκραζον ℵA,B,C,D,W [29%] OC,NU ¦ three other variants [1%]
[15] λεγοντα **f**^{35} A,B,C [99%] HF,RP,CP,TR,OC ¦ λεγοντες ℵD,W [1%] NU
[16] φανερον αυτον **f**^{35} A [96%] HF,RP,CP,OC ¦ ~ 21 ℵB,C,D,W [4%] TR,NU
[17] δωδεκα **f**^{35} A(D) (98%) HF,RP,CP,TR,OC ¦ 1 ους και αποστολους ωνομασεν ℵB(C)(W) (1.8%) [NU] ¦ long omissions (0.2%)
[18] θεραπευειν τας νοσους και **f**^{35} A,D,W [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C [1%] NU
[19] και **f**^{35} A,D (98.8%) HF,RP,CP,TR,OC ¦ 1 εποιησεν τους δωδεκα 1 ℵB,C (0.5%) [NU] ¦ πρωτον σιμωνα (0.5%) ¦ W is wild
[20] τω σιμωνι ονομα **f**^{35} A(D) [98.5%] HF,RP,CP,TR ¦ ~ 312 ℵB,C(W) [1%] OC,NU ¦ ονοματα τω σιμωνι [0.5%]
[21] ονοματα **f**^{35} ℵA,C [99.5%] HF,RP,CP,TR,OC[NU] ¦ ονομα B,D [0.5%] ¦ W is wild
[22] βοανεργες **f**^{35} [95%] HF,RP,CP,TR,OC ¦ βοανηργες ℵA,B,C [5%] NU ¦ βοανεργης D ¦ βοανανηργε W
[23] ματθαιον **f**^{35} ℵA,C [99.5%] HF,RP,CP,TR,OC ¦ μαθθαιον B,D,NU ¦ μαθθεος W
[24] κανανιτην **f**^{35} (A) [99%] HF,RP,CP,TR,OC ¦ καναναιον ℵB,C,D [1%] NU ¦ κανανεος W
[25] ισκαριωτην **f**^{35} A(W) (98.8%) HF,RP,CP,TR,OC ¦ ισκαριωθ ℵB,C (0.9%) NU ¦ σκαριωθ D ¦ --- (0.2%)

20 Καὶ ἔρχονται[1] εἰς οἶκον· καὶ συνέρχεται πάλιν[2] ὄχλος, ὥστε μὴ δύνασθαι αὐτοὺς μηδὲ[3] ἄρτον φαγεῖν. **21** Καὶ ἀκούσαντες οἱ παρ᾽ αὐτοῦ ἐξῆλθον κρατῆσαι αὐτόν, ἔλεγον γὰρ ὅτι «Ἐξέστη.»

Scribes blaspheme the Holy Spirit

22 Καὶ οἱ γραμματεῖς οἱ ἀπὸ Ἱεροσολύμων καταβάντες ἔλεγον ὅτι «Βεελζεβοὺλ ἔχει,» καὶ ὅτι «Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.» **23** Καὶ προσκαλεσάμενος αὐτοὺς ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς· «Πῶς δύναται Σατανᾶς Σατανᾶν ἐκβάλλειν; **24** Καὶ ἐὰν βασιλεία ἐφ᾽ ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ βασιλεία ἐκείνη. **25** Καὶ ἐὰν οἰκία ἐφ᾽ ἑαυτὴν μερισθῇ, οὐ δύναται[4] σταθῆναι ἡ οἰκία ἐκείνη.[5] **26** Καὶ εἰ ὁ Σατανᾶς ἀνέστη ἐφ᾽ ἑαυτὸν καὶ μεμέρισται,[6] οὐ δύναται σταθῆναι,[7] ἀλλὰ τέλος ἔχει. **27** Οὐδεὶς δύναται[8] τὰ σκεύη τοῦ ἰσχυροῦ, εἰσελθὼν εἰς τὴν οἰκίαν[9] αὐτοῦ, διαρπάσαι, ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ—καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσῃ.[10]

28 »Ἀμὴν λέγω ὑμῖν ὅτι πάντα ἀφεθήσεται τὰ ἁμαρτήματα τοῖς υἱοῖς τῶν ἀνθρώπων,[11] καὶ[12] βλασφημίαι ὅσας[13] ἂν[14] βλασφημήσωσιν· **29** ὃς δ᾽ ἂν βλασφημήσῃ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα, ἀλλ᾽[15] ἔνοχός ἐστιν αἰωνίου κρίσεως»[16] **30**—ὅτι ἔλεγον, «Πνεῦμα ἀκάθαρτον ἔχει.»

Jesus goes on the offensive

New relationships

3:31 Ἔρχονται οὖν[17] οἱ ἀδελφοὶ καὶ ἡ μήτηρ αὐτοῦ,[18] καὶ ἔξω ἑστῶτες[19] ἀπέστειλαν πρὸς αὐτόν, φωνοῦντες[20] αὐτόν. **32** Καὶ ἐκάθητο ὄχλος περὶ αὐτόν·[21] εἶπον δὲ[22] αὐτῷ, «Ἰδού, ἡ μήτηρ σου καὶ

---

[1] ερχονται **f**[35] A,C [99.5%] HF,RP,CP,TR,OC ¦ ερχεται ℵB,W [0.5%] NU ¦ εισερχονται D
[2] παλιν **f**[35] ℵC,W (92.4%) HF,RP,CP,TR,OC ¦ 1 ο A,B,D (7.5%) [NU]
[3] μηδε **f**[35] A,B,W [30%] OC,NU ¦ μητε ℵC,D [70%] HF,RP,CP,TR
[4] δυναται **f**[35] A,D,W [99%] HF,RP,CP,TR,OC ¦ δυνησεται ℵB,C [1%] NU
[5] σταθηναι η οικια εκεινη **f**[35] A [96.5%] HF,RP,CP,TR,OC ¦ στηναι 234 [2%] ¦ 1 W ¦ ~ 2341 ℵ,C [0.5%] NU ¦ ~ 234 στηναι B [1%] ¦ ~ 234 εσταναι D
[6] και μεμερισται **f**[35] A [99%] HF,RP,CP,TR,OC ¦ 2 D ¦ 1 εμερισθη B [0.5%] NU ¦ ~ εμερισθη 1 ℵ,C ¦ εμερισθη W
[7] σταθηναι **f**[35] A [98.5%] HF,RP,CP,TR,OC ¦ 1 η βασιλεα αυτου D,W [0.5%] ¦ στηναι ℵ,B,C [1%] NU
[8] ουδεις δυναται **f**[35] A,D,W [97%] HF,RP,CP,OC ¦ αλλ 12 [2%] ¦ ~ αλλ ου 21 ℵB,C [0.5%] NU ¦ ~ ου 21 TR ¦ two other variants
[9] τα σκευη του ισχυρου εισελθων εις την οικιαν **f**[35] A,D(W) [99%] HF,RP,CP,TR,OC ¦ ~ 67834512 B,C [1%] NU ¦ ~ 56783412 ℵ
[10] διαρπαση **f**[35] A,W [60%] HF,RP,CP ¦ διαρπασει ℵB,C [40%] TR,OC,NU ¦ διαρπαζει D
[11] τα αμαρτηματα τοις υιοις των ανθρωπων **f**[35] (W) [96%] HF,RP,CP,TR ¦ ~ 345612 ℵA,B,C,D [3%] OC,NU ¦ three other variants [1%]
[12] και **f**[35] D [90%] HF,RP,CP,TR ¦ 1 αι ℵA,B,C,W [10%] OC,NU
[13] οσας **f**[35] A,C [95%] HF,RP,CP,TR,OC ¦ οσα ℵB,D [5%] NU ¦ --- W
[14] αν **f**[35] ℵA,D [97%] HF,RP,CP,TR ¦ εαν B,C [3%] OC,NU ¦ --- W
[15] αλλ *rell* ¦ αλλα ℵA,D,W [1%] NU
[16] κρισεως **f**[35] A (97.3%) HF,RP,CP,TR,OC ¦ αμαρτηματος ℵB (0.7%) NU ¦ αμαρτιας C[v],D,W (0.6%) ¦ κολασεως (1%) ¦ three other variants (0.4%)
[17] ερχονται ουν **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ ερχεται και ℵD,W [1.5%] NU ¦ ~ και 1 B,C [1.5%] ¦ two other variants
[18] οι αδελφοι και η μητηρ αυτου **f**[35] (81.4%) HF,RP,CP,TR ¦ 1263456 A (13.5%) ¦ ~ 456312 (1.5%) ¦ ~ 453126 (0.7%) ¦ ~ 4563126 ℵB,C,D(W) (2.8%) OC,NU ¦ three other variants (0.2%)
[19] εστωτες **f**[35] A,D,W [98.5%] HF,RP,CP,TR,OC ¦ στηκοντες B,C [0.5%] NU ¦ εστηκοτες [1%] ¦ σταντες ℵ
[20] φωνουντες **f**[35] D (96.9%) HF,RP,CP,TR,OC ¦ καλουντες ℵB,C,W (1.7%) NU ¦ ζητουντες A ¦ --- (1.4%)
[21] οχλος περι αυτον **f**[35] [85%] HF,RP,CP,TR ¦ ~ 231 A,B,C,W [15%] OC,NU ¦ ~ προς 31 ℵ ¦ προς τον οχλον D
[22] ειπον δε **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ ειποντων 2 [1%] ¦ και λεγουσιν ℵB,C,D,W [2%] NU

οἱ ἀδελφοί σου καὶ αἱ ἀδελφαί σου[1] ἔξω ζητοῦσίν σε.» **33** Καὶ ἀπεκρίθη αὐτοῖς λέγων,[2] «Τίς ἐστιν ἡ μήτηρ μου ἢ[3] οἱ ἀδελφοί μου;»[4] **34** Καὶ περιβλεψάμενος κύκλῳ τοὺς περὶ αὐτὸν[5] καθημένους λέγει· «Ἰδοὺ[6] ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου. **35** Ὃς γὰρ[7] ἂν ποιήσῃ τὸ θέλημα τοῦ Θεοῦ, οὗτος ἀδελφός μου καὶ ἀδελφή μου[8] καὶ μήτηρ μού[9] ἐστιν.»

Many parables

4:1 Καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν. Καὶ συνήχθη[10] πρὸς αὐτὸν ὄχλος πολύς,[11] ὥστε αὐτὸν ἐμβάντα εἰς τὸ πλοῖον[12] καθῆσθαι, ἐν τῇ θαλάσσῃ, καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν θάλασσαν, ἐπὶ τῆς γῆς, ἦν.[13] **2** Καὶ ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς πολλά, καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ·

Parable of the soils

3 «Ἀκούετε· ἰδού, ἐξῆλθεν ὁ σπείρων τοῦ[14] σπεῖραι. **4** Καὶ ἐγένετο, ἐν τῷ σπείρειν, ὃ μὲν ἔπεσεν παρὰ[15] τὴν ὁδόν, καὶ ἦλθεν[16] τὰ πετεινὰ[17] καὶ κατέφαγεν αὐτό. **5** Ἄλλο δὲ[18] ἔπεσεν ἐπὶ τὸ πετρῶδες ὅπου οὐκ εἶχεν γῆν πολλήν, καὶ εὐθέως[19] ἐξανέτειλεν διὰ τὸ μὴ ἔχειν βάθος γῆς. **6** Ἡλίου δὲ ἀνατείλαντος[20] ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν ἐξηράνθη. **7** Καὶ ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι καὶ συνέπνιξαν αὐτό, καὶ καρπὸν οὐκ ἔδωκεν. **8** Καὶ ἄλλο[21] ἔπεσεν εἰς τὴν γῆν τὴν καλήν, καὶ ἐδίδου καρπὸν ἀναβαίνοντα καὶ αὐξάνοντα[22]—καὶ ἔφερεν ἐν[23] τριάκοντα καὶ ἐν[24] ἑξήκοντα καὶ ἐν[25] ἑκατόν.» **9** Καὶ ἔλεγεν,[26] «Ὁ ἔχων[27] ὦτα ἀκούειν, ἀκουέτω.»

---

[1] και αι αδελφαι σου **f**[35] A,D (70.9%) HF,RP,CP[NU] ¦ --- ℵB,C,W (28.9%) TR,OC ¦ long omissions (0.1%) (A not very difficult case of homoioteleuton.)
[2] απεκριθη αυτοις λεγων **f**[35] A,D [97%] HF,RP,CP,TR,OC ¦ 12 και λεγει [2%] ¦ αποκριθεις 2 λεγει ℵB(C) [1%] NU ¦ αποκριθεις και ειπεν 2 W
[3] η **f**[35] A(D) [60%] HF,RP,CP,TR,OC ¦ και ℵB,C(W) [40%] NU
[4] μου **f**[35] ℵA,C,W [99.8%] HF,RP,CP,TR,OC[NU] ¦ --- B,D
[5] κυκλω τους περι αυτον **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ ~ 2134 [2%] ¦ ~ 2341 ℵB,C [1%] NU ¦ ~ 21 D ¦ 1 αυτου 2 (W)
[6] ιδου **f**[35] A,D [50%] ¦ ιδε B,C [50%] HF,RP,CP,TR,OC,NU ¦ ειδε ℵW
[7] ος γαρ **f**[35] ℵA,C,D (99.4%) HF,RP,CP,TR,OC[NU] ¦ 1 B (0.3%) ¦ ~ και 1 W ¦ four other variants (0.2%)
[8] μου **f**[35] C [90%] HF,RP,CP,TR,OC ¦ --- ℵA,B,D,W [10%] NU
[9] μου **f**[35] [35%] ¦ --- ℵA,B,C,D,W [65%] HF,RP,CP,TR,OC,NU
[10] συνηχθη **f**[35] D,W [97%] HF,RP,CP,TR,OC ¦ συναγεται ℵB,C [1.5%] NU ¦ συνηχθησαν A [1%] ¦ three other variants [0.5%]
[11] πολυς **f**[35] A,D [99%] HF,RP,CP,TR,OC ¦ πλειστος ℵB,C,W [1%] NU
[12] εμβαντα εις το πλοιον **f**[35] A [96%] HF,RP,CP,TR,OC ¦ ~ 2341 D,W [0.5%] ¦ 124 [2.5%] ¦ ~ 241 ℵB,C [1%] NU
[13] ην **f**[35] A,D,W [99%] HF,RP,CP,TR ¦ ησαν ℵB,C [1%] OC,NU
[14] του **f**[35] A,C [99.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB(D)W [0.5%] NU
[15] παρα *rell* ¦ επι [1%] OC
[16] ηλθεν *rell* ¦ ηλθον [3%] OC
[17] πετεινα **f**[35] ℵA,B,C [95%] HF,RP,CP,OC,NU ¦ 1 του ουρανου D [5%] TR
[18] αλλο δε **f**[35] A [97.5%] HF,RP,CP,TR ¦ ~ και 1 ℵB,C [1%] OC,NU ¦ και αλλα D [0.5%] ¦ αλλα 1 W [1%]
[19] ευθεως **f**[35] A,W [99.5%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C,D [0.5%] NU
[20] ηλιου δε ανατειλαντος **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ και οτε ανετειλεν ο ηλιος ℵB,C,D [1%] NU
[21] αλλο **f**[35] A,D [99%] HF,RP,CP,TR,OC ¦ αλλα ℵB,C,W [1%] NU
[22] αυξανοντα **f**[35] C [98.5%] HF,RP,CP,TR,OC ¦ αυξανομενα ℵB [0.5%] NU ¦ αυξανομενον A,D,W [1%]
[23] ἐν **f**[35] [97%] RP,OC ¦ έν [2%] HF,CP,TR,NU ¦ εις ℵB,C[v] [0.5%] ¦ το εν W (uncials without breathing are ambiguous)
[24] εν **f**[35] [97%] RP,OC ¦ έν [2%] HF,CP,TR,NU ¦ εις ℵC[v] [0.5%] ¦ το εν W
[25] *Ibid.*
[26] ελεγεν **f**[35] ℵA,B,C,D,W [95%] HF,RP,CP,NU ¦ 1 αυτοις [5%] TR,OC
[27] ο εχων **f**[35] A,W [99.5%] HF,RP,CP,TR,OC ¦ ος εχει ℵB,C,D [0.5%] NU

The why of parables

10 Ὅτε δὲ[1] ἐγένετο κατὰ μόνας, ἠρώτησαν[2] αὐτὸν οἱ περὶ αὐτόν, σὺν τοῖς δώδεκα, τὴν παραβολήν.[3] **11** Καὶ ἔλεγεν αὐτοῖς· «Ὑμῖν δέδοται γνῶναι τὸ μυστήριον[4] τῆς βασιλείας τοῦ Θεοῦ· ἐκείνοις δὲ τοῖς ἔξω ἐν παραβολαῖς τὰ πάντα γίνεται, **12** ἵνα· ‹Βλέποντες βλέπωσιν, καὶ μὴ ἴδωσιν· καὶ ἀκούοντες ἀκούωσιν, καὶ μὴ συνιῶσιν· μήποτε ἐπιστρέψωσιν καὶ ἀφεθῇ αὐτοῖς τὰ ἁμαρτήματα.› »[5]

‘The soils’ explained

13 Καὶ λέγει αὐτοῖς· «Οὐκ οἴδατε τὴν παραβολὴν ταύτην; Καὶ πῶς πάσας τὰς παραβολὰς γνώσεσθε; **14** Ὁ σπείρων τὸν λόγον σπείρει. **15** Οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδὸν ὅπου σπείρεται ὁ λόγος· καὶ ὅταν ἀκούσωσιν, εὐθέως[6] ἔρχεται ὁ Σατανᾶς καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον ἐν ταῖς καρδίαις αὐτῶν.[7] **16** Καὶ οὗτοι εἰσιν ὁμοίως[8] οἱ ἐπὶ τὰ πετρώδη σπειρόμενοι· οἵ, ὅταν ἀκούσωσιν τὸν λόγον, εὐθέως[9] μετὰ χαρᾶς λαμβάνουσιν αὐτόν, **17** καὶ οὐκ ἔχουσιν ῥίζαν ἐν ἑαυτοῖς ἀλλὰ πρόσκαιροί εἰσιν—εἶτα γενομένης θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθέως[10] σκανδαλίζονται. **18** Καὶ οὗτοί[11] εἰσιν οἱ εἰς τὰς ἀκάνθας σπειρόμενοι·[12] οἱ τὸν λόγον ἀκούοντες,[13] **19** καὶ αἱ μέριμναι τοῦ αἰῶνος τούτου[14] καὶ ἡ ἀπάτη τοῦ πλούτου καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι εἰσπορευόμεναι συμπνίγουσιν τὸν λόγον, καὶ ἄκαρπος γίνεται. **20** Καὶ οὗτοί[15] εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες· οἵτινες ἀκούουσιν τὸν λόγον καὶ παραδέχονται καὶ καρποφοροῦσιν—ἓν[16] τριάκοντα καὶ ἓν[17] ἑξήκοντα καὶ ἓν[18] ἑκατόν.»

The candlestick

21 Καὶ ἔλεγεν αὐτοῖς· «Μήτι ὁ λύχνος ἔρχεται[19] ἵνα ὑπὸ τὸν μόδιον τεθῇ ἢ ὑπὸ τὴν κλίνην; Οὐχ ἵνα ἐπὶ τὴν λυχνίαν ἐπιτεθῇ;[20] **22** Οὐ γάρ ἐστιν[21] κρυπτὸν ὃ ἐὰν[22] μὴ[23] φανερωθῇ, οὐδὲ ἐγένετο ἀπόκρυφον ἀλλ᾽ ἵνα εἰς φανερὸν ἔλθῃ.[24] **23** Εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω.» **24** Καὶ

---

[1] οτε δε **f**[35] A [98%] HF,RP,CP,TR,OC ¦ και οτε ℵB,C,D,W [2%] NU
[2] ηρωτησαν **f**[35] [96%] HF,RP,CP,TR,OC ¦ ηρωτων A,B [1%] NU ¦ ηρωτουν ℵC [0.5%] ¦ επηρωτων D [0.5%] ¦ επηρωτησαν W [2%]
[3] την παραβολην **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ τας παραβολας ℵB,C [1%] NU ¦ τις η παραβολη αυτη D,W [2%]
[4] δεδοται γνωναι το μυστηριον **f**[35] D [92%] HF,RP,CP,TR ¦ 12 τα μυστηρια [3.5%] OC ¦ ~ 341 ℵB,C[v] [0.5%] NU ¦ 134 A,W [4%]
[5] τα αμαρτηματα **f**[35] A,D [98%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,W [2%] NU
[6] ευθεως **f**[35] A,D [98%] HF,RP,CP,TR ¦ ευθυς ℵB,C,W [1%] OC,NU ¦ --- [1%]
[7] εν ταις καρδιαις αυτων **f**[35] D [97%] HF,RP,CP,TR,OC ¦ εις αυτους B,W [2%] NU ¦ 1 αυτοις ℵC [1%] ¦ απο της καρδιας 4 A
[8] εισιν ομοιως **f**[35] A,B (95.8%) HF,RP,CP,TR ¦ ~ 21 ℵC (1.8%) OC ¦ 1 D,W (2.1%) NU ¦ one other variant (0.1%) ¦ long omissions (0.2%)
[9] ευθεως **f**[35] A,W [96%] HF,RP,CP,TR ¦ ευθυς ℵB,C [2%] OC,NU ¦ --- D [2%]
[10] ευθεως **f**[35] A,D [97%] HF,RP,TR ¦ ευθυς ℵB,C(W) [2%] CP,OC,NU ¦ --- [1%]
[11] ουτοι **f**[35] A [97.5%] HF,RP,CP,TR,OC ¦ αλλοι ℵB,C,D [0.5%] NU ¦ --- W [2%]
[12] σπειρομενοι **f**[35] A [90%] HF,RP,CP,OC ¦ 1 ουτοι εισιν ℵB,C,D,W [10%] TR,NU
[13] τον λογον ακουοντες **f**[35] A,W [97%] HF,RP,CP,TR,OC ¦ 12 ακουσαντες B,C,D [3%] NU ¦ ~ ακουσαντες 12 ℵ
[14] αιωνος τουτου **f**[35] A [96%] HF,RP,CP,TR,OC ¦ αιωνος ℵB,C [2%] NU ¦ βιου D,W [2%]
[15] ουτοι **f**[35] A,D(W) [99%] HF,RP,CP,TR,OC ¦ εκεινοι ℵB,C [0.5%] NU ¦ --- [0.5%]
[16] εν **f**[35] [99%] RP,OC ¦ έν [0.5%] HF,CP,TR,NU ¦ το εν W (uncials without breathing are ambiguous)
[17] εν **f**[35] [99%] RP,OC ¦ έν [0.5%] HF,CP,TR,NU ¦ το εν W ¦ --- B,C[v]
[18] εν **f**[35] [99%] RP,OC ¦ έν [0.5%] HF,CP,TR,NU ¦ το εν W ¦ --- B
[19] ο λυχνος ερχεται **f**[35] A [97%] HF,RP,CP,TR ¦ ~ 312 ℵB,C [2%] OC,NU ¦ ο λυχνος καιεται W [1%] ¦ απτεται ο λυχνος D
[20] επιτεθη **f**[35] A [80%] HF,RP,CP,TR,OC ¦ τεθη ℵB,C,D,W [20%] NU
[21] εστιν **f**[35] B,D,W [50%] OC,NU ¦ 1 τι ℵA,C [50%] HF,RP,CP,TR
[22] ο εαν **f**[35] [93%] HF,RP,CP,TR,OC ¦ 2 ℵA,B,C [1%] NU ¦ 1 ου [1%] ¦ ει [2%] ¦ αλλ D,W ¦ --- [3%] ¦ two other variants
[23] μη **f**[35] A,C [97%] HF,RP,CP,TR,OC ¦ 1 ινα ℵB [3%] NU ¦ ινα D,W
[24] εις φανερον ελθη **f**[35] A,W [99%] HF,RP,CP,TR ¦ ~ 312 ℵC,D [1%] OC,NU ¦ φανερωθη B

ἔλεγεν αὐτοῖς· «Βλέπετε τί ἀκούετε. Ἐν ᾧ μέτρῳ μετρεῖτε ἀντιμετρηθήσεται[1] ὑμῖν· καὶ προστεθήσεται ὑμῖν[2] τοῖς ἀκούουσιν.[3] **25** Ὃς γὰρ ἂν ἔχῃ,[4] δοθήσεται αὐτῷ, καὶ ὃς οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽ αὐτοῦ.»

Spontaneous growth

26 Καὶ ἔλεγεν· «Οὕτως ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ ὡς ἐὰν[5] ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς **27** καὶ καθεύδῃ καὶ ἐγείρηται[6] νύκτα καὶ ἡμέραν, καὶ ὁ σπόρος βλαστάνῃ[7] καὶ μηκύνηται, ὡς οὐκ οἶδεν αὐτός. **28** Αὐτομάτη γὰρ[8] ἡ γῆ καρποφορεῖ· πρῶτον χόρτον, εἶτα στάχυν, εἶτα πλήρη σῖτον[9] ἐν τῷ στάχυϊ. **29** Ὅταν δὲ παραδῷ[10] ὁ καρπός, εὐθέως[11] ἀποστέλλει τὸ δρέπανον, ὅτι παρέστηκεν ὁ θερισμός.»

The mustard seed

30 Καὶ ἔλεγεν· «Τίνι[12] ὁμοιώσομεν[13] τὴν βασιλείαν τοῦ Θεοῦ, ἢ ἐν ποίᾳ[14] παραβολῇ παραβάλωμεν αὐτήν;[15] **31** Ὡς κόκκον[16] σινάπεως, ὃς ὅταν σπαρῇ ἐπὶ τῆς γῆς, μικρότερος[17] πάντων[18] τῶν σπερμάτων ἐστὶν[19] τῶν ἐπὶ τῆς γῆς, **32** καὶ ὅταν σπαρῇ, ἀναβαίνει καὶ γίνεται πάντων τῶν λαχάνων μείζων[20] καὶ ποιεῖ κλάδους μεγάλους, ὥστε δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνοῦν.»

33 Καὶ τοιαύταις παραβολαῖς πολλαῖς ἐλάλει αὐτοῖς τὸν λόγον, καθὼς ἐδύναντο[21] ἀκούειν. **34** Χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς,[22] κατ᾽ ἰδίαν δὲ τοῖς μαθηταῖς αὐτοῦ[23] ἐπέλυεν πάντα.

A supernatural tempest

35 Καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὀψίας γενομένης, «Διέλθωμεν εἰς τὸ πέραν.» **36** Καὶ ἀφέντες τὸν ὄχλον, παραλαμβάνουσιν αὐτόν, ὡς ἦν ἐν τῷ πλοίῳ (καὶ ἄλλα δὲ[24] πλοιάρια[25] ἦν μετ᾽

---

[1] αντιμετρηθησεται **f**[35] [30%] ¦ μετρηθησεται ℵA,B,C,D,W [69%] HF,RP,CP,TR,OC,NU ¦ --- [1%]
[2] και προστεθησεται υμιν **f**[35] ℵA,B,C (91.9%) HF,RP,CP,TR,OC,NU ¦ 12 (0.8%) ¦ --- D,W (7.1%) ¦ long omissions (0.2%) (five variations on the verb garner 0.9%)
[3] τοις ακουουσιν **f**[35] A (98.3%) HF,RP,CP,TR,OC ¦ --- ℵB,C,D,W (1.2%) NU ¦ αυτοις (0.3%) ¦ long omissions (0.2%)
[4] αν εχη **f**[35] A [90%] HF,RP,CP,TR,OC ¦ εαν 2 [4%] ¦ 1 εχει D [4%] ¦ εχει ℵB,C,W [2%] NU
[5] εαν **f**[35] A [96.5%] HF,RP,CP,TR ¦ αν C,OC ¦ --- ℵB,D(W) [2%] NU ¦ ωσπερ [1%] ¦ οταν [0.5%]
[6] εγειρηται *rell* ¦ εγειρεται ℵW [20%] ¦ εγερθη D
[7] βλαστανη **f**[35] ℵA [90%] HF,RP,CP,TR,OC ¦ βλαστανει [9%] ¦ βλαστα B,C,D,W [1%] NU
[8] γαρ **f**[35] W [98.5%] HF,RP,CP,TR,OC ¦ --- ℵA,B,C [1%] NU ¦ οτι (D) [0.5%]
[9] πληρη σιτον **f**[35] ℵA [98.5%] HF,RP,CP,TR,OC ¦ πληρης σιτον [0.5%] [NU] ¦ πληρες σιτον C ¦ 1 τον 2 [0.5%] ¦ πληρης ο σειτος D,W ¦ πληρες σειτος B
[10] παραδω **f**[35] A,C,W [99%] HF,RP,CP,TR,OC ¦ παραδοι ℵB,D [1%] NU
[11] ευθεως **f**[35] A,D [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C [0.5%] NU ¦ τοτε [0.5%] ¦ --- W
[12] τινι **f**[35] A,D [98%] HF,RP,CP,TR ¦ πως ℵB,C,W [2%] OC,NU
[13] ομοιωσομεν **f**[35] C [55%] HF ¦ ομοιωσωμεν ℵA,B,D,W [43%] RP,CP,TR,OC,NU ¦ ομοιωσω [2%]
[14] ποια **f**[35] A,D [97%] HF,RP,CP,TR ¦ τινι ℵB,C,W [3%] OC,NU
[15] παραβολη παραβαλωμεν αυτην **f**[35] A,D [97%] HF,RP,CP,TR,OC ¦ ~ 31 θωμεν ℵB,C [3%] NU ¦ την παραβολην δωμεν W
[16] κοκκον **f**[35] A,C,W [90%] HF,RP,CP,OC ¦ κοκκω ℵB,D [10%] TR,NU
[17] μικροτερος **f**[35] A,C [95%] HF,RP,CP,TR,OC ¦ μικροτερον B,D,W [5%] NU ¦ ο μικροτερον ℵ
[18] παντων **f**[35] A,C [98%] HF,RP,CP,TR,OC ¦ ον 1 ℵB [1%] NU ¦ ων 1 W ¦ εστιν 1 D [1%]
[19] εστιν **f**[35] (A)C [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB,W [1%] NU ¦ α εισιν D
[20] παντων των λαχανων μειζων **f**[35] [90%] HF,RP,CP,TR ¦ ~ 4123 D [5%] OC ¦ ~ μειζον 123 ℵB,C,W [1%] NU ¦ 123 μειζον A [4%]
[21] εδυναντο **f**[35] A,D,W [80%] HF,RP,CP ¦ ηδυναντο ℵB,C [20%] TR,OC,NU
[22] αυτοις *rell* ¦ 1 τον λογον [1%] OC
[23] μαθηταις αυτου **f**[35] A,D,W [98.5%] HF,RP,CP,TR,OC ¦ ~ ιδιοις 1 ℵB,C [1%] NU ¦ 1 [0.5%]
[24] δε **f**[35] A,D [98%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C(W) [1%] NU ¦ τα οντα [1%]
[25] πλοιαρια **f**[35] [80%] HF,RP,CP,TR ¦ πλοια ℵA,B,C [20%] OC,NU ¦ πλοιαι D ¦ πολλοι W

αὐτοῦ). **37** Καὶ γίνεται λαῖλαψ ἀνέμου μεγάλη,[1] τὰ δὲ[2] κύματα ἐπέβαλεν[3] εἰς τὸ πλοῖον, ὥστε αὐτὸ ἤδη γεμίζεσθαι.[4] **38** Καὶ ἦν αὐτὸς[5] ἐπὶ[6] τῇ πρύμνῃ, ἐπὶ τὸ προσκεφάλαιον καθεύδων· καὶ διεγείρουσιν[7] αὐτὸν καὶ λέγουσιν αὐτῷ, «Διδάσκαλε, οὐ μέλει σοι ὅτι ἀπολλύμεθα;» **39** Καὶ διεγερθείς, ἐπετίμησεν τῷ ἀνέμῳ καὶ εἶπεν τῇ θαλάσσῃ, «Σιώπα· πεφίμωσο.» Καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ ἐγένετο γαλήνη μεγάλη. **40** Καὶ εἶπεν αὐτοῖς· «Τί δειλοί ἐστε οὕτως;[8] Πῶς οὐκ[9] ἔχετε πίστιν;» **41** Καὶ ἐφοβήθησαν φόβον μέγαν, καὶ ἔλεγον πρὸς ἀλλήλους, «Τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;»[10]

The ‘legion’

5:1 Καὶ ἦλθον[11] εἰς τὸ πέραν τῆς θαλάσσης, εἰς τὴν χώραν τῶν Γαδαρηνῶν.[12] **2** Καὶ ἐξελθόντι αὐτῷ[13] ἐκ τοῦ πλοίου, εὐθέως[14] ἀπήντησεν[15] αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ **3**—ὃς τὴν οἴκησιν[16] εἶχεν ἐν τοῖς μνήμασιν.[17] Καὶ οὔτε[18] ἁλύσεσιν[19] οὐδεὶς ἠδύνατο[20] αὐτὸν δῆσαι, **4** διὰ τὸ αὐτὸν πολλάκις πέδαις καὶ ἁλύσεσιν δεδέσθαι, καὶ διεσπάσθαι ὑπ᾽ αὐτοῦ τὰς ἁλύσεις, καὶ τὰς πέδας συντετρῖφθαι, καὶ οὐδεὶς αὐτὸν ἴσχυσεν[21] δαμάσαι. **5** Καὶ διὰ παντός, νυκτὸς καὶ ἡμέρας, ἐν τοῖς μνήμασιν καὶ ἐν τοῖς ὄρεσιν,[22] ἦν κράζων καὶ κατακόπτων ἑαυτὸν λίθοις. **6** Ἰδὼν δὲ[23] τὸν Ἰησοῦν ἀπὸ μακρόθεν, ἔδραμεν καὶ προσεκύνησεν αὐτῷ,[24] **7** καὶ κράξας φωνῇ μεγάλῃ εἶπεν·[25] «Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; Ὁρκίζω σε τὸν Θεόν, μή με βασανίσῃς.» **8** Ἔλεγεν γὰρ αὐτῷ, «Ἔξελθε, τὸ πνεῦμα τὸ ἀκάθαρτον, ἐκ τοῦ ἀνθρώπου.» **9** Καὶ ἐπηρώτα αὐτόν, «Τί σοι ὄνομά;»[26] Καὶ ἀπεκρίθη, λέγων,[27] «Λεγεὼν[28] ὄνομά

---

[1] ανεμου μεγαλη **f**^{35} A [96%] HF,RP,CP,TR,OC ¦ ~ 21 𝔓^{45v}B,D [3%] NU ¦ 1 μεγαλου C [1%] ¦ ~ μεγας 1 ℵ ¦ ~ μεγαλου 1 W

[2] τα δε **f**^{35} A [96%] HF,RP,CP,TR,OC ¦ ~ και 1 ℵB,C,D,W [4%] NU

[3] επεβαλεν **f**^{35} ℵ [70%] HF,CP ¦ επεβαλλεν A,B,C [28%] RP,TR,OC,NU ¦ εβαλεν D ¦ εισεβαλλεν W ¦ επεβαλλον [1%] ¦ three other variants

[4] αυτο ηδη γεμιζεσθαι **f**^{35} A,W [97%] HF,RP,CP,TR ¦ ~ 23 το πλοιον 𝔓^{45v}B,C,D [1%] NU ¦ 12 βυθιζεσθαι [1%] ¦ ~ 21 βυθιζεσθαι OC ¦ --- ℵ ¦ four other variants [1%]

[5] ην αυτος **f**^{35} A,D,W [99%] HF,RP,CP,TR,OC ¦ ~ 21 ℵB,C [1%] NU

[6] επι **f**^{35} [96%] HF,RP,CP,TR,OC ¦ εν ℵA,B,C,D,W [4%] NU

[7] διεγειρουσιν **f**^{35} A [97%] HF,RP,CP,TR,OC ¦ εγειρουσιν ℵB,C [1%] NU ¦ διεγειραντες D,W [1%] ¦ εγειραντες [1%]

[8] ουτως **f**^{35} (𝔓^{45v})A,C,W (98.7%) HF,RP,CP,TR,OC ¦ --- ℵB,D (1.3%) NU

[9] πως ουκ **f**^{35} A,C (97.4%) HF,RP,CP,TR,OC ¦ 2 (0.5%) ¦ 1 (0.1%) ¦ ουπω 𝔓^{45v}ℵB,D (1.9%) NU ¦ --- W

[10] υπακουουσιν αυτω **f**^{35} A,W (97.1%) HF,RP,CP,TR,OC ¦ 1 αυτου (1.3%) ¦ 1 D ¦ ~ 2 υπακουει ℵC (1.3%) ¦ υπακουει 2 B (0.3%) NU

[11] ηλθον *rell* ¦ ηλθεν C [10%] ¦ ηλθαν W

[12] γαδαρηνων **f**^{35} A,C (95.5%) HF,RP,CP,TR ¦ γεργεσηνων (4.1%) OC ¦ γερασηνων ℵB,D (0.3%) NU ¦ γεργυστηνων W

[13] εξελθοντι αυτω **f**^{35} A [96%] HF,RP,CP,TR ¦ εξελθοντος αυτου ℵB,C [4%] OC,NU ¦ εξελθοντων αυτων D,W

[14] ευθεως **f**^{35} A [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵC [1%] NU ¦ --- B,W

[15] απηντησεν **f**^{35} A,W [95%] HF,RP,CP,TR,OC ¦ υπηντησεν ℵB,C,D [5%] NU

[16] οικησιν **f**^{35} [30%] ¦ κατοικησιν ℵA,B,C(D,W) [70%] HF,RP,CP,TR,OC,NU

[17] μνημασιν *rell* ¦ μνημειοις D,W [5%] TR

[18] ουτε **f**^{35} A [98%] HF,RP,CP,TR,OC ¦ ουδε ℵB,C,D,W [2%] NU

[19] αλυσεσιν **f**^{35} A [97%] HF,RP,CP,TR,OC ¦ 1 ουκετι ℵD [2%] ¦ αλυσει ουκετι B,C(W) [1%] NU

[20] ηδυνατο **f**^{35} [40%] TR,OC ¦ εδυνατο ℵA,B,C(D) [60%] HF,RP,CP,NU ¦ εδυναντο W (Attic or Koine?)

[21] αυτον ισχυσεν **f**^{35} [25%] ¦ 1 ισχυεν [71%] HF,RP,CP,TR ¦ ~ ισχυεν 1 A,B,C(W) [3%] OC,NU ¦ ~ 21 ℵ [1%] ¦ 1 ισχυν D

[22] μνημασιν και εν τοις ορεσιν **f**^{35} ℵA,B,C [40%] CP,OC,NU ¦ ~ 52341 [57%] HF,RP,TR ¦ ~ 5234 μνημειοις D,W [1%] ¦ μνημειοις 2345 [2%]

[23] ιδων δε **f**^{35} A,D,W [97%] HF,RP,CP,TR,OC ¦ ~ και 1 ℵB,C [3%] NU

[24] αυτω *rell* ¦ ουτον A,B,C [2%] OC

[25] ειπεν **f**^{35} D [90%] HF,RP,CP,TR ¦ λεγει ℵA,B,C,W [10%] OC,NU

[26] σοι ονομα **f**^{35} (D) [90%] HF,RP,CP,TR ¦ ~ 21 ℵA,B,C,W [10%] OC,NU

[27] απεκριθη λεγων **f**^{35} [90%] HF,RP,CP,TR,OC ¦ λεγει αυτω ℵA,B,C,W [10%] NU ¦ 1 D

[28] λεγεων **f**^{35} A(C)W [99%] HF,RP,CP,TR,OC ¦ λεγιων ℵB(D) [1%] NU

μοι, ὅτι πολλοί ἐσμεν.» **10** Καὶ παρεκάλει αὐτὸν πολλὰ ἵνα μὴ αὐτοὺς ἀποστείλῃ[1] ἔξω τῆς χώρας. **11** Ἦν δὲ ἐκεῖ πρὸς τῷ ὄρει ἀγέλη χοίρων μεγάλη βοσκομένη.[2] **12** Καὶ παρεκάλεσαν αὐτὸν πάντες οἱ δαίμονες,[3] λέγοντες, «Πέμψον ἡμᾶς εἰς τοὺς χοίρους, ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν.» **13** Καὶ ἐπέτρεψεν αὐτοῖς εὐθέως ὁ Ἰησοῦς·[4] καὶ ἐξελθόντα τὰ πνεύματα τὰ ἀκάθαρτα εἰσῆλθον εἰς τοὺς χοίρους, καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν (ἦσαν δὲ[5] ὡς δισχίλιοι), καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ.

14 Οἱ δὲ[6] βόσκοντες τοὺς χοίρους[7] ἔφυγον, καὶ ἀνήγγειλαν[8] εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. Καὶ ἐξῆλθον[9] ἰδεῖν τί ἐστιν τὸ γεγονός. **15** Καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν καὶ θεωροῦσιν τὸν δαιμονιζόμενον καθήμενον καὶ[10] ἱματισμένον καὶ σωφρονοῦντα, τὸν ἐσχηκότα τὸν Λεγεῶ-να·[11] καὶ ἐφοβήθησαν. **16** Διηγήσαντο δὲ[12] αὐτοῖς οἱ ἰδόντες πῶς ἐγένετο τῷ δαιμονιζομένῳ, καὶ περὶ τῶν χοίρων. **17** Καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελθεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν.

18 Καὶ ἐμβάντος[13] αὐτοῦ εἰς τὸ πλοῖον, παρεκάλει αὐτὸν ὁ δαιμονισθεὶς ἵνα ᾖ μετ᾽ αὐτοῦ.[14] **19** Ὁ δὲ Ἰησοῦς[15] οὐκ ἀφῆκεν αὐτόν, ἀλλὰ λέγει αὐτῷ, «Ὕπαγε εἰς τὸν οἶκόν σου πρὸς τοὺς σοὺς καὶ ἀνάγγειλον[16] αὐτοῖς ὅσα σοι ὁ Κύριος πεποίηκεν·[17] καὶ ἠλέησέν σε.» **20** Καὶ ἀπῆλθεν καὶ ἤρξατο κηρύσσειν ἐν τῇ Δεκαπόλει ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς· καὶ πάντες ἐθαύμαζον.

21 Καὶ διαπεράσαντος τοῦ Ἰησοῦ ἐν τῷ πλοίῳ[18] πάλιν εἰς τὸ πέραν, συνήχθη ὄχλος πολὺς ἐπ᾽ αὐτόν· καὶ ἦν παρὰ τὴν θάλασσαν.

A hemorrhage and a dead girl

22 Καὶ ἰδού,[19] ἔρχεται εἷς τῶν ἀρχισυναγώγων, ὀνόματι Ἰάειρος, καὶ ἰδὼν αὐτὸν πίπτει πρὸς τοὺς πόδας αὐτοῦ **23** καὶ παρεκάλει[20] αὐτὸν πολλά, λέγων ὅτι «Τὸ θυγάτριόν μου ἐσχάτως ἔχει· ἵνα ἐλθὼν ἐπιθῇς αὐτῇ τὰς χεῖρας[21] ὅπως[22] σωθῇ, καὶ ζήσεται.»[23] **24** Καὶ ἀπῆλθεν μετ᾽ αὐτοῦ. Καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν.

---

[1] αυτους αποστειλη **f**[35] D [90%] HF,RP,CP,TR ¦ ~ 21 A [5%] OC ¦ αυτα 2 B,C [0.5%] NU ¦ αυτον 2 ℵ [0.5%] ¦ ~ 2 αυτον W [4%] ¦ one other variant

[2] προς τω ορει αγελη χοιρων μεγαλη βοσκομενη **f**[35] B,C [88%] HF,RP,CP,NU ¦ ~ 456 βοσκομενων 123 A ¦ 124567 ℵ ¦ 1 τα ορη 4567 [3%] TR ¦ 1 το 34567 [2%] ¦ ~ 4561237 W [1%] ¦ 123457 D [1%] ¦ 4567 [0.5%] ¦ ~ 4567123 [3%] OC ¦ at least three further variants

[3] παντες οι δαιμονες **f**[35] A [92%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C(W) [5%] NU ¦ τα δαιμονια D ¦ 23 [2%] ¦ παντα τα δαιμονια [0.5%]

[4] ευθεως ο ιησους **f**[35] A(D) [97%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,W [2%] NU ¦ 23 [1%]

[5] ησαν δε **f**[35] A [98%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,D,W [2%] NU

[6] οι δε **f**[35] D [95%] HF,RP,CP,TR ¦ και οι ℵA,B,C,W [5%] OC,NU

[7] τους χοιρους **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ αυτους ℵB,C [3%] NU ¦ αυτος D

[8] ανηγγειλαν **f**[35] W [85%] HF,RP,CP,TR ¦ απηγγειλαν (ℵ)A,B,C,D [15%] OC,NU

[9] εξηλθον **f**[35] ℵC,D,W [90%] HF,RP,CP,TR,OC ¦ ηλθον A,B [10%] NU

[10] και **f**[35] A,C [95%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D(W) [5%] NU

[11] λεγεωνα **f**[35] A,B,C,W [99%] HF,RP,CP,TR,OC ¦ λεγιωνα ℵ [1%] NU ¦ --- D

[12] διηγησαντο δε **f**[35] D [85%] HF,RP,CP ¦ ~ και 1 𝔓[45v]ℵA,B,C,W [15%] TR,OC,NU

[13] εμβαντος **f**[35] [95%] HF,RP,CP,TR ¦ εμβαινοντος ℵA,B,C(D,W) [5%] OC,NU

[14] η μετ αυτου **f**[35] D [85%] HF,RP,CP,TR ¦ ~ 231 ℵA,C,W [15%] OC,NU ¦ ~ 23 ην B

[15] ο δε ιησους **f**[35] D [90%] HF,RP,CP,TR ¦ και ℵA,B,C,W [9%] OC,NU ¦ ~ και 13 [1%]

[16] αναγγειλον **f**[35] A [96%] HF,RP,CP,TR,OC ¦ απαγγειλον ℵB,C [2%] NU ¦ διαγγειλον 𝔓[45v]D,W [2%]

[17] σοι ο κυριος πεποιηκεν **f**[35] A,W [90%] HF,RP,CP,OC ¦ ~ 2314 B,C [0.5%] NU ¦ ~ 2341 ℵ ¦ 123 εποιησεν [9%] TR ¦ 12 θεος εποιησεν D

[18] εν τω πλοιω **f**[35] ℵA,C,N(W) (96.9%) HF,RP,CP,TR,OC[NU] ¦ 13 B (0.7%) ¦ --- D (2.2%) ¦ εις το πλοιον (0.2%)

[19] ιδου **f**[35] 𝔓[45v]A,C,N,W [99%] HF,RP,CP,TR ¦ --- ℵB,D [1%] OC,NU

[20] παρεκαλει **f**[35] B,N,W [98%] HF,RP,CP,TR,OC ¦ παρακαλει ℵA,C [2%] NU ¦ παρακαλων D

[21] αυτη τας χειρας **f**[35] N [95%] HF,RP,CP,TR,OC ¦ ~ 231 ℵB,C,W [1%] NU ¦ αυτω 23 𝔓[45v]A [2%] ¦ ~ χειρα 1 [1%] ¦ αυτης εκ των χειρων σου D ¦ at lest three further variants

[22] οπως **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ ινα ℵB,C,D,W [3%] NU

[23] ζησεται **f**[35] A,N,W [97%] HF,RP,CP,TR,OC ¦ ζηση ℵB,C,D [3%] NU

The hemorrhage

25 Καὶ γυνή τις[1] οὖσα—ἐν ῥύσει αἵματος ἔτη δώδεκα,[2] **26** καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν
ἰατρῶν, καὶ δαπανήσασα τὰ παρ᾽ αὐτῆς[3] πάντα, καὶ μηδὲν ὠφεληθεῖσα ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον
ἐλθοῦσα—**27** ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ.
28 (Ἔλεγεν γὰρ[4] ὅτι «Κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι,[5] σωθήσομαι.») **29** Καὶ εὐθέως[6] ἐξηράν-
θη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. **30** Καὶ εὐθέως[7] ὁ
Ἰησοῦς, ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγεν,
«Τίς μου ἥψατο τῶν ἱματίων;» **31** Καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, «Βλέπεις τὸν ὄχλον
συνθλίβοντά σε, καὶ λέγεις, ‹Τίς μου ἥψατο;› » **32** Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν.
33 Ἡ δὲ γυνή, φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ᾽[8] αὐτῇ, ἦλθεν καὶ προσέπεσεν αὐτῷ
καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. **34** Ὁ δὲ εἶπεν αὐτῇ· «Θύγατερ,[9] ἡ πίστις σου σέσωκέν σε.
Ὕπαγε εἰς εἰρήνην καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.»

The dead girl

35 Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώγου, λέγοντες ὅτι «Ἡ θυγάτηρ σου
ἀπέθανεν. Τί ἔτι σκύλλεις τὸν διδάσκαλον;» **36** Ὁ δὲ Ἰησοῦς εὐθέως ἀκούσας[10] τὸν λόγον λαλού-
μενον λέγει τῷ ἀρχισυναγώγῳ, «Μὴ φοβοῦ· μόνον πίστευε.» **37** Καὶ οὐκ ἀφῆκεν οὐδένα αὐτῷ[11]
συνακολουθῆσαι, εἰ μὴ[12] Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, τὸν ἀδελφὸν Ἰακώβου. **38** Καὶ ἔρχε-
ται[13] εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου καὶ θεωρεῖ θόρυβον[14]—κλαίοντας καὶ ἀλαλάζοντας πολλά.
39 Καὶ εἰσελθὼν λέγει αὐτοῖς· «Τί θορυβεῖσθε καὶ κλαίετε; Τὸ παιδίον οὐκ ἀπέθανεν, ἀλλὰ
καθεύδει.» **40** Καὶ κατεγέλων αὐτοῦ. Ὁ[15] δὲ ἐκβαλὼν πάντας,[16] παραλαμβάνει τὸν πατέρα τοῦ
παιδίου καὶ τὴν μητέρα, καὶ τοὺς μετ᾽ αὐτοῦ, καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον ἀνακείμενον.[17]
41 Καὶ κρατήσας τῆς χειρὸς τοῦ παιδίου λέγει αὐτῇ, «Ταλιθά, κοῦμι,»[18] ὅ ἐστιν μεθερμηνευό-
μενον, «Τὸ κοράσιον, σοὶ λέγω, ἔγειραι.»[19] **42** Καὶ εὐθέως[20] ἀνέστη τὸ κοράσιον καὶ περιεπάτει
(ἦν γὰρ ἐτῶν δώδεκα). Καὶ ἐξέστησαν[21] ἐκστάσει μεγάλῃ. **43** Καὶ διεστείλατο αὐτοῖς πολλὰ ἵνα
μηδεὶς γνῷ[22] τοῦτο, καὶ εἶπεν δοθῆναι αὐτῇ φαγεῖν.

---

[1] τις **f**[35] D,N [98%] HF,RP,CP,TR,OC ¦ --- ℵA,B,C,W [2%] NU
[2] ετη δωδεκα **f**[35] A,D,N [97%] HF,RP,CP,TR,OC ¦ ~ 21 ℵB,C,W [3%] NU
[3] αυτης **f**[35] A,B [90%] HF,RP,CP,NU ¦ εαυτης ℵC,D,N,W [10%] TR,OC
[4] γαρ *rell* ¦ 1 εν εαυτη (D) [10%] OC
[5] καν των ιματιων αυτου αψωμαι (~ 54 W) **f**[35] A,N(W) [99%] HF,RP,CP,TR ¦ ~ εαν 51 (−κ. B) 23 (του ιματιου ℵ) 4 (ℵB)C [1%] OC,NU ¦ 1 του ιματιου εαυτου D
[6] ευθεως **f**[35] A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C [1%] NU
[7] *Ibid.*
[8] επ **f**[35] A,N,W [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,D [1%] NU
[9] θυγατερ **f**[35] ℵA,N [99%] HF,RP,CP,TR,OC ¦ θυγατηρ B,D,W [1%] NU (C illegible)
[10] ευθεως ακουσας **f**[35] A,C [96%] HF,RP,CP,TR,OC ¦ ~ 21 N [1%] ¦ 2 [2%] ¦ παρακουσας (ℵ)B,W [1%] NU ¦ 2 τουτον D
[11] ουδενα αυτω **f**[35] A(D)N [98%] HF,RP,CP,TR ¦ ~ 21 W [1%] OC ¦ 1 μετ αυτου ℵB,C [1%] NU ¦ 1 αυτων [1%]
[12] μη **f**[35] A,D,N [99.5%] HF,RP,CP,TR,OC ¦ 1 τον ℵB,C [0.5%] NU ¦ 1 μονον W
[13] ερχεται **f**[35] N,W [98%] HF,RP,CP,TR,OC ¦ ερχονται ℵA,B,C,D [2%] NU
[14] θορυβον **f**[35] D [90%] HF,RP,CP,TR ¦ 1 και ℵA,B,C,N,W [10%] OC,NU (OC is in small print)
[15] ο **f**[35] A,N,W [98%] HF,RP,CP,TR,OC ¦ αυτος ℵB,C,D [2%] NU
[16] παντας **f**[35] ℵA,B,C,N,W [95%] HF,RP,CP,OC,NU ¦ απαντας [5%] TR ¦ D is wild
[17] ανακειμενον **f**[35] A,C,N [97%] HF,RP,CP,TR,OC ¦ κατακειμενον W [1%] ¦ κατακεκλιμενον [1%] ¦ --- ℵB,D [1%] NU ¦ two other variants
[18] κουμι **f**[35] (A)(D)N (82.4%) HF,RP,TR,OC ¦ κουμ ℵB,C (17.4%) CP,NU ¦ --- W ¦ long omissions (0.1%)
[19] εγειραι **f**[35] [70%] HF,RP,CP,TR ¦ εγειρε ℵA,B,C,D,N,W [30%] OC,NU
[20] ευθεως **f**[35] A,C,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB [1%] NU
[21] εξεστησαν **f**[35] 𝔓[45]A,N,W (96.3%) HF,RP,CP,TR,OC ¦ 1 οι γονεις (1.2%) ¦ 1 οι γονεις αυτης (1.3%) ¦ 1 ευθυς ℵB,C (0.5%) [NU] ¦ 1 παντες D (0.1%) ¦ long omissions (0.5%)
[22] γνω **f**[35] ℵC,N [99%] HF,RP,CP,TR,OC ¦ γνοι 𝔓[45]A,B,D,W [1%] NU

A visit to Natsareth

6:1 Καὶ ἐξῆλθεν ἐκεῖθεν καὶ ἦλθεν[1] εἰς τὴν πατρίδα αὐτοῦ,[2] καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. **2** Καὶ γενομένου σαββάτου, ἤρξατο ἐν τῇ συναγωγῇ διδάσκειν.[3] Καὶ πολλοὶ ἀκούοντες ἐξεπλήσσοντο, λέγοντες· «Πόθεν τούτῳ ταῦτα;» καί, «Τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ;»[4] καί,[5] «Δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται.[6] **3** Οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ υἱὸς[7] Μαρίας, ἀδελφὸς δὲ[8] Ἰακώβου καὶ Ἰωσῆ[9] καὶ Ἰούδα καὶ Σίμωνος; Καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς;» Καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. **4** Ἔλεγεν δὲ[10] αὐτοῖς ὁ Ἰησοῦς ὅτι «Οὐκ ἔστιν προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ ἐν τοῖς συγγενέσιν[11] καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.» **5** Καὶ οὐκ ἠδύνατο[12] ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆσαι,[13] εἰ μὴ ὀλίγοις ἀρρώστοις ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσεν. **6** Καὶ ἐθαύμαζεν διὰ τὴν ἀπιστίαν αὐτῶν. Καὶ περιῆγεν τὰς κώμας κύκλῳ, διδάσκων.

The Twelve commissioned and sent

7 Καὶ προσκαλεῖται τοὺς δώδεκα καὶ ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο, καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων. **8** Καὶ παρήγγειλεν[14] αὐτοῖς ἵνα μηδὲν αἴρωσιν εἰς ὁδόν, εἰ μὴ ῥάβδον μόνον—μὴ πήραν, μὴ ἄρτον,[15] μὴ εἰς τὴν ζώνην χαλκόν—**9** ἀλλ᾽ ὑποδεδεμένους σανδάλια, καὶ μὴ ἐνδύσησθε[16] δύο χιτῶνας. **10** Καὶ ἔλεγεν αὐτοῖς· «Ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε ἐκεῖθεν. **11** Καὶ ὅσοι[17] ἐὰν[18] μὴ[19] δέξωνται[20] ὑμᾶς μηδὲ ἀκούσωσιν ὑμῶν, ἐκπορευόμενοι ἐκεῖθεν, ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν εἰς μαρτύριον αὐτοῖς. Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόρροις ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ.»[21] **12** Καὶ ἐξελθόντες ἐκήρυσσον[22] ἵνα μετανοήσωσιν,[23] **13** καὶ δαιμόνια πολλὰ ἐξέβαλλον,[24] καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀρρώστους καὶ ἐθεράπευον.

Herod had executed John the Baptizer

14 Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρῴδης, φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ, καὶ ἔλεγεν[25] ὅτι

---

[1] ηλθεν **f**[35] A(D)N [98%] HF,RP,CP,TR,OC ¦ ερχεται ℵB,C [1%] NU ¦ --- W [1%]
[2] αυτου *rell* ¦ εαυτου OC
[3] εν τη συναγωγη διδασκειν **f**[35] **𝔓**[45v]A,N,W [99%] HF,RP,CP,TR,OC ¦ ~ 4123 ℵB,C,D [1%] NU
[4] αυτω **f**[35] A,N,W [84%] HF,RP,CP,OC ¦ 1 οτι [5%] TR ¦ τουτω ℵB [1%] NU ¦ τουτω ινα C ¦ 1 ινα D [10%]
[5] και **f**[35] A,C,D,W [98%] HF,RP,CP,TR,OC ¦ 1 αι ℵB,N [1%] NU ¦ --- [1%]
[6] γινονται **f**[35] (A)(C)N(W) [96%] HF,RP,CP,TR,OC ¦ γινομεναι ℵ(B) [1%] NU ¦ γινωνται (D) [3%]
[7] υιος **f**[35] A,D,N [98%] HF,RP,CP,TR ¦ 1 της ℵB,C,W [2%] OC,NU
[8] αδελφος δε **f**[35] A,N,W [98%] HF,RP,CP,TR,OC ¦ ~ και 1 B,C [1%] NU ¦ ~ και ο 1 ℵD [0.5%] ¦ two other variants
[9] ιωση **f**[35] A,C,N,W (97.7%) HF,RP,CP,TR,OC ¦ ιωσηφ ℵ (0.9%) ¦ ιωσητος B,D (1.2%) NU ¦ three other variants (0.2%)
[10] ελεγεν δε **f**[35] A,N,W [98%] HF,RP,CP,TR,OC ¦ ~ και 1 ℵB,C,D [2%] NU
[11] και εν τοις συγγενεσιν **f**[35] A,D,W [93%] HF,RP,CP,TR,OC ¦ 123 συγγενευσιν [4%] ¦ 1234 αυτου C [1%] ¦ 123 συγγενευσιν αυτου B(N) [2%] NU ¦ --- ℵ
[12] ηδυνατο **f**[35] ℵD,N [94%] HF,RP,CP,TR,OC ¦ εδυνατο A,B,C,W [6%] NU
[13] ουδεμιαν δυναμιν ποιησαι **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ ~ 312 ℵB,C [2%] NU ¦ ~ 132 D [1%] ¦ ~ 32 W
[14] παρηγγειλεν *rell* ¦ παρηγγελεν [2%] CP ¦ παρηγγελλεν W [10%]
[15] πηραν μη αρτον **f**[35] A(D)N,W [99%] HF,RP,CP,TR,OC ¦ ~ 321 ℵB,C [1%] NU
[16] ενδυσησθε **f**[35] ℵC [91%] HF,RP,CP,TR,NU ¦ ενδυσασθε B [0.5%] ¦ ενδυσησθαι A,D,W [1%] ¦ ενδυσασθαι [5%] some TRs ¦ ενδεδυσθαι N [2%] OC
[17] οσοι **f**[35] A,D,N [96%] HF,RP,CP,TR,OC ¦ ος ℵB,C,W [4%] NU
[18] εαν **f**[35] A,D,N [50%] CP,OC ¦ αν ℵB,C,W [50%] HF,RP,TR,NU
[19] μη **f**[35] A,C,D,N [98%] HF,RP,CP,TR,OC ¦ τοπος 1 ℵB,W [2%] NU
[20] δεξωνται **f**[35] A,D,N [93%] HF,RP,CP,TR,OC ¦ δεξονται [4%] ¦ δεξηται ℵB,C,W [3%] NU
[21] αμην λεγω υμιν ανεκτοτερον εσται σοδομοις η γομορροις εν ημερα κρισεως η τη πολει εκεινη **f**[35] A,N [98%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,D,W [2%] NU
[22] εκηρυσσον **f**[35] A,N,W [99%] HF,RP,CP,TR,OC ¦ εκηρυξαν (ℵ)B,C,D [1%] NU
[23] μετανοησωσιν **f**[35] ℵA,C [99%] HF,RP,CP,TR,OC ¦ μετανοωσιν B,D,W [0.5%] NU ¦ μετανοησουσιν N
[24] εξεβαλλον *rell* ¦ εξεβαλον C,D [10%] CP ¦ εξεπεμπον W
[25] ελεγεν **f**[35] ℵA,C,N (99%) HF,RP,CP,TR,OC ¦ ελεγον B,W (0.7%) NU ¦ ελεγοσαν D (0.1%) ¦ ειπεν (0.1%)

«Ἰωάννης ὁ βαπτίζων[1] ἐκ νεκρῶν ἠγέρθη,[2] καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ.» **15** Ἄλλοι[3] ἔλεγον ὅτι «Ἠλίας ἐστίν.» Ἄλλοι δὲ ἔλεγον ὅτι «Προφήτης ἐστὶν ὡς[4] εἷς τῶν προφητῶν.» **16** Ἀκούσας δὲ ὁ[5] Ἡρῴδης εἶπεν[6] ὅτι[7] «Ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτός ἐστιν· αὐτὸς[8] ἠγέρθη ἐκ νεκρῶν.»[9]

17 Αὐτὸς γὰρ ὁ Ἡρῴδης ἀποστείλας ἐκράτησεν τὸν Ἰωάννην, καὶ ἔδησεν αὐτὸν ἐν φυλακῇ,[10] διὰ Ἡρῳδιάδα, τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ· ὅτι αὐτὴν ἐγάμησεν **18**—ἔλεγεν γὰρ ὁ Ἰωάννης τῷ Ἡρῴδῃ ὅτι «Οὐκ ἔξεστίν σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.» **19** Ἡ δὲ Ἡρῳδιὰς ἐνεῖχεν αὐτῷ καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι· καὶ οὐκ ἠδύνατο, **20** ὁ γὰρ Ἡρῴδης ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον, καὶ συνετήρει αὐτόν. Καὶ ἀκούων[11] αὐτοῦ πολλὰ ἐποίει,[12] καὶ ἡδέως αὐτοῦ ἤκουεν.

21 Καὶ γενομένης ἡμέρας εὐκαίρου ὅτε Ἡρῴδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει[13] τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ τοῖς χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας. **22** Καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς[14] Ἡρῳδιάδος καὶ ὀρχησαμένης, καὶ ἀρεσάσης[15] τῷ Ἡρῴδῃ καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ, «Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοί.» **23** Καὶ ὤμοσεν αὐτῇ[16] ὅτι «Ὃ[17] ἐάν με[18] αἰτήσῃς δώσω σοί, ἕως ἡμίσους τῆς βασιλείας μου.»

24 Ἡ δὲ[19] ἐξελθοῦσα εἶπεν τῇ μητρὶ αὐτῆς, «Τί αἰτήσομαι;»[20] Ἡ δὲ εἶπεν, «Τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ.»[21] **25** Καὶ εἰσελθοῦσα εὐθέως[22] μετὰ σπουδῆς πρὸς τὸν βασιλέα ᾐτήσατο, λέγουσα, «Θέλω ἵνα μοι δῷς ἐξαυτῆς[23] ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ.» **26** Καὶ περίλυπος γενόμενος ὁ βασιλεύς, διὰ τοὺς ὅρκους, καὶ τοὺς συνανακειμένους,[24] οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι.[25] **27** Καὶ εὐθέως[26] ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτωρα[27] ἐπέταξεν

---

[1] βαπτιζων **f**[35] ℵA,B,C,N (91.9%) HF,RP,CP,TR,OC,NU ¦ βαπτιστης D,W (8.1%)
[2] εκ νεκρων ηγερθη **f**[35] N,W (91.5%) HF,RP,CP,TR,OC ¦ ~ 312 C (0.6%) ¦ ~ 3 απο των 2 (1.3%) ¦ 12 ανεστη A (5.7%) ¦ ~ εγηγερται 12 ℵB,D (0.7%) NU ¦ three other variants (0.2%)
[3] αλλοι **f**[35] [70%] HF,RP,CP,TR ¦ 1 δε ℵA,B,C,D,N,W [29%] OC,NU ¦ --- [1%]
[4] εστιν ως **f**[35] A,N [94%] HF,RP,CP,OC ¦ 2 ℵB,C,W [2%] NU ¦ 1 η 2 [2%] TR ¦ η 2 [2%] ¦ --- D
[5] ο **f**[35] ℵA,B,N,W [50%] TR,OC,NU ¦ --- C,D [50%] HF,RP,CP
[6] ειπεν **f**[35] A,D,N,W [98%] HF,RP,CP,TR,OC ¦ ελεγεν 𝔓[45]ℵB,C [2%] NU
[7] οτι **f**[35] 𝔓[45]A,C,N,W [96%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D [4%] NU
[8] εστιν αυτος **f**[35] A,C,N (98%) HF,RP,CP,TR,OC ¦ --- (ℵ)B(D)W (1%) NU ¦ 1 (0.4%) ¦ three other variants (0.2%) ¦ long omission (0.3%)
[9] εκ νεκρων **f**[35] A(D) [96%] HF,RP,CP,TR,OC ¦ απο των 2 C,N [3%] ¦ --- ℵB,W [1%] NU
[10] εν φυλακη **f**[35] ℵ(A)B,C,N (93.3%) HF,RP,CP,OC,NU ¦ εις φυλακην (0.5%) ¦ 1 τη 2 W (5.1%) TR ¦ και εβαλεν εις φυλακην D (0.9%) ¦ two other variants (0.1%)
[11] ακουων **f**[35] [20%] ¦ ακουσας ℵA,B,C,D,N,W [80%] HF,RP,CP,TR,OC,NU
[12] εποιει **f**[35] A,C,D,N (98.4%) HF,RP,CP,TR,OC ¦ α 1 (1%) ¦ ηπορει ℵB (0.4%) NU ¦ ηπορειτο W ¦ --- (0.2%)
[13] εποιει **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ εποιησεν ℵB,C,D,W [3%] NU
[14] αυτης της **f**[35] A,C,N (96.5%) HF,RP,CP,TR,OC ¦ 2 (1.3%) ¦ αυτου 2 (0.9%) ¦ αυτου ℵB,D (0.4%) NU ¦ 1 W (0.7%) ¦ two other variants (0.2%)
[15] και αρεσασης **f**[35] 𝔓[45]A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ ηρεσεν ℵB,C [1%] NU
[16] αυτη **f**[35] ℵA,B,N [99%] HF,RP,CP,TR,OC ¦ 1 πολλα D [1%] [NU] ¦ πολλα 𝔓[45] ¦ long omission W [1%]
[17] ο **f**[35] ℵA,C,N [98%] HF,RP,CP,TR,OC ¦ --- 𝔓[45]B(D) [1%] NU ¦ long omission W [1%]
[18] με *rell* ¦ --- ℵN [2%] CP ¦ long omission W [1%]
[19] η δε **f**[35] A,C,D,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ και ℵB [0.5%] NU
[20] αιτησομαι **f**[35] [96%] HF,RP,CP,TR,OC ¦ αιτησωμαι ℵA,B,C,D,N,W [4%] NU
[21] βαπτιστου **f**[35] A,C,D,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ βαπτιζοντος ℵB [0.5%] NU
[22] ευθεως **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ ευθυς 𝔓[45]ℵB,C,N,W [2%] NU ¦ --- D [1%]
[23] μοι δως εξαυτης **f**[35] A [98%] HF,RP,CP,TR,OC ¦ ~ 321 ℵB,C [1%] NU ¦ ~ 213 N ¦ ~ δος 1 D ¦ 1 δωσης W ¦ μη δος 3 [1%]
[24] συνανακειμενους **f**[35] ℵA,D,N [99.5%] HF,RP,CP,TR,OC ¦ ανακειμενους B,C,W [0.5%] NU
[25] αυτην αθετησαι **f**[35] A,D,W [99%] HF,RP,CP,TR,OC ¦ ~ 21 ℵB,C,N [1%] NU
[26] ευθεως **f**[35] A(D)N,W [99.5%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C [0.5%] NU
[27] σπεκουλατωρα **f**[35] [50%] CP,TR,OC ¦ σπεκουλατορα ℵA,B,C(D)N,W [50%] HF,RP,NU

ἐνεχθῆναι[1] τὴν κεφαλὴν αὐτοῦ. Ὁ δὲ[2] ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ **28** καὶ ἤνεγκεν τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι, καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ· καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς. **29** Καὶ ἀκούσαντες, οἱ μαθηταὶ αὐτοῦ ἦλθον καὶ ἦραν τὸ πτῶμα αὐτοῦ καὶ ἔθηκαν αὐτὸ ἐν[3] μνημείῳ.

The Twelve return

30 Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ[4] ὅσα ἐποίησαν καὶ ὅσα ἐδίδαξαν. **31** Καὶ εἶπεν[5] αὐτοῖς, «Δεῦτε ὑμεῖς αὐτοὶ κατ᾽ ἰδίαν εἰς ἔρημον τόπον καὶ ἀναπαύεσθε[6] ὀλίγον»· ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί, καὶ οὐδὲ φαγεῖν εὐκαίρουν.[7]

*Bread for **5,000** men*

32 Καὶ ἀπῆλθον[8] εἰς ἔρημον τόπον τῷ πλοίῳ[9] κατ᾽ ἰδίαν. **33** Καὶ εἶδον αὐτοὺς ὑπάγοντας[10] καὶ ἐπέγνωσαν αὐτοὺς[11] πολλοί, καὶ πεζῇ ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ καὶ προῆλθον αὐτοὺς καὶ συνῆλθον πρὸς αὐτόν.[12] **34** Καὶ ἐξελθὼν εἶδεν ὁ Ἰησοῦς[13] πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ᾽ αὐτοῖς,[14] ὅτι ἦσαν ὡς πρόβατα μὴ ἔχοντα ποιμένα, καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά.

35 Καὶ ἤδη ὥρας πολλῆς γενομένης, προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγουσιν[15] ὅτι «Ἔρημός ἐστιν ὁ τόπος, καὶ ἤδη ὥρα πολλή. **36** Ἀπόλυσον αὐτούς, ἵνα ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας ἀγοράσωσιν ἑαυτοῖς ἄρτους· τί γὰρ φάγωσιν οὐκ ἔχουσιν.»[16] **37** Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, «Δότε αὐτοῖς ὑμεῖς φαγεῖν.» Καὶ λέγουσιν αὐτῷ, «Ἀπελθόντες ἀγοράσωμεν δηναρίων διακοσίων[17] ἄρτους καὶ δῶμεν[18] αὐτοῖς φαγεῖν;» **38** Ὁ δὲ λέγει αὐτοῖς· «Πόσους ἄρτους ἔχετε; Ὑπάγετε καὶ[19] ἴδετε.» Καὶ γνόντες λέγουσιν, «Πέντε, καὶ δύο ἰχθύας.»

39 Καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι[20] πάντας συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ. **40** Καὶ ἀνέπεσον[21] πρασιαὶ πρασιαὶ ἀνὰ[22] ἑκατὸν καὶ ἀνὰ πεντήκοντα. **41** Καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν καὶ κατέκλασεν τοὺς ἄρτους καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ,[23] ἵνα παραθῶσιν[24] αὐτοῖς· καὶ τοὺς δύο ἰχθύας ἐμέρισεν πᾶσιν.

---

[1] ενεχθηναι **f**[35] A,D,N,W (98.7%) HF,RP,CP,TR,OC ¦ ανεχθηναι (0.5%) ¦ εχθηναι (0.1%) ¦ ενεγκαι ℵB,C (0.4%) NU ¦ long omission (0.2%)

[2] ο δε **f**[35] A,D,N (97.6%) HF,RP,CP,TR,OC ¦ και B,C,W (1.1%) NU ¦ --- ℵ (1.3%) omit a whole line [homoioteleuton]

[3] εν *rell* ¦ 1 τω D [10%] TR

[4] και **f**[35] A,W [85%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,D,N [15%] NU

[5] ειπεν **f**[35] A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ λεγει ℵB,C [1%] NU

[6] αναπαυεσθε **f**[35] ℵD,N,W [95%] HF,RP,CP,TR,OC ¦ αναπαυσασθε A,B,C [5%] NU

[7] ευκαιρουν **f**[35] ℵA,B,N [60%] HF,RP,CP,OC,NU ¦ ηυκαιρουν C,W [40%] TR ¦ ευκαιρος ειχον D

[8] απηλθον *rell* ¦ απηλθεν [15%]

[9] εις ερημον τοπον τω πλοιω **f**[35] A,W [97%] HF,RP,CP,TR ¦ ~ εν 4 (−τ. ℵ) 5123 (ℵ)B [1%] NU ¦ ~ 1 το πλοιον 123 D ¦ 123 εν 45 N [1%] ¦ 123 εν 5 [1%] OC (C vacant)

[10] υπαγοντας *rell* ¦ 1 οι οχλοι W [5%] TR

[11] αυτους **f**[35] ℵA,N [50%] OC ¦ αυτον [48%] HF,RP,CP,TR ¦ --- B,D,W [2%] NU

[12] και συνηλθον (ηλθον CP, συνεδραμον A) προς αυτον **f**[35] (A)N [96%] HF,RP(CP)TR,OC ¦ --- ℵB(D)W [4%] NU

[13] ειδεν ο ιησους **f**[35] (D) [80%] HF,RP,CP,TR ¦ ~ 231 A,N [17%] OC ¦ 1 (ℵ)B,W [3%] NU

[14] αυτοις **f**[35] A,N [99%] HF,RP,CP,TR,OC ¦ αυτους ℵB,D,W [1%] NU

[15] λεγουσιν **f**[35] A,D,W [95%] HF,RP,CP,TR,OC ¦ ελεγον ℵB [1%] NU ¦ 1 αυτω [4%] ¦ λεγοντες N

[16] αρτους τι γαρ φαγωσιν ουκ εχουσιν **f**[35] A,N [98%] HF,RP,CP,TR,OC ¦ 23456 [1%] ¦ 24 𝔓[45]B,W [1%] NU ¦ βρωματα 24 ℵ ¦ 2 φαγειν D

[17] δηναριων διακοσιων *rell* ¦ ~ 21 D,N [15%] TR

[18] δωμεν **f**[35] W [97%] HF,RP,CP,TR,OC ¦ δωσομεν 𝔓[45]A,B [1%] NU ¦ δωσωμεν ℵN,D [2%]

[19] και **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D,W [3%] NU

[20] ανακλιναι **f**[35] A,D,N,W (89.2%) HF,RP,CP,TR,OC,NU ¦ ανακλιθηναι ℵB (10.8%)

[21] ανεπεσον **f**[35] A,D [85%] HF,RP,CP,TR,OC ¦ ανεπεσαν ℵ(B)N,W [15%] NU

[22] ανα **f**[35] A,N(W) [99.5%] HF,RP,CP,TR,OC ¦ κατα ℵB,D [0.5%] NU (twice) (𝔓[45] omits last five words of verse)

[23] αυτου **f**[35] 𝔓[45]A,D,N,W [99%] HF,RP,CP,TR[NU] ¦ --- ℵB [1%] OC

[24] παραθωσιν **f**[35] 𝔓[45]A,D,N [97%] HF,RP,CP,TR,OC ¦ παρατιθωσιν ℵB,W [3%] NU

42 Καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν. **43** Καὶ ἦραν κλασμάτων[1] δώδεκα κοφίνους πλήρεις,[2] καὶ ἀπὸ τῶν ἰχθύων. **44** Καὶ ἦσαν οἱ φαγόντες τοὺς ἄρτους[3] πεντακισχίλιοι ἄνδρες.

Jesus retires to pray

45 Καὶ εὐθέως[4] ἠνάγκασεν τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν εἰς τὸ πέραν, πρὸς Βηθσαϊδάν, ἕως αὐτὸς ἀπολύσει[5] τὸν ὄχλον. **46** Καὶ ἀποταξάμενος αὐτοῖς ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι.

A walk on water

47 Καὶ ὀψίας γενομένης, ἦν τὸ πλοῖον ἐν μέσῳ τῆς θαλάσσης· καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς. **48** Καὶ εἶδεν[6] αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν, ἦν γὰρ ὁ ἄνεμος ἐναντίος αὐτοῖς. Καὶ[7] περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρχεται πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης, καὶ ἤθελεν παρελθεῖν αὐτούς· **49** οἱ δέ, ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης,[8] ἔδοξαν φάντασμα εἶναι,[9] καὶ ἀνέκραξαν· **50** πάντες γὰρ αὐτὸν εἶδον[10] καὶ ἐταράχθησαν. Καὶ εὐθέως[11] ἐλάλησεν μετ᾽ αὐτῶν, καὶ λέγει αὐτοῖς· «Θαρσεῖτε, ἐγώ εἰμι· μὴ φοβεῖσθε.» **51** Καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον,[12] καὶ ἐκόπασεν ὁ ἄνεμος. Καὶ λίαν ἐκ περισσοῦ[13] ἐν ἑαυτοῖς ἐξίσταντο, καὶ ἐθαύμαζον.[14] **52** Οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις—ἦν γὰρ[15] αὐτῶν ἡ καρδία[16] πεπωρωμένη.

In Genesaret

53 Καὶ διαπεράσαντες, ἦλθον[17] ἐπὶ τὴν γῆν[18] Γεννησαρὲτ[19] καὶ προσωρμίσθησαν. **54** Καὶ ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου, εὐθέως[20] ἐπιγνόντες αὐτόν, **55** περιδραμόντες[21] ὅλην τὴν περίχωρον[22] ἐκείνην[23] ἤρξαντο ἐπὶ τοῖς κραββάτοις[24] τοὺς κακῶς ἔχοντας περιφέρειν ὅπου ἤκουον ὅτι ἐκεῖ[25] ἐστιν. **56** Καὶ ὅπου ἂν εἰσεπορεύετο—εἰς κώμας ἢ[26] πόλεις ἢ[27] ἀγρούς—ἐν ταῖς

---

[1] κλασματων **f**^{35} ℵA,D,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ κλασματα 𝔓^{45}B [0.5%] NU ¦ --- [1%]

[2] κοφινους πληρεις **f**^{35} A,D,N [97%] HF,RP,CP,TR,OC ¦ κοφινων πληρωματα 𝔓^{45}ℵB [2%] NU ¦ 1 πληρωματα W [1%]

[3] τους αρτους **f**^{35} A,B,N [92%] HF,RP,CP,OC[NU] ¦ 12 ωσει [5%] TR ¦ ως ℵ [0.5%] ¦ ωσει [1%] ¦ --- 𝔓^{45}D,W (1.8%)

[4] ευθεως **f**^{35} A,D,N [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,W [1%] NU

[5] απολυσει **f**^{35} [40%] CP ¦ απολυει ℵB,D [1%] NU ¦ απολυση 𝔓^{45}A,N,W [59%] HF,RP,TR,OC

[6] ειδεν **f**^{35} 𝔓^{45v}A,N [99%] HF,RP,CP,TR ¦ ιδων ℵB,D,W [1%] OC,NU

[7] και **f**^{35} A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB [1%] NU

[8] περιπατουντα επι της θαλασσης **f**^{35} A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ ~ 2341 ℵB [1%] NU

[9] φανταsμα ειναι **f**^{35} A,D,N(W) [99%] HF,RP,CP,TR,OC ¦ οτι 1 εστιν ℵB [1%] NU

[10] ειδον *rell* ¦ ειδαν ℵB,NU ¦ --- D

[11] και ευθεως **f**^{35} A,N,W [99%] HF,RP,CP,TR,OC ¦ ο δε ευθυς ℵB [0.5%] NU ¦ 1 D ¦ ο δε [0.5%]

[12] προς αυτους εις το πλοιον *rell* ¦ ~ 34512 D [1%] OC

[13] λιαν εκ περισσου **f**^{35} A,N (96.9%) HF,RP,CP,TR,OC[NU] ¦ 12 περι σου (1.7%) ¦ 23 W (0.5%) ¦ 1 ℵB (0.7%) ¦ περισσως D (0.2%)

[14] και εθαυμαζον **f**^{35} A,D,N,W (98.7%) HF,RP,CP,TR,OC ¦ --- ℵB (1.2%) NU ¦ two other variants (0.1%)

[15] ην γαρ **f**^{35} A,D,N,W [99%] HF,RP,CP,TR ¦ ~ αλλ 1 ℵB [1%] OC,NU

[16] αυτων η καρδια **f**^{35} ℵA,B,N,W [85%] HF,RP,CP,OC,NU ¦ ~ 231 D [15%] TR

[17] ηλθον *rell* ¦ απηλθον [1%] OC

[18] ηλθον επι την γην **f**^{35} A,D,N [98%] HF,RP,CP,TR,OC ¦ 1234 εις (W) [0.5%] ¦ ~ 2341 εις ℵB [0.5%] NU ¦ 1 εις 34 [1%]

[19] γενησαρετ **f**^{35} [30%] TR ¦ γεννησαρετ ℵA,W [53%] HF,RP,CP,OC,NU ¦ γεννησαρεθ B [15%] ¦ γενησαρεθ N [2%] ¦ γεννησαρ D

[20] ευθεως **f**^{35} A,D,N [98%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,W [2%] NU

[21] περιδραμοντες **f**^{35} A,D,N [97%] HF,RP,CP,TR ¦ περιεδραμον ℵB,W [3%] OC,NU

[22] περιχωρον **f**^{35} A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ χωραν ℵB [1%] NU

[23] εκεινην **f**^{35} A,D,N [97%] HF,RP,CP,TR ¦ 1 και ℵB,W [3%] OC,NU

[24] κραββατοις **f**^{35} [70%] HF,RP,CP,TR ¦ κραβαττοις A,B,N(W) [29%] OC,NU ¦ κραβακτοις ℵ ¦ γραβαττοις (D) ¦ κρεβαντοις [1%] ¦ two other variants

[25] εκει **f**^{35} A,C,N(W) (98.1%) HF,RP,CP,TR,OC ¦ --- ℵB (1.5%) NU ¦ wild D (0.2%) ¦ long omission (0.2%)

[26] η **f**^{35} A,W [99%] HF,RP,CP,TR,OC ¦ 1 εις ℵB,D,N [1%] NU

[27] η **f**^{35} A,N,W [99%] HF,RP,CP,TR,OC ¦ 1 εις ℵB,D [1%] NU

ἀγοραῖς ἐτίθουν[1] τοὺς ἀσθενοῦντας, καὶ παρεκάλουν αὐτὸν ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται· καὶ ὅσοι ἂν ἥπτοντο[2] αὐτοῦ ἐσῴζοντο.

Jesus rebuts scribes and Pharisees

7:1 Καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι καί τινες τῶν γραμματέων, ἐλθόντες ἀπὸ Ἱεροσολύμων. **2** Καὶ ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ[3] κοιναῖς χερσίν—τοῦτ᾽ ἔστιν, ἀνίπτοις—ἐσθίοντας[4] ἄρτους,[5] ἐμέμψαντο.[6] **3** (Οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσιν, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων. **4** Καὶ ἀπὸ[7] ἀγορᾶς, ἐὰν μὴ βαπτίσωνται,[8] οὐκ ἐσθίουσιν. Καὶ ἄλλα πολλά ἐστιν ἃ παρέλαβον κρατεῖν—βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν καὶ χαλκείων[9] καὶ κλινῶν.)[10]

5 Ἔπειτα[11] ἐπερωτῶσιν αὐτὸν οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς, «Διὰ τί οἱ μαθηταί σου οὐ περιπατοῦσιν[12] κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀλλὰ[13] ἀνίπτοις[14] χερσὶν ἐσθίουσιν τὸν ἄρτον;» **6** Ὁ δὲ ἀποκριθεὶς[15] εἶπεν αὐτοῖς ὅτι[16] «Καλῶς προεφήτευσεν[17] Ἡσαΐας[18] περὶ ὑμῶν τῶν ὑποκριτῶν, ὡς γέγραπται· [19] ‹Οὗτος ὁ λαὸς τοῖς χείλεσίν με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ᾽ ἐμοῦ. **7** Μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων.› **8** Ἀφέντες γὰρ[20] τὴν ἐντολὴν τοῦ Θεοῦ, κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων—βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων, καὶ ἄλλα παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε.»[21] **9** Καὶ ἔλεγεν αὐτοῖς· «Καλῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ Θεοῦ, ἵνα τὴν παράδοσιν ὑμῶν τηρήσητε.[22] **10** Μωσῆς[23] γὰρ εἶπεν, ‹Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου› καί, ‹Ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω.› **11** Ὑμεῖς δὲ λέγετε ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρί, ‹Κορβᾶν› (ὅ ἐστιν, δῶρον) ‹ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς,› **12** καὶ[24] οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ αὐτοῦ[25] ἢ τῇ μητρὶ αὐτοῦ,[26] **13** ἀκυροῦντες τὸν λόγον τοῦ Θεοῦ τῇ παραδόσει[27] ὑμῶν ᾗ παρεδώκατε. Καὶ παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε.»

---

[1] ετιθουν **f**[35] A(D)N,W [99%] HF,RP,CP,TR ¦ ετιθεσαν ℵB [1%] OC,NU
[2] ηπτοντο **f**[35] A,N [96%] HF,RP,CP,TR,OC ¦ ηψαντο ℵB,D,W [4%] NU
[3] αυτου **f**[35] A,D,N [99%] HF,RP,CP,TR,OC ¦ 1 οτι ℵB [1%] NU ¦ 1 τινας W
[4] εσθιοντας **f**[35] A,D,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ εσθιουσιν ℵB [0.5%] NU
[5] αρτους **f**[35] A [94%] HF,RP,CP,TR,OC ¦ τους 1 B,D,N,W [4%] NU ¦ αρτον ℵ [2%]
[6] εμεμψαντο **f**[35] N,W [85%] HF,RP,CP,TR,OC ¦ --- ℵA,B [15%] NU ¦ κατεγνωσαν D
[7] απο **f**[35] ℵN [98%] HF,RP,CP,TR,OC ¦ απ A,B,D,W [2%] NU
[8] βαπτισωνται **f**[35] A,D (78.7%) HF,RP,CP,TR,OC,NU ¦ βαπτισονται (15.9%) ¦ ραντισωνται ℵB (3.6%) ¦ νιψονται (0.2%) ¦ long omissions (1.5%)
[9] χαλκειων **f**[35] A [30%] ¦ χαλκιων ℵB,D,W [70%] HF,RP,CP,TR,OC,NU (N vacant)
[10] και κλινων **f**[35] A,D,W (99.3%) HF,RP,CP,TR,OC[NU] ¦ --- ℵB (0.5%) ¦ long omission (0.2%)
[11] επειτα **f**[35] A,W [98%] HF,RP,CP,TR,OC ¦ και ℵB,D [2%] NU
[12] οι μαθηται σου ου περιπατουσιν **f**[35] 𝔓[45]A,D,W [99%] HF,RP,CP,TR ¦ ~ 45123 ℵB [1%] OC,NU
[13] αλλα *rell* ¦ αλλ OC
[14] ανιπτοις **f**[35] A [96%] HF,RP,CP,TR,OC ¦ κοιναις 𝔓[45]ℵ(B)(D,W) [4%] NU
[15] αποκριθεις **f**[35] 𝔓[45]A,D,W [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB [1%] NU
[16] οτι **f**[35] 𝔓[45]A,D,W [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB [1%] NU
[17] προεφητευσεν **f**[35] A,W [97%] HF,RP,CP,TR,OC ¦ επροφητευσεν ℵB,D [3%] NU
[18] ήσαιας **f**[35] TR,OC ¦ ἠσαιας HF,RP,NU ¦ ισαιας CP
[19] γεγραπται **f**[35] A,W [98.5%] HF,RP,CP,TR,OC ¦ 1 οτι ℵB [0.5%] [NU] ¦ ειπεν D [1%]
[20] γαρ **f**[35] A [99%] HF,RP,CP,TR,OC ¦ --- 𝔓[45]ℵB,D,W [1%] NU
[21] βαπτισμους ξεστων και ποτηριων και αλλα παρομοια τοιαυτα πολλα ποιειτε **f**[35] (A,D) (98.3%) HF,RP,CP, TR,OC ¦ --- 𝔓[45]ℵB,W (1.7%) NU
[22] τηρησητε **f**[35] ℵA (98%) HF,RP,CP,TR,OC ¦ τηρητε B (0.5%) ¦ στησητε D,W (0.7%) NU ¦ ποιησητε (0.1%) ¦ κρατησητε (0.2%) ¦ long omission (0.4%)
[23] μωσης **f**[35] A [90%] HF,RP,CP,TR ¦ μωυσης ℵB,D,W [10%] OC,NU
[24] και **f**[35] 𝔓[45]A,W [96%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D [4%] NU
[25] αυτου **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D,W [3%] NU
[26] αυτου **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D,W [3%] NU
[27] παραδοσει *rell* ¦ παραδωσει [2%] CP

That which really defiles

14 Καὶ προσκαλεσάμενος πάντα[1] τὸν ὄχλον ἔλεγεν αὐτοῖς· «Ἀκούετέ[2] μου πάντες, καὶ συνίετε·[3] **15** Οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς αὐτὸν ὃ δύναται αὐτὸν κοινῶσαι·[4] ἀλλὰ τὰ ἐκπορευόμενα ἀπ᾽ αὐτοῦ, ἐκεῖνά[5] ἐστιν τὰ κοινοῦντα τὸν ἄνθρωπον. **16** Εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω.»[6]

17 Καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου, ἐπηρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ τῆς παραβολῆς.[7] **18** Καὶ λέγει αὐτοῖς· «Οὕτως καὶ ὑμεῖς ἀσύνετοί ἐστε; Οὐ[8] νοεῖτε ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον οὐ δύναται αὐτὸν κοινῶσαι, **19** ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ᾽ εἰς τὴν κοιλίαν, καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται, καθαρίζον[9] πάντα τὰ βρώματα;» **20** Ἔλεγεν δὲ ὅτι «Τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον. **21** Ἔσωθεν γάρ, ἐκ τῆς καρδίας τῶν ἀνθρώπων, οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται —μοιχεῖαι, πορνεῖαι, φόνοι, **22** κλοπαί,[10] πλεονεξίαι, πονηρίαι· δόλος, ἀσέλγεια,[11] ὀφθαλμὸς πονηρός, βλασφημία, ὑπερηφανία, ἀφροσύνη—**23** πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται καὶ κοινοῖ τὸν ἄνθρωπον.»

Unusual faith

24 Καὶ ἐκεῖθεν[12] ἀναστὰς ἀπῆλθεν εἰς τὰ μεθόρια[13] Τύρου καὶ Σιδῶνος.[14] Καὶ εἰσελθὼν εἰς[15] οἰκίαν οὐδένα ἤθελεν γνῶναι, καὶ οὐκ ἠδυνήθη λαθεῖν. **25** Ἀκούσασα γὰρ[16] γυνὴ περὶ αὐτοῦ, ἧς εἶχεν τὸ θυγάτριον αὐτῆς[17] πνεῦμα ἀκάθαρτον, ἐλθοῦσα προσέπεσεν πρὸς τοὺς πόδας αὐτοῦ. **26** Ἦν δὲ ἡ γυνὴ[18] Ἑλληνίς, Συρα-Φοινίκισσα[19] τῷ γένει, καὶ ἠρώτα αὐτὸν ἵνα τὸ δαιμόνιον ἐκβάλῃ[20] ἐκ τῆς θυγατρὸς αὐτῆς. **27** Ὁ δὲ Ἰησοῦς εἶπεν[21] αὐτῇ, «Ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα· οὐ γὰρ καλόν ἐστιν[22] λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις.»[23] **28** Ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ, «Ναί,[24] Κύριε, καὶ γὰρ[25] τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίει[26] ἀπὸ

---

[1] παντα **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ παλιν ℵB,D [0.5%] NU ¦ --- [0.5%]
[2] ακουετε **f**[35] ℵA,W [99%] HF,RP,CP,TR,OC ¦ ακουσατε B,D [1%] NU
[3] συνιετε **f**[35] ℵA,W [99%] HF,RP,CP,TR,OC ¦ συνετε B [1%] NU ¦ συνιτε D
[4] αυτον κοινωσαι **f**[35] 𝔓[45v]A,D,W [99.5%] HF,RP,CP,TR,OC ¦ ~ 21 ℵ [0.5%] NU ¦ ~ κοινουν 1 B
[5] εκπορευομενα απ αυτου εκεινα **f**[35] A [99%] HF,RP,CP,TR ¦ 1 OC ¦ εκ του ανθρωπου 1 ℵB [0.5%] NU ¦ εκ του ανθρωπου 14 D,W [0.5%]
[6] ει τις εχει ωτα ακουειν ακουετω **f**[35] A,D,W (98.8%) HF,RP,CP,TR ¦ --- ℵB (1.1%) OC,NU ¦ two other variants (0.1%)
[7] περι της παραβολης **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ την παραβολην ℵB,D [1%] NU
[8] ου *rell* ¦ ουπω ℵ [2%] OC
[9] καθαριζον **f**[35] [90%] HF,RP,CP,TR,OC ¦ καθαριζων ℵA,B,W [10%] NU ¦ καθαριζει D
[10] μοιχειαι πορνειαι φονοι κλοπαι **f**[35] A,N [98%] HF,RP,CP,TR,OC ¦ ~ 2431 ℵB [1%] NU ¦ ~ 1243 W [1%] ¦ ~ 2 κλεμματα 13 (D)
[11] ασελγεια *rell* ¦ ασελγειαι [1%] CP ¦ ασελγιαι [2%] ¦ ασελγια ℵA [1%]
[12] και εκειθεν **f**[35] A(D)N [99%] HF,RP,CP,TR,OC ¦ 1 W ¦ ~ 2 δε ℵ(B) [1%] NU
[13] μεθορια **f**[35] A,N [96%] HF,RP,CP,TR,OC ¦ ορια ℵB,D,W [4%] NU
[14] και σιδωνος **f**[35] ℵA,B,N [99%] HF,RP,CP,TR,OC ¦ --- D,W [1%] NU
[15] εις *rell* ¦ 1 την D,W [10%] TR
[16] ακουσασα γαρ **f**[35] A,N,W [99%] HF,RP,CP,TR,OC ¦ αλλ ευθυς 1 (ℵ)B [1%] NU ¦ δε ευθεως ως 1 D
[17] αυτης *rell* ¦ --- 𝔓[45]ℵD,W [5%] CP
[18] ην δε η γυνη **f**[35] A,N [96%] HF,RP,CP,TR ¦ ~ 3241 𝔓[45]ℵB,D,W [4%] OC,NU
[19] συρα-φοινικισσα **f**[35] [50%] ¦ συραφοινικισσα B,N [38%] HF,RP,CP ¦ συραφοινισσα W [1%] ¦ συροφοινικισσα 𝔓[45]ℵA [10%] OC,NU ¦ συροφοινισσα TR ¦ φυνισσα D ¦ at least five further spellings
[20] εκβαλη **f**[35] 𝔓[45]ℵA,B,D,N,W [67%] HF,RP,CP,OC,NU ¦ εκβαλει [2%] ¦ εκβαλλη [30%] TR ¦ εκβαλλει [1%]
[21] ο δε ιησους ειπεν **f**[35] A,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ και ελεγεν ℵB [1%] NU ¦ και λεγει D [0.5%]
[22] καλον εστιν **f**[35] A,N,W [97%] HF,RP,CP,TR ¦ ~ 21 ℵB,D [3%] OC,NU
[23] βαλειν τοις κυναριοις **f**[35] A,D,N,W [98%] HF,RP,CP,TR ¦ ~ 231 𝔓[45v]ℵB [2%] OC,NU
[24] ναι **f**[35] ℵA,B,N [99%] HF,RP,CP,TR,OC ¦ --- 𝔓[45]D,W [1%] NU
[25] γαρ **f**[35] A,N [98%] HF,RP,CP,TR ¦ --- 𝔓[45]ℵB(D)W [2%] OC,NU
[26] υποκατω της τραπεζης εσθιει **f**[35] A,N [95%] HF,RP,CP,TR ¦ 123 εσθιουσιν B,D,W [5%] OC,NU ¦ ~ εσθιουσιν 123 ℵ

τῶν ψιχίων τῶν παιδίων.» **29** Καὶ εἶπεν αὐτῇ, «Διὰ τοῦτον τὸν λόγον ὕπαγε· ἐξελήλυθεν τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου.»[1] **30** Καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς εὗρεν τὸ δαιμόνιον ἐξεληλυθὸς καὶ τὴν θυγατέρα βεβλημένην ἐπὶ τῆς κλίνης.[2]

Jesus heals a deaf mute

31 Καὶ πάλιν, ἐξελθὼν ὁ Ἰησοῦς[3] ἐκ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος, ἦλθεν[4] πρὸς[5] τὴν θάλασσαν τῆς Γαλιλαίας ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως. **32** Καὶ φέρουσιν αὐτῷ κωφὸν[6] μογγιλάλον[7] καὶ παρακαλοῦσιν αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα. **33** Καὶ ἀπολαβόμενος[8] αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ᾽ ἰδίαν, ἔβαλεν τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ· καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ. **34** Καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν ἐστέναξεν, καὶ λέγει αὐτῷ, «Ἐφφαθά,» ὅ ἐστιν, «Διανοίχθητι.» **35** Καὶ εὐθέως[9] διηνοίχθησαν[10] αὐτοῦ αἱ ἀκοαί, καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς. **36** Καὶ διεστείλατο αὐτοῖς ἵνα μηδενὶ εἴπωσιν·[11] ὅσον δὲ αὐτὸς[12] αὐτοῖς διεστέλλετο,[13] μᾶλλον περισσότερον ἐκήρυσσον. **37** Καὶ ὑπερπερισσῶς ἐξεπλήσσοντο, λέγοντες· «Καλῶς πάντα πεποίηκεν. Καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν καὶ τοὺς[14] ἀλάλους λαλεῖν.»

Food for 4,000 men

8:1 Ἐν ἐκείναις ταῖς ἡμέραις, παμπόλλου[15] ὄχλου ὄντος καὶ μὴ ἐχόντων τί φάγωσιν, προσκαλεσάμενος ὁ Ἰησοῦς[16] τοὺς μαθητὰς αὐτοῦ[17] λέγει αὐτοῖς· **2** «Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέρας τρεῖς[18] προσμένουσίν μοι καὶ οὐκ ἔχουσιν τί φάγωσιν. **3** Καὶ ἐὰν ἀπολύσω αὐτοὺς νήστις[19] εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται ἐν τῇ ὁδῷ, τινὲς γὰρ[20] αὐτῶν[21] μακρόθεν ἥκουσιν.»[22] **4** Καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ,[23] «Πόθεν τούτους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων

---

[1] το δαιμονιον εκ της θυγατρος σου **f**[35] **𝔓**[45]A,D,N,W [97%] HF,RP,CP,TR,OC ¦ ~ 345612 ℵB [1%] NU ¦ 12 απο 456 [2%]

[2] το δαιμονιον εξεληλυθος και την θυγατερα βεβλημενην επι της κλινης **f**[35] **𝔓**[45]A,N,W [97%] HF,RP,CP,TR ¦ ~ 5 θυγατεραν 78 την κλινην 4123 D [1%] ¦ ~ το παιδον βεβλημενον επι την κλινην 4123 ℵB [2%] OC,NU

[3] ο ιησους **f**[35] [50%] ¦ --- **𝔓**[45]ℵA,B,D,N,W [50%] HF,RP,CP,TR,OC,NU

[4] και σιδωνος ηλθεν **f**[35] **𝔓**[45]A,N,W (98.9%) HF,RP,CP,TR,OC ¦ ~ 3 δια 2 ℵB,D (0.7%) NU ¦ three other variants (0.2%) ¦ long omission (0.2%)

[5] προς **f**[35] A,N [96%] HF,RP,CP,TR,OC ¦ εις ℵB,D,W [3.5%] NU ¦ παρα [0.5%]

[6] κωφον **f**[35] **𝔓**[45]A,N [99%] HF,RP,CP,TR,OC ¦ 1 και ℵB,D,W [1%] NU

[7] μογγιλαλον **f**[35] N,W [70%] HF,RP,CP ¦ μογιλαλον **𝔓**[45]ℵA,B,D [30%] TR,OC,NU (Since the following context indicates that there was indeed a problem with the tongue, the change to the single consonant was predictable; the reverse change seems highly unlikely.)

[8] απολαβομενος *rell* ¦ επιλαβομενος [5%] CP ¦ προσλαβομενος W

[9] ευθεως **f**[35] **𝔓**[45]A,N,W [99%] HF,RP,CP,TR,OC[NU] ¦ --- ℵB,D [1%]

[10] διηνοιχθησαν **f**[35] A,N [97.5%] HF,RP,CP,TR,OC ¦ ηνοιγησαν B [1%] NU ¦ ηνυγησαν ℵD ¦ διηνυγησαν W ¦ three other variants [1%]

[11] ειπωσιν **f**[35] A,D,N [98%] HF,RP,CP,TR,OC ¦ λεγωσιν **𝔓**[45v]ℵB,W [2%] NU

[12] αυτος **f**[35] **𝔓**[45v]N [95%] HF,RP,CP,TR,OC ¦ --- ℵA,B(D)W [5%] NU

[13] διεστελλετο **f**[35] A,W [98%] HF,RP,CP,TR,OC ¦ 1 αυτοι ℵB(D)N [2%] NU

[14] τους **f**[35] A,D,N [99%] HF,RP,CP,TR,OC[NU] ¦ --- ℵB(W) [1%]

[15] παμπολλου **f**[35] A [90.7%] HF,RP,CP,TR ¦ παμπολου [5%] ¦ παλιν πολλου ℵB,D,N,W (3.3%) OC,NU ¦ πολλου (0.5%) ¦ two other variants (0.3%) ¦ long omissions (0.2%)

[16] ο ιησους **f**[35] [90%] HF,RP,CP,TR,OC ¦ --- ℵA,B,D,N,W [10%] NU

[17] αυτου **f**[35] A,B,W [98%] HF,RP,CP,TR,OC ¦ --- ℵD,N [2%] NU

[18] ημερας τρεις **f**[35] [50%] CP,TR ¦ ημεραι 2 ℵA(D)N,W [50%] HF,RP,OC,NU ¦ ημεραις τρισιν B

[19] νηστις **f**[35] ℵW [30%] CP ¦ νηστεις A,B,D,N [70%] HF,RP,TR,OC,NU

[20] τινες γαρ **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ ~ και 1 ℵB(D)W [3%] NU

[21] αυτων **f**[35] A,N [95%] HF,RP,CP,TR ¦ 1 απο ℵB,D,W [5%] OC,NU

[22] ηκουσιν **f**[35] [85%] HF,RP ¦ ηκασιν ℵA,D,N,W [15%] CP,TR,OC,NU ¦ εισιν B [0.5%] (Since the present tense of ἥκω has the force of the perfect, the majority reading is correct.)

[23] αυτου **f**[35] A,D,N(W) [99%] HF,RP,CP,TR,OC ¦ 1 οτι B [0.5%] NU ¦ 1 και ειπαν ℵ

ἐπ᾽ ἐρημίας;» **5** Καὶ ἐπηρώτα[1] αὐτούς, «Πόσους ἔχετε ἄρτους;» Οἱ δὲ εἶπον,[2] «Ἑπτά.» **6** Καὶ παρήγγειλεν[3] τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς· καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους καὶ[4] εὐχαριστήσας, ἔκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παραθῶσιν,[5] καὶ παρέθηκαν τῷ ὄχλῳ. **7** Καὶ εἶχον ἰχθύδια ὀλίγα· καὶ εὐλογήσας[6] εἶπεν παραθεῖναι καὶ αὐτά.[7] **8** Ἔφαγον δὲ[8] καὶ ἐχορτάσθησαν· καὶ ἦραν περισσεύματα κλασμάτων ἑπτὰ σπυρίδας. **9** Ἦσαν δὲ οἱ φαγόντες[9] ὡς τετρακισχίλιοι· καὶ ἀπέλυσεν αὐτούς. **10** Καὶ εὐθέως ἐμβὰς[10] εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά.

Bad leaven

11 Καὶ ἐξῆλθον οἱ Φαρισαῖοι καὶ ἤρξαντο συζητεῖν αὐτῷ, ζητοῦντες παρ᾽ αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ, πειράζοντες αὐτόν. **12** Καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ λέγει· «Τί ἡ γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ;[11] Ἀμὴν λέγω ὑμῖν, εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον.» **13** Καὶ ἀφεὶς αὐτούς, ἐμβὰς πάλιν[12] εἰς πλοῖον[13] ἀπῆλθεν εἰς τὸ πέραν.[14]

14 (Καὶ ἐπελάθοντο οἱ μαθηταὶ αὐτοῦ[15] λαβεῖν ἄρτους· καὶ εἰ μὴ ἕνα ἄρτον οὐκ εἶχον μεθ᾽ ἑαυτῶν ἐν τῷ πλοίῳ.) **15** Καὶ διεστέλλετο αὐτοῖς, λέγων, «Ὁρᾶτε· βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ τῆς ζύμης Ἡρῴδου.» **16** Καὶ διελογίζοντο πρὸς ἀλλήλους, λέγοντες[16] ὅτι «Ἄρτους οὐκ ἔχομεν.»[17] **17** Καὶ γνοὺς ὁ Ἰησοῦς[18] λέγει αὐτοῖς· «Τί διαλογίζεσθε ὅτι ἄρτους οὐκ ἔχετε; Οὔπω νοεῖτε οὐδὲ συνίετε; Ἔτι[19] πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν; **18** Ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε, καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε, καὶ οὐ μνημονεύετε; **19** Ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισχιλίους,[20] πόσους κοφίνους πλήρεις κλασμάτων[21] ἤρατε;» Λέγουσιν αὐτῷ, «Δώδεκα.» **20** «Ὅτε δὲ[22] τοὺς ἑπτὰ εἰς τοὺς τετρακισχιλίους, πόσων σπυρίδων πληρώματα κλασμάτων ἤρατε;» Οἱ δὲ εἶπον,[23] «Ἑπτά.» **21** Καὶ λέγει[24] αὐτοῖς, «Πῶς οὔπω[25] συνίετε;»

---

[1] επηρωτα **f**[35] A,D,N [98%] HF,RP,CP,TR,OC ¦ ηρωτα ℵB [1%] NU ¦ ηρωτησεν W ¦ two other variants
[2] ειπον *rell* ¦ ειπαν ℵB,N,W [1%] NU
[3] παρηγγειλεν **f**[35] A,C,N,W [99%] HF,RP,CP,TR,OC ¦ παραγγελλει ℵB,D [1%] NU ¦ two other variants
[4] και **f**[35] C,D [40%] ¦ --- ℵA,B,N,W [60%] HF,RP,CP,TR,OC,NU
[5] παραθωσιν **f**[35] A,D,N,W [96%] HF,RP,CP,TR ¦ παρατιθωσιν ℵB,C [4%] OC,NU
[6] ευλογησας **f**[35] (80%) HF,RP,CP,TR ¦ ταυτα 1 A (9.1%) ¦ αυτα 1 N,W (7.8%) OC ¦ 1 αυτα ℵB,C (2.2%) NU ¦ ευχαριστησας D (0.5%) ¦ long omissions (0.4%)
[7] παραθειναι και αυτα **f**[35] [80%] HF,RP,CP,TR ¦ παραθηναι 23 [15%] ¦ παρατεθηναι 23 A ¦ παρατιθηναι 23 OC ¦ ~ 2 ταυτα παρατιθεναι B [0.5%] NU ¦ ~ 2 ταυτα παραθετε C ¦ παρεθηκεν ℵ ¦ παραθεναι W ¦ 1 [1%] ¦ 1 αυτοις N ¦ at least seven further variants D [1%]
[8] εφαγον δε **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ ~ και 1 (ℵ)B,C,D,W [3%] NU
[9] οι φαγοντες **f**[35] A,C,D,N,W [99%] HF,RP,CP,TR ¦ --- (ℵ)B [1%] OC,NU
[10] ευθεως εμβας **f**[35] [90%] HF,RP,CP,TR ¦ ~ 21 A,N [7%] ¦ ευθυς 2 ℵB,C [1%] NU ¦ ~ 2 ευθυς W [2%] OC ¦ 1 ενεβη [0.5%] ¦ αυτος ανεβη D
[11] σημειον επιζητει **f**[35] A,N,W [98%] HF,RP,CP,TR,OC ¦ 1 αιτει 𝔓[45] ¦ ~ ζητει 1 ℵB,C,D [2%] NU
[12] εμβας παλιν **f**[35] A,N [97%] HF,RP,CP,TR ¦ ~ 21 𝔓[45]ℵB,C,D,W [3%] NU ¦ --- OC
[13] εις πλοιον **f**[35] A (62.1%) HF,RP,CP ¦ 1 το 2 𝔓[45]D,N,W (37.5%) TR,OC ¦ --- ℵB,C (0.4%) NU
[14] εις το περαν *rell* ¦ παλιν OC
[15] οι μαθηται αυτου **f**[35] 𝔓[45]W [35%] ¦ 12 D [1%] ¦ --- ℵA,B,C,N [64%] HF,RP,CP,TR,OC, NU
[16] λεγοντες **f**[35] A,C,N [98%] HF,RP,CP,TR,OC ¦ --- 𝔓[45]ℵB,D,W [2%] NU
[17] εχομεν **f**[35] ℵA,C,N [98%] HF,RP,CP,TR,OC ¦ εχουσιν 𝔓[45]B,W [2%] NU ¦ ειχαν D
[18] ο ιησους **f**[35] ℵA,C,D,N,W (99.6%) HF,RP,CP,TR,OC ¦ --- B (0.3%) NU ¦ long omission (0.1%)
[19] ετι **f**[35] A [95%] HF,RP,CP,TR,OC ¦ --- 𝔓[45]ℵB,C,D,N,W [5%] NU
[20] πεντακισχιλιους *rell* ¦ 1 και ℵC,D [5%] OC
[21] πληρεις κλασματων **f**[35] 𝔓[45](A)N,W [90%] HF,RP,TR ¦ ~ 21 ℵB,C(D) [9%] CP,OC,NU ¦ 2 [1%]
[22] οτε δε **f**[35] A,D,W (95.9%) HF,RP,CP,TR,OC ¦ 1 B (1.3%) NU ¦ 12 και C,N (0.7%) ¦ 1 και ℵ (0.4%) ¦ και 1 (0.4%) ¦ long omissions (1.3%)
[23] οι δε ειπον **f**[35] 𝔓[45]A,D,N,W (98.2%) HF,RP,CP,TR,OC ¦ 123 αυτω (0.4%) ¦ και λεγουσιν αυτω B,C (1.1%) [NU] ¦ λεγουσιν ℵ (0.2%) ¦ --- (0.1%)
[24] λεγει **f**[35] 𝔓[45]D,W [50%] ¦ ελεγεν ℵA,B,C(N) [49%] HF,RP,CP,TR,OC,NU ¦ ειπεν [1%]
[25] πως ουπω **f**[35] A,D,N,W [40%] ¦ 1 ου B [55%] HF,RP,CP,TR ¦ 2 ℵC [4%] OC,NU ¦ 1 ουν 2 [1%]

A blind man

22 Καὶ ἔρχεται[1] εἰς Βηθσαϊδάν·[2] καὶ φέρουσιν αὐτῷ τυφλὸν καὶ παρακαλοῦσιν αὐτὸν ἵνα αὐτοῦ ἅψηται. **23** Καὶ ἐπιλαβόμενος τῆς χειρὸς τοῦ τυφλοῦ ἐξήγαγεν[3] αὐτὸν ἔξω τῆς κώμης, καὶ πτύσας εἰς τὰ ὄμματα αὐτοῦ, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἐπηρώτα αὐτὸν εἴ τι βλέπει.[4] **24** Καὶ ἀναβλέψας ἔλεγεν, «Βλέπω τοὺς ἀνθρώπους ὅτι[5] ὡς δένδρα ὁρῶ,[6] περιπατοῦντας.» **25** Εἶτα πάλιν ἐπέθηκεν τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι·[7] καὶ ἀποκατεστάθη[8] καὶ ἐνέβλεψεν[9] τηλαυγῶς ἅπαντας.[10] **26** Καὶ ἀπέστειλεν αὐτὸν εἰς τὸν[11] οἶκον αὐτοῦ, λέγων, «Μηδὲ εἰς τὴν κώμην εἰσέλθῃς μηδὲ εἴπῃς τινὶ ἐν τῇ κώμῃ.»[12]

Jesus declares His death, and ministers on that basis

Peter is inspired

8:27 Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας Καισαρείας τῆς Φιλίππου· καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων αὐτοῖς, «Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι;» **28** Οἱ δὲ ἀπεκρίθησαν,[13] «Ἰωάννην τὸν Βαπτιστήν, καὶ ἄλλοι Ἠλίαν, ἄλλοι δὲ ἕνα[14] τῶν προφητῶν.» **29** Καὶ αὐτὸς λέγει αὐτοῖς,[15] «Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι;» Ἀποκριθεὶς δὲ[16] ὁ Πέτρος λέγει αὐτῷ, «Σὺ εἶ ὁ Χριστός.» **30** Καὶ ἐπετίμησεν αὐτοῖς ἵνα μηδενὶ λέγωσιν περὶ αὐτοῦ.

31 Καὶ ἤρξατο διδάσκειν αὐτοὺς ὅτι δεῖ τὸν Υἱὸν τοῦ Ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ[17] τῶν πρεσβυτέρων καὶ τῶν[18] ἀρχιερέων καὶ τῶν[19] γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι. **32** Καὶ παρρησίᾳ τὸν λόγον ἐλάλει. Καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος[20] ἤρξατο ἐπιτιμᾶν αὐτῷ. **33** Ὁ δέ, ἐπιστραφεὶς καὶ ἰδὼν τοὺς μαθητὰς αὐτοῦ, ἐπετίμησεν τῷ[21] Πέτρῳ, λέγων·[22] «Ὕπαγε ὀπίσω μου, Σατανᾶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.»

The cost of discipleship

34 Καὶ προσκαλεσάμενος τὸν ὄχλον, σὺν τοῖς μαθηταῖς αὐτοῦ, εἶπεν αὐτοῖς· «Ὅστις[23] θέλει

---

[1] ερχεται **f**[35] ℵA,N [97%] HF,RP,CP,TR,OC ¦ ερχονται 𝔓[45v]B,C,D,W [3%] NU
[2] βηθσαιδαν **f**[35] 𝔓[45]ℵA,B(W) (73.6%) HF,RP,TR,NU ¦ βηθσαιδα C,N (26.1%) CP,OC ¦ βηθανιαν D (0.3%) ¦ one other variant
[3] εξηγαγεν **f**[35] A,D,N,W (98.8%) HF,RP,CP,TR,OC ¦ εξηνεγκεν ℵB,C (1%) NU ¦ three other variants (0.2%)
[4] βλεπει **f**[35] ℵA,N(W) (98.9%) HF,RP,CP,TR,OC ¦ βλεπεις B,C,D (0.7%) NU ¦ βλεπειν (0.2%) ¦ two other variants (0.2%)
[5] οτι **f**[35] ℵA,B,C,N [95%] HF,RP,TR,NU ¦ --- D,W [5%] CP,OC
[6] ορω **f**[35] ℵA,B,C,N [95%] HF,RP,TR,NU ¦ --- D,W [5%] CP,OC
[7] εποιησεν αυτον αναβλεψαι **f**[35] A,N [98%] HF,RP,CP,TR,OC ¦ διεβλεψεν ℵB,C,W [2%] NU ¦ ηρξατο 3 D
[8] αποκατεσταθη **f**[35] D [75%] HF,RP,CP,TR,OC ¦ απεκατεσταθη A,N,W [24%] ¦ απεκατεστη ℵC [1%] NU ¦ αποκατεστη B
[9] ενεβλεψεν **f**[35] A,C,N [53%] RP,TR,OC ¦ ανεβλεψεν [45%] HF,CP ¦ ενεβλεπεν B [1%] NU ¦ εβλεψεν ℵ [0.5%] ¦ ανεβλεπεν W [0.5%] ¦ αναβλεψαι D
[10] απαντας **f**[35] A,N [95%] HF,RP,CP,TR,OC ¦ απαντα ℵB,C [5%] NU ¦ παντα D(W)
[11] τον **f**[35] W [70%] HF,RP,CP,TR,OC ¦ --- (ℵ)A,B,C,D,N [30%] NU
[12] μηδε ειπης τινι εν τη κωμη **f**[35] A,C,N (97.3%) HF,RP,CP,TR,OC ¦ μηδενι 21456 (1.8%) ¦ --- ℵB,W (0.5%) NU ¦ μηδενι 2 εις 56 D ¦ four other variants (0.3%)
[13] απεκριθησαν **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ ειπαν αυτω λεγοντες οτι ℵB[NU] ¦ ειπαν αυτω λεγοντες οι μεν C [1.5%] ¦ 1 αυτω λεγοντες D [0.5%] ¦ 1 λεγοντες οι μεν W ¦ four other variants
[14] ενα **f**[35] A,N,W [99%] HF,RP,CP,TR,OC ¦ οτι εις ℵB,C [0.5%] NU ¦ ως 1 D
[15] λεγει αυτοις **f**[35] A,N,W [99%] HF,RP,CP,TR,OC ¦ επηρωτα αυτους ℵB,C,D [1%] NU
[16] αποκριθεις δε **f**[35] ℵC,D,W [98.5%] HF,RP,CP,TR,OC ¦ και 1 A,N [1%] ¦ 1 B [0.5%] NU
[17] απο **f**[35] A [90%] HF,RP,CP,TR,OC ¦ υπο ℵB,C,D,N,W [10%] NU
[18] των **f**[35] ℵB,C,D,W [70%] HF,RP,CP,OC,NU ¦ --- A,N [30%] TR
[19] των **f**[35] ℵB,C,D,W [80%] HF,RP,CP,OC,NU ¦ --- A,N [20%] TR
[20] αυτον ο πετρος **f**[35] ℵA,C,W [99%] HF,RP,CP,TR,OC ¦ ~ 231 B [0.5%] NU ¦ 23 D (N absent)
[21] τω **f**[35] A,C,W [99.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D [0.5%] NU
[22] λεγων **f**[35] A,D,W [99%] HF,RP,CP,TR,OC ¦ και λεγει ℵB,C [1%] NU
[23] οστις **f**[35] A [95%] HF,RP,CP,TR,OC ¦ ει τις ℵB,C(D,W) [5%] NU

ὀπίσω μου ἀκολουθεῖν,[1] ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι. **35** Ὃς γὰρ ἂν[2] θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν· ὃς δ᾽ ἂν ἀπολέσῃ[3] τὴν ψυχὴν αὐτοῦ[4] ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος[5] σώσει αὐτήν. **36** Τί γὰρ ὠφελήσει[6] ἄνθρωπον ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον,[7] καὶ ζημιωθῇ[8] τὴν ψυχὴν αὐτοῦ; **37** Ἢ τί δώσει[9] ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; **38** Ὃς γὰρ ἐὰν[10] ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων.»

A miniature of the Kingdom

9:1 Καὶ ἔλεγεν αὐτοῖς, «Ἀμὴν λέγω ὑμῖν ὅτι εἰσίν τινες τῶν ὧδε ἑστηκότων[11] οἵτινες οὐ μὴ γεύσωνται[12] θανάτου ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.» **2** Καὶ μεθ᾽[13] ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ τὸν[14] Ἰάκωβον καὶ τὸν[15] Ἰωάννην καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν μόνους. Καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν· **3** καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένετο[16] στίλβοντα, λευκὰ λίαν, ὡς χιών,[17] οἷα κναφεὺς[18] ἐπὶ τῆς γῆς οὐ δύναται[19] λευκᾶναι. **4** Καὶ ὤφθη αὐτοῖς Ἠλίας, σὺν Μωϋσῇ,[20] καὶ ἦσαν συλλαλοῦντες τῷ Ἰησοῦ. **5** Καὶ ἀποκριθεὶς ὁ Πέτρος λέγει τῷ Ἰησοῦ, «Ῥαββί, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, καὶ ποιήσωμεν σκηνὰς τρεῖς·[21] σοὶ μίαν καὶ Μωσεῖ[22] μίαν καὶ Ἠλίᾳ μίαν.» **6** (Οὐ γὰρ ᾔδει τί λαλήσει,[23] ἦσαν γὰρ ἔκφοβοι.)[24] **7** Καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοῖς, καὶ ἦλθεν[25] Φωνὴ ἐκ τῆς νεφέλης·[26] «Οὗτός ἐστιν ὁ Υἱός μου, ὁ ἀγαπητός. Αὐτοῦ ἀκούετε.»[27] **8** Καὶ ἐξάπινα περιβλεψάμενοι, οὐκέτι οὐδένα εἶδον ἀλλὰ[28] τὸν Ἰησοῦν μόνον μεθ᾽ ἑαυτῶν.

9 Καταβαινόντων δὲ[29] αὐτῶν ἀπὸ[30] τοῦ ὄρους, διεστείλατο αὐτοῖς ἵνα μηδενὶ διηγήσωνται ἃ

---

[1] ακολυθειν **f**[35] **𝔓**[45]C,D,W [65%] HF,RP,CP,OC,NU ¦ ελθειν ℵA,B [35%] TR
[2] αν **f**[35] A,D,W [95%] HF,RP,CP,TR,OC ¦ εαν ℵB,C [5%] NU
[3] απολεση **f**[35] A,W [95%] HF,RP,CP,TR,OC ¦ απολεσει ℵB,C [5%] NU ¦ --- D
[4] ψυχην αυτου **f**[35] #[45v]ℵA,B,C [45%] TR,NU ¦ ~ εαυτου 1 W [55%] HF,RP,CP,OC ¦ --- D
[5] ουτος **f**[35] [90%] HF,RP,CP,TR,OC ¦ --- **𝔓**[45]ℵA,B,C,D,W [10%] NU
[6] ωφελησει **f**[35] A,C,D [99%] HF,RP,CP,TR,OC ¦ ωφελει W [0.5%] NU ¦ ωφελι ℵB ¦ one other variant
[7] εαν κερδηση τον κοσμον ολον **f**[35] **𝔓**[45v]A,D,W [98%] HF,RP,CP,TR,OC ¦ ~ 13452 C [0.5%] ¦ κερδησαι 345 ℵB [0.5%] NU ¦ three other variants
[8] ζημιωθη **f**[35] A,C,D,W [99.5%] HF,RP,CP,TR,OC ¦ ζημιωθηναι ℵB [0.5%] NU
[9] η τι δωσει **f**[35] A,C [98.5%] HF,RP,CP,TR,OC ¦ 2 γαρ 3 **𝔓**[45]W [1%] ¦ 2 γαρ δοι ℵB,NU ¦ 12 γαρ 3 D
[10] εαν **f**[35] **𝔓**[45]ℵB,C [58%] HF,RP,OC,NU ¦ αν (D)W [40%] TR ¦ --- A [2%] CP
[11] των ωδε εστηκοτων **f**[35] A,C,N,W [99%] HF,RP,CP,TR,OC ¦ ~ 213 B(D)NU ¦ 12 εστωτων ℵ [0.5%] ¦ ~ 132 **𝔓**[45v] [0.5%]
[12] γευσωνται *rell* ¦ γευσονται N [10%]
[13] μεθ **f**[35] **𝔓**[45]A,N,W [99%] HF,RP,CP,TR,OC ¦ μετα ℵB,C,D [1%] NU
[14] τον *rell* ¦ --- [20%] (OC is in small print)
[15] τον **f**[35] **𝔓**[45]ℵC,D,W [60%] TR,OC,NU ¦ --- A,B,N [40%] HF,RP,CP (OC is in small print)
[16] εγενετο **f**[35] **𝔓**[45]ℵB,C,W [55%] CP,TR,OC,NU ¦ εγενοντο A(D)N [45%] HF,RP
[17] ως χιων **f**[35] A(D)N (73.3%) HF,RP,CP,TR,OC ¦ ωσει 2 (25.6%) ¦ --- **𝔓**[45v]ℵB,C(W) (1%) NU ¦ one other variant
[18] κναφευς **f**[35] [25%] ¦ γναφευς **𝔓**[45]ℵA,B,C,N,W [75%] HF,RP,CP,TR,OC,NU ¦ --- D
[19] δυναται **f**[35] (**𝔓**[45])A(D)W [95%] HF,RP,CP,TR ¦ 1 ουτως ℵB,C(N) [5%] OC,NU
[20] μωυση **f**[35] ℵB,W [45%] ¦ μωυσει D,N [5%] OC,NU ¦ μωσει A [48%] CP,TR ¦ μωση **𝔓**[45]C [2%] HF,RP
[21] σκηνας τρεις **f**[35] A,D,N,W [98%] HF,RP,CP,TR,OC ¦ ~ 21 **𝔓**[45]ℵB,C [2%] NU
[22] μωσει **f**[35] A [65%] CP,TR ¦ μωση C [2%] HF,RP ¦ μωυσει ℵB,D,N [5%] OC,NU ¦ μωυση W [28%]
[23] λαλησει **f**[35] A,D,N [87%] HF,RP,CP ¦ λαληση [10%] TR,OC ¦ λαλει **𝔓**[45]W ¦ αποκριθη B,C [3%] NU ¦ απεκριθη ℵ ¦ two other variants
[24] ησαν γαρ εκφοβοι (εμφοβοι CP) **f**[35] **𝔓**[45v]A,N,W [98%] (CP)HF,RP,TR,OC ¦ ~ 32 εγενοντο ℵB,C,D [2%] NU
[25] ηλθεν **f**[35] A,D,N [97%] HF,RP,CP,TR,OC ¦ εγενετο ℵB,C [2%] NU ¦ --- W [1%]
[26] νεφελης **f**[35] (ℵ)B,C,N [70%] HF,RP,CP,NU ¦ 1 λεγουσα A,D,W [30%] TR,OC
[27] αυτου ακουετε **f**[35] A,N [96%] HF,RP,CP,TR,OC ¦ ~ 21 ℵB,C,D,W [4%] NU
[28] αλλα **f**[35] A,C,W (95.6%) HF,RP,TR,OC,NU ¦ ει μη ℵ(B)D,N (4.4%) CP
[29] καταβαινοντων δε **f**[35] A,W [98%] HF,RP,CP,TR,OC ¦ ~ και 1 ℵB,C,D,N [2%] NU
[30] απο **f**[35] ℵA,C,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ εκ B,D [0.5%] NU

εἶδον,[1] εἰ μὴ ὅταν ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. **10** Καὶ τὸν λόγον ἐκράτησαν πρὸς ἑαυτούς, συζητοῦντες τί ἐστιν τὸ ἐκ νεκρῶν ἀναστῆναι. **11** Καὶ ἐπηρώτων αὐτόν, λέγοντες, «Ὅτι λέγουσιν οἱ γραμματεῖς ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;» **12** Ὁ δὲ ἀποκριθεὶς εἶπεν[2] αὐτοῖς· «Ἠλίας μὲν ἐλθὼν πρῶτον ἀποκαθιστᾷ[3] πάντα· καὶ πῶς γέγραπται ἐπὶ τὸν Υἱὸν τοῦ Ἀνθρώπου ἵνα πολλὰ πάθῃ καὶ ἐξουδενωθῇ.[4] **13** Ἀλλὰ λέγω ὑμῖν ὅτι καὶ ‹Ἠλίας› ἐλήλυθεν, καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν»[5] (καθὼς γέγραπται ἐπ᾽ αὐτόν).

The nine couldn't do it

14 Καὶ ἐλθὼν[6] πρὸς τοὺς μαθητάς, εἶδεν[7] ὄχλον πολὺν περὶ αὐτούς, καὶ γραμματεῖς συζητοῦντας αὐτοῖς.[8] **15** Καὶ εὐθέως[9] πᾶς ὁ ὄχλος ἰδὼν[10] αὐτὸν ἐξεθαμβήθη,[11] καὶ προστρέχοντες ἠσπάζοντο αὐτόν. **16** Καὶ ἐπηρώτησεν τοὺς γραμματεῖς,[12] «Τί συζητεῖτε πρὸς αὐτούς;»[13] **17** Καὶ ἀποκριθεὶς[14] εἷς ἐκ τοῦ ὄχλου εἶπεν·[15] «Διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρός σε, ἔχοντα πνεῦμα ἄλαλον. **18** Καὶ ὅπου ἂν[16] αὐτὸν καταλάβῃ ῥήσσει αὐτόν, καὶ ἀφρίζει καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ,[17] καὶ ξηραίνεται. Καὶ εἶπον[18] τοῖς μαθηταῖς σου ἵνα αὐτὸ ἐκβάλωσιν, καὶ οὐκ ἴσχυσαν.» **19** Ὁ δὲ ἀποκριθεὶς αὐτῷ[19] λέγει·[20] «Ὦ γενεὰ ἄπιστος, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι, ἕως πότε ἀνέξομαι ὑμῶν; Φέρετε αὐτὸν πρός με.» **20** Καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν. Καὶ ἰδὼν[21] αὐτόν, εὐθέως τὸ πνεῦμα ἐσπάραξεν[22] αὐτόν, καὶ πεσὼν ἐπὶ τῆς γῆς ἐκυλίετο, ἀφρίζων. **21** Καὶ ἐπηρώτησεν τὸν πατέρα αὐτοῦ, «Πόσος χρόνος ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ;» Ὁ δὲ εἶπεν·[23] «Παιδιόθεν. **22** Καὶ πολλάκις αὐτὸν καὶ εἰς πῦρ[24] ἔβαλεν καὶ εἰς ὕδατα[25] ἵνα ἀπολέσῃ αὐτόν. Ἀλλ᾽ εἴ τι δύνασαι,[26] βοήθησον ἡμῖν σπλαγχνισθεὶς ἐφ᾽ ἡμᾶς.» **23** Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, «Τὸ εἰ

---

[1] διηγησωνται α ειδον **f**[35] A [92%] HF,RP,CP,TR,OC ¦ διηγησονται 23 N [5%] ¦ ~ 231 ℵB,C [2%] NU ¦ ~ 23 εξηγησονται W [1%] ¦ ~ 2 ειδωσαν 1 D

[2] αποκριθεις ειπεν **f**[35] A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ εφη ℵB,C [1%] NU

[3] αποκαθιστα **f**[35] N [97%] HF,RP,CP,TR,OC ¦ αποκαθιστανει A,W [2%] NU ¦ αποκατιστανει B ¦ αποκαταστανει (ℵ)D ¦ αποκαταστησει C [0.5%]

[4] εξουδενωθη **f**[35] A,C [97.5%] HF,RP,CP,TR,OC ¦ εξουθενωθη ℵ [0.5%] ¦ εξουδενηθη B,D [0.5%] NU ¦ εξουθενηθη N,W [1.5%]

[5] ηθελησαν **f**[35] A,N,W [99%] HF,RP,CP,TR,OC ¦ ηθελον ℵB,C,D [1%] NU

[6] ελθων **f**[35] A,C,D,N [99%] HF,RP,CP,TR,OC ¦ ελθοντες ℵB,W [1%] NU

[7] ειδεν **f**[35] A,C,D,N [99%] HF,RP,CP,TR,OC ¦ ειδον ℵW [1%] NU ¦ ειδαν B

[8] αυτοις **f**[35] A,D,N [98%] HF,RP,CP,TR,OC ¦ προς αυτους B,C,W [2%] NU ¦ προς εαυτους ℵ

[9] ευθεως **f**[35] A,D,N [97%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C,W [3%] NU

[10] ιδων **f**[35] A,N [96%] HF,RP,CP,TR ¦ ιδοντες ℵB,C(D)W [4%] OC,NU

[11] εξεθαμβηθη **f**[35] A,N [96%] HF,RP,CP,TR ¦ εξεθαμβηθησαν ℵB,C,W [4%] OC,NU ¦ εθαμβησαν D

[12] τους γραμματεις **f**[35] A,C,N [97%] HF,RP,CP,TR,OC ¦ αυτους ℵB,D,W [3%] NU

[13] αυτους **f**[35] B,C,N [97%] HF,RP,TR,NU (some minuscules have aspiration) ¦ εαυτους ℵA,W [2.5%] CP,OC ¦ αλληλους [0.5%] ¦ υμειν D ¦ two other variants

[14] αποκριθεις **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ 1 αυτω C(W) [2%] ¦ απεκριθη αυτω ℵB,D [1%] NU

[15] ειπεν **f**[35] A,C,N(W) [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D [1%] NU

[16] αν **f**[35] C,D,N,W [97%] HF,RP,CP,TR,OC ¦ εαν A,B [2%] NU ¦ --- ℵ [1%]

[17] αυτου **f**[35] A,N [95%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,D,W [5%] NU

[18] ειπον *rell* ¦ ειπα ℵB,W [3%] NU

[19] αυτω **f**[35] (N) [95%] HF,RP,CP,TR,OC ¦ αυτοις (𝔓[45])ℵA,B,D(W) [4%] NU ¦ --- C [1%]

[20] λεγει *rell* ¦ ειπεν 𝔓[45] [0.5%] CP

[21] ιδον **f**[35] [30%] ¦ ιδων *rell* (It was the demon that saw Him, so the gender is neuter.)

[22] ευθεως το πνευμα εσπαραξεν **f**[35] 𝔓[45]A,N,W [98%] HF,RP,CP,TR,OC ¦ ~ 23 ευθυς συνεσπαραξεν ℵB,C [1%] NU ¦ 23 εταραξεν D ¦ three other variants

[23] ειπεν **f**[35] A [95%] HF,RP,CP,TR,OC ¦ 1 εκ ℵB,C,D,N,W [5%] NU

[24] αυτον και εις πυρ **f**[35] N [47%] TR,OC ¦ 123 το 4 A [50%] HF,RP,CP ¦ ~ 2341 ℵB,C [1%] NU ¦ 134 𝔓[45]W [1%] ¦ ~ 1342 D ¦ three other variants

[25] υδατα *rell* ¦ το υδωρ CP

[26] δυνασαι **f**[35] A,C,N [97%] HF,RP,CP,TR,OC ¦ δυνη 𝔓[45]ℵB,D,W [3%] NU

δύνασαι[1] πιστεῦσαι·[2] πάντα δυνατὰ τῷ πιστεύοντι.» **24** Καὶ εὐθέως[3] κράξας ὁ πατὴρ τοῦ παιδίου, μετὰ δακρύων,[4] ἔλεγεν, «Πιστεύω, Κύριε·[5] βοήθει μου τῇ ἀπιστίᾳ.»

25 Ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπισυντρέχει ὁ[6] ὄχλος, ἐπετίμησεν τῷ πνεύματι τῷ ἀκαθάρτῳ, λέγων αὐτῷ, «Τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφόν,[7] ἐγώ σοι ἐπιτάσσω,[8] ἔξελθε ἐξ αὐτοῦ καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν.» **26** Καὶ κράξαν[9] καὶ πολλὰ σπαράξαν[10] αὐτὸν[11] ἐξῆλθεν. Καὶ ἐγένετο ὡσεὶ νεκρός· ὥστε[12] πολλοὺς λέγειν ὅτι ἀπέθανεν. **27** Ὁ δὲ Ἰησοῦς κρατήσας αὐτὸν τῆς χειρὸς[13] ἤγειρεν αὐτόν, καὶ ἀνέστη. **28** Καὶ εἰσελθόντα αὐτὸν[14] εἰς οἶκον, οἱ μαθηταὶ αὐτοῦ ἐπηρώτων αὐτὸν κατ᾽ ἰδίαν,[15] «Ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό;» **29** Καὶ εἶπεν αὐτοῖς, «Τοῦτο τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.»[16]

Jesus predicts His death again

30 Καὶ ἐκεῖθεν[17] ἐξελθόντες παρεπορεύοντο διὰ τῆς Γαλιλαίας, καὶ οὐκ ἤθελεν ἵνα τις γνῷ·[18] **31** ἐδίδασκεν γὰρ τοὺς μαθητὰς αὐτοῦ καὶ ἔλεγεν αὐτοῖς ὅτι, «Ὁ Υἱὸς τοῦ Ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν· καὶ ἀποκτανθεὶς τῇ τρίτῃ ἡμέρᾳ[19] ἀναστήσεται.» **32** Οἱ δὲ ἠγνόουν τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι.

About humility

33 Καὶ ἦλθεν[20] εἰς Καπερναούμ·[21] καὶ ἐν τῇ οἰκίᾳ γενόμενος ἐπηρώτα αὐτούς, «Τί ἐν τῇ ὁδῷ πρὸς ἑαυτοὺς[22] διελογίζεσθε;» **34** Οἱ δὲ ἐσιώπων, πρὸς ἀλλήλους γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ τίς μείζων. **35** Καὶ καθίσας ἐφώνησεν τοὺς δώδεκα καὶ λέγει αὐτοῖς, «Εἴ τις θέλει πρῶτος εἶναι, ἔσται[23] πάντων ἔσχατος καὶ πάντων διάκονος.» **36** Καὶ λαβὼν παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν, καὶ ἐναγκαλισάμενος αὐτὸ εἶπεν αὐτοῖς, **37** «Ὃς ἐὰν[24] ἓν τῶν τοιούτων παιδίων[25] δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν[26] ἐμὲ δέξηται,[27] οὐκ ἐμὲ δέχεται ἀλλὰ τὸν ἀποστείλαντά με.»

---

[1] δυνασαι **f**[35] A,C [97%] HF,RP,CP,TR,OC ¦ δυνη **𝔓**[45]א B,D,N,W [3%] NU
[2] πιστευσαι **f**[35] A,D [97%] HF,RP,CP,TR,OC ¦ --- **𝔓**[45]א B,C,N,W [3%] NU
[3] και ευθεως **f**[35] **𝔓**[45v]A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ 1 א C ¦ ευθυς B [0.5%] NU ¦ ευθυς δε [0.5%]
[4] μετα δακρυων **f**[35] (D)N (98.9%) HF,RP,CP,TR,OC ¦ --- (**𝔓**[45])א A,B,C (1%) NU ¦ W is wild ¦ one other variant
[5] κυριε **f**[35] N [99%] HF,RP,CP,TR,OC ¦ --- א A,B,C,D,W [1%] NU
[6] ο **f**[35] א A,W [60%] ¦ --- B,C,D,N [40%] HF,RP,CP,TR,OC,NU
[7] το πνευμα το αλαλον και κωφον **f**[35] A,N [95%] HF,RP,CP,TR,OC ¦ ~ 34562 **𝔓**[45]א B,C,D,W [5%] NU
[8] σοι επιτασσω **f**[35] A,D,N [99%] HF,RP,CP,TR,OC ¦ ~ 21 א B,C,W [1%] NU
[9] κραξαν **f**[35] A,N [98.5%] HF,RP,CP,TR,OC ¦ κραξας א B,C,D,W [1.5%] NU
[10] σπαραξαν **f**[35] **𝔓**[45v]A,N [98.5%] HF,RP,CP,TR,OC ¦ σπαραξας א B,C,D,W [1.5%] NU
[11] αυτον **f**[35] א A,N [98.5%] HF,RP,CP,TR,OC ¦ --- **𝔓**[45v]B,C,D,W [1.5%] NU
[12] ωστε **f**[35] C,D,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ 1 τους א A,B [1.5%] NU
[13] αυτον της χειρος **f**[35] A,N [95%] HF,RP,TR,OC ¦ ~ 23 αυτου **𝔓**[45v]א B,D [5%] CP,NU ¦ 123 αυτου C ¦ 23 W
[14] εισελθοντα αυτον **f**[35] A,N [95%] HF,RP,CP,TR,OC ¦ εισελθοντος αυτου א B,C,D,W [5%] NU ¦ εισελθοντι αυτω **𝔓**[45]
[15] επηρωτων αυτον κατ ιδιαν **f**[35] A,N [95%] HF,RP,CP,TR,OC ¦ ~ 3412 א(B,C) [3%] NU ¦ ~ 34 ηρωτων 2 D [1%] ¦ ~ 34 και επηρωτησαν 2 W [1%] ¦ και ηρωτησαν 2 **𝔓**[45]
[16] και νηστεια **f**[35] A,C,D,N,W (1,651 mss) HF,RP,CP,TR,OC ¦ --- א B (4 mss) NU
[17] και εκειθεν **f**[35] A,C,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ κακειθεν א B,D [1.5%] NU
[18] γνω **f**[35] A,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ γνοι א B,C,D [1.5%] NU
[19] τη τριτη ημερα **f**[35] A,N,W [99%] HF,RP,CP,TR,OC ¦ μετα τρεις ημερας א B,C,D [1%] NU
[20] ηλθεν **f**[35] A,C,N [97%] HF,RP,CP,TR,OC ¦ ηλθον א B,W [2%] NU ¦ εισηλθεν [1%] ¦ ηλθοσαν D
[21] καπερναουμ **f**[35] A,C,N [99%] HF,RP,CP,TR,OC ¦ καφαρναουμ א B,D,W [1%] NU
[22] προς εαυτους **f**[35] A,N(W) [99%] HF,RP,CP,TR,OC ¦ --- א B,C,D [1%] NU
[23] εσται **f**[35] א A,B,C,N (80.6%) HF,RP,CP,TR,OC,NU ¦ εστω (19.2%) ¦ εστε W (0.2%) ¦ --- D
[24] εαν **f**[35] N [95%] HF,RP,CP,TR,OC ¦ αν א A,B,C,D,W [5%] NU
[25] τοιουτων παιδιων *rell* ¦ ~ 21 (א C) [1%] CP
[26] εαν **f**[35] A,C,N [98%] HF,RP,CP,TR,OC ¦ αν B,D,W [2%] NU ¦ --- א
[27] δεξηται **f**[35] A,C,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ δεχηται B [0.5%] NU ¦ δεχετε א

Either for, or against

38 Ἀπεκρίθη δὲ[1] αὐτῷ ὁ[2] Ἰωάννης, λέγων,[3] «Διδάσκαλε, εἴδομέν τινα[4] τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, ὃς οὐκ ἀκολουθεῖ ἡμῖν·[5] καὶ ἐκωλύσαμεν[6] αὐτόν, ὅτι οὐκ ἀκολουθεῖ[7] ἡμῖν.»[8] **39** Ὁ δὲ Ἰησοῦς εἶπεν· «Μὴ κωλύετε αὐτόν, οὐδεὶς γάρ ἐστιν ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί μου καὶ δυνήσεται ταχὺ κακολογῆσαί με. **40** Ὃς γὰρ οὐκ ἔστιν καθ᾽ ὑμῶν,[9] ὑπὲρ ὑμῶν[10] ἐστιν. **41** Ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος ἐν[11] ὀνόματί μου,[12] ὅτι Χριστοῦ ἐστέ, ἀμὴν λέγω ὑμῖν,[13] οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

About offenses

42 »Καὶ ὃς ἐὰν[14] σκανδαλίσῃ ἕνα τῶν μικρῶν[15] τῶν πιστευόντων εἰς ἐμέ,[16] καλόν ἐστιν αὐτῷ μᾶλλον εἰ περίκειται λίθος μυλικὸς[17] περὶ τὸν τράχηλον αὐτοῦ καὶ βέβληται εἰς τὴν θάλασσαν. **43** Καὶ ἐὰν σκανδαλίζῃ σε ἡ χείρ σου, ἀπόκοψον αὐτήν· καλόν σοί ἐστιν[18] κυλλὸν εἰς τὴν ζωὴν εἰσελθεῖν[19] ἢ τὰς δύο χεῖρας ἔχοντα ἀπελθεῖν εἰς τὴν Γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον **44**—ὅπου ‹ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται.›[20] **45** Καὶ ἐὰν ὁ πούς σου σκανδαλίζῃ σε, ἀπόκοψον αὐτόν· καλόν ἐστίν σοι[21] εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν ἢ τοὺς δύο πόδας ἔχοντα βληθῆναι εἰς τὴν Γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον **46**—ὅπου ‹ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται.›[22] **47** Καὶ ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔκβαλε αὐτόν· καλόν σοί[23] ἐστιν μονόφθαλμον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ ἢ[24] δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι[25] εἰς τὴν Γέενναν τοῦ πυρός[26] **48**—ὅπου ‹ὁ σκώληξ[27] οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται.›

49 »Πᾶς γὰρ πυρὶ ἁλισθήσεται, καὶ πᾶσα θυσία ἁλὶ ἁλισθήσεται.[28] **50** Καλὸν τὸ ἅλας, ἐὰν δὲ

---

[1] απεκριθη δε **f**[35] A,N [97%] HF,RP,CP,TR ¦ εφη ℵB [1%] NU ¦ και αποκριθεις W [1%] ¦ 1 D [1%] OC ¦ αποκριθεις 2 εφη C

[2] ο **f**[35] ℵB,C,W [45%] CP,TR,OC,NU ¦ --- A,D,N [55%] HF,RP

[3] λεγων **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ ειπεν D,W [1%] ¦ λεγει [1%] ¦ --- ℵB,C [1%] NU

[4] τινα **f**[35] A [89%] HF,RP,CP,TR ¦ 1 εν ℵB,C,D,N,W [10%] OC,NU ¦ 1 επι [1%]

[5] ος ουκ ακολουθει ημιν **f**[35] A(D)N,W (98.4%) HF,RP,CP,TR,OC ¦ --- ℵB,C (1.5%) NU ¦ long omission (0.1%)

[6] εκωλυσαμεν **f**[35] A,C,N,W (90%) HF,RP,CP,TR,OC ¦ εκωλυομεν ℵB,D (1.7%) NU ¦ --- (8.3%) part of a larger omission

[7] ακολουθει **f**[35] A,C,N (85.4%) HF,RP,CP,TR,OC ¦ ηκολουθει ℵB,D (1.7%) NU ¦ omit four words D,W (4.6%) ¦ --- (8.3%) part of a larger omission

[8] και εκωλυσαμεν αυτον οτι ουκ ακολουθει ημιν *rell* ¦ --- (8.3%) [Obvious homoioteleuton]

[9] υμων **f**[35] A,D,N [90%] HF,RP,CP,TR,OC ¦ ημων ℵB,C,W [10%] NU,some TRs

[10] υμων **f**[35] A,D,N [88%] HF,RP,CP,TR,OC ¦ ημων ℵB,C,W [12%] NU,some TRs

[11] εν **f**[35] ℵA,B,C,N,W (81.8%) HF,RP,CP,NU ¦ 1 τω D (18%) TR,OC ¦ --- (0.2%)

[12] μου **f**[35] ℵD,W (95.1%) HF,RP,CP,TR,OC ¦ --- A,B,C,N (4.9%) NU

[13] υμιν **f**[35] A,N [98%] HF,RP,CP,TR,OC ¦ 1 οτι ℵB,C,D,W [2%] NU

[14] εαν **f**[35] A,C [90%] HF,RP,CP ¦ αν ℵB,D,N,W [10%] TR,OC,NU

[15] μικρων **f**[35] [85%] HF,RP,TR ¦ 1 τουτων ℵA,B,C,D,N [15%] CP,OC,NU ¦ 1 μου W

[16] εις εμε **f**[35] A,B,N,W [99.5%] HF,RP,CP,TR,OC[NU] ¦ --- ℵC,D [0.5%]

[17] λιθος μυλικος **f**[35] A,N [96%] HF,RP,CP,TR,OC ¦ μυλος ονικος ℵB,C,D [3%] NU ¦ ~ μυλωνικος 1 [1%] ¦ μυλον ονικον W

[18] σοι εστιν **f**[35] A,N,W [97%] HF,RP,CP,TR,OC ¦ ~ 2 σε ℵB,C [3%] NU ¦ ~ 21 D

[19] εις την ζωην εισελθειν **f**[35] N(W) [98%] HF,RP,CP,TR,OC ¦ ~ 4123 ℵA,B,C,D [2%] NU

[20] verse 44 **f**[35] A,D,N [96%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,W [4%] NU

[21] εστιν σοι **f**[35] N [70%] HF,RP,CP,TR ¦ 1 σε ℵA,B,C [28%] NU ¦ ~ 21 D,W [2%] OC

[22] εις το πυρ το ασβεστον οπου ο σκωληξ αυτων ου τελευτα και το πυρ ου σβεννυται **f**[35] A,D,N [96%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,W [4%] NU

[23] σοι **f**[35] A,C,D,N [98%] HF,RP,CP,TR,OC ¦ σε ℵB [1%] NU ¦ --- W [1%]

[24] η *rell* ¦ 1 τους D [1%] OC

[25] βληθηναι *rell* ¦ απελθειν D [1%] OC

[26] του πυρος **f**[35] A,C,N (97.3%) HF,RP,CP,TR,OC ¦ --- ℵB,D,W (1.5%) NU ¦ εις το πυρ (0.5%) ¦ long omissions (0.7%)

[27] σκωληξ **f**[35] [30%] ¦ 1 αυτων ℵA,B,C,D,N,W [70%] HF,RP,CP,TR,OC,NU

[28] και πασα θυσια αλι αλισθησεται **f**[35] A,C(D)N (88.5%) HF,RP,CP,TR,OC ¦ 1235 (4.4%) ¦ --- (ℵ)B(W) (7%) NU ¦ one other variant

τὸ ἅλας ἄναλον γένηται, ἐν τίνι αὐτὸ ἀρτύσετε; Ἔχετε ἐν ἑαυτοῖς ἅλας,[1] καὶ εἰρηνεύετε ἐν ἀλλήλοις.»

Down with divorce!

10:1 Κἀκεῖθεν[2] ἀναστὰς ἔρχεται εἰς τὰ ὅρια τῆς Ἰουδαίας, διὰ τοῦ[3] πέραν τοῦ Ἰορδάνου. Καὶ συμπορεύονται πάλιν ὄχλοι πρὸς αὐτόν, καὶ ὡς εἰώθει πάλιν ἐδίδασκεν αὐτούς. **2** Καὶ προσελθόντες[4] Φαρισαῖοι ἐπηρώτησαν[5] αὐτόν, «Εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα ἀπολῦσαι;» πειράζοντες αὐτόν. **3** Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, «Τί ὑμῖν ἐνετείλατο Μωσῆς;»[6] **4** Οἱ δὲ εἶπον, «Μωσῆς ἐπέτρεψεν[7] βιβλίον ἀποστασίου γράψαι καὶ ἀπολῦσαι.» **5** Καὶ ἀποκριθεὶς ὁ[8] Ἰησοῦς εἶπεν αὐτοῖς· «Πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν ἐντολὴν ταύτην. **6** Ἀπὸ δὲ ἀρχῆς κτίσεως, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς ὁ Θεός.[9,10] **7** ‹Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ,[11] καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.› **8** Ὥστε οὐκέτι εἰσὶν δύο ἀλλὰ σὰρξ μία.[12] **9** Ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.»

10 Καὶ ἐν τῇ οἰκία[13] πάλιν οἱ μαθηταὶ αὐτοῦ[14] περὶ τοῦ αὐτοῦ[15] ἐπηρώτησαν[16] αὐτόν. **11** Καὶ λέγει αὐτοῖς, «Ὃς ἐὰν[17] ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ καὶ γαμήσῃ ἄλλην μοιχᾶται ἐπ᾽ αὐτήν· **12** καὶ ἐὰν γυνὴ ἀπολύσῃ[18] τὸν ἄνδρα αὐτῆς[19] καὶ γαμηθῇ ἄλλῳ,[20] μοιχᾶται.»

Jesus blesses little children

13 Καὶ προσέφερον αὐτῷ παιδία, ἵνα ἅψηται αὐτῶν·[21] οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν.[22] **14** Ἰδὼν δὲ ὁ Ἰησοῦς ἠγανάκτησεν καὶ εἶπεν αὐτοῖς· «Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με·[23] μὴ κωλύετε αὐτά, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. **15** Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν[24] μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.» **16** Καὶ ἐναγκαλισάμενος αὐτά, τιθεὶς τὰς χεῖρας ἐπ᾽ αὐτά, εὐλόγει αὐτά.[25]

---

[1] αλας **f**[35] C,N [98%] HF,RP,CP,TR,OC ¦ αλα ℵA,B,D,W [2%] NU

[2] κακειθεν **f**[35] A,N [95%] HF,RP,TR ¦ και εκειθεν ℵB,C,D,W [5%] CP,OC,NU

[3] δια του **f**[35] A,N (84.7%) HF,RP,CP,TR,OC ¦ 1 το (1%) ¦ και ℵB,C (0.7%) NU ¦ εις το (0.5%) ¦ --- D,W (12.8%) ¦ three other variants (0.2%)

[4] προσελθοντες **f**[35] A,B (56.4%) HF,RP,CP,NU ¦ 1 οι ℵC,N(W) (43.5%) TR,OC ¦ --- D (0.1%)

[5] επηρωτησαν **f**[35] A,N,W [97%] HF,RP,TR ¦ επηρωτων ℵB,D [3%] CP,OC,NU ¦ επηρουν C ¦ one other variant

[6] μωσης **f**[35] A,C [80%] HF,RP,CP,TR ¦ μωυσης ℵB,D,N,W [20%] OC,NU (twice)

[7] μωσης επετρεψεν **f**[35] A,N,W [98.5%] HF,RP,CP,TR ¦ ~ 21 ℵB,C,D [1.5%] OC,NU

[8] και αποκριθεις ο **f**[35] A,D,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ ο δε ℵB,C [1.5%] NU

[9] ο θεος **f**[35] A,N(D,W) [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C [1%] NU

[10] θεος *rell* ¦ 1 και ειπεν D,N,W [5%] CP

[11] και προσκολληθησεται προς την γυναικα αυτου **f**[35] D,W [98%] HF,RP,CP,TR,OC[NU] ¦ 12 τη γυναικι 6 A,N [1.5%] ¦ 12 γυγυναικι 6 C ¦ --- ℵB [0.5%]

[12] σαρξ μια **f**[35] ℵA,C,W [35%] ¦ ~ 21 B,D,N [65%] HF,RP,CP,TR,OC,NU

[13] εν τη οικια **f**[35] A,C,N,W [99%] HF,RP,CP,TR ¦ εις την οικιαν ℵB,D [1%] OC,NU

[14] αυτου **f**[35] A,D,N(W) [98%] HF,RP,CP,TR ¦ --- ℵB,C [2%] OC,NU

[15] του αυτου **f**[35] (D) [80%] HF,RP,CP,TR ¦ τουτου A,B,C,N [18%] OC,NU ¦ 2 [1%] ¦ τουτων ℵ ¦ --- W [1%]

[16] επηρωτησαν **f**[35] A,D,N(W) [98%] HF,RP,CP,TR ¦ επηρωτων ℵB [2%] OC,NU ¦ επηρωτουν C

[17] εαν **f**[35] A,N,W [98%] HF,RP,CP,TR ¦ αν ℵB,C,D [2%] OC,NU

[18] γυνη απολυση **f**[35] A,N(W) (96.3%) HF,RP,CP,TR ¦ 1 απολυσασα (1.8%) OC ¦ 1 εξελθη D (0.9%) ¦ αυτη απολυσασα ℵB,C (0.6%) NU ¦ two other variants (0.2%) ¦ long omissions (0.2%)

[19] αυτης *rell* ¦ --- OC

[20] και γαμηθη αλλω **f**[35] A,N (95.9%) HF,RP,CP,TR ¦ γαμηση αλλον ℵB(D) (0.4%) NU ¦ 23 (1%) OC ¦ 12 (0.3%) ¦ 1 γαμηση 3 (0.5%) ¦ 1 γαμηση αλλον (D)W (1.5%) ¦ γαμηση 3 C (0.1%) ¦ 1 κοιμηθη 3 (0.3%) ¦ long omissions (0.2%)

[21] αψηται αυτων **f**[35] A,D,N,W (93.3%) HF,RP,CP,TR ¦ ~ 21 ℵB,C (6.7%) OC,NU

[22] επετιμων τοις προσφερουσιν **f**[35] A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ επετιμησαν αυτοις ℵB,C [1%] NU

[23] με **f**[35] B(N,W) [75%] HF,RP,CP,NU ¦ 1 και ℵA,C,D [25%] TR,OC

[24] εαν **f**[35] A,N [96%] HF,RP,CP,TR,OC ¦ αν ℵB,C,D,W [4%] NU

[25] τιθεις τας χειρας επ αυτα ευλογει αυτα **f**[35] A(D,W) [88.5%] HF,RP ¦ 12345 ηυλογει 7 (N) [10%] CP,TR ¦ ~ κατευλογει 12345 ℵB,C [1.5%] NU ¦ ~ κατηυλογει 12345 OC (each verb has at least five variants)

A rich young man

17 Καὶ ἐκπορευομένου αὐτοῦ εἰς ὁδόν,[1] προσδραμών τις[2] καὶ γονυπετήσας αὐτὸν ἐπηρώτα αὐτόν, «Διδάσκαλε ἀγαθέ, τί ποιήσω ἵνα ζωὴν αἰώνιον κληρονομήσω;» **18** Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· «Τί με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς, ὁ Θεός. **19** Τὰς ἐντολὰς οἶδας· Μὴ μοιχεύσῃς, Μὴ φονεύσῃς,[3] Μὴ κλέψῃς, Μὴ ψευδομαρτυρήσῃς, Μὴ ἀποστερήσῃς,[4] Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα.»[5] **20** Ὁ δὲ ἀποκριθεὶς εἶπεν[6] αὐτῷ, «Διδάσκαλε, ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου.»[7] **21** Ὁ δὲ Ἰησοῦς, ἐμβλέψας αὐτῷ, ἠγάπησεν αὐτόν, καὶ εἶπεν αὐτῷ·[8] «Ἕν σοι[9] ὑστερεῖ·[10] ὕπαγε, ὅσα ἔχεις πώλησον καὶ δὸς[11] πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο, ἀκολούθει μοι, ἄρας τὸν σταυρόν.»[12] **22** Ὁ δὲ στυγνάσας ἐπὶ τῷ λόγῳ ἀπῆλθεν λυπούμενος, ἦν γὰρ ἔχων κτήματα πολλά.

23 Καὶ περιβλεψάμενος ὁ Ἰησοῦς λέγει τοῖς μαθηταῖς αὐτοῦ, «Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελεύσονται.» **24** Οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ. Ὁ δὲ Ἰησοῦς πάλιν ἀποκριθεὶς λέγει αὐτοῖς· «Τέκνα, πῶς δύσκολόν ἐστιν τοὺς πεποιθότας ἐπὶ χρήμασιν[13] εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. **25** Εὐκοπώτερόν γὰρ[14] ἐστιν κάμηλον διὰ[15] τρυμαλιᾶς τῆς[16] ῥαφίδος εἰσελθεῖν[17] ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν.» **26** Οἱ δὲ περισσῶς ἐξεπλήσσοντο, λέγοντες πρὸς ἑαυτούς, «Καὶ τίς δύναται σωθῆναι;» **27** Ἐμβλέψας δὲ[18] αὐτοῖς ὁ Ἰησοῦς λέγει, «Παρὰ ἀνθρώποις ἀδύνατον, ἀλλ᾽ οὐ παρὰ[19] Θεῷ· πάντα γὰρ δυνατά ἐστιν[20] παρὰ τῷ Θεῷ.»

It pays to serve Jesus

28 Ἤρξατο δὲ[21] ὁ Πέτρος λέγειν αὐτῷ,[22] «Ἰδού, ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν[23] σοι.» **29** Ἀποκριθεὶς δὲ[24] ὁ Ἰησοῦς εἶπεν·[25] «Ἀμὴν λέγω ὑμῖν, οὐδείς ἐστιν ὃς ἀφῆκεν

---

[1] οδον *rell* ¦ 1 ιδου τις πλουσιος A,W [10%]
[2] τις **f**[35] [20%] CP ¦ εις ℵB,C,D,N [70%] HF,RP,TR,OC,NU ¦ --- A,W [10%]
[3] μοιχευσης μη φονευσης **f**[35] A,N,W (93.4%) HF,RP,CP,TR,OC ¦ ~ 321 B,C (4%) NU ¦ 1 (1.8%) ¦ 3 ℵ (0.3%) ¦ 12 πορνευσης D (0.4%) ¦ 12 πορνευσης 23 (0.2%)
[4] μη αποστερησης **f**[35] ℵA,C,D,N (83.9%) HF,RP,CP,TR,OC,NU ¦ --- B,W (16.1%)
[5] μητερα **f**[35] A,B,D (87.9%) HF,RP,CP,TR,OC,NU ¦ 1 σου ℵC,N,W (12.1%)
[6] αποκριθεις ειπεν **f**[35] A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ 1 εφη C ¦ εφη ℵB [1%] NU
[7] μου *rell* ¦ 1 τι ετι υστερω N(W) [10%]
[8] αυτω *rell* ¦ 1 ει θελεις τελειος ειναι N,W [10%]
[9] σοι **f**[35] A,D,N [98%] HF,RP,CP,TR ¦ σε ℵB,C,W [2%] OC,NU
[10] υστερει *rell* ¦ 1 ει θελεις τελειος ειναι [1%] OC
[11] δος **f**[35] A,B,N,W [80%] HF,RP,CP,OC ¦ 1 τοις ℵC,D [20%] TR[NU]
[12] αρας τον σταυρον **f**[35] A,N (96.1%) HF,RP,CP,TR ¦ 123 σου (W) (2.5%) OC ¦ --- ℵB,C,D (1.4%) NU
[13] τους πεποιθοτας επι χρημασιν **f**[35] A,C,N (92.1%) HF,RP,CP,OC ¦ 234 (1.5%) ¦ 123 χρηματα (0.9%) ¦ 123 τοις 4 D (4%) TR ¦ τοις πεποιθωσιν 3 τοις 4 (0.7%) ¦ οι τα χρηματα εχοντες (0.4%) ¦ πλουσιον W ¦ --- ℵB (5 mss) NU ¦ long omission (0.1%) (Is the omission not obviously inferior?)
[14] γαρ **f**[35] [20%] CP ¦ δε A ¦ --- ℵB,C(D)N,W [80%] HF,RP,TR,OC,NU
[15] δια **f**[35] ℵA,C,D,N,W [45%] OC ¦ 1 της B [55%] HF,RP,CP,TR[NU]
[16] της **f**[35] B [80%] HF,RP,CP,TR[NU] ¦ --- ℵA,C,D,N,W [20%] OC
[17] εισελθειν **f**[35] ℵA,N,W [90%] HF,RP,CP,TR,OC ¦ διελθειν B,C [10%] NU ¦ διελευσεται D
[18] δε **f**[35] A,D,N,W [99%] HF,RP,CP,TR ¦ --- ℵB,C [1%] OC,NU
[19] παρα **f**[35] ℵB,C,N [90%] HF,RP,CP,OC,NU ¦ 1 τω A,D,W [10%] TR
[20] εστιν **f**[35] A,N [98%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C(D)W [2%] NU
[21] δε **f**[35] N [50%] CP ¦ --- ℵA,B,C,W [30%] HF,RP,OC,NU ¦ ~ και D [20%] TR ¦ ουν [0.5%]
[22] ο πετρος λεγειν αυτω **f**[35] A(D)N [97.5%] HF,RP,CP,TR,OC ¦ ~ 3124 ℵB,C [1%] NU ¦ ~ 4312 W [1%] ¦ ~ 3412 [0.5%]
[23] ηκολουθησαμεν **f**[35] ℵA,N [99.5%] HF,RP,CP,TR,OC ¦ ηκολουθηκαμεν B,C,D,W [0.5%] NU
[24] αποκριθεις δε **f**[35] D [50%] HF,CP,TR,OC ¦ 1 A,W [20%] RP ¦ ~ και 1 C,N [29%] ¦ --- ℵB [1%] NU
[25] ο ιησους ειπεν **f**[35] A,C,N,W [99%] HF,RP,CP,TR,OC ¦ ~ εφη 12 B [0.5%] NU ¦ ~ εφη αυτω 12 ℵ ¦ 12 D ¦ one other variant

οἰκίαν ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα[1] ἢ γυναῖκα[2] ἢ τέκνα ἢ ἀγρούς, ἕνεκεν ἐμοῦ καὶ ἕνεκεν[3] τοῦ εὐαγγελίου, **30** ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα, νῦν ἐν τῷ καιρῷ τούτῳ—οἰκίας καὶ ἀδελφοὺς καὶ ἀδελφὰς καὶ πατέρα καὶ μητέρα[4] καὶ τέκνα καὶ ἀγρούς (μετὰ διωγμῶν)—καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον. **31** Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι καὶ[5] ἔσχατοι πρῶτοι.»

Jesus predicts His death a third time

32 Ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς Ἰεροσόλυμα, καὶ ἦν προάγων αὐτοὺς[6] ὁ Ἰησοῦς· καὶ ἐθαμβοῦντο, καὶ[7] ἀκολουθοῦντες ἐφοβοῦντο. Καὶ παραλαβὼν πάλιν τοὺς δώδεκα ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν, **33** ὅτι «Ἰδού, ἀναβαίνομεν εἰς Ἰεροσόλυμα, καὶ ὁ Υἱὸς τοῦ Ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσιν καὶ τοῖς γραμματεῦσιν·[8] καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν· **34** καὶ ἐμπαίξουσιν αὐτῷ, καὶ μαστι-γώσουσιν αὐτόν, καὶ ἐμπτύσουσιν αὐτῷ,[9] καὶ ἀποκτενοῦσιν αὐτόν.[10] Καὶ τῇ τρίτῃ ἡμέρᾳ[11] ἀναστήσεται.»

Selfish ambition rebuked

35 Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης, οἱ[12] υἱοὶ Ζεβεδαίου, λέγοντες,[13] «Διδάσ-καλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμεν[14] ποιήσῃς ἡμῖν.» **36** Ὁ δὲ εἶπεν αὐτοῖς, «Τί θέλετε ποιῆσαί με[15] ὑμῖν;» **37** Οἱ δὲ εἶπον[16] αὐτῷ, «Δὸς ἡμῖν ἵνα εἷς ἐκ δεξιῶν σου[17] καὶ εἷς ἐξ εὐωνύμων σου[18] καθίσωμεν ἐν τῇ δόξῃ σου.» **38** Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· «Οὐκ οἴδατε τί αἰτεῖσθε. Δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω, καὶ[19] τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι;» **39** Οἱ δὲ εἶπον[20] αὐτῷ, «Δυνάμεθα.» Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· «Τὸ μὲν[21] ποτήριον ὃ ἐγὼ πίνω πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε· **40** τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ[22] ἐξ εὐωνύμων μου[23] οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ᾽ οἷς ἡτοίμασται.»

41 Καὶ ἀκούσαντες οἱ δέκα ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου. **42** Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς[24] λέγει αὐτοῖς· «Οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν κατα-

---

[1] πατερα η μητερα **f**[35] ℵA,N [99%] HF,RP,CP,TR,OC ¦ ~ 321 B,C,W [1%] NU ¦ 3 D

[2] η γυναικα **f**[35] A,C,N (98.1%) HF,RP,CP,TR,OC ¦ --- ℵB,D,W (1.8%) NU ¦ two other variants (0.1%)

[3] ενεκεν **f**[35] C,N,W [90%] HF,RP,CP,OC,NU ¦ --- ℵA,B [10%] TR ¦ ενεκα D [0.5%]

[4] πατερα και μητερα **f**[35] [40%] OC ¦ πατερας 2 μητερας N [2%] ¦ μητερας B [55%] HF,RP,CP,TR,NU ¦ 3 A,C,D,W [3%] ¦ long omission ℵ

[5] και **f**[35] ℵA,D,W [70%] HF,RP,CP,OC ¦ 1 οι B,C,N [30%] TR[NU]

[6] αυτους *rell* ¦ αυτων CP ¦ αυτοις [2%]

[7] και **f**[35] A,N [96%] HF,RP,CP,TR,OC ¦ οι δε ℵB,C [2%] NU ¦ --- D,W [2%]

[8] και τοις γραμματευσιν **f**[35] A,B [40%] TR,NU ¦ 13 C,D,N,W [60%] HF,RP,CP,OC ¦ --- ℵ [0.5%]

[9] μαστιγωσουσιν αυτον και εμπτυσουσιν αυτω **f**[35] A,W [96%] HF,RP,CP,TR,OC ¦ ~ 45312 (ℵ)B,C [2%] NU ¦ 12 [1%] ¦ 1345 N ¦ ενπτυξουσιν 5 D [0.5%]

[10] αυτον **f**[35] A,C,N,W [98%] HF,RP,CP,TR,OC ¦ --- ℵB(D) [2%] NU

[11] τη τριτη ημερα **f**[35] A,N,W (99%) HF,RP,CP,TR,OC ¦ μετα τρεις ημερας ℵB,C,D (0.7%) NU ¦ long omission (0.3%)

[12] οι **f**[35] ℵD,W (67.3%) HF,RP,CP,TR,NU ¦ --- A,N (32.4%) OC ¦ 1 δυο B,C (0.3%)

[13] λεγοντες **f**[35] A,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ 1 αυτω ℵB,C(D) [1.5%] NU

[14] αιτησωμεν **f**[35] [93%] HF,RP,CP,TR,OC ¦ 1 σε (A)B,C [1%] NU ¦ σε 1 N [5%] ¦ σε ερωτησωμεν D [0.5%] ¦ σε αιτησωμεθα W ¦ long omission ℵ

[15] ποιησαι με **f**[35] A,N (90.7%) HF,RP,CP,TR,OC ¦ ~ 21 (0.9%) ¦ 1 W (2.5%) ¦ ποιησω C(D) (2.7%) ¦ ποιησω 2 (0.1%) ¦ ~ 2 ποιησω B (0.3%) [NU] ¦ ινα ποιησω (2.1%) ¦ long omissions ℵ (0.6%)

[16] ειπον *rell* ¦ ειπαν B,C,D [0.5%] NU ¦ long omission ℵ

[17] εκ δεξιων σου **f**[35] A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ ~ 312 ℵB,C [1%] NU

[18] εξ ευωνυμων σου **f**[35] A,C,N [98%] HF,RP,CP,TR,OC ¦ 12 D,W [1%] ¦ ~ 312 ℵ ¦ 1 αριστερων B [0.5%] NU

[19] και **f**[35] A [95%] HF,RP,CP,TR,OC ¦ η ℵB,C,D,N,W [5%] NU

[20] ειπον *rell* ¦ ειπαν ℵB,D,W [1%] NU ¦ λεγουσιν [0.5%]

[21] μεν **f**[35] A,D,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C [0.5%] NU

[22] και **f**[35] A,C,N [98.5%] HF,RP,CP,TR,OC ¦ η ℵB,D,W [1.5%] NU

[23] μου **f**[35] [35%] TR ¦ --- ℵA,B,C,D,N,W [65%] HF,RP,CP,OC,NU

[24] ο δε ιησους προσκαλεσαμενος αυτους **f**[35] A,N [98%] HF,RP,CP,TR,OC ¦ ~ και 4513 (ℵ)B,C,D [1.5%] NU ¦ 1234 [0.5%] ¦ 124 W

κυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν. **43** Οὐχ οὕτως δὲ ἔσται[1] ἐν ὑμῖν, ἀλλ᾽ ὃς ἐὰν[2] θέλῃ γενέσθαι μέγας[3] ἐν ὑμῖν, ἔσται ὑμῶν διάκονος,[4] **44** καὶ ὃς ἐὰν[5] θέλῃ ὑμῶν γενέσθαι[6] πρῶτος, ἔσται πάντων δοῦλος. **45** Καὶ γὰρ ὁ Υἱὸς τοῦ Ἀνθρώπου οὐκ ἦλθεν διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.»

Blind Bartimaeus

46 Καὶ ἔρχονται εἰς Ἰεριχώ.[7] Καὶ ἐκπορευομένου αὐτοῦ ἀπὸ Ἰεριχώ, καὶ τῶν μαθητῶν αὐτοῦ καὶ ὄχλου ἱκανοῦ,[8] υἱὸς Τιμαίου, Βαρτιμαῖος ὁ[9] τυφλός, ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν.[10] **47** Καὶ ἀκούσας ὅτι Ἰησοῦς ὁ Ναζωραῖός ἐστιν,[11] ἤρξατο κράζειν καὶ λέγειν, «Ὁ υἱὸς[12] Δαυίδ, Ἰησοῦ, ἐλέησόν με.» **48** Καὶ ἐπετίμων αὐτῷ πολλοὶ ἵνα σιωπήσῃ, ὁ δὲ πολλῷ μᾶλλον ἔκραζεν, «Υἱὲ Δαυίδ, ἐλέησόν με.» **49** Καὶ στὰς ὁ Ἰησοῦς εἶπεν αὐτὸν φωνηθῆναι.[13] Καὶ φωνοῦσιν τὸν τυφλόν, λέγοντες αὐτῷ, «Θάρσει, ἔγειραι,[14] φωνεῖ σε.» **50** Ὁ δὲ ἀποβαλὼν τὸ ἱμάτιον αὐτοῦ, ἀναστὰς[15] ἦλθεν πρὸς τὸν Ἰησοῦν. **51** Καὶ ἀποκριθεὶς λέγει αὐτῷ ὁ Ἰησοῦς,[16] «Τί θέλεις ποιήσω σοί;»[17] Ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ, «Ῥαβουνί,[18] ἵνα ἀναβλέψω.» **52** Ὁ δὲ[19] Ἰησοῦς εἶπεν αὐτῷ, «Ὕπαγε· ἡ πίστις σου σέσωκέν σε.» Καὶ εὐθέως[20] ἀνέβλεψεν, καὶ ἠκολούθησεν[21] τῷ Ἰησοῦ[22] ἐν τῇ ὁδῷ.

The last week

The ‘triumphal’ entry—Sunday, 03/31/30 AD

11:1 Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἰερουσαλήμ,[23] εἰς Βηθσφαγῆ[24] καὶ Βηθανίαν, πρὸς τὸ Ὄρος τῶν Ἐλαιῶν, ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ **2** καὶ λέγει αὐτοῖς· «Ὑπάγετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν· καὶ εὐθέως[25] εἰσπορευόμενοι εἰς αὐτὴν εὑρήσετε πῶλον δεδεμένον, ἐφ᾽ ὃν

---

[1] εσται **f**[35] A,N (97.5%) HF,RP,CP,TR,OC ¦ εστιν ℵB,C(D,W) (1.6%) [NU] ¦ εστε (0.8%) ¦ two other variants
[2] εαν **f**[35] A,C [97%] HF,RP,CP,TR,OC ¦ αν ℵB,D(W) [3%] NU (N vacant)
[3] γενεσθαι μεγας **f**[35] A [95%] HF,RP,CP,TR,OC ¦ ~ 21 ℵB,C(W) [5%] NU ¦ ~ 2 ειναι D
[4] υμων διακονος **f**[35] ℵA,B,C,D,W [98%] HF,RP,CP,OC,NU ¦ ~ 21 [2%] TR
[5] εαν **f**[35] A,C [85%] HF,RP,CP,OC ¦ αν ℵB,D,W [15%] TR,NU
[6] υμων γενεσθαι **f**[35] A [95%] HF,RP,CP,TR,OC ¦ εν υμιν ειναι ℵB,C [2%] NU ¦ ~ 21 [2%] ¦ 1 ειναι D,W [1%]
[7] ιεριχω **f**[35] OC ¦ ιεριχω HF,RP,CP,TR,NU (twice)
[8] ικανου **f**[35] A [90%] HF,RP,CP,TR ¦ 1 ο ℵB,C,D,W [10%] OC,NU
[9] ο **f**[35] A,C [98%] HF,RP,CP,TR ¦ --- ℵB,D,W [2%] OC,NU
[10] εκαθητο παρα την οδον προσαιτων **f**[35] A,W (99%) HF,RP,CP,TR,OC ¦ 1234 C (0.2%) ¦ ~ (+και ℵ) προσαιτης 1234 (ℵ)B (0.5%) NU ¦ 1234 επαιτων D (0.2%) ¦ two other variants
[11] ο ναζωραιος εστιν **f**[35] ℵA,C (98.5%) HF,RP,CP,TR,OC ¦ 1 ναζωρηνος 3 (0.4%) ¦ 1 ναζαρηνος 3 (D)W (1.1%) NU ¦ ~ 31 ναζαρηνος B ¦ one other variant
[12] ο υιος **f**[35] A,W [97%] HF,RP,CP,TR ¦ 2 D [1.5%] ¦ υιε ℵB,C [1.5%] OC,NU
[13] αυτον φωνηθηναι **f**[35] A,D,W [96.5%] HF,RP,CP,TR ¦ αυτω 2 [1%] ¦ ~ 21 [1%] ¦ ~ φωνησατε 1 ℵB,C [1.5%] OC,NU
[14] εγειραι **f**[35] [70%] HF,RP,CP,TR ¦ εγειρε ℵA,B,C,D,W [28%] OC,NU ¦ εγειρου [2%]
[15] αναστας **f**[35] A,C,W [98.5%] HF,RP,CP,TR,OC ¦ αναπηδησας ℵB,D [1.5%] NU
[16] λεγει αυτω ο ιησους **f**[35] A,W [95%] HF,RP,CP,TR,OC ¦ ~ 234 ειπεν ℵB,C,D [1.5%] NU ¦ ~ 3412 [3%] ¦ two other variants [0.5%]
[17] θελεις ποιησω σοι **f**[35] A,D,W [96%] HF,RP,CP,TR ¦ ~ 312 ℵB,C [4%] OC,NU
[18] ραβουνι **f**[35] [35%] CP ¦ ραββουνι ℵA,W [59%] HF,RP,OC,NU ¦ ραββονι [5%] TR ¦ ραββουνει B,C [0.5%] ¦ κυριε ραββει D ¦ two other variants [0.5%]
[19] ο δε **f**[35] ℵA,C,D(W) [99%] HF,RP,CP,TR ¦ ~ και 1 B [1%] OC,NU
[20] ευθεως **f**[35] A,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB [1%] NU
[21] ηκολουθησεν **f**[35] [30%] CP ¦ ηκολουθει ℵA,B,C,D,W [69%] HF,RP,TR,OC,NU ¦ ηκολουθη [1%]
[22] τω ιησου **f**[35] [95%] HF,RP,CP,TR,OC ¦ αυτω ℵA,B,C,D,W [5%] NU
[23] ιερουσαλημ **f**[35] A [90%] HF,RP,CP,TR,OC ¦ ιεροσαλυμα ℵB,C,D,W [10%] NU
[24] βηθσφαγη **f**[35] [70%] HF,RP,CP,OC ¦ βηθφαγη ℵA,C,W [30%] TR,NU ¦ βηδφαγη B ¦ --- D
[25] ευθεως **f**[35] A,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB [1%] NU

οὐδεὶς ἀνθρώπων[1] κεκάθικεν. Λύσαντες αὐτὸν ἀγάγετε.[2] **3** Καὶ ἐάν τις ὑμῖν εἴπῃ, ‹Τί ποιεῖτε τοῦτο;› εἴπατε ὅτι[3] ‹Ὁ Κύριος αὐτοῦ χρείαν ἔχει,› καὶ εὐθέως[4] αὐτὸν ἀποστέλλει[5] ὧδε.»

4 Ἀπῆλθον δὲ[6] καὶ εὗρον τὸν[7] πῶλον δεδεμένον πρὸς τὴν[8] θύραν, ἔξω ἐπὶ τοῦ ἀμφόδου, καὶ λύουσιν αὐτόν. **5** Καί τινες τῶν ἐκεῖ ἑστώτων[9] ἔλεγον αὐτοῖς, «Τί ποιεῖτε, λύοντες τὸν πῶλον;» **6** Οἱ δὲ εἶπον[10] αὐτοῖς καθὼς ἐνετείλατο[11] ὁ Ἰησοῦς, καὶ ἀφῆκαν αὐτούς. **7** Καὶ ἤγαγον[12] τὸν πῶλον πρὸς τὸν Ἰησοῦν, καὶ ἐπέβαλον[13] αὐτῷ τὰ ἱμάτια αὐτῶν, καὶ ἐκάθισεν ἐπ᾽ αὐτῷ.[14] **8** Πολλοὶ δὲ[15] τὰ ἱμάτια αὐτῶν ἔστρωσαν εἰς τὴν ὁδόν, ἄλλοι δὲ στοιβάδας[16] ἔκοπτον[17] ἐκ τῶν δένδρων[18] καὶ ἐστρώννυον εἰς τὴν ὁδόν.[19] **9** Καὶ οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον, λέγοντες·[20] «Ὡσαννά.» «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.» **10** «Εὐλογημένη ἡ ἐρχο-μένη βασιλεία ἐν ὀνόματι Κυρίου[21] τοῦ πατρὸς ἡμῶν Δαυίδ.» «Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.»

11 Καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς, καὶ[22] εἰς τὸ ἱερόν. Καὶ περιβλεψάμενος πάντα, ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα.

A barren fig tree

12 Καὶ τῇ ἐπαύριον, ἐξελθόντων αὐτῶν ἀπὸ Βηθανίας, ἐπείνασεν. **13** Καὶ ἰδὼν συκῆν[23] μακρόθεν ἔχουσαν φύλλα, ἦλθεν εἰ ἄρα εὑρήσει τι[24] ἐν αὐτῇ. Καὶ ἐλθὼν ἐπ᾽ αὐτὴν οὐδὲν εὗρεν εἰ μὴ φύλλα, οὐ γὰρ ἦν καιρὸς[25] σύκων. **14** Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς[26] εἶπεν αὐτῇ, «Μηκέτι ἐκ σοῦ εἰς τὸν αἰῶνα[27] μηδεὶς καρπὸν φάγῃ.»[28] Καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ.

---

[1] ανθρωπων **f**[35] D [95%] HF,RP,CP,TR,OC ¦ 1 ουπω ℵC [1%] ¦ ουπω 1 B(W) [3%] NU ¦ πωποτε 1 A [0.5%]
[2] κεκαθικεν (-ηκεν 2%) λυσαντες αυτον αγαγετε **f**[35] A(D)(W) [99%] HF,RP,CP,TR,OC ¦ εκαθισεν λυσατε αυτον και φερετε ℵB,C [1%] NU
[3] οτι **f**[35] ℵA,C,D,W [99.5%] HF,RP,CP,TR,OC ¦ --- B [0.5%] NU
[4] ευθεως **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C,D [1%] NU
[5] αυτον αποστελλει **f**[35] A [83%] HF,RP,CP ¦ ~ 21 [1%] ¦ 1 αποστελει W [15%] TR ¦ 12 παλιν ℵD [0.5%] OC,NU ¦ ~ 2 παλιν 1 B ¦ παλιν 12 C
[6] απηλθον δε **f**[35] A,C,W [97%] HF,RP,CP,TR,OC ¦ 1 ουν [2%] ¦ ~ και 1 ℵB [0.5%] NU ¦ ~ και απελθοντες D [0.5%]
[7] τον **f**[35] ℵC [65%] TR,OC ¦ --- A,B,D,W [35%] HF,RP,CP,NU
[8] την **f**[35] ℵA,C,D [99%] HF,RP,CP,TR,OC ¦ --- B,W [1%] NU
[9] εστωτων **f**[35] W [30%] CP ¦ εστηκοτων ℵA,B,C,D [70%] HF,RP,TR,OC,NU
[10] ειπον *rell* ¦ ειπαν A [1%] NU
[11] ενετειλατο **f**[35] A [96%] HF,RP,CP,TR,OC ¦ ειπεν ℵB,C,W [4%] NU ¦ ειρηκει D
[12] ηγαγον **f**[35] A,D [96.5%] HF,RP,CP,TR,OC ¦ αγουσιν ℵC,W [3%] ¦ φερουσιν B [0.5%] NU
[13] επεβαλον **f**[35] A [96%] HF,RP,CP,TR,OC ¦ επιβαλλουσιν ℵB,C,D,W [4%] NU
[14] αυτω **f**[35] A,N,W [98%] HF,RP,CP,TR,OC ¦ αυτον ℵB,C,D [2%] NU
[15] πολλοι δε **f**[35] A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ ~ και 1 ℵB,C [1%] NU
[16] στοιβαδας **f**[35] A,C [70%] HF,RP,CP,TR,OC ¦ στιβαδας ℵB(D) [28%] NU ¦ στυβαδας N [1%] ¦ one other variant ¦ long omission W
[17] εκοπτον **f**[35] A,C,D,N (97.4%) HF,RP,CP,TR,OC ¦ κοψαντες ℵB (0.5%) NU ¦ long omissions W (2.1%)
[18] δενδρων **f**[35] A,D,N (97.2%) HF,RP,CP,TR,OC ¦ αγρων ℵB,C (0.6%) NU ¦ long omissions W (2.2%)
[19] και εστρωννυον εις την οδον **f**[35] A(D) (79.8%) HF,RP,CP,TR,OC ¦ 12 εν τη 5 N (17.5%) ¦ --- ℵB,C (0.6%) NU ¦ long omissions W (2.1%)
[20] λεγοντες **f**[35] A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C [1%] NU
[21] εν ονοματι κυριου **f**[35] A,N [95%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,D,W [5%] NU
[22] ο ιησους και **f**[35] A,N [96%] HF,RP,TR,OC ¦ 12 [2%] CP ¦ --- ℵB,C,W [1%] NU ¦ 3 D [1%]
[23] συκην **f**[35] [86%] HF,RP,CP,TR ¦ 1 απο A,B,C,N(D,W) [10%] OC,NU ¦ 1 μιαν απο ℵ [2%] ¦ 1 μιαν [2%]
[24] ευρησει τι **f**[35] [90%] HF,RP,CP,TR ¦ ~ 21 ℵA,B,C,N(W) [9%] OC,NU ¦ ευρησων 2 [0.5%] ¦ D is wild
[25] ου γαρ ην καιρος **f**[35] A [98%] HF,RP,CP,TR,OC ¦ 124 N ¦ ~ ο 24 ουκ 3 ℵB,C [1%] NU ¦ 123 ο 4 D,W [0.5%]
[26] ο ιησους **f**[35] (W) [90%] HF,RP,CP,TR ¦ --- ℵA,B,C,D,N [10%] OC,NU
[27] εκ σου εις τον αιωνα **f**[35] A,N [96%] HF,RP,CP,TR,OC ¦ ~ 34512 ℵB,C(D)W [4%] NU
[28] φαγη **f**[35] D,W [35%] CP ¦ φαγοι ℵA,B,C,N [65%] HF,RP,TR,OC,NU ¦ φαγει [0.5%]

Jesus 'purifies' the temple (2nd time)—Monday, 04/01/30 AD

15 Καὶ ἔρχονται[1] εἰς Ἰεροσόλυμα, καὶ εἰσελθὼν ὁ Ἰησοῦς[2] εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ[3] ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστερὰς κατέστρεψεν. **16** Καὶ οὐκ ἤφιεν ἵνα τις διενέγκῃ σκεῦος διὰ τοῦ ἱεροῦ. **17** Καὶ ἐδίδασκεν λέγων[4] αὐτοῖς· «Οὐ γέγραπται ὅτι ‹Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσιν τοῖς ἔθνεσιν›; Ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν[5] σπήλαιον λῃστῶν.»

18 Καὶ ἤκουσαν οἱ γραμματεῖς καὶ οἱ ἀρχιερεῖς,[6] καὶ ἐζήτουν πῶς αὐτὸν ἀπολέσουσιν·[7] ἐφοβοῦντο γὰρ αὐτόν, ὅτι πᾶς[8] ὁ ὄχλος ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. **19** Καὶ ὅτε[9] ὀψὲ ἐγένετο, ἐξεπορεύετο[10] ἔξω τῆς πόλεως.

How to drown a mountain

20 Καὶ πρωῒ παραπορευόμενοι,[11] εἶδον τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν. **21** Καὶ ἀναμνησθεὶς ὁ Πέτρος λέγει αὐτῷ· «Ῥαββί, ἴδε, ἡ συκῆ ἣν κατηράσω ἐξήρανται.» **22** Καὶ ἀποκριθεὶς ὁ[12] Ἰησοῦς λέγει αὐτοῖς· «Ἔχετε πίστιν Θεοῦ. **23** Ἀμὴν γὰρ[13] λέγω ὑμῖν ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ, ‹Ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν,› καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ ἀλλὰ πιστεύσῃ[14] ὅτι ἃ λέγει[15] γίνεται, ἔσται αὐτῷ ὃ ἐὰν εἴπῃ.[16] **24** Διὰ τοῦτο λέγω ὑμῖν, πάντα ὅσα ἂν[17] προσευχόμενοι[18] αἰτῆσθε,[19] πιστεύετε ὅτι λαμβάνετε,[20] καὶ ἔσται ὑμῖν.

25 »Καὶ ὅταν στήκητε[21] προσευχόμενοι, ἀφίετε, εἴ τι ἔχετε κατά τινος, ἵνα καὶ ὁ Πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν. **26** Εἰ δὲ ὑμεῖς οὐκ ἀφίετε, οὐδὲ ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς[22] ἀφήσει τὰ παραπτώματα ὑμῶν.»[23]

Jesus' authority questioned—Tuesday, 04/02/30 AD

27 Καὶ ἔρχονται πάλιν εἰς Ἰεροσόλυμα. Καὶ ἐν τῷ ἱερῷ περιπατοῦντος αὐτοῦ, ἔρχονται πρὸς αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι. **28** Καὶ λέγουσιν[24] αὐτῷ, «Ἐν ποίᾳ

---

[1] ερχονται *rell* ¦ 1 παλιν N [1%] OC
[2] ο ιησους **f**[35] A,N [96%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C(D)W [4%] NU
[3] και **f**[35] D [97%] HF,RP,CP,TR ¦ 1 τους ℵA,B,C,N [3%] OC,NU ¦ --- W
[4] λεγων **f**[35] A,D,N,W [98%] HF,RP,CP,TR,OC ¦ και ελεγεν ℵB,C [2%] NU
[5] εποιησατε αυτον **f**[35] ℵC(D)N,W [94%] HF,RP,CP,TR ¦ ~ 21 A [5%] OC ¦ πεποιηκατε 2 B [1%] NU
[6] γραμματεις και οι αρχιερεις **f**[35] N [94%] HF,RP,CP,TR ¦ ~ 4231 ℵA,B,C,D,W [6%] NU ¦ 123 φαρισαιοι 234 OC ¦ one other variant [0.5%]
[7] απολεσουσιν **f**[35] [35%] TR ¦ απολεσωσιν ℵA,B,C,D,N,W [65%] HF,RP,CP,OC,NU
[8] οτι πας **f**[35] A,D,N [97%] HF,RP,CP,TR,OC ¦ ~ 2 γαρ ℵB,C,W [3%] NU
[9] οτε **f**[35] A,D,N [96%] HF,RP,CP,TR,OC ¦ οταν ℵB,C,W [4%] NU
[10] εξεπορευετο **f**[35] ℵC,D,N [97%] HF,RP,CP,TR,OC ¦ εξεπορευοντο A,B(W) [3%] NU
[11] πρωι παραπορευομενοι **f**[35] A,N [97%] HF,RP,CP,TR ¦ ~ 21 B,C(D)W [3%] OC,NU ¦ ~ παρεπορευετο 1 ℵ
[12] ο *rell* ¦ --- [5%] TR
[13] γαρ **f**[35] A,C,W [96%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D,N [4%] NU
[14] πιστευση **f**[35] A,C,D,N,W [93.4%] HF,RP,TR ¦ πιστευσει [5%] OC ¦ πιστευη ℵB (0.7%) NU ¦ πιστευει (0.7%) CP ¦ four other variants (0.2%)
[15] α λεγει **f**[35] A,C,W (98%) HF,RP,CP,TR,OC ¦ ο 2 (0.2%) ¦ 1 λαλει (0.3%) ¦ 1 ειπη (0.1%) ¦ ο λαλει ℵB,N (1.1%) NU ¦ --- D (0.3%)
[16] ο εαν ειπη **f**[35] A(D)N (98%) HF,RP,CP,TR,OC ¦ οσα 23 (0.6%) ¦ οτι 23 (0.2%) ¦ --- ℵB,C,W (1.2%) NU
[17] αν **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ εαν N [1.5%] ¦ --- ℵB,C,D,W [1.5%] NU
[18] προσευχομενοι **f**[35] A,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ προσευχεσθε και ℵB,C,D [1.5%] NU
[19] αιτησθε **f**[35] [50%] HF,RP,CP ¦ αιτεισθε ℵA,B,C,D,N,W [48%] TR,OC,NU ¦ αιτησησθε [0.5%] ¦ αιτησητε [0.5%] ¦ three other readings
[20] λαμβανετε **f**[35] A,N (98.1%) HF,RP,CP,TR,OC ¦ ελαβετε ℵB,C,W (0.7%) NU ¦ ληψεσθε (0.5%) ¦ λημψεσθε D (0.2%) ¦ long omissions (0.5%)
[21] στηκητε **f**[35] B,N,W [90%] HF,RP,CP,TR,OC ¦ στηκετε A,C,D [10%] NU ¦ στητε ℵ
[22] ο εν τοις ουρανοις *rell* ¦ --- [1%] OC
[23] whole verse 26 **f**[35] A(C)(D)(N) [96%] HF,RP,CP,TR,OC ¦ --- ℵB,W [4%] NU (an easy case of homoioteleuton)
[24] λεγουσιν **f**[35] A,D,N [98%] HF,RP,CP,TR,OC ¦ ελεγον 𝔓[45v]ℵB,C,W [2%] NU

ἐξουσίᾳ ταῦτα ποιεῖς;» καὶ[1] «Τίς σοι τὴν ἐξουσίαν ταύτην ἔδωκεν[2] ἵνα ταῦτα ποιῇς;» **29** Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς[3] εἶπεν αὐτοῖς· «Ἐπερωτήσω ὑμᾶς καὶ ἐγὼ[4] ἕνα λόγον· καὶ ἀποκρίθητέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. **30** Τὸ βάπτισμα[5] Ἰωάννου· ἐξ οὐρανοῦ ἦν ἢ ἐξ ἀνθρώπων;»[6] **31** Καὶ ἐλογίζοντο[7] πρὸς ἑαυτούς, λέγοντες· «Ἐὰν εἴπωμεν, ‹Ἐξ οὐρανοῦ,› ἐρεῖ, ‹Διὰ τί οὖν[8] οὐκ ἐπιστεύσατε αὐτῷ;› **32** Ἀλλ᾽[9] εἴπωμεν, ‹Ἐξ ἀνθρώπων› »—ἐφοβοῦντο τὸν λαόν,[10] ἅπαντες γὰρ εἶχον τὸν Ἰωάννην ὅτι ὄντως[11] προφήτης ἦν. **33** Καὶ ἀποκριθέντες λέγουσιν τῷ Ἰησοῦ,[12] «Οὐκ οἴδαμεν.» Καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς[13] λέγει αὐτοῖς, «Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.»

Parable of wicked tenants

12:1 Καὶ ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λέγειν·[14] «Ἀμπελῶνα ἐφύτευσεν ἄνθρωπος[15]—καὶ περιέθηκεν φραγμὸν καὶ ὤρυξεν ὑπολήνιον καὶ ᾠκοδόμησεν πύργον—καὶ ἐξέδοτο[16] αὐτὸν γεωργοῖς καὶ ἀπεδήμησεν. **2** Καὶ ἀπέστειλεν πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον, ἵνα παρὰ τῶν γεωργῶν λάβῃ ἀπὸ τοῦ καρποῦ[17] τοῦ ἀμπελῶνος. **3** Οἱ δὲ[18] λαβόντες αὐτόν, ἔδειραν[19] καὶ ἀπέστειλαν κενόν. **4** Καὶ πάλιν ἀπέστειλεν πρὸς αὐτοὺς ἄλλον δοῦλον, κἀκεῖνον λιθοβολήσαντες[20] ἐκεφαλαίωσαν,[21] καὶ ἀπέστειλαν ἠτιμωμένον.[22] **5** Καὶ πάλιν[23] ἄλλον ἀπέστειλεν, κἀκεῖνον ἀπέκτειναν· καὶ πολλοὺς ἄλλους, τοὺς[24] μὲν δαίροντες,[25] τοὺς[26] δὲ ἀποκτένοντες.[27] **6** Ἔτι οὖν[28] ἕνα υἱὸν ἔχων,[29] ἀγαπητὸν αὐτοῦ,[30] ἀπέστειλεν καὶ[31] αὐτὸν πρὸς αὐτοὺς ἔσχατον,[32] λέγων ὅτι ‹Ἐντραπή-

---

[1] και **f**[35] A,N,W [98%] HF,RP,CP,TR ¦ η ℵB [1.5%] OC,NU ¦ --- C(D) [0.5%]
[2] την εξουσιαν ταυτην εδωκεν **f**[35] A,N [93%] HF,RP,CP,TR ¦ 123 δεδωκεν **𝔓**[45v] [2%] ¦ ~ 4123 ℵB,C [4%] OC,NU ¦ ~ 4312 [1%] ¦ ~ 3124 W ¦ --- D
[3] αποκριθεις **f**[35] A,D,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C [1.5%] NU
[4] υμας και εγω **f**[35] [60%] HF,RP,CP ¦ 1 καγω ℵD,N,W [38%] TR,OC ¦ ~ καγω 1 A [1%] ¦ 1 B,C [1%] NU
[5] βαπτισμα **f**[35] N,W [99%] HF,RP,CP,TR,OC ¦ 1 το ℵA,B,C,D [1%] NU
[6] ανθρωπων **f**[35] [20%] ¦ 1 αποκριθητε μοι **𝔓**[45]ℵA,B,C,D,N,W [80%] HF,RP,CP,TR,OC,NU
[7] ελογιζοντο **f**[35] A(N) [94%] HF,RP,CP,TR,OC ¦ διελογιζοντο B,C,D,W [6%] NU ¦ προσελογιζοντο ℵ
[8] ουν **f**[35] ℵB,D,N [97%] HF,RP,CP,TR,OC[NU] ¦ --- A,C,W [3%]
[9] αλλ **f**[35] N [80%] HF,RP,CP ¦ αλλα ℵA,B,C [1%] OC,NU ¦ 1 εαν W [18%] TR ¦ εαν D [1%] ¦ one other variant
[10] λαον **f**[35] A,D,W (95.1%) HF,RP,CP,TR,OC ¦ οχλον ℵB,C,N (4.6%) NU ¦ four other variants (0.2%)
[11] οτι οντως **f**[35] A,W (93.8%) HF,RP,CP,TR ¦ 1 א (3.2%) OC ¦ ~ 21 B,C (0.9%) NU ¦ 2 (0.1%) ¦ ως N (1%) ¦ six combinations with ως (0.7%) ¦ 1 αληθως D ¦ --- (0.1%)
[12] λεγουσιν τω ιησου **f**[35] A,D [97%] HF,RP,CP,TR,OC ¦ ~ 231 ℵB,C,N,W [3%] NU
[13] ο ιησους αποκριθεις **f**[35] W [94%] HF,RP,CP,TR,OC ¦ ~ 312 A,D [4%] ¦ 12 ℵB,C,N [2%] NU
[14] λεγειν **f**[35] A,C,D(N) [96%] HF,RP,CP,TR,OC ¦ λαλειν ℵB,W [4%] NU ¦ one other variant
[15] εφυτευσεν ανθρωπος **f**[35] A,D [96%] HF,RP,CP,TR,OC ¦ ~ 21 ℵB,C(N)(W) [4%] NU
[16] εξεδοτο **f**[35] D,N,W [99%] HF,RP,CP,TR,OC ¦ εξεδετο ℵA,B,C [1%] NU
[17] του καρπου **f**[35] A,D,W [97.5%] HF,RP,CP,TR,OC ¦ των καρπων ℵB,C,N [2%] NU ¦ two other variants [0.5%]
[18] οι δε **f**[35] A,C,N,W [98%] HF,RP,CP,TR ¦ και ℵB,D [2%] OC,NU
[19] εδηραν **f**[35] [30%] ¦ εδειραν ℵA,B,C,D(W) [70%] HF,RP,CP,TR,OC,NU ¦ εδιραν N
[20] λιθοβολησαντες **f**[35] A,C,N [96%] HF,RP,CP,TR,OC ¦ λιθοβολισαντες [1%] ¦ --- ℵB,D,W [3%] NU
[21] εκεφαλαιωσαν **f**[35] A,C,D,N [98.5%] HF,RP,CP,TR,OC ¦ εκεφαλιωσαν ℵB [0.5%] NU ¦ κεφαλαιωσαντες (W) [1%]
[22] απεστειλαν ητιμωμενον **f**[35] A,C,N [98%] HF,RP,CP,TR,OC ¦ ητιμασαν ℵB,D [1%] NU ¦ 1 ητιμασμενον W [1%]
[23] παλιν **f**[35] A,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,D [1.5%] NU
[24] τους **f**[35] A,C,N,W [97%] HF,RP,CP,TR ¦ ους ℵB,D [3%] OC,NU
[25] δαιροντες **f**[35] [30%] CP ¦ δεροντες ℵA,B,C,D,N,W [70%] HF,RP,TR,OC,NU
[26] τους **f**[35] A,C,N,W [97%] HF,RP,CP,TR ¦ ους ℵB [3%] OC,NU ¦ αλλους D
[27] αποκτενοντες **f**[35] N [80%] HF,RP,CP ¦ αποκτεννοντες ℵA,C,D [15%] OC,NU ¦ αποκτεινοντες [4%] TR ¦ αποκτεννυντες B ¦ αποκτινοντες W ¦ four other spellings
[28] ετι ουν **f**[35] A,C,D,N [97%] HF,RP,CP,TR,OC ¦ 1 ℵB [1.5%] NU ¦ υστερον δε W [1.5%]
[29] υιον εχων **f**[35] N [97%] HF,RP,CP,TR,OC ¦ ~ 21 A,C,D [1%] ¦ ~ ειχεν 1 ℵB [1%] NU ¦ 12 τον [1%] ¦ αυτον 2 τον W
[30] αυτου **f**[35] **𝔓**[45v]A,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,D [1.5%] NU
[31] και **f**[35] A,C,N [98%] HF,RP,CP,TR,OC ¦ --- ℵB(D)W [2%] NU
[32] προς αυτους εσχατον **f**[35] A,N,W (89.3%) HF,RP,CP,TR ¦ 12 (1.6%) ¦ ~ 312 ℵB,C (8.5%) OC,NU ¦ 1 αυτον 3

σονται τὸν υἱόν μου.› **7** Ἐκεῖνοι δὲ οἱ γεωργοὶ[1] εἶπον πρὸς ἑαυτοὺς[2] ὅτι ‹Οὗτός ἐστιν ὁ κληρονόμος. Δεῦτε, ἀποκτείνωμεν αὐτόν, καὶ ἡμῶν ἔσται ἡ κληρονομία.› **8** Καὶ λαβόντες αὐτὸν ἀπέκτειναν,[3] καὶ ἐξέβαλον[4] ἔξω τοῦ ἀμπελῶνος.

9 »Τί οὖν[5] ποιήσει ὁ κύριος τοῦ ἀμπελῶνος; Ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργούς,[6] καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. **10** Οὐδὲ τὴν Γραφὴν ταύτην ἀνέγνωτε· ‹Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· **11** παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστιν θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν›;» **12** Καὶ ἐζήτουν αὐτὸν κρατῆσαι, καὶ ἐφοβήθησαν τὸν ὄχλον, ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν εἶπεν. Καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.

Render to Caesar

13 Καὶ ἀποστέλλουσιν πρὸς αὐτόν τινας τῶν Φαρισαίων καὶ τῶν[7] Ἡρῳδιανῶν, ἵνα αὐτὸν ἀγρεύσωσιν λόγῳ. **14** Οἱ δὲ[8] ἐλθόντες λέγουσιν αὐτῷ· «Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ—καὶ οὐ μέλει σοι περὶ οὐδενός, οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων, ἀλλ᾽ ἐπ᾽ ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις[9]—ἔξεστιν κῆνσον Καίσαρι δοῦναι,[10] ἢ οὔ; **15** Δῶμεν, ἢ μὴ δῶμεν;» Ὁ δὲ εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν, εἶπεν αὐτοῖς· «Τί με πειράζετε; Φέρετέ μοι δηνάριον ἵνα ἴδω.» **16** Οἱ δὲ ἤνεγκαν, καὶ λέγει αὐτοῖς, «Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή;» Οἱ δὲ εἶπον[11] αὐτῷ,[12] «Καίσαρος.» **17** Καὶ ἀποκριθεὶς ὁ[13] Ἰησοῦς εἶπεν αὐτοῖς, «Ἀπόδοτε τὰ Καίσαρος[14] Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ.» Καὶ ἐθαύμασαν[15] ἐπ᾽ αὐτῷ.

A hypothetical situation

18 Καὶ ἔρχονται Σαδδουκαῖοι πρὸς αὐτόν—οἵτινες λέγουσιν ἀνάστασιν μὴ εἶναι—καὶ ἐπηρώτησαν[16] αὐτόν, λέγοντες· **19** «Διδάσκαλε, Μωσῆς[17] ἔγραψεν ἡμῖν ὅτι ἐάν τινος ἀδελφὸς ἀποθάνῃ καὶ καταλίπῃ γυναῖκα καὶ τέκνα μὴ ἀφῇ,[18] ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ[19] καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. **20** Ἑπτὰ[20] ἀδελφοὶ ἦσαν. Καὶ ὁ πρῶτος ἔλαβεν γυναῖκα, καὶ ἀποθνῄσκων οὐκ ἀφῆκεν σπέρμα. **21** Καὶ ὁ δεύτερος ἔλαβεν αὐτήν, καὶ ἀπέθανεν· καὶ οὐδὲ αὐτὸς ἀφῆκεν[21] σπέρμα. Καὶ ὁ τρίτος ὡσαύτως. **22** Καὶ ἔλαβον αὐτὴν οἱ ἑπτά,

---

(0.4%) ¦ 3 D (0.2%) ¦ one other variant

[1] γεωργοι *rell* ¦ 1 θεασαμενοι αυτον ερχομενον [2%] OC

[2] ειπον προς εαυτους **f**[35] A,N [96%] HF,RP(CP)TR ¦ ~ 231 [1%] OC ¦ ~ 23 ειπαν ℵB,C,W [1%] NU ¦ 1 [1%] ¦ ειπαν 23 D

[3] αυτον απεκτειναν **f**[35] A,D,N,W [98%] HF,RP,CP,TR ¦ ~ 21 ℵB,C [1%] OC,NU ¦ a different transposition [1%]

[4] εξεβαλον **f**[35] ℵW [95%] HF,RP,CP,TR ¦ 1 αυτον A,B,C,D,N [5%] OC,NU

[5] ουν **f**[35] ℵA,C,D,N,W [99.5%] HF,RP,CP,TR,OC[NU] ¦ --- B [0.5%]

[6] γεωργους *rell* ¦ 1 τουτους [1%] OC

[7] των *rell* ¦ --- CP

[8] οι δε **f**[35] A,N,W (98.8%) HF,RP,CP,TR,OC ¦ και ℵB,C(D) (1.1%) NU ¦ --- (0.1%)

[9] διδασκεις *rell* ¦ 1 ειπον ουν ημιν (C,D)N,W [3%] OC

[10] κηνσον καισαρι δουναι **f**[35] A,N (91.3%) HF,RP,CP,TR ¦ ~ 312 ℵB,C (4.8%) OC,NU ¦ ~ 132 (1.6%) ¦ ~ 213 (1.3%) ¦ ~ 231 (0.2%) ¦ ~ 3 επικεφαλαιον 2 D (0.3%) ¦ omit one of the three W (0.4%)

[11] ειπον 𝔓[45] *rell* ¦ ειπαν ℵB,C(D)W [1%] NU ¦ λεγουσιν A [0.5%]

[12] αυτω *rell* ¦ --- 𝔓[45vid]W [2%] OC

[13] και αποκριθεις ο **f**[35] A,N [98.5%] HF,RP,CP,TR,OC ¦ 3 δε ℵB,C [1%] NU ¦ 2 δε 3 D [0.5%] ¦ 12 W

[14] αποδοτε τα καισαρος **f**[35] A(D)N [98.5%] HF,RP,CP,TR,OC ¦ ~ 231 ℵB,C,W [1.5%] NU

[15] εθαυμασαν **f**[35] A,C,N,W [99%] HF,RP,CP,TR,OC ¦ εξεθαυμαζον ℵB [0.5%] NU ¦ εθαυμαζον [0.5%] ¦ εθαυμαζοντο D

[16] επηρωτησαν **f**[35] A,N,W [98%] HF,RP,CP,TR ¦ επηρωτων ℵB,D [2%] OC,NU ¦ επηρωτουν C

[17] μωσης **f**[35] A,C [90%] HF,RP,CP,TR ¦ μωυσης ℵB,D,N,W [10%] OC,NU

[18] τεκνα μη αφη **f**[35] A,D [98%] HF,RP,CP,TR,OC ¦ ~ 231 ℵC [0.5%] ¦ τεκνον 23 W [1%] ¦ ~ 23 τεκνον B [0.5%] NU (N vacant)

[19] αυτου **f**[35] A,D [97%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,W [3%] NU

[20] επτα *rell* ¦ 1 ουν (D) [5%] OC, some TRs

[21] και ουδε αυτος αφηκεν **f**[35] A,W (94.1%) HF,RP,CP,TR ¦ 123 ουκ 4 D,OC ¦ 12 ουτος 4 (2.6%) ¦ μη καταλιπων ℵB,C (0.8%) NU ¦ 1 ουκ 4 (0.6%) ¦ long omissions (1.9%) (OC has small print)

καὶ[1] οὐκ ἀφῆκαν σπέρμα. Ἐσχάτη[2] πάντων ἀπέθανεν καὶ ἡ γυνή.[3] **23** Ἐν τῇ[4] ἀναστάσει, ὅταν ἀναστῶ-σιν,[5] τίνος αὐτῶν ἔσται γυνή;—οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα.»

24 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς·[6] «Οὐ διὰ τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰς Γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ; **25** Ὅταν γὰρ ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γαμοῦσιν οὔτε γαμίσκον-ται,[7] ἀλλ᾽ εἰσὶν ὡς ἄγγελοι[8] ἐν τοῖς οὐρανοῖς. **26** Περὶ δὲ τῶν νεκρῶν, ὅτι ἐγείρονται, οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ Μωϋσέος,[9] ἐπὶ τοῦ[10] βάτου, ὡς[11] εἶπεν αὐτῷ ὁ Θεός, λέγων, ‹Ἐγὼ ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ[12] Θεὸς Ἰσαάκ, καὶ ὁ[13] Θεὸς Ἰακώβ›; **27** Οὐκ ἔστιν ὁ[14] Θεὸς νεκρῶν, ἀλλὰ Θεὸς[15] ζώντων. Ὑμεῖς οὖν[16] πολὺ[17] πλανᾶσθε.»

The greatest commandment

28 Καὶ προσελθὼν εἷς τῶν γραμματέων, ἀκούσας αὐτῶν συζητούντων, εἰδὼς[18] ὅτι καλῶς αὐτοῖς ἀπεκρίθη,[19] ἐπηρώτησεν αὐτόν, «Ποία ἐστὶν πρώτη πασῶν ἐντολή;»[20] **29** Ὁ δὲ Ἰησοῦς ἀπεκρίθη αὐτῷ[21] ὅτι «Πρώτη πασῶν τῶν ἐντολῶν·[22] ‹Ἄκουε, Ἰσραήλ, Κύριος ὁ Θεὸς ὑμῶν,[23] Κύριος εἷς ἐστιν· **30** καὶ ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς διανοίας σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου.› Αὕτη πρώτη ἐντολή.[24] **31** Καὶ[25] δευτέρα ὁμοία[26] αὕτη·[27] ‹Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.›[28] Μείζων τούτων ἄλλη ἐντολὴ οὐκ ἔστιν.»

32 Καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς· «Καλῶς, διδάσκαλε· ἐπ᾽ ἀληθείας εἶπας ὅτι εἷς ἐστιν,[29] καὶ

---

[1] και (−κ. D) ελαβον αυτην (+ωσαυτως και A 1%) οι επτα και **f**[35] (A)(D) [98%] HF,RP,CP,TR,OC ¦ 145 ℵB,C [1%] NU ¦ 456 W ¦ 1456 [1%]

[2] εσχατη **f**[35] A [90%] HF,RP,CP,TR,OC ¦ εσχατον ℵB,C,W [10%] NU ¦ --- D

[3] απεθανεν και η γυνη **f**[35] A [95%] HF,RP,CP,TR,OC ¦ ~ 2341 ℵB,C,D(W) [5%] NU

[4] τη **f**[35] ℵB,C (62.4%) HF,RP,CP,NU ¦ 1 ουν A (33.6%) TR,OC ¦ ~ ουν D,W (2.9%) ¦ γουν (0.3%) ¦ long omission (0.7%)

[5] οταν αναστωσιν **f**[35] A (97.2%) HF,RP,CP,TR,OC[NU] ¦ --- ℵB,C,D,W (2.1%) ¦ long omission (0.7%)

[6] και αποκριθεις ο ιησους ειπεν αυτοις **f**[35] A [96%] HF,RP,CP,TR,OC ¦ ~ 2 δε 3456 D,W [3%] ¦ ~ εφη 634 ℵB,C [1%] NU

[7] γαμισκονται **f**[35] W [94%] HF,RP,TR ¦ εκγαμισκονται A [2%] CP ¦ γαμιζονται ℵB,C [3%] OC,NU ¦ γαμιζουσιν D ¦ two other variants

[8] αγγελοι **f**[35] ℵC,D [60%] NU ¦ 1 οι ℵ[c]A [35%] HF,RP,CP,TR,OC ¦ οι 1 W (0.2%) ¦ οι 1 οι B (1%) ¦ 1 θεου (3.1%) ¦ 1 θεου οι (0.6%) ¦ two other variants (0.2%) (OC is in small print)

[9] μωυσεος **f**[35] [20%] ¦ μωυσεως ℵB,D,W [30%] OC,NU ¦ μωσεως A,C [50%] HF,RP,CP,TR

[10] του **f**[35] ℵA,B,C [70%] HF,RP,CP,OC,NU ¦ της D,W [30%] TR

[11] ως **f**[35] A,D,W [97%] HF,RP,CP,TR ¦ πως ℵB,C [2%] OC,NU ¦ --- [1%]

[12] ο **f**[35] ℵA,C [99.5%] HF,RP,CP,TR,OC[NU] ¦ --- B,D,W [0.5%]

[13] ο **f**[35] 𝔓[45]ℵA,C [99.5%] HF,RP,CP,TR,OC[NU] ¦ --- B,D,W [0.5%]

[14] ο **f**[35] ℵA,C [97%] HF,RP,CP,TR,OC ¦ --- B,D,W [3%] NU

[15] νεκρων αλλα θεος **f**[35] [75%] HF,RP,TR ¦ 12 ℵA,B,C,D,W [25%] OC,NU ¦ ~ 312 CP

[16] υμεις ουν **f**[35] A,D (98%) HF,RP,CP,TR,OC ¦ 1 δε (1%) ¦ 1 (0.2%) ¦ --- ℵB,C,W (0.8%) NU

[17] πολυ **f**[35] ℵA,B,C,D,W (89.6%) HF,RP,CP,TR,OC,NU ¦ πολλοι (6.7%) ¦ πολλα (0.8%) ¦ --- (2.9%)

[18] ειδως **f**[35] A,B [96%] HF,RP,CP,TR ¦ ιδων ℵC,W [4%] OC,NU ¦ και ειδων D

[19] αυτοις απεκριθη **f**[35] A,D [95%] HF,RP,TR,OC ¦ ~ 21 ℵB,C,W [4%] NU ¦ 2 [1%] CP

[20] πρωτη πασων εντολη **f**[35] [25%] CP,TR ¦ 1 παντων 3 A [70%] HF,RP,OC ¦ ~ 31 παντων ℵB,C [2%] NU ¦ 13 W [2%] ¦ ~ 31 D [0.5%]

[21] ο δε ιησους απεκριθη αυτω **f**[35] A,C [97%] HF,RP,CP,TR,OC ¦ 123 ειπεν 5 [1%] ¦ 12 ειπεν 5 W [1%] ¦ ~ 413 ℵB [1%] NU ¦ αποκριθεις 213 ειπεν 5 D

[22] πασων των εντολων **f**[35] [25%] CP,TR ¦ παντων 23 [50%] HF,RP ¦ παντων 3 [2%] ¦ παντων εντολη A [20%] OC ¦ παντων (D,W) [1.5%] ¦ εστιν ℵB [1%] NU ¦ παντων εντολη εστιν αυτη C

[23] υμων **f**[35] [25%] ¦ ημων ℵA,B,C,D,W [74%] HF,RP,CP,TR,OC,NU ¦ σου [1%]

[24] αυτη πρωτη εντολη **f**[35] A,D (85.3%) HF,RP,CP,TR,OC ¦ 1 εστιν 23 (0.4%) ¦ 12 παντων 3 (12.3%) ¦ 12 πασων 3 (0.4%) ¦ 12 W (0.2%) ¦ --- ℵB (1.1%) NU ¦ long omissions (0.3%)

[25] και *rell* ¦ δε D [1%] ¦ --- ℵB [1%] NU

[26] ομοια **f**[35] A,D(W) [99.5%] HF,RP,CP,TR,OC ¦ --- (ℵ)B [0.5%] NU

[27] αύτη **f**[35] RP,CP,TR,OC,NU ¦ αὐτη HF

[28] σεαυτον *rell* ¦ εαυτον [25%] OC

[29] εστιν **f**[35] ℵA,B [95%] HF,RP,CP,OC,NU ¦ 1 θεος (W) [2%] TR ¦ 1 ο θεος D [3%]

οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ. **33** Καὶ τὸ ἀγαπᾶν αὐτὸν ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς συνέσεως καὶ ἐξ ὅλης τῆς ψυχῆς[1] καὶ ἐξ ὅλης τῆς ἰσχύος, καὶ τὸ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτόν, πλεῖόν[2] ἐστιν πάντων τῶν ὁλοκαυτωμάτων καὶ[3] θυσιῶν.» **34** Καὶ ὁ Ἰησοῦς, ἰδὼν αὐτὸν[4] ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ, «Οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ Θεοῦ.» Καὶ οὐδεὶς οὐκέτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι.

Is the Christ David's son?

35 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς ἔλεγεν, διδάσκων ἐν τῷ ἱερῷ· «Πῶς λέγουσιν οἱ γραμματεῖς ὅτι ὁ Χριστὸς υἱός ἐστιν Δαυίδ;[5] **36** Αὐτὸς γὰρ[6] Δαυὶδ εἶπεν ἐν[7] Πνεύματι[8] Ἁγίῳ· ‹Λέγει[9] ὁ[10] Κύριος τῷ Κυρίῳ μου, «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον[11] τῶν ποδῶν σου.» › **37** Αὐτὸς οὖν[12] Δαυὶδ λέγει αὐτὸν ‹Κύριον›· καὶ πόθεν υἱὸς αὐτοῦ ἐστιν;»[13] Καὶ ὁ[14] πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως.

Down with hypocrisy!

38 Καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ·[15] «Βλέπετε ἀπὸ τῶν γραμματέων, τῶν θελόντων ἐν στολαῖς περιπατεῖν καὶ ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, **39** καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας[16] ἐν τοῖς δείπνοις· **40** οἱ κατεσθίοντες τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι. Οὗτοι λήψονται[17] περισσότερον κρῖμα.»

A widow's offering

41 Καὶ καθίσας ὁ Ἰησοῦς[18] κατέναντι[19] τοῦ γαζοφυλακίου ἐθεώρει πῶς ὁ ὄχλος βάλλει χαλκὸν εἰς τὸ γαζοφυλάκιον. Καὶ πολλοὶ πλούσιοι ἔβαλον[20] πολλά. **42** Καὶ ἐλθοῦσα μία χήρα πτωχὴ ἔβαλεν λεπτὰ δύο, ὅ ἐστιν κοδράντης. **43** Καὶ προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ λέγει[21] αὐτοῖς· «Ἀμὴν λέγω ὑμῖν ὅτι ἡ χήρα αὕτη ἡ πτωχὴ[22] πλεῖον πάντων βέβληκεν[23] τῶν βαλλόντων[24] εἰς τὸ γαζοφυλάκιον· **44** πάντες γὰρ ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον, αὕτη δέ, ἐκ τῆς ὑστερήσεως αὐτῆς, πάντα ὅσα εἶχεν ἔβαλεν, ὅλον τὸν βίον αὐτῆς.»

The temple will be destroyed

13:1 Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ, λέγει αὐτῷ εἷς[25] τῶν μαθητῶν αὐτοῦ· «Διδάσ-

---

[1] και εξ ολης της ψυχης **f**[35] A(D) [98%] HF,RP,CP,TR,OC ¦ --- ℵB,W [2%] NU
[2] πλειον **f**[35] A,D,W [99%] HF,RP,CP,TR,OC ¦ περισσοτερον ℵB [1%] NU
[3] και **f**[35] A,B,D,W [90%] HF,RP,CP,OC,NU ¦ 1 των ℵ [10%] TR
[4] αυτον **f**[35] A,B [97%] HF,RP,CP,TR[NU] ¦ --- ℵD,W [3%] OC
[5] εστιν δαυιδ **f**[35] A,W [95%] HF,RP,CP,TR ¦ ~ 21 ℵB,D [5%] OC,NU
[6] γαρ **f**[35] A [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB,W [1%] NU ¦ ~ και (D)
[7] εν **f**[35] A,W [90%] HF,RP,CP,OC ¦ 1 τω ℵD [10%] TR,NU ¦ τω B
[8] πνευματι **f**[35] A,W [90%] HF,RP,CP,OC ¦ 1 τω ℵB,D [10%] TR,NU
[9] λεγει **f**[35] A,D [80%] HF,RP,CP,OC ¦ ειπεν ℵB,W [20%] TR,NU
[10] ο **f**[35] ℵA,W [99.5%] HF,RP,CP,TR,OC ¦ --- B,D [0.5%] NU
[11] υποποδιον **f**[35] ℵA [99.5%] HF,RP,CP,TR,OC ¦ υποκατω B,D,W [0.5%] NU
[12] ουν **f**[35] A [98%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D,W [2%] NU
[13] υιος αυτου εστιν **f**[35] ℵA,W [99%] HF,RP,CP,TR,OC ¦ ~ 231 B [0.5%] NU ¦ ~ 312 D ¦ two other variants
[14] ο **f**[35] A,B [99%] HF,RP,TR,OC[NU] ¦ --- ℵD,W [1%] CP
[15] ελεγεν αυτοις εν τη διδαχη αυτου **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ 13456 W [1%] ¦ ~ 345612 [0.5%] ¦ ~ 34561 ℵB [1%] NU ¦ διδασκων 12 (D) [0.5%]
[16] πρωτοκλισιας *rell* ¦ πρωτοκλησιας A [10%] CP
[17] ληψονται *rell* ¦ λημψονται ℵA,D,W [1%] NU ο ιησους **f**[35] A(D)W [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB [1%] NU
[18] ο ιησους **f**[35] A(D)W [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB [1%] NU
[19] κατεναντι *rell* ¦ απεναντι B (10.9%) ¦ κατενωπιον (0.3%)
[20] εβαλον **f**[35] [35%] CP ¦ εβαλλον A,B(D)W [65%] HF,RP,TR,OC,NU ¦ εξεβαλλον ℵ
[21] λεγει **f**[35] W [85%] HF,RP,TR ¦ ειπεν ℵA,B,D [15%] CP,OC,NU
[22] αυτη η πτωχη *rell* ¦ ~ 231 D [1%] OC
[23] βεβληκεν **f**[35] (89.7%) HF,RP,CP,TR ¦ εβαλεν A,B,D (10.3%) OC,NU ¦ εβαλλεν ℵ
[24] βαλλοντων **f**[35] ℵA,B,D [60%] HF,RP,CP,OC,NU ¦ βαλοντων [39%] TR ¦ --- W [1%]
[25] εις *rell* ¦ 1 εκ A,D [5%] CP

καλε, ἴδε, ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκοδομαί.» **2** Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς[1] εἶπεν αὐτῷ· «Βλέπεις ταύτας τὰς μεγάλας οἰκοδομάς; Οὐ μὴ ἀφεθῇ ὧδε[2] λίθος ἐπὶ λίθῳ,[3] ὃς οὐ μὴ καταλυθῇ.»

The Olivet Discourse

The end of the age

3 Καὶ καθημένου αὐτοῦ εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν κατέναντι τοῦ ἱεροῦ, ἐπηρώτων[4] αὐτὸν κατ᾽ ἰδίαν Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας· **4** «Εἰπὲ[5] ἡμῖν, πότε ταῦτα ἔσται; Καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ πάντα ταῦτα συντελεῖσθαι;»[6] **5** Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς[7] αὐτοῖς ἤρξατο λέγειν·[8] «Βλέπετε μή τις ὑμᾶς πλανήσῃ. **6** Πολλοὶ γὰρ[9] ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες ὅτι ‹Ἐγώ εἰμι,› καὶ πολλοὺς πλανήσουσιν. **7** Ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκοὰς πολέμων, μὴ θροεῖσθε· δεῖ γὰρ[10] γενέσθαι, ἀλλ᾽ οὔπω τὸ τέλος. **8** Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ[11] ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν· καὶ[12] ἔσονται σεισμοὶ κατὰ τόπους, καὶ[13] ἔσονται λιμοὶ καὶ ταραχαί.[14] Ἀρχαὶ[15] ὠδίνων ταῦτα.

9 »Βλέπετε δὲ ὑμεῖς ἑαυτούς, παραδώσουσιν γὰρ[16] ὑμᾶς εἰς συνέδρια καὶ εἰς συναγωγὰς[17] δαρήσεσθε, καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων ἀχθήσεσθε[18] ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς. **10** Καί, εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον[19] κηρυχθῆναι τὸ εὐαγγέλιον. **11** Ὅταν δὲ[20] ἄγωσιν[21] ὑμᾶς παραδιδόντες, μὴ προμεριμνᾶτε[22] τί λαλήσετε[23] μηδὲ μελετᾶτε.[24] Ἀλλ᾽ ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο λαλεῖτε, οὐ γάρ ἐστε ὑμεῖς[25] οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τὸ Ἅγιον.

12 »Παραδώσει δὲ[26] ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς. **13** Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

The Great Tribulation

14 »Ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου,[27]

---

[1] αποκριθεις ο ιησους **f**[35] A(D) [30%] CP ¦ ~ 231 [68%] HF,RP,TR,OC ¦ 23 ℵB [1%] NU ¦ 1 W [0.5%]
[2] ωδε **f**[35] ℵB,D,W (21.1%) OC,NU ¦ --- A (78.9%) HF,RP,CP,TR
[3] λιθω **f**[35] A,D [90%] HF,RP,CP,TR ¦ λιθον ℵB,W [10%] OC,NU
[4] επηρωτων **f**[35] D [96%] HF,RP,CP,TR,OC ¦ επερωτων A [2%] ¦ επηρωτα ℵB,W [2%] NU
[5] ειπε **f**[35] A [96%] HF,RP,CP,TR,OC ¦ ειπον ℵB,D,W [4%] NU
[6] παντα ταυτα συντελεισθαι **f**[35] D [88%] HF,RP,TR,OC ¦ ~ 213 A [10%] CP ¦ ~ 231 ℵB [0.5%] NU ¦ 23 W [1%]
[7] αποκριθεις **f**[35] A(D,W) [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB [1%] NU
[8] αυτοις ηρξατο λεγειν **f**[35] A(W) [95%] HF,RP,CP,TR ¦ ~ 231 ℵB [2%] OC,NU ¦ ~ 213 [1%] ¦ 23 [1%] ¦ ~ ειπεν 1 D [1%]
[9] γαρ **f**[35] A,D [99.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB,W [0.5%] NU
[10] γαρ **f**[35] A,D [99.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB,W [0.5%] NU
[11] επι **f**[35] A,D,W [95%] HF,RP,CP,TR,OC ¦ επ ℵB [5%] NU ¦ two other variants
[12] και **f**[35] A [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D,W [1%] NU
[13] και **f**[35] A(D) [99%] HF,RP,CP,TR,OC ¦ --- B(W) [1%] NU ¦ ℵ omits five words [homoioteleuton]
[14] λιμοι και ταραχαι **f**[35] (96.8%) HF,RP,CP,TR,OC ¦ λοιμοι 23 (1.5%) ¦ 12 λοιμοι (0.4%) ¦ 12 λοιμοι 23 (0.5%) ¦ 12 W (0.1%) ¦ ~ 321 (0.1%) ¦ 1 καταραχαι A ¦ 1 B(D) (0.5%) NU ¦ three other variants (0.2%) ¦ long omission ℵ
[15] αρχαι **f**[35] A [90%] HF,RP,CP,TR,OC ¦ αρχη ℵB,D [10%] NU ¦ --- W
[16] γαρ **f**[35] ℵA [98.5%] HF,RP,CP,TR,OC ¦ --- B [0.5%] NU ¦ και W [0.5%] ¦ ειτα D [0.5%]
[17] εις συναγωγας *rell* ¦ εν ταις συναγωγαις αυτων OC
[18] αχθησεσθε **f**[35] [30%] some TRs ¦ σταθησεσθε ℵA,B,D,W [70%] HF,RP,CP,TR,OC,NU
[19] δει πρωτον **f**[35] A [98.5%] HF,RP,CP,TR,OC ¦ ~ 21 B,D [1%] NU ¦ ~ προς τον λαον 1 ℵ ¦ ~ 2 δε 1 W [0.5%]
[20] οταν δε **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ ~ και 1 ℵB,D [1%] NU
[21] αγωσιν **f**[35] ℵA,B,D,W [35%] NU ¦ αγαγωσιν [65%] HF,RP,CP,TR,OC
[22] προμεριμνατε **f**[35] ℵA,B,D,W [70%] HF,RP,CP,TR,OC,NU ¦ μεριμνατε [29%] ¦ three other variants [1%]
[23] λαλησετε **f**[35] [35%] ¦ λαλησητε ℵA,B,D,W [65%] HF,RP,CP,TR,OC,NU
[24] μηδε μελετατε **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D,W [3%] NU
[25] εστε υμεις *rell* ¦ ~ 21 [2%] OC
[26] παραδωσει δε **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ ~ και 1 ℵB,D [0.5%] NU ¦ 1 [0.5%]
[27] το ρηθεν υπο δανιηλ του προφητου **f**[35] A [98%] HF,RP,CP,TR,OC ¦ 12 δια 456 [1%] ¦ --- ℵB,D,W [1%] NU

ἑστὼς[1] ὅπου οὐ δεῖ»—ὁ ἀναγινώσκων νοείτω—«τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη. **15** Ὁ δὲ[2] ἐπὶ τοῦ δώματος μὴ καταβάτω εἰς τὴν οἰκίαν,[3] μηδὲ εἰσελθέτω[4] ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ. **16** Καὶ ὁ εἰς τὸν ἀγρὸν ὢν[5] μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω ἆραι τὸ ἱμάτιον αὐτοῦ. **17** Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. **18** Προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν[6] χειμῶνος· **19** ἔσονται γὰρ αἱ ἡμέραι ἐκεῖναι θλῖψις οἵα οὐ γέγονεν τοιαύτη ἀπ᾽ ἀρχῆς κτίσεως ἧς[7] ἔκτισεν ὁ Θεὸς ἕως τοῦ νῦν, καὶ οὐ μὴ γένηται. **20** Καὶ εἰ μὴ Κύριος ἐκολόβωσεν[8] τὰς ἡμέρας, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· ἀλλὰ διὰ τοὺς ἐκλεκτούς, οὓς ἐξελέξατο, ἐκολόβωσεν τὰς ἡμέρας.

21 »Τότε[9] ἐάν τις ὑμῖν εἴπῃ, ‹Ἰδού, ὧδε ὁ Χριστός,›[10] ‹Ἰδού,[11] ἐκεῖ,› μὴ πιστεύσητε.[12] **22** Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσιν σημεῖα καὶ τέρατα πρὸς τὸ ἀποπλανᾶν, εἰ δυνατόν, καὶ[13] τοὺς ἐκλεκτούς. **23** Ὑμεῖς δὲ βλέπετε· ἰδού,[14] προείρηκα ὑμῖν πάντα.[15]

The return of Christ

24 »Ἀλλ᾽[16] ἐν ἐκείναις ταῖς ἡμέραις, μετὰ τὴν θλῖψιν ἐκείνην, ‹ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς· **25** καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔσονται ἐκπίπτοντες,[17] καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς οὐρανοῖς σαλευθήσονται.› **26** Καὶ τότε ὄψονται τὸν Υἱὸν τοῦ Ἀνθρώπου ἐρχόμενον ἐν νεφέλαις μετὰ δυνάμεως πολλῆς καὶ δόξης. **27** Καὶ τότε ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ[18] καὶ ἐπισυνάξει τοὺς ἐκλεκτοὺς αὐτοῦ[19] ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ᾽ ἄκρου[20] γῆς ἕως ἄκρου[21] οὐρανοῦ.

Parable of the fig tree

28 »Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν ἤδη ὁ κλάδος αὐτῆς[22] ἁπαλὸς γένηται[23] καὶ ἐκφύῃ τὰ φύλλα, γινώσκεται[24] ὅτι ἐγγὺς τὸ θέρος ἐστίν. **29** Οὕτως καὶ ὑμεῖς, ὅταν ταῦτα ἴδητε[25] γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν—ἐπὶ θύραις. **30** Ἀμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ

---

[1] εστως **f**[35] [80%] HF,RP,OC ¦ εστος A [17.5%] CP,TR ¦ εστηκοτα ℵB [0.5%] NU ¦ εστηκος D [0.5%] ¦ στηκον W [1.5%]
[2] δε **f**[35] ℵA,W [99%] HF,RP,CP,TR,OC[NU] ¦ --- B [0.5%] ¦ ~ και D [0.5%]
[3] εις την οικιαν **f**[35] A,D,W (96.3%) HF,RP,CP,TR,OC ¦ επι 23 (0.2%) ¦ 13 (0.4%) ¦ 123 αυτου (0.6%) ¦ --- ℵB (2.6%) NU
[4] εισελθετω *rell* ¦ εισελθατω ℵA,D [1.5%] NU
[5] ων **f**[35] A,W [97%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D [3%] NU
[6] η φυγη υμων **f**[35] A [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB(D)W [0.5%] NU ¦ ταυτη [0.5%]
[7] ης **f**[35] A,W [98.5%] HF,RP,CP,TR,OC ¦ ην ℵB,C [1%] NU ¦ --- D [0.5%]
[8] κυριος εκολοβωσεν **f**[35] A,C,D [98%] HF,RP,CP,TR ¦ ~ 21 ℵB [0.5%] OC,NU ¦ 2 W [0.5%] ¦ ο θεος 2 [1%]
[9] τοτε **f**[35] [30%] RP ¦ και 1 ℵA,B,C,D,W [70%] HF,CP,TR,OC,NU
[10] χριστος **f**[35] ℵ(W) [40%] OC,NU ¦ 1 η A,C,D [60%] HF,RP,CP,TR ¦ 1 και B
[11] ιδου **f**[35] A(W) [99%] HF,RP,CP,TR,OC ¦ ιδε (ℵ)B(D) [1%] NU ¦ --- C
[12] πιστευσητε **f**[35] [90%] TR ¦ πιστευετε ℵA,B,C,D,W [10%] HF,RP,CP,OC,NU
[13] και **f**[35] A,C,W [99.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D [0.5%] NU
[14] ιδου **f**[35] ℵA,C,D [99.5%] HF,RP,CP,TR,OC ¦ --- B,W [0.5%] NU
[15] παντα *rell* ¦ απαντα A [5%] OC
[16] αλλ *rell* ¦ αλλα ℵB,C,D,W [1%] NU
[17] του ουρανου εσονται εκπιπτοντες **f**[35] [97%] HF,RP,CP,TR ¦ εκ 1234 [1%] ¦ εκ 123 πειπτοντες D ¦ ~ 3 εκ 124 A [0.5%] ¦ ~ 3 εκ 12 πιπτοντες ℵB,C [1%] OC,NU ¦ three other variations W [0.5%]
[18] αυτου **f**[35] ℵA,C [99.5%] HF,RP,CP,TR,OC ¦ --- B,D,W [0.5%] NU
[19] αυτου **f**[35] ℵA,B,C [98%] HF,RP,CP,TR,OC[NU] ¦ --- D,W [2%]
[20] ακρου *rell* ¦ 1 της W [5%] OC
[21] ακρου *rell* ¦ 1 του [5%] OC
[22] ηδη ο κλαδος αυτης **f**[35] ℵA,B,C,D (29%) (CP)NU ¦ ~ 4123 (50.2%) HF,RP,TR ¦ ~ 4231 (5%) OC ¦ ~ 1423 (2.7%) ¦ ~ 2341 (1.2%) ¦ ~ 423 W (8.4%) ¦ 234 (2.6%) ¦ 123 (0.6%) ¦ four other variants (0.2%)
[23] απαλος γενηται *rell* ¦ ~ 21 [2%] OC
[24] γινωσκεται **f**[35] (D)W [25%] ¦ γινωσκετε ℵ(A,B)C [75%] HF,RP,CP,TR,OC,NU
[25] ταυτα ιδητε **f**[35] (W) [95%] HF,RP,CP,TR ¦ ~ 21 ℵA,B(C)(D) [5%] OC,NU

ἡ γενεὰ αὕτη μέχρις οὗ πάντα ταῦτα[1] γένηται. **31** Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται,[2] οἱ δὲ λόγοι μου[3] οὐ μὴ παρέλθωσιν.[4]

Watch!

32 »Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ[5] ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι οἱ[6] ἐν τῷ[7] οὐρανῷ, οὐδὲ ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ. **33** Βλέπετε, ἀγρυπνεῖτε, προσεύχεσθε.[8] Οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν. **34** Ὡς ἄνθρωπος ἀπόδημος, ἀφεὶς τὴν οἰκίαν αὐτοῦ καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν, καὶ[9] ἑκάστῳ τὸ ἔργον αὐτοῦ· καὶ τῷ θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ. **35** Γρηγο-ρεῖτε οὖν, οὐκ οἴδατε γὰρ πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται[10]—ὀψὲ ἢ μεσονυκτίου[11] ἢ ἀλεκτορο-φωνίας ἢ πρωΐ—**36** μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς καθεύδοντας. **37** Ἃ[12] δὲ ὑμῖν λέγω, πᾶσιν λέγω· Γρηγορεῖτε.»

The Sanhedrin make plans

14:1 Ἦν δὲ τὸ Πάσχα καὶ τὰ Ἄζυμα μετὰ δύο ἡμέρας. Καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς πῶς αὐτὸν ἐν δόλῳ κρατήσαντες ἀποκτείνωσιν. **2** Ἔλεγον δέ,[13] «Μὴ ἐν τῇ ἑορτῇ, μήποτε θόρυβος ἔσται[14] τοῦ λαοῦ.»

An anointing in Simon's house

3 Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ, ἦλθεν γυνὴ ἔχουσα ἀλάβαστρον μύρου νάρδου πιστικῆς πολυτελοῦς. Καὶ[15] συντρίψασα τὸ[16] ἀλάβαστρον, κατέχεεν αὐτοῦ κατὰ[17] τῆς κεφαλῆς. **4** Ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς ἑαυτοὺς καὶ λέγοντες·[18] «Εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου γέγονεν; **5** Ἠδύνατο γὰρ τοῦτο[19] πραθῆναι ἐπάνω τριακοσίων δηναρίων[20] καὶ δοθῆναι τοῖς πτωχοῖς.» Καὶ ἐνεβριμῶντο αὐτῇ. **6** Ὁ δὲ Ἰησοῦς εἶπεν· «Ἄφετε αὐτήν· τί αὐτῇ κόπους παρέχετε; Καλὸν ἔργον εἰργάσατο[21] ἐν ἐμοί.[22] **7** Πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ᾽ ἑαυτῶν, καὶ ὅταν θέλητε δύνασθε αὐτοὺς[23] εὖ ποιῆσαι· ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. **8** Ὃ ἔσχεν[24] αὕτη[25] ἐποίησεν. Προέλαβεν μυρίσαι μου τὸ σῶμα[26] εἰς τὸν

---

[1] παντα ταυτα **f**[35] A,D,W [95%] HF,RP,CP,TR,OC ¦ ~ 21 ℵB,C [5%] NU
[2] παρελευσεται **f**[35] A,C,W [60%] HF,RP ¦ παρελευσονται ℵB,D [40%] CP,TR,OC,NU
[3] λογοι μου *rell* ¦ ~ εμοι 1 OC
[4] παρελθωσιν **f**[35] A,C(D)W [99.5%] HF,RP,CP,TR ¦ παρελευσονται ℵ(B) [0.5%] OC,NU
[5] η **f**[35] A [75%] HF,RP,CP ¦ 1 της B,C [15%] OC,NU ¦ και της ℵD,W [8%] TR ¦ και [2%]
[6] οι αγγελοι οι **f**[35] A,C,W [95%] HF,RP,CP,TR ¦ 12 ℵD [5%] OC,NU ¦ αγγελος B
[7] τω **f**[35] D [55%] CP ¦ --- ℵA,B,C [40%] HF,RP,TR,OC,NU ¦ των [5%]
[8] προσευχεσθε **f**[35] [20%] ¦ και 1 ℵ [77%] HF,RP,CP,TR,OC ¦ και προσευχεσθαι A,C,W (2.3%) ¦ προσευχεσθαι (0.2%) ¦ --- B,D (0.6%) NU
[9] και **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,D [1%] NU
[10] ερχεται **f**[35] A,D,W [99%] HF,RP,CP,TR,OC ¦ 1 η ℵB,C [1%] NU
[11] μεσονυκτιου **f**[35] A,D [98%] HF,RP,CP,TR,OC ¦ μεσονυκτιον ℵC [1%] NU ¦ μεσανυκτιον B,W ¦ μεσονυκτιω [0.5%]
[12] α **f**[35] A,W [96.5%] HF,RP,CP,TR,OC ¦ ο ℵB,C [3%] NU ¦ εγω D [0.5%]
[13] δε **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ γαρ ℵB,C(D) [1%] NU
[14] θορυβος εσται **f**[35] A,W [97%] HF,RP,CP,TR,OC ¦ ~ 21 ℵB,C,D [1%] NU ¦ 1 γενηται [2%] ¦ one other variant
[15] και **f**[35] A,C(D)W [99.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB [0.5%] NU
[16] το **f**[35] W [75%] HF,RP,CP,TR,OC ¦ τον ℵA,D [24%] ¦ την B,C [1%] NU
[17] κατα **f**[35] A [98.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,W [1.5%] NU ¦ επι D
[18] και λεγοντες **f**[35] A,W [98.5%] HF,RP,CP,TR ¦ 2 [0.5%] OC ¦ --- (ℵ)B,C [1%] NU ¦ 1 ελεγον D
[19] τουτο **f**[35] [93%] HF,RP,CP,TR ¦ 1 το μυρον A,B,C [5%] OC,NU ¦ το μυρον 1 (D) [1.5%] ¦ το μυρον ℵ(W)
[20] τριακοσιων δηναριων **f**[35] A,B [99%] HF,RP,CP,TR,OC ¦ ~ 21 ℵC,D,W [1%] NU
[21] ειργασατο **f**[35] A,C [99%] HF,RP,CP,TR,OC ¦ ηργασατο ℵB,D,W [1%] NU
[22] εν εμοι *rell* ¦ εις εμε [5%] TR
[23] αυτους **f**[35] A [96%] HF,RP,CP,TR,OC ¦ αυτοις B,C,D,W [4%] NU ¦ --- ℵ
[24] εσχεν *rell* ¦ ειχεν W [10%] TR
[25] αυτη **f**[35] A,D [97%] HF,RP,CP,TR,OC ¦ αιτη C ¦ --- ℵB,W [3%] NU
[26] μου το σωμα **f**[35] A,C,W [97%] HF,RP,CP,TR,OC ¦ ~ 231 ℵB,D [3%] NU

ἐνταφιασμόν. **9** Ἀμὴν[1] λέγω ὑμῖν, ὅπου ἐὰν[2] κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο[3] εἰς ὅλον τὸν κόσμον, καὶ ὃ ἐποίησεν αὕτη λαληθήσεται εἰς μνημόσυνον αὐτῆς.»

Judas is hired

10 Καὶ[4] Ἰούδας ὁ Ἰσκαριώτης,[5] εἷς τῶν δώδεκα, ἀπῆλθεν πρὸς τοὺς ἀρχιερεῖς ἵνα παραδῷ αὐτὸν[6] αὐτοῖς. **11** Οἱ δὲ ἀκούσαντες ἐχάρησαν καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύρια[7] δοῦναι. Καὶ ἐζήτει πῶς εὐκαίρως αὐτὸν[8] παραδῷ.[9]

The upper room is made ready

12 Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ Πάσχα ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, «Ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσομεν,[10] ἵνα φάγῃς τὸ Πάσχα;» **13** Καὶ ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ καὶ λέγει αὐτοῖς· «Ὑπάγετε εἰς τὴν πόλιν, καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ. **14** Καὶ ὅπου ἐὰν εἰσέλθῃ, εἴπατε τῷ οἰκοδεσπότῃ ὅτι ‹Ὁ διδάσκαλος λέγει, «Ποῦ ἐστιν τὸ κατάλυμα[11] ὅπου τὸ Πάσχα μετὰ τῶν μαθητῶν μου φάγω;» › **15** Καὶ αὐτὸς ὑμῖν δείξει ἀνώγεων[12] μέγα ἐστρωμένον ἕτοιμον· ἐκεῖ[13] ἑτοιμάσατε ἡμῖν.» **16** Καὶ ἐξῆλθον οἱ μαθηταὶ αὐτοῦ[14] καὶ ἦλθον εἰς τὴν πόλιν καὶ εὗρον καθὼς εἶπεν αὐτοῖς· καὶ ἡτοίμασαν τὸ Πάσχα.

The last night—begins Thursday evening, 04/04/30 AD, and ends the next morning

14:17 Καὶ ὀψίας γενομένης ἔρχεται μετὰ τῶν δώδεκα.

The traitor identified

18 Καὶ ἀνακειμένων αὐτῶν καὶ ἐσθιόντων, εἶπεν ὁ Ἰησοῦς,[15] «Ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, ὁ ἐσθίων μετ᾽ ἐμοῦ.» **19** Οἱ δὲ[16] ἤρξαντο λυπεῖσθαι καὶ λέγειν αὐτῷ εἷς καθ᾽ εἷς,[17] «Μήτι ἐγώ;» Καὶ ἄλλος, «Μήτι ἐγώ;»[18] **20** Ὁ δὲ ἀποκριθεὶς[19] εἶπεν αὐτοῖς· «Εἷς ἐκ[20] τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ᾽ ἐμοῦ εἰς τὸ τρυβλίον.[21] **21** Ὁ μὲν Υἱὸς τοῦ Ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ, οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ ὁ Υἱὸς τοῦ Ἀνθρώπου παραδίδοται· καλὸν ἦν[22] αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.»

---

[1] αμην **f**[35] A,C,W [70%] RP,TR,OC ¦ 1 δε ℵB,D [30%] HF,CP,NU ¦ 1 γαρ [0.5%]
[2] εαν *rell* ¦ αν D,W [10%] TR
[3] τουτο **f**[35] A,C [98%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D,W [2%] NU
[4] και **f**[35] ℵA,B,C,D [50%] OC,NU ¦ 1 ο W [50%] HF,RP,CP,TR
[5] ο ισκαριωτης **f**[35] A,W [98%] HF,RP,CP,TR,OC ¦ ~ ισκαριωθ 1 B,C [0.5%] NU ¦ 2 (D) [1%] ¦ ισκαριωθ ℵ ¦ at least three further variants
[6] παραδω αυτον **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ ~ 21 ℵ [2%] ¦ ~ 2 παραδοι B,C,NU ¦ παραδοι 2 (D)W [0.5%]
[7] αργυρια **f**[35] A [40%] OC ¦ αργυριον ℵB,C,D,W [60%] HF,RP,CP,TR,NU
[8] ευκαιρως αυτον **f**[35] D [98%] HF,RP,CP,TR,OC ¦ ~ 21 ℵA,B,C,W [2%] NU
[9] παραδω **f**[35] ℵA [99.5%] HF,RP,CP,TR,OC ¦ παραδοι B,C,D,W [0.5%] NU
[10] ετοιμασομεν **f**[35] [65%] HF,CP ¦ ετοιμασωμεν ℵA,B,C,D,W [35%] RP,TR,OC,NU
[11] καταλυμα **f**[35] A [97%] HF,RP,CP,TR ¦ 1 μου ℵB,C,D,W [3%] OC,NU
[12] ανωγεων **f**[35] [30%] ¦ ανωγεον [39%] HF,RP,TR ¦ ανωγαιον [25%] CP,OC ¦ αναγαιον ℵA,B,C(D) [5%] NU ¦ αναγιον W ¦ at least three other variants
[13] εκει **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ και 1 B,C [1%] NU ¦ κακει ℵD
[14] αυτου **f**[35] A,C,D,W [98%] HF,RP,CP,TR,OC ¦ --- ℵB [2%] NU
[15] ειπεν ο ιησους **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ ~ 231 ℵB,C [0.5%] NU ¦ λεγει 23 D [0.5%]
[16] οι δε **f**[35] A,D,W [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB [0.5%] NU ¦ και C
[17] καθ εις **f**[35] A,D,W [99%] HF,RP,CP,TR,OC ¦ κατα 1 ℵB [1%] NU ¦ εκαστος C
[18] και αλλος μητι εγω **f**[35] D (88.1%) HF,RP,CP,TR,OC ¦ ειμι 1234 (2%) ¦ ειμι κυριε 1234 (A) (0.6%) ¦ ειμι 1234 ειμι (0.4%) ¦ 34 (0.3%) ¦ --- ℵB,C,W (8.3%) NU ¦ six other variants (0.4%)
[19] αποκριθεις **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,D [1%] NU
[20] εκ **f**[35] A,D [98.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,W [1.5%] NU
[21] τρυβλιον **f**[35] A,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ 1 οτι ℵB [0.5%] NU ¦ 1 και [0.5%]
[22] ην **f**[35] ℵA,C,D [99.5%] HF,RP,CP,TR,OC ¦ --- B,W [0.5%] NU

Jesus institutes the Lord's Supper

22 Καὶ ἐσθιόντων αὐτῶν, λαβὼν ὁ Ἰησοῦς[1] ἄρτον καὶ[2] εὐλογήσας, ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς καὶ εἶπεν, «Λάβετε, φάγετε·[3] τοῦτό ἐστιν τὸ σῶμά μου.» **23** Καὶ λαβὼν τὸ[4] ποτήριον, εὐχαριστήσας ἔδωκεν αὐτοῖς, καὶ ἔπιον ἐξ αὐτοῦ πάντες. **24** Καὶ εἶπεν αὐτοῖς· «Τοῦτό ἐστιν τὸ αἷμά μου, τὸ τῆς καινῆς[5] διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον.[6] **25** Ἀμὴν[7] λέγω ὑμῖν ὅτι οὐκέτι οὐ μὴ πίω ἐκ τοῦ γενήματος[8] τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.» **26** Καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν.

Peter will deny Him

27 Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς ὅτι «Πάντες σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ,[9] ὅτι γέγραπται· ‹Πατάξω τὸν Ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα.›[10] **28** Μετὰ δὲ[11] τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς[12] εἰς τὴν Γαλιλαίαν.» **29** Ὁ δὲ Πέτρος ἔφη αὐτῷ, «Καὶ εἰ[13] πάντες σκανδαλισθήσονται, ἀλλ'[14] οὐκ ἐγώ.» **30** Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, «Ἀμὴν λέγω σοι, ὅτι σύ,[15] σήμερον, ἐν τῇ νυκτὶ ταύτῃ,[16] πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με.[17] **31** Ὁ δὲ[18] ἐκ περισσοῦ[19] ἔλεγεν[20] μᾶλλον,[21] «Ἐάν με δέῃ[22] συναποθανεῖν σοι, οὐ μή σε ἀπαρνήσωμαι.»[23] Ὡσαύτως δὲ καὶ πάντες ἔλεγον.

The agony in Gethsemane

32 Καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα Γεθσημανῆ·[24] καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ, «Καθίσατε ὧδε ἕως προσεύξομαι.»[25] **33** Καὶ παραλαμβάνει τὸν Πέτρον καὶ[26] Ἰάκωβον καὶ[27] Ἰωάννην μεθ' ἑαυτοῦ,[28] καὶ ἤρξατο ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν. **34** Καὶ λέγει[29] αὐτοῖς· «Περίλυ-

---

[1] ο ιησους **f**[35] ℵA,C [99.5%] HF,RP,CP,TR,OC ¦ --- B,D,W [0.5%] NU
[2] και **f**[35] [25%] CP ¦ --- ℵA,B,C,D,W [75%] HF,RP,TR,OC,NU
[3] φαγετε **f**[35] [95%] HF,RP,CP,TR,OC ¦ --- ℵA,B,C,D,W [5%] NU (OC is in small print)
[4] το **f**[35] A,W [93%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,D [7%] NU (OC is in small print)
[5] το της καινης **f**[35] A (85.5%) HF,RP,CP,TR,OC ¦ 23 (13.7%) ¦ 2 ℵB,C (0.4%) NU ¦ 12 D,W (0.2%) ¦ one other variant
[6] περι πολλων εκχυνομενον **f**[35] [96%] HF,RP,CP,TR,OC ¦ 12 εκχυννομενον A [1%] ¦ υπερ 2 εκχυννομενον (D)W [0.5%] ¦ υπερ 23 [1%] ¦ ~ εκχυννομενον υπερ 2 ℵB,C [1%] NU
[7] αμην *rell* ¦ 1 δε [30%]
[8] γενηματος **f**[35] ℵA,B,C,W [75%] HF,RP,CP,OC,NU ¦ γεννηματος D,N^{v} [25%] TR
[9] εν εμοι εν τη νυκτι ταυτη **f**[35] A,N,W [70%] HF,RP,CP,TR,OC ¦ 12 [0.5%] ¦ 3456 [0.5%] ¦ --- ℵB,C,D [29%] NU
[10] διασκορπισθησεται τα προβατα **f**[35] [95%] HF,RP,CP,TR ¦ διασκορπισθησονται 23 A,N [3%] OC ¦ ~ 23 διασκορπισθησονται ℵB,C,D [1%] NU ¦ ~ 231 (W) [1%]
[11] μετα δε **f**[35] [20%] ¦ ~ αλλα 1 ℵA,B,D,N,W [79%] HF,RP,CP,TR,OC,NU ¦ ~ και 1 C ¦ αλλα και 1 [1%]
[12] υμας *rell* ¦ υμων CP
[13] και ει **f**[35] A,N [94%] HF,RP,CP,TR,OC ¦ ~ 21 ℵB,C,W [5%] NU ¦ 2 εαν D ¦ καν [0.5%]
[14] αλλ *rell* ¦ εν σοι 1 [3%] CP
[15] συ **f**[35] A,B,N,W [90%] HF,RP,CP,OC,NU ¦ --- ℵC,D [10%] TR
[16] εν τη νυκτι ταυτη **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ ~ 423 ℵB,C,D [1.5%] NU ¦ 234 W [1.5%]
[17] απαρνηση με **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ ~ 21 B,C,D [2%] NU ¦ ~ 2 απαρνησει ℵ ¦ ~ 2 αρνηση W ¦ 1 [0.5%]
[18] δε *rell* ¦ 1 πετρος A,C,N(W) [5%] OC
[19] εκ περισσου **f**[35] A,N [98%] HF,RP,CP,TR,OC ¦ εκπερισσως ℵB,C,D [1%] NU ¦ περισσως W [1%]
[20] ελεγεν **f**[35] A,C,N,W [99%] HF,RP,CP,TR,OC ¦ ελαλει ℵB,D [1%] NU
[21] μαλλον **f**[35] A,N(W) [98%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,D [2%] NU
[22] με δεη **f**[35] C,D,W [95%] HF,RP,CP,TR,OC ¦ 1 η ℵ ¦ ~ 21 A,B,N [5%] NU
[23] απαρνησωμαι **f**[35] (ℵ) [80%] HF,RP,CP ¦ απαρνησομαι A,B,C,D,N,W [20%] TR,OC,NU
[24] γεθσημανη **f**[35] [88%] HF,RP,CP,TR,OC ¦ γεθσημανει ℵA,C [5%] ¦ γεσσημανει N [5%] ¦ γεθσημανι [2%] NU ¦ γετσημανει B ¦ γησαμανει D ¦ γεσσημανιν W ¦ at least six further spellings
[25] προσευξομαι **f**[35] D [35%] CP ¦ προσευξωμαι ℵA,B,C,W [65%] HF,RP,TR,OC,NU ¦ προσευχωμαι N
[26] και **f**[35] ℵC,D,N [85%] HF,RP,CP,OC ¦ 1 τον A,B,W [15%] TR[NU]
[27] και **f**[35] ℵC,D,N [96%] HF,RP,CP,TR,OC ¦ 1 τον A,B,W [4%] [NU]
[28] μεθ εαυτου **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ μετ αυτου ℵB,C,D,W [3%] NU
[29] λεγει *rell* ¦ λεγειν [1%] OC

πός ἐστιν ἡ ψυχή μου, ἕως θανάτου. Μείνατε ὧδε καὶ γρηγορεῖτε.»[1] **35** Καὶ προελθὼν[2] μικρόν, ἔπεσεν[3] ἐπὶ τῆς γῆς καὶ προσηύχετο ἵνα, εἰ δυνατόν ἐστιν, παρέλθῃ ἀπ᾽ αὐτοῦ ἡ ὥρα. **36** Καὶ ἔλεγεν· «Ἀββᾶ, ὁ Πατήρ, πάντα δυνατά σοι. Παρένεγκαι[4] τὸ ποτήριον ἀπ᾽ ἐμοῦ τοῦτο·[5] ἀλλ᾽ οὐ τί ἐγὼ θέλω, ἀλλὰ[6] τί σύ.» **37** Καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· «Σίμων, καθεύδεις; Οὐκ ἴσχυσας[7] μίαν ὥραν γρηγορῆσαι; **38** Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε[8] εἰς πειρασμόν. Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.» **39** Καὶ πάλιν ἀπελθὼν προσηύξατο, τὸν αὐτὸν λόγον εἰπών. **40** Καὶ ὑποστρέψας εὗρεν αὐτοὺς πάλιν[9] καθεύδοντας, ἦσαν γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν[10] καταβαρυνόμενοι·[11] καὶ οὐκ ἤδεισαν τί αὐτῷ ἀποκριθῶσιν.[12] **41** Καὶ ἔρχεται τὸ τρίτον καὶ λέγει αὐτοῖς· «Καθεύδετε[13] λοιπὸν καὶ ἀναπαύεσθε. Ἀπέχει· ἦλθεν ἡ ὥρα· ἰδού, παραδίδοται ὁ Υἱὸς τοῦ Ἀνθρώπου εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν. **42** Ἐγείρεσθε, ἄγωμεν. Ἰδού, ὁ παραδιδούς με ἤγγικεν.»

The betrayal and arrest

43 Καὶ εὐθέως,[14] ἔτι αὐτοῦ λαλοῦντος, παραγίνεται Ἰούδας,[15] εἷς ὢν[16] τῶν δώδεκα, καὶ μετ᾽ αὐτοῦ ὄχλος πολὺς[17] μετὰ μαχαιρῶν καὶ ξύλων,[18] παρὰ τῶν ἀρχιερέων καὶ τῶν[19] γραμματέων καὶ τῶν πρεσβυτέρων. **44** Δεδώκει δὲ ὁ παραδιδοὺς αὐτὸν σύσσημον αὐτοῖς, λέγων, «Ὃν ἂν φιλήσω, αὐτός ἐστιν· κρατήσατε αὐτὸν καὶ ἀπαγάγετε[20] ἀσφαλῶς.» **45** Καὶ ἐλθών, εὐθέως[21] προσελθὼν αὐτῷ λέγει αὐτῷ, «Ῥαββί, ῥαββί»·[22] καὶ κατεφίλησεν αὐτόν. **46** Οἱ δὲ ἐπέβαλον ἐπ᾽ αὐτὸν τὰς χεῖρας αὐτῶν[23] καὶ ἐκράτησαν αὐτόν. **47** Εἷς δέ τις[24] τῶν παρεστηκότων σπασάμενος τὴν μάχαιραν ἔπαισεν τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον.[25] **48** Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· «Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε[26] μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με. **49** Καθ᾽ ἡμέραν ἤμην πρὸς ὑμᾶς[27] ἐν τῷ ἱερῷ, διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με. Ἀλλ᾽ ἵνα

---

[1] γρηγορειτε *rell* ¦ 1 μετ εμου [2%] CP
[2] προελθων **f**[35] ℵB,N,W [50%] CP,TR,OC,NU ¦ προσελθων A,C,D [50%] HF,RP
[3] επεσεν **f**[35] A,C,D,N,W [99.5%] HF,RP,CP,TR ¦ επιπτεν ℵB [0.5%] NU ¦ 1 επι προσωπον OC
[4] παρενεγκαι **f**[35] ℵA,C [30%] ¦ παρενεγκε B,D,N,W [70%] HF,RP,CP,TR,OC,NU ¦ παρενεγκειν [0.5%]
[5] το ποτηριον απ εμου τουτο **f**[35] [92%] HF,RP,CP,TR,OC ¦ ~ 12534 ℵA,B,C,W [5%] NU ¦ ~ 34125 [2%] ¦ ~ 51234 D,N [1%]
[6] αλλα *rell* ¦ αλλ ει C [2%] OC
[7] ισχυσας *rell* ¦ ισχυσατε D [2%] OC
[8] εισελθητε **f**[35] A,C,D,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ ελθητε ℵB [0.5%] NU
[9] υποστρεψας ευρεν αυτους παλιν **f**[35] A,C(N)W (94.9%) HF,RP,CP,TR,OC ¦ ~ 1423 (2%) ¦ ~ 1243 (0.4%) ¦ 123 (1.3%) ¦ 1 ευρισκει 3 (0.6%) ¦ ~ 4 ελθων 23 ℵB (0.5%) NU ¦ ~ ελθων ευρισκει 3 (D) (0.2%) ¦ one other variant
[10] οι οφθαλμοι αυτων **f**[35] A,D,N,W [97%] HF,RP,CP,TR,OC ¦ ~ 312 ℵB,C [3%] NU
[11] καταβαρυνομενοι **f**[35] A,B,N [35%] OC,NU ¦ καταβαρουμενοι D,W [0.5%] ¦ βαρυνομενοι [0.5%] ¦ καταβεβαρημενοι ℵ ¦ βεβαρημενοι C [64%] HF,RP,CP,TR
[12] αυτω αποκριθωσιν **f**[35] N,W [96%] HF,RP,CP,TR ¦ ~ 21 ℵA,B,C,D [3%] OC,NU ¦ 2 [1%]
[13] καθευδετε **f**[35] A,C,D,W [75%] HF,RP,OC ¦ 1 το ℵB,N [25%] CP,TR,NU
[14] ευθεως **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C [1%] NU ¦ --- D,W [2%]
[15] ιουδας *rell* ¦ 1 ο ισκαριωτης A(D) [5%] OC
[16] ων **f**[35] [90%] HF,RP,CP,TR ¦ --- ℵA,B,C,D,N,W [10%] OC,NU ¦ εκ [0.5%]
[17] πολυς **f**[35] A,C,D,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB [1.5%] NU
[18] ξυλων *rell* ¦ 1 απεσταλμενοι [1%] OC
[19] των *rell* ¦ --- A,C,N,W [8%] OC
[20] απαγαγετε **f**[35] A,C(N) [98%] HF,RP,CP,TR,OC ¦ αγαγετε W [1%] ¦ απαγετε ℵB(D) [1%] NU
[21] ευθεως **f**[35] A,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C [1%] NU ¦ --- D [0.5%]
[22] αυτω ραββι ραββι **f**[35] [84%] HF,RP ¦ 12 (D)(N) [1%] ¦ 23 A [10%] TR ¦ 2 ℵB,C [1%] NU ¦ χαιρε 23 [1%] CP ¦ χαιρε 2 W [3%] OC ¦ at least three further variants (ℵA,B,C,D,W and perhaps [20%] have ραββει for ραββι.)
[23] επ αυτον τας χειρας αυτων **f**[35] [91%] HF,RP,CP,TR,OC ¦ ~ 34512 A [2%] ¦ 345 ℵC,W [0.5%] ¦ 34 αυτω B,D [4%] NU ¦ 1234 [2%] ¦ αυτω 345 N ¦ two other variants
[24] τις **f**[35] B,C(D)N(W) [98%] HF,RP,CP,TR,OC[NU] ¦ --- ℵA [2%]
[25] ωτιον **f**[35] A,C,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ ωταριον ℵB,D [1.5%] NU
[26] εξηλθετε **f**[35] [95%] HF,RP,CP,TR,OC ¦ εξηλθατε ℵA,B,C,D,W [5%] NU
[27] ημην προς υμας *rell* ¦ ~ 231 OC

πληρωθῶσιν αἱ Γραφαί.» **50** Καὶ ἀφέντες αὐτὸν πάντες ἔφυγον.[1]

A curious case

51 Καὶ εἷς τις νεανίσκος[2] ἠκολούθησεν[3] αὐτῷ, περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ. Καὶ κρατοῦσιν αὐτὸν οἱ νεανίσκοι,[4] **52** ὁ δὲ καταλιπὼν τὴν σινδόνα γυμνὸς ἔφυγεν ἀπ᾽ αὐτῶν.[5]

At Caiaphas' house

53 Καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα· καὶ συνέρχονται αὐτῷ[6] πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ οἱ γραμματεῖς. **54** Καὶ ὁ Πέτρος ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ, ἕως ἔσω εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως· καὶ ἦν συγκαθήμενος μετὰ τῶν ὑπηρετῶν καὶ θερμαινόμενος πρὸς τὸ φῶς.

A farcical trial

55 Οἱ δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον ἐζήτουν κατὰ τοῦ Ἰησοῦ μαρτυρίαν εἰς τὸ θανατῶσαι αὐτόν, καὶ οὐχ εὕρισκον.[7] **56** Πολλοὶ γὰρ ἐψευδομαρτύρουν κατ᾽ αὐτοῦ, καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν. **57** Καί τινες ἀναστάντες ἐψευδομαρτύρουν κατ᾽ αὐτοῦ, λέγοντες **58** ὅτι «Ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγοντος ὅτι ‹Ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν χειροποίητον, καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκοδομήσω.› » **59** Καὶ οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν.

60 Καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἰς[8] μέσον ἐπηρώτησεν[9] τὸν Ἰησοῦν, λέγων· «Οὐκ ἀποκρίνῃ οὐδέν; Τί οὗτοί σου καταμαρτυροῦσιν;» **61** Ὁ δὲ ἐσιώπα καὶ οὐδὲν ἀπεκρίνατο.[10] Πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτὸν καὶ λέγει αὐτῷ, «Σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Εὐλογητοῦ;» **62** Ὁ δὲ Ἰησοῦς εἶπεν· «Ἐγώ εἰμι, καὶ ὄψεσθε τὸν Υἱὸν τοῦ Ἀνθρώπου ἐκ δεξιῶν καθήμενον[11] τῆς Δυνάμεως, καὶ ἐρχόμενον μετὰ[12] τῶν νεφελῶν τοῦ οὐρανοῦ.» **63** Ὁ δὲ ἀρχιερεὺς διαρρήξας τοὺς χιτῶνας αὐτοῦ λέγει· «Τί ἔτι χρείαν ἔχομεν μαρτύρων; **64** Ἠκούσατε[13] τῆς βλασφημίας. Τί ὑμῖν φαίνεται;» Οἱ δὲ πάντες κατέκριναν αὐτὸν εἶναι ἔνοχον[14] θανάτου. **65** Καὶ ἤρξαντό τινες ἐμπτύειν αὐτῷ καὶ περικαλύπτειν τὸ πρόσωπον αὐτοῦ[15] καὶ κολαφίζειν αὐτὸν καὶ λέγειν αὐτῷ, «Προφήτευσον.»[16] Καὶ οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν ἔβαλλον.[17]

Peter's denials

66 Καὶ ὄντος τοῦ Πέτρου ἐν τῇ αὐλῇ κάτω,[18] ἔρχεται μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως. **67** Καὶ ἰδοῦσα τὸν Πέτρον θερμαινόμενον, ἐμβλέψασα αὐτῷ λέγει, «Καὶ σὺ μετὰ τοῦ Ναζαρηνοῦ

---

[1] παντες εφυγον **f**[35] A,D,W [97%] HF,RP,CP,TR ¦ ~ 21 ℵB,C [2%] OC,NU ¦ 2 N [1%]
[2] εις τις νεανισκος **f**[35] A,N,W (99%) HF,RP,CP,TR,OC ¦ ~ 32 ℵB,C(D) (0.6%) NU ¦ four other variants (0.4%)
[3] ηκολουθησεν **f**[35] A,N [96%] HF,RP,CP,OC ¦ συνηκολουθει ℵB,C [1%] NU ¦ ηκολουθει D,W [2%] TR ¦ συνηκολουθησεν [0.5%]
[4] οι νεανισκοι **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ ~ 1 δε 2 (W) [2%] ¦ --- ℵB,C,D [1%] NU
[5] απ αυτων **f**[35] A,D,N,W (98.9%) HF,RP,CP,TR,OC ¦ επ 2 (0.4%) ¦ --- ℵB,C (0.5%) NU ¦ three other variants (0.2%)
[6] αυτω **f**[35] A,B [97%] HF,RP,CP,TR,OC ¦ αυτου [0.5%] ¦ αυτων N ¦ προς αυτον C ¦ --- ℵD(W) [2%] NU
[7] ευρισκον **f**[35] ℵA,C,N [98%] HF,RP,CP,TR,OC ¦ ηυρισκον B,D,W [2%] NU
[8] εις *rell* ¦ 1 το D [10%] TR,OC
[9] επηρωτησεν *rell* ¦ επηρωτα [1%] OC
[10] ουδεν απεκρινατο **f**[35] A,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ ~ ουκ 21 ℵB,C [1.5%] NU ¦ 1 απεκριθη D
[11] εκ δεξιων καθημενον **f**[35] ℵB,C,D,N,W [90%] HF,RP,CP,OC,NU ¦ ~ 312 A [10%] TR
[12] μετα *rell* ¦ επι [2%] OC
[13] ηκουσατε *rell* ¦ 1 παντως OC ¦ 1 παντες N,W [2%]
[14] ειναι ενοχον **f**[35] A,N,W [98.5%] HF,RP,TR,OC ¦ ~ 21 ℵB,C [1.5%] CP,NU ¦ 2 D
[15] το προσωπον αυτου **f**[35] A(D)N,W [98%] HF,RP,CP,TR,OC ¦ ~ 312 ℵB,C [2%] NU
[16] προφητευσον *rell* ¦ 1 ημιν τις εστιν ο παισας σε OC ¦ 1 ημιν χριστε τις εστιν ο παισας σε N(W) [3%]
[17] εβαλλον **f**[35] (54.8%) HF,RP,CP,TR ¦ εβαλον (37.4%) OC ¦ ελαβον ℵA,B,C,N (5.8%) NU ¦ ελαμβανον D,W (1.7%) ¦ six other variants (0.4%)
[18] εν τη αυλη κατω **f**[35] A,N,W [97%] HF,RP,CP,TR ¦ ~ 4123 ℵB,C [2%] OC,NU ¦ 123 D [1%]

Ἰησοῦ ἦσθα.»[1] **68** Ὁ δὲ ἠρνήσατο, λέγων, «Οὐκ[2] οἶδα οὔτε[3] ἐπίσταμαι τί σὺ[4] λέγεις.» Καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον, καὶ ἀλέκτωρ ἐφώνησεν.[5] **69** Καὶ ἡ παιδίσκη ἰδοῦσα αὐτὸν πάλιν ἤρξατο λέγειν[6] τοῖς παρεστηκόσιν[7] ὅτι «Οὗτος ἐξ αὐτῶν ἐστιν.» **70** Ὁ δὲ πάλιν ἠρνεῖτο. Καὶ μετὰ μικρόν, πάλιν οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ, «Ἀληθῶς ἐξ αὐτῶν εἶ· καὶ γὰρ Γαλιλαῖος εἶ, καὶ ἡ λαλιά σου ὁμοιάζει.»[8] **71** Ὁ δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύναι[9] ὅτι «Οὐκ οἶδα τὸν ἄνθρω-πον τοῦτον ὃν λέγετε.» **72** Καὶ[10] ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησεν. Καὶ ἀνεμνήσθη ὁ Πέτρος τὸ ῥῆμα[11] ὃ[12] εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι «Πρὶν ἀλέκτορα[13] φωνῆσαι δίς, ἀπαρνήσῃ με τρίς.»[14] Καὶ ἐπιβαλὼν ἔκλαιεν.

Crucifixion Day—Friday, 04/05/30 AD

15:1 Καὶ εὐθέως[15] ἐπὶ τὸ[16] πρωΐ, συμβούλιον ποιήσαντες, οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων, καὶ ὅλον τὸ συνέδριον, δήσαντες τὸν Ἰησοῦν ἀπήνεγκαν καὶ παρέδωκαν τῷ[17] Πιλάτῳ.

Jesus before Pilate

2 Καὶ ἐπηρώτησεν αὐτὸν ὁ Πιλᾶτος, «Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;» Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ,[18] «Σὺ λέγεις.» **3** Καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά.[19] **4** Ὁ δὲ Πιλᾶτος πάλιν ἐπηρώτησεν αὐτόν,[20] λέγων· «Οὐκ ἀποκρίνῃ οὐδέν; Ἴδε πόσα σου καταμαρτυροῦσιν.»[21] **5** Ὁ δὲ Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη, ὥστε θαυμάζειν τὸν Πιλᾶτον.

Barabbas

6 Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον, ὅνπερ ἠτοῦντο.[22] **7** Ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς, μετὰ τῶν συστασιαστῶν[23] δεδεμένος, οἵτινες ἐν τῇ στάσει φόνον πεποιήκεισαν. **8** Καὶ ἀναβοήσας[24] ὁ ὄχλος ἤρξατο αἰτεῖσθαι καθὼς ἀεὶ[25] ἐποίει αὐτοῖς. **9** Ὁ δὲ Πιλᾶτος ἀπεκρίθη αὐτοῖς, λέγων, «Θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων;» **10** (Ἐγίνωσκεν γὰρ ὅτι διὰ

---

[1] ναζαρηνου ιησου ησθα **f**[35] A,N [97%] HF,RP,CP,TR ¦ 12 ης W [0.5%] ¦ 23 [0.5%] ¦ ~ 13 του 2 B,C [1%] NU ¦ ~ 23 του 1 ℵ ¦ 2 του 13 D [0.5%] OC (at least six spellings for ‘Nazarene’)
[2] ουκ **f**[35] A,C,N [98%] HF,RP,CP,TR,OC ¦ ουτε ℵB,D,W [2%] NU
[3] ουτε **f**[35] ℵB,C,D,W [50%] HF,CP,NU ¦ ουδε A,N [50%] TR,OC,RP
[4] τι συ **f**[35] A [96%] HF,RP,CP,TR,OC ¦ ~ 21 ℵB,C,N,W [4%] NU ¦ 1 D
[5] και αλεκτωρ εφωνησεν **f**[35] A,C,D,N (98.5%) HF,RP,CP,TR,OC[NU] ¦ 1 ευθεως 23 (0.9%) ¦ --- ℵB,W (0.6%) (1,623 vs 9 mss.)
[6] παλιν ηρξατο λεγειν **f**[35] A,N [98%] HF,RP,CP,TR,OC ¦ ~ 213 ℵC [1%] NU ¦ 23 W [0.5%] ¦ ειπεν B ¦ D is wild
[7] παρεστηκοσιν **f**[35] A(D)N,W [95%] HF,RP,CP,TR,OC ¦ παρεστωσιν ℵB,C [5%] NU
[8] και η λαλια σου ομοιαζει **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,D(W) [2.5%] NU ¦ 1234 δηλοι N
[9] ομνυναι **f**[35] B [75%] HF,RP,CP,OC,NU ¦ ομνυειν ℵA,C,N,W [25%] TR ¦ λεγειν D
[10] και **f**[35] A,N (96.6%) HF,RP,CP,TR,OC ¦ 1 ευθεως C,D,W (1.9%) ¦ 1 ευθυς ℵB (0.8%) NU ¦ --- (0.7%)
[11] το ρημα *rell* ¦ του ρηματος W [10%]
[12] ο **f**[35] D,N [96%] HF,RP,CP,OC ¦ ως ℵA,B,C [2%] NU ¦ ου W [1%] TR ¦ του ιησου [1%]
[13] αλεκτορα *rell* ¦ αλεκτωρα N [2%] CP
[14] απαρνηση με τρις **f**[35] A,N [99%] HF,RP,CP,TR,OC ¦ ~ 321 ℵB,C,W [1%] NU ¦ long omission D
[15] ευθεως **f**[35] A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C [1%] NU
[16] επι το **f**[35] A,N,W (80%) HF,RP,CP,TR,OC ¦ 1 τω (17.3%) ¦ 2 (0.7%) ¦ 1 (0.3%) ¦ τω (0.3%) ¦ --- ℵB,C,D (1.1%) NU ¦ three other variants (0.2%)
[17] τω **f**[35] A,N,W [97%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C,D [3%] NU
[18] ειπεν αυτω **f**[35] A,N [97.5%] HF,RP,CP,TR,OC ¦ λεγει 2 [1%] ¦ ~ 2 λεγει ℵB,C,D [1%] NU ¦ 1 W
[19] πολλα **f**[35] ℵA,B,C,D [90%] HF,RP,TR,NU ¦ 1 αυτος δε ουδεν απεκρινατο N,W [10%] CP,OC
[20] παλιν επηρωτησεν αυτον **f**[35] ℵA [98%] HF,RP,CP,TR ¦ ~ 231 C,D ¦ 1 επηρωτα 3 B,W [1%] OC,NU ¦ επηρωτα 3 [1%]
[21] καταμαρτυρουσιν **f**[35] A,N [98%] HF,RP,CP,TR,OC ¦ κατηγορουσιν ℵB,C,D,W [2%] NU
[22] ονπερ ητουντο **f**[35] C,N [97.5%] HF,RP,CP,TR,OC ¦ ον 2 W [1%] ¦ ον παρητουντο ℵA,B [0.5%] NU ¦ ον αν 2 D [1%]
[23] συστασιαστων **f**[35] (A) [96%] HF,RP,CP,TR,OC ¦ στασιαστων ℵB,C,D,N,W [4%] NU
[24] αναβοησας **f**[35] A,C,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ αναβας ℵB [0.5%] NU ¦ αναβας ολος D
[25] αει **f**[35] A,C,D,N [98.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB,W [1%] NU ¦ one other variant [0.5%]

φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς.) **11** Οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον, ἵνα μᾶλλον τὸν Βαραββᾶν ἀπολύσῃ αὐτοῖς. **12** Ὁ δὲ Πιλᾶτος ἀποκριθεὶς πάλιν εἶπεν[1] αὐτοῖς, «Τί οὖν θέλετε[2] ποιήσω ὃν λέγετε[3] βασιλέα[4] τῶν Ἰουδαίων;» **13** Οἱ δὲ πάλιν ἔκραξαν, «Σταύρωσον αὐτόν.» **14** Ὁ δὲ Πιλᾶτος ἔλεγεν αὐτοῖς, «Τί γὰρ κακὸν ἐποίησεν;»[5] Οἱ δὲ περισσοτέρως[6] ἔκραξαν, «Σταύρωσον αὐτόν.» **15** Ὁ δὲ Πιλᾶτος, βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι, ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, καὶ παρέδωκεν τὸν Ἰησοῦν, φραγελλώσας, ἵνα σταυρωθῇ.

Soldiers have a little ‘fun’

16 Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς, ὅ ἐστιν Πραιτώριον, καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν. **17** Καὶ ἐνδύουσιν[7] αὐτὸν πορφύραν καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον, **18** καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτὸν καὶ λέγειν,[8] «Χαῖρε, ὁ βασιλεὺς[9] τῶν Ἰουδαίων.» **19** Καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ καὶ ἐνέπτυον αὐτῷ, καὶ τιθέντες τὰ γόνατα προσεκύνουν αὐτῷ. **20** Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια.[10] Καὶ ἐξάγουσιν αὐτὸν ἵνα σταυρώσωσιν αὐτόν.

The Crucifixion

21 Καὶ ἀγγαρεύουσιν παράγοντά τινα, Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ᾽ ἀγροῦ (τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου), ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. **22** Καὶ φέρουσιν αὐτὸν ἐπὶ[11] Γολγοθᾶ[12] τόπον, ὅ ἐστιν μεθερμηνευόμενον, ‹Κρανίου Τόπος.› **23** Καὶ ἐδίδουν αὐτῷ πιεῖν[13] ἐσμυρνισμένον οἶνον, ὁ[14] δὲ οὐκ ἔλαβεν. **24** Καὶ σταυρώσαντες[15] αὐτόν,[16] διαμερίζονται[17] τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον ἐπ᾽ αὐτά, τίς τί ἄρῃ. **25** Ἦν δὲ ὥρα τρίτη καὶ ἐσταύρωσαν αὐτόν. **26** Καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη·

Ὁ ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ

27 Καὶ σὺν αὐτῷ σταυροῦσιν δύο λῃστάς, ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. **28** Καὶ ἐπληρώθη ἡ Γραφὴ ἡ λέγουσα, «Καὶ μετὰ ἀνόμων ἐλογίσθη.»[18]

29 Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες, «Οὐά, ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν,[19] **30** σῶσον σεαυτὸν καὶ κατάβα[20] ἀπὸ τοῦ σταυροῦ.» **31** Ὁμοίως[21] καὶ οἱ ἀρχιερεῖς, ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν

---

[1] αποκριθεις παλιν ειπεν **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ ~ 213 [0.5%] ¦ ~ 21 ελεγεν ℵB,C [1%] NU ¦ 13 D,W [1.5%] ¦ one other variant

[2] θελετε **f**[35] A,D,N [98.5%] HF,RP,CP,TR,OC[NU] ¦ --- ℵB,C,W [1.5%]

[3] ον (−ον B) λεγετε **f**[35] ℵ(B)C,N (98.3%) HF,RP,CP,TR,OC[NU] ¦ --- A,D,W (1.5%) ¦ long omissions (0.2%)

[4] βασιλεα **f**[35] (D)N [95%] HF,RP,CP,TR ¦ τον 1 ℵA,B,C,W [5%] OC,NU

[5] κακον εποιησεν **f**[35] ℵA,D,N [98.5%] HF,RP,CP,TR ¦ ~ 21 B,C [1.5%] OC,NU (W vacant)

[6] περισσοτερως **f**[35] N [90%] HF,RP,CP,TR,OC ¦ περισσως ℵA,B,C,D [10%] NU

[7] ενδυουσιν **f**[35] A,N [96%] HF,RP,CP,TR,OC ¦ ενδιδυσκουσιν ℵB,C(D) [4%] NU

[8] και λεγειν **f**[35] ℵN [30%] CP ¦ λεγοντες [2%] ¦ --- A,B,C,D [68%] HF,RP,TR,OC,NU

[9] ο βασιλευς **f**[35] A,N [80%] HF,RP,CP,OC ¦ βασιλευ ℵB,D [20%] TR,NU

[10] ιματια τα ιδια **f**[35] A,N (96.3%) HF,RP,CP,TR,OC ¦ 1 αυτου 23 (1.9%) ¦ ~ 31 αυτου ℵ (0.3%) ¦ 1 αυτου B,C (0.8%) NU ¦ ~ 31 (0.4%) ¦ 1 D (0.2%) ¦ two other variants (0.1%)

[11] επι **f**[35] A,C(D) [95%] HF,RP,CP,TR,OC ¦ 1 τον ℵB,N [5%] NU

[12] γολγοθα **f**[35] A,C,D [90%] HF,RP,TR,OC ¦ γολγοθαν ℵB,N [10%] CP,NU

[13] πιειν **f**[35] A(D) [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C [1%] NU

[14] ο **f**[35] A,C [98%] HF,RP,CP,TR,OC ¦ ος ℵB [1%] NU ¦ και D [1%]

[15] σταυρωσαντες **f**[35] ℵA,C,D [99.5%] HF,RP,CP,TR,OC ¦ σταυρουσιν B [0.5%] NU

[16] αυτον **f**[35] ℵA,C,D [99.5%] HF,RP,CP,TR,OC ¦ 1 και B [0.5%] NU

[17] διαμεριζονται **f**[35] ℵA,B,C,D [95%] HF,RP,CP,OC,NU ¦ διεμεριζοντο [3%] ¦ διεμεριζον [2%] TR ¦ three other variants

[18] verse 28 entire **f**[35] (88.7%) HF,RP,CP,TR,OC ¦ --- ℵA,B,C,D (11.1%) NU ¦ two other variants (0.1%) (OC is in small print)

[19] εν τρισιν ημεραις οικοδομουν **f**[35] ℵC [97%] HF,RP,CP,TR,OC ¦ ~ 4123 B(D) [1%] NU ¦ 234 A [2%]

[20] και καταβα **f**[35] A,C [96.5%] HF,RP,CP,TR,OC ¦ καταβας ℵB [1.5%] NU ¦ 1 καταβηθι [2%]

[21] ομοιως **f**[35] ℵA,B,C [90%] HF,RP,CP,NU ¦ 1 δε [10%] TR,OC ¦ --- D

γραμματέων, ἔλεγον· «Ἄλλους ἔσωσεν· ἑαυτὸν οὐ δύναται σῶσαι. **32** Ὁ Χριστός, ὁ βασιλεὺς τοῦ[1] Ἰσραήλ, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ.»[2] Καὶ οἱ συνεσταυρωμένοι αὐτῷ[3] ὠνείδιζον αὐτόν.

33 Γενομένης δὲ[4] ὥρας ἕκτης, σκότος ἐγένετο ἐφ᾽ ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης.[5] **34** Καὶ τῇ ὥρᾳ τῇ ἐνάτῃ[6] ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων,[7] «Ἐλωΐ, Ἐλωΐ, λιμᾶ[8] σαβαχθανί;» ὅ ἐστιν μεθερμηνευόμενον, «Ὁ Θεός,[9] ὁ Θεός μου, εἰς τί με ἐγκατέλιπες;»[10] **35** Καί τινες τῶν παρεστηκότων ἀκούσαντες ἔλεγον, «Ἰδού,[11] Ἠλίαν φωνεῖ.» **36** Δραμὼν δὲ εἷς[12] καὶ[13] γεμίσας σπόγγον ὄξους, περιθείς τε[14] καλάμῳ, ἐπότιζεν αὐτόν, λέγων, «Ἄφετε, ‹ἴδωμεν εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν.› »

37 Ὁ δὲ Ἰησοῦς, ἀφεὶς φωνὴν μεγάλην, ἐξέπνευσεν· **38** καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ[15] ἄνωθεν ἕως κάτω. **39** Ἰδὼν δὲ ὁ κεντυρίων, ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕτως κράξας[16] ἐξέπνευσεν, εἶπεν, «Ἀληθῶς ὁ ἄνθρωπος οὗτος Υἱὸς ἦν Θεοῦ.»[17]

40 Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι, ἐν αἷς ἦν[18] Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ τοῦ[19] Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ[20] μήτηρ καὶ Σαλώμη—**41** αἳ καὶ[21] ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ ἠκολούθουν αὐτῷ καὶ διηκόνουν αὐτῷ—καὶ ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς Ἰεροσόλυμα.

The burial

42 Καὶ ἤδη ὀψίας γενομένης, ἐπεὶ Παρασκευὴ ἦν,[22] ὅ ἐστιν προσάββατον,[23] **43** ἐλθὼν[24] Ἰωσὴφ ὁ[25] ἀπὸ Ἀριμαθαίας, εὐσχήμων βουλευτής, ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ Θεοῦ,[26] τολμήσας εἰσῆλθεν πρὸς[27] Πιλᾶτον καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. **44** Ὁ δὲ Πιλᾶτος ἐθαύμασεν εἰ ἤδη τέθνηκεν· καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανεν. **45** Καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος, ἐδωρήσατο τὸ σῶμα[28] τῷ Ἰωσήφ. **46** Καὶ

---

[1] του **f**[35] A,C [95%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D [5%] NU
[2] αυτω **f**[35] D [80%] HF,RP,CP,OC ¦ --- ℵA,B,C [20%] TR,NU
[3] αυτω **f**[35] A,C (96.7%) HF,RP,CP,TR,OC ¦ συν 1 ℵB (1.2%) NU ¦ --- D (1.9%) ¦ long omissions (0.2%)
[4] γενομενης δε **f**[35] A,C [96%] HF,RP,CP,TR,OC ¦ ~ και 1 ℵB,D [4%] NU
[5] ενατης **f**[35] ℵA,B,C,D,N [80%] HF,RP,CP,OC,NU ¦ εννατης [20%] TR (Also in the next verse.)
[6] ωρα τη ενατη **f**[35] A,C,N [96%] HF,RP,CP,TR,OC ¦ ~ 31 ℵB,D [4%] NU
[7] λεγων **f**[35] A,C,N [98.5%] HF,RP,CP,TR,OC ¦ --- ℵB,D [1.5%] NU
[8] λιμα **f**[35] A [85%] HF,RP,CP,OC ¦ λειμα [10%] ¦ λεμα ℵC [1%] NU ¦ λαμμα [2%] TR ¦ λαμα B,D,N [1.5%]
[9] ο θεος **f**[35] A [45%] ¦ 12 μου ℵC,D,N [55%] HF,RP,CP,TR,OC,NU ¦ --- B
[10] με εγκατελιπες **f**[35] (A)C [98.5%] HF,RP,CP,TR,OC ¦ ~ 21 (ℵ)B [1.5%] NU ¦ ~ ωνιδισας 1 D
[11] ιδου **f**[35] A,N [90%] HF,RP,CP,TR ¦ ιδε ℵB [4%] OC,NU ¦ οτι C [0.5%] ¦ οτι 1 [5%] ¦ --- D [0.5%]
[12] εις **f**[35] A,C,D,N [98%] HF,RP,CP,TR,OC ¦ τις ℵB [1%] NU ¦ --- [1%]
[13] και **f**[35] ℵA,C,D,N [98.5%] HF,RP,CP,TR,OC[NU] ¦ --- B [1.5%]
[14] τε **f**[35] A,C [97%] HF,RP,CP,TR,OC ¦ --- ℵB(D)N [1.5%] NU ¦ ~ και [1.5%]
[15] απο **f**[35] ℵA,C,N [98%] HF,RP,CP,TR,OC ¦ απ B,D,W [2%] NU
[16] κραξας **f**[35] A,C,N,W (98.6%) HF,RP,CP,TR,OC ¦ κραξαντα D ¦ --- ℵB (0.4%) NU ¦ longer omissions (0.9%)
[17] ο ανθρωπος ουτος υιος ην θεου **f**[35] A,C,N,W [97.5%] HF,RP,CP,TR,OC ¦ ~ 312465 ℵB [2%] NU ¦ ~ 312645 D ¦ two other variants
[18] ην **f**[35] D,W [55%] CP ¦ 1 και A,C,N [45%] HF,RP,TR,OC ¦ και ℵB [0.5%] NU
[19] του **f**[35] A [90%] HF,RP,CP,TR,OC ¦ --- ℵB,C(D)N,W [10%] NU
[20] ιωση **f**[35] ℵA,C,N(W) [98%] HF,RP,CP,TR,OC ¦ ιωσητος (B)D [2%] NU
[21] αι και **f**[35] D (88.8%) HF,RP,CP,TR,OC ¦ 2 A,C,N,W (7.4%) ¦ 1 ℵB (3.7%) NU ¦ 1 δε (0.1%)
[22] παρασκευη ην **f**[35] [25%] ¦ ~ 21 ℵA,B,C,D,W [75%] HF,RP,CP,TR,OC,NU
[23] προσαββατον **f**[35] ℵB,C,W [70%] HF,RP,CP,TR,OC,NU ¦ προσσαββατον A [30%] ¦ πρινσαββατον D
[24] ελθων **f**[35] ℵA,B,C,W [35%] OC,NU ¦ ηλθεν D [65%] HF,RP,CP,TR
[25] ο **f**[35] ℵA,C,W [98.5%] HF,RP,CP,TR,OC[NU] ¦ --- B,D [1.5%]
[26] θεου *rell* ¦ 1 και [2%] CP
[27] προς **f**[35] A,C,D [99%] HF,RP,CP,TR,OC ¦ 1 τον ℵB,W [1%] NU
[28] σωμα **f**[35] A,C,W [99%] HF,RP,CP,TR,OC ¦ πτωμα ℵB,D [1%] NU

ἀγοράσας[1] σινδόνα καὶ[2] καθελὼν αὐτόν, ἐνείλησεν[3] τῇ σινδόνι καὶ κατέθηκεν[4] αὐτὸν ἐν μνημείῳ, ὃ ἦν λελατομημένον ἐκ πέτρας· καὶ προσεκύλισεν λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου. **47** Ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία[5] Ἰωσῆ[6] ἐθεώρουν ποῦ τίθεται.[7]

16:1 Καὶ διαγενομένου τοῦ σαββάτου, Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία[8] Ἰακώβου καὶ Σαλώμη ἠγόρασαν[9] ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν τὸν Ἰησοῦν.[10]

Resurrection Day—Sunday, 04/07/30 AD

Women go to sepulcher

16:2 Καὶ λίαν πρωῒ τῆς μιᾶς[11] σαββάτων, ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου. **3** Καὶ ἔλεγον πρὸς ἑαυτάς, «Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου;» **4** Καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος (ἦν γὰρ μέγας σφόδρα). **5** Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς περιβεβλημένον στολὴν λευκήν, καὶ ἐξεθαμβήθησαν. **6** Ὁ δὲ λέγει αὐταῖς· «Μὴ ἐκθαμβεῖσθε. Ἰησοῦν ζητεῖτε, τὸν Ναζαρηνόν, τὸν ἐσταυρωμένον. Ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε, ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. **7** Ἀλλ'[12] ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, καὶ τῷ Πέτρῳ, ὅτι ‹Προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν.› » **8** Καὶ ἐξελθοῦσαι[13] ἔφυγον ἀπὸ τοῦ μνημείου, εἶχεν δὲ[14] αὐτὰς τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ οὐδὲν εἶπον, ἐφοβοῦντο γάρ.[15]

Jesus appears to the Magdalene, first

9 Ἀναστὰς δὲ ὁ Ἰησοῦς[16] πρωῒ πρώτῃ σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ'[17] ἧς[18] ἐκβεβλήκει ἑπτὰ δαιμόνια. **10** Ἐκείνη πορευθεῖσα ἀπήγγειλεν τοῖς μετ᾽ αὐτοῦ γενομένοις, πενθοῦσιν καὶ κλαίουσιν. **11** Κἀκεῖνοι, ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη ὑπ᾽ αὐτῆς, ἠπίστησαν.

Emmaus[19]

12 Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη, ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. **13** Κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις ἐπίστευσαν.

Jesus appears to the 'Eleven', fifth

14 Ὕστερον[20] ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη· καὶ ὠνείδισεν τὴν ἀπιστίαν

---

[1] αγορασας *rell* ¦ αγωρασας CP
[2] και **f**[35] A,C(W) [99%] HF,RP,CP,TR,OC ¦ --- ℵB(D) [1%] NU
[3] ενειλησεν *rell* ¦ ενειλισε [5%] CP
[4] κατεθηκεν **f**[35] C (94.1%) HF,RP,CP,TR,OC ¦ εθηκεν ℵB,D,W (4.6%) NU ¦ τεθηκεν (0.7%) ¦ καθηκεν A (0.3%) ¦ long omission (0.2%) ¦ one other variant
[5] μαρια **f**[35] D [97%] HF,RP,CP,TR,OC ¦ 1 η A,B,C,W [3%] NU ¦ ℵ has a long omission [homoioteleuton]
[6] ιωση **f**[35] C(W) [96%] HF,RP,CP,TR,OC ¦ ιωσηφ A [0.5%] ¦ ιωσητος B [3%] NU ¦ ιακωβου D [0.5%] ¦ --- ℵ
[7] τιθεται **f**[35] W [97%] HF,RP,CP,TR,OC ¦ τεθειται A,B,C,D [3%] NU ¦ --- ℵ
[8] μαρια **f**[35] [88%] HF,RP,CP ¦ 1 η του A,B [2%] TR,OC[NU] ¦ 1 η ℵC,W [10%] ¦ D has a long omission
[9] ηγορασαν *rell* ¦ ηγωρασαν CP
[10] τον ιησουν **f**[35] [30%] CP ¦ αυτον ℵA,B,C(D)W [70%] HF,RP,TR,OC,NU
[11] της μιας **f**[35] A,C [97%] HF,RP,CP,TR,OC ¦ 2 D ¦ 12 των [1%] ¦ τη μια των ℵ [1.5%] NU ¦ μια των B,W ¦ μια [0.5%]
[12] αλλ *rell* ¦ αλλα ℵA,B,C,D,W [2%] NU
[13] εξελθουσαι *rell* ¦ 1 ταχυ [5%] TR
[14] δε **f**[35] A,C [99.5%] HF,RP,CP,TR,OC ¦ γαρ ℵBD(W) [0.5%] NU
[15] have verses 9-20 *rell* [[NU]] ¦ --- ℵB (For a full discussion of this variant, please see Appendix D in my, *The Identity of the New Testament Text V.*)
[16] ο ιησους **f**[35] [30%] CP ¦ --- A,C,D,W [70%] HF,RP,TR,OC,NU (ℵB omit verses 9-20 and NU puts them in double brackets.)
[17] αφ **f**[35] A [98%] HF,RP,CP,TR,OC ¦ παρ C,D,W [2%] NU
[18] ης *rell* ¦ 1 και CP
[19] [This was either the third or the fourth appearance; the 2nd was to the women; Jesus also appeared to Peter, but the Text does not permit us to know for sure if it was before or after Emmaus.]
[20] υστερον **f**[35] C,W [98%] HF,RP,CP,TR,OC ¦ 1 δε A,D [2%] [NU]

αὐτῶν καὶ σκληροκαρδίαν, ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον[1] οὐκ ἐπίστευσαν. **15** Καὶ εἶπεν αὐτοῖς· «Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει. **16** Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται· ὁ δὲ ἀπιστήσας κατακριθήσεται. **17** Σημεῖα δὲ τοῖς πιστεύσασιν ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσιν· γλώσσαις λαλήσουσιν καιναῖς·[2] **18** ὄφεις ἀροῦσιν·[3] κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψῃ·[4] ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσιν, καὶ καλῶς ἕξουσιν.»

The Ascension

16:19 Ὁ μὲν οὖν Κύριος,[5] μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανὸν καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ. **20** Ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων. Ἀμήν.[6,7,8,9]

---

[1] εγηγερμενον *rell* ¦ 1 εκ νεκρων A,C (10.7%)

[2] καιναις **f**[35] A,W (97.8%) HF,RP,CP,TR,OC ¦ και εν ταις χερσιν 1 C (2.2%) [NU]

[3] οφεις αρουσιν **f**[35] A,W (97.4%) HF,RP,CP,TR,OC ¦ και εν ταις χερσιν 12 C (2.2%) [NU] ¦ --- (0.2%) ¦ omit verses 9-20 ℵ[c]B

[4] βλαψη **f**[35] A,C,W [95%] HF,RP,CP,NU ¦ βλαψει [5%] TR,OC

[5] κυριος **f**[35] A (94.5%) HF,RP,CP,TR,OC ¦ 1 ιησους C(W) (5.2%) NU ¦ ιησους (0.2%) ¦ one other variant

[6] αμην **f**[35] C,W (97.9%) HF,RP,CP,TR,OC ¦ --- A (2.1%) NU

[7] have verses 9-20 *rell* [[NU]] ¦ --- ℵB (For a full discussion of this variant, please see Appendix D in my, *The Identity of the New Testament Text V*.)

[8] In the colophons, **f**[35] [50%] have, "published ten years after the ascension of Christ". For 50% of the MSS to have this information probably means that the tradition is ancient; and of course, I have demonstrated, to my own satisfaction at least, that **f**[35] goes back at least to the 3rd century. If this information is correct, then Mark was 'published' in 40/41 AD. The same sources have Matthew published two years earlier (38/39) and Luke five years later (45/46), while John was 'published' thirty-two years after the ascension, or 61/62 AD. Not only were the authors eyewitnesses of the events, but many others were still alive when the Gospels appeared. They could attest to the veracity of the accounts, but could also be the source of textual variants, adding tidbits here and there, or 'correcting' something that they remembered differently.

[9] The citation of **f**[35] is based on the following sixty-two MSS—18, 35, 55, 128, 141, 204, 361, 510, 547, 553, 586, 645, 689, 769, 789, 824, 867, 928, 960, 1023, 1040, 1046, 1072, 1075, 1111, 1117, 1133, 1145, 1147, 1199, 1251, 1339, 1384, 1435, 1461, 1496, 1503, 1572, 1628, 1637, 1652, 1667, 1705, 1713, 2122, 2221, 2253, 2261, 2265, 2273, 2323, 2352, 2382, 2466, 2503, 2554, 2621, 2765, 2875, 2876, Iviron 2110 and Leukosia 65 [the last two do not yet have a GA number, so far as I know]—all of which I collated myself. None of them is a 'perfect' representative of **f**[35] in Mark, as it stands [an unreasonable expectation, presumably, for a book this size, besides being a Gospel]. However, 867 has one correction and is thus a complete representative, no letter has been lost, and 586 is only off by one letter, and its exemplar, and that of 35 and 2382, probably were perfect. And several other exemplars come close—that of 1628 was off by one variant, those of 510 and 2253 were off by two variants, those of 824, 1435, 1503 and 1637 were off by three, several by four, and so on. [This refers to the MSS I have collated—there may be even better ones out there! In fact, since I have collated perhaps 20% of the family representatives for this book, there probably are better ones out there.] The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Cyprus, Patmos, Constantinople, Bucharest, Aegean, Tirana, Mt. Athos [nine different monasteries], Corinth?, Athens, Grottaferrata, Vatican, Leukosia, Kalavryta, Meteora, Lesbos, Sparta, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there, I mainly depended on Legg (*Novum Testamentum Graece Secundum Westcotto-Hortianum.* Evangelium Secundum Marcum [Ed. S.C.E. Legg, Oxonii: E. Typographeo Clarendoniano, 1935]). I occasionally supplemented from Swanson, Scrivener and von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±2%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±4%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%—since my sources had collated a lower percentage of the extant MSS than *ECM* for the General Epistles, for example, my guesses as to percentages are more tentative than they were there, except that I guarantee the witness of **f**[35]. Please see the last footnote for Matthew for further information.

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΛΟΥΚΑΝ

Dedicatory

1:1 Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν
πραγμάτων, **2** καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου,
3 ἔδοξεν κἀμοί, παρηκολουθηκότι Ἄνωθεν πᾶσιν, ἀκριβῶς καθεξῆς σοι γράψαι, κράτιστε
Θεόφιλε, **4** ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν.

The birth of John the baptizer foretold

1:5 Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρῴδου, τοῦ[1] βασιλέως τῆς Ἰουδαίας, ἱερεύς τις ὀνόματι Ζαχαρίας,
ἐξ ἐφημερίας Ἀβιά· καὶ ἡ γυνὴ αὐτοῦ[2] ἐκ τῶν θυγατέρων Ἀαρών, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ.
6 ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον[3] τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ
δικαιώμασιν τοῦ Κυρίου ἄμεμπτοι. **7** Καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ ἦν[4] στεῖρα·
καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν.

The setting

8 Ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι[5] τοῦ Θεοῦ,
9 κατὰ τὸ ἔθος τῆς ἱερατείας, ἔλαχεν τοῦ θυμιᾶσαι εἰσελθὼν εἰς τὸν ναὸν τοῦ Κυρίου· **10** καὶ πᾶν
τὸ πλῆθος τοῦ λαοῦ ἦν[6] προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος. **11** Ὤφθη δὲ αὐτῷ ἄγγελος
Κυρίου ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος· **12** καὶ ἐταράχθη Ζαχαρίας ἰδών, καὶ
φόβος ἐπέπεσεν ἐπ᾽ αὐτόν.

Gabriel delivers

13 Εἶπεν δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· «Μὴ φοβοῦ, Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σου,
καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. **14** Καὶ ἔσται
χαρά σοι καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει[7] αὐτοῦ χαρήσονται· **15** ἔσται γὰρ μέγας
ἐνώπιον τοῦ[8] Κυρίου· καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ· καὶ Πνεύματος Ἁγίου πλησθήσεται ἔτι ἐκ
κοιλίας μητρὸς αὐτοῦ. **16** Καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν·
17 καὶ αὐτὸς προελεύσεται ἐνώπιον Αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλιού, ἐπιστρέψαι καρδίας
πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον.»

Zacharias doubts

18 Καὶ εἶπεν Ζαχαρίας πρὸς τὸν ἄγγελον· «Κατὰ τί γνώσομαι τοῦτο; Ἐγὼ γάρ εἰμι
πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς.» **19** Καὶ ἀποκριθεὶς ὁ ἄγγελος
εἶπεν αὐτῷ· «Ἐγώ εἰμι Γαβριήλ, ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ· καὶ ἀπεστάλην λαλῆσαι πρός
σε καὶ εὐαγγελίσασθαί σοι ταῦτα. **20** Καὶ ἰδού, ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς
ἡμέρας γένηται ταῦτα, ἀνθ᾽ ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν
καιρὸν αὐτῶν.»

Zacharias punished

21 Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν, καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ

---

[1] του **f**[35] A,C,D [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,W [1%] NU
[2] η γυνη αυτου **f**[35] A [98.6%] CP,HF,RP,TR,OC ¦ 2 αυτω ℵB,C,D,W [1.4%] NU
[3] ενωπιον **f**[35] A,D,W [99.4%] CP,HF,RP,TR,OC ¦ εναντιον ℵB,C [0.6%] NU
[4] η ελισαβετ ην **f**[35] A,C [92.9%] CP,HF,RP,TR,OC ¦ ~ 312 ℵD [2.3%] NU ¦ 23 [4.4%] ¦ ~ 32 B,W [0.4%]
[5] εναντι **f**[35] B,D,W [80%] CP,HF,RP,TR,OC,NU ¦ εναντιον ℵA,C [20%]
[6] του λαου ην **f**[35] A,C,D [45%] CP,TR ¦ ~ 312 ℵB,W [55%] HF,RP,OC,NU (The verb works with the participle in a periphrastic construction; the reading of A,C,D is the more natural, by far.)
[7] γεννησει **f**[35] [70%] CP,HF,RP,TR,OC ¦ γενεσει ℵA,B,C,D,W [30%] NU
[8] του **f**[35] B,D,W [80%] CP,HF,RP,TR,OC[NU] ¦ --- ℵA,C [20%]

ναῷ.[1] **22** Ἐξελθὼν δὲ οὐκ ἠδύνατο[2] λαλῆσαι αὐτοῖς, καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ—καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς, καὶ διέμενεν κωφός. **23** Καὶ ἐγένετο, ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

24 Μετὰ δὲ ταύτας τὰς ἡμέρας συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ, καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε· λέγουσα **25** ὅτι «Οὕτως μοι πεποίηκεν ὁ[3] Κύριος ἐν ἡμέραις αἷς ἐπεῖδεν ἀφελεῖν τὸ[4] ὄνειδός μου ἐν ἀνθρώποις.»

The birth of Jesus foretold—5 BC

1:26 Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ[5] τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας ᾗ ὄνομα Ναζαρέτ,[6] **27** πρὸς παρθένον μεμνηστευμένην[7] ἀνδρὶ ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου[8] Δαυίδ· καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ. **28** Καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτὴν[9] εἶπεν, «Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξίν.»[10] **29** Ἡ δὲ ἰδοῦσα[11] διεταράχθη ἐπὶ τῷ λόγῳ[12] αὐτοῦ,[13] καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος.

Gabriel delivers

30 Καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ· «Μὴ φοβοῦ, Μαριάμ, εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ. **31** Καὶ ἰδού, συλλήψῃ[14] ἐν γαστρὶ καὶ τέξῃ Υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. **32** Οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ· **33** καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας· καί, τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.»

Mary agrees

34 Εἶπεν δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον, «Πῶς ἔσται[15] τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;» **35** Καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ· «Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον Ἅγιον κληθήσεται Υἱὸς Θεοῦ. **36** Καὶ ἰδού, Ἐλισάβετ ἡ συγγενής[16] σου, καὶ αὕτη[17] συνειληφυῖα[18] υἱὸν ἐν γήρει[19] αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ· **37** ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ[20] πᾶν ῥῆμα.» **38** Εἶπεν δὲ Μαριάμ· «Ἰδοὺ ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.» Καὶ ἀπῆλθεν ἀπ᾽ αὐτῆς ὁ ἄγγελος.

Mary visits Elizabeth

39 Ἀναστᾶσα δὲ[21] Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις ἐπορεύθη εἰς τὴν ὀρεινήν, μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα, **40** καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. **41** Καὶ

---

[1] αυτον εν τω ναω **f**[35] ℵA,C,D [96.6%] CP,HF,RP,TR,OC ¦ ~ 2341 B,W [1%] NU ¦ 1 [2.4%]
[2] ηδυνατο **f**[35] C,D,W [93%] CP,HF,RP,TR,OC ¦ εδυνατο ℵA,B [7%] NU (Attic or Koine?)
[3] ο **f**[35] A,B [99.3%] CP,HF,RP,TR,OC ¦ --- ℵC,D,W [0.7%] NU
[4] το **f**[35] A,C [98.8%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [1.2%] NU
[5] υπο **f**[35] A,C,D [98.4%] CP,HF,RP,TR,OC ¦ απο ℵB,W [1.6%] NU
[6] ναζαρετ **f**[35] ℵB,D,W [69%] CP,HF,RP,TR,OC ¦ ναζαρεθ (C) [29.5%] NU ¦ ναζαραθ A [1.5%]
[7] μεμνηστευμενην **f**[35] C [99.6%] CP,HF,RP,TR,OC ¦ εμνηστευμενην ℵA,B,W [0.3%] NU ¦ μεμνησμενην D [alone]
[8] οικου **f**[35] A,B,D,W [88%] CP,HF,RP,TR,OC,NU ¦ 1 και πατριας ℵC [12%]
[9] ο αγγελος προς αυτην **f**[35] A,C,D [97.8%] CP,HF,RP,TR,OC ¦ 34 B,W [1.2%] NU ¦ ~ 3412 ℵ [1%]
[10] ευλογημενη συ εν γυναιξιν **f**[35] A,C,D [98.6%] CP,HF,RP,TR,OC ¦ --- ℵB,W [1.4%] NU
[11] ιδουσα **f**[35] A,C [97.6%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [2.4%] NU
[12] διεταραχθη επι τω λογω **f**[35] A [97%] CP,HF,RP,TR,OC ¦ ~ 2341 ℵB(D)W [3%] NU ¦ 1 C [alone]
[13] αυτου **f**[35] A [96.3%] CP,HF,RP,TR,OC ¦ --- ℵB,C,D,W [3.7%] NU
[14] συλληψη **f**[35] [99.4%] CP,HF,RP,TR,OC ¦ συλλημψη ℵA,B,C(D,W) [0.6%] NU
[15] εσται **f**[35] ℵA,B,C,D,W [78%] CP,HF,RP,TR,NU ¦ 1 μοι [22%] OC
[16] συγγενης **f**[35] C [90%] CP,HF,RP,TR,OC ¦ συγγενις ℵA,B(D) [10%] NU ¦ συνγενεις W [alone]
[17] αὐτη **f**[35] ¦ αὐτη CP,HF,RP,TR,OC,NU
[18] συνειληφυια **f**[35] A,C,D [98.8%] CP,HF,RP,TR,OC ¦ συνειληφεν ℵB,W [1.2%] NU
[19] γηρει **f**[35] ℵA,B,C,D,W [90%] CP,HF,RP,OC,NU ¦ γηρα [10%] TR
[20] τω θεω **f**[35] A,C [99%] CP,HF,RP,TR,OC ¦ του θεου ℵB,D,W [1%] NU
[21] αναστασα δε **f**[35] ℵB,C,D,W [90.6%] CP,HF,RP,TR,OC,NU ¦ ~ και 1 A [9.4%]

ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας[1] ἐσκίρτησεν τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς, καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ.

Elizabeth prophesies

42 Καὶ ἀνεφώνησεν[2] φωνῇ[3] μεγάλῃ καὶ εἶπεν· «Εὐλογημένη σὺ ἐν γυναιξίν, καὶ εὐλογημένος ὁ Καρπὸς τῆς κοιλίας σου. **43** Καὶ πόθεν μοι τοῦτο ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με;[4] **44** Ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου ἐσκίρτησεν τὸ βρέφος ἐν ἀγαλλιάσει[5] ἐν τῇ κοιλίᾳ μου. **45** Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου.»

Mary worships

46 Καὶ εἶπεν Μαριάμ· «Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, **47** καὶ ἠγαλλίασεν τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου· **48** ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ἰδοὺ γάρ, ἀπὸ τοῦ νῦν μακαριοῦσίν με πᾶσαι αἱ γενεαί, **49** ὅτι ἐποίησέν μοι μεγαλεῖα[6] ὁ Δυνατός, καὶ Ἅγιον τὸ ὄνομα αὐτοῦ. **50** Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς γενεῶν[7] τοῖς φοβουμένοις αὐτόν. **51** Ἐποίησεν κράτος ἐν βραχίονι αὐτοῦ· διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν· **52** καθεῖλεν δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσεν ταπεινούς· **53** πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς. **54** Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, **55** καθὼς ἐλάλησεν πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.»[8]

56 Ἔμεινεν δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ[9] μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

The birth of John

1:57 Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν, καὶ ἐγέννησεν υἱόν. **58** Καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγάλυνεν Κύριος τὸ ἔλεος αὐτοῦ μετ᾽ αὐτῆς, καὶ συνέχαιρον αὐτῇ.

John is named

59 Καὶ ἐγένετο ἐν τῇ ὀγδόῃ ἡμέρᾳ[10] ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ, Ζαχαρίαν. **60** Καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν, «Οὐχί, ἀλλὰ κληθήσεται Ἰωάννης.» **61** Καὶ εἶπον[11] πρὸς αὐτὴν ὅτι «Οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ[12] σου ὃς καλεῖται τῷ ὀνόματι τούτῳ.» **62** Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτόν.[13] **63** Καὶ αἰτήσας πινακίδιον ἔγραψεν λέγων, «Ἰωάννης ἔσται[14] τὸ[15] ὄνομα αὐτοῦ.» Καὶ ἐθαύμασαν πάντες. **64** Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν Θεόν. **65** (Καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτούς· καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα. **66** Καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ

---

[1] η ελισαβετ τον ασπασμον της μαριας **f**[35] A,W [98.3%] CP,HF,RP,TR,OC ¦ ~ 345612 ℵB,C,D [1.7%] NU
[2] ανεφωνησεν **f**[35] A,B,D,W [89%] CP,HF,RP,TR,OC,NU ¦ ανεβοησεν ℵC [11%]
[3] φωνη **f**[35] ℵA,C,D [99.2%] CP,HF,RP,TR,OC ¦ κραυγη B,W [0.8%] NU
[4] με **f**[35] A,C,D,W [99.7%] CP,HF,RP,TR,OC ¦ εμε ℵB [0.3%] NU
[5] το βρεφος εν αγαλλιασει **f**[35] A [97.5%] CP,HF,RP,OC ¦ ~ 3412 ℵB,C,D,W [2.5%] TR,NU
[6] Μεγαλεια **f**[35] A,C [99.7%] CP,HF,RP,TR,OC ¦ μεγαλα ℵB,D,W [0.3%] NU
[7] γενεας γενεων **f**[35] A [69%] CP,HF,RP,TR,OC ¦ 1 και 2 [2.8%] ¦ γενεαν 2 D [0.6%] ¦ γενεαν και γενεαν ℵ [25.3%] ¦ 1 και 1 B,C,W [0.8%] NU ¦ three other variants [1.5%]
[8] εως αιωνος **f**[35] C [35%] CP ¦ 1 αιωνας [1%] ¦ εις τον αιωνα ℵA,B,D,W [64%] HF,RP,TR,OC,NU [Render "while there is an age"—I take the point to be that the things mentioned are pertinent to this world, not the next.]
[9] ωσει **f**[35] A,C [97.8%] CP,HF,RP,TR,OC ¦ ως ℵB,W [2%] NU ¦ --- D [0.2%]
[10] ογδοη ημερα **f**[35] A [97.5%] CP,HF,RP,TR,OC ¦ ~ 2 τη 1 ℵB,C,D,W [2.5%] NU
[11] ειπον **f**[35] A,B,C [99%] CP,HF,RP,TR,OC ¦ ειπαν ℵD,W [1%] NU
[12] εν τη συγγενεια **f**[35] D [88%] CP,HF,RP,TR,OC ¦ εκ της συγγενειας ℵA,B,C,W [12%] NU
[13] αυτον **f**[35] A,C,W [92%] CP,HF,RP,TR,OC ¦ αυτο 𝔓[4]ℵB,D [8%] NU
[14] εσται **f**[35] C [26%] CP ¦ εστιν ℵA,B,D,W [74%] HF,RP,TR,OC,NU
[15] το **f**[35] ℵA,C,D,W [99.4%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[4]B [0.6%] NU

αὐτῶν λέγοντες, «Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται;» Καὶ[1] χεὶρ Κυρίου ἦν μετ᾽ αὐτοῦ.)

Zacharias prophesies

67 Καὶ Ζαχαρίας, ὁ πατὴρ αὐτοῦ, ἐπλήσθη Πνεύματος Ἁγίου καὶ προεφήτευσεν[2] λέγων· **68** «Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησεν λύτρωσιν τῷ λαῷ αὐτοῦ, **69** καὶ ἤγειρεν κέρας σωτηρίας ἡμῖν ἐν τῷ[3] οἴκῳ Δαυὶδ τοῦ[4] παιδὸς αὐτοῦ—**70** καθὼς ἐλάλησεν διὰ στόματος τῶν ἁγίων τῶν[5] ἀπ᾽ αἰῶνος προφητῶν αὐτοῦ—**71** σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς· **72** ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ, **73** ὅρκον ὃν ὤμοσεν πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν· **74** τοῦ δοῦναι ἡμῖν ἀφόβως (ἐκ χειρὸς τῶν[6] ἐχθρῶν ἡμῶν[7] ῥυσθέντας) λατρεύειν αὐτῷ, **75** ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας[8] τῆς ζωῆς[9] ἡμῶν.

76 »Καὶ σύ,[10] παιδίον, προφήτης Ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ πρὸ προσώπου[11] Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ, **77** τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν,[12] **78** διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν, ἐν οἷς ἐπεσκέψατο[13] ἡμᾶς ἀνατολὴ ἐξ ὕψους· **79** ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.»

80 Τὸ δὲ παιδίον ηὔξανεν καὶ ἐκραταιοῦτο πνεύματι, καὶ ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

The birth of Jesus—5 BC

2:1 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθεν δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. **2** Αὕτη ἡ[14] ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου. **3** Καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἰδίαν[15] πόλιν.

At night, in Bethlehem, the Savior is born

4 Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρέτ,[16] εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαυὶδ ἥτις καλεῖται Βηθλέεμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαυίδ, **5** ἀπογράψασθαι σὺν Μαριάμ, τῇ μεμνηστευμένῃ[17] αὐτῷ γυναικί,[18] οὔσῃ ἐγκύῳ. **6** Ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν· **7** καὶ ἔτεκεν τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ[19] φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι.

---

[1] και **f**[35] A [98.6%] CP,HF,RP,TR,OC ¦ 1 γαρ **𝔓**[4]אB,C,D,W [1.4%] NU

[2] προεφητευσεν **f**[35] (D) [94%] CP,HF,RP,TR,OC ¦ επροφητευσεν **𝔓**[4]אA,B,C,W [3.8%] NU ¦ επροεφητευσεν [2.2%]

[3] τω **f**[35] A [93%] CP,HF,RP,TR,OC ¦ --- אB,C,D,W [7%] NU

[4] του **f**[35] A,C [99.3%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[4]אB,D,W [0.7%] NU

[5] των **f**[35] A,C,D [98%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[4]אB,W [2%] NU

[6] των **f**[35] A,C [98.4%] CP,HF,RP,TR,OC ¦ --- אB,D,W [1.6%] NU

[7] ημων **f**[35] A,C,D [98.5%] CP,HF,RP,TR,OC ¦ --- אB,W [1.5%] NU

[8] πασας τας ημερας **f**[35] אA,C,D [99.5%] CP,HF,RP,TR,OC ¦ πασαις ταις ημεραις **𝔓**[4]B,W [0.5%] NU

[9] της ζωης **f**[35] [77%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[4]אA,B,C,D,W [23%] NU

[10] συ **f**[35] A [99.3%] CP,HF,RP,TR,OC ¦ 1 δε **𝔓**[4]אB,C,D,W [0.7%] NU

[11] προ προσωπου **f**[35] A,C,D [99.7%] CP,HF,RP,TR,OC ¦ ενωπιον (**𝔓**[4])אB,W [0.3%] NU

[12] αυτων **f**[35] **𝔓**[4]אB,D [85%] CP,HF,RP,TR,OC,NU ¦ ημων A,C [13%] ¦ αυτου W [1%] ¦ --- [1%]

[13] επεσκεψατο **f**[35] A,C,D [99.6%] CP,HF,RP,TR,OC ¦ επισκεψεται **𝔓**[4]אB,W [0.4%] NU

[14] η **f**[35] אA,C,W [99.4%] CP,HF,RP,TR,OC ¦ --- B,D [0.6%] NU

[15] ιδιαν **f**[35] A,C [99.3%] CP,HF,RP,TR,OC ¦ εαυτου B,D,W [0.7%] NU ¦ εαυτων א

[16] ναζαρετ **f**[35] B,W [73%] CP,HF,RP,TR,OC ¦ ναζαρεθ אD [26.5%] NU ¦ ναζαραθ A,C [0.5%]

[17] μεμνηστευμενη **f**[35] [99%] CP,HF,RP,TR,OC ¦ εμνηστευμενη אA,B,C,D [0.6%] NU ¦ εμεμνηστευμενη C ¦ two other variants [0.4%]

[18] γυναικι **f**[35] A [98.4%] CP,HF,RP,TR,OC ¦ --- אB,C[v]D,W [1.6%] NU

[19] τη **f**[35] [95.3%] CP,HF,RP,TR,OC ¦ --- אA,B,D,W [4.7%] NU

Angels and shepherds

8 Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ, ἀγραυλοῦντες καὶ φυλάσσοντες φυλακὰς τῆς
νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. **9** Καὶ ἰδού,[1] ἄγγελος Κυρίου ἐπέστη αὐτοῖς καὶ δόξα Κυρίου
περιέλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν φόβον μέγαν. **10** Καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος· «Μὴ
φοβεῖσθε, ἰδοὺ γάρ, εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ· **11** ὅτι ἐτέχθη
ὑμῖν σήμερον Σωτήρ, ὅς ἐστιν Χριστὸς Κύριος, ἐν πόλει Δαυίδ. **12** Καὶ τοῦτο ὑμῖν τὸ σημεῖον·
εὑρήσετε[2] Βρέφος ἐσπαργανωμένον, κείμενον[3] ἐν[4] φάτνῃ.» **13** Καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ
ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων τὸν Θεὸν καὶ λεγόντων, **14** «Δόξα ἐν ὑψίστοις Θεῷ
καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.»[5]

Shepherds go and report

15 Καὶ ἐγένετο ὡς ἀπῆλθον ἀπ᾽ αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, καὶ οἱ ἄνθρωποι,[6] οἱ
ποιμένες, εἶπον[7] πρὸς ἀλλήλους, «Διέλθωμεν δὴ ἕως Βηθλέεμ καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ
γεγονός, ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν.» **16** Καὶ ἦλθον[8] καὶ ἀνεῦρον[9] τήν τε Μαριὰμ καὶ τὸν Ἰωσήφ,
καὶ τὸ Βρέφος κείμενον ἐν τῇ φάτνῃ. **17** Ἰδόντες δὲ διεγνώρισαν[10] περὶ τοῦ ῥήματος τοῦ
λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου. **18** Καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν
λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς. **19** Ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα,
συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. **20** Καὶ ὑπέστρεψαν[11] οἱ ποιμένες δοξάζοντες καὶ αἰνοῦντες
τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς.

Jesus is named

21 Καὶ ὅτε ἐπλήσθησαν[12] ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν αὐτόν,[13] καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ
Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι[14] αὐτὸν ἐν τῇ κοιλίᾳ.

Jesus is presented to God

22 Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν[15] κατὰ τὸν νόμον Μωσέως,[16]
ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ Κυρίῳ **23** (καθὼς γέγραπται ἐν νόμῳ Κυρίου ὅτι
«Πᾶν ἄρσεν διανοῖγον[17] μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσεται»), **24** καὶ τοῦ δοῦναι θυσίαν κατὰ
τὸ εἰρημένον ἐν[18] νόμῳ Κυρίου, «ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς[19] περιστερῶν.»

Simeon

25 Καὶ ἰδού, ἦν ἄνθρωπος[20] ἐν Ἱερουσαλὴμ[21] ᾧ ὄνομα Συμεών, καὶ ὁ ἄνθρωπος οὗτος

---

[1] ιδου **f**[35] A,D [99.2%] CP,HF,RP,TR,OC ¦ --- ℵB,W [0.8%] NU
[2] ευρησετε **f**[35] B,D [87%] CP,HF,RP,TR,OC,NU ¦ ευρησεται ℵA,W [13%]
[3] κειμενον **f**[35] A [94%] CP,HF,RP,TR,OC ¦ και 1 B,W [3.5%] NU ¦ --- ℵD [2.5%]
[4] εν **f**[35] ℵA,B,D,W [90%] CP,HF,RP,OC,NU ¦ 1 τη [10%] TR
[5] ευδοκια **f**[35] (99.4%) CP,HF,RP,TR,OC ¦ ευδοκιας ℵA,B,D,W (0.4%) NU ¦ two other readings (0.2%) [1627 MSS X 6 MSS, according to *Text und Textwert*]
[6] και οι ανθρωποι **f**[35] A,D (97.7%) CP,HF,RP,TR,OC ¦ και (1.1%) ¦ --- (ℵ)B,W (1.1%) NU ¦ one other variant (1%)
[7] ειπον **f**[35] A,D [99%] CP,HF,RP,TR,OC ¦ ελαλουν ℵB,W [0.5%] NU ¦ ειπαν [0.5%]
[8] ηλθον **f**[35] ℵD,W [98.2%] CP,HF,RP,TR,OC ¦ ηλθαν B [0.2%] NU ¦ απηλθον [1.6%]
[9] ανευρον **f**[35] ℵA [92.2%] CP,HF,RP,TR,OC ¦ ανευραν B,NU ¦ ευρον D,W [6%] ¦ ηυραν [0.7%] ¦ ευραν [0.1%]
[10] διεγνωρισαν **f**[35] A [97.8%] CP,HF,RP,TR,OC ¦ εγνωρισαν ℵB,D,W [2.2%] NU
[11] υπεστρεψαν **f**[35] ℵA,B,D,W [97.4%] CP,HF,RP,OC,NU ¦ επεστρεψαν [2.6%] TR
[12] επλησθησαν **f**[35] ℵA,B,W [82%] CP,HF,RP,TR,NU ¦ 1 αι D [18%] OC
[13] αυτον **f**[35] ℵA,B,W [65%] CP,HF,RP,NU ¦ το παιδον D [32%] TR,OC ¦ αυτο [3%]
[14] συλληφθηναι **f**[35] [99.1%] CP,HF,RP,TR,OC ¦ συλλημφθηναι ℵA,B [0.8%] NU ¦ συνλημφθηναι D,W
[15] αυτων **f**[35] ℵA,B,W [90%] CP,HF,RP,TR,OC,NU ¦ αυτου D [10%]
[16] μωσεως **f**[35] A [62%] CP,HF,RP,TR ¦ μωυσεως ℵB,D,W [35%] OC,NU ¦ μωυσεος [3%]
[17] διανοιγον **f**[35] A,B,D,W [88%] CP,HF,RP,TR,OC,NU ¦ διανοιγων ℵN [12%]
[18] εν **f**[35] A,N [99%] CP,HF,RP,TR,OC ¦ 1 τω ℵB,D,W [1%] NU
[19] νεοσσους **f**[35] A,D,N [85%] CP,HF,RP,TR,OC ¦ νοσσους ℵB,W [15%] NU
[20] ην ανθρωπος **f**[35] A,D,N [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 ℵB,W [1%] NU
[21] ιερουσαλημ *rell* ¦ ιεροσολυμοις OC

δίκαιος καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ, καὶ Πνεῦμα ἦν Ἅγιον[1] ἐπ᾽ αὐτόν. **26** (Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου μὴ ἰδεῖν θάνατον πρὶν ἢ[2] ἴδῃ τὸν Χριστὸν Κυρίου.) **27** Καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, **28** καὶ αὐτὸς ἐδέξατο αὐτὸ[3] εἰς τὰς ἀγκάλας αὐτοῦ[4] καὶ εὐλόγησεν τὸν Θεὸν καὶ εἶπεν· **29** «Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, **30** ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, **31** ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· **32** φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.» **33** Καὶ ἦν Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ[5] θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ.

34 Καὶ εὐλόγησεν αὐτοὺς Συμεών, καὶ εἶπεν πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ· «Ἰδού, οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον **35** (καὶ σοῦ δὲ[6] αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία), ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.»

Anna

36 Καὶ ἦν Ἄννα προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ φυλῆς Ἀσήρ—αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτὰ[7] ἀπὸ τῆς παρθενίας αὐτῆς **37** καὶ αὐτὴ χήρα ὡς[8] ἐτῶν ὀγδοήκοντα τεσσάρων—ἣ οὐκ ἀφίστατο ἀπὸ[9] τοῦ ἱεροῦ, νηστείαις καὶ δεήσεσιν λατρεύουσα νύκτα καὶ ἡμέραν. **38** Καὶ αὕτη, αὐτῇ[10] τῇ ὥρᾳ ἐπιστᾶσα, ἀνθωμολογεῖτο τῷ Κυρίῳ,[11] καὶ ἐλάλει περὶ Αὐτοῦ πᾶσιν τοῖς προσδεχομένοις λύτρωσιν ἐν[12] Ἰερουσαλήμ.

Back to Natsareth

39 Καὶ ὡς ἐτέλεσαν ἅπαντα[13] τὰ[14] κατὰ τὸν νόμον Κυρίου, ὑπέστρεψαν[15] εἰς τὴν Γαλιλαίαν, εἰς τὴν[16] πόλιν ἑαυτῶν,[17] Ναζαρέτ.[18] **40** Τὸ δὲ παιδίον ηὔξανεν καὶ ἐκραταιοῦτο πνεύματι,[19] πληρούμενον σοφίας·[20] καί, χάρις Θεοῦ ἦν ἐπ᾽ αὐτῷ.[21]

A twelve-year-old Boy

2:41 Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ᾽ ἔτος εἰς Ἰερουσαλὴμ τῇ ἑορτῇ τοῦ Πάσχα· **42** καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν[22] εἰς Ἱεροσόλυμα[23] κατὰ τὸ ἔθος τῆς ἑορτῆς. **43** Καὶ

---

[1] ην αγιον **f**[35] ℵA,B,W [83%] CP,HF,RP,OC,NU ¦ ~ 21 D,N [17%] TR
[2] πριν η **f**[35] A,D,N [91%] CP,HF,RP,TR,OC ¦ 12 αν [0.5%] [NU] ¦ 1 αν B [0.5%] ¦ 1 W [8%] ¦ εως αν ℵ
[3] αυτο **f**[35] ℵA,B,D,N,W [70%] CP,HF,RP,TR,NU ¦ αυτον [30%] OC
[4] αυτου **f**[35] A,D,N [96%] CP,HF,RP,TR,OC ¦ --- ℵB,W [4%] NU
[5] (ο A,N 2.2%) ιωσηφ και η μητηρ αυτου (−α. N 0.5%) **f**[35] (A)(N) (98.8%) CP,HF,RP,TR,OC ¦ ο πατηρ 5 (−α. 0.3%) 234 (+αυτου ℵ 0.4%) (ℵ)B,D,W (0.9%) NU ¦ three other variants (0.3%)
[6] δε **f**[35] ℵA,D,N [99.6%] CP,HF,RP,TR,OC[NU] ¦ --- B,W [0.4%]
[7] ετη μετα ανδρος επτα **f**[35] [88%] CP,HF,RP,TR,OC ¦ ~ 2314 ℵB,N,W [5.2%] NU ¦ ~ 1423 A,D [6.8%]
[8] ως **f**[35] W [98.5%] CP,HF,RP,TR,OC ¦ εως ℵA,B,N [1.1%] NU ¦ --- D [0.4%]
[9] απο **f**[35] A,N [98.7%] CP,HF,RP,TR,OC ¦ --- B,D,W [1.3%] NU ¦ εκ ℵ
[10] αὐτη αὐτη **f**[35] [93%] CP,HF,RP,TR,OC ¦ 1 A,B,W [4.5%] ¦ 2 ℵD,N [2.5%] NU
[11] κυριω **f**[35] A [99.3%] CP,HF,RP,TR,OC ¦ θεω ℵB,D,N,W [0.7%] NU
[12] εν **f**[35] A,D,N [94.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,W [5.5%] NU
[13] απαντα **f**[35] A,D [95.8%] CP,HF,RP,TR,OC ¦ παντα ℵB,N,W [4.2%] NU
[14] τα **f**[35] A,B,W [87%] CP,HF,RP,TR,OC,NU ¦ --- ℵD,N [13%]
[15] υπεστρεψαν **f**[35] A,D,N [99.6%] CP,HF,RP,TR,OC ¦ επεστρεψαν (ℵ)B,W [0.4%] NU
[16] την **f**[35] A,N [98%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [2%] NU
[17] εαυτων **f**[35] ℵA,B,D,N,W [65%] CP,HF,RP,OC,NU ¦ αυτων [35%] TR
[18] ναζαρετ **f**[35] ℵN,W [63%] CP,HF,RP,TR,OC ¦ ναζαρεθ B[ν](D) [35.3%] NU ¦ ναζαρατ A [0.3%] ¦ ναζαραθ [1.4%]
[19] πνευματι **f**[35] A,N [99.6%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [0.4%] NU
[20] σοφιας **f**[35] ℵA,D,N [99.5%] CP,HF,RP,TR,OC ¦ σοφια B,W [0.5%] NU
[21] αυτω **f**[35] (D) [41%] ¦ αυτο ℵA,B,N,W [58%] CP,HF,RP,TR,OC,NU ¦ αυτον [1%] [The dative is better—the grace was resting on Him all the time.]
[22] αναβαντων αυτων **f**[35] N [90%] CP,HF,RP,TR,OC ¦ αναβαινοντων 2 (ℵ)A,B,W [9.6%] NU ¦ ανεβησαν (D) [0.4%]
[23] εις ιεροσολυμα **f**[35] A,C[ν]D(N) [99.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,W [0.5%] NU

τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτούς, ὑπέμεινεν Ἰησοῦς ὁ Παῖς ἐν Ἰερουσαλήμ· καὶ οὐκ ἔγνω[1] Ἰωσὴφ καὶ ἡ μήτηρ[2] αὐτοῦ. **44** Νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι,[3] ἦλθον ἡμέρας ὁδόν, καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσιν[4] καὶ ἐν τοῖς γνωστοῖς.[5] **45** Καὶ μὴ εὑρόντες αὐτόν,[6] ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ ζητοῦντες[7] αὐτόν. **46** Καὶ ἐγένετο μεθ'[8] ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ ἱερῷ, καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων, καὶ ἀκούοντα αὐτῶν καὶ ἐπερωτῶντα αὐτούς. **47** (Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ.)

48 Καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν, καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπεν·[9] «Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; Ἰδού, ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε.» **49** Καὶ εἶπεν πρὸς αὐτούς· «Τί ὅτι ἐζητεῖτέ με; Οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με;» **50** Καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς.

51 Καὶ κατέβη μετ᾽ αὐτῶν καὶ ἦλθεν εἰς Ναζαρέτ,[10] καὶ ἦν ὑποτασσόμενος αὐτοῖς. Καὶ ἡ[11] μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα[12] ἐν τῇ καρδίᾳ αὐτῆς. **52** Καὶ Ἰησοῦς προέκοπτεν[13] σοφίᾳ καὶ ἡλικίᾳ, καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

Enter John the baptizer—26 AD

3:1 Ἐν ἔτει δὲ[14] πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας καὶ τετραρχοῦντος[15] τῆς Γαλιλαίας Ἡρῴδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος[16] τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος,[17] **2** ἐπὶ ἀρχιερέως[18] Ἄννα (καὶ Καϊάφα), ἐγένετο ῥῆμα Θεοῦ ἐπὶ Ἰωάννην τὸν[19] Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ. **3** Καὶ ἦλθεν εἰς πᾶσαν τὴν[20] περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν· **4** ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἡσαΐου τοῦ προφήτου, λέγοντος·[21] «Φωνὴ βοῶντος· ‹Ἐν τῇ ἐρήμῳ ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. **5** Πᾶσα φάραγξ[22] πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας· **6** καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ.› »

"Brood of vipers!"

7 Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ᾽ αὐτοῦ· «Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; **8** Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, ‹Πατέρα ἔχομεν τὸν Ἀβραάμ›· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ

---

[1] εγνω **f**[35] A,C,N [96.4%] CP,HF,RP,TR,OC ¦ εγνωσαν ℵB,D,W [3.6%] NU
[2] ιωσηφ και η μητηρ **f**[35] A,C,N [97.1%] CP,HF,RP,TR,OC ¦ οι γονεις ℵB,D,W [2.9%] NU
[3] εν τη συνοδια ειναι **f**[35] A,C(N) [99%] CP,HF,RP,TR,OC ¦ ~ 4123 ℵB,D,W [1%] NU
[4] συγγενεσιν **f**[35] ℵA,C(D) [86%] CP,HF,RP,TR,OC ¦ συγγενευσιν B,N,W [14%] NU
[5] και εν τοις γνωστοις **f**[35] D [85%] CP,HF,RP,TR,OC ¦ 134 A,B,C,N,W [14.9%] NU ¦ --- ℵ [0.1%]
[6] αυτον **f**[35] A,N [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,C(D)W [1.5%] NU
[7] ζητουντες **f**[35] ℵA,N [95%] CP,HF,RP,TR,OC ¦ αναζητουντες B,C,D,W [4.3%] NU ¦ επιζητουντες [0.7%]
[8] μεθ **f**[35] A,C,D,N [95.8%] CP,HF,RP,TR,OC ¦ μετα ℵB,W [4.2%] NU
[9] προς αυτον η μητηρ αυτου ειπεν **f**[35] A,N [98.6%] CP,HF,RP,TR,OC ¦ ~ 612345 ℵB,C,D,W [1.4%] NU
[10] ναζαρετ **f**[35] ℵC,W [60%] CP,HF,RP,TR,OC ¦ ναζαρεθ B,D [38.5%] NU ¦ ναζαρατ A,N [0.3%] ¦ ναζαραθ [1.2%]
[11] και η **f**[35] ℵA,B,C,N,W [83.5%] CP,HF,RP,TR,OC,NU ¦ ~ 2 δε D [16.5%]
[12] ταυτα **f**[35] A,C,N [98.4%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [1.6%] NU
[13] προεκοπτεν **f**[35] A,C,D,N [99.7%] CP,HF,RP,TR,OC ¦ 1 εν τη ℵ [0.1%] [NU] ¦ 1 τη B,W [0.2%]
[14] δε *rell* ¦ --- [12%]
[15] τετραρχουντος **f**[35] B,D,N,W [99.8%] CP,HF,RP,TR,OC ¦ τετραarχουντος ℵA,C,NU
[16] τετραρχουντος **f**[35] A,B,D,N,W [99.9%] CP,HF,RP,TR,OC ¦ τετραarχουντος ℵC,NU
[17] τετραρχουντος **f**[35] A,B,D,N,W [99.9%] CP,HF,RP,TR,OC ¦ τετραarχουντος ℵC,NU
[18] επι αρχιερεως **f**[35] ℵA,B,C,D,N,W [96.5%] CP,HF,RP,NU ¦ επ 2 [0.4%] OC ¦ 1 αρχιερεων [2.8%] ¦ επ αρχιερεων [0.3%] TR
[19] τον **f**[35] ℵA,B,C,D,N,W [82%] CP,HF,RP,OC,NU ¦ 1 του [18%] TR
[20] την **f**[35] ℵC,D [99.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- A,B,N,W [0.5%]
[21] λεγοντος **f**[35] A,C,N [98.2%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [1.8%] NU
[22] φαραγξ **f**[35] ℵB,C,D,N,W [75%] CP,HF,RP,TR,OC,NU ¦ φαραξ A [25%]

Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. **9** Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.»

"What shall we do?"

10 Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι λέγοντες, «Τί οὖν ποιήσομεν;»[1] **11** Ἀποκριθεὶς δὲ λέγει[2] αὐτοῖς, «Ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι, καὶ ὁ ἔχων βρώματα ὁμοίως ποιείτω.» **12** Ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι ὑπ᾽ αὐτοῦ[3] καὶ εἶπον πρὸς αὐτόν, «Διδάσκαλε, τί ποιήσομεν;»[4] **13** Ὁ δὲ εἶπεν πρὸς αὐτούς, «Μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε.» **14** Ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι λέγοντες, «Καὶ ἡμεῖς, τί ποιήσομεν;»[5] Καὶ εἶπεν πρὸς αὐτούς,[6] «Μηδένα διασείσητε μηδὲ συκοφαντήσητε,[7] καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν.»

"A greater One is coming"

15 Προσδοκῶντος δὲ τοῦ λαοῦ καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστός, **16** ἀπεκρίνατο ὁ Ἰωάννης ἅπασιν[8]λέγων·[9] «Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί· **17** οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ[10] τὴν ἅλωνα αὐτοῦ καὶ συνάξει[11] τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ.»

John is imprisoned—historical aside

18 (Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν εὐηγγελίζετο τῷ λαῷ.[12] **19** Ὁ δὲ Ἡρῴδης ὁ τετράρχης[13]—ἐλεγχόμενος ὑπ᾽ αὐτοῦ περὶ Ἡρῳδιάδος, τῆς γυναικὸς[14] τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ περὶ πάντων ὧν ἐποίησεν πονηρῶν ὁ Ἡρῴδης—**20** προσέθηκεν καὶ τοῦτο ἐπὶ πᾶσιν· καὶ[15] κατέκλεισεν τὸν Ἰωάννην ἐν τῇ[16] φυλακῇ.)

Jesus is baptized

21 Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαόν, καὶ Ἰησοῦ, βαπτισθέντος καὶ προσευχομένου, ἀνεῳχθῆναι τὸν οὐρανὸν **22** καὶ καταβῆναι τὸ Πνεῦμα τὸ Ἅγιον σωματικῷ εἴδει ὡσεὶ[17]

---

[1] ποιησομεν **f**[35] [45%] CP,RP,TR,OC ¦ ποιησωμεν **א**A,B,C(D)N,W [55%] HF,NU (The indicative is correct; they are committing themselves to do what he says.)

[2] λεγει **f**[35] A,D [97.8%] CP,HF,RP,TR,OC ¦ ελεγεν **𝔓**[4]**א**B,C,N [2.2%] NU ¦ ειπεν W

[3] ὑπ αυτου **f**[35] C [40%] CP ¦ --- **𝔓**[4]**א**A,B,D,N,W [60%] HF,RP,TR,OC,NU

[4] ποιησομεν **f**[35] [43%] CP,RP,TR,OC ¦ ποιησωμεν **𝔓**[4]**א**A,B,C(D)N,W [57%] HF,NU (The indicative continues to be correct.)

[5] και ημεις τι ποιησομεν **f**[35] A [45%] CP,RP,TR,OC ¦ 123 ποιησωμεν N [53.4%] HF ¦ ~ 3 ποιησωμεν 12 **𝔓**[4v]**א**B,C,W [1.6%] NU ¦ ~ 3 ποιησωμεν D (Still indicative.)

[6] προς αυτους **f**[35] **א**A,N,W [99.1%] CP,HF,RP,TR,OC ¦ αυτοις **𝔓**[4]B,C,D [0.9%] NU

[7] διασεισητε μηδε συκοφαντησητε *rell* ¦ ~ 321 OC

[8] απασιν **f**[35] A,C [98.2%] CP,HF,RP,TR,OC ¦ πασιν **𝔓**[4]**א**B,N,W [1.8%] NU ¦ --- D

[9] ο ιωαννης απασιν λεγων **f**[35] A,C,N [91.3%] CP,HF,RP,TR,OC ¦ 234 [5.7%] ¦ 34 [0.4%] ¦ ~ 1243 [1.6%] ¦ ~ 4312 **𝔓**[4]**א**B,W [0.3%] NU ¦ ~ 3124 [0.6%] ¦ ~ 3412 [0.1%] ¦ --- D

[10] και διακαθαριει **f**[35] A,C,D,N,W [97.9%] CP,HF,RP,TR,OC ¦ διακαθαραι **𝔓**[4]**א**B,NU ¦ 1 καθαριει [1.8%] ¦ one other reading

[11] συναξει **f**[35] A,C(D)N,W [99.8%] CP,HF,RP,TR,OC ¦ συναγαγειν **𝔓**[4]**א**B,NU

[12] τω λαω **f**[35] [15%] ¦ τον λαον **f**[35pt] *rell* [The verb ευαγγελιζω normally takes the dative, although the accusative does occur—there seems to be no difference in meaning, a translation will be the same. Since the normal case for a direct object is the accusative, copyists who were not familiar with the peculiarity of that verb would predictably make the change (witness the [85%]). If the archetype had the accusative, who would change it to dative?]

[13] τετραρχης **f**[35] A,B,D,N,W [99.8%] CP,HF,RP,TR,OC ¦ τετραarχης **א**C,NU

[14] γυναικος **f**[35] **𝔓**[4,75v]**א**B,D,N [75%] CP,HF,RP,OC,NU ¦ 1 φιλιππου A,C,W [25%] TR

[15] και **f**[35] **𝔓**[75v]A,C,N,W [98.2%] CP,HF,RP,TR,OC[NU] ¦ --- **א**B,D [1.8%]

[16] τη **f**[35] A,C,N,W [86%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[4]**א**B,D [14%] NU

[17] ωσει **f**[35] A,N [96.4%] CP,HF,RP,TR,OC ¦ ως **𝔓**[4]**א**B,D,W [3.6%] NU

περιστερὰν ἐπ᾽ αὐτόν, καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι λέγουσαν,[1] «Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητός· ἐν σοὶ εὐδόκησα.»[2]

Mary's genealogy

3:23 (Καὶ αὐτὸς ἦν ὁ[3] Ἰησοῦς, ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος,[4] ὢν (ὡς ἐνομίζετο) υἱὸς[5] Ἰωσήφ, τοῦ Ἡλεί,[6] **24** τοῦ Ματθάν,[7] τοῦ Λευΐ, τοῦ Μελχί,[8] τοῦ Ἰαννᾶ,[9] τοῦ Ἰωσήφ, **25** τοῦ Ματταθίου, τοῦ Ἀμώς, τοῦ Ναούμ, τοῦ Ἐσλί,[10] τοῦ Ναγγαί, **26** τοῦ Μαάθ, τοῦ Ματταθίου, τοῦ Σεμεΐ,[11] τοῦ Ἰωσήφ,[12] τοῦ Ἰούδα,[13] **27** τοῦ Ἰωαννάν,[14] τοῦ Ῥησᾶ, τοῦ Ζοροβάβελ, τοῦ Σαλαθιήλ, τοῦ Νηρί,[15] **28** τοῦ Μελχί[16] τοῦ Ἀδδί,[17] τοῦ Κωσάμ, τοῦ Ἐλμωδάμ,[18] τοῦ Ἤρ, **29** τοῦ Ἰωσῆ,[19] τοῦ Ἐλιέζερ, τοῦ Ἰωρείμ,[20] τοῦ Ματθάτ,[21] τοῦ Λευΐ,[22] **30** τοῦ Συμεών, τοῦ Ἰούδα, τοῦ Ἰωσήφ, τοῦ Ἰωνάμ,[23] τοῦ Ἐλιακείμ,[24] **31** τοῦ Μελεᾶ, τοῦ Μαϊνάν,[25] τοῦ Ματταθᾶ, τοῦ Νάθαν,[26] τοῦ Δαυίδ, **32** τοῦ Ἰεσσαί, τοῦ Ὠβήδ,[27] τοῦ Βοόζ,[28] τοῦ Σαλμών,[29] τοῦ Ναασσών, **33** τοῦ Ἀμιναδάβ,[30] τοῦ Ἀράμ,[31]

---

[1] λεγουσαν **f**[35] A,N [99.2%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[4]א B,D,W [0.8%] NU

[2] ευδοκησα **f**[35] **𝔓**[4]א B,N [72%] CP,HF,RP,OC,NU ¦ ηυδοκησα A,W [28%] TR ¦ --- D

[3] ο **f**[35] A,N [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[4]א B,D,W [3%] NU

[4] ωσει ετων τριακοντα αρχομενος **f**[35] A(D)N [98.8%] CP,HF,RP,TR,OC ¦ ~ 4123 **𝔓**[4]א B,W [1.2%] NU

[5] ως ενομιζετο υιος **f**[35] A(D)N [98.7%] CP,HF,RP,TR,OC ¦ ~ 312 **𝔓**[4]א B,W [1.3%] NU

[6] ἠλει **f**[35] א A,B [60%] ¦ ἠλι **𝔓**[4] N [40%] CP,TR,NU (ἠλι HF,RP,OC) [Codex W omits the whole genealogy, while codex D replaces it with Matthew's.]

[7] ματθαν **f**[35] N [45%] CP,OC ¦ ματθατ A,B [52%] HF,RP,TR ¦ μαθθαθ **𝔓**[4](א) [alone] ¦ ματθα [1.9%] ¦ ματταθ [0.9%] ¦ three other spellings [0.2%] ¦ μαθθατ [none!] NU (NU serves up a patchwork quilt.)

[8] μελχι **f**[35] N [66%] CP,HF,RP,TR,OC,NU ¦ μελχει **𝔓**[4]א A,B [33.4%] ¦ μελχη [0.6%]

[9] ιαννα **f**[35] A [87.9%] CP,HF,RP,TR ¦ ιανναι **𝔓**[4v]א B [1.2%] NU ¦ ιωαννα N [4.8%] OC ¦ ιανναν [1.4%] ¦ αννα [1.1%] ¦ ιωαννε [0.9%] ¦ nine other spellings [2.7%]

[10] εσλι **f**[35] [64%] CP,HF,RP,TR,NU ¦ εσλει א A,B [28.1%] ¦ εσλιμ N [3.5%] OC ¦ εσλειμ [2.5%] ¦ four other spellings **𝔓**[4v] [1.9%]

[11] σεμει **f**[35] [51%] CP,RP,TR ¦ σεμεει A,N [45.4%] HF ¦ σαιμει [2.2%] ¦ σεμεειν **𝔓**[4]א B [0.5%] ¦ σεμεη [0.7%] ¦ σεμευ OC ¦ two other spellings [0.2%] ¦ σεμειν [none!] NU (NU serves up another patchwork quilt.)

[12] ιωσηφ **f**[35] A,N [94.2%] CP,HF,RP,TR ¦ ιωσηχ **𝔓**[4]א B [5.7%] OC,NU ¦ two other spellings [0.1%]

[13] ιουδα **f**[35] A,N [94.7%] CP,HF,RP,TR ¦ ιωδα **𝔓**[4]א B [5%] OC,NU ¦ four other spellings [0.3%]

[14] ιωανναν **f**[35] [49%] CP,OC ¦ ιωαννα [13%] TR ¦ ιωαναν **𝔓**[4] A,B [18%] HF,RP,NU ¦ ιωναν א [12%] ¦ ιωνναν [2%] ¦ ιαναν [3%] ¦ ιανναν [1.6%] ¦ four other spellings [1.4%] ¦ --- N (If we take the letters one by one, we get: ι=100%, ω=a. 94%, α=a. 87%, ν=100%, ν=a. 69%, α=100%, ν=a. 72%; the plurality variant wins all around.)

[15] νηρι **f**[35] N [65%] CP,HF,RP,TR,OC,NU ¦ νηρει **𝔓**[4]א A,B [34%] ¦ six other spellings [1%]

[16] μελχι **f**[35] N [65%] CP,HF,RP,TR,OC,NU ¦ μελχει **𝔓**[4]א A,B [35%]

[17] αδδι **f**[35] N [67.5%] CP,HF,RP,TR,OC,NU ¦ αδδει **𝔓**[4]א A,B [30%] ¦ seven other spellings [2.5%]

[18] ελμωδαμ **f**[35] A [82%] CP,HF,RP,TR,OC ¦ ελμαδαμ אB,N [1%] NU ¦ ελμωδαν [7%] ¦ ελμωδαδ [5%] ¦ ελμασαμ **𝔓**[4] ¦ twelve other spellings [5%]

[19] ιωση **f**[35] A,N [95.5%] CP,HF,RP,TR,OC ¦ ιησου **𝔓**[4]א B [1.5%] NU ¦ six other spellings [3%]

[20] ιωρειμ A,B [72%] CP,HF,RP,TR,OC ¦ ιωριμ אN [12%] NU ¦ ιωρημ [10%] ¦ eight further spellings [6%]

[21] ματθατ **f**[35] [76%] CP,HF,RP,TR,OC ¦ μαθθατ **𝔓**[4]B [0.5%] NU ¦ ματταθ A [11%] ¦ μαθθαθ א ¦ ματθαν N [6%] ¦ μαθατ [1.5%] ¦ eleven further spellings [5%]

[22] λευι **f**[35] N [80%] CP,HF,RP,TR,OC,NU ¦ λευει **𝔓**[4]א A,B [20%]

[23] ιωναμ **f**[35] אB [25%] NU ¦ ιωναν [48%] CP,HF,RP,TR ¦ ιωνα OC ¦ ιωαναν A [7%] ¦ ιωανναν [12%] ¦ ιωανα N ¦ seven further spellings [8%]

[24] ελιακειμ *rell* ¦ ελιακιμ N [1%] NU ¦ ελειακειμ [1%] ¦ ελιακημ [1%] ¦ three other spellings

[25] μαιναν **f**[35] N [93.5%] CP,HF,RP,TR,OC ¦ μεννα **𝔓**[4v]אB [1.5%] NU ¦ eight other spellings [5%] ¦ --- A

[26] ναθαν **f**[35] A,N [99.7%] CP,HF,RP,TR,OC ¦ ναθαμ **𝔓**[4]אB,NU

[27] ωβηδ **f**[35] N [83%] CP,HF,RP,TR,OC ¦ ιωβηδ A [14%] NU ¦ ιωβηλ אB ¦ ωβηλ D ¦ ιωβητ **𝔓**[4] ¦ five other spellings [3%]

[28] βοοζ **f**[35] [91%] CP,HF,RP,TR,OC ¦ βοος A,B,D [8%] NU ¦ βαλλς א ¦ four other spellings [1%] ¦ --- N

[29] σαλμων **f**[35] A,N [98%] CP,HF,RP,TR,OC ¦ σαλα **𝔓**[4]אB,NU ¦ σαλμαν [1%] ¦ two other variants [0.5%]

[30] αμιναδαβ **f**[35] A(D) [76%] CP,HF,RP,TR,OC,NU ¦ αμιναδαμ [15%] ¦ αμηναδαβ [5%] ¦ αδαμ א ¦ five other readings [4%] ¦ --- B

[31] αραμ **f**[35] A,D [95%] CP,HF,RP,TR,OC ¦ 1 του αρνι N ¦ αδμειν του αρνει B ¦ αδμιν του αρνει א ¦ αδμιν του αρνι NU [There are at least four further variations. The available statements of evidence are confusing, but it appears

τοῦ Ἰωράμ,[1] τοῦ Ἐσρώμ, τοῦ Φαρές, τοῦ Ἰούδα, **34** τοῦ Ἰακώβ, τοῦ Ἰσαάκ, τοῦ Ἀβραάμ, τοῦ Θάρρα,[2] τοῦ Ναχώρ, **35** τοῦ Σερούχ,[3] τοῦ Ῥαγάβ,[4] τοῦ Φάλεκ,[5] τοῦ Ἑβέρ,[6] τοῦ Σαλᾶ, **36** τοῦ Καϊνάν,[7] τοῦ Ἀρφαξάδ, τοῦ Σήμ, τοῦ Νῶε, τοῦ Λάμεχ, **37** τοῦ Μαθουσάλα, τοῦ Ἐνώχ,[8] τοῦ Ἰάρεδ,[9] τοῦ Μαλελεήλ, τοῦ Καϊνάν,[10] **38** τοῦ Ἐνώς, τοῦ Σήθ, τοῦ Ἀδάμ, τοῦ Θεοῦ.)

Jesus tested by Satan

4:1 Ἰησοῦς δέ, πλήρης Πνεύματος Ἁγίου,[11] ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου καὶ ἤγετο ἐν τῷ Πνεύματι εἰς τὴν ἔρημον,[12] **2** ἡμέρας τεσσαράκοντα[13] πειραζόμενος ὑπὸ τοῦ διαβόλου. Καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ συντελεσθεισῶν αὐτῶν ὕστερον[14] ἐπείνασεν. **3** Καὶ εἶπεν[15] αὐτῷ ὁ διάβολος, «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος.» **4** Καὶ ἀπεκρίθη Ἰησοῦς πρὸς αὐτὸν λέγων,[16] «Γέγραπται ὅτι ‹Οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται[17] ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι Θεοῦ.› »[18]

5 Καὶ ἀναγαγὼν αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλόν,[19] ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου. **6** Καὶ εἶπεν αὐτῷ ὁ διάβολος· «Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν, καὶ τὴν δόξαν αὐτῶν, ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν. **7** Σὺ οὖν, ἐὰν προσκυνήσῃς[20] ἐνώπιον ἐμοῦ,[21] ἔσται σοι[22] πᾶσα.»[23] **8** Καὶ ἀποκριθεὶς αὐτῷ εἶπεν ὁ Ἰησοῦς·[24] «Ὕπαγε ὀπίσω μου, Σατανᾶ·[25] γέγραπται,[26] ‹Προσκυνήσεις Κύριον τὸν Θεόν σου,[27] καὶ αὐτῷ μόνῳ λατρεύσεις.› »

---

that αδμιν has about 1%, and αδμειν may have up to 4%.]

[1] του ιωραμ **f**[35] [80%] HF,OC ¦ --- ℵA,B,N [20%] CP,RP,TR,NU (it[b] gives us overt V century attestation for 'Joram', though I have demonstrated, to my own satisfaction at least, that **f**[35] must hark back at least to the III.)

[2] θαρρα **f**[35] N [40%] CP,HF ¦ θαρα ℵA,B,D [60%] RP,TR,OC,NU

[3] σερουχ **f**[35] ℵA,B(D)N [98%] CP,HF,RP,OC,NU ¦ σαρουχ [2%] TR

[4] ραγαβ **f**[35] [25%] ¦ ραγαυ ℵA,B,D,N [70%] CP,HF,RP,TR,OC,NU ¦ six other spellings [5%]

[5] φαλεκ **f**[35] ℵA,B,D,N [50%] CP,HF,TR,OC,NU ¦ φαλεγ A [50%] RP

[6] έβερ **f**[35] CP[?],RP,some TRs ¦ ἐβερ HF,OC,some TRs,NU

[7] καιναν **f**[35] A,N [97%] CP,HF,RP,TR,OC ¦ καιναμ ℵB [0.5%] NU ¦ three other spellings [2%] ¦ --- D

[8] ἐνωχ **f**[35] CP,RP,TR,OC ¦ ένωχ HF,NU

[9] ιαρεδ **f**[35] D,N [90%] CP,HF,RP,TR,OC ¦ ιαρετ 𝔓[75v]ℵB,NU ¦ ιαρεθ A [9.5%]

[10] καιναν **f**[35] A,B,D,N [99.8%] CP,HF,RP,TR,OC ¦ καιναμ ℵ,NU

[11] πληρης πνευματος αγιου **f**[35] 𝔓[4,7,75v]ℵB,D,N,W [45%] CP,OC,NU ¦ ~ 231 A [55%] HF,RP,TR

[12] εις την ερημον **f**[35] A,N [99%] CP,HF,RP,TR,OC ¦ εν τη ερημω 𝔓[4,7]ℵB,D,W [1%] NU

[13] τεσσαρακοντα **f**[35] D [99%] CP,HF,RP,TR,OC ¦ τεσσερακοντα 𝔓[7]A,B,N [1%] NU ¦ μ 𝔓[75]ℵW

[14] υστερον **f**[35] A,N [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [1%] NU

[15] και ειπεν **f**[35] A,N [99%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε ℵB,D,W [1%] NU

[16] ιησους προς αυτον λεγων **f**[35] A [81%] CP,HF,RP,TR ¦ ο 1234 [16%] OC ¦ ~ 23 ο 1 ℵB,W [1.5%] NU ¦ ~ αυτω ο 1 [1%] ¦ ο 1 ειπεν D ¦ two other variants

[17] ζησεται **f**[35] [80%] CP,HF,RP,OC ¦ 1 ο ℵA,B,D,W [20%] TR,NU

[18] αλλ επι παντι ρηματι (+του 0.4%) θεου **f**[35] A(D) (90.7%) CP,HF,RP,TR ¦ 1 εν 345 D (1.5%) ¦ 1234 εκπορευομενω δια στοματος 5 (7.3%) OC ¦ --- ℵB,W (0.4%) NU ¦ one other reading (0.1%)

[19] ο διαβολος εις ορος υψηλον **f**[35] A [99%] CP,HF,RP,TR,OC ¦ 345 (D) [0.5%] ¦ 34 W ¦ --- ℵB [0.2%] NU

[20] προσκυνησης *rell* ¦ προσκυνησεις [15%]

[21] εμου **f**[35] ℵB,D,W [65%] CP,HF,RP,NU ¦ μου A [35%] TR,OC

[22] σοι **f**[35] [25%] ¦ σου ℵA,B,D,W [75%] CP,HF,RP,TR,OC,NU

[23] πασα **f**[35] ℵA,B,D [98%] CP,HF,RP,OC,NU ¦ παντα W [2%] TR [It will be observed that this is the third variant set within the space of four words, and within these sets the attestation varies considerably. In the main, the copyists tried to reproduce faithfully what was in front of them.]

[24] αυτω ειπεν ο ιησους **f**[35] [68%] CP,HF,RP,TR,OC ¦ ~ 3421 ℵW [12%] NU ¦ ~ 2134 A [13%] ¦ ~ 1342 D [7%] ¦ 124 B ¦ two other variants

[25] υπαγε οπισω μου σατανα **f**[35] A [96.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [3.5%] NU

[26] γεγραπται **f**[35] ℵA,B,D,W [80%] CP,HF,RP,NU ¦ 1 γαρ [20%] TR,OC

[27] προσκυνησεις κυριον τον θεον σου **f**[35] A [80%] CP,HF,RP,TR ¦ ~ 23451 ℵB,D,W [20%] OC,NU

9 Καὶ ἤγαγεν[1] αὐτὸν εἰς Ἰερουσαλὴμ[2] καὶ ἔστησεν αὐτὸν[3] ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ καὶ εἶπεν αὐτῷ· «Εἰ[4] Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν[5] κάτω· **10** γέγραπται γὰρ ὅτι ‹Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε,› **11** καί,[6] ‹Ἐπὶ χειρῶν ἀροῦσίν σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.› » **12** Καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι «Εἴρηται, ‹Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου.› »

13 Καὶ συντελέσας πάντα πειρασμόν, ὁ διάβολος ἀπέστη ἀπ᾽ αὐτοῦ ἄχρι καιροῦ.

Jesus begins His public ministry, in Galilee[7]

4:14 Καὶ ὑπέστρεψεν ὁ[8] Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ Πνεύματος εἰς τὴν Γαλιλαίαν, καὶ φήμη ἐξῆλθεν καθ᾽ ὅλης τῆς περιχώρου περὶ αὐτοῦ· **15** καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ πάντων.

His home town rejects Him

16 Καὶ ἦλθεν εἰς τὴν[9] Ναζαρέτ,[10] οὗ ἦν τεθραμμένος· καὶ εἰσῆλθεν, κατὰ τὸ εἰωθὸς αὐτῷ, ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγήν, καὶ ἀνέστη ἀναγνῶναι. **17** Καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ προφήτου·[11] καὶ ἀναπτύξας τὸ βιβλίον εὗρεν τὸν τόπον οὗ ἦν γεγραμμένον· **18** «Πνεῦμα Κυρίου ἐπ᾽ ἐμέ, οὗ εἵνεκεν[12] ἔχρισέν με εὐαγγελίσασθαι[13] πτωχοῖς. Ἀπέσταλκέν με ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν,[14] κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, **19** κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν.»

“Today this Scripture is fulfilled”

20 Καὶ πτύξας τὸ βιβλίον, ἀποδοὺς τῷ ὑπηρέτῃ, ἐκάθισεν.[15] Καὶ πάντων ἐν τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν[16] ἀτενίζοντες αὐτῷ. **21** Ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς ὅτι «Σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.» **22** (Καὶ πάντες ἐμαρτύρουν αὐτῷ καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ· καὶ ἔλεγον, «Οὐχ[17] οὗτός ἐστιν ὁ υἱὸς Ἰωσήφ;»)[18] **23** Καὶ εἶπεν πρὸς αὐτούς· «Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην· ‹Ἰατρέ, θεράπευσον σεαυτόν›—ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ[19] Καπερναοὺμ[20] ποίησον καὶ ὧδε[21] ἐν τῇ

---

[1] και ηγαγεν **f**[35] A,D [97%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε ℵB,W [3%] NU

[2] ιερουσαλημ *rell* ¦ ιεροσολυμα [3%] OC

[3] αυτον **f**[35] A,D,W [98.5%] CP,HF,RP,TR,OC ¦ αυτω [1%] ¦ --- ℵB [0.5%] NU

[4] ει *rell* ¦ 1 ο [1%] TR

[5] εντευθεν *rell* ¦ ανωθεν [13%] ¦ ευθεν [1%] ¦ --- [14%]

[6] και **f**[35] D [75%] CP,HF,RP ¦ 1 οτι ℵA,B,W [25%] TR,OC,NU

[7] [A number of months elapsed between verses 13 and 14; John 1:15-4:42 records some of what transpired during that interval.]

[8] ο **f**[35] ℵA,B,D,W [55%] CP,HF,RP,TR,OC,NU ¦ --- [45%]

[9] την **f**[35] A [90%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [10%] NU

[10] ναζαρετ **f**[35] [60%] CP,HF,RP,TR,OC ¦ ναζαρεθ W [40%] ¦ ναζαρα ℵB [0.3%] NU ¦ ναζαρατ A [0.2%]

[11] ησαιου του προφητου **f**[35] A [98%] CP,HF,RP,TR,OC ¦ ~ 231 ℵB,W [1.5%] NU ¦ ο προφητης ησαιας D ¦ one other variant

[12] εινεκεν **f**[35] ℵA,B,D,W [94%] CP,HF,RP,OC,NU ¦ ενεκεν [6%] TR

[13] ευαγγελισασθαι *rell* ¦ ευαγγελιζεσθαι [1%] TR

[14] ιασασθαι τους συντετετριμμενους την καρδιαν **f**[35] A [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [1.5%] NU

[15] εκαθισεν *rell* ¦ εκαθησεν [11%]

[16] εν τη συναγωγη οι οφθαλμοι ησαν **f**[35] D,N [88%] CP,HF,RP,TR,OC ¦ ~ 123645 A [6%] ¦ ~ 451236 ℵB,W [6%] NU

[17] ουχ **f**[35] A [97.5%] CP,HF,RP,TR,OC ¦ ουχι ℵB,D,N,W [2.5%] NU

[18] ουτος εστιν ο υιος ιωσηφ **f**[35] A [99%] CP,HF,RP,TR,OC ¦ ~ 4251 ℵB,W [0.5%] NU ¦ ~ 4521 D ¦ ~ 4125 N ¦ two other variants

[19] εν τη **f**[35] [80%] CP,HF,RP,TR,OC ¦ 1 A,N [19%] ¦ εις την ℵB,W [0.3%] NU ¦ εις D [1%]

[20] καπερναυμ **f**[35] A,N [99%] CP,HF,RP,TR,OC ¦ καφαρναυμ ℵB,D,W [0.8%] NU

[21] ὧδε [60%] ¦ ὧδε **f**[35] [40%] (I include this information for the record, and so as not to lose sight of it; since there is no contrast in meaning here, and I am not aware that the Autographs contained ‘breathing’ marks, I stay with the conventional spelling. However, it may be noted that the difference between ᾧ δε (‘so to whom’) and ὧδε (‘here’) would be indistinct in most MSS; the simple expedient reflected in **f**[35] resolves the ambiguity.)

πατρίδι σου.»

Jesus treads on their toes

24 Εἶπεν δέ· «Ἀμὴν λέγω ὑμῖν[1] ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ. **25** Ἐπ᾽ ἀληθείας δὲ λέγω ὑμῖν,[2] πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλίου ἐν τῷ Ἰσραήλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν· **26** καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας εἰ μὴ εἰς Σάρεπτα[3] τῆς Σιδῶνος,[4] πρὸς γυναῖκα χήραν. **27** Καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ Ἐλισσαίου[5] τοῦ προφήτου ἐν τῷ Ἰσραήλ·[6] καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη εἰ μὴ Νεεμὰν[7] ὁ Σύρος.»

Atypical mob action

28 Καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ ἀκούοντες ταῦτα, **29** καὶ ἀναστάντες ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως καὶ ἤγαγον αὐτὸν ἕως[8] ὀφρύος τοῦ ὄρους ἐφ᾽ οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο,[9] εἰς τὸ[10] κατακρημνίσαι αὐτόν. **30** Αὐτὸς δέ, διελθὼν διὰ μέσου αὐτῶν, ἐπορεύετο.

Capernaum becomes His base of operations—27 AD

31 Καὶ κατῆλθεν[11] εἰς Καπερναούμ,[12] πόλιν τῆς Γαλιλαίας· καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασιν. **32** Καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ.

A demonized man

33 Καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου· καὶ ἀνέκραξεν φωνῇ μεγάλῃ **34** λέγων·[13] «Ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; Ἦλθες ἀπολέσαι ἡμᾶς; Οἶδά σε τίς εἶ, ὁ Ἅγιος τοῦ Θεοῦ.» **35** Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς λέγων, «Φιμώθητι, καὶ ἔξελθε ἐξ[14] αὐτοῦ.» Καὶ ῥῖψαν αὐτὸν τὸ δαιμόνιον εἰς[15] μέσον, ἐξῆλθεν ἀπ᾽ αὐτοῦ, μηδὲν βλάψαν αὐτόν. **36** Καὶ ἐγένετο θάμβος ἐπὶ πάντας, καὶ συνελάλουν πρὸς ἀλλήλους λέγοντες· «Τίς ὁ λόγος οὗτος, ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀκαθάρτοις πνεύμασιν, καὶ ἐξέρχονται.» **37** Καὶ ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου.

Peter's mother-in-law

38 Ἀναστὰς δὲ ἐκ[16] τῆς συναγωγῆς[17] εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος. Πενθερὰ δὲ[18] τοῦ Σίμωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ, καὶ ἠρώτησαν αὐτὸν περὶ αὐτῆς. **39** Καὶ ἐπιστὰς ἐπάνω αὐτῆς ἐπετίμησεν τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτήν. Παραχρῆμα δὲ ἀναστᾶσα διηκόνει αὐτοῖς.

---

[1] λεγω υμιν **f**[35] ℵB,D,N,W [72%] CP,HF,RP,TR,OC,NU ¦ ~ 21 A [28%]
[2] υμιν *rell* ¦ 1 οτι ℵW [25%]
[3] σαρεπτα *rell* ¦ σαρεφθα N [11%] ¦ σαραπτα W [3%] OC ¦ seven other spellings [3%]
[4] σιδωνος **f**[35] [95%] CP,HF,RP,TR ¦ σιδωνιας ℵA,C [3%] OC,NU ¦ σειδωνιας B,W ¦ σιδονιας D [1%] ¦ two other variants [0.5%]
[5] ελισσαιου **f**[35] C [86%] CP,HF,RP,TR ¦ ελισαιου ℵA(B)D [13%] OC,NU ¦ ελεισεου W ¦ three other readings
[6] επι ελισσαιου του προφητου εν τω ισραηλ **f**[35] A [95%] CP,HF,RP,TR,OC ¦ ~ 5671234 ℵB,C,D,W [5%] NU
[7] νεεμαν **f**[35] [77%] CP,HF,RP,TR,OC ¦ ναιμαν ℵA,B,C(D)W [8%] NU ¦ νεεμμαν [13%] ¦ six other spellings [2%]
[8] εως **f**[35] ℵA,B,C [97.5%] CP,HF,RP,OC,NU ¦ 1 της D [1.5%] TR ¦ 1 του [1%]
[9] αυτων ωκοδομητο **f**[35] A,C [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓[4]ℵB(D)W [1.5%] NU
[10] εις το **f**[35] A,C [95%] CP,HF,RP,TR,OC ¦ ωστε 𝔓[4vv]ℵB,D,W [3%] NU ¦ two other variants [2%]
[11] κατηλθεν *rell* ¦ 1 ο ιησους [14%]
[12] καπερναυμ **f**[35] A,C [99.4%] CP,HF,RP,TR,OC ¦ καφαρναυμ 𝔓[4]ℵB,D,W [0.6%] NU
[13] λεγων **f**[35] A,C,D [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,W [1%] NU
[14] εξ **f**[35] 𝔓[75]A,C,Q [86%] CP,HF,RP,TR,OC ¦ απ ℵB,D,W [14%] NU
[15] εις **f**[35] D [80%] CP,HF,RP ¦ 1 το 𝔓[75]ℵA,B,C,Q,W [20%] TR,OC,NU
[16] εκ **f**[35] A [96%] CP,HF,RP,TR,OC ¦ απο 𝔓[75]ℵB,C,D,N,Q,W [4%] NU
[17] συναγωγης *rell* ¦ 1 ο ιησους [12%]
[18] πενθερα δε **f**[35] ℵA,B,D,N,Q [83%] CP,HF,RP,OC,NU ¦ ~ η 21 C [5%] ¦ η 12 W [12%] TR

Healings at sunset

40 Δύνοντος[1] δὲ τοῦ ἡλίου, πάντες[2] ὅσοι εἶχον ἀσθενοῦντας νόσοις ποικίλαις ἤγαγον αὐτοὺς πρὸς αὐτόν· ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιθεὶς[3] ἐθεράπευσεν[4] αὐτούς. **41** Ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν, κράζοντα[5] καὶ λέγοντα ὅτι «Σὺ εἶ ὁ Χριστός,[6] ὁ Υἱὸς τοῦ Θεοῦ.» Καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι ἤδεισαν τὸν Χριστὸν αὐτὸν εἶναι.

42 Γενομένης δὲ ἡμέρας ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον τόπον· καὶ οἱ ὄχλοι ἐζήτουν[7] αὐτὸν καὶ ἦλθον ἕως αὐτοῦ, καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ᾽ αὐτῶν. **43** Ὁ δὲ εἶπεν πρὸς αὐτοὺς ὅτι «Καὶ ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσασθαί με δεῖ τὴν βασιλείαν τοῦ Θεοῦ, ὅτι εἰς[8] τοῦτο ἀπέσταλμαι.»[9] **44** Καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖ[10] τῆς Γαλιλαίας.[11]

By the sea

5:1 Ἐγένετο δέ, ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ τοῦ[12] ἀκούειν τὸν λόγον τοῦ Θεοῦ, καὶ αὐτὸς ἦν ἑστὼς περὶ[13] τὴν λίμνην Γενησαρέτ,[14] **2** καὶ εἶδεν[15] δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην (οἱ δὲ ἁλιεῖς ἀποβάντες ἀπ᾽ αὐτῶν,[16] ἀπέπλυναν[17] τὰ δίκτυα). **3** Ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ[18] Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον. Καὶ καθίσας[19] ἐδίδασκεν ἐκ τοῦ πλοίου[20] τοὺς ὄχλους.

A miraculous catch

4 Ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπεν πρὸς τὸν Σίμωνα, «Ἐπανάγαγε εἰς τὸ βάθος καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν.» **5** Καὶ ἀποκριθεὶς ὁ Σίμων εἶπεν αὐτῷ,[21] «Ἐπιστάτα, δι᾽ ὅλης τῆς[22] νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν, ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον.»[23] **6** Καὶ τοῦτο ποιήσαντες συνέκλεισαν πλῆθος ἰχθύων[24] πολύ, διερρήγνυτο[25] δὲ τὸ δίκτυον[26] αὐτῶν. **7** Καὶ

---

[1] δυνοντος *rell* ¦ δυναντος [17%] ¦ δυσαντος D
[2] παντες **f**[35] ℵA,D,N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ απαντες B,C [1%] NU
[3] επιθεις **f**[35] ℵA,C,N [94%] CP,HF,RP,TR ¦ επιτιθεις B,D,Q,W [6%] OC,NU
[4] εθεραπευσεν **f**[35] ℵA,C,N,Q [96%] CP,HF,RP,TR,OC ¦ εθεραπευεν B,D,W [4%] NU
[5] κραζοντα **f**[35] B,C,N,Q [66%] CP,HF,RP,TR ¦ κραυγαζοντα A,D,W [34%] OC[NU] ¦ κραζοντων ℵ
[6] ο χριστος **f**[35] A,N,Q [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB,C,D,W [1.5%] NU
[7] εζητουν **f**[35] [40%] CP,TR ¦ επεζητουν **𝔓**[75v]ℵA,B,C,D,Q,W [60%] HF,RP,OC,NU
[8] εις **f**[35] A,C(D)Q [98.5%] CP,HF,RP,TR,OC ¦ επι **𝔓**[75]ℵB,W [1.5%] NU
[9] απεσταλμαι **f**[35] A,Q [95%] CP,HF,RP,TR,OC ¦ απεσταλην **𝔓**[75]ℵB,C,D,W [5%] NU
[10] εν ταις συναγωγαις **f**[35] A,C (97.1%) CP,HF,RP,TR ¦ 23 (0.7%) ¦ 1 τη συναγωγη (0.2%) ¦ εις τας συναγωγας **𝔓**[75]ℵB,D,Q,W (1.8%) OC,NU ¦ long omissions (0.1%)
[11] της γαλιλαιας **f**[35] A,D (94.7%) CP,HF,RP,TR,OC ¦ 1 ιουδαιας **𝔓**[75]ℵB,C,Q (4.1%) NU ¦ των ιουδαιων W (0.2%) ¦ αυτων (0.5%) ¦ conflations (0.2%) ¦ long omissions (0.1%) ¦ two other variants (0.1%) [Comparing this variant set with the prior one, there are a variety of ‘conflations’—εις τας συναγωγας της ιουδαιας is read by only 0.8%, which number includes **𝔓**[75]ℵB,Q.]
[12] του **f**[35] C,D,Q [97.5%] CP,HF,RP,TR,OC ¦ και **𝔓**[75](ℵ)A,B,W [2.5%] NU
[13] περι **f**[35] [18%] ¦ παρα **𝔓**[75]ℵA,B,D,Q,W [82%] CP,HF,RP,TR,OC,NU
[14] γενησαρετ **f**[35] [29%] ¦ γεννησαρετ **𝔓**[75]ℵA,B,C,Q,W [60%] CP,HF,RP,TR,OC,NU ¦ γεννησαρεθ [9%] ¦ γεννησαρεδ D ¦ two other spellings [2%]
[15] ειδεν *rell* ¦ ιδε A,C,D,Q [11%] ¦ four other variants [4%]
[16] αναβαντες απ αυτων **f**[35] A [99%] CP,HF,RP,TR,OC ¦ ~ 231 **𝔓**[75]B,C,D,Q,W [1%] NU ¦ ~ 31 ℵ
[17] απεπλυναν **f**[35] A [90%] CP,HF,RP,TR,OC ¦ επεπλυνον [7%] ¦ επλυναν ℵC,Q [2%] ¦ επλυνον B,D,W [1%] NU
[18] του **f**[35] A,C,Q [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB,D,W [1%] NU
[19] και καθισας **f**[35] A,C,D [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε **𝔓**[75]ℵB,Q,W [0.5%] NU
[20] εδιδασκεν εκ του πλοιου **f**[35] A,C,Q,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 2341 **𝔓**[75]B [1%] NU ¦ ~ εν τω πλοιω 1 ℵD
[21] ο σιμων ειπεν αυτω **f**[35] A,C,W [98.5%] CP,HF,RP,TR,OC ¦ 23 **𝔓**[75]B,NU ¦ ~ 32 ℵ ¦ four other variants D [1%]
[22] της **f**[35] C,D [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵA,B,W [1%] NU
[23] το δικτυον **f**[35] A,C [98%] CP,HF,RP,TR,OC ¦ τα δικτυα **𝔓**[75]ℵB,W [2%] NU ¦ D is wild
[24] πληθος ιχθυων *rell* ¦ ~ 21 D [2.5%] TR
[25] διερρηγνυτο **f**[35] (A) [99%] CP,HF,RP,TR,OC ¦ διερρησσετο **𝔓**[75]ℵ(B) [0.5%] NU ¦ διερρητο C ¦ διερρησοντο W ¦ ρησσεσθαι D
[26] το δικτυον **f**[35] A,C [98.5%] CP,HF,RP,TR,OC ¦ τα δικτυα **𝔓**[4,75]ℵB(D)W [1.5%] NU

κατένευσαν τοῖς μετόχοις τοῖς[1] ἐν τῷ ἑτέρῳ πλοίῳ τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ ἦλθον καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά. **8** Ἰδὼν δὲ Σίμων Πέτρος προσέπεσεν τοῖς γόνασιν[2] Ἰησοῦ λέγων, «Ἔξελθε ἀπ᾽ ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε.» **9** Θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν αὐτῷ ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ἣ[3] συνέλαβον· **10** ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην, υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι. Καὶ εἶπεν πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς, «Μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν.» **11** Καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες ἅπαντα[4] ἠκολούθησαν αὐτῷ.

The hinge: proof, evaluation, rejection

A leper—the proof

5:12 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων, καὶ ἰδού, ἀνὴρ πλήρης λέπρας· καὶ ἰδὼν[5] τὸν Ἰησοῦν, πεσὼν ἐπὶ πρόσωπον ἐδεήθη αὐτοῦ λέγων, «Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.» **13** Καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ εἰπών,[6] «Θέλω· καθαρίσθητι.» Καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ᾽ αὐτοῦ. **14** Καὶ αὐτὸς παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν, «Ἀλλὰ[7] ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ καὶ προσένεγκαι[8] περὶ τοῦ καθαρισμοῦ σου καθὼς προσέταξεν Μωσῆς,[9] εἰς μαρτύριον αὐτοῖς.»

15 Διήρχετο δὲ μᾶλλον ὁ λόγος περὶ αὐτοῦ, καὶ συνήρχοντο ὄχλοι πολλοὶ ἀκούειν καὶ θεραπεύεσθαι ὑπ᾽ αὐτοῦ[10] ἀπὸ τῶν ἀσθενειῶν[11] αὐτῶν. **16** Αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν ταῖς ἐρήμοις καὶ προσευχόμενος.

An examining council—the evaluation

17 Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἦν[12] διδάσκων, καὶ ἦσαν καθήμενοι Φαρισαῖοι καὶ νομοδιδάσκαλοι, οἳ ἦσαν ἐληλυθότες ἐκ πάσης κώμης τῆς Γαλιλαίας καὶ Ἰουδαίας καὶ Ἰερουσαλήμ—καὶ δύναμις Κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς.[13]

"Your sins are forgiven"

18 Καὶ ἰδού, ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος, καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν καὶ θεῖναι[14] ἐνώπιον αὐτοῦ. **19** Καὶ μὴ εὑρόντες πῶς[15] εἰσενέγκωσιν αὐτόν, διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ δῶμα διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον, ἔμπροσθεν τοῦ Ἰησοῦ. **20** Καὶ ἰδὼν τὴν πίστιν αὐτῶν εἶπεν αὐτῷ,[16] «Ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.»

A 'discussion' ensues

21 Καὶ ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι λέγοντες· «Τίς ἐστιν οὗτος ὃς

---

[1] τοις **f**[35] A,C [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אB,D,W [1%] NU
[2] γονασιν **f**[35] **𝔓**[4,75]אB(D)W [85%] CP,HF,RP,OC,NU ¦ 1 του A,C [15%] TR
[3] η **f**[35] אA,C,W [99.5%] CP,HF,RP,TR,OC ¦ ων **𝔓**[75]B,D [0.5%] NU
[4] απαντα **f**[35] A,C,W [96%] CP,HF,RP,TR,OC ¦ παντα אB(D) [4%] NU
[5] και ιδων **f**[35] A,C,D,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε אB [1%] NU
[6] ειπων **f**[35] A,N [98%] CP,HF,RP,TR,OC ¦ λεγων אB,C,D,W [2%] NU
[7] αλλα *rell* ¦ αλλ [17%]
[8] προσενεγκαι **f**[35] א [30%] ¦ προσενεγκε A,B,C,D,N,W [70%] CP,HF,RP,TR,OC,NU
[9] μωσης **f**[35] A [74%] CP,HF,RP,TR ¦ μωυσης אB,C(D)N,W [26%] OC,NU
[10] ὑπ (απ A) αυτου **f**[35] (A)N [97.5%] CP,HF,RP,TR,OC ¦ --- אB,C,D,W [2.5%] NU
[11] ασθενειων *rell* ¦ ασθενιων אN,W [14%]
[12] ην *rell* ¦ 1 ο ιησους [11%]
[13] αυτους **f**[35] A,C,D,N (98.4%) CP,HF,RP,TR,OC ¦ αυτον אB,W (0.9%) NU ¦ eight other variants (0.7%) (Why would the editors of NU choose such an inferior reading?)
[14] θειναι **f**[35] אA,C,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ 1 αυτον B [1%] [NU]
[15] πως **f**[35] [35%] ¦ ποιας אA,B,C,D,N,W [57%] CP,HF,RP,OC,NU ¦ ποθεν [4%] ¦ δια ποιας [2%] TR ¦ ποιας οδου [2%]
[16] αυτω **f**[35] A,N,W [95.5%] CP,HF,RP,TR,OC ¦ τω παραλυτικω C,D [3%] ¦ τω ανθρωπω [0.5%] ¦ --- אB [1%] NU

λαλεῖ βλασφημίας; Τίς δύναται ἀφιέναι ἁμαρτίας[1] εἰ μὴ μόνος ὁ Θεός;» **22** Ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν, ἀποκριθεὶς εἶπεν πρὸς αὐτούς· «Τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; **23** Τί ἐστιν εὐκοπώτερον εἰπεῖν, ‹Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου,› ἢ εἰπεῖν, ‹Ἔγειραι[2] καὶ περιπάτει›; **24** Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ Ἀνθρώπου[3] ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας»—εἶπεν τῷ παραλελυμένῳ·[4] «Σοὶ λέγω, ἔγειραι,[5] καὶ ἆρας τὸ κλινίδιόν σου πορεύου εἰς τὸν οἶκόν σου.»

God is glorified

25 Καὶ παραχρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν, ἆρας ἐφ᾽ ᾧ[6] κατέκειτο, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ δοξάζων τὸν Θεόν. **26** Καὶ ἔκστασις ἔλαβεν ἅπαντας καὶ ἐδόξαζον τὸν Θεόν· καὶ ἐπλήσθησαν φόβου λέγοντες ὅτι «Εἴδομεν παράδοξα σήμερον.»

Enter Levi (Matthew)

27 Καὶ μετὰ ταῦτα ἐξῆλθεν καὶ ἐθεάσατο τελώνην ὀνόματι Λευῒν[7] καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ εἶπεν αὐτῷ, «Ἀκολούθει μοι.» **28** Καὶ καταλιπὼν[8] ἅπαντα[9] ἀναστὰς ἠκολούθησεν[10] αὐτῷ. **29** Καὶ ἐποίησεν δοχὴν μεγάλην[11] Λευὶς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ· καὶ ἦν ὄχλος τελωνῶν πολὺς[12] καὶ ἄλλων οἳ ἦσαν μετ᾽ αὐτῶν κατακείμενοι.

The Pharisees have a problem

30 Καὶ ἐγόγγυζον οἱ γραμματεῖς αὐτῶν, καὶ οἱ Φαρισαῖοι,[13] πρὸς τοὺς μαθητὰς αὐτοῦ λέγοντες, «Διὰ τί μετὰ τῶν[14] τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε;» **31** Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτούς· «Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ᾽[15] οἱ κακῶς ἔχοντες. **32** Οὐκ ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλούς, εἰς μετάνοιαν.»

33 Οἱ δὲ εἶπον[16] πρὸς αὐτόν, «Διὰ τί[17] οἱ μαθηταὶ Ἰωάννου νηστεύουσιν πυκνὰ καὶ δεήσεις ποιοῦνται, ὁμοίως καὶ οἱ τῶν Φαρισαίων, οἱ δὲ σοὶ ἐσθίουσιν καὶ πίνουσιν;» **34** Ὁ δὲ[18] εἶπεν πρὸς αὐτούς· «Μὴ δύνασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστιν ποιῆσαι νηστεύειν;[19] **35** Ἐλεύσονται δὲ ἡμέραι[20] ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος· τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις.»

New wine X old wineskins

36 Ἔλεγεν δὲ καὶ παραβολὴν πρὸς αὐτοὺς ὅτι «Οὐδεὶς ἐπίβλημα[21] ἱματίου καινοῦ[22]

---

[1] αφιεναι αμαρτιας **f**[35] ℵA,C,N(W) [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 [0.8%] ¦ ~ 2 αφειναι B,D [0.2%] NU
[2] εγειραι **f**[35] [55%] CP,HF,RP,TR ¦ εγειρε ℵA,B,C,D,N,W [45%] OC,NU
[3] εξουσιαν εχει ο υιος του ανθρωπου **f**[35] ℵA,C,D,N [91%] CP,HF,RP,TR,OC ¦ ~ 345612 B,W [9%] NU
[4] παραλελυμενω *rell* ¦ παραλυτικω ℵC,D,N,W [11%]
[5] εγειραι **f**[35] [55%] CP,HF,RP,TR ¦ εγειρε ℵA,B,C,D,N,W [45%] OC,NU
[6] ω **f**[35] [58%] CP,TR ¦ ο ℵA,B,C,N,W [42%] HF,RP,OC,NU ¦ D is wild
[7] λευιν *rell* ¦ λευι [10%] ¦ λευειν ℵA,B,C,N,W [4%] ¦ λευει (D) [1%]
[8] καταλιπων *rell* ¦ καταλειπων A [12%]
[9] απαντα **f**[35] A [93%] CP,HF,RP,TR,OC ¦ απαντας ℵ ¦ παντας C ¦ παντα B,D,N,W [2%] NU ¦ --- [5%]
[10] ηκολουθησεν **f**[35] ℵA,C,N [99.3%] CP,HF,RP,TR,OC ¦ ηκολουθει B,D,W [0.7%] NU
[11] μεγαλην *rell* ¦ 1 ο [1.5%] TR
[12] τελωνων πολυς **f**[35] A [95%] CP,HF,RP,TR,OC ¦ ~ 21 ℵB,C,D,N,W [5%] NU
[13] γραμματεις αυτων και οι φαρισαιοι **f**[35] A,N [98%] CP,HF,RP,TR,OC ¦ ~ 53412 (B)C,W [1%] NU ¦ 1345 [1%] ¦ ~ 5341 ℵ(D) (Render, "the scribes and Pharisees complained about them to His disciples.")
[14] των **f**[35] ℵA,B,C,D,N,W [70%] CP,HF,RP,OC,NU ¦ --- [30%] TR
[15] αλλ *rell* ¦ αλλα A,B,W [0.4%] NU
[16] ειπον *rell* ¦ ειπαν 𝔓[4]B,C,D,N,W [0.7%] NU
[17] δια τι **f**[35] ℵA,C,D,N [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[4]B,W [1%] NU
[18] δε **f**[35] A [91%] CP,HF,RP,TR,OC ¦ 1 ιησους 𝔓[4]ℵB,C,D,W [9%] NU
[19] νηστευειν **f**[35] ℵA,C,D,W [99%] CP,HF,RP,TR,OC ¦ νηστευσαι B [1%] NU
[20] ημεραι **f**[35] ℵC [25%] ¦ 1 και 𝔓[4]A,B,D,W [75%] CP,HF,RP,TR,OC,NU
[21] επιβλημα **f**[35] A,C [97%] CP,HF,RP,TR,OC ¦ 1 απο 𝔓[4]ℵB,D,W [3%] NU
[22] καινου **f**[35] A,C [98%] CP,HF,RP,TR,OC ¦ 1 σχισας 𝔓[4]ℵB,D,W [2%] NU

ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιόν· εἰ δὲ μή γε, καὶ τὸ καινὸν σχίζει[1] καὶ τῷ παλαιῷ οὐ συμφωνεῖ[2] τὸ ἀπὸ τοῦ καινοῦ. **37** Καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μή γε, ῥήξει ὁ νέος οἶνος[3] τοὺς ἀσκούς, καὶ αὐτὸς ἐκχυθήσεται καὶ οἱ ἀσκοὶ ἀπολοῦνται. **38** Ἀλλὰ[4] οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον, καὶ ἀμφότεροι συντηροῦνται.[5] **39** Καὶ[6] οὐδεὶς πιὼν παλαιὸν εὐθέως[7] θέλει νέον, λέγει γάρ, ‹Ὁ παλαιὸς χρηστότερός[8] ἐστιν.› »

Jesus is Lord of the Sabbath

6:1 Ἐγένετο δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ[9] διαπορεύεσθαι αὐτὸν διὰ τῶν[10] σπορίμων· καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας καὶ ἤσθιον,[11] ψώχοντες ταῖς χερσίν. **2** Τινὲς δὲ τῶν Φαρισαίων εἶπον αὐτοῖς,[12] «Τί ποιεῖτε ὃ οὐκ ἔξεστιν ποιεῖν[13] ἐν[14] τοῖς σάββασιν;» **3** Καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν ὁ Ἰησοῦς·[15] «Οὐδὲ τοῦτο ἀνέγνωτε, ὃ ἐποίησεν Δαυὶδ ὁπότε[16] ἐπείνασεν, αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ ὄντες·[17] **4** ὡς[18] εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔλαβεν καὶ[19] ἔφαγεν, καὶ ἔδωκεν καὶ[20] τοῖς μετ᾽ αὐτοῦ—οὓς οὐκ ἔξεστιν φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς;» **5** Καὶ ἔλεγεν αὐτοῖς ὅτι[21] «Κύριός ἐστιν ὁ Υἱὸς τοῦ Ἀνθρώπου καὶ τοῦ σαββάτου.»[22]

He heals on the Sabbath

6 Ἐγένετο δὲ καὶ[23] ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν καὶ διδάσκειν. Καὶ ἦν ἐκεῖ ἄνθρωπος,[24] καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά. **7** Παρετήρουν[25] δὲ[26] οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι, εἰ[27] τῷ σαββάτῳ θεραπεύσει,[28] ἵνα εὕρωσιν κατηγορίαν[29] αὐτοῦ.[30] **8** Αὐτὸς δὲ ᾔδει

---

[1] σχιζει **f**^{35} A [97%] CP,HF,RP,TR ¦ σχισει ℵB,C,D,W [2%] OC,NU ¦ σχιζεται [1%]
[2] συμφωνει **f**^{35} [79%] CP,HF,RP ¦ 1 επιβλημα (D) [1%] TR ¦ 1 το επιβλημα [18%] OC ¦ συμφωνησει το επιβλημα **𝔓**^{4}ℵB,C,W [2%] NU ¦ συμφωνησει A
[3] ο νεος οινος **f**^{35} A [84%] CP,HF,RP,TR ¦ ~ 1312 **𝔓**^{4}B,C,D,W [15%] OC,NU ¦ 13 ℵ [1%]
[4] αλλα *rell* ¦ αλλ B,C [40%]
[5] και αμφοτεροι συντηρουνται **f**^{35} A,C(D) (98.6%—of which 1.7% have minor variations) CP,HF,RP,TR,OC ¦ --- **𝔓**^{4}(ℵ)B(W) (1.2%) NU ¦ long omissions (0.2%)
[6] και **f**^{35} ℵA,C,W [99.6%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**^{4}B [0.4%] ¦ D omits verse 39
[7] ευθεως **f**^{35} A [96.5%] CP,HF,RP,TR,OC ¦ ευθυς [2%] ¦ --- **𝔓**^{4}ℵB,C,W [1.5%] NU
[8] χρηστοτερος **f**^{35} A,C [99%] CP,HF,RP,TR,OC ¦ χρηστος **𝔓**^{4}ℵB,W [1%] NU
[9] δευτεροπρωτω **f**^{35} A,C,D (92.1%) CP,HF,RP,TR,OC ¦ δευτερω πρωτω (6%) ¦ --- **𝔓**^{4}ℵB,W (1.6%) NU ¦ four other variants (0.2%)
[10] των **f**^{35} C,D [88%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**^{4}ℵA,B,W [12%] NU
[11] τους σταχυας και ησθιον **f**^{35} A(D)W [98%] CP,HF,RP,TR,OC ¦ ~ 3412 **𝔓**^{4,75v}B,C [2%] NU ¦ 234 ℵ
[12] αυτοις **f**^{35} A [97%] CP,HF,RP,TR,OC ¦ αυτω D [1%] ¦ --- **𝔓**^{4}ℵB,C,W [1.5%] NU ¦ two other variants
[13] ποιειν **f**^{35} ℵA,C,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**^{4}B [0.5%] NU ¦ D is wild ¦ three other variants
[14] εν **f**^{35} A,C [95%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**^{4}ℵB,W [5%] NU
[15] προς αυτους ειπεν ο ιησους **f**^{35} **𝔓**^{75v}C [80%] CP,HF,RP,TR,OC,NU ¦ ~ 45312 A [12%] ¦ ~ 45123 ℵW [4%] ¦ ~ 31245 [1%] ¦ 1235 **𝔓**^{4}B ¦ ~ 453 αυτους [0.5%] ¦ ~ 45 ελεγεν 12 D ¦ ~ 453 [2%]
[16] οποτε **f**^{35} A [89%] CP,HF,RP,TR,OC ¦ οτε **𝔓**^{4}ℵB,C,D,W [11%] NU
[17] οντες **f**^{35} A,C [96.5%] CP,HF,RP,TR,OC[NU] ¦ παντες [1%] ¦ --- **𝔓**^{4}ℵB,D,W [2.5%]
[18] ως **f**^{35} ℵA,C [93%] CP,HF,RP,TR,OC[NU] ¦ πως [7%] ¦ --- **𝔓**^{4}B,D
[19] ελαβεν και **f**^{35} A [85%] CP,HF,RP,TR,OC ¦ λαβων B,C [0.5%] NU ¦ --- ℵD,W [14.5%]
[20] και **f**^{35} ℵA,D [97.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**^{4}B,W [2.5%] NU
[21] οτι **f**^{35} A(D) [98%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**^{4}ℵB,W [2%] NU
[22] ο υιος του ανθρωπου και του σαββατου **f**^{35} A(D) [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 671234 ℵB,W [0.3%] NU
[23] και **f**^{35} A [86%] HF,RP,TR,OC ¦ --- **𝔓**^{4}ℵB,W [14%] CP,NU ¦ D is wild
[24] εκει ανθρωπος **f**^{35} A [97%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**^{4}ℵB,W [3%] NU ¦ 2 D
[25] παρετηρουν **f**^{35} ℵ [89%] CP,HF,RP,TR,OC ¦ παρετηρουντο **𝔓**^{4}A,B,D [11%] NU
[26] δε **f**^{35} A [93%] CP,HF,RP,OC ¦ 1 αυτον **𝔓**^{4}ℵB,D,W [7%] TR,NU
[27] ει **f**^{35} D [25%] ¦ 1 εν **𝔓**^{4}ℵA,B,D,W [75%] CP,HF,RP,TR,OC,NU
[28] θεραπευσει **f**^{35} **𝔓**^{4}B [97%] CP,HF,RP,TR,OC ¦ θεραπευει ℵA,D,W [3%] NU
[29] κατηγοριαν **f**^{35} A,W [93%] CP,HF,RP,TR,OC ¦ κατηγορειν **𝔓**^{4}ℵB [7%] NU ¦ κατηγορησαι D
[30] αυτου *rell* ¦ κατ 1 W [15%]

τοὺς διαλογισμοὺς αὐτῶν καὶ εἶπεν[1] τῷ ἀνθρώπῳ[2] τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα, «Ἔγειραι[3] καὶ στῆθι εἰς τὸ μέσον.» Ὁ δὲ[4] ἀναστὰς ἔστη. **9** Εἶπεν οὖν[5] ὁ Ἰησοῦς πρὸς αὐτούς· «Ἐπερωτήσω[6] ὑμᾶς τι·[7] Ἔξεστιν τοῖς σάββασιν[8] ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι, ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι;»[9,10] **10** Καὶ περιβλεψάμενος πάντας αὐτοὺ[11] εἶπεν αὐτῷ,[12] «Ἔκτεινον τὴν χεῖρά σου.» Ὁ δὲ ἐποίησεν οὕτως[13] καὶ ἀποκατεστάθη[14] ἡ χεὶρ αὐτοῦ, ὑγιὴς ὡς ἡ ἄλλη.[15]

The rejection

11 Αὐτοὶ δὲ ἐπλήσθησαν ἀνοίας, καὶ διελάλουν[16] πρὸς ἀλλήλους τί ἂν ποιήσειαν[17] τῷ Ἰησοῦ.

Choosing the Twelve

12 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις ἐξῆλθεν[18] εἰς τὸ ὄρος προσεύξασθαι, καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ Θεοῦ. **13** Καὶ ὅτε ἐγένετο ἡμέρα προσεφώνησεν τοὺς μαθητὰς αὐτοῦ, καὶ ἐκλεξάμενος ἀπ᾽ αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους ὠνόμασεν·[19] **14** Σίμωνα (ὃν καὶ ὠνόμασεν Πέτρον) καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ,[20] Ἰάκωβον καὶ Ἰωάννην,[21] Φίλιππον καὶ Βαρθολομαῖον,[22] **15** Ματθαῖον[23] καὶ Θωμᾶν,[24] Ἰάκωβον (τὸν τοῦ[25] Ἀλφαίου) καὶ Σίμωνα (τὸν καλούμενον Ζηλωτήν),[26] **16** Ἰούδαν Ἰακώβου καὶ Ἰούδαν Ἰσκαριώτην[27] (ὃς καὶ[28] ἐγένετο προδότης).

A sermon on a level place

17 Καὶ καταβὰς μετ᾽ αὐτῶν ἔστη ἐπὶ τόπου[29] πεδινοῦ, καὶ ὄχλος[30] μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἰερουσαλήμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν· **18** καὶ οἱ ὀχλούμενοι[31] ὑπὸ[32]

---

[1] και ειπεν **f**[35] A [96.5%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε **𝔓**[4]א**B**,W [3%] NU ¦ 2 [0.5%] ¦ λεγει D
[2] ανθρωπω **f**[35] A,W [97%] CP,HF,RP,TR,OC ¦ ανδρι **𝔓**[4]א**B** [3%] NU ¦ --- D
[3] εγειραι **f**[35] [55%] CP,HF,RP,TR ¦ εγειρε **𝔓**[4]א**A,B,W** [45%] OC,NU ¦ εγειρου D
[4] ο δε **f**[35] A [96%] CP,HF,RP,TR,OC ¦ και **𝔓**[4]א**B,D,W** [4%] NU
[5] ουν **f**[35] A [97.5%] CP,HF,RP,TR,OC ¦ δε **𝔓**[4]א**B,D,W** [2.5%] NU
[6] επερωτησω **f**[35] A,D [99.2%] CP,HF,RP,TR,OC ¦ επερωτω **𝔓**[4]א**B,W** [0.4%] NU ¦ ερωτησω [0.4%]
[7] τι **f**[35] A [99%] CP,HF,RP,TR,OC ¦ ει **𝔓**[4]א**B,D,W** [1%] NU
[8] τοις σαββασιν **f**[35] A [99%] CP,HF,RP,TR,OC ¦ τω σαββατω **𝔓**[4]א**B,D,W** [1%] NU
[9] αποκτειναι **f**[35] A [90%] CP,HF,RP,OC ¦ απολεσαι **𝔓**[4]א**B,D,W** [10%] TR,NU
[10] αποκτειναι *rell* ¦ 1 οι δε εσιωπων D [15%]
[11] αυτους *rell* ¦ 1 εν οργη D [10%] ¦ 1 μετ οργης [1%]
[12] αυτω **f**[35] **𝔓**[4]A,B [90%] CP,HF,RP,OC,NU ¦ τω ανθρωπω א**D,W** [10%] TR
[13] εποιησεν ουτως **f**[35] [42%] CP,TR ¦ 1 **𝔓**[4]A,B [54.5%] HF,RP,OC,NU ¦ εξετεινεν א**D,W** [3.5%]
[14] αποκατεσταθη **f**[35] **𝔓**[4]B [55%] CP,HF,RP,TR,OC ¦ απεκατεσταθη A,D,W [44%] NU ¦ απεκατεστη א [1%]
[15] υγιης ως η αλλη **f**[35] [80%] CP,HF,RP,TR ¦ 234 A,D,Q [18%] OC ¦ 12 και 34 D [1.5%] ¦ 1 W ¦ --- **𝔓**[4,75v]א**B** [0.5%] NU
[16] διελαλουν *rell* ¦ ελαλουν **𝔓**[4] [15%] ¦ διαλογιζοντο D ¦ one other variant
[17] ποιησειαν **f**[35] **𝔓**[4] [91%] CP,HF,RP,TR,OC ¦ ποιησαιεν **𝔓**[75]B [6%] NU ¦ ποιησειεν A,W [0.5%] ¦ ποιησιεν א ¦ five other variants D [2%]
[18] εξηλθεν **f**[35] Q [97%] CP,HF,RP,TR,OC ¦ εξελθειν αυτον **𝔓**[4,75]א**A,B,D,W** [3%] NU
[19] ωνομασεν *rell* ¦ ονομασε [15%] ¦ εκαλεσε D
[20] αυτου **f**[35] A,Q [92%] CP,HF,RP,TR,OC ¦ 1 και **𝔓**[4,75]א**B,D,W** [8%] NU
[21] ιωαννην **f**[35] A,Q [99%] CP,HF,RP,TR,OC ¦ 1 και **𝔓**[4]א**B,D,W** [1%] NU
[22] βαρθολομαιον **f**[35] A,Q [99%] CP,HF,RP,TR,OC ¦ 1 και **𝔓**[4]א**B,D,W** [1%] NU
[23] ματθαιον **f**[35] A,Q [99%] CP,HF,RP,TR,OC ¦ μαθθαιον **𝔓**[4]א**B,D** [0.5%] NU ¦ μαθθεον W ¦ two other variants
[24] θωμαν **f**[35] A,B,Q,W [98%] CP,HF,RP,TR,OC ¦ 1 και **𝔓**[4]א(D) [2%] NU
[25] τον του **f**[35] A,D,Q [95%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[4]א**B,W** [2%] NU ¦ 2 [3%]
[26] ζηλωτην **f**[35] A [96%] CP,HF,RP,TR,OC ¦ 1 και **𝔓**[4,75v]א**B,D,Q,W** [4%] NU
[27] ισκαριωτην **f**[35] A,Q,W [99%] CP,HF,RP,TR,OC ¦ ισκαριωθ **𝔓**[4,75]א**B** [0.5%] NU ¦ σκαριωθ D ¦ four other variants
[28] και **f**[35] A,D,Q [99.5%] CP,HF,RP,TR,OC ¦ --- א**B,W** [0.5%] NU
[29] τοπου *rell* ¦ του [15%] ¦ του 1 [1%]
[30] οχλος **f**[35] A [99%] CP,HF,RP,TR,OC ¦ 1 πολυς **𝔓**[75]א**B,W** [1%] NU
[31] οχλουμενοι **f**[35] D,Q,W [99%] CP,HF,RP,TR,OC ¦ ενοχλουμενοι **𝔓**[75]א**A,B,T** [1%] NU
[32] υπο **f**[35] [60%] CP,HF,RP,TR ¦ απο **𝔓**[75]א**A,B,D,Q,T,W** [40%] OC,NU

πνευμάτων ἀκαθάρτων—καὶ[1] ἐθεραπεύοντο. **19** Καὶ πᾶς ὁ ὄχλος ἐζήτει[2] ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ᾽ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας.

Blessings

20 Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγεν· «Μακάριοι οἱ πτωχοί,[3] ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. **21** Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. **22** Μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσιν καὶ ἐκβάλωσιν τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τοῦ Υἱοῦ τοῦ Ἀνθρώπου. **23** Χάρητε[4] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ· κατὰ ταῦτα[5] γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν.

Woes

24 »Πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν. **25** Οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι,[6] ὅτι πεινάσετε. Οὐαὶ ὑμῖν[7] οἱ γελῶντες νῦν, ὅτι πενθήσετε καὶ κλαύσετε. **26** Οὐαὶ[8] ὅταν καλῶς εἴπωσιν ὑμᾶς[9] πάντες οἱ ἄνθρωποι,[10] κατὰ ταῦτα[11] γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν.

Instructions

27 »Ἀλλά,[12] ὑμῖν λέγω τοῖς ἀκούουσιν· Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς· **28** εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς,[13] προσεύχεσθε ὑπὲρ[14] τῶν ἐπηρεαζόντων ὑμᾶς. **29** Τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην· καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον, καὶ τὸν χιτῶνα μὴ κωλύσῃς. **30** Παντὶ δὲ τῷ[15] αἰτοῦντί σε δίδου, καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει. **31** Καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς[16] ποιεῖτε αὐτοῖς ὁμοίως. **32** Καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστίν; Καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσιν. **33** Καὶ[17] ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστίν; Καὶ γὰρ[18] οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσιν. **34** Καὶ ἐὰν δανείζητε[19] παρ᾽ ὧν ἐλπίζετε ἀπολαβεῖν,[20] ποία ὑμῖν χάρις ἐστίν;[21] Καὶ γὰρ[22] ἁμαρτωλοὶ ἁμαρτωλοῖς[23] δανείζουσιν, ἵνα ἀπολάβωσιν τὰ ἴσα.

---

[1] και **f**[35] [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א,A,B,D,Q,T,W [1.5%] NU
[2] εζητει **f**[35] A,D,Q [99%] CP,HF,RP,TR,OC ¦ εζητουν **𝔓**[75]א,B,T,W [1%] NU
[3] πτωχοι *rell* ¦ 1 τω πνευματι Q [10%]
[4] χαρητε **f**[35] א,A,B,D [95%] CP,HF,RP,OC,NU ¦ χαιρετε [5%] TR
[5] ταυτα **f**[35] א,A [98.5%] CP,HF,RP,TR ¦ τα αυτα **𝔓**[75]B,D,Q,W [1.5%] OC,NU
[6] εμπεπλησμενοι **f**[35] A(D) [85%] CP,HF,RP,TR,OC ¦ 1 νυν **𝔓**[75]א,B,Q,T(W) [15%] NU
[7] υμιν **f**[35] **𝔓**[75]A,D,Q [97%] CP,HF,RP,TR,OC ¦ --- א,B,W [3%] NU
[8] ουαι **f**[35] **𝔓**[75]א,A,B,Q,T [96%] CP,HF,RP,OC,NU ¦ 1 υμιν (D)W [4%] TR
[9] καλως ειπωσιν υμας **f**[35] א,A (22%) CP ¦ ~ 132 D,Q,T,W (76.1%) HF,RP,TR,OC ¦ ~ 312 **𝔓**[75]B (0.2%) NU ¦ 12 (1.2%) ¦ long omissions (0.4%) ¦ two other variants (0.1%)
[10] παντες οι ανθρωποι **f**[35] **𝔓**[75]A,B,Q,T (38.3%) TR,OC,NU ¦ ~ 231 א (0.2%) ¦ 23 D (60.5%) CP,HF,RP ¦ 13 W (0.6%) ¦ long omission (0.4%)
[11] ταυτα **f**[35] א,A,T [94%] CP,HF,RP,TR ¦ τα αυτα **𝔓**[75]B,D,W [6%] OC,NU
[12] αλλα **f**[35] א,A,B,D,W [73%] CP,OC ¦ αλλ [27%] HF,RP,TR,NU
[13] υμας **f**[35] א,A,B,D [45%] NU ¦ υμιν **𝔓**[75] [46%] CP,HF,RP,OC ¦ 1 και W [1%] ¦ υμιν και [8%] TR
[14] υπερ **f**[35] A,D [99%] CP,HF,RP,TR,OC ¦ περι **𝔓**[75]א,B,W [1%] NU
[15] δε τω **f**[35] A,D [93%] CP,HF,RP,TR,OC ¦ 2 [6.5%] ¦ --- א,B,W [0.5%] NU
[16] και υμεις **f**[35] א,A,D,W [98%] CP,HF,RP,TR,OC ¦ 2 [1.5%] ¦ --- B [0.5%] NU
[17] και **f**[35] A,D,W [99%] CP,HF,RP,TR,OC ¦ 1 γαρ **𝔓**[75]א,B,NU ¦ long omission [0.7%]
[18] γαρ **f**[35] A,D [98%] CP,HF,RP,TR,OC ¦ --- א,B,W [2%] NU
[19] δανειζητε **f**[35] [64%] CP,HF,RP,TR,OC ¦ δανειζετε [26%] ¦ δανιζετε A,D [9%] ¦ δανισητε B [0.2%] NU ¦ δανισηται אW ¦ four further variants
[20] απολαβειν **f**[35] A,D [99%] CP,HF,RP,TR,OC ¦ λαβειν **𝔓**[75]א,B,W [1%] NU
[21] εστιν **f**[35] א,A,D(W) [99.7%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[45v,75]B [0.3%]
[22] γαρ **f**[35] A,D [73%] CP,HF,RP,OC ¦ 1 οι [25%] TR ¦ 1 και [1.5%] ¦ --- **𝔓**[75]א,B,W [0.5%] NU
[23] αμαρτωλοις *rell* ¦ αμαρτωλους [12%]

Be compassionate

35 »Πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε, καὶ δανείζετε,[1] μηδὲν ἀπελπίζοντες· καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς, καὶ ἔσεσθε υἱοὶ[2] Ὑψίστου· ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. **36** Γίνεσθε οὖν[3] οἰκτίρμονες, καθὼς καὶ[4] ὁ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστίν.

We get what we give

37 »Καὶ μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε.[5] Μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε. Ἀπολύετε, καὶ ἀπολυθήσεσθε. **38** Δίδοτε, καὶ δοθήσεται ὑμῖν· μέτρον καλόν—πεπιεσμένον καὶ[6] σεσαλευμένον καὶ[7] ὑπερεκχυνόμενον[8]—δώσουσιν εἰς τὸν κόλπον ὑμῶν. Τῷ γὰρ αὐτῷ μέτρῳ ᾧ[9] μετρεῖτε ἀντιμετρηθήσεται ὑμῖν.»

39 Εἶπεν δὲ[10] παραβολὴν αὐτοῖς· «Μήτι δύναται τυφλὸς τυφλὸν ὁδηγεῖν; Οὐχὶ ἀμφότεροι εἰς βόθυνον πεσοῦνται;[11] **40** Οὐκ ἔστιν μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ,[12] κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ. **41** Τί δὲ βλέπεις τὸ κάρφος τὸ[13] ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς; **42** Ἢ πῶς[14] δύνασαι λέγειν τῷ ἀδελφῷ σου, ‹Ἀδελφέ, ἄφες ἐκβάλω τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ σου,› αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ βλέπων; Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου.[15]

A tree is known by its fruit

43 »Οὐ γάρ ἐστιν δένδρον καλὸν ποιοῦν καρπὸν σαπρόν, οὐδὲ[16] δένδρον σαπρὸν ποιοῦν καρπὸν καλόν **44**—ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται· οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσιν σῦκα, οὐδὲ ἐκ βάτου τρυγῶσιν σταφυλήν.[17] **45** Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ[18] προφέρει τὸ ἀγαθόν, καὶ ὁ πονηρὸς ἄνθρωπος[19] ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ[20] προφέρει τὸ πονηρόν· ἐκ γὰρ τοῦ[21] περισσεύματος τῆς[22] καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ.

Two foundations

46 »Τί δέ με καλεῖτε, ‹Κύριε, Κύριε,› καὶ οὐ ποιεῖτε ἃ λέγω; **47** Πᾶς ὁ ἐρχόμενος πρός με καὶ

---

[1] δανειζετε **f**[35] [90%] CP,HF,RP,TR,OC ¦ δανιζετε A,B,D,W [9%] NU ¦ δανιζεται ℵ [1%]
[2] υιοι **f**[35] ℵA,B,D,W [94%] CP,HF,RP,OC,NU ¦ 1 του [6%] TR
[3] ουν **f**[35] A [96%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[45,75]ℵB,D,W [4%] NU
[4] και **f**[35] A,D [96.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- ℵB,W [3.5%]
[5] κριθητε **f**[35] A,C,D [93%] CP,HF,RP,TR,OC ¦ 1 και 𝔓[75]ℵB,W [7%] NU
[6] και **f**[35] A,C [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [1%] NU
[7] και **f**[35] A,C [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[45]ℵB,D,W [1.5%] NU
[8] υπερεκχυνομενον **f**[35] 𝔓[75] [96%] CP,HF,RP,TR,OC ¦ υπερεκχυννομενον ℵA,B,C,D,W [4%] NU
[9] τω γαρ αυτω μετρω ω **f**[35] A,C (91.4%) CP,HF,RP,TR,OC ¦ 1245 (5.9%) ¦ 1345 𝔓[45] (0.7%) ¦ 1235 (0.4%) ¦ 1234 (0.3%) ¦ ~ 524 ℵB,D,W (1.1%) NU ¦ four other variants (0.2%)
[10] δε **f**[35] 𝔓[45v]A [95%] CP,HF,RP,TR,OC ¦ 1 και ℵB,C,D,W [5%] NU
[11] πεσουνται **f**[35] ℵA,C [95%] CP,HF,RP,TR,OC ¦ εμπεσουνται B(D,W) [5%] NU
[12] αυτου **f**[35] A,C [95%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]ℵB,D,W [5%] NU
[13] το *rell* ¦ τω [23%]
[14] η πως **f**[35] A,C,D,W [99.2%] CP,HF,RP,TR,OC ¦ 2 𝔓[75]B,NU ¦ 2 δε ℵ [0.2%] ¦ και 2 [0.4%]
[15] εκβαλειν το καρφος το εν τω οφθαλμω του αδελφου σου **f**[35] ℵA,C(D) [98%] CP,HF,RP,TR,OC ¦ ~ 2-10,1 𝔓[75]B,W [2%] NU
[16] ουδε **f**[35] A,C,D [97.5%] CP,HF,RP,TR,OC ¦ 1 παλιν 𝔓[75]ℵB,W [2.5%] NU
[17] τρυγωσιν σταφυλην **f**[35] A [96%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓[75]ℵB,C,D,W [2.5%] NU ¦ ~ σταφυλας 1 [1%] ¦ 2 [0.5%]
[18] αυτου **f**[35] A,C,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]ℵB,D [1%] NU
[19] ανθρωπος **f**[35] A,C,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]ℵB,D [1%] NU
[20] θησαυρου της καρδιας αυτου **f**[35] A,C [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75v]ℵB,D,W [1%] NU
[21] του **f**[35] C [65%] CP,HF,RP,TR,OC ¦ --- ℵA,B,D,W [35%] NU
[22] της **f**[35] C [86%] CP,HF,RP,TR,OC ¦ --- ℵA,B,D,W [14%] NU

ἀκούων μου τῶν λόγων καὶ ποιῶν αὐτούς—ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος· **48** ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν, ὃς[1] ἔσκαψεν καὶ ἐβάθυνεν καὶ ἔθηκεν θεμέλιον ἐπὶ τὴν πέτραν. Πλημμύρας[2] δὲ γενομένης, προσέρρηξεν[3] ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἴσχυσεν σαλεῦσαι αὐτήν, τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν.[4] **49** Ὁ δὲ ἀκούσας καὶ μὴ ποιήσας ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι τὴν[5] οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου, ᾗ προσέρρηξεν[6] ὁ ποταμός, καὶ εὐθέως[7] ἔπεσεν·[8] καὶ ἐγένετο τὸ[9] ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα.»

The faith of a centurion

7:1 Ἐπεὶ δὲ[10] ἐπλήρωσεν πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς τοῦ λαοῦ, εἰσῆλθεν[11] εἰς Καπερναούμ.[12] **2** Ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς ἔχων ἔμελλεν[13] τελευτᾶν, ὃς ἦν αὐτῷ ἔντιμος. **3** Ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ, ἀπέστειλεν πρὸς αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων, ἐρωτῶν αὐτὸν ὅπως ἐλθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ. **4** Οἱ δὲ παραγενόμενοι πρὸς τὸν Ἰησοῦν παρεκάλουν αὐτὸν σπουδαίως, λέγοντες[14] ὅτι ἄξιός ἐστιν ᾧ παρέξει[15] τοῦτο, **5** «Ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν, καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν.» **6** Ὁ δὲ Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς.

Ἤδη δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας, ἔπεμψεν πρὸς αὐτὸν[16] ὁ ἑκατόνταρχος φίλους[17] λέγων αὐτῷ· «Κύριε, μὴ σκύλλου, οὐ γάρ εἰμι ἱκανὸς[18] ἵνα μου ὑπὸ τὴν στέγην[19] εἰσέλθῃς. **7** Διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα πρός σε ἐλθεῖν. Ἀλλ᾽[20] εἰπὲ λόγῳ καὶ ἰαθήσεται[21] ὁ παῖς μου· **8** καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος, ἔχων ὑπ᾽ ἐμαυτὸν στρατιώτας. Καὶ λέγω τούτῳ, ‹Πορεύθητι,› καὶ πορεύεται· καὶ ἄλλῳ, ‹Ἔρχου,› καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, ‹Ποίησον τοῦτο,› καὶ ποιεῖ.»

9 Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς ἐθαύμασεν αὐτόν, καὶ στραφεὶς τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ εἶπεν, «Λέγω ὑμῖν, οὐδὲ[22] ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον.» **10** Καὶ ὑποστρέψαντες οἱ πεμφθέντες εἰς τὸν οἶκον[23] εὗρον τὸν ἀσθενοῦντα[24] δοῦλον ὑγιαίνοντα.

---

[1] ος *rell* ¦ 1 και [0.5%] OC

[2] πλημμυρας **f**[35] A,C [98%] CP,HF,RP,TR,OC ¦ πλημυρας D [1.5%] ¦ πλημυρης **𝔓**[75]W ¦ πλημμυρης **א**B [0.5%] NU

[3] προσερρηξεν **f**[35] **𝔓**[75]A,C [99%] CP,HF,RP,TR,OC ¦ προσερηξεν **א**B,D,W [1%] NU

[4] τεθεμελιωτο γαρ επι την πετραν **f**[35] A,C,D [98.5%] CP,HF,RP,TR,OC ¦ δια το καλως οικοδομησθαι αυτην **א**B,W [1.5%] NU

[5] την **f**[35] **𝔓**[75] [30%] ¦ --- **א**A,B,C,D,W [70%] CP,HF,RP,TR,OC,NU

[6] προσερρηξεν **f**[35] **𝔓**[75]**א**A,C(W) [99%] CP,HF,RP,TR,OC ¦ προσερηξεν B [1%] NU ¦ συνερηξεν D

[7] ευθεως **f**[35] A,W [91%] CP,HF,RP,TR ¦ ευθυς **𝔓**[45,75]**א**B,C [9%] OC,NU ¦ --- D

[8] επεσεν **f**[35] A,C,W [96%] CP,HF,RP,TR,OC ¦ συνεπεσεν **𝔓**[45,75]**א**B,D [4%] NU

[9] το *rell* ¦ --- [16%]

[10] επει δε **f**[35] **א** [94%] CP,HF,RP,TR,OC ¦ επειδη A,B,C,W [3%] NU ¦ επειδη 2 [2.5%] ¦ οτε 2 [0.5%] ¦ D is wild

[11] εισηλθεν *rell* ¦ 1 ο ιησους [12%]

[12] καπερναουμ **f**[35] A [99%] CP,HF,RP,TR,OC ¦ καφαρναουμ **𝔓**[75]**א**B,C,D,W [1%] NU

[13] εμελλεν **f**[35] [60%] CP,HF,RP ¦ ημελλεν **𝔓**[75]**א**A,B,C,D,W [39.5%] TR,OC,NU ¦ two other variants [0.5%]

[14] λεγοντες *rell* ¦ 1 αυτω [16%]

[15] παρεξει **f**[35] [90%] CP,HF,RP,TR,OC ¦ παρεξη **א**A,B,C,D,W [5%] NU ¦ παρεξεις [5%]

[16] προς (επ A) αυτον **f**[35] (A)C,D(W) [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B [1%] NU

[17] ο εκατονταρχος φιλους **f**[35] **𝔓**[45v]A,D [96.5%] CP,HF,RP,TR,OC ¦ ~ 312 **א**C [2%] ¦ ~ 31 εκατονταρχης **𝔓**[75v]B,W [0.5%] NU ¦ three other variants [1%]

[18] ειμι ικανος **f**[35] A,C,D [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 21 (μι **א**) **𝔓**[75v](**א**)B,W [0.3%] NU

[19] μου υπο την στεγην **f**[35] **א**C,D,W [55%] CP,HF ¦ ~ 2341 **𝔓**[75v]A,B [45%] RP,TR,OC,NU

[20] αλλ **f**[35] **א**D [90%] CP,HF,RP,OC ¦ αλλα **𝔓**[75]A,B(C)W [10%] TR,NU

[21] ιαθησεται **f**[35] **א**A,C,D,W [99.7%] CP,HF,RP,TR,OC ¦ ιαθητω **𝔓**[75v]B [0.3%] NU

[22] ουδε **f**[35] **𝔓**[75]**א**A,B,C,W [55%] TR,OC,NU ¦ ουτε [45%] CP,HF,RP ¦ ουδεποτε D

[23] οι πεμφθεντες εις τον οικον **f**[35] A,C [87%] CP,HF,RP,TR,OC ¦ ~ 34512 **𝔓**[75]**א**B,W [10%] NU ¦ ~ 3512 D ¦ two other variants [3%]

[24] ασθενουντα **f**[35] A,C(D) [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B,W [1.5%] NU

A widow's son raised

11 Καὶ ἐγένετο ἐν τῇ[1] ἑξῆς, ἐπορεύετο[2,3] εἰς πόλιν καλουμένην Ναΐν,[4] καὶ συνεπορεύοντο αὐτῷ[5] οἱ μαθηταὶ αὐτοῦ ἱκανοί,[6] καὶ ὄχλος πολύς. **12** Ὡς δὲ ἤγγισεν τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδού, ἐξεκομίζετο τεθνηκώς, υἱὸς μονογενὴς[7] τῇ μητρὶ αὐτοῦ, καὶ αὐτὴ[8] χήρα· καὶ ὄχλος τῆς πόλεως ἱκανὸς[9] σὺν αὐτῇ. **13** Καὶ ἰδὼν αὐτὴν ὁ Κύριος ἐσπλαγχνίσθη ἐπ᾽ αὐτῇ[10] καὶ εἶπεν αὐτῇ, «Μὴ κλαῖε.» **14** Καὶ προσελθὼν ἥψατο τῆς σοροῦ, οἱ δὲ βαστάζοντες ἔστησαν. Καὶ εἶπεν, «Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι.» **15** Καὶ ἀνεκάθισεν ὁ νεκρὸς καὶ ἤρξατο λαλεῖν. Καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ.

16 Ἔλαβεν δὲ φόβος πάντας[11] καὶ ἐδόξαζον τὸν Θεόν, λέγοντες ὅτι «Προφήτης μέγας ἐγήγερται[12] ἐν ἡμῖν,» καὶ ὅτι «Ἐπεσκέψατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ.»[13] **17** Καὶ ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περὶ αὐτοῦ, καὶ ἐν[14] πάσῃ τῇ περιχώρῳ.

Messengers from John

18 Καὶ ἀπήγγειλαν Ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τούτων. **19** Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ, ὁ Ἰωάννης ἔπεμψεν πρὸς τὸν Ἰησοῦν[15] λέγων, «Σὺ εἶ ὁ Ἐρχόμενος, ἢ ἄλλον[16] προσδοκῶμεν;» **20** Παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες εἶπον·[17] «Ἰωάννης ὁ Βαπτιστὴς ἀπέσταλκεν[18] ἡμᾶς πρός σε λέγων, ‹Σὺ εἶ ὁ Ἐρχόμενος, ἢ ἄλλον[19] προσδοκῶμεν;› » **21** Ἐν αὐτῇ δὲ[20] τῇ ὥρᾳ ἐθεράπευσεν πολλοὺς ἀπὸ νόσων καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν, καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο τὸ[21] βλέπειν. **22** Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς[22] εἶπεν αὐτοῖς· «Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε[23] καὶ ἠκούσατε· ὅτι[24] τυφλοὶ ἀναβλέπουσιν,[25] χωλοὶ περιπατοῦσιν, λεπροὶ καθαρίζονται,[26] κωφοὶ ἀκούουσιν, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται. **23** Καί, μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί.»

Jesus praises John

24 Ἀπελθόντων δὲ τῶν ἀγγέλων[27] Ἰωάννου, ἤρξατο λέγειν τοῖς ὄχλοις[28] περὶ Ἰωάννου· «Τί

---

[1] τη **f**[35] ℵC,D,W [50%] CP,TR ¦ τω **𝔓**[75]A,B [50%] HF,RP,OC,NU
[2] επορευετο **f**[35] A,C,D [98%] CP,HF,RP,TR,OC ¦ επορευθη **𝔓**[75]ℵB,W [1.5%] NU ¦ two other variants
[3] επορευετο *rell* ¦ 1 ο ιησους [10%]
[4] ναιν *rell* ¦ ναειν [20%] ¦ five further spellings [2%]
[5] αυτω **f**[35] **𝔓**[75]ℵB,C,D,W [85%] CP,HF,RP,TR,OC,NU ¦ --- A [15%]
[6] αυτου ικανοι **f**[35] A,C (98.4%) CP,HF,RP,TR,OC ¦ 1 **𝔓**[75]ℵB,D,W (1%) NU ¦ 2 (0.5%)
[7] υιος μονογενης **f**[35] A,C,D [99.3%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75v]ℵB,W [0.7%] NU
[8] αυτη **f**[35] A,W [89%] CP,HF,RP,TR ¦ 1 ην **𝔓**[75]ℵB,C [11%] OC,NU ¦ ουση D
[9] ικανος **f**[35] A,C [94%] CP,HF,RP,TR ¦ 1 ην **𝔓**[75]ℵB,W [6%] some TRs,OC,NU ¦ D is wild
[10] αυτη *rell* ¦ αυτην ℵ [20%]
[11] παντας **f**[35] **𝔓**[75]B,D [86%] CP,HF,RP,OC,NU ¦ απαντας ℵA,C,W [14%] TR
[12] εγηγερται **f**[35] W [98%] CP,HF,RP,TR,OC ¦ ηγερθη **𝔓**[75]ℵA,B,C [2%] NU ¦ εξηγερθη D
[13] αυτου *rell* ¦ 1 εις αγαθον [17%]
[14] εν **f**[35] A,D [98%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB,W [2%] NU
[15] ιησουν **f**[35] ℵA,W [99%] CP,HF,RP,TR,OC ¦ κυριον B [1%] NU ¦ D is wild
[16] αλλον *rell* ¦ ετερον ℵB,W [8.5%] OC
[17] ειπον *rell* ¦ ειπαν ℵB,D [0.5%] NU
[18] απεσταλκεν **f**[35] A,D [92%] CP,HF,RP,TR,OC ¦ απεστειλεν **𝔓**[75v]ℵB,W [8%] NU
[19] αλλον *rell* ¦ ετερον ℵD,W [3%] OC
[20] αυτη δε **f**[35] A,D [94%] CP,HF,RP,TR,OC ¦ 2 [2%] ¦ εκεινη **𝔓**[75v]ℵB,W [4%] NU
[21] το **f**[35] W [55%] CP,HF,RP,TR,OC ¦ του [3%] ¦ --- **𝔓**[75]ℵA,B [42%] NU ¦ D is wild
[22] ο ιησους **f**[35] A [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [1%] NU
[23] ειδετε *rell* ¦ ιδετε [28%]
[24] οτι **f**[35] A(D) [95%] CP,HF,RP,TR ¦ --- **𝔓**[75v]ℵB,W [5%] OC,NU
[25] αναβλεπουσιν *rell* ¦ 1 και **𝔓**[75]W [8%] OC
[26] καθαριζονται **f**[35] A [84%] CP,HF,RP,TR,OC ¦ 1 και **𝔓**[75]ℵB,D,W [16%] NU
[27] αγγελων *rell* ¦ μαθητων [10%] OC
[28] τοις οχλοις **f**[35] ℵ(D) [78%] CP,HF,RP ¦ προς τους οχλους A,B,W [22%] TR,OC,NU ¦ προς του οχλου **𝔓**[75]

ἐξεληλύθατε[1] εἰς τὴν ἔρημον θεάσασθαι, κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; **25** Ἀλλὰ τί ἐξεληλύθατε[2] ἰδεῖν, ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; Ἰδού, οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ τρυφῇ ὑπάρχοντες ἐν τοῖς βασιλείοις εἰσίν. **26** Ἀλλὰ τί ἐξεληλύθατε[3] ἰδεῖν, προφήτην; Ναί, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. **27** Οὗτός[4] ἐστιν περὶ οὗ γέγραπται· ‹Ἰδού, ἐγὼ[5] ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.› **28** Λέγω γὰρ[6] ὑμῖν, μείζων ἐν γεννητοῖς γυναικῶν προφήτης[7] Ἰωάννου τοῦ Βαπτιστοῦ[8] οὐδείς ἐστιν· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ μείζων αὐτοῦ ἐστιν.»

29 (Καὶ πᾶς ὁ λαὸς ἀκούσας, καὶ οἱ τελῶναι, ἐδικαίωσαν τὸν Θεόν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου. **30** Οἱ δὲ Φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ Θεοῦ ἠθέτησαν εἰς ἑαυτούς, μὴ βαπτισθέντες ὑπ᾽ αὐτοῦ.)

Inconsistency of the Pharisees

31 «Τίνι[9] οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης, καὶ τίνι εἰσὶν ὅμοιοι; **32** Ὅμοιοί εἰσιν παιδίοις τοῖς ἐν ἀγορᾷ καθημένοις καὶ προσφωνοῦσιν ἀλλήλοις καὶ λέγουσιν,[10] ‹Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν ὑμῖν,[11] καὶ οὐκ ἐκλαύσατε.› **33** Ἐλήλυθεν γὰρ Ἰωάννης ὁ Βαπτιστὴς μήτε[12] ἄρτον ἐσθίων[13] μήτε οἶνον πίνων,[14] καὶ λέγετε, ‹Δαιμόνιον ἔχει.› **34** Ἐλήλυθεν ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγετε, ‹Ἰδού, ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος τελωνῶν[15] καὶ ἁμαρτωλῶν.› **35** Καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς πάντων.»[16]

A lesson in forgiveness

36 Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ᾽ αὐτοῦ, καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν[17] τοῦ Φαρισαίου ἀνεκλίθη.[18] **37** Καὶ ἰδού, γυνὴ ἐν τῇ πόλει ἥτις ἦν[19] ἁμαρτωλός, καὶ[20] ἐπιγνοῦσα ὅτι ἀνάκειται[21] ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου, **38** καὶ στᾶσα παρὰ τοὺς πόδας αὐτοῦ ὀπίσω κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσιν[22] καὶ ταῖς θριξὶν τῆς κεφαλῆς αὐτῆς ἐξέμασσεν· καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφεν τῷ μύρῳ.

39 Ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτόν, εἶπεν ἐν ἑαυτῷ λέγων, «Οὗτος, εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ—ὅτι ἁμαρτωλός ἐστιν.» **40** Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτόν, «Σίμων, ἔχω σοί τι εἰπεῖν.» Ὁ δέ φησίν, «Διδάσκαλε, εἰπέ.»[23]

---

[1] εξεληλυθατε **f**[35] [88%] CP,HF,RP,TR,OC ¦ εξηλθατε **𝔓**[75]A,B,D,W [2.5%] NU ¦ εξηλθετε [9.5%] ¦ εξηλθαται **א**
[2] εξεληλυθατε **f**[35] [85%] CP,HF,RP,TR,OC ¦ εξηλθατε **𝔓**[75v]A,B,D,W [4%] NU ¦ εξηλθετε [11%] ¦ εξηλθαται **א**
[3] εξεληλυθατε **f**[35] A,W [92%] CP,HF,RP,TR,OC ¦ εξηλθατε **𝔓**[75]B,D [3%] NU ¦ εξηλθετε [5%] ¦ εξηλθαται **א**
[4] ουτος *rell* ¦ 1 γαρ [20%]
[5] εγω **f**[35] A [98.5%] CP,HF,RP,TR,OC ¦ --- **א**B,D,W [1.5%] NU
[6] λεγω γαρ **f**[35] A [96%] CP,HF,RP,TR,OC ¦ 1 **𝔓**[75]B [2%] NU ¦ αμην 1 **א** [1%] ¦ 1 δε D,W [1%]
[7] προφητης **f**[35] A(D) [86%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B,W [14%] NU
[8] του βαπτιστου **f**[35] A(D) [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B,W [1.5%] NU
[9] τινι *rell* ¦ ειπεν δε ο κυριος 1 [0.5%] TR
[10] και λεγουσιν **f**[35] A [98%] CP,HF,RP,TR,OC ¦ α λεγει **א**B [0.5%] NU ¦ λεγοντες D [1%] ¦ λεγοντα W
[11] υμιν **f**[35] A [98%] CP,HF,RP,TR,OC ¦ --- **א**B,D,W [2%] NU
[12] μητε **f**[35] A,D [98.5%] CP,HF,RP,TR,OC ¦ μη **א**B,W [0.5%] NU ¦ μηποτε [1%]
[13] αρτον εσθιων **f**[35] A [97%] CP,HF,RP,TR,OC ¦ ~ 21 **א**W [1%] NU ¦ ~ εσθων 1 B ¦ 2 [2%] ¦ εσθων D
[14] οινον πινων **f**[35] (A) [97%] CP,HF,RP,TR,OC ¦ ~ 21 **א**(B)W [1%] NU ¦ 2 (D) [2%]
[15] φιλος τελωνων **f**[35] **א**A,B,D,W [93%] CP,HF,RP,OC,NU ¦ ~ 21 [7%] TR
[16] των τεκνων αυτης παντων **f**[35] A [87%] CP,HF,RP,TR,OC ¦ ~ 4123 B,W [1.5%] NU ¦ ~ 41 εργων 3 **א** ¦ 123 D [11%]
[17] την οικιαν **f**[35] A [96.5%] CP,HF,RP,TR,OC ¦ τον οικον **א**B,D,W [3.5%] NU
[18] ανεκλιθη **f**[35] A,W [98%] CP,HF,RP,TR,OC ¦ κατεκλιθη B,D [2%] NU ¦ κατεκειτο **א**
[19] εν τη πολει ητις ην **f**[35] A [98%] CP,HF,RP,TR,OC ¦ ~ 45123 **א**(B) [1%] NU ¦ 123 D ¦ ~ τις 5123 W [1%]
[20] και **f**[35] **א**A,B,W [55%] OC,NU ¦ --- (D) [45%] CP,HF,RP,TR
[21] ανακειται **f**[35] [95%] CP,HF,RP,TR,OC ¦ κατακειται **א**A,B(D)W [5%] NU
[22] ηρξατο βρεχειν τους ποδας αυτου τοις δακρυσιν **f**[35] A [99%] CP,HF,RP,TR,OC ¦ ~ 6712345 **א**B,W [1%] NU ¦ three other variants D
[23] φησιν διδασκαλε ειπε **f**[35] [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 231 **א**B [1%] NU ¦ εφη 23 A(D) ¦ ~ 213 W

41 «Δύο χρεωφειλέται[1] ἦσαν δανειστῇ[2] τινι. Ὁ εἷς ὤφειλεν δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα. **42** Μὴ ἐχόντων δὲ[3] αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. Τίς οὖν αὐτῶν, εἰπέ,[4] πλεῖον αὐτὸν ἀγαπήσει;»[5] **43** Ἀποκριθεὶς δὲ ὁ[6] Σίμων εἶπεν, «Ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο.» Ὁ δὲ εἶπεν αὐτῷ, «Ὀρθῶς ἔκρινας.»

44 Καὶ στραφεὶς πρὸς τὴν γυναῖκα τῷ Σίμωνι ἔφη· «Βλέπεις ταύτην τὴν γυναῖκα; Εἰσῆλθόν σου εἰς τὴν οἰκίαν· ὕδωρ ἐπὶ τοὺς πόδας μου[7] οὐκ ἔδωκας, αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέν μου τοὺς πόδας καὶ ταῖς θριξὶν τῆς κεφαλῆς[8] αὐτῆς ἐξέμαξεν. **45** Φίλημά μοι οὐκ ἔδωκας, αὕτη δὲ ἀφ᾽ ἧς εἰσῆλθον[9] οὐ διέλιπεν[10] καταφιλοῦσά μου τοὺς πόδας. **46** Ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας, αὕτη δὲ μύρῳ ἤλειψέν μου τοὺς πόδας.[11] **47** Οὗ χάριν, λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησεν πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ.»

48 Εἶπεν δὲ αὐτῇ, «Ἀφέωνταί σου αἱ ἁμαρτίαι.» **49** Καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς, «Τίς οὗτός ἐστιν ὃς καὶ ἁμαρτίας ἀφίησιν;» **50** Εἶπεν δὲ πρὸς τὴν γυναῖκα, «Ἡ πίστις σου σέσωκέν σε· πορεύου εἰς εἰρήνην.»

Jesus takes the offensive

Women provide for Jesus

8:1 Καὶ ἐγένετο ἐν τῷ καθεξῆς καὶ αὐτὸς διώδευεν κατὰ πόλιν καὶ κώμην κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ οἱ δώδεκα σὺν αὐτῷ· **2** καὶ γυναῖκές τινες αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ[12] πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν· Μαρία (ἡ καλουμένη Μαγδαληνή)[13] ἀφ᾽ ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει· **3** καὶ Ἰωάννα γυνὴ Χουζᾶ, ἐπιτρόπου Ἡρῴδου· καὶ Σωσάννα,[14] καὶ ἕτεραι πολλαί—αἵτινες διηκόνουν αὐτῷ[15] ἀπὸ[16] τῶν ὑπαρχόντων αὐταῖς.

Parable of the soils

4 Συνιόντος δὲ ὄχλου πολλοῦ, καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς αὐτόν, εἶπεν διὰ παραβολῆς· **5** «Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ·[17] καὶ ἐν τῷ σπείρειν αὐτὸν ὃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν, καὶ κατεπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό. **6** Καὶ ἕτερον ἔπεσεν[18] ἐπὶ τὴν πέτραν, καὶ φυὲν ἐξηράνθη, διὰ τὸ μὴ ἔχειν ἰκμάδα. **7** Καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι αἱ ἄκανθαι ἀπέπνιξαν αὐτό. **8** Καὶ ἕτερον ἔπεσεν εἰς[19] τὴν γῆν τὴν ἀγαθήν, καὶ φυὲν ἐποίησεν καρπὸν ἑκατονταπλασίονα.» Ταῦτα λέγων ἐφώνει, «Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.»

---

[1] χρεωφειλεται **f**[35] [90%] CP,HF,RP,TR,OC ¦ χρεοφειλεται [6%] NU ¦ χρεοφιλεται ℵA,B,W [4%] ¦ χρεοφιλετε D
[2] δανειστη **f**[35] [90%] CP,HF,RP,TR,OC ¦ δανιστη ℵA,B,D,W [10%] NU
[3] δε **f**[35] ℵA,W [97%] CP,HF,RP,TR,OC ¦ --- B,D [3%] NU
[4] ειπε **f**[35] [97.5%] CP,HF,RP,TR,OC ¦ --- ℵBD,W [2.5%] NU ¦ επι A
[5] πλειον αυτον αγαπησει **f**[35] A [92%] CP,HF,RP,TR,OC ¦ ~ 132 **𝔓**[75v]ℵB(W) [1.5%] NU ¦ ~ 213 (D) ¦ 13 [6.5%]
[6] δε ο **f**[35] A [95.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 (W) [1%] ¦ 1 ℵ [3%] ¦ 2 D ¦ --- B [0.5%] NU
[7] επι τους ποδας μου **f**[35] A [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 4123 ℵ [0.3%] ¦ ~ μοι 123 [0.5%] ¦ ~ μοι 13 B,NU ¦ 13 μοι D ¦ υπο 3 μοι W
[8] της κεφαλης **f**[35] [78%] CP,HF,RP,TR,OC ¦ --- ℵA,B,D,W [22%] NU
[9] εισηλθον *rell* ¦ εισηλθεν [7%] OC
[10] διελιπεν **f**[35] B,D [66%] CP,HF,RP,TR,OC,NU ¦ διελειπεν ℵA,W [34%]
[11] μου τους ποδας **f**[35] ℵ [60%] CP,HF,RP,TR,OC ¦ ~ 231 A,B [40%] NU ¦ --- D,W
[12] απο *rell* ¦ 1 νοσων και μαστιγων και [3%] OC
[13] μαγδαληνη *rell* ¦ μαγδαλινη [18%] ¦ four further spellings
[14] σωσαννα **f**[35] [35%] CP,HF ¦ σουσαννα ℵA,B,D,W [65%] RP,TR,OC,NU ¦ three other spellings
[15] αυτω **f**[35] ℵA [50%] CP,TR,OC ¦ αυτοις B,D,W [50%] HF,RP,NU
[16] απο **f**[35] [90%] CP,HF,RP,TR,OC ¦ εκ ℵA,B,D,W [10%] NU
[17] αυτου **f**[35] ℵB,D,W [76%] HF,RP,TR,OC,NU ¦ εαυτου A [24%] CP
[18] επεσεν **f**[35] ℵA,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ κατεπεσεν **𝔓**[75]B [0.5%] NU
[19] εις **f**[35] **𝔓**[75]ℵA,B [90%] CP,HF,RP,OC,NU ¦ επι D,W [10%] TR

The purpose of parables

9 Ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες,[1] «Τίς εἴη ἡ παραβολὴ αὕτη;»[2] **10** Ὁ δὲ εἶπεν· «Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ, τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα ‹βλέποντες μὴ βλέπωσιν, καὶ ἀκούοντες μὴ συνιῶσιν.›

The parable of the soils explained

11 »Ἔστιν δὲ αὕτη ἡ παραβολή· Ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ Θεοῦ. **12** Οἱ δὲ παρὰ τὴν ὁδόν εἰσιν οἱ ἀκούοντες·[3] εἶτα ἔρχεται ὁ διάβολος καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν. **13** Οἱ δὲ ἐπὶ τῆς πέτρας οἵ, ὅταν ἀκούσωσιν, μετὰ χαρᾶς δέχονται τὸν λόγον· καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς καιρὸν πιστεύουσιν καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται. **14** Τὸ δὲ εἰς τὰς ἀκάνθας πεσόν·[4] οὗτοί εἰσιν οἱ ἀκούσαντες,[5] καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι συμπνίγονται, καὶ οὐ τελεσφοροῦσιν. **15** Τὸ δὲ ἐν τῇ καλῇ γῇ· οὗτοί εἰσιν οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ ἀκούσαντες τὸν λόγον, κατέχουσιν καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ.»

All will be exposed

16 Ταῦτα λέγων ἐφώνει· «Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.[6] Οὐδεὶς δὲ λύχνον ἅψας, καλύπτει αὐτὸν σκεύει ἢ ὑποκάτω κλίνης τίθησιν, ἀλλ᾽ ἐπὶ λυχνίας[7] ἐπιτίθησιν,[8] ἵνα οἱ εἰσπορευόμενοι βλέπωσιν τὸ φῶς. **17** Οὐ γάρ ἐστιν κρυπτὸν ὃ οὐ φανερὸν γενήσεται, οὐδὲ ἀπόκρυφον ὃ οὐ γνωσθήσεται[9] καὶ εἰς φανερὸν ἔλθῃ. **18** Βλέπετε οὖν πῶς ἀκούετε· Ὃς γὰρ ἐὰν[10] ἔχῃ,[11] δοθήσεται αὐτῷ· καὶ ὃς ἐὰν[12] μὴ ἔχῃ,[13] καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ᾽ αὐτοῦ.»

Relationships redefined

19 Παρεγένοντο[14] δὲ πρὸς αὐτὸν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ ἐδύναντο[15] συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον. **20** Καὶ ἀπηγγέλη[16] αὐτῷ λεγόντων,[17] «Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες.»[18] **21** Ὁ δὲ ἀποκριθεὶς εἶπεν πρὸς αὐτούς, «Μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν, οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούοντες καὶ ποιοῦντες αὐτόν.»[19]

Jesus stills a storm

22 Καὶ ἐγένετο[20] ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἐνέβη[21] εἰς[22] πλοῖον καὶ οἱ μαθηταὶ αὐτοῦ·

---

[1] λεγοντες **f**[35] A [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אB,W [1.5%] NU ¦ το D
[2] ειη η παραβολη αυτη **f**[35] A [98%] CP,HF,RP,TR,OC ¦ ~ 4123 **𝔓**[75]אW [0.5%] NU ¦ ~ 413 B ¦ ει 234 [0.5%] ¦ ~ 1423 [1%]
[3] ακουοντες **f**[35] A,W [97.5%] CP,HF,RP,TR ¦ ακουσαντες **𝔓**[75]אB [2.5%] OC,NU ¦ ακολουθουντες D
[4] πεσον *rell* ¦ πεσων [22%] ¦ εμπεσον [4.5%] ¦ εμπεσων [1.5%]
[5] ακουσαντες *rell* ¦ ακουοντες [20%]
[6] ταυτα λεγων εφωνει ο εχων ωτα ακουειν ακουετω **f**[35] [55%] CP ¦ --- **𝔓**[75]אA,B,D,W [45%] HF,RP,TR,OC,NU
[7] λυχνιας *rell* ¦ την λυχνιαν אD [14%] ¦ λυχνιαν [5%]
[8] επιτιθησιν **f**[35] A,W [86%] CP,HF,RP,TR,OC ¦ τιθησιν **𝔓**[75]אB [14%] NU ¦ τιθι D
[9] γνωσθησεται **f**[35] A,W [98.5%] CP,HF,RP,TR,OC ¦ μη γνωσθη **𝔓**[75]אB(D) [1.5%] NU
[10] ος γαρ εαν **f**[35] A [66%] CP,HF,RP,OC ¦ 12 αν D [34%] TR ¦ ~ 1 αν 2 אB [0.5%] NU ¦ 12 W ¦ οσον 2 **𝔓**[75]
[11] εχη *rell* ¦ εχει [24%]
[12] εαν **f**[35] W [80%] CP,HF,RP,OC ¦ αν **𝔓**[75]אA,B,D [20%] TR,NU
[13] εχη *rell* ¦ εχει [21%]
[14] παρεγενοντο **f**[35] אA,W [99%] CP,HF,RP,TR,OC ¦ παρεγενετο **𝔓**[75]B,D [1%] NU
[15] εδυναντο **f**[35] [48%] CP ¦ ηδυναντο **𝔓**[75]אA,B,D,W [51%] HF,RP,TR,OC,NU ¦ four other variants [1%]
[16] και απηγγελη **f**[35] A [74%] CP,HF,RP,TR,OC ¦ 1 απηγγελλη [9%] ¦ 1 απηγγελλει [4%] ¦ 1 απηγγελει [9%] ¦ 1 απηγγελθη W ¦ ~ 2 δε אB,D [2.5%] NU ¦ απηγγελλη δε **𝔓**[75] [0.5%] ¦ five other variants [1%]
[17] λεγοντων **f**[35] A [96%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]B,W [0.5%] NU ¦ οτι אD [2.5%] ¦ 1 οτι [1%]
[18] σε θελοντες **f**[35] אA,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75]B,NU ¦ ζητουντες 1 D
[19] αυτον **f**[35] [78%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אA,B,D,W [22%] NU
[20] και εγενετο **f**[35] [80%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε **𝔓**[75]אA,B,D,W [20%] NU
[21] ενεβη *rell* ¦ ανεβη **𝔓**[75] [21%] ¦ αναβηναι D
[22] εις *rell* ¦ 1 το W [11%]

καὶ εἶπεν πρὸς αὐτούς, «Διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης.» Καὶ ἀνήχθησαν. **23** Πλεόντων δὲ αὐτῶν ἀφύπνωσεν. Καὶ κατέβη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην, καὶ συνεπληροῦντο καὶ ἐκινδύνευον. **24** Καὶ προσελθόντες[1] διήγειραν αὐτὸν λέγοντες, «Ἐπιστάτα, Ἐπιστάτα,[2] ἀπολλύμεθα.» Ὁ δὲ ἐγερθεὶς[3] ἐπετίμησεν τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος—καὶ ἐπαύσαντο,[4] καὶ ἐγένετο γαλήνη.[5] **25** Εἶπεν δὲ αὐτοῖς, «Ποῦ ἐστιν[6] ἡ πίστις ὑμῶν;» Φοβηθέντες δὲ ἐθαύμασαν, λέγοντες πρὸς ἀλλήλους· «Τίς ἄρα οὗτός ἐστιν; ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ.»

Jesus handles demon infestation

26 Καὶ κατέπλευσαν[7] εἰς τὴν χώραν τῶν Γαδαρηνῶν,[8] ἥτις ἐστὶν ἀντιπέραν[9] τῆς Γαλιλαίας. **27** Ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν, ὑπήντησεν αὐτῷ[10] ἀνήρ τις ἐκ τῆς πόλεως, ὃς εἶχεν[11] δαιμόνια ἐκ χρόνων ἱκανῶν—καὶ[12] ἱμάτιον οὐκ ἐνεδιδύσκετο,[13] καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν, ἀλλ᾽ ἐν τοῖς μνήμασιν. **28** Ἰδὼν δὲ τὸν Ἰησοῦν καὶ[14] ἀνακράξας, προσέπεσεν αὐτῷ, καὶ φωνῇ μεγάλῃ εἶπεν· «Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ τοῦ Ὑψίστου; Δέομαί σου, μή με βασανίσῃς.» **29** Παρήγγειλεν[15] γὰρ τῷ πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου (πολλοῖς γὰρ χρόνοις συνηρπάκει αὐτόν, καὶ ἐδεσμεῖτο[16] ἁλύσεσιν καὶ πέδαις φυλασσόμενος· καὶ διαρρήσσων[17] τὰ δεσμὰ ἠλαύνετο ὑπὸ τοῦ δαίμονος[18] εἰς τὰς ἐρήμους). **30** Ἐπηρώτησεν δὲ αὐτὸν ὁ Ἰησοῦς λέγων,[19] «Τί σοί ἐστιν ὄνομα;»[20] Ὁ δὲ εἶπεν, «Λεγεών»[21] (ὅτι δαιμόνια πολλὰ εἰσῆλθεν[22] εἰς αὐτόν). **31** Καὶ παρεκάλει[23] αὐτὸν ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν Ἄβυσσον ἀπελθεῖν.

32 Ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων[24] ἐν τῷ ὄρει· καὶ παρεκάλουν[25] αὐτὸν ἵνα ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκείνους εἰσελθεῖν, καὶ ἐπέτρεψεν αὐτοῖς. **33** Ἐξελθόντα δὲ τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώπου εἰσῆλθον[26] εἰς τοὺς χοίρους—καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν λίμνην καὶ ἀπεπνίγη.

---

[1] και προσελθοντες **f**[35] [32%] CP ¦ ~ 2 δε **𝔓**[75v]**א**A,B,D,W [68%] HF,RP,TR,OC,NU
[2] επιστατα *rell* ¦ --- W [10%] ¦ κυριε D
[3] εγερθεις **f**[35] A,D,W [97%] CP,HF,RP,TR,OC ¦ διεγερθεις **𝔓**[75]**א**B [3%] NU
[4] επαυσαντο *rell* ¦ επαυσατο **א**W [25%]
[5] γαληνη *rell* ¦ 1 μεγαλη [23%]
[6] εστιν **f**[35] D [93%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**A,B,W [7%] NU
[7] κατεπλευσαν *rell* ¦ κατεπλευσεν W [1%] OC ¦ καταπλευσαντες [1%] ¦ κατεπαυσαν **א** ¦ two other variants
[8] γαδαρηνων **f**[35] A,W [90%] CP,HF,RP,TR,OC ¦ γερασηνων **𝔓**[75]B,D [0.3%] NU ¦ γεργεσηνων **א** [2%] ¦ γαδαρινων [7%]
[9] αντιπεραν **f**[35] [33%] CP,HF,RP,TR ¦ αντιπερα **𝔓**[75]**א**A,B,D,W [60%] OC,NU ¦ περαν [7%]
[10] αυτω **f**[35] A,D [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B,W [3%] NU
[11] ος ειχεν **f**[35] A,D,W [99%] CP,HF,RP,TR,OC ¦ εχων **𝔓**[75]**א**B [1%] NU
[12] εκ χρονων ικανων και **f**[35] A,W (98.6%) CP,HF,RP,TR,OC ¦ 12 πολλων 4 (0.4%) ¦ ~ 4 χρονω ικανω **𝔓**[75]**א**B (0.7%) NU ¦ ~ 4 χρονω πολλω (0.2%) ¦ απο 23 ος D
[13] ιματιον ουκ ενεδιδυσκετο **f**[35] A(D)W [99%] CP,HF,RP,TR,OC ¦ ~ 2 ενεδυσατο 1 **𝔓**[75]**א**B [1%] NU
[14] και **f**[35] A [98%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B(D)W [2%] NU
[15] παρηγγειλεν **f**[35] **𝔓**[75]B [77%] HF,RP,TR,OC,NU ¦ παρηγγελλε **א**A,C,W [20%] CP ¦ παρηγγελεν [2.5%] ¦ ελεγεν D ¦ two other variants
[16] εδεσμειτο **f**[35] A,C(D)W [99%] CP,HF,RP,TR,OC ¦ εδεσμευετο **𝔓**[75v]**א**B [1%] NU
[17] διαρρησσων *rell* ¦ διαρησσων **𝔓**[75]B,C [12%]
[18] δαιμονος **f**[35] A,W [96%] CP,HF,RP,TR,OC ¦ δαιμονιου **𝔓**[75]**א**B,C,D [1%] NU ¦ δαιμονων [3%]
[19] λεγων **f**[35] A,C,D,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B [1.5%] NU
[20] σοι εστιν ονομα **f**[35] A,W [97.5%] CP,HF,RP,TR,OC ¦ ~ 132 **𝔓**[75v]**א**B,D [2%] NU ¦ ~ 31 C ¦ two other variants
[21] λεγεων **f**[35] **𝔓**[75]A,C,W [99.5%] CP,HF,RP,TR,OC ¦ λεγιων **א**D [0.3%] NU ¦ λεγειων B
[22] δαιμονια πολλα εισηλθεν **f**[35] A,W [91.5%] CP,HF,RP,TR,OC ¦ ~ 312 **𝔓**[75]**א**B [1%] NU ¦ ~ 213 [5%] ¦ 12 εισηλθον C [2.5%] ¦ 2 γαρ ησαν 1 D
[23] παρεκαλει **f**[35] A [86%] CP,HF,RP,TR,OC ¦ παρεκαλουν **𝔓**[75]**א**B,C(D) [14%] NU ¦ --- W
[24] βοσκομενων **f**[35] A,C,W [82%] CP,HF,RP,TR,OC ¦ βοσκομενη **𝔓**[75]**א**B,D [18%] NU
[25] παρεκαλουν **f**[35] **א**A(D)W [91.5%] CP,HF,RP,TR,OC ¦ παρεκαλεσαν **𝔓**[75]B,C [1.5%] NU ¦ παρεκαλει [7%]
[26] εισηλθον **f**[35] **𝔓**[75]**א**A,B,C [82%] CP,HF,RP,OC,NU ¦ εισηλθεν W [18%] TR ¦ ωρμησαν D

34 Ἰδόντες δὲ οἱ βόσκοντες τὸ γεγενημένον[1] ἔφυγον καὶ[2] ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. **35** Ἐξῆλθον δὲ ἰδεῖν τὸ γεγονός, καὶ ἦλθον πρὸς τὸν Ἰησοῦν· καὶ εὗρον καθήμενον τὸν ἄνθρωπον ἀφ᾽ οὗ τὰ δαιμόνια ἐξεληλύθει,[3] ἱματισμένον καὶ σωφρονοῦντα, παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ· καὶ ἐφοβήθησαν. **36** Ἀπήγγειλαν δὲ αὐτοῖς καὶ[4] οἱ ἰδόντες πῶς ἐσώθη ὁ δαιμονισθείς. **37** Καὶ ἠρώτησαν[5] αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώρου τῶν Γαδαρηνῶν[6] ἀπελθεῖν ἀπ᾽ αὐτῶν, ὅτι φόβῳ μεγάλῳ συνείχοντο. Αὐτὸς δὲ ἐμβὰς εἰς τὸ[7] πλοῖον ὑπέστρεψεν.

38 Ἐδέετο[8] δὲ αὐτοῦ ὁ ἀνὴρ ἀφ᾽ οὗ ἐξεληλύθει τὰ δαιμόνια εἶναι σὺν αὐτῷ. Ἀπέλυσεν δὲ αὐτὸν ὁ Ἰησοῦς[9] λέγων, **39** «Ὑπόστρεφε εἰς τὸν οἶκόν σου καὶ διηγοῦ ὅσα ἐποίησέν σοι ὁ Θεός.»[10] Καὶ ἀπῆλθεν καθ᾽ ὅλην τὴν πόλιν κηρύσσων ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς.

A desperate father

40 Ἐγένετο δὲ ἐν[11] τῷ ὑποστρέψαι[12] τὸν Ἰησοῦν, ἀπεδέξατο αὐτὸν ὁ ὄχλος, ἦσαν γὰρ πάντες προσδοκῶντες αὐτόν. **41** Καὶ ἰδού, ἦλθεν ἀνὴρ ᾧ ὄνομα Ἰάειρος,[13] καὶ αὐτὸς[14] ἄρχων τῆς συναγωγῆς ὑπῆρχεν· καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ[15] Ἰησοῦ παρεκάλει αὐτὸν εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ, **42** ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ, ὡς ἐτῶν δώδεκα, καὶ αὕτη[16] ἀπέθνησκεν.

A desperate woman

Ἐν δὲ τῷ ὑπάγειν αὐτόν, οἱ ὄχλοι συνέπνιγον αὐτόν. **43** Καὶ γυνή—οὖσα ἐν ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις ἰατροῖς προσαναλώσασα ὅλον τὸν βίον,[17] οὐκ ἴσχυσεν ὑπ᾽[18] οὐδενὸς θεραπευθῆναι—**44** προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς. **45** Καὶ εἶπεν ὁ Ἰησοῦς, «Τίς ὁ ἁψάμενός μου;» Ἀρνουμένων δὲ πάντων, εἶπεν ὁ Πέτρος καὶ οἱ μετ᾽ αὐτοῦ·[19] «Ἐπιστάτα, οἱ ὄχλοι συνέχουσίν σε καὶ ἀποθλίβουσιν, καὶ λέγεις, ‹Τίς ὁ ἁψάμενός μου;› »[20] **46** Ὁ δὲ Ἰησοῦς εἶπεν, «Ἥψατό μού τις, ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν[21] ἀπ᾽ ἐμοῦ.» **47** Ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι οὐκ ἔλαθεν, τρέμουσα ἦλθεν καὶ προσπεσοῦσα αὐτῷ, δι᾽ ἣν αἰτίαν ἥψατο αὐτοῦ ἀπήγγειλεν αὐτῷ[22] ἐνώπιον παντὸς τοῦ λαοῦ, καὶ ὡς ἰάθη παραχρῆμα. **48** Ὁ δὲ[23] εἶπεν αὐτῇ· «Θάρσει[24] θύγατερ,[25] ἡ πίστις σου σέσωκέν

---

[1] γεγενημενον **f**[35] [82%] HF,RP,TR,OC ¦ γενομενον [3%] CP ¦ γεγονος **𝔓**[75]א A,B,C,D [12%] NU ¦ γεγονως W [3%]
[2] και **f**[35] **𝔓**[75]א A,B,C,W [99%] HF,RP,OC,NU ¦ 1 απελθοντες [1%] CP,TR
[3] εξεληλυθει **f**[35] A,C,W [99.5%] CP,HF,RP,TR,OC ¦ εξηλθεν **𝔓**[75]א B [0.5%] NU ¦ D is wild
[4] και **f**[35] A,W [94%] CP,HF,RP,TR ¦ --- **𝔓**[75]א B,C,D [6%] OC,NU
[5] ηρωτησαν **f**[35] (D)W [76%] CP,HF,RP,TR,OC ¦ ηρωτησεν א A,B,C [23%] NU ¦ three other variants [1%]
[6] γαδαρηνων **f**[35] A,W [96%] CP,HF,RP,TR,OC ¦ γερασηνων **𝔓**[75] B,C,D,NU ¦ γεργεσηνων א [3.5%]
[7] το **f**[35] A,W [92%] CP,HF,RP,TR,OC ¦ --- א B,C(D) [8%] NU
[8] εδεετο **f**[35] א C [98%] CP,HF,RP,TR,OC ¦ εδειτο B [1%] NU ¦ εδεειτο A [1%] ¦ εδετο **𝔓**[75v] ¦ --- (W) ¦ ηρωτα D
[9] ο ιησους **f**[35] A,C,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- א B,D [1.5%] NU
[10] εποιησεν σοι ο θεος **f**[35] A [97%] CP,HF,RP,TR,OC ¦ ~ 2134 **𝔓**[75]א B,W [3%] NU ¦ ~ 2341 D ¦ 23 κυριος πεποιηκεν C
[11] εγενετο δε εν **f**[35] א A,C,D,W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 32 **𝔓**[75] B [1.5%] NU
[12] υποστρεψαι **f**[35] A,C,D,W [99%] CP,HF,RP,TR,OC ¦ υποστρεφειν **𝔓**[75]א B [1%] NU ¦ three other variants
[13] ιαειρος **f**[35] **𝔓**[75v]א A,B,W [93%] CP,HF,RP,TR,OC ¦ ιαιρος [2%] NU ¦ ιαηρος [4%] ¦ seven further spellings [1%] ¦ --- C(D)
[14] αυτος **f**[35] א A,W [95%] CP,HF,RP,TR,OC ¦ ουτος **𝔓**[75] B,D [5%] NU
[15] του **f**[35] A,C,D,W [98.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- א B [1.5%]
[16] αύτη **f**[35] CP,HF,RP,TR,OC ¦ αὐτη NU ¦ --- (D)
[17] ιατροις (εις εατρους TR) προσαναλωσασα ολον τον βιον **f**[35] (א)A(C)W [99.7%] CP,HF,RP(TR)OC[NU] ¦ --- **𝔓**[75] B(D)
[18] ὑπ **f**[35] א(C)W [99.7%] CP,HF,RP,TR,OC ¦ απ **𝔓**[75] A,B [0.3%] NU ¦ --- (D)
[19] και οι μετ αυτου **f**[35] [86%] CP,HF,RP,TR ¦ 12 συν αυτω א A,C,D,W [9%] OC ¦ --- **𝔓**[75] B [5%] NU
[20] και λεγεις τις (τι C) ο αψαμενος μου **f**[35] A,(C)W [98%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א B [1.5%] NU ¦ 1236 ηψατο D [0.5%]
[21] εξελθουσαν **f**[35] A,C,D,W [99.3%] CP,HF,RP,TR,OC ¦ εξεληλυθυιαν **𝔓**[75]א B [0.7%] NU
[22] αυτω **f**[35] C [93%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א A,B,D,W [7%] NU
[23] δε *rell* ¦ 1 ιησους C [20%]
[24] θαρσει **f**[35] A,C,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א(B)D [1.5%] NU
[25] θυγατερ **f**[35] א A,C,D [98.5%] CP,HF,RP,TR,OC ¦ θυγατηρ B,W [1.5%] NU

σε. Πορεύου εἰς εἰρήνην.»

Jesus raises a dead girl

49 Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου, λέγων αὐτῷ[1] ὅτι «Τέθνηκεν ἡ θυγάτηρ σου· μὴ[2] σκύλλε τὸν διδάσκαλον.» **50** Ὁ δὲ Ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ λέγων,[3] «Μὴ φοβοῦ· μόνον πίστευε[4] καὶ σωθήσεται.» **51** Ἐλθὼν[5] δὲ εἰς τὴν οἰκίαν, οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα[6] εἰ μὴ Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον,[7] καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν μητέρα. **52** Ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτήν· ὁ δὲ εἶπεν, «Μὴ κλαίετε· οὐκ[8] ἀπέθανεν, ἀλλὰ καθεύδει.» **53** Καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανεν. **54** Αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας, καὶ[9] κρατήσας τῆς χειρὸς αὐτῆς, ἐφώνησεν λέγων, «Ἡ παῖς, ἐγείρου.»[10] **55** Καὶ ἐπέστρεψεν τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆμα· καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν. **56** Καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς· ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός.

Jesus sends out the Twelve

9:1 Συγκαλεσάμενος δὲ τοὺς δώδεκα[11] ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν· **2** καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ Θεοῦ καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας.[12] **3** Καὶ εἶπεν πρὸς αὐτούς· «Μηδὲν αἴρετε εἰς τὴν ὁδόν—μήτε ῥάβδους[13] μήτε πήραν μήτε ἄρτον μήτε ἀργύριον, μήτε ἀνὰ[14] δύο χιτῶνας ἔχειν. **4** Καὶ εἰς ἣν[15] οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε, καὶ ἐκεῖθεν ἐξέρχεσθε. **5** Καὶ ὅσοι ἐὰν[16] μὴ δέξωνται[17] ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης, καὶ[18] τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε[19] εἰς μαρτύριον ἐπ᾽ αὐτούς.» **6** Ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας, εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ.

Herod is troubled

7 Ἤκουσεν δὲ Ἡρῴδης ὁ τετράρχης[20] τὰ γινόμενα[21] ὑπ᾽ αὐτοῦ[22] πάντα· καὶ διηπόρει, διὰ τὸ λέγεσθαι ὑπό τινων ὅτι Ἰωάννης ἐγήγερται[23] ἐκ[24] νεκρῶν, **8** ὑπό τινων δὲ ὅτι Ἠλίας ἐφάνη, ἄλλων

---

[1] αυτω **f**[35] A,C,D,W [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75v]**א**B [3%] NU
[2] μη **f**[35] A,C,W [99.5%] CP,HF,RP,TR,OC ¦ μηκετι **𝔓**[75]**א**B,D [0.5%] NU
[3] λεγων **f**[35] A,C,D,W [91%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B [9%] NU
[4] πιστευε **f**[35] **א**A,C,D,W [99.7%] CP,HF,RP,TR,OC ¦ πιστευσον B [0.3%] NU
[5] ελθων **f**[35] **א**A,B,C,W [98%] HF,RP,OC,NU ¦ εισελθων D [2%] CP,TR
[6] ουκ αφηκεν εισελθειν ουδενα **f**[35] A,W [94.5%] CP,HF,RP,TR,OC ¦ 1234 συν αυτω [2%] ¦ 123 τινα συν αυτω B,C [1%] NU ¦ 123 συν αυτω τινα D [0.5%] ¦ ~ 42 συνεισελθειν αυτω **א** ¦ six other variants [2%]
[7] ιωαννην και ιακωβον **f**[35] (**𝔓**[75])(B)C(D,W) [82%] CP,HF,RP,OC,NU ¦ ~ 321 **א**A [18%] TR
[8] ουκ **f**[35] A (88.6%) CP,HF,RP,TR,OC ¦ ου γαρ **א**B,C,D,W (11.3%) NU ¦ ουδε γαρ (0.1%)
[9] εκβαλων εξω παντας και **f**[35] [78%] CP,HF,RP,TR,OC ¦ 134 C [1%] ¦ ~ 1324 A,W [19%] ¦ --- **𝔓**[75]**א**B,D [1.5%] NU ¦ one other reading
[10] εγειρου **f**[35] A,W [97.5%] CP,HF,RP,TR,OC ¦ εγειρε **א**B,C,D [1.5%] NU ¦ εγειραι [1%]
[11] δωδεκα **f**[35] **𝔓**[75]A,B,D,W [74%] HF,RP,NU ¦ 1 μαθητας αυτου [15%] CP,TR,OC ¦ 1 αποστολους **א**C [11%]
[12] τους ασθενουντας **f**[35] C,W (97.6%) CP,HF,RP,TR,OC ¦ 1 ασθενεις **א**A,D (1.3%) [NU] ¦ παντας 12 (0.7%) ¦ four other readings (0.2%) ¦ --- B (0.1%)
[13] ραβδους **f**[35] A [85%] CP,HF,RP,TR,OC ¦ ραβδον **א**B,C,D,W [15%] NU
[14] ανα **f**[35] A,D,W (98.9%) CP,HF,RP,TR,OC[NU] ¦ --- **א**B,C (1%) ¦ long omission (0.1%)
[15] ην **f**[35] [15%] ¦ 1 αν **א**A,B,C,D,W [85%] CP,HF,RP,TR,OC,NU
[16] εαν **f**[35] **𝔓**[75]C [70%] CP,HF,RP,OC ¦ αν **א**A,B,D,W [30%] TR,NU
[17] δεξωνται **f**[35] D [66%] CP,HF,RP,TR,OC ¦ δεξονται [20%] ¦ δεχωνται **א**A,B,C,W [15%] NU ¦ δεχονται [1%]
[18] και **f**[35] A [97.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B,C,D,W [2.5%] NU
[19] αποτιναξατε **f**[35] A,C,W [98.5%] CP,HF,RP,TR,OC ¦ αποτινασσετε B [1%] NU ¦ αποτινασσεται **א** [0.5%] ¦ εκτειναζατε (D)
[20] ο τετραρχης **f**[35] **𝔓**[75]A,B,D,W [99.8%] CP,HF,RP,TR,OC ¦ 1 τετραρχης C,NU ¦ --- **א**
[21] γινομενα *rell* ¦ γενομενα A [14%]
[22] ὑπ αυτου **f**[35] A,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B,C(D) [1.5%] NU
[23] εγηγερται **f**[35] A,N,W [96%] CP,HF,RP,TR,OC ¦ ηγερθη **𝔓**[75]**א**B,C [4%] NU ¦ ανεστη (D)
[24] εκ **f**[35] **𝔓**[75]**א**A,B,C(D)N,W [95.5%] HF,RP,TR,NU ¦ 1 των [2.5%] OC ¦ απο των [2%] CP

δὲ ὅτι προφήτης εἷς[1] τῶν ἀρχαίων ἀνέστη. **9** Καὶ εἶπεν[2] Ἡρῴδης,[3] «Ἰωάννην ἐγὼ ἀπεκεφάλισα· τίς δέ ἐστιν οὗτος περὶ οὗ ἐγὼ[4] ἀκούω τοιαῦτα;» Καὶ ἐζήτει ἰδεῖν αὐτόν.

Jesus feeds about 5,000 men

10 Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι διηγήσαντο αὐτῷ ὅσα ἐποίησαν. Καὶ παραλαβὼν αὐτοὺς ὑπεχώρησεν κατ᾽ ἰδίαν εἰς τόπον ἔρημον πόλεως καλουμένης[5] Βηθσαϊδά.[6] **11** Οἱ δὲ ὄχλοι, γνόντες, ἠκολούθησαν αὐτῷ. Καὶ δεξάμενος[7] αὐτοὺς ἐλάλει αὐτοῖς[8] περὶ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ τοὺς χρείαν ἔχοντας θεραπείας ἰᾶτο.[9]

12 Ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν, προσελθόντες δὲ οἱ δώδεκα εἶπον[10] αὐτῷ, «Ἀπόλυσον τὸν ὄχλον, ἵνα ἀπελθόντες[11] εἰς τὰς κύκλῳ κώμας καὶ τοὺς[12] ἀγρούς, καταλύσωσιν καὶ εὕρωσιν ἐπισιτισμόν· ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ ἐσμέν.» **13** Εἶπεν δὲ πρὸς αὐτούς, «Δότε αὐτοῖς ὑμεῖς φαγεῖν.» Οἱ δὲ εἶπον,[13] «Οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ πέντε ἄρτοι[14] καὶ ἰχθύες δύο[15]—εἰ μήτι πορευθέντες ἡμεῖς ἀγοράσομεν[16] εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα» **14** (ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντα-κισχίλιοι). Εἶπεν δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ, «Κατακλίνατε αὐτοὺς κλισίας[17] ἀνὰ πεντήκοντα.» **15** Καὶ ἐποίησαν οὕτως, καὶ ἀνέκλιναν[18] ἅπαντας. **16** Λαβὼν δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν αὐτοὺς καὶ κατέκλασεν, καὶ ἐδίδου τοῖς μαθηταῖς παρατιθέναι[19] τῷ ὄχλῳ. **17** Καὶ ἔφαγον καὶ ἐχορτάσθησαν πάντες, καὶ ἤρθη τὸ περισσεῦσαν αὐτοῖς κλασμάτων κόφινοι δώδεκα.

Jesus ministers on the basis of His impending death

"You are the Christ"

9:18 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον κατὰ μόνας, συνῆσαν αὐτῷ οἱ μαθηταί,[20] καὶ ἐπηρώτησεν αὐτοὺς λέγων, «Τίνα με λέγουσιν οἱ ὄχλοι εἶναι;» **19** Οἱ δὲ ἀποκριθέντες εἶπον,[21] «Ἰωάννην τὸν Βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν, ἄλλοι δὲ ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη.» **20** Εἶπεν δὲ αὐτοῖς, «Ὑμεῖς δέ, τίνα με λέγετε εἶναι;» Ἀποκριθεὶς δὲ Πέτρος[22] εἶπεν, «Τὸν Χριστὸν τοῦ Θεοῦ.» **21** Ὁ δὲ ἐπιτιμήσας αὐτοῖς παρήγγειλεν μηδενὶ εἰπεῖν [23]τοῦτο, **22** εἰπὼν ὅτι «Δεῖ τὸν Υἱὸν τοῦ Ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων

---

[1] εις **f**[35] A,N,W [92%] CP,HF,RP,TR ¦ τις ℵB,C [7%] OC,NU ¦ --- D [1%]
[2] και ειπεν **f**[35] A,N,W [96%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε **𝔓**[75]ℵB,C,D [4%] NU
[3] ηρωδης **f**[35] **𝔓**[75]ℵA,C,D,W [95%] CP,HF,RP,NU ¦ ο 1 B,N [5%] TR,OC
[4] εγω **f**[35] A,D,N,W [95%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB,C [5%] NU
[5] τοπον ερημον πολεως καλουμενης **f**[35] C,N,W [94%] CP,HF,RP,TR,OC ¦ ~ 2134 A [4%] ¦ 134 [0.5%] ¦ 12 ℵ [0.5%] ¦ πολιν καλουμενην **𝔓**[75]B [0.5%] NU ¦ κωμην λεγομενην D ¦ three other variants
[6] βηθσαιδα **f**[35] B,C [46%] CP,TR,OC,NU ¦ βηθσαιδαν A,W [52%] HF,RP ¦ βηδσαιδα **𝔓**[75]D,N [0.5%] ¦ five further spellings [1%] ¦ --- ℵ
[7] δεξαμενος **f**[35] A,C,N(W) [93%] CP,HF,RP,TR,OC ¦ αποδεξαμενος **𝔓**[75]ℵB,D [7%] NU
[8] αυτοις *rell* ¦ 1 τα N [19%]
[9] ιατο *rell* ¦ ιασατο C [6%] OC
[10] ειπον *rell* ¦ ειπαν NU
[11] απελθοντες **f**[35] N,W [95%] CP,HF,RP,TR ¦ πορευθεντες **𝔓**[75]ℵA,B,C,D [5%] OC,NU
[12] τους **f**[35] A,C,D,N,W [95%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB [5%] NU
[13] ειπον *rell* ¦ ειπαν ℵB,C,D [1%] NU
[14] πεντε αρτοι **f**[35] A,D,N [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 ℵB [0.3%] NU ¦ επτα 2 C ¦ 1 αρτων W
[15] ιχθυες δυο **f**[35] ℵA,B,C,W [94%] CP,HF,RP,OC,NU ¦ ~ 21 D,N [6%] TR
[16] αγορασομεν **f**[35] [30%] CP,OC ¦ αγορασωμεν ℵA,B,C,D,N,W [70%] HF,RP,TR,NU
[17] κλισιας **f**[35] A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ 1 ωσει ℵB,C,D [1.5%] [NU]
[18] ανεκλιναν **f**[35] (A)C,N(W) [97.5%] CP,HF,RP,TR,OC ¦ κατεκλιναν ℵ(B) [2.5%] NU ¦ --- D
[19] παρατιθεναι **f**[35] A,D,W [94%] CP,HF,RP,TR ¦ παραθειναι **𝔓**[75]ℵB,C,N [3%] OC,NU ¦ παραθηναι [3%]
[20] μαθηται *rell* ¦ 1 αυτου N,W [13%]
[21] ειπον *rell* ¦ ειπαν **𝔓**[75]ℵB,D [0.3%] NU
[22] αποκριθεις δε πετρος **f**[35] W [71%] CP ¦ 12 ο 3 A,D [27%] HF,RP,TR,OC ¦ ~ 321 **𝔓**[75]ℵB,C [1%] NU ¦ 12 σιμων 3 N ¦ six further variants [1%]
[23] ειπειν **f**[35] [77%] CP,HF,RP,TR ¦ λεγειν (**𝔓**[75])ℵA,B,C,D,W [23%] OC,NU

καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι.»[1]

To gain is to lose, to lose is to gain

23 Ἔλεγεν δὲ πρὸς πάντας· «Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν,[2] ἀπαρνησάσθω[3] ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ,[4] καὶ ἀκολουθείτω μοι. **24** Ὃς γὰρ ἐὰν[5] θέλῃ[6] τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν, ὃς δ᾽ ἂν ἀπολέσῃ[7] τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, οὗτος σώσει αὐτήν. **25** Τί γὰρ ὠφελεῖται ἄνθρωπος κερδήσας τὸν κόσμον ὅλον, ἑαυτὸν δὲ ἀπολέσας ἢ ζημιωθείς; **26** Ὃς γὰρ ἂν[8] ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐπαισχυν-θήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ Πατρὸς καὶ τῶν ἁγίων ἀγγέλων. **27** Λέγω δὲ ὑμῖν ἀληθῶς·[9] εἰσίν τινες τῶν ὧδε[10] ἑστώτων[11] οἵ[12] οὐ μὴ γεύσωνται[13] θανάτου ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ Θεοῦ.»

Peter, John and James see the "Kingdom"

28 Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτώ, καὶ[14] παραλαβὼν[15] Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον, ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι. **29** Καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτόν, τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων. **30** Καὶ ἰδού, ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωσῆς[16] καὶ Ἠλίας· **31** οἳ ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλεν[17] πληροῦν ἐν Ἰερουσαλήμ.

32 Ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ, καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ. **33** Καὶ ἐγένετο, ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ᾽ αὐτοῦ, εἶπεν ὁ[18] Πέτρος πρὸς τὸν Ἰησοῦν· «Ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι» καὶ «Ποιήσωμεν σκηνὰς τρεῖς· μίαν σοί, καὶ μίαν Μωσεῖ,[19] καὶ μίαν Ἠλίᾳ»—μὴ εἰδὼς ὃ λέγει. **34** Ταῦτα δὲ αὐτοῦ λέγοντος ἐγένετο νεφέλη καὶ ἐπεσκίασεν[20] αὐτούς· ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν[21] εἰς τὴν νεφέλην. **35** Καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης λέγουσα· «Οὗτός ἐστιν ὁ Υἱός μου, ὁ ἀγαπητός.[22] Αὐτοῦ ἀκούετε.» **36** Καὶ ἐν τῷ γενέσθαι τὴν φωνήν, εὑρέθη ὁ[23] Ἰησοῦς μόνος. (Καὶ αὐτοὶ ἐσίγησαν καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν

---

[1] εγερθηναι **f**[35] **𝔓**[75]א**B**,W [85%] CP,HF,TR,OC,NU ¦ αναστηναι A,C,D [15%] RP
[2] ελθειν **f**[35] [89%] CP,HF,RP,TR ¦ ερχεσθαι **𝔓**[75]א**A**,B,C,W [11%] OC,NU ¦ ερχεσθε D
[3] απαρνησασθω **f**[35] **𝔓**[75]B,C,W [95.5%] CP,HF,RP,TR,OC ¦ αρνησασθω א**A**,D [4.5%] NU
[4] αυτου **f**[35] C(D) [87%] CP,HF,RP ¦ 1 καθ ημεραν **𝔓**[75]א**A**,B,W [13%] TR,OC,NU
[5] εαν **f**[35] א**C** [75%] CP,HF,RP ¦ αν A,B,D,W [25%] TR,OC,NU
[6] θελη *rell* ¦ θελει [19%]
[7] απολεση *rell* ¦ απολεσει W [18%]
[8] αν *rell* ¦ εαν C [12%] OC
[9] αληθως *rell* ¦ 1 οτι **𝔓**[45] [19%]
[10] ωδε **f**[35] A,C,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ αυτου **𝔓**[75]א**B** [0.5%] NU
[11] εστωτων **f**[35] A,C,D,W [80%] CP,HF,RP ¦ εστηκοτων **f**[35pt] א**B** [20%] TR,OC,NU [These appear to be alternate forms of the perfect active participle of the same verb, so they are two ways of saying the same thing.]
[12] οι *rell* ¦ οιτινες A [13%]
[13] γευσωνται **f**[35] **𝔓**[45]א**A**,B,C,D,W [60%] HF,RP,OC,NU ¦ γευσονται [40%] CP,TR
[14] και **f**[35] A,C,D,W [97%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[45,75vid]א**B** [3%]
[15] παραλαβων **f**[35] **𝔓**[45,75]א**A**,B,C,D,N,W [95%] CP,HF,RP,NU ¦ 1 τον [5%] TR,OC
[16] μωσης **f**[35] **𝔓**[45]A [75%] CP,HF,RP,TR ¦ μωυσης א**B**,C,D,N,W [25%] OC,NU
[17] εμελλεν **f**[35] B [97.5%] CP,HF,RP,TR,OC ¦ ημελλεν **𝔓**[75]א**A**,C,N,W [2%] NU ¦ εμελλον **𝔓**[45] ¦ μελλει D ¦ two other variants
[18] ο **f**[35] **𝔓**[45,75]א**B**,C,D,N [40%] CP,TR,OC,NU ¦ --- A,W [60%] HF,RP
[19] μιαν μωσει **f**[35] A,C [66%] CP,HF ¦ 1 μωση **𝔓**[45] [21%] RP ¦ 1 μωυσει B,D,N,W [6%] OC,NU ¦ 1 μωυση [4%] ¦ ~ 21 א [2%] TR ¦ ~ μωση 1 [1%] ¦ one other variant
[20] επεσκιασεν **f**[35] **𝔓**[45]A,C,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ επεσκιαζεν **𝔓**[75]א**B** [1%] NU
[21] εκεινους εισελθειν **f**[35] **𝔓**[45]A,D,N,W [95%] CP,HF,RP,TR ¦ ~ 21 [4%] OC ¦ αυτους 2 C [0.3%] ¦ ~ 2 αυτους א**B** [0.3%] NU ¦ 2 **𝔓**[75] ¦ two other variants
[22] αγαπητος **f**[35] A,C,N,W [89%] CP,HF,RP,TR,OC ¦ εκλελεγμενος **𝔓**[45,75]א**B** [0.5%] NU ¦ εκλεκτος [1%] ¦ 1 εν ω ευδοκησα (D) [9.5%]
[23] ο **f**[35] W [50%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]א**A**,B,C,D [50%] NU

ἑωράκασιν.)[1]

A violent demon

37 Ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέρᾳ,[2] κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, συνήντησεν αὐτῷ ὄχλος πολύς. **38** Καὶ ἰδού, ἀνὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησεν[3] λέγων· «Διδάσκαλε, δέομαί σου, ἐπίβλεψον[4] ἐπὶ τὸν υἱόν μου, ὅτι μονογενής ἐστίν μοι.[5] **39** Καὶ ἰδού, πνεῦμα λαμβάνει αὐτὸν καὶ ἐξαίφνης κράζει, καὶ σπαράσσει αὐτὸν μετὰ ἀφροῦ, καὶ μόγις ἀποχωρεῖ ἀπ᾽ αὐτοῦ, συντρῖβον αὐτόν. **40** Καὶ ἐδεήθην τῶν μαθητῶν σου ἵνα ἐκβάλωσιν[6] αὐτό, καὶ οὐκ ἠδυνήθησαν.» **41** Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· «Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι πρὸς ὑμᾶς καὶ[7] ἀνέξομαι ὑμῶν; Προσάγαγε τὸν υἱόν σου ὧδε.»[8] **42** Ἔτι δὲ προσερχομένου αὐτοῦ ἔρρηξεν αὐτὸν τὸ δαιμόνιον καὶ συνεσπάραξεν. Ἐπετίμησεν δὲ ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ καὶ ἰάσατο τὸν παῖδα καὶ ἀπέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ. **43** Ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ μεγαλειότητι τοῦ Θεοῦ.

Jesus foretells His death, again

Πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς ἐποίησεν[9] ὁ Ἰησοῦς,[10] εἶπεν πρὸς τοὺς μαθητὰς αὐτοῦ, **44** «Θέσθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους, ὁ γὰρ Υἱὸς τοῦ Ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων.» **45** Οἱ δὲ ἠγνόουν τὸ ῥῆμα τοῦτο· καὶ ἦν παρακεκαλυμμένον ἀπ᾽ αὐτῶν, ἵνα μὴ αἴσθωνται αὐτό· καὶ ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ τοῦ ῥήματος τούτου.

He who is least will be great

46 Εἰσῆλθεν δὲ διαλογισμὸς ἐν αὐτοῖς, τὸ τίς ἂν εἴη μείζων αὐτῶν. **47** Ὁ δὲ Ἰησοῦς, ἰδὼν[11] τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν, ἐπιλαβόμενος παιδίου[12] ἔστησεν αὐτὸ παρ᾽ ἑαυτῷ, **48** καὶ εἶπεν αὐτοῖς· «Ὃς ἐὰν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου ἐμὲ δέχεται· καὶ ὃς ἐὰν[13] ἐμὲ δέξηται δέχεται τὸν ἀποστείλαντά με. Ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῶν[14] ὑπάρχων, οὗτός ἔσται[15] μέγας.»

49 Ἀποκριθεὶς δὲ ὁ[16] Ἰωάννης εἶπεν, «Ἐπιστάτα, εἴδομέν[17] τινα ἐπὶ[18] τῷ ὀνόματί σου ἐκβάλλοντα[19] δαιμόνια, καὶ ἐκωλύσαμεν[20] αὐτόν, ὅτι οὐκ ἀκολουθεῖ μεθ᾽ ἡμῶν.» **50** Καὶ εἶπεν[21] πρὸς αὐτὸν ὁ Ἰησοῦς, «Μὴ κωλύετε,[22] ὃς γὰρ οὐκ ἔστιν καθ᾽ ἡμῶν[23] ὑπὲρ ἡμῶν[24] ἐστιν.»

---

[1] εωρακασιν **f**[35] ℵA [92%] CP,HF,RP,TR,OC ¦ εωρακαν B [3%] NU ¦ εορακεν **𝔓**[45] ¦ εορακασιν C,W [4%] ¦ εθεασαν D ¦ two other variants
[2] εν τη εξης ημερα **f**[35] A,C [97%] CP,HF,RP,TR,OC ¦ 234 ℵB,W [2.5%] NU ¦ της ημερας **𝔓**[45] ¦ δια της ηερας D
[3] ανεβοησεν **f**[35] A,W [97.5%] CP,HF,RP,TR,OC ¦ εβοησεν **𝔓**[45,75v]ℵB,C,D [2.5%] NU
[4] επιβλεψον **f**[35] ℵD,W [55%] TR,OC ¦ επιβλεψαι **𝔓**[45]A,B,C [45%] CP,HF,RP,NU
[5] εστιν μοι **f**[35] W [85%] CP,HF,RP,TR ¦ ~ 21 **𝔓**[45v]ℵA,B,C,D [15%] OC,NU
[6] εκβαλωσιν **f**[35] ℵA,B,C,W [96%] CP,HF,RP,OC,NU ¦ εκβαλλωσιν [4%] TR ¦ απαλλαξωσιν D
[7] και *rell* ¦ εως ποτε [18%]
[8] τον υιον σου ωδε **f**[35] A,C,W [97%] CP,HF,RP,OC ¦ ~ 4123 **𝔓**[75]ℵB [3%] TR,NU ¦ 123 D
[9] εποιησεν **f**[35] W [89%] CP,HF,RP,TR,OC ¦ εποιει **𝔓**[75](ℵ)A,B,C,D [11%] NU
[10] ο ιησους **f**[35] A,C,W [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75](ℵ)B,D [3%] NU
[11] ιδων **f**[35] A,C,D,W [84%] CP,HF,RP,TR,OC ¦ ειδως **𝔓**[75v]ℵB [15%] NU ¦ γνους [1%]
[12] παιδιου **f**[35] ℵA,W [97.5%] HF,RP,TR,OC ¦ παιδιον **𝔓**[75]B,C,D [2.5%] CP,NU
[13] εαν **f**[35] A,C,W [96%] CP,HF,RP,TR,OC ¦ αν **𝔓**[45]B [3.5%] NU ¦ --- ℵ(D) ¦ δ αν **𝔓**[75]
[14] υμων **f**[35] [20%] ¦ υμιν **𝔓**[75]ℵA,B,C [79%] CP,HF,RP,TR,OC,NU ¦ ημιν [1%]
[15] εσται **f**[35] A,W [95%] CP,HF,RP,TR ¦ εστιν **𝔓**[75]ℵB,C [4.5%] OC,NU ¦ εστε D ¦ εστιν ο **𝔓**[45]
[16] ο **f**[35] ℵA [94.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]B(C)D,W [5.5%] NU
[17] ειδομεν *rell* ¦ ιδομεν [12%] ¦ ειδωμεν [4%] ¦ ιδωμεν [3%] ¦ two other variants
[18] επι **f**[35] A,C,D,W [92.5%] CP,HF,RP,TR,OC ¦ εν **𝔓**[45,75]ℵB [7.5%] NU
[19] εκβαλλοντα *rell* ¦ 1 τα [2%] TR
[20] εκωλυσαμεν **f**[35] A,C,D,W [99.3%] CP,HF,RP,TR,OC ¦ εκωλυομεν **𝔓**[75]ℵB [0.7%] NU
[21] και ειπεν **f**[35] A,W [96.5%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε **𝔓**[45,75]ℵB,C,D [3.5%] NU
[22] κωλυετε *rell* ¦ 1 ου γαρ εστιν καθ υμων [2.5%] OC
[23] ημων **f**[35] [80%] CP,HF,RP,TR ¦ υμων **𝔓**[(45)75]ℵA,B,C,D,W [20%] OC,NU
[24] ημων **f**[35] ℵA [81%] CP,HF,RP,TR ¦ υμων **𝔓**[45,75]B,C,D,W [19%] OC,NU

A Samaritan village

51 Ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως[1] αὐτοῦ, καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ[2] ἐστήριξεν[3,4] τοῦ πορεύεσθαι εἰς Ἰερουσαλήμ, **52** καὶ ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου ἑαυτοῦ.[5] Καὶ πορευθέντες εἰσῆλθον εἰς κώμην Σαμαρειτῶν, ὥστε[6] ἑτοιμάσαι αὐτῷ. **53** Καὶ οὐκ ἐδέξαντο αὐτόν, ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς Ἰερουσαλήμ. **54** Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ,[7] Ἰάκωβος καὶ Ἰωάννης, εἶπον, «Κύριε, θέλεις εἴπωμεν[8] πῦρ καταβῆναι ἀπὸ τοῦ[9] οὐρανοῦ καὶ ἀναλῶσαι αὐτούς, ὡς καὶ Ἠλίας ἐποίησεν;»[10] **55** Στραφεὶς δὲ ἐπετίμησεν αὐτοῖς καὶ εἶπεν· «Οὐκ οἴδατε οἵου πνεύματός ἐστε ὑμεῖς.[11] **56** Ὁ γὰρ Υἱὸς τοῦ Ἀνθρώπου οὐκ ἦλθεν ψυχὰς ἀνθρώπων ἀπολέσαι, ἀλλὰ σῶσαι.»[12] Καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην.

The cost of discipleship

57 Ἐγένετο δὲ[13] πορευομένων αὐτῶν ἐν τῇ ὁδῷ, εἶπέν τις πρὸς αὐτόν, «Ἀκολουθήσω σοι ὅπου ἂν[14] ἀπέρχῃ, Κύριε.»[15] **58** Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, «Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσιν καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ Υἱὸς τοῦ Ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.»[16]

59 Εἶπεν δὲ πρὸς ἕτερον, «Ἀκολούθει μοι.» Ὁ δὲ εἶπεν, «Κύριε,[17] ἐπίτρεψόν μοι ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου.» **60** Εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς,[18] «Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς, σὺ δὲ ἀπελθὼν διάγγελλε[19] τὴν βασιλείαν τοῦ Θεοῦ.»

61 Εἶπεν δὲ καὶ ἕτερος, «Ἀκολουθήσω σοι, Κύριε· πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου.» **62** Εἶπεν δὲ ὁ Ἰησοῦς πρὸς αὐτόν,[20] «Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ᾽ ἄροτρον,[21] καὶ βλέπων εἰς τὰ ὀπίσω,[22] εὔθετός ἐστιν εἰς τὴν βασιλείαν[23] τοῦ Θεοῦ.»

Jesus sends out the Seventy

10:1 Μετὰ δὲ ταῦτα, ἀνέδειξεν ὁ Κύριος καὶ[24] ἑτέρους ἑβδομήκοντα,[25] καὶ ἀπέστειλεν

---

[1] αναληψεως **f**[35] [99%] CP,HF,RP,TR,OC ¦ αναλημψεως **𝔓**[45]א(A)B,C,D,W [1%] NU
[2] αυτου **f**[35] אA,C,D(W) [98%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]B [2%] NU
[3] εστηριξεν **f**[35] אA,D,W [98.5%] CP,HF,RP,TR,OC ¦ εστηρισεν **𝔓**[45,75]B,C [1.5%] NU
[4] το προσωπον αυτου εστηριξεν *rell* ¦ ~ 4123 [3%] OC
[5] εαυτου **f**[35] A [40%] ¦ αυτου **𝔓**[75]אB,C,D,W [60%] CP,HF,RP,TR,OC,NU ¦ --- **𝔓**[45]
[6] ωστε **f**[35] A,C,D,W [99.7%] CP,HF,RP,TR,OC ¦ ως **𝔓**[45,75]אB,NU
[7] αυτου **f**[35] A,C,D,W [98%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]אB [2%] NU
[8] ειπωμεν *rell* ¦ ειπομεν [17%]
[9] του *rell* ¦ --- [1.5%] OC
[10] ως και ηλιας εποιησεν **f**[35] A,C,D,W (97.3%) CP,HF,RP,TR,OC ¦ 134 (1.8%) ¦ --- **𝔓**[45,75]אB (1%) NU
[11] και ειπεν (λεγων 3.7%) ουκ οιδατε οιου (ποιου D 14.2% OC) πνευματος εστε υμεις (−υ. D 13.3%) **f**[35] (D) (73.2%) CP,HF,RP,TR(OC) ¦ --- **𝔓**[45,75]אA,B,C,W (26.8%) NU
[12] ο γαρ (−γ. 18.6% OC) υιος του ανθρωπου ουκ ηλθεν ψυχας ανθρωπων απολεσαι (αποκτειναι 9%) αλλα σωσαι **f**[35] (72.8%) CP,HF,RP,TR(OC) ¦ --- **𝔓**[45,75]אA,B,C,D,W (27.2%) NU
[13] εγενετο δε **f**[35] A,W [97%] CP,HF,RP,TR,OC ¦ ~ και 1 D [1%] ¦ και **𝔓**[45,75]אB,C [2%] NU
[14] αν **f**[35] **𝔓**[75]אD,W [57%] CP,HF,RP,TR ¦ εαν **𝔓**[45]A,B,C [43%] OC,NU
[15] κυριε **f**[35] A,C,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[(45)75]אB(D) [1.5%] NU
[16] κλινη *rell* ¦ κλινει [32%]
[17] κυριε **f**[35] **𝔓**[45,75]אA,C,N,W,0181 [99%] CP,HF,RP,TR,OC[NU] ¦ --- B,D [1%]
[18] ο ιησους **f**[35] A,C,N,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]אB,D,0181 [1%] NU
[19] διαγγελλε **f**[35] **𝔓**[45]אA,B,C,D,N,W [85%] HF,RP,TR,OC,NU ¦ διαγγελε **𝔓**[75] [15%] CP
[20] ο ιησους προς αυτον **f**[35] A,C,N,W [95%] CP,HF,RP,OC ¦ ~ 3412 א [3.5%] TR[NU] ¦ 34 [1%] ¦ 12 αυτω (D) ¦ 12 **𝔓**[45,75]B,0181 [0.3%]
[21] αροτρον *rell* ¦ αρωτρον CP
[22] επιβαλων (επιβαλλων A,W) την χειρα αυτου επ αροτρον και βλεπων εις τα οπισω **f**[35] א(A)C,N(W) [99%] CP,HF,RP,TR,OC ¦ 1 (επιβαλλων **𝔓**[75]0181) 23,5-11 **𝔓**[75]B,0181 [1%] NU ¦ ~ 9-11,87 επιβαλλων 2-6 **𝔓**[45vid]D
[23] εις την βασιλειαν **f**[35] A,C,D,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ τη βασιλεια אB,0181 [1%] NU ¦ εν τη βασιλεια **𝔓**[75] [0.3%]
[24] και **f**[35] אA,C,D,W [99.4%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]B,0181 [0.6%] NU
[25] εβδομηκοντα **f**[35] אA,C,W [99%] CP,HF,RP,TR,OC ¦ 1 δυο **𝔓**[75]B,D,0181 [1%] [NU]

αὐτοὺς ἀνὰ δύο[1] πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πόλιν καὶ τόπον οὗ ἔμελλεν[2] αὐτὸς ἔρχεσθαι. **2** Ἔλεγεν οὖν[3] πρὸς αὐτούς· «Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ ὅπως ἐκβάλῃ ἐργάτας[4] εἰς τὸν θερισμὸν αὐτοῦ.

3 »Ὑπάγετε· ἰδού, ἐγὼ[5] ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων. **4** Μὴ βαστάζετε βαλάντιον,[6] μὴ πήραν, μὴ[7] ὑποδήματα· καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε. **5** Εἰς ἣν δ᾽ ἂν οἰκίαν εἰσέρχησθε,[8] πρῶτον λέγετε, ‹Εἰρήνη τῷ οἴκῳ τούτῳ.› **6** Καὶ ἐὰν μὲν[9] ᾖ ἐκεῖ[10] υἱὸς[11] εἰρήνης, ἐπαναπαύσεται[12] ἐπ᾽ αὐτὸν ἡ εἰρήνη ὑμῶν· εἰ δὲ μή γε, ἐφ᾽ ὑμᾶς ἀνακάμψει.[13] **7** Ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε, ἐσθίοντες καὶ πίνοντες τὰ παρ᾽ αὐτῶν, ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστιν.[14] Μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν.

8 »Καὶ εἰς ἣν δ᾽ ἂν[15] πόλιν εἰσέρχησθε, καὶ δέχωνται[16] ὑμᾶς, ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν. **9** Καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς καὶ λέγετε αὐτοῖς, ‹Ἤγγικεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.› **10** Εἰς ἣν δ᾽ ἂν πόλιν εἰσέρχησθε,[17] καὶ μὴ δέχωνται[18] ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς εἴπατε· **11** ‹Καὶ τὸν κονιορτὸν τὸν[19] κολληθέντα ἡμῖν ἐκ[20] τῆς πόλεως ὑμῶν[21] ἀπομασσόμεθα ὑμῖν. Πλὴν τοῦτο γινώσκετε, ὅτι ἤγγικεν ἐφ᾽ ὑμᾶς[22] ἡ βασιλεία τοῦ Θεοῦ.› **12** Λέγω[23] ὑμῖν ὅτι Σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον ἔσται ἢ τῇ πόλει ἐκείνῃ.

Jesus gives the example

13 »Οὐαί σοι, Χωραζίν,[24] οὐαί σοι, Βηθσαϊδά·[25] ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο[26] αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι[27] μετενόησαν. **14** Πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει ἢ ὑμῖν. **15** Καὶ σύ, Καπερναούμ,[28] ἡ[29] ἕως τοῦ[30]

---

[1] δυο **f**[35] אA,C,D,N,W,0181 [88%] CP,HF,RP,TR,OC ¦ 11 B [12%] [NU]
[2] εμελλεν **f**[35] D [55%] CP,HF,RP,TR ¦ ημελλεν אA,B,C,N,W,0181 [45%] OC,NU
[3] ουν **f**[35] A,N,W,0181 [95%] CP,HF,RP,TR,OC ¦ δε אB,C,D [5%] NU
[4] εκβαλη εργατας **f**[35] אA,C,N,W [84%] CP,HF,RP,OC ¦ εκβαλλη 2 [14.6%] TR ¦ εκβαλει 2 [1%] ¦ ~ 21 (**𝔓**[75])B,D, 0181 [0.4%] [NU]
[5] εγω **f**[35] C,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אA,B,0181 [1%] NU
[6] βαλαντιον **f**[35] [70%] HF,RP,TR ¦ βαλλαντιον **𝔓**[75]אA,B,C,D,N,W,0181 [30%] CP,OC,NU
[7] μη **f**[35] **𝔓**[75]אB,D,0181 [26%] NU ¦ μηδε A,C,W [74%] CP,HF,RP,TR,OC
[8] οικιαν εισερχησθε **f**[35] A,W [94.5%] CP,HF,RP,TR,OC ¦ 1 εισερχεσθε [2.5%] ¦ ~ εισελθητε 1 **𝔓**[75](א)B(D)0181 [0.5%] NU ¦ 1 εισελθητε C [1.5%] ¦ two other variants [1%]
[9] μεν **f**[35] 0181 [25%] TR ¦ --- **𝔓**[75]אA,B,C,D,W [75%] CP,HF,RP,OC,NU
[10] η εκει **f**[35] אA,C,D,W [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75]B [0.3%] NU
[11] υιος **f**[35] **𝔓**[75]A,B,C,D,W [97%] CP,HF,RP,OC,NU ¦ ο 1 א [3%] TR
[12] επαναπαυσεται **f**[35] A,C(W) [98%] CP,HF,RP,TR,OC ¦ επαναπαυσετε D [1%] ¦ επαναπαησεται **𝔓**[75]אB,0181,NU ¦ three other variants
[13] ανακαμψει *rell* ¦ επανακαμψει OC
[14] εστιν **f**[35] A,C,D,W [97.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אB [2.5%] NU
[15] δαν **f**[35] A [50%] CP,TR ¦ αν **𝔓**[75]אB,D,W [50%] HF,RP,OC,NU
[16] δεχωνται **f**[35] אA,B,C,D [55%] CP,HF,RP,TR,OC,NU ¦ δεχονται W [45%]
[17] εισερχησθε **f**[35] A,W,0181 [92.5%] CP,HF,RP,TR,OC ¦ εισερχεσθε [5%] ¦ εισελθητε **𝔓**[45v,75]אB,C,D [2.5%] NU
[18] δεχωνται **f**[35] **𝔓**[75]אA,B,C,D,W [60%] CP,HF,RP,TR,OC,NU ¦ δεχονται [40%]
[19] τον *rell* ¦ --- CP
[20] εκ *rell* ¦ απο [1%] OC
[21] μων **f**[35] [79%] CP,HF,RP,TR ¦ 1 εις τους ποδας **𝔓**[(45)75]אB,D [1%] NU ¦ 1 εις τους ποδας ημων A,C(W) [20%] OC
[22] εφ υμας **f**[35] A,C,W [98%υ] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]אB,D,0181 [2%] NU
[23] λεγω **f**[35] **𝔓**[45,75]A,B,C,W [80%] CP,HF,RP,NU ¦ 1 δε אD [20%] TR,OC
[24] χωραζιν **f**[35] N [35%] CP ¦ χωραζειν [15%] ¦ χοραζιν [29%] HF,RP,TR,OC,NU ¦ χοραζειν **𝔓**[45,75]אA,B,C [20%] ¦ χοραζαιν D ¦ χορεζειν W ¦ four other variants
[25] βηθσαιδα **f**[35] C(N) [81%] CP,HF,RP,TR,OC,NU ¦ βηθσαιδαν **𝔓**[45]אW [15%] ¦ βιθσαιδα [1.5%] ¦ βηδσαιδα **𝔓**[75]A,B [0.3%] ¦ βεδσαιδα D ¦ nine other variants [2%]
[26] εγενοντο **f**[35] A,C,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ εγενηθησαν **𝔓**[45]אB,D [2%] NU ¦ εγεννηθησαν **𝔓**[75]
[27] καθημεναι **f**[35] **𝔓**[45]D [94%] CP,HF,RP,TR ¦ καθημενοι **𝔓**[75]אA,B,C,N,W [6%] OC,NU
[28] καπερναουμ **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ καφαρναουμ **𝔓**[45,75]אB,C,D [1%] NU
[29] η **f**[35] A,C,N,W [99%] CP,HF,RP,TR,OC ¦ μη **𝔓**[45,75]אB,D [1%] NU
[30] του **f**[35] A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]אB,C,D [1.5%] NU

οὐρανοῦ ὑψωθεῖσα,[1] ἕως[2] Ἅδου[3] καταβιβασθήσῃ.[4] **16** »Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με.»

The Seventy return and report

17 Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς[5] λέγοντες, «Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου.» **18** Εἶπεν δὲ αὐτοῖς· «Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. **19** Ἰδού, δίδωμι[6] ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ.[7] **20** Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ[8] ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη[9] ἐν τοῖς οὐρανοῖς.»

Jesus worships His Father

21 Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς[10] καὶ εἶπεν· «Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. Ναί, ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία[11] ἔμπροσθέν σου.»

22 Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς εἶπεν·[12] «Πάντα μοι παρεδόθη[13] ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς γινώσκει[14] τίς ἐστιν ὁ Υἱὸς εἰ μὴ ὁ Πατήρ, καὶ τίς ἐστιν ὁ Πατὴρ εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι.» **23** Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς κατ᾽ ἰδίαν εἶπεν· «Μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε. **24** Λέγω γὰρ ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε καὶ οὐκ εἶδον,[15] καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν.»

How to inherit eternal life

25 Καὶ ἰδού, νομικός τις ἀνέστη, ἐκπειράζων αὐτὸν καὶ[16] λέγων, «Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;» **26** Ὁ δὲ εἶπεν πρὸς αὐτόν· «Ἐν τῷ νόμῳ τί γέγραπται; Πῶς ἀναγινώσκεις;» **27** Ὁ δὲ ἀποκριθεὶς εἶπεν· «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς[17] καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς[18] σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος[19] σου, καὶ ἐξ ὅλης τῆς διανοίας[20] σου, καί, τὸν πλησίον σου ὡς σεαυτόν.»[21] **28** Εἶπεν δὲ αὐτῷ, «Ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει καὶ ζήσῃ.» **29** Ὁ δέ, θέλων δικαιοῦν[22] ἑαυτόν, εἶπεν πρὸς τὸν Ἰησοῦν, «Καὶ τίς ἐστίν μου πλησίον;»

---

[1] υψωθεισα **f**[35] A,C,N,W [93.5%] CP,HF,RP,TR,OC ¦ υψωθησα [5%] ¦ υψωθηση **𝔓**[45,75]**א**B,D [1.5%] NU

[2] εως **f**[35] **𝔓**[45] A,C,D,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ 1 του **𝔓**[75]B [1.5%] NU ¦ 1 ο **א**

[3] αδου *rell* ¦ αιδου HF

[4] καταβιβασθηση **f**[35] **𝔓**[45]**א**A,C,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ καταβηση **𝔓**[75]B,D [0.5%] NU

[5] οι εβδομηκοντα μετα χαρας **f**[35] **א**C,N,W [97%] CP,HF,RP,TR,OC ¦ ~ 3412 A [2%] ¦ 12 δυο 34 **𝔓**[45,75]B,D [1%] [NU]

[6] διδωμι **f**[35] **𝔓**[45]A,D,N [97.5%] CP,HF,RP,TR,OC ¦ δεδωκα **𝔓**[75]**א**B,C,W [2.5%] NU

[7] αδικηση *rell* ¦ αδικησει **א**A,D,W [20%]

[8] δε *rell* ¦ 1 μαλλον [3%] TR

[9] εγραφη **f**[35] **𝔓**[45v]A,C,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ εγγεγραπται **𝔓**[75]**א**B [1%] NU ¦ three other variants

[10] τω πνευματι ο ιησους **f**[35] A,W (92.7%) CP,HF,RP,TR,OC ¦ εν 1234 (0.2%) ¦ ~ 34 εν 12 (N) (2.4%) ¦ 12 (0.6%) ¦ 34 (0.5%) ¦ εν 12 **𝔓**[45v] (0.1%) ¦ 121 αγιω 34 C (2.8%) ¦ 121 αγιω **𝔓**[75] B ¦ εν 121 αγιω **א**D (0.2%) [NU] ¦ three other readings (0.3%)

[11] εγενετο ευδοκια **f**[35] **א**A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[45v,75]B,C [1%] NU

[12] και στραφεις προς τους μαθητας ειπεν **f**[35] A,C,N,W (77.7%) CP,HF,RP,TR,OC ¦ 12345 αυτου 6 (11.7%) ¦ --- **𝔓**[45,75]**א**B,D (9.4%) NU ¦ longer omissions (1.2%) (The TR underlying the AV and NKJV omits the clause.)

[13] μοι παρεδοθη **f**[35] **𝔓**[75]**א**A,B,C,D,N,W [95%] CP,HF,RP,OC,NU ¦ ~ 21 [1%] TR ¦ 1 παρεδωθη [3%] ¦ 1 παραδεδοται [1%]

[14] γινωσκει *rell* ¦ επιγινωσκει C [8%] OC

[15] ειδον *rell* ¦ ειδαν B [0.2%] NU ¦ ιδαν **𝔓**[75]**א**C,N [0.5%] ¦ ιδον [6%]

[16] και **f**[35] A,C,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B [0.5%] NU

[17] της **f**[35] **א**A,C,N,W [98.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[75]B [1.5%] ¦ τη (D)

[18] εξ ολης της ψυχης **f**[35] A,C,N,W [99%] CP,HF,RP,TR,OC ¦ εν ολη τη ψυχη **𝔓**[45v,75]**א**B,D [1%] NU

[19] εξ ολης της ισχυος **f**[35] A,C,N,W [99%] CP,HF,RP,TR,OC ¦ εν ολη τη ισχυι **𝔓**[75]**א**B,D [1%] NU

[20] εξ ολης της διανοιας **f**[35] A,C,N,W [99%] CP,HF,RP,TR,OC ¦ εν ολη τη διανοια **𝔓**[75]**א**B [1%] NU ¦ --- D

[21] σεαυτον *rell* ¦ εαυτον A,N [20%] OC

[22] δικαιουν **f**[35] A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ δικαιωσαι **𝔓**[45v,75]**א**B,C(D) [1.5%] NU

The good Samaritan

30 Ὑπολαβὼν δὲ[1] ὁ Ἰησοῦς εἶπεν· «Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἰερουσαλὴμ εἰς Ἰεριχώ, καὶ λῃσταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες[2] αὐτὸν καὶ πληγὰς ἐπιθέντες ἀπῆλθον, ἀφέντες ἡμιθανῆ τυγχάνοντα.[3] **31** Κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν. **32** Ὁμοίως δὲ καὶ Λευίτης, γενόμενος[4] κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν[5] ἀντιπαρῆλθεν. **33** Σαμαρείτης[6] δέ τις, ὁδεύων, ἦλθεν κατ᾽ αὐτόν, καὶ ἰδὼν αὐτὸν[7] ἐσπλαγχνίσθη· **34** καὶ προσελθὼν κατέδησεν τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον· ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν[8] εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ. **35** Καὶ ἐπὶ τὴν αὔριον ἐξελθών,[9] ἐκβαλὼν δύο δηνάρια, ἔδωκεν[10] τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ,[11] ‹Ἐπιμελήθητι αὐτοῦ· καὶ ὅ τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι.› **36** Τίς οὖν[12] τούτων τῶν τριῶν πλησίον, δοκεῖ σοι,[13] γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς;» **37** Ὁ δὲ εἶπεν, «Ὁ ποιήσας τὸ ἔλεος μετ᾽ αὐτοῦ.» Εἶπεν οὖν[14] αὐτῷ ὁ Ἰησοῦς, «Πορεύου καὶ σὺ ποίει ὁμοίως.»

Martha and Mary

38 Ἐγένετο δὲ ἐν[15] τῷ πορεύεσθαι αὐτούς, καὶ[16] αὐτὸς εἰσῆλθεν εἰς κώμην τινά. Γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς.[17] **39** Καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία,[18] ἣ[19] καὶ παρακαθίσασα[20] παρὰ[21] τοὺς πόδας τοῦ Ἰησοῦ[22] ἤκουεν τῶν λόγων[23] αὐτοῦ. **40** Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν· ἐπιστᾶσα δὲ εἶπεν· «Κύριε, οὐ μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπεν[24] διακονεῖν; Εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναντιλάβηται.» **41** Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῇ·[25] «Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ[26] περὶ πολλά, **42** ἑνὸς δέ ἐστιν χρεία. Μαρία[27] δὲ[28] τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ᾽[29] αὐτῆς.»

---

[1] δε **f**[35] A,D,N,W [99.7%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א**B**,C,NU

[2] εκδυσαντες *rell* ¦ εξεδυσαν [30%]

[3] τυγχανοντα **f**[35] A(C)N,W [97.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]א**B**,D [2.5%] NU

[4] γενομενος **f**[35] **𝔓**[45]A,C,D,N,W [97.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[75]B [2.5%] (Aleph omits the whole verse.)

[5] ιδων *rell* ¦ 1 αυτον A,D [15%]

[6] σαμαρειτης *rell* ¦ σαμαριτης א**C**,D,W [3.5%] ¦ σαμαρειτις [13%] ¦ two other variants N [0.5%]

[7] αυτον **f**[35] A,C,D,N,W [98%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]א**B** [2%] NU

[8] αυτον *rell* ¦ --- [6%] CP

[9] εξελθων **f**[35] A(C)W [96.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]א**B**,D [3.5%] NU

[10] δυο δηναρια εδωκεν **f**[35] א**A**,C [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 312 **𝔓**[45,75]**B**,NU ¦ ~ 213 D

[11] αυτω **f**[35] א**A**,C,W [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]**B**,D [3%] NU

[12] ουν **f**[35] A,C(D)W [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]א**B** [1.5%] NU

[13] πλησιον δοκει σοι **f**[35] **𝔓**[75]א**A**,B,C,W [94%] CP,HF,RP,OC,NU ¦ ~ 231 **𝔓**[45]D [6%] TR

[14] ουν **f**[35] A,W [91%] CP,HF,RP,TR,OC ¦ δε **𝔓**[45,75]א**B**,C,D [9%] NU

[15] εγενετο δε εν **f**[35] A,C,D,W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 32 **𝔓**[45,75]א**B** [1.5%] NU

[16] και **f**[35] A,C,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[(45)75]א**B**(D) [1%] NU

[17] εις τον οικον αυτης **f**[35] A,D,W (99.2%) CP,HF,RP,TR,OC ¦ 1 την οικιαν א**C** (0.4%) ¦ --- **𝔓**[45,75]**B**,NU ¦ three other variants (0.2%)

[18] μαρια **f**[35] **𝔓**[45]A,B,D [98.5%] CP,HF,RP,TR,OC ¦ μαριαμ **𝔓**[75]א**C**,W [1.5%] NU

[19] η **f**[35] A,B,C,D,W [99.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[45,75]א [0.5%]

[20] παρακαθισασα **f**[35] **𝔓**[45]D(W) [73%] CP,HF,RP,TR,OC ¦ παρακαθησασα [26.5%] ¦ παρακαθεσθεισα **𝔓**[75](א)A,B,C [0.5%] NU

[21] παρα **f**[35] **𝔓**[45]A,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ προς **𝔓**[75]א**B**,C [0.5%] NU

[22] ιησου **f**[35] **𝔓**[45,75]A,W [99%] CP,HF,RP,TR,OC ¦ κυριου א**B**,C,D [1%] NU

[23] των λογων **f**[35] [37%] CP ¦ τον λογον **𝔓**[45,75]א**A**,B,C(D)W [63%] HF,RP,TR,OC,NU

[24] κατελιπεν **f**[35] **𝔓**[45,75]א(D) [70%] CP,TR,OC,NU ¦ κατελειπεν A,B,C [30%] HF,RP ¦ ενκατελιψεν W

[25] ο ιησους ειπεν αυτη **f**[35] D [40%] CP ¦ ~ 3412 AC,W [59%] HF,RP,TR,OC ¦ ~ 341 κυριος **𝔓**[75]א**B** [1%] NU ¦ 1 κυριος 34 **𝔓**[45]

[26] τυρβαζη **f**[35] A [89%] CP,HF,RP,TR,OC ¦ τυρβαζει [10%] ¦ θορυβαζη **𝔓**[45,75]א**B**,C(D)W [1%] NU

[27] μαρια **f**[35] א**A**,C,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ μαριαμ **𝔓**[75]**B** [0.5%] NU

[28] δε **f**[35] A,C,W [94%] CP,HF,RP,TR,OC ¦ γαρ **𝔓**[75]א**B** [6%] NU ¦ --- D

[29] απ **f**[35] **𝔓**[75]A,C,W [99.6%] CP,HF,RP,TR,OC ¦ --- א**B**,D [0.4%] NU

A model prayer

11:1 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύσατο εἶπέν τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν, «Κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς καὶ Ἰωάννης ἐδίδαξεν τοὺς μαθητὰς αὐτοῦ.» **2** Εἶπεν δὲ αὐτοῖς· «Ὅταν προσεύχησθε[1] λέγετε· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,[2] ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ[3] καὶ ἐπὶ τῆς γῆς.[4] **3** Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν τὸ καθ᾽ ἡμέραν· **4** καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ γὰρ αὐτοὶ ἀφίεμεν[5] παντὶ[6] ὀφείλοντι ἡμῖν. Καί, μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.»[7]

A request at midnight

5 Καὶ εἶπεν πρὸς αὐτούς· «Τίς ἐξ ὑμῶν ἕξει φίλον καὶ πορεύσεται πρὸς αὐτὸν μεσονυκτίου καὶ εἴπῃ[8] αὐτῷ, ‹Φίλε, χρῆσόν μοι τρεῖς ἄρτους, **6** ἐπειδὴ φίλος[9] παρεγένετο ἐξ ὁδοῦ πρός με, καὶ οὐκ ἔχω ὃ παραθήσω αὐτῷ›· **7** κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ, ‹Μή μοι κόπους πάρεχε· ἤδη ἡ θύρα κέκλεισται, καὶ τὰ παιδία μου μετ᾽ ἐμοῦ εἰς τὴν κοίτην εἰσίν· οὐ δύναμαι ἀναστὰς δοῦναί σοι›; **8** Λέγω ὑμῖν, εἰ καὶ οὐ δώσει αὐτῷ ἀναστὰς διὰ τὸ εἶναι αὐτοῦ φίλον,[10] διά γε τὴν ἀναίδειαν αὐτοῦ ἐγερθεὶς δώσει αὐτῷ ὅσον[11] χρήζει.

9 »Κἀγὼ ὑμῖν λέγω· αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται[12] ὑμῖν. **10** Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται.[13] **11** Τίνα δὲ[14] ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει[15] αὐτῷ;[16] Ἢ καὶ[17] ἰχθύν, μὴ[18] ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ;[19] **12** Ἢ καὶ ἐὰν[20] αἰτήσῃ[21] ᾠόν, μὴ[22] ἐπιδώσει αὐτῷ σκορπίον; **13** Εἰ οὖν ὑμεῖς, πονηροὶ ὑπάρχοντες,[23,24] οἴδατε δόματα ἀγαθὰ[25] διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὁ ἐξ οὐρανοῦ[26] δώσει πνεῦμα ἅγιον[27] τοῖς αἰτοῦσιν αὐτόν.»

---

[1] προσευχησθε *rell* ¦ προσευχεσθε 𝔓[75]A [10%] ¦ προσευχεσθαι C,W [5%]

[2] ημων ο εν τοις ουρανοις **f**[35] A,C,D,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]אB [1%] NU

[3] γενηθητω το θελημα σου ως εν ουνανω **f**[35] אA,C,D,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]B [1%] NU

[4] και επι της γης **f**[35] [92%] CP,HF,RP,TR,OC ¦ 124 (א)A,C,D,W [7%] ¦ --- 𝔓[75]B [1%] NU

[5] αφιεμεν **f**[35] א [74%] CP,HF,RP,TR,OC ¦ αφιομεν 𝔓[75]A,C [21%] NU ¦ αφειομεν B,D,W [0.5%] ¦ αφιωμεν [4%] ¦ four other variants

[6] παντι *rell* ¦ 1 τω [8%] OC

[7] αλλα ρυσαι ημας απο του πονηρου **f**[35] A,C,D,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]אB [1%] NU

[8] ειπη *rell* ¦ ερει A,D,W [22%] OC

[9] φιλος **f**[35] C [70%] CP,HF,RP ¦ 1 μου 𝔓[75]אA,B,W [30%] TR,OC,NU ¦ μοι D

[10] αυτου φιλον **f**[35] [92.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓[45,75]אB,C [2.5%] NU ¦ 1 φιλος W [1%] ¦ αυτον 2 A,D [4%]

[11] οσον **f**[35] (D) [87%] CP,HF,RP ¦ οσων 𝔓[45,75]אA,B,C,W [13%] TR,OC,NU

[12] ανοιγησεται **f**[35] 𝔓[75]אA,B,C [60%] CP,HF,RP,TR,OC,NU ¦ ανοιχθησεται D,W [40%]

[13] ανοιγησεται **f**[35] C [50%] CP,HF,RP,TR[NU] [ανυγησεται (א)𝔓[45]] ¦ ανοιχθησεται A(W) [50%] OC ¦ ανοιγεται 𝔓[75]B,D

[14] δε **f**[35] [78%] CP,HF,RP,TR ¦ 1 εξ 𝔓[(45)75]אA,B,C,D,W [22%] OC,NU

[15] επιδωσει *rell* ¦ δωσει CP

[16] αρτον μη λιθον επιδωσει αυτω **f**[35] אA,C(D)W [99.8%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[45,75]B [0.2%] NU

[17] η και **f**[35] A(C)D,W [88%] CP,HF,RP,OC ¦ ει 2 [10%] TR ¦ 1 א [2%] ¦ --- 𝔓[45,75]B [0.2%] NU

[18] μη **f**[35] אA,C,D,W [99.8%] CP,HF,RP,TR,OC ¦ και 𝔓[45,75]B,NU

[19] επιδωσει αυτω **f**[35] 𝔓[45]אA,C,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓[75]B,D [0.5%] NU

[20] εαν **f**[35] 𝔓[45](C)(D) [92.5%] CP,HF,RP,TR,OC ¦ αν A,W [6%] ¦ --- 𝔓[75]אB [1.5%] NU

[21] αιτηση **f**[35] (𝔓[45])W [90%] CP,HF,RP,TR,OC ¦ αιτησει 𝔓[75]אA,B(C)(D) [10%] NU

[22] μη **f**[35] אA(C)(D)W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[45,75]B [1%] NU

[23] υπαρχοντες *rell* ¦ οντες אD [15%]

[24] πονηροι υπαρχοντες *rell* ¦ ~ 21 OC

[25] δοματα αγαθα **f**[35] 𝔓[75]אA,B,C,D,W [97%] HF,RP,OC,NU ¦ ~ 21 𝔓[45] [3%] CP,TR

[26] ο εξ ουρανου **f**[35] A,B(C)D,W [98%] CP,HF,RP,TR,OC[NU] ¦ 23 𝔓[75]א [2%] ¦ 1 ουρανιος 𝔓[45]

[27] αγιον *rell* ¦ αγαθον 𝔓[45] [1.5%] OC [Instead of "a holy spirit", all versions that I have seen have 'the Holy Spirit', but the Text does not have the definite article. Do you know anyone who received the third Person of the Trinity just because he asked? That difficulty may have given rise to the variant. I suppose that 'a holy spirit' expresses itself as a desire to be holy, something that the Father will be happy to give. In Luke 9:54-55 James and John

A divided house

14 Καὶ ἦν ἐκβάλλων δαιμόνιον, καὶ αὐτὸ ἦν[1] κωφόν. Ἐγένετο δέ, τοῦ δαιμονίου ἐξελθόντος, ἐλάλησεν ὁ κωφός· καὶ ἐθαύμασαν[2] οἱ ὄχλοι. **15** Τινὲς δὲ ἐξ αὐτῶν εἶπον, «Ἐν Βεελζεβούλ,[3] ἄρχοντι τῶν δαιμονίων, ἐκβάλλει τὰ δαιμόνια.»[4] **16** Ἕτεροι δὲ πειράζοντες, σημεῖον παρ᾽ αὐτοῦ ἐζήτουν ἐξ οὐρανοῦ.[5]

17 Αὐτὸς δέ, εἰδὼς αὐτῶν τὰ διανοήματα,[6] εἶπεν αὐτοῖς· «Πᾶσα βασιλεία ἐφ᾽ ἑαυτὴν διαμερισθεῖσα[7] ἐρημοῦται, καὶ οἶκος ἐπὶ[8] οἶκον πίπτει. **18** Εἰ δὲ καὶ ὁ Σατανᾶς ἐφ᾽ ἑαυτὸν διεμερίσθη,[9] πῶς σταθήσεται ἡ βασιλεία αὐτοῦ;—ὅτι λέγετε ἐν Βεελζεβοὺλ ἐκβάλλειν με[10] τὰ δαιμόνια. **19** Εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσιν;[11] Διὰ τοῦτο κριταὶ αὐτοὶ ὑμῶν ἔσονται.[12] **20** Εἰ δὲ ἐν δακτύλῳ Θεοῦ[13] ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

21 »Ὅταν ὁ ἰσχυρός, καθωπλισμένος, φυλάσσῃ[14] τὴν ἑαυτοῦ αὐλήν, ἐν εἰρήνῃ ἐστὶν τὰ ὑπάρχοντα αὐτοῦ. **22** Ἐπὰν δὲ ὁ[15] ἰσχυρότερος αὐτοῦ ἐπελθών, νικήσῃ[16] αὐτόν, τὴν πανοπλίαν αὐτοῦ αἴρει ἐφ᾽ ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ διαδίδωσιν.

23 »Ὁ μὴ ὢν μετ᾽ ἐμοῦ κατ᾽ ἐμοῦ ἐστιν, καὶ ὁ μὴ συνάγων μετ᾽ ἐμοῦ σκορπίζει.

An empty house

24 »Ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι᾽ ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν· καὶ μὴ εὑρίσκον[17] λέγει, ‹Ὑποστρέψω εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον.› **25** Καὶ ἐλθὸν[18] εὑρίσκει σεσαρωμένον καὶ κεκοσμημένον. **26** Τότε πορεύεται καὶ παραλαμβάνει ἑπτὰ ἕτερα πνεύματα, πονηρότερα ἑαυτοῦ,[19] καὶ ἐλθόντα[20] κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων.»

---

manifested a spirit of punishment; they wanted to punish the Samaritans. In Matthew 5:3 to be ‘poor in spirit’ is to have an attitude of humility. In 2 Timothy 1:7 Paul refers to spirits of fear, power, love and self-control. A spirit of self-control wants to practice self-control; a spirit of love wants to show love; a spirit of power wants to manifest power; the fear comes from the enemy. In the immediate context, as well as the larger context of the Bible, my translation seems to me to be the more probable. In John 1:33 the Father affirms that it is the Son who baptizes with the Holy Spirit. Jesus does that when you believe into Him.]

[1] και ουτο ην **f**[35] C,W (93.9%) CP,HF,RP,TR,OC[NU] ¦ 1 αυτω 3 (3.9%) ¦ 1 αυτον 3 (0.2%) ¦ --- **𝔓**[45,75]א A,B (1.6%) ¦ six other variants D (0.4%)

[2] εθαυμασαν *rell* ¦ εθαυμαζον [1%] OC

[3] βεελζεβουλ **f**[35] D,N [82%] CP,HF,RP,TR ¦ 1 τω **𝔓**[45,75]אB,C,W [18%] OC,NU ¦ 1 των A

[4] δαιμονια *rell* ¦ 1 ο δε (και 9%) αποκριθεις ειπεν (−1234 3%) πως δυναται σατανας σαταναν εκβαλλειν (εκβαλειν D 1%) A(D) [22%]

[5] παρ αυτου εζητουν (επεζητουν 4%) εξ ουρανου **f**[35] N,W [96%] CP,HF,RP,TR,OC ¦ ~ 45312 **𝔓**[45,75]אA,B,C,D [2.5%] NU ¦ at least eight further variants [1.5%]

[6] αυτων τα διανοηματα **f**[35] **𝔓**[75]אB,C,D,N,W [92%] HF,RP,TR,OC,NU ¦ ~ 231 **𝔓**[45]A [8%] CP

[7] διαμερισθεισα **f**[35] **𝔓**[75](אA)B(D) [80%] HF,RP,TR,OC,NU ¦ μερισθεισα (**𝔓**[45])C,N,W [20%] CP

[8] επι *rell* ¦ επ C,D [17%]

[9] διεμερισθη **f**[35] **𝔓**[75]A,B,D,N [81%] HF,RP,TR,OC,NU ¦ εμερισθη **𝔓**[45]אC,W [19%] CP

[10] εκβαλλειν με *rell* ¦ ~ 21 OC

[11] εκβαλλουσιν *rell* ¦ εκβαλουσιν N,W [17%] OC ¦ εκβαλλωσιν [3.5%]

[12] κριται αυτοι υμων εσονται **f**[35] [18%] ¦ ~ 2134 A,C,W [30%] OC ¦ ~ 1324 [52%] CP,HF,RP,TR ¦ ~ 2314 **𝔓**[75]B,D,NU ¦ ~ 2143 א ¦ ~ 2341 N ¦ ~ 2431 **𝔓**[45]

[13] θεου **f**[35] **𝔓**[45]אA,W [94%] CP,HF,RP,TR,OC ¦ 1 εγω **𝔓**[75]B,C(D,N) [6%] [NU]

[14] φυλασση *rell* ¦ φυλασσει D [20%]

[15] ο **f**[35] A,C,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]אB,D [1.5%] NU

[16] νικηση *rell* ¦ νικησει W [18%]

[17] ευρισκον **f**[35] אA,C,D(W) [70%] HF,RP,TR,OC ¦ ευρισκων **𝔓**[45] [27%] CP ¦ 1 τοτε **𝔓**[75]B [3%] [NU]

[18] ελθον **f**[35] **𝔓**[75]אA,B,W [62%] HF,RP,TR,OC,NU ¦ ελθων **𝔓**[45]C,D [38%] CP

[19] επτα ετερα πνευματα πονηροτερα εαυτου **f**[35] A,C(D)W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 23451 **𝔓**[75]אB [1.5%] NU

[20] ελθοντα **f**[35] [70%] HF,RP ¦ εισελθοντα **𝔓**[75]אA,B,C,D,W [30%] CP,TR,OC,NU

True blessedness

27 Ἐγένετο δέ,[1] ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν[2] ἐκ τοῦ ὄχλου εἶπεν αὐτῷ, «Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας.» **28** Αὐτὸς δὲ εἶπεν, «Μενοῦν γε,[3] μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ καὶ φυλάσσοντες αὐτόν.»[4]

Jonah is a sign

29 Τῶν δὲ ὄχλων ἐπαθροιζομένων, ἤρξατο λέγειν· «Ἡ γενεὰ αὕτη[5] πονηρά ἐστιν. Σημεῖον ἐπιζητεῖ,[6] καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου.[7] **30** Καθὼς γὰρ ἐγένετο Ἰωνᾶς σημεῖον τοῖς Νινευΐταις,[8] οὕτως ἔσται καὶ ὁ Υἱὸς τοῦ Ἀνθρώπου τῇ γενεᾷ ταύτῃ.[9] **31** Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτούς, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος,[10] καὶ ἰδού, πλεῖον Σολομῶνος[11] ὧδε. **32** Ἄνδρες Νινευῖ[12] ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, καὶ ἰδού, πλεῖον Ἰωνᾶ ὧδε.

Light inside the body

33 »Οὐδεὶς δὲ[13] λύχνον ἅψας, εἰς κρυπτὴν[14] τίθησιν οὐδὲ ὑπὸ τὸν μόδιον,[15] ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, ἵνα οἱ εἰσπορευόμενοι τὸ φέγγος[16] βλέπωσιν. **34** Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός.[17] Ὅταν οὖν[18] ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ,[19] ὅλον τὸ σῶμά σου φωτεινόν[20] ἐστιν.[21] Ἐπὰν δὲ πονηρὸς ᾖ, καὶ τὸ σῶμά σου σκοτεινόν.[22] **35** Σκόπει οὖν μὴ τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστίν. **36** Εἰ οὖν τὸ σῶμά σου ὅλον φωτεινόν, μὴ ἔχον τι μέρος[23] σκοτεινόν, ἔσται φωτεινὸν ὅλον, ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε.»

Jesus derides scribes and Pharisees

37 Ἐν δὲ τῷ λαλῆσαι,[24] ἠρώτα[25] αὐτὸν Φαρισαῖός τις[26] ὅπως ἀριστήσῃ παρ᾽ αὐτῷ. Εἰσελθὼν δὲ ἀνέπεσεν. **38** Ὁ δὲ Φαρισαῖος, ἰδών, ἐθαύμασεν ὅτι οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου.

---

[1] εγενετο δε *rell* ¦ ~ και 1 CP
[2] γυνη φωνην **f**[35] A,C(D)W [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75]א**B** [0.3%] NU
[3] γε **f**[35] C,D [95%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א**A,B,W** [5%] NU
[4] αυτον **f**[35] [82%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**A,B,C,D,W** [18%] NU ¦ τον λογον του θεου א
[5] αυτη **f**[35] C,W [93.5%] CP,HF,RP,TR ¦ 1 γενεα **𝔓**[75]א**A,B,D** [6.5%] OC,NU
[6] επιζητει **f**[35] C,D,W [95%] CP,HF,RP,TR ¦ ζητει **𝔓**[45v,75]א**A,B** [5%] OC,NU
[7] του προφητου **f**[35] A,C,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]א**B,D** [1%] NU
[8] σημειον τοις νινευιταις **f**[35] (**𝔓**[45v])**A(D)(W)** [86%] CP,HF,RP,TR,OC ¦ 12 νηνευιταις [12%] ¦ ~ 231 C [1.5%] NU ¦ ~ 2 νινευειταις 1 **𝔓**[75]א**B**
[9] ταυτη *rell* ¦ 1 σημειον [1.5%] OC
[10] σολομωνος **f**[35] **𝔓**[45,75]א**A,B,D** [72%] CP,HF,RP,NU ¦ σολομονος [8%] ¦ σολομωντος C,W [19%] TR,OC ¦ five other spellings [1%]
[11] σολομωνος **f**[35] **𝔓**[45,75]א**A,B,D,W** [70%] CP,HF,RP,NU ¦ σολομονος [10%] ¦ σολομωντος C [20%] TR,OC ¦ three other spellings [0.5%]
[12] νινευι **f**[35] [32%] CP,RP,TR,OC ¦ νινευη [16%] HF ¦ νηνευι [2%] ¦ νινευιται A,C [35%] NU ¦ νηνευιται [6%] ¦ νινευηται [3.5%] ¦ νινευειται **𝔓**[45,75]א**B,W** ¦ seven other spellings [5%] (D omits verse)
[13] δε **f**[35] A,W [88%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]א**B,C,D** [12%] NU
[14] κρυπτην **f**[35] **𝔓**[75]א**A,B,C,D,W** [85%] CP,HF,RP,OC,NU ¦ κρυπτον **𝔓**[45] [15%] TR
[15] ουδε υπο τον μοδιον **f**[35] א**A,B,C,D,W** [97.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[45,75] [2.5%]
[16] φεγγος **f**[35] **𝔓**[45]**A,W** [90%] CP,HF,RP,TR,OC ¦ φως **𝔓**[75]א**B,C,D** [10%] NU
[17] οφθαλμος **f**[35] [98%] CP,HF,RP,TR,OC ¦ 1 σου **𝔓**[45,75]א**A,B,C,D,W** [2%] NU
[18] ουν **f**[35] A,C [94%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]א**B,D,W** [6%] NU
[19] η **f**[35] C,D [35%] CP ¦ 1 και **𝔓**[45,75]א**A,B,W** [65%] HF,RP,TR,OC,NU
[20] φωτεινον *rell* ¦ φωτινον **𝔓**[75]א**A,C,D,W** [18%]
[21] εστιν *rell* ¦ εσται **𝔓**[45] [15%]
[22] σκοτεινον *rell* ¦ 1 εστιν D [4.5%] ¦ 1 εσται **𝔓**[45] [24%]
[23] τι μερος **f**[35] א [81%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75]**A,B,W** [17%] NU ¦ 2 C [1.5%] ¦ ~ μελος 1 **𝔓**[45] (D omits verse)
[24] λαλησαι *rell* ¦ 1 αυτον ταυτα [6.5%] OC ¦ 1 αυτον A [1%]
[25] ηρωτα **f**[35] **𝔓**[45]C [93%] CP,HF,RP,TR,OC ¦ ερωτα **𝔓**[75]א**A,B,W** [7%] NU ¦ --- D
[26] τις **f**[35] A,C(D)W [98%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]א**B** [2%] NU

39 Εἶπεν δὲ ὁ Κύριος πρὸς αὐτόν· «Νῦν ὑμεῖς οἱ Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε, τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας. **40** Ἄφρονες, οὐχ ὁ ποιήσας τὸ ἔξωθεν καὶ τὸ ἔσωθεν ἐποίησεν; **41** Πλήν, τὰ ἐνόντα δότε ἐλεημοσύνην· καὶ ἰδού, πάντα[1] καθαρὰ ὑμῖν ἐστιν.[2]

42 »Ἀλλ'[3] οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ πήγανον καὶ πᾶν λάχανον, καὶ παρέρχεσθε τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ. Ταῦτα[4] ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι.[5] **43** Οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς. **44** Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί,[6] ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα, καὶ οἱ ἄνθρωποι[7] περιπατοῦντες ἐπάνω οὐκ οἴδασιν.»

Jesus derides lawyers

45 Ἀποκριθεὶς δέ τις τῶν νομικῶν λέγει αὐτῷ, «Διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις.» **46** Ὁ δὲ εἶπεν· «Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαί, ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα, καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς φορτίοις. **47** Οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προφητῶν, οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς. **48** Ἄρα μαρτυρεῖτε[8] καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν· ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτούς, ὑμεῖς δὲ οἰκοδομεῖτε αὐτῶν τὰ μνημεῖα.[9] **49** Διὰ τοῦτο καὶ ‹ἡ σοφία τοῦ Θεοῦ› εἶπεν· ‹Ἀποστελῶ εἰς αὐτοὺς προφήτας καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν ἀποκτενοῦσιν καὶ ἐκδιώξουσιν,›[10] **50** ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν τὸ ἐκχυνόμενον[11] ἀπὸ καταβολῆς κόσμου ἀπὸ τῆς γενεᾶς ταύτης, **51** ἀπὸ τοῦ[12] αἵματος Ἄβελ[13] ἕως τοῦ[14] αἵματος Ζαχαρίου, τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου. Ναί, λέγω ὑμῖν, ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης. **52** Οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως· αὐτοὶ οὐκ εἰσήλθετε,[15] καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε.»

53 Λέγοντος δὲ αὐτοῦ ταῦτα πρὸς αὐτούς,[16] ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι δεινῶς συνέχειν[17] καὶ ἀποστοματίζειν[18] αὐτὸν περὶ πλειόνων, **54** ἐνεδρεύοντες αὐτόν, ζητοῦντες[19] θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ, ἵνα κατηγορήσωσιν αὐτοῦ.[20]

Beware of hypocrisy

12:1 Ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου, ὥστε[21] καταπατεῖν ἀλλήλους, ἤρξατο

---

[1] παντα *rell* ¦ απαντα 𝔓[75] [3%] OC
[2] εστιν *rell* ¦ εσται 𝔓[45] [7.5%] OC
[3] αλλ **f**[35] A,C [65%] CP,HF,RP,TR,OC ¦ αλλα 𝔓[45,75]א B,D,W [35%] NU
[4] ταυτα **f**[35] אA(D)W [85%] CP,HF,RP,TR ¦ 1 δε 𝔓[45,75]B,C [15%] OC,NU
[5] αφιεναι **f**[35] C,W [97%] CP,HF,RP,TR,OC ¦ αφειναι 𝔓[45]א [1.5%] ¦ παρειναι 𝔓[75]B [1%] NU ¦ παραφιεναι A ¦ --- (D)
[6] γραμματεις και φαρισαιοι υποκριται **f**[35] A,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[45,75]אB,C [1%] NU ¦ 123 D
[7] ανθρωποι **f**[35] 𝔓[75]A(D)W [95%] CP,HF,RP,OC ¦ 1 οι אB,C [5%] TR[NU]
[8] μαρτυρειτε **f**[35] 𝔓[75]A,C,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ μαρτυρες εστε אB [0.5%] NU
[9] αυτων τα μνημεια **f**[35] A,C,W (96.4%) CP,HF,RP,TR,OC ¦ 12 μνηματα (0.3%) ¦ ~ 231 (1%) ¦ ~ 213 (0.3%) ¦ ~ τους ταφους 1 (1.1%) ¦ --- 𝔓[75]אB,D (0.6%) NU ¦ two other variants (0.2%)
[10] εκδιωξουσιν **f**[35] A,D,W [87%] CP,HF,RP,TR,OC ¦ διωξουσιν 𝔓[75]אB,C [13%] NU
[11] εκχυνομενον **f**[35] 𝔓[75] [94%] CP,HF,RP,TR,OC ¦ εκχυννομενον אA,C,D,W [5%] ¦ εκκεχυμενον 𝔓[45v]B [1%] NU
[12] του **f**[35] A,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[45,75]אB,C,D [1%] NU
[13] αβελ *rell* ¦ 1 του δικαιου [22%]
[14] του **f**[35] A,C,W [97.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]אB,D [2.5%] NU
[15] εισηλθετε **f**[35] [92%] CP,HF,RP,TR,OC ¦ εισηλθατε 𝔓[45,75]אA,B,C,D,W [8%] NU
[16] λεγοντος δε αυτου ταυτα προς αυτους **f**[35] A(D)W [98%] CP,HF,RP,TR ¦ ~ 123564 [1%] OC ¦ κακειθεν εξελθοντος (εξελθοντες 𝔓[75]) αυτου 𝔓[45v(75)]אB,C [1%] NU
[17] συνεχειν **f**[35] [26%] CP ¦ ενεχειν 𝔓[75]אA,B,W [70%] HF,RP,TR,OC,NU ¦ εχειν 𝔓[45]D [2.5%] ¦ επεχειν C ¦ --- [1%]
[18] αποστοματιζειν *rell* ¦ αποστομιζειν [15%]
[19] αυτον ζητουντες **f**[35] A,C,W [90%] CP,HF,RP,OC ¦ αυτω 2 [3%] ¦ 1 και 2 [6%] TR ¦ 1 𝔓[45,75]B [1%] NU ¦ 2 (D) ¦ --- א
[20] ινα κατηγορησωσιν αυτου **f**[35] C [96.5%] CP,HF,RP,TR,OC ¦ 1 κατηγορησουσιν 3 A,W [2%] ¦ 1 ευρωσιν κατηγορησαι 3 D ¦ --- 𝔓[45,75]אB [1.5%] NU
[21] ωστε *rell* ¦ ως [1%] OC

λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ πρῶτον· «Προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, ἥτις ἐστὶν ὑπόκρισις.[1] **2** Οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται. **3** Ἀνθ᾽ ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε ἐν τῷ φωτὶ ἀκουσθήσεται, καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμείοις[2] κηρυχθήσεται ἐπὶ τῶν δωμάτων.

Don't fear assassins

4 »Λέγω δὲ ὑμῖν, τοῖς φίλοις μου· μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων[3] τὸ σῶμα καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν[4] τι ποιῆσαι. **5** Ὑποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε—φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι ἐξουσίαν ἔχοντα[5] ἐμβαλεῖν εἰς τὴν Γέενναν· ναί, λέγω ὑμῖν, τοῦτον φοβήθητε. **6** Οὐχὶ πέντε στρουθία πωλεῖται[6] ἀσσαρίων δύο; Καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ Θεοῦ. **7** Ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται. Μὴ οὖν[7] φοβεῖσθε· πολλῶν[8] στρουθίων διαφέρετε.[9]

You confess Christ, He'll confess you!

8 »Λέγω δὲ ὑμῖν, πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ Ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ[10] ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ. **9** Ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ. **10** Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ Ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται. **11** Ὅταν δὲ προσφέρωσιν[11] ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε[12] πῶς ἢ τί ἀπολογήσεσθε,[13] ἢ τί εἴπητε. **12** Τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.»

Beware of materialism

13 Εἶπεν δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου,[14] «Διδάσκαλε, εἰπὲ τῷ ἀδελφῷ μου μερίσασθαι μετ᾽ ἐμοῦ τὴν κληρονομίαν.»[15] **14** Ὁ δὲ εἶπεν αὐτῷ, «Ἄνθρωπε, τίς με κατέστησεν δικαστὴν ἢ μεριστὴν[16] ἐφ᾽ ὑμᾶς;» **15** Εἶπεν δὲ πρὸς αὐτούς, «Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς[17] πλεονεξίας, ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ[18] ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτοῦ.»[19]

Parable of a rich fool

16 Εἶπεν δὲ παραβολὴν πρὸς αὐτοὺς λέγων· «Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα. **17** Καὶ διελογίζετο ἐν ἑαυτῷ λέγων, ‹Τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου;›

---

[1] των φαρισαιων ητις εστιν υποκρισις **f**[35] **𝔓**[45]א A,C,D,W [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 34512 **𝔓**[75]B [0.3%] NU

[2] ταμειοις *rell* ¦ ταμιειοις [14%] CP ¦ ταμιοις א A,W [5%]

[3] αποκτενοντων **f**[35] D,W [68%] CP,HF,RP ¦ αποκτεννοντων א A [23%] OC ¦ αποκτεινοντων **𝔓**[45,75]B [9%] TR,NU

[4] περισσοτερον *rell* ¦ περισσον A,D [10%]

[5] εξουσιαν εχοντα **f**[35] **𝔓**[45] [83%] CP,HF,RP,TR ¦ ~ 21 **𝔓**[75]א A,B,D,W [17%] OC,NU

[6] πωλειται **f**[35] **𝔓**[45]D,W [94.5%] CP,HF,RP,TR,OC ¦ πωλειτε A [4%] ¦ πωλουνται **𝔓**[75]א B [1.5%] NU

[7] ουν **f**[35] א A,D,Q,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]B [1%] NU

[8] πολλω **f**[35] [15%] CP ¦ πολλων **𝔓**[45,75]א A,B(D)Q,W [85%] HF,RP,TR,OC,NU

[9] διαφερετε **f**[35] **𝔓**[45,75]א A,B,Q,W [84%] HF,RP,TR,OC,NU ¦ 1 υμεις D [16%] CP

[10] αυτω *rell* ¦ εαυτω CP

[11] προσφερωσιν **f**[35] A,Q,W [92%] CP,HF,RP,TR,OC ¦ εισφερωσιν **𝔓**[45(75)]א B [3.5%] NU ¦ προσφερουσιν [4.5%] ¦ φερωσιν D

[12] μεριμνατε **f**[35] A,W [94%] CP,HF,RP,TR,OC ¦ μεριμνησητε א B,Q [6%] NU ¦ προσμεριμνατε D ¦ μεριμνη μη μεριμνησητε **𝔓**[75]

[13] απολογησεσθε **f**[35] [35%] CP ¦ απολογησησθε **𝔓**[45v,75]א A,B,D,N,Q [63%] HF,RP,TR,OC,NU ¦ απολογησασθε [1.5%] ¦ απολογησεσθαι W

[14] αυτω εκ του οχλου **f**[35] A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 2341 **𝔓**[75]א B,Q [1%] NU

[15] μετ εμου την κληρονομιαν *rell* ¦ ~ 3412 [2%] OC

[16] δικαστην η μεριστην **f**[35] A,N,Q,W (93.7%) CP,HF,RP,TR,OC ¦ ~ 321 (1.5%) ¦ κριτην 23 **𝔓**[75]א B (2.1%) NU ¦ αρχοντα και 3 (1%) ¦ αρχοντα και 1 (0.2%) ¦ αρχοντα και 123 (0.7%) ¦ 1 (0.7%) ¦ κριτην D ¦ four other variants (0.2%)

[17] της **f**[35] [78%] CP,HF,RP,TR ¦ πασης **𝔓**[75]א A,B,D,N,Q,W [22%] OC,NU

[18] αυτου **f**[35] **𝔓**[75]א A,B,Q [60%] CP,TR,OC,NU ¦ αυτω [40%] HF,RP ¦ αυτων W ¦ --- D,N

[19] αυτου **f**[35] א A,N [88%] CP,HF,RP,TR,OC ¦ αυτω **𝔓**[75]B,D,Q [12%] NU ¦ αυτων W

18 Καὶ εἶπεν· ‹Τοῦτο ποιήσω· καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω, καὶ συνάξω ἐκεῖ πάντα τὰ γενήματά[1] μου[2] καὶ τὰ ἀγαθά μου. **19** Καὶ ἐρῶ τῇ ψυχῇ μου· Ψυχή, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά· ἀναπαύου, φάγε, πίε, εὐφραίνου.› **20** Εἶπεν δὲ αὐτῷ ὁ Θεός· ‹Ἄφρον,[3] ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται;› **21** Οὕτως ὁ θησαυρίζων ἑαυτῷ καὶ μὴ εἰς Θεὸν πλουτῶν.»[4]

The mentality of the Kingdom

22 Εἶπεν δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ·[5] «Διὰ τοῦτο λέγω ὑμῖν,[6] μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν,[7] τί φάγητε· μηδὲ τῷ σώματι,[8] τί ἐνδύσεσθε.[9] **23** Ἡ[10] ψυχὴ πλείων[11] ἐστιν τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος. **24** Κατανοήσατε τοὺς κόρακας· ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν, οἷς οὐκ ἔστιν ταμεῖον[12] οὐδὲ ἀποθήκη, καὶ ὁ Θεὸς τρέφει αὐτούς. Πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν; **25** Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ[13] πῆχυν ἕνα;[14] **26** Εἰ οὖν οὔτε[15] ἐλάχιστον δύνασθε, τί περὶ τῶν λοιπῶν μεριμνᾶτε;

27 »Κατανοήσατε τὰ κρίνα, πῶς αὐξάνει· οὐ κοπιᾷ οὐδὲ νήθει· λέγω[16] ὑμῖν,[17] οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. **28** Εἰ δὲ τὸν χόρτον ἐν τῷ ἀγρῷ σήμερον ὄντα[18] καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ Θεὸς οὕτως ἀμφιέννυσιν,[19] πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; **29** Καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε ἢ[20] τί πίητε, καὶ μὴ μετεωρίζεσθε. **30** Ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ,[21] ὑμῶν δὲ ὁ Πατὴρ οἶδεν ὅτι χρῄζετε τούτων. **31** Πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ,[22] καὶ ταῦτα πάντα[23] προστεθήσεται ὑμῖν.

32 »Μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, ὅτι εὐδόκησεν ὁ Πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν. **33** Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν καὶ δότε ἐλεημοσύνην. Ποιήσατε ἑαυτοῖς βαλάντια[24] μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς διαφθείρει. **34** Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται.

Watchfulness enjoined

35 »Ἔστωσαν ὑμῶν αἱ ὀσφύες[25] περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι, **36** καὶ ὑμεῖς ὅμοιοι

---

[1] τα γενηματα **f**[35] ℵA,D,N,Q,W [91%] CP,HF,RP,TR,OC ¦ 1 γεννηματα [7%] some TRs ¦ τον σιτον **𝔓**[75](B) [2%] NU

[2] μου **f**[35] **𝔓**[75]ℵA,D,N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ --- B [1%] NU

[3] αφρον **f**[35] [70%] CP,HF,RP,OC ¦ αφρων **𝔓**[75]ℵA,B,D,N,Q,W [30%] TR,NU

[4] πλουτων *rell* ¦ 1 ταυτα λεγων εφωνει ο εχων ωτα ακουειν ακουετω [35%]

[5] αυτου **f**[35] ℵA,D,Q,W [99.8%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[75]B [0.2%]

[6] λεγω υμιν **f**[35] **𝔓**[75]ℵB,D [28%] OC,NU ¦ ~ 21 A,Q,W [72%] CP,HF,RP,TR

[7] υμων **f**[35] **𝔓**[45](B) [94.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵA,Q,W [3.5%] NU ¦ ημων [2%]

[8] σωματι *rell* ¦ 1 υμων [8.5%] OC

[9] ενδυσεσθε **f**[35] [25%] ¦ ενδυσησθε **𝔓**[45,75]ℵA,B,D,Q [74%] CP,HF,RP,TR,OC,NU ¦ ενδυσησθαι W [1%]

[10] η **f**[35] **𝔓**[45]A,W [76%] CP,HF,RP,TR ¦ 1 γαρ **𝔓**[75]ℵB,D,Q [17%] NU ¦ ουχι 1 [7%] OC

[11] πλειων **f**[35] [23%] ¦ πλειον **𝔓**[45,75]ℵA,B,Q,W [77%] CP,HF,RP,TR,OC,NU ¦ πλεον D

[12] ταμειον *rell* ¦ ταμιειον [25%]

[13] προσθειναι (προσθηναι 38%) επι την ηλικιαν αυτου **f**[35] **𝔓**[45]ℵA,D,Q,W [99.8%] CP,HF,RP,TR,OC ¦ ~ 23451 **𝔓**[75]B [0.2%] NU

[14] ενα **f**[35] A,Q,W [99.7%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]ℵB,D,NU

[15] ουτε **f**[35] A,W [96.5%] CP,HF,RP,TR,OC ¦ ουδε **𝔓**[45,75]ℵB,Q [3.5%] NU ¦ --- (D)

[16] λεγω **f**[35] **𝔓**[45] [20%] ¦ 1 δε **𝔓**[75]ℵA,B,Q,W [80%] CP,HF,RP,TR,OC,NU

[17] υμιν *rell* ¦ 1 οτι ℵA,D [19%]

[18] τον χορτον εν τω αγρω σημερον οντα **f**[35] [68%] CP,HF,RP,TR ¦ ~ 126347 [11%] ¦ ~ 126357 A,W [8%] ¦ ~ 123576 [2%] ¦ ~ 351276 **𝔓**[75]ℵB [0.5%] NU ¦ ~ 356127 **𝔓**[45] ¦ 12 του αγρου 67 D [10%] OC ¦ several other variants

[19] αμφιεννυσιν **f**[35] ℵA,Q,W [99.5%] CP,HF,RP,TR,OC ¦ αμφιεζει **𝔓**[45,75]D [0.5%] NU ¦ αμφιαζει B

[20] η **f**[35] **𝔓**[75]A,D,W [95%] CP,HF,RP,TR ¦ και **𝔓**[45]ℵB,Q [5%] OC,NU

[21] επιζητει **f**[35] **𝔓**[45]A,N,Q [98.5%] CP,HF,RP,TR,OC ¦ επιζητουσιν **𝔓**[75]ℵB(W) [1.5%] NU ¦ ζητει D

[22] του θεου **f**[35] **𝔓**[45]A,N,Q,W [99.5%] CP,HF,RP,TR,OC ¦ αυτου ℵB,D [0.5%] NU ¦ --- **𝔓**[75]

[23] παντα **f**[35] A,D,N [72%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]ℵB,Q(W) [28%] NU

[24] βαλαντια **f**[35] [72%] CP,HF,RP,TR ¦ βαλλαντια **𝔓**[45,75]ℵA,B,D,N,Q,W [28%] OC,NU

[25] υμων αι οσφυες *rell* ¦ ~ 231 A,N,Q [16%] ¦ 1 η 3 D

ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν,[1] πότε ἀναλύσει[2] ἐκ τῶν γάμων, ἵνα ἐλθόντος καὶ κρούσαντος εὐθέως ἀνοίξωσιν αὐτῷ. **37** Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας. Ἀμὴν λέγω ὑμῖν ὅτι περιζώσεται καὶ ἀνακλινεῖ αὐτούς, καὶ παρελθὼν διακονήσει αὐτοῖς. **38** Καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ, καὶ[3] ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ, καὶ εὕρῃ οὕτως, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι.[4] **39** Τοῦτο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει[5] ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν, καὶ[6] οὐκ ἂν[7] ἀφῆκεν διορυγῆναι[8] τὸν οἶκον αὐτοῦ. **40** Καὶ ὑμεῖς οὖν[9] γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἔρχεται.»

41 Εἶπεν δὲ αὐτῷ[10] ὁ Πέτρος, «Κύριε, πρὸς ἡμᾶς τὴν παραβολὴν ταύτην λέγεις, ἢ καὶ πρὸς πάντας;» **42** Εἶπεν δὲ[11] ὁ Κύριος· «Τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ[12] φρόνιμος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι ἐν καιρῷ τὸ[13] σιτομέτριον; **43** Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως.[14] **44** Ἀληθῶς λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσιν τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. **45** Ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, ‹Χρονίζει ὁ κύριός μου ἔρχεσθαι,›[15] καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ πίνειν καὶ μεθύσκεσθαι, **46** ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτὸν καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει.

47 »Ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ,[16] καὶ μὴ ἑτοιμάσας μηδὲ[17] ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς. **48** Ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. Παντὶ δὲ ᾧ ἐδόθη πολύ, πολὺ ζητηθήσεται παρ᾽ αὐτοῦ· καὶ ᾧ παρέθεντο πολύ, περισσότερον αἰτήσουσιν αὐτόν.

Christ causes division

49 »Πῦρ ἦλθον βαλεῖν εἰς[18] τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη; **50** Βάπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως οὗ[19] τελεσθῇ. **51** Δοκεῖτε ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ; Οὐχί, λέγω ὑμῖν, ἀλλ᾽ ἢ διαμερισμόν. **52** Ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ ἑνὶ[20] διαμεμερισμένοι· τρεῖς ἐπὶ δυσὶν καὶ δύο ἐπὶ τρισίν. **53** Διαμερισθήσεται[21] πατὴρ ἐπὶ[22] υἱῷ καὶ υἱὸς ἐπὶ πατρί, μήτηρ ἐπὶ θυγατρὶ[23] καὶ θυγάτηρ ἐπὶ μητρί,[24] πενθερὰ ἐπὶ τὴν νύμφην αὐτῆς καὶ νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς.»[25]

---

[1] εαυτων *rell* ¦ αυτων D,W [10%]
[2] αναλυσει **f**[35] [87%] CP,HF,TR,OC ¦ αναλυση **𝔓**[75]א A,B,D,N,Q,W [13%] RP,NU
[3] και εαν ελθη εν τη δευτερα φυλακη και **f**[35] A,N,Q [97%] CP,HF,RP,TR,OC ¦ 1235 εσπερινη 78 D ¦ καν 456 καν **𝔓**[75]אB [1%] NU ¦ 12 W ¦ at least seven other variants
[4] οι δουλοι εκεινοι **f**[35] A,N,Q,W [99.5%] CP,HF,RP,TR,OC ¦ 3 **𝔓**[75]B,D [0.3%] NU ¦ --- א
[5] ηδει *rell* ¦ ηδη N [16%] ¦ two other variants
[6] εγρηγορησεν αν και **f**[35] A,B,N,Q,W [99.8%] CP,HF,RP,TR,OC ¦ --- [0.2%] **𝔓**[75]א(D)NU
[7] αν *rell* ¦ --- B,W [19%] CP
[8] διορυγηναι **f**[35] A,N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ διορυχθηναι **𝔓**[75]אB [1%] NU ¦ --- (D)
[9] ουν **f**[35] A,N,W (97.9%) CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אB,Q (1.6%) NU ¦ omit vs 40 (0.4%) ¦ δε D
[10] αυτω **f**[35] אA,N,Q,W [98%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]B(D) [2%] NU
[11] ειπεν δε **f**[35] A,N,Q,W [97.5%] CP,HF,RP,TR,OC ¦ ~ και 1 **𝔓**[75]אB,D [2.5%] NU
[12] και **f**[35] אA [74%] CP,HF,RP,TR,OC ¦ ο **𝔓**[75]B,D,N,Q,W [22%] NU ¦ --- [4%]
[13] το **f**[35] אA,N,Q,W [99%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[75]B,D [1%]
[14] ποιουντα ουτως *rell* ¦ ~ 21 **𝔓**[45,75]א [2.5%] OC
[15] ερχεσθαι *rell* ¦ ελθειν [16%]
[16] αυτου **f**[35] **𝔓**[45,75]אB,D,W [47%] CP,NU ¦ εαυτου A,N [53%] HF,RP,TR,OC
[17] μηδε **f**[35] A,N [95%] CP,HF,RP,TR,OC ¦ η **𝔓**[75]אB [2.5%] NU ¦ --- (**𝔓**[45]D)(W) [2.5%]
[18] εις **f**[35] **𝔓**[45]D [75%] CP,HF,RP,TR ¦ επι **𝔓**[75]אA,B,N,W [25%] OC,NU
[19] ου **f**[35] [79%] CP,HF,RP,TR,OC ¦ οτου **𝔓**[45,75]אA,B,D,N [21%] NU ¦ --- W
[20] οικω ενι **f**[35] **𝔓**[45]A,N,W [98.7%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75]B,D [1.3%] NU ¦ --- (א)
[21] διαμερισθησεται **f**[35] A,N,W [97%] CP,HF,RP,TR ¦ διαμερισθησονται **𝔓**[45,75]אB,D [3%] OC,NU
[22] επι *rell* ¦ εφ A,D [20%] TR
[23] θυγατρι **f**[35] A,N,W [98%] CP,HF,RP,TR,OC ¦ την θυγατερα **𝔓**[45,75] [1.5%] NU ¦ θυγατερα אB,D [0.5%]
[24] μητρι **f**[35] A,N [98%] CP,HF,RP,TR,OC ¦ την μητερα **𝔓**[45,75]B,D [1.5%] NU ¦ μητερα א [0.5%] ¦ --- (W)
[25] αυτης **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]אB,D [1%] NU

Discern the time

54 Ἔλεγεν δὲ καὶ τοῖς ὄχλοις· «Ὅταν ἴδητε τὴν[1] νεφέλην ἀνατέλλουσαν ἀπὸ[2] δυσμῶν, εὐθέως λέγετε,[3] ‹Ὄμβρος ἔρχεται,› καὶ γίνεται οὕτως. **55** Καὶ ὅταν νότον πνέοντα, λέγετε ὅτι ‹Καύσων ἔσται,› καὶ γίνεται. **56** Ὑποκριταί, τὸ πρόσωπον τοῦ οὐρανοῦ καὶ τῆς γῆς[4] οἴδατε δοκιμάζειν, τὸν δὲ καιρὸν[5] τοῦτον πῶς οὐ δοκιμάζετε;[6] **57** Τί δέ, καὶ ἀφ᾽ ἑαυτῶν, οὐ κρίνετε τὸ δίκαιον;

Pay your debts on time!

58 »Ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ᾽ ἄρχοντα, ἐν τῇ ὁδῷ δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ᾽ αὐτοῦ, μήποτε κατασύρῃ σε πρὸς τὸν κριτήν, καὶ ὁ κριτής σε παραδῷ[7] τῷ πράκτορι, καὶ ὁ πράκτωρ βάλῃ[8] σε[9] εἰς φυλακήν. **59** Λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως οὗ[10] καὶ τὸ[11] ἔσχατον λεπτὸν ἀποδῷς.»

Repent or perish

13:1 Παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν Γαλιλαίων ὧν τὸ αἷμα Πιλᾶτος ἔμιξεν μετὰ τῶν θυσιῶν αὐτῶν. **2** Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς[12] εἶπεν αὐτοῖς· «Δοκεῖτε ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα[13] πεπόνθασιν; **3** Οὐχί, λέγω ὑμῖν· ἀλλ᾽ ἐὰν μὴ μετανοῆτε[14] πάντες ὡσαύτως[15] ἀπολεῖσθε. **4** Ἢ ἐκεῖνοι οἱ δέκα καὶ[16] ὀκτὼ ἐφ᾽ οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ καὶ ἀπέκτεινεν αὐτούς· δοκεῖτε ὅτι οὗτοι[17] ὀφειλέται ἐγένοντο παρὰ πάντας[18] ἀνθρώπους τοὺς κατοικοῦντας ἐν[19] Ἰερουσαλήμ; **5** Οὐχί, λέγω ὑμῖν· ἀλλ᾽ ἐὰν μὴ μετανοῆτε[20] πάντες ὁμοίως[21] ἀπολεῖσθε.»

Parable of a barren fig tree

6 Ἔλεγεν δὲ ταύτην τὴν παραβολήν· «Συκῆν εἶχέν τις[22] ἐν τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην,[23] καὶ ἦλθεν ζητῶν καρπὸν[24] ἐν αὐτῇ καὶ οὐχ εὗρεν. **7** Εἶπεν δὲ πρὸς τὸν ἀμπελουργόν·

---

[1] την **f**[35] **𝔓**[45] D,W [95.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[75]א A,B,N [4.5%]
[2] απο **f**[35] **𝔓**[45]A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ επι **𝔓**[75]א B [0.5%] NU
[3] λεγετε **f**[35] D [82%] CP,HF,RP,TR,OC ¦ 1 οτι **𝔓**[45,75]B [12%] NU ¦ λεγεται W [5%] ¦ λεγεται οτι א A,N [1%]
[4] του ουρανου και της γης **f**[35] **𝔓**[45,75]D,N [40%] CP,OC ¦ ~ 45312 א A,B,W [60%] HF,RP,TR,NU
[5] τον δε καιρον **f**[35] א A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 132 **𝔓**[75]B [0.2%] NU ¦ πλην 13 **𝔓**[45]D [0.2%] ¦ one other variant
[6] ου δοκιμαζετε **f**[35] **𝔓**[45]A(D) (94.7%) CP,HF,RP,TR,OC ¦ 1 δοκιμαζεται N,W (3.9%) ¦ 2 (0.4%) ¦ ουκ οιδατε δοκιμαζειν **𝔓**[75]א B (0.8%) NU ¦ three other readings (0.2%)
[7] παραδω **f**[35] N,W [98.5%] CP,HF,RP,TR,OC ¦ παραδωσει (**𝔓**[45])א A,B(D) [1.5%] NU ¦ παραδοσει **𝔓**[75]
[8] βαλη **f**[35] A,N,W [80%] CP,HF,RP ¦ βαλλη [5%] TR ¦ βαλει **𝔓**[75]א B,D [10%] OC,NU ¦ βαλλει [5%]
[9] βαλη σε **f**[35] D [24%] CP ¦ ~ 21 **𝔓**[75]א A,B,N,W [76%] HF,RP,TR,OC,NU
[10] ου **f**[35] D,N,W [99%] CP,HF,RP,TR,OC ¦ του A ¦ --- **𝔓**[75]א B [1%] NU
[11] το **f**[35] **𝔓**[75]א B,N,W [60%] TR,OC,NU ¦ τον A(D) [40%] CP,HF,RP
[12] ο ιησους **f**[35] A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א B [0.5%] NU
[13] τοιαυτα **f**[35] **𝔓**[75]A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ ταυτα א B,D [2.5%] NU
[14] μετανοητε **f**[35] **𝔓**[75]א B,N,W [63%] CP,HF,RP,TR,OC,NU ¦ μετανοησητε A,D [13%] ¦ μετανοειτε [22%] ¦ μετανοησετε [2%]
[15] ωσαυτως **f**[35] A,N,W [95%] CP,HF,RP,TR,OC ¦ ομοιως **𝔓**[75]א B,D [5%] NU
[16] και **f**[35] A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א B,D [1.5%] NU
[17] ουτοι **f**[35] N [81.5%] CP,HF,RP,TR,OC ¦ αυτοι **𝔓**[75]א A,B,W [18%] NU ¦ --- D [0.2%] ¦ one other variant
[18] παντας **f**[35] (N)W [90%] CP,HF,RP,TR ¦ 1 τους **𝔓**[75]א A,B,D [10%] OC,NU
[19] εν **f**[35] א A,N,W [92%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]B,D [8%] NU
[20] μετανοητε **f**[35] **𝔓**[75]B,N,W [62%] CP,HF,RP,TR,NU ¦ μετανοειτε W [16%] ¦ μετανοησητε א A,D [21%] OC ¦ μετανοησετε [1%] ¦ μετανοηται [0.5%]
[21] ομοιως **f**[35] **𝔓**[75]A,D,N,W [94%] CP,HF,RP,TR,OC ¦ ωσαυτως א B [6%] NU
[22] ειχεν τις *rell* ¦ ~ 21 D [13%]
[23] εν τω αμπελωνι αυτου πεφυτευμενην **f**[35] A,N [94%] CP,HF,RP,TR,OC ¦ ~ 51234 **𝔓**[75]B,D,W [6%] NU ¦ ~ 5134 א
[24] ζητων καρπον *rell* ¦ ~ 21 [0.5%] TR

‹Ἰδού, τρία ἔτη[1] ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ καὶ οὐχ εὑρίσκω. Ἔκκοψον[2] αὐτήν· ἱνατί καὶ τὴν γῆν καταργεῖ;›[3] **8** Ὁ δὲ ἀποκριθεὶς λέγει[4] αὐτῷ, ‹Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτὴν καὶ βάλω κόπρια,[5] **9** κἂν μὲν ποιήσῃ[6] καρπόν—εἰ δὲ μήγε, εἰς τὸ μέλλον[7] ἐκκόψεις[8] αὐτήν.› »

Jesus heals a woman bound by Satan

10 Ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς σάββασιν. **11** Καὶ ἰδού, γυνὴ ἦν[9] πνεῦμα ἔχουσα ἀσθενείας[10] ἔτη δέκα καὶ[11] ὀκτώ—καὶ ἦν συγκύπτουσα καὶ μὴ δυναμένη ἀνακῦψαι εἰς τὸ παντελές. **12** Ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς προσεφώνησεν καὶ εἶπεν αὐτῇ, «Γύναι, ἀπολέλυσαι τῆς ἀσθενείας σου.» **13** Καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας, καὶ παραχρῆμα ἀνωρθώθη,[12] καὶ ἐδόξαζεν τὸν Θεόν.

14 Ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος, ἀγανακτῶν ὅτι τῷ[13] σαββάτῳ ἐθεράπευσεν ὁ Ἰησοῦς, ἔλεγεν τῷ ὄχλῳ,[14] «Ἓξ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργάζεσθαι· ἐν ταύταις[15] οὖν ἐρχόμενοι θεραπεύεσθε, καὶ μὴ τῇ ἡμέρᾳ τοῦ σαββάτου.» **15** Ἀπεκρίθη οὖν[16] αὐτῷ ὁ Κύριος καὶ εἶπεν· «Ὑποκριταί,[17] ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης καὶ ἀπαγαγὼν ποτίζει; **16** Ταύτην δέ, θυγατέρα Ἀβραὰμ οὖσαν, ἣν ἔδησεν ὁ Σατανᾶς, ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ σαββάτου;» **17** Καὶ ταῦτα λέγοντος αὐτοῦ, κατῃσχύνοντο πάντες οἱ ἀντικείμενοι αὐτῷ· καὶ πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσιν τοῖς ἐνδόξοις τοῖς γινομένοις ὑπ᾽ αὐτοῦ.

Two parables

18 Ἔλεγεν δέ·[18] «Τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ τίνι ὁμοιώσω αὐτήν; **19** Ὁμοία ἐστὶν κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ,[19] καὶ ηὔξησεν καὶ ἐγένετο εἰς δένδρον μέγα,[20] καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν τοῖς κλάδοις αὐτοῦ.»

20 Πάλιν[21] εἶπεν· «Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ Θεοῦ; **21** Ὁμοία ἐστὶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἔκρυψεν[22] εἰς ἀλεύρου σάτα τρία ἕως οὗ ἐζυμώθη ὅλον.»

The narrow gate

22 Καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων, καὶ πορείαν ποιούμενος εἰς Ἰερουσαλήμ.[23] **23** Εἶπεν δέ τις αὐτῷ, «Κύριε, εἰ ὀλίγοι οἱ σῳζόμενοι;» Ὁ δὲ εἶπεν πρὸς αὐτούς·

---

[1] ετη **f**[35] A,N,W [98%] CP,HF,RP,TR,OC ¦ 1 αφ ου **𝔓**[75]א B,D [2%] NU
[2] εκκοψον **f**[35] א B,D,N,W [92%] CP,HF,RP,TR,OC ¦ 1 ουν **𝔓**[75]A [8%] [NU]
[3] καταργει *rell* ¦ καταργη [25%]
[4] λεγει *rell* ¦ ειπεν [3%] OC
[5] κοπρια **f**[35] **𝔓**[75]א A,B,N,W [87%] CP,HF,RP,OC,NU ¦ κοπριαν [12%] TR ¦ κοπρον [1%] ¦ κοφινον κοπριων D
[6] ποιηση **f**[35] **𝔓**[45,75]א A,B,D,N,W [80%] CP,HF,RP,TR,OC,NU ¦ ποιησει [20%]
[7] ει δε μηγε εις το μελλον **f**[35] **𝔓**[45v]A,D,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ ~ 456123 **𝔓**[75]א B [2.5%] NU
[8] εκκοψεις *rell* ¦ εκκοψης [14%]
[9] ην **f**[35] A(D)(W) [98%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]א B,N [2%] NU
[10] ασθενειας *rell* ¦ ασθενιας CP ¦ ασθενεια (D)
[11] και **f**[35] A,N [98%] CP,HF,RP,TR,OC ¦ --- א B,D,W [2%] NU ¦ ιη **𝔓**[45,75]
[12] ανωρθωθη **f**[35] א N,W [59%] CP,HF,RP,TR,OC,NU ¦ ανορθωθη **𝔓**[75]A,B,D [40%] ¦ ιαθη [1%]
[13] τω *rell* ¦ το [15%]
[14] οχλω **f**[35] **𝔓**[45]A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ 1 οτι **𝔓**[75]א B [1%] NU
[15] ταυταις **f**[35] D [93%] CP,HF,RP,TR,OC ¦ αυταις **𝔓**[45,75]א A,B,N,W [7%] NU
[16] ουν **f**[35] A,N,W [96%] CP,HF,RP,TR,OC ¦ δε **𝔓**[45,75]א B,D [2.5%] NU ¦ --- [1.5%]
[17] υποκριται **f**[35] **𝔓**[75]א A,B,N [75%] CP,HF,RP,NU ¦ υποκριτα **𝔓**[45]D,W [25%] TR,OC
[18] δε **f**[35] A,D(N)W [98.5%] CP,HF,RP,TR,OC ¦ ουν **𝔓**[45,75]א B [1.5%] NU
[19] εαυτου *rell* ¦ αυτου **𝔓**[45]א D [15%]
[20] μεγα **f**[35] **𝔓**[45]A,N,W (97.1%) CP,HF,RP,TR,OC ¦ μεγαν (2.1%) ¦ --- **𝔓**[75]א B(D) (0.8%) NU
[21] παλιν **f**[35] A,N,W [95%] CP,HF,RP,OC ¦ και 1 **𝔓**[45,75]א B [5%] TR,NU ¦ D is wild
[22] εκρυψεν **f**[35] **𝔓**[45]B,N [60%] CP,OC ¦ ενεκρυψεν **𝔓**[75]א A,D,W [40%] HF,RP,TR[NU
[23] ιερουσαλημ **f**[35] A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ιεροσολυμα **𝔓**[75]א [0.5%] NU ¦ εροσολυμα B

24 «Ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης,[1] ὅτι πολλοί, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν καὶ οὐκ ἰσχύσουσιν. **25** Ἀφ᾽ οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης καὶ ἀποκλείσῃ τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑστάναι καὶ κρούειν τὴν θύραν λέγοντες, ‹Κύριε, Κύριε,[2] ἄνοιξον ἡμῖν›· καὶ ἀποκριθεὶς ἐρεῖ ὑμῖν, ‹Οὐκ οἶδα ὑμᾶς· πόθεν ἐστέ;› **26** Τότε ἄρξεσθε[3] λέγειν, ‹Ἐφάγομεν ἐνώπιόν σου καὶ ἐπίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας.› **27** Καὶ ἐρεῖ· ‹Λέγω[4] ὑμῖν, οὐκ οἶδα ὑμᾶς[5] πόθεν ἐστέ. Ἀπόστητε ἀπ᾽ ἐμοῦ, πάντες οἱ[6] ἐργάται τῆς[7] ἀδικίας.›

28 »Ἐκεῖ ἔσται ὁ κλαυθμός, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὅταν ὄψεσθε[8] Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω. **29** Καὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ[9] βορρᾶ καὶ νότου, καὶ ἀνακλιθήσονται[10] ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. **30** Καὶ ἰδού, εἰσὶν ἔσχατοι οἳ ἔσονται πρῶτοι, καὶ εἰσὶν πρῶτοι οἳ ἔσονται ἔσχατοι.»

A word for Herod

31 Ἐν αὐτῇ τῇ ἡμέρᾳ[11] προσῆλθόν[12] τινες Φαρισαῖοι λέγοντες αὐτῷ, «Ἔξελθε καὶ πορεύου ἐντεῦθεν, ὅτι Ἡρῴδης θέλει[13] σε ἀποκτεῖναι.» **32** Καὶ εἶπεν αὐτοῖς· «Πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ· ‹Ἰδού, ἐκβάλλω δαιμόνια καὶ ἰάσεις ἐπιτελῶ[14] σήμερον καὶ αὔριον, καὶ τῇ τρίτῃ τελειοῦμαι.› **33** Πλὴν δεῖ με σήμερον καὶ αὔριον καὶ τῇ ἐχομένῃ πορεύεσθαι, ὅτι οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω Ἰερουσαλήμ.

Jesus laments over Jerusalem

34 »Ἰερουσαλήμ, Ἰερουσαλήμ, ἡ ἀποκτένουσα[15] τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, ὃν τρόπον ὄρνις[16] τὴν ἑαυτῆς νοσσιὰν[17] ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. **35** Ἰδού, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.[18] Λέγω δὲ[19] ὑμῖν ὅτι[20] οὐ μή με ἴδητε[21] ἕως ἂν ἥξει ὅτε[22] εἴπητε, ‹Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.› »

Jesus heals a man with dropsy

14:1 Καὶ ἐγένετο, ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόντων τῶν[23] Φαρισαίων

---

[1] πυλης **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ θυρας **𝔓**[(45)75]א**B**,D [1%] NU
[2] κυριε **f**[35] A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א**B** [0.5%] NU
[3] αρξεσθε **f**[35] **𝔓**[75]B [70%] CP,HF,RP,TR,OC,NU ¦ αρξησθε א**A**,D,N,W [30%]
[4] λεγω **f**[35] **𝔓**[75]A,D,N,W (94.7%) CP,HF,RP,TR,OC ¦ λεγων B (1.3%) NU ¦ --- א (1.3%) ¦ omit 26-27a (2.7%)
[5] υμας **f**[35] א**A**(D)N,W [99%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[75]B [1%]
[6] οι **f**[35] A [75%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א**B**,D,N,W [25%] NU
[7] της **f**[35] A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א**B**(D) [0.5%] NU
[8] οψεσθε **f**[35] B,D [27%] CP,UBS ¦ οψησθε **𝔓**[75]A,N,W [73%] HF,RP,TR,OC,N-A ¦ ιδητε א
[9] και **f**[35] א**A**,D,N,W [98%] CP,HF,RP ¦ 1 απο B [2%] TR,OC,NU ¦ απο **𝔓**[75]
[10] ανακλιθησονται *rell* ¦ ανακληθησονται N [30%]
[11] ημερα **f**[35] N,W [97%] CP,HF,RP,TR,OC ¦ ωρα **𝔓**[75]א**A**,B,D [3%] NU
[12] προσηλθον *rell* ¦ προσηλθαν **𝔓**[75]B,D,NU
[13] θελει *rell* ¦ θελη [15%]
[14] επιτελω **f**[35] A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ αποτελω **𝔓**[75]א**B** [2%] NU ¦ αποτελουμαι D ¦ ποιουμαι και **𝔓**[45] ¦ two other variants
[15] αποκτενουσα **f**[35] (A) [48%] HF,RP ¦ αποκτεννουσα CP,OC ¦ αποκτεινουσα **𝔓**[45,75]א**B**,D [49%] TR,NU ¦ αποκτεινασα [3%] ¦ αποκτινουσα N,W
[16] ορνις *rell* ¦ 1 επισυναγει CP
[17] την εαυτης νοσσιαν *rell* ¦ τα 2 νοσσια A(D) [12%]
[18] ερημος **f**[35] D,N [55%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45v,75]א**A**,B,W [45%] NU
[19] λεγω δε **f**[35] **𝔓**[75]A,B,D,N,W [96.5%] CP,HF,RP,OC[NU] ¦ ~ 21 [2%] ¦ ~ αμην 21 [1%] TR ¦ 1 **𝔓**[45]א [0.4%]
[20] οτι **f**[35] A,N,W [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45v,75]א**B**,D [3%] NU
[21] με ιδητε **f**[35] **𝔓**[45,75]D,N [85%] CP,HF,RP,TR,OC ¦ ~ 21 א**A**,B,W [15%] NU
[22] αν ηξει οτε **f**[35] A,N,W [45%] RP ¦ 1 ηξη 3 [47%] CP,HF,TR,OC ¦ 23 D [0.2%] [NU] ¦ 1 **𝔓**[45]א [6%] ¦ 3 [1.5%] ¦ --- **𝔓**[75]B [0.3%]
[23] των **f**[35] A,D,N,W [99%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[45,75]א**B** [1%]

σαββάτῳ φαγεῖν ἄρτον, καὶ αὐτοὶ ἦσαν παρατηρούμενοι αὐτόν. **2** Καὶ ἰδού, ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ. **3** Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν πρὸς τοὺς νομικοὺς καὶ Φαρισαίους λέγων, «Εἰ[1] ἔξεστιν τῷ σαββάτῳ θεραπεύειν;»[2] **4** Οἱ δὲ ἡσύχασαν. Καὶ ἐπιλαβόμενος ἰάσατο αὐτὸν καὶ ἀπέλυσεν. **5** Καὶ ἀποκριθεὶς[3] πρὸς αὐτοὺς εἶπεν,[4] «Τίνος ὑμῶν, υἱὸς[5] ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται,[6] καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν ἐν τῇ[7] ἡμέρᾳ τοῦ σαββάτου;» **6** Καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ[8] πρὸς ταῦτα.

A lesson about humility

7 Ἔλεγεν δὲ πρὸς τοὺς κεκλημένους παραβολήν, ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο, λέγων πρὸς αὐτούς· **8** «Ὅταν κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς[9] εἰς τὴν πρωτοκλισίαν, μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ᾽ αὐτοῦ, **9** καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας ἐρεῖ, ‹Σύ,[10] δὸς τούτῳ τόπον›· καὶ τότε ἄρξῃ, μετ᾽[11] αἰσχύνης, τὸν ἔσχατον τόπον κατέχειν. **10** Ἀλλ᾽ ὅταν κληθῇς, πορευθεὶς ἀνάπεσε[12] εἰς τὸν ἔσχατον τόπον, ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε, εἴπῃ[13] σοι, ‹Φίλε, προσανάβηθι ἀνώτερον.› Τότε ἔσται σοι δόξα ἐνώπιον[14] τῶν συνανακειμένων σοι. **11** Ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.»

12 Ἔλεγεν δὲ καὶ τῷ κεκληκότι αὐτόν· «Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου, μηδὲ γείτονας πλουσίους, μήποτε καὶ αὐτοί σε ἀντικαλέσωσιν,[15] καὶ γένηταί[16] σοι ἀνταπόδομα.[17] **13** Ἀλλ᾽ ὅταν ποιῇς δοχήν,[18] κάλει πτωχούς, ἀναπήρους,[19] χωλούς, τυφλούς· **14** καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι—ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων.»

An unusual banquet

15 Ἀκούσας δέ τις τῶν συνανακειμένων ταῦτα εἶπεν αὐτῷ, «Μακάριος ὃς[20] φάγεται ἄριστον[21] ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.» **16** Ὁ δὲ εἶπεν αὐτῷ· «Ἄνθρωπός τις ἐποίησεν[22] δεῖπνον μέγα, καὶ ἐκάλεσεν πολλούς· **17** καὶ ἀπέστειλεν τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς κεκλημένοις, ‹Ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστιν πάντα.›[23] **18** Καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες.[24] Ὁ πρῶτος εἶπεν αὐτῷ· ‹Ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν καὶ[25] ἰδεῖν αὐτόν.

---

[1] ει **f**[35] **𝔓**[45]A,N,W [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א**B**,D [3%] NU

[2] θεραπευειν **f**[35] A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ θεραπευσαι **𝔓**[45] ¦ 1 η ου [1%] ¦ θεραπευσαι η ου **𝔓**[75]א**B**,D [1.5%] NU

[3] αποκριθεις **f**[35] (א)A,N(W) [80%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]B,D [20%] NU

[4] προς αυτους ειπεν *rell* ¦ ~ 312 A,D,W [13%]

[5] υιος **f**[35] **𝔓**[45,75]B,N,W [72.5%] HF,RP,OC,NU ¦ ο 1 A [1.5%] ¦ ονος א [26%] CP,TR ¦ προβατον D

[6] εμπεσειται **f**[35] (D,N) [90%] CP,HF,RP,TR,OC ¦ πεσειται **𝔓**[45,75]א**A,B,W** [10%] NU

[7] τη **f**[35] A(D)N,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]א**B** [1%] NU

[8] αυτω **f**[35] A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]א**B**,D [1%] NU ¦ two other variants

[9] κατακλιθης *rell* ¦ κατακληθης [15%] ¦ κατακλιθεις [3%] ¦ κατακληθεις [5.5%] ¦ κατακλινου **𝔓**[45] ¦ one other variant

[10] συ **f**[35] [20%] ¦ σοι **𝔓**[45,75]א**A,B,D,N,W** [80%] CP,HF,RP,TR,OC,NU

[11] μετ **f**[35] **𝔓**[45] [70%] CP,HF,RP,TR,OC ¦ μετα **𝔓**[75]א**A,B,D,N,W** [30%] NU

[12] αναπεσε **f**[35] **𝔓**[45v,75]א**A,B,N,W** [80%] CP,HF,RP,OC,NU ¦ ανεπεσε [1%] ¦ αναπεσον [4%] TR ¦ αναπεσαι [15%] ¦ αναπειπτε D

[13] ειπη **f**[35] A,D,W [99%] CP,HF,RP,TR,OC ¦ ερει **𝔓**[75]א**B,N** [1%] NU

[14] ενωπιον **f**[35] D,W [95%] CP,HF,RP,TR,OC ¦ 1 παντων **𝔓**[75]א**A,B,N** [5%] NU

[15] σε αντικαλεσωσιν **f**[35] A,W [98%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75]א**B,D** [2%] NU ¦ αντικαλεσουσεν N

[16] γενηται *rell* ¦ γενησεται [16%] OC ¦ one other variant

[17] σοι ανταποδομα **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75]א**B,D** [1%] NU

[18] ποιης δοχην **f**[35] A,D,N,W [84%] CP,HF,RP,TR,OC ¦ ~ 21 B,NU ¦ ~ 2 ποιησης **𝔓**[75]א ¦ ποιεις 2 [16%]

[19] αναπηρους **f**[35] [90%] CP,HF,RP,TR,OC ¦ αναπειρους **𝔓**[75]A,B,D,W [10%] NU ¦ αναπιρους אN

[20] ος **f**[35] A,D,N,W [96.5%] CP,HF,RP,TR,OC ¦ οστις **𝔓**[75]B [3.5%] NU ¦ omit whole line א

[21] αριστον **f**[35] A,W [80%] CP,HF,RP,OC ¦ αρτον **𝔓**[75]B,D,N [20%] TR,NU

[22] εποιησεν **f**[35] A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ εποιει **𝔓**[75]א**B** [0.5%] NU

[23] παντα **f**[35] A(D)N,W (99.5%) CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45(75)](א)B (0.5%) NU

[24] παραιτεισθαι παντες **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75]א**B,D** [1%] NU

[25] εξελθειν και **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ εξελθων **𝔓**[75]א**B,D** [0.5%] NU ¦ three other variants

Ἐρωτῶ σε, ἔχε με παρῃτημένον.› **19** Καὶ ἕτερος εἶπεν· ‹Ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτά. Ἐρωτῶ σε, ἔχε με παρῃτημένον.› **20** Καὶ ἕτερος εἶπεν, ‹Γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν.› **21** Καὶ παραγενόμενος ὁ δοῦλος ἐκεῖνος[1] ἀπήγγειλεν τῷ κυρίῳ αὐτοῦ ταῦτα. Τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπεν τῷ δούλῳ αὐτοῦ, ‹Ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς καὶ ἀναπήρους[2] καὶ τυφλοὺς καὶ χωλοὺς[3] εἰσάγαγε ὧδε.› **22** Καὶ εἶπεν ὁ δοῦλος, ‹Κύριε, γέγονεν ὡς[4] ἐπέταξας, καὶ ἔτι τόπος ἐστίν.› **23** Καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον· ‹Ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμοὺς καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γεμισθῇ ὁ οἶκος μου.[5] **24** Λέγω γὰρ ὑμῖν ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου.› »[6]

Jesus ministers (mainly) in Perea

Jesus defines discipleship

14:25 Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοί, καὶ στραφεὶς εἶπεν πρὸς αὐτούς· **26** «Εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ[7] καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφάς, ἔτι δὲ[8] καὶ τὴν ἑαυτοῦ ψυχήν,[9] οὐ δύναταί μου εἶναι μαθητής.[10] **27** Καὶ ὅστις[11] οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ,[12] καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναται εἶναί μου[13] μαθητής.

28 »Τίς γὰρ ἐξ ὑμῶν, ὁ θέλων[14] πύργον οἰκοδομῆσαι, οὐχὶ πρῶτον καθίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει τὰ[15] πρὸς[16] ἀπαρτισμόν; **29** Ἵνα μήποτε θέντος αὐτοῦ θεμέλιον καὶ μὴ ἰσχύοντος[17] ἐκτελέσαι, πάντες οἱ θεωροῦντες ἄρξωνται[18] ἐμπαίζειν αὐτῷ,[19] **30** λέγοντες ὅτι ‹Οὗτος ὁ ἄνθρωπος ἤρξατο οἰκοδομεῖν καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι.›

31 »Ἢ τίς βασιλεύς, πορευόμενος συμβαλεῖν ἑτέρῳ βασιλεῖ[20] εἰς πόλεμον, οὐχὶ καθίσας πρῶτον[21] βουλεύεται[22] εἰ δυνατός ἐστιν ἐν δέκα χιλιάσιν ἀπαντῆσαι[23] τῷ μετὰ εἴκοσι χιλιάδων ἐρχομένῳ ἐπ᾽ αὐτόν; **32** Εἰ δὲ μή γε, ἔτι πόρρω αὐτοῦ[24] ὄντος, πρεσβείαν ἀποστείλας ἐρωτᾷ τὰ πρὸς εἰρήνην.

33 »Οὕτως οὖν πᾶς ἐξ ὑμῶν ὃς οὐκ ἀποτάσσεται πᾶσιν τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναται

---

[1] εκεινος **f**[35] N [89%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]אA,B,D,W [11%] NU
[2] αναπηρους **f**[35] N [97%] CP,HF,RP,TR,OC ¦ αναπειρους **𝔓**[75]אA,B,D,W [3%] NU
[3] τυφλους και χωλους **f**[35] **𝔓**[45,75]אB,D,W [42%] CP,NU ¦ ~ 321 N [57%] HF,RP,TR,OC ¦ 1 A [1%]
[4] ως **f**[35] A,N,W [98%] CP,HF,RP,TR,OC ¦ ο **𝔓**[45v,75]אB,D [1%] NU ¦ two other variants [1%]
[5] ο οικος μου **f**[35] **𝔓**[45]W [95%] CP,HF,RP,TR,OC ¦ ~ 312 **𝔓**[75]אA,B,D,N [5%] NU
[6] δειπνου **f**[35] **𝔓**[45,75]אA,B,D,N,W [55%] CP,HF,TR,OC,NU ¦ 1 πολλοι γαρ εισιν κλητοι ολιγοι δε εκλεκτοι [45%] RP
[7] αυτου **f**[35] **𝔓**[45]אA,D,N,W [96%] CP,HF,RP ¦ εαυτου **𝔓**[75]B [4%] TR,OC,NU
[8] δε **f**[35] **𝔓**[45]אA,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ τε B [1%] NU ¦ --- **𝔓**[75]
[9] εαυτου ψυχην **f**[35] **𝔓**[45]A,D,N,W [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75]אB,NU
[10] μου ειναι μαθητης **f**[35] **𝔓**[45,75]N [36%] CP ¦ ~ 132 A,D,W [60%] HF,RP,TR,OC ¦ ~ 213 אB [4%] NU ¦ one other variant
[11] και οστις **f**[35] A(D)N,W [99%] CP,HF,RP,TR,OC ¦ 2 **𝔓**[45,75]א [0.5%] NU ¦ 2 ουν B ¦ two other variants
[12] αυτου **f**[35] **𝔓**[45,75]אD [92%] CP,HF,RP,TR ¦ εαυτου A,B,N,W [8%] OC,NU
[13] ειναι μου **f**[35] **𝔓**[75]אB,N,W [75%] CP,HF,RP,OC,NU ¦ ~ 21 **𝔓**[45]A(D) [25%] TR
[14] ο θελων **f**[35] **𝔓**[45]W [70%] CP,HF,RP ¦ 2 אA,B,D,N [30%] TR,OC,NU ¦ θελει **𝔓**[75]
[15] τα **f**[35] אA,N [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[45,75]B,D,W [1.5%] NU
[16] προς **f**[35] [45%] CP,TR,OC ¦ εις **𝔓**[45,75]אA,B,D,N,W [55%] HF,RP,NU
[17] ισχυοντος *rell* ¦ ισχυσαντος [8%] OC ¦ three other spellings
[18] αρξωνται *rell* ¦ αρξονται N [18%]
[19] εμπαιζειν αυτω **f**[35] **𝔓**[45v] [86%] CP,HF,RP,TR ¦ ~ 21 **𝔓**[75]אA,B,N,W [13%] OC,NU ¦ --- (D) ¦ two other variants [1%]
[20] συμβαλειν ετερω βασιλει **f**[35] W [98%] CP,HF,RP,TR,OC ¦ ~ 231 **𝔓**[75](א)A,B,D,N [2%] NU ¦ two other variants
[21] καθισας πρωτον *rell* ¦ ~ 21 [1%] OC
[22] βουλευεται **f**[35] A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ βουλευσεται **𝔓**[75]אB [1%] NU
[23] απαντησαι **f**[35] N,W [97%] CP,HF,RP,TR,OC ¦ υπαντησαι **𝔓**[45,75]אA,B(D) [3%] NU
[24] πορρω αυτου **f**[35] A [95%] CP,HF,RP,OC ¦ ~ 21 **𝔓**[75]אB,D,N,W [5%] TR,NU

μου εἶναι[1] μαθητής. **34** Καλὸν[2] τὸ ἅλας· ἐὰν δὲ[3] τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἀρτυθήσεται; **35** Οὔτε εἰς γῆν οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν· ἔξω βάλλουσιν αὐτό. Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.»

Parable of a lost sheep

15:1 Ἦσαν δὲ ἐγγίζοντες αὐτῷ[4] πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ ἀκούειν αὐτοῦ. **2** Καὶ διεγόγγυζον οἵ[5] Φαρισαῖοι καὶ οἱ γραμματεῖς λέγοντες ὅτι «Οὗτος ἁμαρτωλοὺς προσδέχεται καὶ συνεσθίει αὐτοῖς.» **3** Εἶπεν δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην λέγων· **4** «Τίς ἄνθρωπος ἐξ ὑμῶν, ἔχων ἑκατὸν πρόβατα καὶ ἀπολέσας ἓν ἐξ αὐτῶν,[6] οὐ καταλείπει τὰ ἐνενήκοντα ἐννέα ἐν τῇ ἐρήμῳ καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλὸς ἕως[7] εὕρῃ αὐτό; **5** Καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους αὐτοῦ[8] χαίρων. **6** Καὶ ἐλθὼν εἰς τὸν οἶκον, συγκαλεῖ[9] τοὺς φίλους καὶ τοὺς γείτονας, λέγων αὐτοῖς, ‹Συγχάρητέ μοι, ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός.› **7** Λέγω ὑμῖν ὅτι οὕτως χαρὰ ἔσται ἐν τῷ οὐρανῷ[10] ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι ἢ ἐπὶ ἐνενήκοντα ἐννέα δικαίοις οἵτινες οὐ χρείαν ἔχουσιν μετανοίας.

Parable of a lost coin

8 »Ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει λύχνον καὶ σαροῖ τὴν οἰκίαν καὶ ζητεῖ ἐπιμελῶς ἕως ὅτου[11] εὕρῃ; **9** Καὶ εὑροῦσα, συγκαλεῖται[12] τὰς φίλας καὶ τὰς[13] γείτονας λέγουσα, ‹Συγχάρητέ μοι, ὅτι εὗρον τὴν δραχμὴν ἣν ἀπώλεσα.› **10** Οὕτως, λέγω ὑμῖν, χαρὰ γίνεται[14] ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.»

Parable of a lost son

11 Εἶπεν δέ· «Ἄνθρωπός τις εἶχεν δύο υἱούς. **12** Καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί, ‹Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας.› Καὶ[15] διεῖλεν αὐτοῖς τὸν βίον. **13** Καὶ μετ᾽ οὐ πολλὰς ἡμέρας, συναγαγὼν ἅπαντα,[16] ὁ νεώτερος υἱὸς ἀπεδήμησεν εἰς χώραν μακράν· καὶ ἐκεῖ διεσκόρπισεν τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως. **14** Δαπανήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς[17] κατὰ τὴν χώραν ἐκείνην, καὶ αὐτὸς ἤρξατο[18] ὑστερεῖσθαι. **15** Καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης, καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους· **16** καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ[19] τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι, καὶ οὐδεὶς ἐδίδου αὐτῷ. **17** Εἰς ἑαυτὸν δὲ ἐλθὼν εἶπεν·[20] ‹Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν[21] ἄρτων, ἐγὼ δὲ λιμῷ[22] ἀπόλλυμαι· **18** ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου καὶ ἐρῶ αὐτῷ·

---

[1] μου ειναι **f**[35] A(D)N,W [99%] CP,HF,RP,TR ¦ ~ 21 **𝔓**[75]א**B** [1%] OC,NU
[2] καλον **f**[35] A,D,N,W [98%] CP,HF,RP,TR,OC ¦ 1 ουν **𝔓**[75]א**B** [2%] NU
[3] δε **f**[35] **𝔓**[75]A,W [98.5%] CP,HF,RP,TR ¦ 1 και א**B**,D,N [1.5%] OC,NU
[4] εγγιζοντες αυτω **f**[35] D,N [82%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75]א**A**,B,W [18%] NU
[5] οι **f**[35] A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ 1 τε **𝔓**[75]א**B**,D [0.5%] NU
[6] εν εξ αυτων **f**[35] A,N [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 231 **𝔓**[75]א**B**(D)W [1.5%] NU
[7] εως **f**[35] **𝔓**[75]B,D,W [70%] CP,HF,RP,TR,NU ¦ 1 ου א**A**,N [30%] OC
[8] αυτου **f**[35] **𝔓**[75]א**B**,D,N [45%] OC,NU ¦ εαυτου A,W [55%] CP,HF,RP,TR
[9] συγκαλει *rell* ¦ συγκαλειται D [16%] ¦ συγκαλειτε N ¦ one other variant
[10] εσται εν τω ουρανω **f**[35] A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 2341 **𝔓**[75]א**B** [1%] NU
[11] οτου **f**[35] A,N,W [95.5%] CP,HF,RP,TR,OC ¦ ου **𝔓**[75]א**B** [3%] NU ¦ --- D [1%] ¦ three other variants
[12] συγκαλειται **f**[35] (A)(D)W [86%] CP,HF,RP,TR ¦ συγκαλει **𝔓**[75](א)**B**,N [14%] OC,NU
[13] τας **f**[35] A(D)N,W [96.5%] CP,HF,RP,TR,OC ¦ τους [3%] ¦ --- **𝔓**[75]א**B** [0.5%] NU
[14] χαρα γινεται **f**[35] (A)N(W) [99%] CP,HF,RP,TR,OC ¦ ~ γεινεται 1 **𝔓**[75]א**B** [1%] NU ¦ 1 εσται D
[15] και **f**[35] א**D**,N,W [99%] CP,HF,RP,TR,OC ¦ ο δε A,B [1%] NU ¦ --- **𝔓**[75]
[16] απαντα **f**[35] א**A**,N,W [97%] CP,HF,RP,TR,OC ¦ παντα **𝔓**[75]B,D [3%] NU
[17] ισχυρος **f**[35] N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ ισχυρα **𝔓**[75]א**A**,B,D [1%] NU
[18] ηρξατο *rell* ¦ 1 του A [20%]
[19] γεμισαι την κοιλιαν αυτου απο **f**[35] A,N,Q (96.4%) CP,HF,RP,TR,OC ¦ 1234 εκ (0.9%) ¦ χορτασθηναι εκ **𝔓**[75]א**B**,D (2.2%) NU ¦ χορτασθηναι 5 (0.5%) ¦ 123 και χορτασθηναι 5 W
[20] ειπεν **f**[35] A,D,N,Q,W [98.5%] CP,HF,RP,TR,OC ¦ εφη **𝔓**[75]א**B** [1.5%] NU
[21] περισσευουσιν **f**[35] א**D**,N,Q,W [98%] CP,HF,RP,TR,OC ¦ περισσευονται **𝔓**[75]A,B [2%] NU
[22] λιμω **f**[35] (A)Q,W [91.5%] CP,HF,RP,TR,OC ¦ 1 ωδε (**𝔓**[75]א**B**) [2.5%] NU ¦ ωδε 1 (D)N [6%]

Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, **19** καὶ[1] οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. Ποίησόν με ὡς ἕνα τῶν μισθίων σου.›

20 »Καὶ ἀναστὰς ἦλθεν πρὸς τὸν πατέρα ἑαυτοῦ.[2] Ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἐσπλαγχνίσθη· καὶ δραμὼν ἐπέπεσεν[3] ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ κατεφίλησεν αὐτόν. **21** Εἶπεν δὲ αὐτῷ ὁ υἱός,[4] ‹Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ[5] οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου.›[6] **22** Εἶπεν δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ·[7] ‹Ἐξενέγκατε τὴν[8] στολὴν τὴν πρώτην καὶ ἐνδύσατε αὐτόν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ καὶ ὑποδήματα εἰς τοὺς πόδας.[9] **23** Καὶ ἐνέγκαντες[10] τὸν μόσχον τὸν σιτευτὸν θύσατε, καὶ φαγόντες εὐφρανθῶμεν· **24** ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησεν, καὶ[11] ἀπολωλὼς ἦν[12] καὶ εὑρέθη.›[13] Καὶ ἤρξαντο εὐφραίνεσθαι.

25 »Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ· καὶ ὡς ἐρχόμενος ἤγγισεν τῇ οἰκίᾳ ἤκουσεν συμφωνίας καὶ χορῶν· **26** καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων,[14] ἐπυνθάνετο τί[15] εἴη ταῦτα. **27** Ὁ δὲ εἶπεν αὐτῷ ὅτι ‹Ὁ ἀδελφός σου ἥκει, καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτόν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν.› **28** Ὠργίσθη δὲ καὶ οὐκ ἤθελεν εἰσελθεῖν. Ὁ οὖν[16] πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν. **29** Ὁ δὲ ἀποκριθεὶς εἶπεν τῷ πατρί·[17] ‹Ἰδού, τοσαῦτα ἔτη δουλεύω σοι καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ. **30** Ὅτε δὲ ὁ υἱός σου οὗτος ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν.›[18] **31** Ὁ δὲ εἶπεν αὐτῷ· ‹Τέκνον, σὺ πάντοτε μετ᾽ ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σά ἐστιν. **32** Εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν καὶ ἀνέζησεν,[19] καὶ[20] ἀπολωλὼς[21] ἦν[22] καὶ εὑρέθη.› »[23]

---

[1] και **f**^{35} N [58%] CP,HF,RP,TR ¦ --- **𝔓**^{75}אA,B,D,Q,W [42%] OC,NU

[2] εαυτου **f**^{35} **𝔓**^{75}A,B,W [42%] TR,NU ¦ αυτου אD,N,Q [58%] CP,HF,RP,OC

[3] επεπεσεν *rell* ¦ επεσεν W [20%] ¦ ενεπεσεν D

[4] αυτω ο υιος **f**^{35} אA,N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 231 **𝔓**^{75}B(D) [1%] NU

[5] και **f**^{35} N,Q,W [94%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**^{75}אA,B,D [6%] NU

[6] σου **f**^{35} **𝔓**^{75}A,N,Q,W (87.3%) CP,HF,RP,TR,OC,NU ¦ 1 ποιησον με ως ενα των μισθιων 1 אB,D (12.5%) ¦ long omissions (0.2%)

[7] αυτου **f**^{35} A,N,Q,W [97%] CP,HF,RP,TR,OC ¦ 1 ταχυ (**𝔓**^{75}א)B [1%] NU ¦ 1 ταχεως D [2%] ¦ one other variant

[8] την **f**^{35} **𝔓**^{75} [95%] CP,HF,RP,TR,OC ¦ --- אA,B,D,N,Q,W [5%] NU

[9] ποδας *rell* ¦ 1 αυτου D [12%]

[10] ενεγκαντες **f**^{35} A,Q,W [85%] CP,HF,RP,TR,OC ¦ ενεγκοντες N [13%] ¦ εξενεγκαντες [1%] ¦ ενεγκατε D [0.5%] ¦ φερετε **𝔓**^{75}אB [0.5%] NU

[11] και **f**^{35} N [84%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**^{75}אA,B,D,Q(W) [16%] NU

[12] απολωλως ην **f**^{35} N [45.5%] CP,HF,RP,TR,OC ¦ απολωλος 2 **f**^{35pt} [50%] ¦ ~ 21 A,B,NU ¦ ~ 2 απολωλος א ¦ ~ 2 απολολως **𝔓**^{75} ¦ 1 D,Q [1%] ¦ απολωλος [3%] [The difference of one letter changes the case/gender from nominative masculine to accusative neuter. As an aid to discussion, I will start with a translation: “this son of mine was dead and came to life; he was lost and is found”. The referent, “son”, is nominative masculine, clearly so, so where did the variant come from? Well, ‘dead’, νεκρος, is an adjective, and is nominative masculine, but ‘lost’ is a perfect active participle, and the ending is different. I suppose that copyists treated the participle like an adjective and repeated the ending. Also, both forms were pronounced the same, and in cursive handwriting the two forms can be similar. The correct form is clearly the nominative masculine.]

[13] ευρεθη *rell* ¦ ηυρεθη A,N [25%]

[14] παιδων *rell* ¦ 1 αυτου [2%] TR

[15] τι **f**^{35} אA(D)W [84%] CP,HF,RP,TR,OC ¦ 1 αν **𝔓**^{75}B,N,Q [8%] NU ¦ τινα [8%]

[16] ουν **f**^{35} N,Q,W [98%] CP,HF,RP,TR,OC ¦ δε **𝔓**^{75}אA,B,D [2%] NU

[17] πατρι **f**^{35} אW [91%] CP,HF,RP,TR,OC ¦ 1 αυτου **𝔓**^{75}A,B,D,N,Q [9%] NU

[18] μοσχον τον σιτευτον **f**^{35} A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 31 **𝔓**^{75}א(B)(D)Q [0.5%] NU

[19] ανεζησεν **f**^{35} A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ εζησεν **𝔓**^{75}אB [0.5%] NU

[20] και *rell* ¦ --- אD [13%]

[21] απολωλως **f**^{35} **𝔓**^{75}אA,B,D,N,W [60%] CP,HF,RP,TR,OC,NU ¦ απολωλος [40%]

[22] ην **f**^{35} אN [95%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**^{75}A,B,D(W) [5%] NU

[23] ευρεθη *rell* ¦ ηυρεθη A,N [15%]

Parable of a stupid steward

16:1 Ἔλεγεν δὲ καὶ[1] πρὸς τοὺς μαθητὰς αὐτοῦ·[2] «Ἄνθρωπός τις ἦν πλούσιος ὃς εἶχεν οἰκονόμον, καὶ οὗτος διεβλήθη αὐτῷ ὡς διασκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ. **2** Καὶ φωνήσας αὐτὸν εἶπεν αὐτῷ· ‹Τί τοῦτο ἀκούω περὶ σοῦ; Ἀπόδος τὸν λόγον τῆς οἰκονομίας σου, οὐ γὰρ δυνήσῃ ἔτι[3] οἰκονομεῖν.› **3** Εἶπεν δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος· ‹Τί ποιήσω, ὅτι ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ᾽ ἐμοῦ; Σκάπτειν οὐκ ἰσχύω· ἐπαιτεῖν αἰσχύνομαι—**4** ἔγνων τί ποιήσω, ἵνα ὅταν μετασταθῶ[4] τῆς οἰκονομίας, δέξωνταί με εἰς τοὺς οἴκους αὐτῶν.›[5] **5** Καὶ προσκαλεσάμενος ἕνα ἕκαστον τῶν χρεωφειλετῶν[6] τοῦ κυρίου ἑαυτοῦ,[7] ἔλεγεν τῷ πρώτῳ, ‹Πόσον ὀφείλεις[8] τῷ κυρίῳ μου;› **6** Ὁ δὲ εἶπεν, ‹Ἑκατὸν βάτους ἐλαίου.› Καὶ[9] εἶπεν αὐτῷ, ‹Δέξαι σου τὸ γράμμα[10] καὶ καθίσας ταχέως γράψον πεντήκοντα.› **7** Ἔπειτα ἑτέρῳ εἶπεν, ‹Σὺ δὲ πόσον ὀφείλεις;› Ὁ δὲ εἶπεν, ‹Ἑκατὸν κόρους σίτου.› Καὶ λέγει[11] αὐτῷ, ‹Δέξαι σου τὸ γράμμα[12] καὶ γράψον ὀγδοήκοντα.› **8** Καὶ ἐπῄνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδικίας, ὅτι φρονίμως ἐποίησεν. Ὅτι οἱ[13] υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεὰν τὴν ἑαυτῶν εἰσιν.

A bit of irony

9 »Κἀγὼ[14] ὑμῖν λέγω, ποιήσατε ἑαυτοῖς[15] φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν ἐκλείπητε,[16] δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. **10** Ὁ πιστὸς ἐν ἐλαχίστῳ καὶ ἐν πολλῷ πιστός ἐστιν, καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος καὶ ἐν πολλῷ ἄδικός ἐστιν. **11** Εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει; **12** Καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει; **13** Οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει. Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ.»

The Law will not fail

14 Ἤκουον δὲ ταῦτα πάντα καὶ[17] οἱ Φαρισαῖοι, φιλάργυροι ὑπάρχοντες, καὶ ἐξεμυκτήριζον αὐτόν. **15** Καὶ εἶπεν αὐτοῖς· «Ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων, ὁ δὲ Θεὸς γινώσκει τὰς καρδίας ὑμῶν. Ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν βδέλυγμα ἐνώπιον τοῦ Θεοῦ.[18] **16** Ὁ νόμος καὶ οἱ προφῆται ἕως[19] Ἰωάννου· ἀπὸ τότε ἡ βασιλεία τοῦ Θεοῦ εὐαγγελίζεται, καὶ πᾶς εἰς αὐτὴν βιάζεται. **17** Εὐκοπώτερον δέ ἐστιν τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, ἢ τοῦ νόμου

---

[1] και *rell* ¦ --- [14%]
[2] αυτου **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א**B**,D [1%] NU
[3] δυνηση ετι **f**[35] A,N [92%] CP,HF,RP,TR ¦ δυνη 2 **𝔓**[75]B,D,W [8%] OC,NU ¦ ~ 2 δυνη א
[4] μετασταθω **f**[35] A,W [88.5%] HF,RP,TR ¦ μεταστω [3.5%] CP ¦ 1 εκ **𝔓**[75]א**B**,D,N [6%] OC,NU ¦ 1 απο [1%] ¦ five other variants [1%]
[5] αυτων *rell* ¦ εαυτων א**B**,N [2%] OC
[6] χρεωφειλετων **f**[35] [75%] CP,HF,RP,TR,OC ¦ χρεοφειλετων **𝔓**[75]B [5%] NU ¦ χρεοφιλετων אA,D,N [20%] ¦ χρεωστων W
[7] εαυτου **f**[35] **𝔓**[75]A,B,N,W [70%] CP,HF,RP,TR,OC,NU ¦ αυτου אD [30%]
[8] οφειλεις *rell* ¦ 1 συ [2%] OC
[9] και **f**[35] N,W [96.5%] CP,HF,RP,TR,OC ¦ ο δε **𝔓**[75]אA,B [3.5%] NU ¦ δε (D)
[10] το γραμμα **f**[35] A,W [99%] CP,HF,RP,TR,OC ¦ τα γραμματα **𝔓**[75]א**B**,D,N [1%] NU
[11] και λεγει **f**[35] A,N,W [93%] CP,HF,RP,TR,OC ¦ 2 **𝔓**[75]B [6%] NU ¦ ~ 2 δε א [1%] ¦ ο δε 2 D
[12] το γραμμα **f**[35] A,W [99%] CP,HF,RP,TR,OC ¦ τα γραμματα **𝔓**[75]א**B**,D,N [1%] NU
[13] οι *rell* ¦ --- [13%]
[14] καγω **f**[35] A,D,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ και εγω **𝔓**[75]א**B** [1.5%] NU
[15] ποιησατε εαυτοις **f**[35] A,D,N,W [88%] CP,HF,RP,TR,OC ¦ 1 εαυτους [11.5%] ¦ ~ 21 **𝔓**[75]א**B** [0.5%] NU
[16] εκλειπητε **f**[35] [65%] CP,HF ¦ εκλιπητε [30%] RP,TR,OC ¦ εκλιπη **𝔓**[75]א**B**,D,N [2.5%] NU ¦ εκλειπη A [2%] ¦ εκλειπηται W ¦ one other variant
[17] ταυτα παντα και **f**[35] A,N,W (82.8%) CP,HF,RP,TR,OC ¦ ~ 213 (3%) ¦ 12 **𝔓**[75](א)B (3.2%) NU ¦ 13 (6.2%) ¦ 23 (1.7%) ¦ ~ 21 (0.4%) ¦ 1 D (0.5%) ¦ 2 (0.2%) ¦ 1 παντες 3 (0.4%) ¦ παντες 3 (0.5%) ¦ παντες (1.3%)
[18] του θεου **f**[35] **𝔓**[75]אA,D,N,W [62%] HF,RP,OC,NU ¦ 12 εστιν [38%] TR ¦ 12 ην CP ¦ κυριου B
[19] εως **f**[35] A,D,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ μεχρι **𝔓**[75]א**B** [2.5%] NU

μίαν κεραίαν πεσεῖν.

18 »Πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ καὶ γαμῶν ἑτέραν μοιχεύει,[1] καὶ πᾶς ὁ[2] ἀπολελυμένην ἀπὸ ἀνδρὸς γαμῶν μοιχεύει.

A rich man and beggar Lazarus

19 »Ἄνθρωπος δέ τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ᾽ ἡμέραν λαμπρῶς. **20** Πτωχὸς δέ τις ἦν[3] ὀνόματι Λάζαρος, ὃς[4] ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ, ἡλκωμένος,[5] **21** καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων[6] ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου—ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον[7] τὰ ἕλκη αὐτοῦ. **22** Ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον τοῦ[8] Ἀβραάμ.

»Ἀπέθανεν δὲ καὶ ὁ πλούσιος καὶ ἐτάφη. **23** Καὶ ἐν τῷ Ἅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν[9] Ἀβραὰμ ἀπὸ μακρόθεν, καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. **24** Καὶ αὐτὸς φωνήσας εἶπεν, ‹Πάτερ Ἀβραάμ, ἐλέησόν με καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καὶ καταψύξῃ τὴν γλῶσσάν μου· ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ.› **25** Εἶπεν δὲ Ἀβραάμ· ‹Τέκνον, μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου[10] ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὅδε[11] παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. **26** Καὶ ἐπὶ[12] πᾶσι τούτοις, μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν[13] πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ οἱ[14] ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν.› **27** Εἶπεν δέ, ‹Ἐρωτῶ οὖν σε,[15] πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου, **28** ἔχω γὰρ πέντε ἀδελφούς, ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου.› **29** Λέγει[16] αὐτῷ[17] Ἀβραάμ, ‹Ἔχουσι Μωσέα[18] καὶ τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν.› **30** Ὁ δὲ εἶπεν, ‹Οὐχί, πάτερ Ἀβραάμ—ἀλλ᾽ ἐάν τις ἀπὸ[19] νεκρῶν πορευθῇ πρὸς αὐτούς, μετανοήσουσιν.›[20] **31** Εἶπεν δὲ αὐτῷ, ‹Εἰ Μωσέως[21] καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ[22] ἐάν τις ἐκ νεκρῶν ἀναστῇ πεισθήσονται.› »

---

[1] μοιχευει *rell* ¦ μοιχαται [16%]

[2] πας ο **f**[35] ℵA,N,W [97%] CP,HF,RP,TR,OC ¦ ο B,D [3%] NU ¦ --- **𝔓**[75]

[3] ην **f**[35] A,N,W (95.3%) CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB,D (4.7%) NU

[4] ος **f**[35] A,N,W (98.6%) CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB,D (1.4%) NU [Note that in the space of four words in the Text the same four early uncials are ‘followed’ by a rather different array of other attestation; we have independent lines of transmission.]

[5] ηλκωμενος **f**[35] [84%] CP,HF,RP,TR,OC ¦ ειλκωμενος **𝔓**[75]ℵA,B,D,N,W [16%] NU

[6] των ψιχιων των πιπτοντων **f**[35] A(D)N,W (98.7%) CP,HF,RP,TR,OC ¦ ~ 342 (0.4%) ¦ 34 **𝔓**[75]ℵB (0.3%) NU ¦ 12 (0.1%) ¦ --- (0.4%) ¦ three other variants (0.2%)

[7] απελειχον **f**[35] N(W) [98.5%] CP,HF,RP,TR,OC ¦ επελειχον ℵA,B [1%] NU ¦ ελειχον D [0.5%]

[8] του **f**[35] W [26%] CP,TR ¦ --- **𝔓**[75]ℵA,B(D)N [74%] HF,RP,OC,NU

[9] τον **f**[35] A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB,D [0.5%] NU

[10] συ τα αγαθα σου **f**[35] W [87%] CP,HF,RP,TR,OC ¦ ~ 2341 A ¦ 234 **𝔓**[75]ℵB,D,N [13%] NU

[11] οδε **f**[35] [30%] CP,TR ¦ ωδε **𝔓**[75]ℵA,B,D,N,W [70%] HF,RP,OC,NU [the emphatic pronoun is better—‘he’ VS ‘here’—Abraham is contrasting the situation of the two men]

[12] επι **f**[35] A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ εν **𝔓**[75]ℵB [0.5%] NU

[13] ενθεν **f**[35] **𝔓**[75]ℵA,B,N [89%] CP,HF,RP,OC,NU ¦ εντευθεν [11%] TR ¦ --- D,W

[14] οι **f**[35] A,N,W [99.7%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB,D,NU

[15] ουν σε **f**[35] **𝔓**[75]ℵN [98%] CP,HF,RP,TR,OC ¦ ~ 21 A,B,D [2%] NU ¦ 2 W

[16] λεγει **f**[35] [67%] CP,HF,RP,TR,OC ¦ 1 δε **𝔓**[75]ℵA,B,N,W [33%] NU ¦ ειπεν δε D

[17] αυτω **f**[35] A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB [0.5%] NU

[18] μωσεα **f**[35] ℵA,W [91%] CP,HF,RP,TR ¦ μωυσεα **𝔓**[75]B,D,N [9%] OC,NU ¦ one other variant

[19] απο *rell* ¦ 1 των [14%] ¦ εκ D [3%]

[20] μετανοησουσιν *rell* ¦ μετανοησωσιν [23%]

[21] μωσεως **f**[35] ℵA,B [91%] CP,HF,RP,TR ¦ μωυσεως **𝔓**[75]D,N,W [8%] OC,NU ¦ three other variants [1%]

[22] ουδε *rell* ¦ ουδ NU

Don't offend, forgive

17:1 Εἶπεν δὲ[1] πρὸς τοὺς μαθητάς·[2] «Ἀνένδεκτόν ἐστιν τοῦ μὴ ἐλθεῖν τὰ σκάνδαλα,[3] οὐαὶ δὲ[4] δι᾽ οὗ ἔρχεται. **2** Λυσιτελεῖ αὐτῷ εἰ μύλος ὀνικὸς[5] περίκειται περὶ τὸν τράχηλον αὐτοῦ καὶ ἔρριπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων.[6] **3** Προσέχετε ἑαυτοῖς· ἐὰν δὲ[7] ἁμάρτῃ εἰς σὲ[8] ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ· καὶ ἐὰν μετανοήσῃ,[9] ἄφες αὐτῷ. **4** Καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ[10] εἰς σέ, καὶ ἑπτάκις τῆς ἡμέρας[11] ἐπιστρέψῃ,[12] λέγων, ‹Μετανοῶ,› ἀφήσεις αὐτῷ.»

Faith like a mustard seed has

5 Καὶ εἶπον[13] οἱ ἀπόστολοι τῷ Κυρίῳ, «Πρόσθες ἡμῖν πίστιν.» **6** Εἶπεν δὲ ὁ Κύριος· «Εἰ εἴχετε[14] πίστιν ὡς κόκκον σινάπεως, ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ,[15] ‹Ἐκριζώθητι, καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ,› καὶ ὑπήκουσεν ἂν ὑμῖν.

The thanks that a slave gets

7 »Τίς δὲ ἐξ ὑμῶν, δοῦλον ἔχων ἀροτριῶντα ἢ ποιμαίνοντα, ὃς εἰσελθόντι ἐκ τοῦ ἀγροῦ, ἐρεῖ[16] εὐθέως, ‹Παρελθὼν ἀνάπεσε›;[17] **8** Ἀλλ᾽ οὐχὶ ἐρεῖ αὐτῷ, ‹Ἑτοίμασον τί δειπνήσω, καὶ περιζωσάμενος διακόνει μοι ἕως[18] φάγω καὶ πίω, καὶ μετὰ ταῦτα φάγεσαι καὶ πίεσαι σύ›; **9** Μὴ χάριν ἔχει[19] τῷ δούλῳ ἐκείνῳ[20] ὅτι ἐποίησεν τὰ διαταχθέντα; Οὐ δοκῶ.[21] **10** Οὕτως καὶ ὑμεῖς, ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε ὅτι ‹Δοῦλοι ἀχρεῖοί ἐσμεν, ὅτι[22] ὃ ὠφείλομεν[23] ποιῆσαι πεποιήκαμεν.› »

Jesus cleanses ten lepers

11 Καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι αὐτὸν[24] εἰς Ἰερουσαλήμ, καὶ αὐτὸς διήρχετο διὰ μέσου[25] Σαμαρείας καὶ Γαλιλαίας. **12** Καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα κώμην, ἀπήντησαν αὐτῷ[26] δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόρρωθεν. **13** Καὶ αὐτοὶ ἦραν φωνὴν λέγοντες, «Ἰησοῦ, Ἐπιστάτα, ἐλέησον ἡμᾶς.» **14** Καὶ ἰδὼν εἶπεν αὐτοῖς, «Πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσιν.» Καὶ

---

[1] ειπεν δε *rell* ¦ ελεγεν 2 και OC
[2] μαθητας **f**[35] N,W [84%] CP,HF,RP,TR ¦ 1 αυτου **𝔓**[75]א,A,B,D [16%] OC,NU
[3] μη ελθειν τα σκανδαλα **f**[35] A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 3412 **𝔓**[75]אB [0.5%] NU
[4] ουαι δε **f**[35] A,N(W) [97.5%] CP,HF,RP,TR,OC ¦ ~ πλην 1 **𝔓**[75]אB,D [2.5%] NU
[5] μυλος ονικος **f**[35] A,N [94%] CP,HF,RP,TR ¦ λιθος μυλικος **𝔓**[75]אB,D [6%] OC,NU ¦ λιθος 2 W
[6] ενα των μικρων τουτων **f**[35] A(D)N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 2341 א(B) [0.5%] NU
[7] δε **f**[35] A,W [97%] CP,HF,RP,TR,OC ¦ --- אB,D,N [3%] NU
[8] εις σε **f**[35] D,N [95.5%] CP,HF,RP,TR,OC ¦ --- אA,B,W [4.5%] NU
[9] μετανοηση *rell* ¦ μετανοησει [11%]
[10] αμαρτη **f**[35] א [96%] CP,HF,RP,TR,OC ¦ αμαρτηση A,B,D,N,W [4%] NU
[11] της ημερας **f**[35] A,N,W [98%] CP,HF,RP,TR,OC ¦ --- אB,D [2%] NU
[12] επιστρεψη **f**[35] N,W [92%] CP,HF,RP ¦ 1 επι σε [3%] TR ¦ 1 προς σε אA,B,D [4%] OC,NU ¦ 1 εις σε [1%] ¦ one other variant (15% have επιστρεφει scattered among the variants)
[13] ειπον *rell* ¦ ειπαν אB,D [1%] NU
[14] ειχετε **f**[35] D [50%] CP,TR ¦ εχετε **𝔓**[75]אA,B [50%] HF,RP,OC,NU ¦ εχεται N,W
[15] ταυτη **f**[35] A,B,N,W [99.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[75]א(D) [0.5%]
[16] ερει **f**[35] A,W [93.5%] CP,HF,RP,TR,OC ¦ 1 αυτω **𝔓**[75]אB,D,N [6.5%] NU
[17] αναπεσε **f**[35] **𝔓**[75]אB,D,W [80%] CP,HF,RP,OC,NU ¦ αναπεσαι A,N [18%] TR ¦ αναπεσον [2%] ¦ three other variants
[18] εως *rell* ¦ 1 αν A,N [19%]
[19] χαριν εχει **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75]אB,D [1%] NU
[20] τω δουλω εκεινω **f**[35] N,W [99%] CP,HF,RP,TR,OC ¦ 12 **𝔓**[75]A,B,D [1%] NU ¦ --- א
[21] ου δοκω **f**[35] A,N,W (93.8%) CP,HF,RP,OC ¦ αυτω 12 D (2.8%) TR ¦ αυτω (0.2%) ¦ παντα … αυτω 12 (0.6%) ¦ παντα … 12 (0.3%) ¦ two other readings (0.1%) ¦ --- **𝔓**[75]B (1.5%) NU ¦ long omissions א (0.6%)
[22] οτι **f**[35] N,W [95%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אA,B,D [5%] NU
[23] ωφειλομεν **f**[35] **𝔓**[75]A,B,D [55%] HF,TR,OC,NU ¦ ωφειλαμεν א [0.5%] ¦ οφειλομεν W [45%] CP,RP ¦ οφιλομεν N
[24] αυτον **f**[35] A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אB [1%] NU
[25] μεσου **f**[35] A,N,W [98%] CP,HF,RP,TR,OC ¦ μεσον **𝔓**[75]אB(D) [0.5%] NU ¦ ανα μεσον [1.5%]
[26] αυτω **f**[35] אA,N,W [99.7%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[75]B(D) [0.3%]

ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς ἐκαθαρίσθησαν. **15** Εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψεν μετὰ φωνῆς μεγάλης δοξάζων τὸν Θεόν· **16** καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν αὐτῷ—καὶ αὐτὸς ἦν Σαμαρείτης.[1] **17** Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· «Οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; Οἱ δὲ ἐννέα[2] ποῦ; **18** Οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ εἰ μὴ ὁ ἀλλογενὴς οὗτος.» **19** Καὶ εἶπεν αὐτῷ, «Ἀναστὰς πορεύου· ἡ πίστις σου σέσωκέν σε.»

The coming of the Kingdom

20 Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν Φαρισαίων πότε ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ, ἀπεκρίθη αὐτοῖς καὶ εἶπεν· «Οὐκ ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ μετὰ παρατηρήσεως· **21** οὐδὲ ἐροῦσιν, ‹Ἰδοὺ ὧδε,› ἤ,[3] ‹Ἰδοὺ[4] ἐκεῖ›· ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν.»

22 Εἶπεν δὲ[5] πρὸς τοὺς μαθητάς· «Ἐλεύσονται ἡμέραι ὅτε ἐπιθυμήσετε[6] μίαν τῶν ἡμερῶν τοῦ Υἱοῦ τοῦ Ἀνθρώπου ἰδεῖν, καὶ οὐκ ὄψεσθε. **23** Καὶ ἐροῦσιν ὑμῖν, ‹Ἰδοὺ ὧδε,› ἤ, ‹Ἰδοὺ ἐκεῖ.›[7] Μὴ ἀπέλθητε μηδὲ διώξητε. **24** Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἡ[8] ἀστράπτουσα ἐκ τῆς ὑπ᾽[9] οὐρανὸν εἰς τὴν ὑπ᾽ οὐρανὸν λάμπει, οὕτως ἔσται[10] ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐν τῇ ἡμέρᾳ αὐτοῦ.[11] **25** Πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης. **26** Καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις[12] Νῶε, οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ Υἱοῦ τοῦ Ἀνθρώπου. **27** Ἤσθιον, ἔπινον, ἐγάμουν, ἐξεγαμίζοντο,[13] ἄχρι ἧς ἡμέρας εἰσῆλθεν Νῶε εἰς τὴν κιβωτόν, καὶ ἦλθεν ὁ κατακλυσ-μὸς καὶ ἀπώλεσεν ἅπαντας.[14] **28** Ὁμοίως καὶ ὡς[15] ἐγένετο ἐν ταῖς ἡμέραις Λώτ· ἤσθιον, ἔπινον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκοδόμουν—**29** ᾗ δὲ ἡμέρᾳ ἐξῆλθεν Λὼτ ἀπὸ Σοδόμων, ἔβρεξεν πῦρ καὶ θεῖον ἀπ᾽ οὐρανοῦ καὶ ἀπώλεσεν ἅπαντας.[16] **30** Κατὰ ταῦτα[17] ἔσται ᾗ ἡμέρᾳ ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἀποκαλύπτεται.

31 »Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὃς ἔσται ἐπὶ τοῦ δώματος, καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, μὴ καταβάτω ἆραι αὐτά· καὶ ὁ ἐν τῷ[18] ἀγρῷ ὁμοίως μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω. **32** Μνημονεύετε τῆς γυναικὸς Λώτ. **33** Ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι[19] ἀπολέσει[20] αὐτήν, καὶ ὃς ἐὰν[21] ἀπολέσῃ[22] αὐτὴν[23] ζωογονήσει αὐτήν. **34** Λέγω ὑμῖν· ταύτῃ τῇ νυκτὶ δύο ἔσονται[24] ἐπὶ κλίνης

---

[1] σαμαρειτης *rell* ¦ σαμαριτης ℵD,N,W [3.5%] NU ¦ σαμαρειτις [4%] ¦ one other variant
[2] εννεα *rell* ¦ εννε CP
[3] η *rell* ¦ --- [13%] CP ¦ και W
[4] ιδου **f**[35] A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB [1%] NU
[5] δε *rell* ¦ 1 και CP ¦ 1 ουν D
[6] επιθυμησετε *rell* ¦ επιθυμησητε N [10%] ¦ επιθυμησεται ℵA,W [10%] ¦ επιθυμησηται B
[7] ωδε η ιδου εκει **f**[35] A [52%] HF,RP,TR ¦ 134 D,W [15%] CP,OC ¦ 1 και 34 [5%] ¦ 1234 ο χριστος N [15%] ¦ 134 ο Χριστος [9%] ¦ 124 [4%] ¦ ~ 4231 **𝔓**[75]B[NU] ¦ ~ 4 και 31 ℵ
[8] η **f**[35] A,D [88%] CP,HF,RP,TR ¦ --- **𝔓**[75]ℵB,N,W [12%] OC,NU
[9] ὑπ **f**[35] N [92%] CP,HF,RP,TR,OC ¦ υπο τον **𝔓**[75]ℵA,B,D,W [7%] NU (at least 1% have των ουρανων)
[10] εσται **f**[35] **𝔓**[75]ℵA,B,W [92.5%] CP,HF,RP,NU ¦ 1 και D,N [7.5%] TR,OC
[11] εν τη ημερα αυτου **f**[35] ℵA,N,W [99.7%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[75]B,D
[12] ημεραις *rell* ¦ 1 του [3%] TR
[13] εξεγαμιζοντο **f**[35] A,N,W [82%] CP,HF,RP,TR,OC ¦ εγαμιζοντο **𝔓**[75]ℵB,D [18%] NU
[14] απαντας **f**[35] ℵA,N,W [98%] CP,HF,RP,TR,OC ¦ παντας **𝔓**[75]B,D [2%] NU
[15] και ως **f**[35] A,D,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ καθως **𝔓**[75]ℵB [1.5%] NU
[16] απαντας **f**[35] ℵA,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ παντας B,D [2.5%] NU
[17] ταυτα **f**[35] ℵA,W [94%] CP,HF,RP,TR ¦ τα αυτα B,D,N [6%] OC,NU
[18] τω **f**[35] A,D,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB [1.5%] NU
[19] σωσαι **f**[35] ℵA,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ περιποιησασθαι **𝔓**[75]B [0.3%] NU ¦ ζωογονησαι (D)
[20] απολεσει *rell* ¦ απολεση W [14%] ¦ one other variant
[21] και ος εαν **f**[35] A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ 2 δαν **𝔓**[75]ℵB [1%] NU ¦ 12 αν D [1%] ¦ three other variants
[22] απολεση *rell* ¦ απολεσει A,N [16%]
[23] αυτην **f**[35] A,N,W [92.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB,D [1.5%] NU ¦ 1 ενεκεν εμου [5%] ¦ την ψυχην αυτου [1%]
[24] δυο εσονται **f**[35] A,N,W [48%] OC ¦ ~ 21 **𝔓**[75]ℵB(D) [52%] CP,HF,RP,TR,NU

μιᾶς·[1] εἷς παραληφθήσετα[2] καὶ ὁ ἕτερος ἀφεθήσεται. **35** Δύο ἔσοντα[3] ἀλήθουσαι ἐπὶ τὸ αὐτό·[4] μία παραληφθήσεται[5] καὶ ἡ[6] ἑτέρα ἀφεθήσεται.»[7]

37 Καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ, «Ποῦ, Κύριε;» Ὁ δὲ εἶπεν αὐτοῖς, «Ὅπου τὸ σῶμα,[8] ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί.»[9]

Parable of a persistent widow

18:1 Ἔλεγεν δὲ καὶ[10] παραβολὴν αὐτοῖς πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι[11] καὶ μὴ ἐκκακεῖν,[12] **2** λέγων· «Κριτής τις ἦν ἔν τινι πόλει τὸν Θεὸν μὴ φοβούμενος καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος. **3** Χήρα δὲ[13] ἦν ἐν τῇ πόλει ἐκείνῃ, καὶ ἤρχετο πρὸς αὐτόν, λέγουσα, ‹Ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου.› **4** Καὶ οὐκ ἤθελεν[14] ἐπὶ χρόνον· μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ, ‹Εἰ καὶ τὸν Θεὸν οὐ φοβοῦμαι καὶ ἄνθρωπον οὐκ[15] ἐντρέπομαι, **5** διά γε τὸ παρέχειν μοι κόπον[16] τὴν χήραν[17] ταύτην, ἐκδικήσω αὐτήν, ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑπωπιάζῃ[18] με.› »

6 Εἶπεν δὲ ὁ Κύριος· «Ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει. **7** Ὁ δὲ Θεὸς οὐ μὴ ποιήσῃ[19] τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ τῶν βοώντων πρὸς αὐτὸν[20] ἡμέρας καὶ νυκτός, καὶ μακροθυμῶν[21] ἐπ᾽ αὐτοῖς; **8** Λέγω[22] ὑμῖν ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει. Πλὴν ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐλθών, ἆρα εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;»

Parable of a Pharisee and a publican

9 Εἶπεν δὲ[23] πρός τινας τοὺς πεποιθότας ἐφ᾽ ἑαυτοῖς ὅτι εἰσὶν δίκαιοι καὶ ἐξουθενοῦντας τοὺς λοιποὺς τὴν παραβολὴν ταύτην· **10** «Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς Φαρισαῖος καὶ ὁ ἕτερος τελώνης. **11** Ὁ Φαρισαῖος σταθεὶς πρὸς ἑαυτὸν ταῦτα προσηύχετο· ‹Ὁ Θεός, εὐχαριστῶ σοι ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων—ἅρπαγες, ἄδικοι, μοιχοί—ἢ καὶ ὡς οὗτος ὁ τελώνης. **12** Νηστεύω δὶς τοῦ σαββάτου· ἀποδεκατῶ πάντα ὅσα κτῶμαι.› **13** Καὶ ὁ[24] τελώνης, μακρόθεν ἑστώς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι,[25] ἀλλ᾽

---

[1] μιας **f**[35] A,D,N,W [97%] CP,HF,RP,OC ¦ 1 ο **𝔓**[75]א B [3%] TR,NU

[2] παραληφθησεται *rell* ¦ παραλημφθησεται **𝔓**[75]א A,B,N,W [1.5%] NU ¦ παραλειφθησεται [4%] ¦ παραλαμβανεται [7%] ¦ παραλαμβανετε D

[3] δυο εσονται **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75]B,D,Q [1%] NU ¦ two other variants (א omits verse)

[4] αυτο **f**[35] A,N,W [89%] CP,HF,RP,TR,OC ¦ 1 η **𝔓**[75]B,D,Q [11%] NU

[5] παραληφθησεται *rell* ¦ παραλημφθησεται **𝔓**[75]א A,B,N,Q,W [1%] NU ¦ παραλειφθησεται [3.5%] ¦ παραλαμβανεται [1.5%]

[6] και η **f**[35] A,D,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 1 δε **𝔓**[75]B,Q [1.5%] NU

[7] αφεθησεται **f**[35] **𝔓**[75]א A,B,N,Q,W [80%] HF,RP,TR,NU ¦ αφεθησεται 36 δυο εσονται (−ε. OC) εν τω αγρω ο (−ο OC) εις παραληφθησεται και ο ετερος αφεθησεται (with variations) (D) [20%] CP, some TRs(OC)

[8] σωμα *rell* ¦ πτωμα [16%]

[9] συναχθησονται και οι αετοι **f**[35] [29%] ¦ 134 A,D,N,W [68%] CP,HF,RP,TR ¦ ~ 234 επισυναχθησονται א B [0.5%] NU ¦ ~ 341 [1%] ¦ επισυναχθησονται 34 Q [1%] ¦ επισυναχθησονται 234 OC

[10] και **f**[35] A,D,N,W [97%] CP,HF,RP,TR,OC ¦ --- א B,Q [3%] NU

[11] προσευχεσθαι **f**[35] D [57%] CP,HF,RP,TR ¦ 1 αυτους א A,B,N,Q,W [43%] OC,NU

[12] εκκακειν **f**[35] W [88%] CP,HF,RP,TR,OC ¦ εγκακειν (א A,B,D,Q)N [12%] NU

[13] δε *rell* ¦ 1 τις N [16%]

[14] ηθελεν **f**[35] א A,B,D,N,Q,W [47%] NU ¦ ηθελησεν [53%] CP,HF,RP,TR,OC

[15] και ανθρωπον ουκ **f**[35] A,D,N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ ~ ουδε 2 א B [1%] NU

[16] κοπον *rell* ¦ κοπους א N [13%]

[17] χηραν *rell* ¦ χηρα [17%]

[18] υπωπιαζη **f**[35] א A,B,D,Q [45%] TR,NU ¦ υποπιαζη (N) [42%] CP,HF,RP,OC ¦ υποπιεζη [6.5%] ¦ υποπιαζει [6%] ¦ υποπταζη W ¦ one other variant

[19] ποιηση **f**[35] **𝔓**[75]א B,D,N,Q [63%] CP,HF,RP,OC,NU ¦ ποιησει A,W [37%] TR

[20] προς αυτον **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ αυτω **𝔓**[75]א B,Q [1%] NU ¦ αυτων D

[21] μακροθυμων **f**[35] N,W [94.5%] CP,HF,RP,TR,OC ¦ μακροθυμει א A,B(D)Q [5.5%] NU

[22] λεγω *rell* ¦ ναι 1 N [12%] CP

[23] δε **f**[35] A,W [86%] CP,HF,RP ¦ 1 και **𝔓**[75]א B,D,N,Q [14%] TR,OC,NU

[24] και ο **f**[35] A,D,N,Q,W [95%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε **𝔓**[75v]א B,T [5%] NU

[25] εις τον ουρανον επαραι **f**[35] A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 4123 א B,Q,T [1%] NU

ἔτυπτεν εἰς[1] τὸ στῆθος αὐτοῦ λέγων, ‹Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.› **14** Λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ ἢ γὰρ ἐκεῖνος·[2] ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.»

You enter the Kingdom like a child does

15 Προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη, ἵνα αὐτῶν ἅπτηται· ἰδόντες δὲ[3] οἱ μαθηταί,[4] ἐπετίμησαν[5] αὐτοῖς. **16** Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτὰ εἶπεν·[6] «Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. **17** Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν[7] μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.»

An upright, rich ruler

18 Καὶ ἐπηρώτησέν τις αὐτὸν ἄρχων λέγων, «Διδάσκαλε ἀγαθέ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;» **19** Εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς· «Τί με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς, ὁ Θεός. **20** Τὰς ἐντολὰς οἶδας· ‹Μὴ μοιχεύσῃς, Μὴ φονεύσῃς, Μὴ κλέψῃς, Μὴ ψευδομαρτυρήσῃς, Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου.› »[8] **21** Ὁ δὲ εἶπεν, «Ταῦτα πάντα[9] ἐφυλαξάμην[10] ἐκ νεότητός μου.»[11] **22** Ἀκούσας δὲ ταῦτα[12] ὁ Ἰησοῦς εἶπεν αὐτῷ, «Ἔτι ἕν σοι λείπει· πάντα ὅσα ἔχεις πώλησον καὶ διάδος[13] πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ·[14] καὶ δεῦρο, ἀκολούθει μοι.» **23** Ὁ δὲ ἀκούσας ταῦτα περίλυπος ἐγένετο,[15] ἦν γὰρ πλούσιος σφόδρα.

Riches tend to keep people out of the Kingdom

24 Ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον γενόμενον[16] εἶπεν· «Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.[17] **25** Εὐκοπώτερον γάρ ἐστιν κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος[18] εἰσελθεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν.» **26** Εἶπον δὲ οἱ ἀκούσαντες, «Καὶ τίς δύναται σωθῆναι;» **27** Ὁ δὲ εἶπεν, «Τὰ ἀδύνατα παρὰ ἀνθρώποις δυνατὰ ἐστιν παρὰ τῷ Θεῷ.»[19]

28 Εἶπεν δὲ[20] Πέτρος, «Ἰδού, ἡμεῖς ἀφήκαμεν πάντα καὶ[21] ἠκολουθήσαμέν σοι.» **29** Ὁ δὲ εἶπεν αὐτοῖς, «Ἀμὴν λέγω ὑμῖν ὅτι οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν ἢ γονεῖς ἢ ἀδελφοὺς ἢ γυναῖκα[22]

---

[1] εις **f**[35] A,N,W [95%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,Q,T [5%] NU
[2] η γαρ εκεινος **f**[35] A,N,Q [98%] CP,HF,RP,OC ¦ 13 W [1%] TR ¦ παρ εκεινον ℵB,T [1%] NU ¦ D is wild
[3] ιδοντες δε *rell* ¦ ~ και 1 [1.5%] OC
[4] μαθηται *rell* ¦ 1 αυτου [13%]
[5] επετιμησαν **f**[35] (A)N,W [96%] CP,HF,RP,TR,OC ¦ επετιμων ℵ(B)(D)T [4%] NU
[6] προσκαλεσαμενος αυτα ειπεν **f**[35] A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ προσεκαλεσατο 2 λεγων ℵ [0.5%] NU ¦ προσεκαλειτο 2 λεγων D [2%] ¦ προσεκαλεσατο λεγων B
[7] εαν **f**[35] A,N [97%] CP,HF,RP,TR,OC ¦ αν ℵB,D,W [3%] NU
[8] σου **f**[35] ℵN [80%] CP,HF,RP,TR,OC ¦ --- A,B,D,W [20%] NU
[9] ταυτα παντα *rell* ¦ ~ 21 A,N [11%]
[10] εφυλαξαμην **f**[35] D,N,W [98%] CP,HF,RP,TR,OC ¦ εφυλαξα ℵA,B [2%] NU
[11] μου **f**[35] ℵA,N,W [99.8%] CP,HF,RP,TR,OC ¦ --- B,D,NU
[12] ταυτα **f**[35] A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D [1.5%] NU
[13] διαδος *rell* ¦ δος ℵA,D,N [11%]
[14] ουρανω **f**[35] N,W [98.5%] CP,HF,RP,TR,OC ¦ ουρανοις ℵA [1%] ¦ τοις ουρανοις B,D[NU] ¦ two other variants
[15] εγενετο **f**[35] A,D,N,W [99.7%] CP,HF,RP,TR,OC ¦ εγενηθη ℵB [0.3%] NU
[16] περιλυπον γενομενον **f**[35] A(D)N,W (98.9%) CP,HF,RP,TR,OC[NU] ¦ 1 (0.2%) ¦ --- ℵ(B) (0.9%)
[17] εισελευσονται εις την βασιλειαν του θεου **f**[35] A,N,W [88%] CP,HF,RP,TR,OC ¦ ~ 234561 ℵD [1%] ¦ ~ 23456 εισπορευονται B [0.2%] NU ¦ 1234 των ουρανων [11%]
[18] τρυμαλιας ραφιδος **f**[35] A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ 1 βελονης [1%] ¦ τρηματος βελονης ℵB,D,NU ¦ τρυπηματος βελονης [1%]
[19] εστιν παρα τω θεω **f**[35] A,N [92%] CP,HF,RP,TR ¦ ~ 2341 ℵB [6%] OC,NU ¦ 124 [2%] ¦ ~ 241 D,W
[20] δε **f**[35] A,W [85%] CP,HF,RP ¦ 1 ο ℵB,D,N [15%] TR,OC,NU
[21] αφηκαμεν παντα και **f**[35] ℵA,N,W [98%] CP,HF,RP,TR,OC ¦ αφεντες τα ιδια B [0.2%] NU ¦ τα ιδια αφεντες D ¦ αφεντες 2 τα ιδια [1%] ¦ 2 τα ιδια αφεντες [0.5%]
[22] γονεις η αδελφους η γυναικα **f**[35] A,N,W [97%] CP,HF,RP,TR,OC ¦ ~ 52341 ℵB [0.5%] NU ¦ 123 η αδελφας 45 D [2%] ¦ several other variants

ἢ τέκνα, ἕνεκεν τῆς βασιλείας τοῦ Θεοῦ, **30** ὃς οὐ[1] μὴ ἀπολάβῃ[2] πολλαπλασίονα ἐν τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.»

Jesus declares His coming death and resurrection—third time

31 Παραλαβὼν δὲ τοὺς δώδεκα εἶπεν πρὸς αὐτούς· «Ἰδού, ἀναβαίνομεν εἰς Ἰεροσόλυμα,[3] καὶ τελεσθήσεται[4] πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν τῷ Υἱῷ τοῦ Ἀνθρώπου· **32** Παραδοθήσεται γὰρ τοῖς ἔθνεσιν, καὶ ἐμπαιχθήσεται καὶ ὑβρισθήσεται καὶ ἐμπτυσθήσεται, **33** καὶ μαστιγώσαντες ἀποκτενοῦσιν αὐτόν. Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ[5] ἀναστήσεται.» **34** Καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ᾽ αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα.

A blind man near Jericho

35 Ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἰεριχώ, τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν.[6] **36** Ἀκούσας δὲ ὄχλου διαπορευομένου, ἐπυνθάνετο τί[7] εἴη τοῦτο.[8] **37** Ἀπήγγειλαν δὲ αὐτῷ ὅτι Ἰησοῦς ὁ Ναζωραῖος παρέρχεται. **38** Καὶ ἐβόησεν λέγων, «Ἰησοῦ, Υἱὲ Δαυίδ, ἐλέησόν με.» **39** Καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ ἵνα σιωπήσῃ·[9] αὐτὸς δὲ πολλῷ μᾶλλον ἔκραζεν, «Υἱὲ Δαυίδ, ἐλέησόν με.» **40** Σταθεὶς δὲ ὁ Ἰησοῦς ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτόν. Ἐγγίσαντος δὲ αὐτοῦ ἐπηρώτησεν αὐτὸν λέγων,[10] **41** «Τί σοι θέλεις ποιήσω;» Ὁ δὲ εἶπεν, «Κύριε, ἵνα ἀναβλέψω.» **42** Καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· «Ἀνάβλεψον· ἡ πίστις σου σέσωκέν σε.» **43** Καὶ παραχρῆμα ἀνέβλεψεν, καὶ ἠκολούθει αὐτῷ δοξάζων τὸν Θεόν. Καὶ πᾶς ὁ λαὸς ἰδὼν ἔδωκεν αἶνον τῷ Θεῷ.

Zacchaeus

19:1 Καὶ εἰσελθὼν[11] διήρχετο τὴν Ἰεριχώ. **2** Καὶ ἰδού, ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος—καὶ αὐτὸς ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν[12] πλούσιος. **3** Καὶ ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν τίς ἐστιν, καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν. **4** Καὶ προδραμὼν[13] ἔμπροσθεν[14] ἀνέβη ἐπὶ συκομοραίαν,[15] ἵνα ἴδῃ αὐτόν, ὅτι[16] ἐκείνης ἤμελλεν[17] διέρχεσθαι. **5** Καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς εἶδεν αὐτόν, καὶ[18] εἶπεν πρὸς αὐτόν, «Ζακχαῖε, σπεύσας κατάβηθι, σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι.» **6** Καὶ σπεύσας κατέβη, καὶ ὑπεδέξατο αὐτὸν χαίρων. **7** Καὶ ἰδόντες, πάντες[19] διεγόγγυζον, λέγοντες ὅτι «Παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθεν καταλῦσαι.»

8 Σταθεὶς δὲ Ζακχαῖος εἶπεν πρὸς τὸν Κύριον,[20] «Ἰδού, τὰ ἡμίση[21] τῶν ὑπαρχόντων μου,[22]

---

[1] ος ου **f**[35] A,N,W [95.5%] CP,HF,RP,TR,OC ¦ 1 ουχι ℵB [1%] NU ¦ και 2 Q [1.5%] ¦ 1 [2%] ¦ εαν D
[2] απολαβη **f**[35] ℵA,N,W [92%] CP,HF,RP,TR,OC[NU] ¦ λαβη B,D [8%]
[3] ιεροσολυμα **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ ιερουσαλημ ℵB,D [1%] NU
[4] τελεσθησεται *rell* ¦ τελειωθησεται [3%] OC
[5] ημερα τη τριτη *rell* ¦ ~ 32 [20%]
[6] προσαιτων **f**[35] A,W [99.5%] CP,HF,RP,TR,OC ¦ επαιτων ℵB(D)Q,T [0.5%] NU
[7] τι **f**[35] ℵA,B,T,W [70%] CP,HF,RP,TR,OC,NU ¦ 1 αν D,Q [30%]
[8] τουτο *rell* ¦ ταυτα [1%] OC
[9] σιωπηση **f**[35] ℵA,Q [95.5%] CP,HF,RP,TR,OC ¦ σιωπησει [2%] ¦ σιγηση (B,D,W)T [2.5%] NU
[10] λεγων **f**[35] A,Q,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,T [1.5%] NU
[11] εισελθων *rell* ¦ 1 ο ιησους [13%] ¦ two other variants
[12] ουτος ην **f**[35] A(W)Q [92%] CP,HF,RP,TR,OC ¦ αυτος 2 [1%] ¦ αυτος B,T [6%] NU ¦ 2 ℵ [1%] ¦ --- D
[13] προδραμων **f**[35] ℵA,B,Q [67%] HF,RP,TR,OC,NU ¦ προσδραμων T,W [20%] CP ¦ δραμων [13%] ¦ προλαβων D
[14] εμπροσθεν **f**[35] A,D,Q,W [99%] CP,HF,RP,TR,OC ¦ εις το 1 ℵB,T [1%] NU
[15] συκομοραιαν **f**[35] [58%] ¦ συκομωραιαν T,W [33%] HF,RP,TR ¦ συκομωρεαν D,Q [7%] CP ¦ συκομορεαν ℵB [2%] OC,NU ¦ συκωμοραιαν A
[16] οτι **f**[35] ℵA,B(D)Q,T,W [75%] CP,HF,RP,OC,NU ¦ 1 δι [25%] TR
[17] ημελλεν **f**[35] ℵA,B,D,Q,T,W [60%] TR,OC,NU ¦ εμελλεν [40%] CP,HF,RP
[18] ειδεν αυτον και **f**[35] A(D)Q,W [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,T [1%] NU
[19] παντες **f**[35] ℵA,B,D,Q,T,W [90%] CP,HF,RP,OC,NU ¦ απαντες [10%] TR
[20] κυριον *rell* ¦ ιησουν [21%]
[21] ημιση **f**[35] Q [96.5%] CP,HF,RP,TR,OC ¦ ημισια ℵB [2%] NU ¦ ημισεια [0.5%] ¦ ημισυ A(W) [1%] ¦ ημυσοι D
[22] των υπαρχοντων μου **f**[35] A,Q,W [89%] CP,HF,RP,TR,OC ¦ ~ 312 ℵB [1%] NU ¦ 12 μοι D [10%]

Κύριε, δίδωμι τοῖς πτωχοῖς,[1] καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν.» **9** Εἶπεν δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς ὅτι «Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν· **10** ἦλθεν γὰρ ὁ Υἱὸς τοῦ Ἀνθρώπου ζητῆσαι[2] καὶ σῶσαι τὸ ἀπολωλός.»

Parable of the despised king

11 Ἀκουόντων δὲ αὐτῶν ταῦτα, προσθεὶς εἶπεν παραβολήν, διὰ τὸ ἐγγὺς αὐτὸν εἶναι Ἰερουσαλὴμ[3] καὶ δοκεῖν αὐτοὺς ὅτι παραχρῆμα μέλλει ἡ βασιλεία τοῦ Θεοῦ ἀναφαίνεσθαι. **12** Εἶπεν οὖν· «Ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι. **13** Καλέσας δὲ δέκα δούλους ἑαυτοῦ, ἔδωκεν αὐτοῖς δέκα μνᾶς, καὶ εἶπεν πρὸς αὐτούς, ‹Πραγματεύσασθε[4] ἕως[5] ἔρχομαι.› **14** Οἱ δὲ πολῖται αὐτοῦ ἐμίσουν αὐτόν, καὶ ἀπέστειλαν πρεσβείαν ὀπίσω αὐτοῦ λέγοντες, ‹Οὐ θέλομεν[6] τοῦτον βασιλεῦσαι ἐφ᾽ ἡμᾶς.› **15** Καὶ ἐγένετο ἐν τῷ ἐπανελθεῖν αὐτόν, λαβόντα τὴν βασιλείαν,[7] εἶπεν φωνηθῆναι αὐτῷ τοὺς δούλους τούτους οἷς ἔδωκεν[8] τὸ ἀργύριον, ἵνα γνῷ[9] τίς τί διεπραγματεύσατο.[10] **16** Παρεγένετο δὲ ὁ πρῶτος λέγων, ‹Κύριε, ἡ μνᾶ[11] σου προσειργάσατο δέκα[12] μνᾶς.› **17** Καὶ εἶπεν αὐτῷ· ‹Εὖ,[13] ἀγαθὲ δοῦλε· ὅτι ἐν ἐλαχίστῳ πιστὸς ἐγένου, ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων.› **18** Καὶ ἦλθεν ὁ δεύτερος λέγων, ‹Κύριε, ἡ μνᾶ[14] σου[15] ἐποίησεν πέντε μνᾶς.› **19** Εἶπεν δὲ καὶ τούτῳ, ‹Καὶ σὺ γίνου ἐπάνω[16] πέντε πόλεων.› **20** Καὶ ἕτερος[17] ἦλθεν λέγων· ‹Κύριε, ἰδοὺ ἡ μνᾶ[18] σου, ἣν εἶχον ἀποκειμένην ἐν σουδαρίῳ—**21** ἐφοβούμην γάρ σε, ὅτι ἄνθρωπος αὐστηρὸς εἶ· αἴρεις ὃ οὐκ ἔθηκας καὶ θερίζεις ὃ οὐκ ἔσπειρας.›[19] **22** Λέγει δὲ[20] αὐτῷ· ‹Ἐκ τοῦ στόματός σου κρινῶ σε, πονηρὲ δοῦλε. Ἤδεις ὅτι ἐγὼ ἄνθρωπος αὐστηρός εἰμι, αἴρων[21] ὃ οὐκ ἔθηκα καὶ θερίζων ὃ οὐκ ἔσπειρα.[22] **23** Καὶ διὰ τί οὐκ ἔδωκας τὸ ἀργύριόν μου[23] ἐπὶ τὴν τράπεζαν,[24] καὶ ἐγὼ[25] ἐλθὼν[26] σὺν τόκῳ ἂν ἔπραξα αὐτό;›[27] **24** Καὶ τοῖς παρεστῶσιν εἶπεν, ‹Ἄρατε ἀπ᾽ αὐτοῦ τὴν μνᾶν καὶ δότε τῷ τὰς δέκα μνᾶς ἔχοντι.›

---

[1] διδωμι τοις πτωχοις **f**[35] A,W [97%] CP,HF,RP,TR,OC ¦ ~ 231 א,D,Q [1%] NU ¦ 13 [2%] ¦ ~ 31 B

[2] ζητησαι *rell* ¦ ζητεισαι CP

[3] αυτον ειναι ιερουσαλημ **f**[35] A(D)W [96%] CP,HF,RP,TR,OC ¦ ~ 213 Q [3%] ¦ ~ 231 אB [0.5%] NU ¦ three other variants

[4] πραγματευσασσθε *rell* ¦ πραγματευσασθαι אA [1%] ¦ πραγματευεσθε [11%] ¦ πραγματευεσθαι D,W [1.5%]

[5] εως **f**[35] [91%] CP,HF,RP,TR ¦ εν ω אA,B,D,W [9%] OC,NU

[6] θελομεν *rell* ¦ θελωμεν [18%]

[7] βασιλειαν **f**[35] [37%] CP ¦ 1 και אA,B,D,W [63%] HF,RP,TR,OC,NU

[8] εδωκεν **f**[35] A,W [93%] CP,HF,RP,TR,OC ¦ δεδωκει אB,D [3%] NU ¦ εδωθη [1%] ¦ δεδωκε [1.5%] ¦ εδεδωκει [1.5%]

[9] γνω **f**[35] A,W [98%] CP,HF,RP,TR ¦ γνοι אB,D [0.5%] NU ¦ επιγνω [1.5%] OC

[10] τις τι διεπραγματευσατο **f**[35] A (93.3%) CP,HF,RP,TR,OC ¦ 12 επραγματευσατο W (5.3%) ¦ 2 διεπραγματευσαντο אB,D (0.7%) NU ¦ 12 διεπραξατο (0.7%) (There are a number of small variations, but all told only 0.8% omit τις and 0.7% omit τι, while there are at least eight further variations of the verb.)

[11] μνα **f**[35] אA,B,D,W [55%] CP,HF,RP,TR,OC,NU ¦ μνας [45%]

[12] προσειργασατο δεκα **f**[35] W [94%] CP,HF,RP,TR,OC ¦ προσηργασατο 2 A [2%] ¦ ειργασατο 2 [1.5%] ¦ εποιησε 2 [1.5%] ¦ ~ 2 προσηργασατο (א)B(D) [1%] NU

[13] ευ **f**[35] אA,W [99.8%] CP,HF,RP,TR,OC ¦ ευγε B,D [0.2%] NU

[14] μνα **f**[35] אA,B,D,W [55%] CP,HF,RP,TR,OC,NU ¦ μνας N [45%]

[15] κυριε η μνα σου **f**[35] A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 2341 אB [0.3%] NU ¦ ~ 2 μνας 41 [0.2%]

[16] γινου επανω **f**[35] (A)(D)N(W) [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 (אB) [1%] NU

[17] ετερος **f**[35] A,N,W [98%] CP,HF,RP,TR,OC ¦ ο 1 B,D [2%] NU ¦ οτερος א

[18] μνα **f**[35] אA,B,D,W [55%] CP,HF,RP,TR,OC,NU ¦ μνας N [45%]

[19] εσπειρας *rell* ¦ 1 και συναγεις οθεν ου διεσκορπισας N [13%] OC

[20] δε **f**[35] A,W [73%] CP,HF,RP,TR ¦ --- אB,N [27%] OC,NU ¦ ο 1 ειπεν D

[21] εγω ανθρωπος αυστηρος ειμι *rell* ¦ ~ 2341 OC

[22] εσπειρα *rell* ¦ 1 και συναγων οθεν ου διεσκορπισα N [5%] OC (with variations [3%])

[23] το αργυριον μου **f**[35] D,N [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 312 אA,B,W [1.5%] NU

[24] την τραπεζαν **f**[35] [23%] TR,OC ¦ 2 אA,B,D,N,W [77%] HF,RP,NU ¦ της τραπεζιταις CP

[25] και εγω **f**[35] A,N,W [99%] (CP)HF,RP,TR,OC ¦ καγω אB,D [1%] NU

[26] εγω ελθων *rell* ¦ ~ 21 [3%] CP

[27] επραξα αυτο **f**[35] D,N,W [89.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 אB [0.5%] NU ¦ ~ 2 ανεπραξα A ¦ 1 αυτω [10%]

25 (Καὶ εἶπον[1] αὐτῷ, ‹Κύριε, ἔχει δέκα μνᾶς.›) **26** ‹Λέγω γὰρ[2] ὑμῖν, ὅτι παντὶ τῷ ἔχοντι δοθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽ αὐτοῦ.[3] **27** Πλὴν τοὺς ἐχθρούς μου ἐκείνους,[4] τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ᾽ αὐτούς, ἀγάγετε ὧδε καὶ κατασφάξατε[5] ἔμπροσθέν μου.› »

The last week

The ‘Triumphal Entry’

19:28 Καὶ εἰπὼν ταῦτα ἐπορεύετο ἔμπροσθεν, ἀναβαίνων εἰς Ἰεροσόλυμα. **29** Καὶ ἐγένετο ὡς ἤγγισεν εἰς Βηθσφαγῆ[6] καὶ Βηθανίαν,[7] πρὸς τὸ ὄρος τὸ καλούμενον Ἐλαιῶν, ἀπέστειλεν δύο τῶν μαθητῶν αὐτοῦ[8] **30** εἰπών·[9] «Ὑπάγετε εἰς τὴν κατέναντι κώμην, ἐν ᾗ εἰσπορευόμενοι εὑρήσετε πῶλον δεδεμένον, ἐφ᾽ ὃν οὐδεὶς πώποτε ἀνθρώπων ἐκάθισεν.[10] Λύσαντες αὐτὸν ἀγάγετε. **31** Καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ, ‹Διὰ τί λύετε;› οὕτως ἐρεῖτε αὐτῷ[11] ὅτι ‹Ὁ Κύριος αὐτοῦ χρείαν ἔχει.› »

A steed for the King

32 Ἀπελθόντες δὲ οἱ ἀπεσταλμένοι εὗρον καθὼς εἶπεν αὐτοῖς.[12] **33** Λυόντων δὲ αὐτῶν τὸν πῶλον, εἶπον[13] οἱ κύριοι αὐτοῦ πρὸς αὐτούς, «Τί λύετε τὸν πῶλον;» **34** Οἱ δὲ εἶπον,[14] «Ὁ Κύριος αὐτοῦ χρείαν ἔχει.» **35** Καὶ ἤγαγον αὐτὸν πρὸς τὸν Ἰησοῦν· καὶ ἐπιρρίψαντες[15] ἑαυτῶν[16] τὰ ἱμάτια ἐπὶ τὸν πῶλον, ἐπεβίβασαν τὸν Ἰησοῦν. **36** Πορευομένου δὲ αὐτοῦ, ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν[17] ἐν τῇ ὁδῷ.

Rejoicing and praising

37 Ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ καταβάσει τοῦ Ὄρους τῶν Ἐλαιῶν, ἤρξαντο[18] ἅπαν τὸ πλῆθος τῶν μαθητῶν χαίροντες αἰνεῖν τὸν Θεὸν φωνῇ μεγάλῃ περὶ πασῶν ὧν εἶδον δυνάμεων, **38** λέγοντες· «Εὐλογημένος ὁ ἐρχόμενος[19] Βασιλεὺς ἐν ὀνόματι Κυρίου· εἰρήνη ἐν οὐρανῷ[20] καὶ δόξα ἐν ὑψίστοις.»

A sour note

39 Καί τινες τῶν Φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπον[21] πρὸς αὐτόν, «Διδάσκαλε, ἐπιτίμησον τοῖς μαθηταῖς σου.» **40** Καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς,[22] «Λέγω ὑμῖν ὅτι[23] ἐὰν οὗτοι σιωπήσωσιν,[24] οἱ

---

[1] ειπον *rell* ¦ ειπαν ℵB [0.5%] NU ¦ --- (D,W)
[2] γαρ **f**[35] A D,N,W [96%] CP,HF,RP,TR,OC ¦ --- (ℵ)B [4%] NU
[3] απ αυτου **f**[35] A,D,N,W [99.8%] CP,HF,RP,TR,OC ¦ --- ℵB [0.2%] NU
[4] εκεινους **f**[35] A(D)N,W [91%] CP,HF,RP,TR,OC ¦ τουτους ℵB [8%] NU ¦ --- [1%]
[5] κατασφαξατε **f**[35] A,D,W [96%] CP,HF,RP,TR ¦ 1 αυτους (ℵ)B,N [4%] OC,NU
[6] βηθσφαγη **f**[35] B [53%] CP,HF,RP,OC ¦ βηθφαγη ℵA,D,N,W [43%] TR,NU ¦ βηθσφαγην [3%] ¦ βηθφαγην [1%] [Three consonants in a row are decidedly more difficult to pronounce than two—it is hard to imagine why anyone would add the *sigma*.]
[7] βηθανιαν **f**[35] A,N,W [94%] CP,HF,RP,TR,OC[NU] ¦ βιθανιαν [5.5%] ¦ βηθανια ℵB,D [0.5%]
[8] αυτου **f**[35] A,D,N,W [99.7%] CP,HF,RP,TR,OC ¦ --- ℵB [0.3%] NU
[9] ειπων **f**[35] A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ λεγων ℵB,D [1.5%] NU
[10] εκαθισεν **f**[35] ℵA,N,W [99%] CP,HF,RP,TR,OC ¦ 1 και B [1%] NU ¦ long omission D
[11] αυτω **f**[35] A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ αυτον [1%] ¦ --- ℵB,D [1.5%] NU
[12] αυτοις *rell* ¦ 1 εστωτα τον πωλον [4%] OC
[13] ειπον *rell* ¦ ειπαν ℵB [0.5%] NU ¦ one other variant (also in verse 34)
[14] ειπον **f**[35] [72%] CP,HF,RP,TR ¦ 1 οτι ℵA,B,D,N,W [28%] OC,NU
[15] επιρριψαντες **f**[35] [90%] CP,HF,RP,TR,OC ¦ επιριψαντες ℵA,B,N,W [10%] NU ¦ επεριψαν D
[16] εαυτων **f**[35] A,N,W [92%] CP,HF,RP,TR,OC ¦ αυτων ℵB(D) [8%] NU
[17] αυτων *rell* ¦ εαυτων A,B,N,W [12%]
[18] ηρξαντο **f**[35] ℵA,B,N [70%] CP,HF,RP,TR,NU ¦ ηρξατο D,W [30%] OC
[19] ερχομενος **f**[35] A,N(W) [99.5%] CP,HF,RP,TR,OC ¦ 1 ο (ℵ)B(D) [0.5%] NU
[20] ειρηνη εν ουρανω **f**[35] D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 231 B [0.5%] NU ¦ 12 ουρανοις A ¦ 232 ιρηνη ℵ
[21] ειπον *rell* ¦ ειπαν ℵA,B,D [0.5%] NU
[22] αυτοις **f**[35] A(D)(N)W [99.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB [0.5%] NU
[23] οτι **f**[35] ℵA,D,N [95.5%] CP,HF,RP,TR,OC ¦ --- B,W [4.5%] NU
[24] σιωπησωσιν **f**[35] [97.5%] CP,HF,RP,TR,OC ¦ σιωπησουσιν ℵA,B,N,W [2.5%] NU ¦ σειγησουσιν D

λίθοι κεκράξονται.»[1]

Jesus weeps over Jerusalem

41 Καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν ἔκλαυσεν ἐπ᾽ αὐτῇ,[2] **42** λέγων ὅτι «Εἰ ἔγνως καὶ σύ, καί γε ἐν τῇ ἡμέρᾳ σου ταύτῃ,[3] τὰ πρὸς εἰρήνην σου·[4] νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου. **43** Ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σὲ καὶ περιβαλοῦσιν[5] οἱ ἐχθροί σου χάρακά σοι· καὶ περικυκλώσουσίν σε καὶ συνέξουσίν σε πάντοθεν. **44** Καὶ ἐδαφιοῦσίν σε, καὶ τὰ τέκνα σου ἐν σοί—καὶ οὐκ ἀφήσουσιν ἐν σοὶ λίθον ἐπὶ λίθῳ[6]—ἀνθ᾽ ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου.»

Jesus cleanses the temple

45 Καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας ἐν αὐτῷ καὶ ἀγοράζοντας,[7] **46** λέγων αὐτοῖς, «Γέγραπται·[8] ‹Ὁ οἶκός μου οἶκος προσευχῆς ἐστιν,›[9] ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν.»

47 Καὶ ἦν διδάσκων τὸ καθ᾽ ἡμέραν ἐν τῷ ἱερῷ· οἱ δὲ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐζήτουν αὐτὸν ἀπολέσαι, καὶ οἱ πρῶτοι τοῦ λαοῦ, **48** καὶ οὐχ εὕρισκον τὸ τί ποιήσουσιν,[10] ὁ λαὸς γὰρ ἅπας ἐξεκρέματο αὐτοῦ ἀκούων.

Jesus' authority questioned

20:1 Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν ἐκείνων,[11] διδάσκοντος αὐτοῦ τὸν λαὸν ἐν τῷ ἱερῷ καὶ εὐαγγελιζομένου, ἐπέστησαν οἱ ἱερεῖς[12] καὶ οἱ[13] γραμματεῖς σὺν τοῖς πρεσβυτέροις **2** καὶ εἶπον[14] πρὸς αὐτὸν λέγοντες,[15] «Εἰπὲ ἡμῖν[16] ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς· ἢ τίς ἐστιν ὁ δούς σοι τὴν ἐξουσίαν ταύτην;» **3** Ἀποκριθεὶς δὲ εἶπεν πρὸς αὐτούς· «Ἐρωτήσω ὑμᾶς κἀγὼ ἕνα λόγον,[17] καὶ εἴπατέ μοι· **4** Τὸ βάπτισμα Ἰωάννου—ἐξ οὐρανοῦ ἦν ἢ ἐξ ἀνθρώπων;» **5** Οἱ δὲ συνελογίσαντο πρὸς ἑαυτοὺς λέγοντες ὅτι «Ἐὰν εἴπωμεν, ‹Ἐξ οὐρανοῦ,› ἐρεῖ, ‹Διὰ τί[18] οὐκ ἐπιστεύσατε αὐτῷ;› **6** Ἐὰν δὲ εἴπωμεν, ‹Ἐξ ἀνθρώπων,› πᾶς ὁ λαὸς[19] καταλιθάσει ἡμᾶς, πεπεισμένος γάρ ἐστιν Ἰωάννην προφήτην εἶναι.» **7** Καὶ ἀπεκρίθησαν μὴ εἰδέναι πόθεν. **8** Καὶ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, «Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.»

Parable of some perverse tenants

9 Ἤρξατο δὲ πρὸς τὸν λαὸν λέγειν τὴν παραβολὴν ταύτην· «Ἄνθρωπος[20] ἐφύτευσεν ἀμπε-

---

[1] κεκραξονται **f**[35] A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ κραξουσιν ℵB [0.2%] NU ¦ κραζονται D ¦ one other variant
[2] αυτη **f**[35] N [78%] CP,HF,RP,TR,OC ¦ αυτην ℵA,B,D,W [22%] NU
[3] και συ (σοι 1.1%) και γε εν τη ημερα σου ταυτη **f**[35] N,W (88.1%) CP,HF,RP,TR,OC ¦ 1234567-9 A (9.3%) ¦ ~ 567912 ℵB (1%) NU ¦ 125679 D (0.2%) ¦ 12345 ταις ημεραις ταυταις (1.1%) ¦ three other readings (0.2%)
[4] σου **f**[35] (A)N,W [93%] CP,HF,RP,TR,OC ¦ σοι D [7%] ¦ --- ℵB [0.3%] NU
[5] περιβαλουσιν **f**[35] A,B,W [95%] CP,HF,RP,TR,OC ¦ περιβαλλουσιν [4%] ¦ παρεμβαλουσιν ℵC [1%] NU ¦ παραβαλουσιν N ¦ βαλουσιν (D) ¦ one other variant
[6] εν σοι λιθον επι λιθω **f**[35] A,C,N,W [90%] CP,HF,RP,TR,OC ¦ 12343 [8%] ¦ ~ 34312 ℵB [0.5%] NU ¦ ~ 3431 ολη 2 D [0.5%] ¦ eight other variants [1%]
[7] εν αυτω και αγοραζοντας **f**[35] A,D,W [97%] CP,HF,RP,TR,OC ¦ 34 N [2%] ¦ 3 τους 4 C ¦ --- ℵB [1%] NU
[8] γεγραπται **f**[35] ℵ [82%] CP,HF,RP,TR ¦ 1 οτι A,C,D,N,W [15%] OC ¦ 1 και εσται B [2%] NU ¦ --- [1%]
[9] εστιν **f**[35] A,C,D,N,W [93%] CP,HF,RP,TR,OC ¦ κληθησεται [5%] ¦ --- ℵB [2%] NU
[10] ποιησουσιν **f**[35] W [44%] CP,OC ¦ ποιησωσιν ℵA,B,C,D,N,Q [56%] HF,RP,TR,NU
[11] εκεινων **f**[35] A,C,N,W [96.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,Q [3.5%] NU
[12] ιερεις **f**[35] A,W [84%] HF,RP,OC ¦ αρχιερεις ℵB,C,D,N,Q [16%] CP,TR,NU
[13] οι *rell* ¦ --- A [15%]
[14] ειπον *rell* ¦ ειπαν ℵB [1%] NU
[15] προς αυτον λεγοντες **f**[35] A,N,Q,W [97.5%] CP,HF,RP,TR,OC ¦ 12 C,D [1.5%] ¦ ~ 312 ℵB [1%] NU
[16] ειπε ημιν **f**[35] A,D,N,Q,W [97.5%] CP,HF,RP,TR,OC ¦ ειπον 2 B [1%] NU ¦ --- ℵC [1.5%]
[17] ενα λογον **f**[35] C,D,N,Q [82%] CP,HF,RP,TR,OC ¦ ~ 21 A [16%] ¦ 2 ℵB,W [2%] NU
[18] τι **f**[35] ℵB,W [83%] CP,HF,RP,NU ¦ 1 ουν A,C,D,N,Q [17%] TR,OC
[19] πας ο λαος **f**[35] A,C,N,Q,W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 23 απας ℵB(D) [1.5%] NU
[20] ανθρωπος **f**[35] ℵB(C,D)N,Q [87%] CP,HF,RP ¦ 1 τις A,W [13%] TR,OC[NU]

λῶνα, καὶ ἐξέδοτο[1] αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν χρόνους ἱκανούς. **10** Καὶ ἐν[2] καιρῷ ἀπέστειλεν πρὸς τοὺς γεωργοὺς δοῦλον, ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος δῶσιν[3] αὐτῷ. Οἱ δὲ γεωργοὶ δήραντες[4] αὐτὸν ἐξαπέστειλαν[5] κενόν. **11** Καὶ προσέθετο[6] πέμψαι ἕτερον[7] δοῦλον· οἱ δὲ κἀκεῖνον δήραντες[8] καὶ ἀτιμάσαντες ἐξαπέστειλαν κενόν. **12** Καὶ προσέθετο πέμψαι τρίτον·[9] οἱ δὲ καὶ τοῦτον τραυματίσαντες ἐξέβαλον. **13** Εἶπεν δὲ ὁ κύριος τοῦ ἀμπελῶνος· ‹Τί ποιήσω; Πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν· ἴσως τοῦτον ἰδόντες[10] ἐντραπήσονται.› **14** Ἰδόντες δὲ αὐτὸν οἱ γεωργοί, διελογίζοντο πρὸς ἑαυτοὺς[11] λέγοντες· ‹Οὗτός ἐστιν ὁ κληρονόμος. Δεῦτε,[12] ἀποκτείνωμεν αὐτόν, ἵνα ἡμῶν γένηται ἡ κληρονομία.› **15** Καὶ ἐκβαλόντες[13] ἔξω τοῦ ἀμπελῶνος, ἀπέκτειναν. Τί οὖν ποιήσει αὐτοῖς ὁ κύριος τοῦ ἀμπελῶνος; **16** Ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς τούτους, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις.» Ἀκούσαντες δὲ εἶπον,[14] «Μὴ γένοιτο.»

17 Ὁ δὲ ἐμβλέψας αὐτοῖς εἶπεν· «Τί οὖν ἐστιν τὸ γεγραμμένον τοῦτο· ‹Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας›; **18** Πᾶς ὁ πεσὼν ἐπ᾽ ἐκεῖνον τὸν λίθον συνθλασθήσεται· ἐφ᾽ ὃν δ᾽ ἂν πέσῃ—λικμήσει αὐτόν.»

19 Καὶ ἐζήτησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς[15] ἐπιβαλεῖν ἐπ᾽ αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ τῇ ὥρᾳ· καὶ ἐφοβήθησαν[16]—ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην εἶπεν.[17]

To Caesar, Caesar's; to God, God's

20 Καὶ παρατηρήσαντες ἀπέστειλαν ἐγκαθέτους, ὑποκρινομένους ἑαυτοὺς δικαίους εἶναι, ἵνα ἐπιλάβωνται[18] αὐτοῦ λόγου,[19] εἰς τὸ[20] παραδοῦναι αὐτὸν τῇ ἀρχῇ καὶ τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος. **21** Καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες· «Διδάσκαλε, οἴδαμεν ὅτι ὀρθῶς λέγεις καὶ διδάσκεις, καὶ οὐ λαμβάνεις πρόσωπον ἀλλ᾽ ἐπ᾽ ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις. **22** Ἔξεστιν ἡμῖν[21] Καίσαρι φόρον δοῦναι, ἢ οὔ;»

23 Κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν εἶπεν πρὸς αὐτούς· «Τί με πειράζετε;[22] **24** Ἐπιδεί-

---

[1] εξεδοτο **f**[35] D,N,Q,W [99.5%] CP,HF,RP,TR,OC,UBS ¦ εξεδετο ℵA,B,C [0.5%] N-A (One of the rare places where UBS and N-A are not the same.)

[2] εν **f**[35] A,W [93%] CP,HF,RP,TR ¦ 1 τω C,N,Q [6%] OC ¦ τω [0.5%] ¦ --- ℵB(D) [0.5%] NU

[3] δωσιν **f**[35] C,D,N,W [93%] CP,HF,RP,TR ¦ δωσουσιν ℵA,B,Q [4%] OC,NU ¦ --- [3%] ¦ one other variant

[4] δηραντες **f**[35] [20%] ¦ δειραντες ℵA,B,C(D)N,Q,W [80%] CP,HF,RP,TR,OC,NU (Is the verb δαιρω or δερω? By far the more common, the literal meaning of δερω is to skin or flay a dead animal, to beat or whip being a derived meaning. Some have doubted the independent existence of δαιρω, but it occurs in Hermas, *sim.*6.2.6 [2nd cent.]. The meaning is presumably 'to beat severely'. That many copyists might change an unfamiliar form to a closely related familiar one is not hard to imagine, but who would change a familiar one to an unfamiliar one?)

[5] δηραντες αυτον εξαπεστειλαν **f**[35] A,C(D)N,Q [96.5%] CP,HF,RP,TR,OC ¦ ~ 321 ℵB [0.3%] NU ¦ 12 απεστειλαν [2.5%] ¦ 1232 W [0.5%]

[6] προσεθετο *rell* ¦ 1 αυτοις Q [2%] OC

[7] πεμψαι ετερον **f**[35] N,Q,W [96%] CP,HF,RP,TR,OC ¦ ~ 21 ℵA,B [4%] NU ¦ επεμψεν 2 D ¦ 1 αυτοις 2 C

[8] δηραντες **f**[35] [20%] ¦ δειραντες ℵA,B,C,D,N,Q,W [80%] CP,HF,RP,TR,OC,NU

[9] πεμψαι τριτον **f**[35] A,C,N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 ℵB [1%] NU ¦ ~ 2 επεμψεν D

[10] ιδοντες **f**[35] A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,C,D,Q [1.5%] NU

[11] εαυτους **f**[35] A,C,N,Q,W [98%] CP,HF,RP,TR,OC ¦ αλληλους ℵB,D [1.5%] NU ¦ two other variants [0.5%]

[12] δευτε **f**[35] ℵC,D [90%] CP,HF,RP,TR,OC ¦ --- A,B,N,Q,W [10%] NU

[13] εκβαλοντες **f**[35] [24%] ¦ 1 αυτον ℵA,B,D,N,Q,W [76%] CP,HF,RP,TR,OC,NU ¦ λαβοντες αυτον εξεβαλον C (some 7% have εκβαλλοντες)

[14] ειπον *rell* ¦ ειπαν ℵB,D,Q [1.5%] NU

[15] αρχιερεις και οι γραμματεις **f**[35] ℵD,N [88%] CP,HF,RP,TR,OC ¦ ~ 4231 A,B,W [12%] NU ¦ ~ 423 φαρισαιοι C ¦ three other variants

[16] εφοβηθησαν **f**[35] [65%] CP,HF,RP ¦ 1 τον λαον ℵA,B,C(D) [35%] TR,OC,NU ¦ 1 τον οχλον N,W

[17] την παραβολην ταυτην ειπεν **f**[35] A,C,N,W [93%] CP,HF,RP,TR ¦ ~ 4123 ℵB [3%] NU ¦ ~ ειρηκεν 123 D ¦ 124 [3%] ¦ τας παραβολας ελεγεν [1%] OC ¦ two other variants

[18] επιλαβωνται *rell* ¦ επιλαβονται [21%]

[19] λογου *rell* ¦ λογον C,N [18%] ¦ λογων D

[20] εις το **f**[35] A,N,W [99%] (CP)HF,RP,TR,OC ¦ ωστε ℵB,C,D [1%] NU

[21] ημιν **f**[35] C(D)W [97.5%] CP,HF,RP,TR,OC ¦ ημας ℵA,B [2.5%] NU ¦ --- N ¦ one other variant

[22] τι με πειραζετε **f**[35] A(C)D,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB [1.5%] NU

ξατέ[1] μοι δηνάριον[2]—τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν;» Ἀποκριθέντες[3] δὲ εἶπον,[4] «Καίσα-ρος.» **25** Ὁ δὲ εἶπεν αὐτοῖς,[5] «Ἀπόδοτε τοίνυν[6] τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ.» **26** Καὶ οὐκ ἴσχυσαν ἐπιλαβέσθαι αὐτοῦ ῥήματος ἐναντίον τοῦ λαοῦ· καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρίσει αὐτοῦ, ἐσίγησαν.

Sadducees deny resurrection

27 Προσελθόντες δέ τινες τῶν Σαδδουκαίων, οἱ ἀντιλέγοντες[7] ἀνάστασιν μὴ εἶναι,[8] ἐπηρώ-τησαν αὐτὸν **28** λέγοντες· «Διδάσκαλε, Μωσῆς[9] ἔγραψεν ἡμῖν, ἐάν τινος ἀδελφὸς ἀποθάνῃ ἔχων γυναῖκα καὶ οὗτος ἄτεκνος ἀποθάνῃ,[10] ἵνα ὁ ἀδελφὸς αὐτοῦ λάβῃ[11] τὴν γυναῖκα καὶ ἐξαναστήσῃ[12] σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. **29** Ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν· καὶ ὁ πρῶτος λαβὼν γυναῖκα ἀπέθανεν ἄτεκνος· **30** καὶ ἔλαβεν[13] ὁ δεύτερος τὴν γυναῖκα, καὶ οὗτος ἀπέθανεν ἄτεκνος·[14] **31** καὶ ὁ τρίτος ἔλαβεν αὐτήν·[15] ὡσαύτως δὲ καὶ οἱ ἑπτά[16]—οὐ κατέλιπον[17] τέκνα, καὶ ἀπέθανον. **32** Ὕστερον δὲ πάντων,[18] ἀπέθανεν καὶ ἡ γυνή.[19] **33** Ἐν τῇ οὖν[20] ἀναστάσει,[21] τίνος αὐτῶν γίνεται γυνή; Οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα.»

34 Καὶ ἀποκριθεὶς[22] εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· «Οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γαμοῦσιν καὶ ἐκγα-μίσκονται·[23] **35** οἱ δὲ καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν, καὶ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν, οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται.[24] **36** Οὔτε[25] γὰρ ἀποθανεῖν ἔτι δύνανται, ἰσάγγελοι γάρ εἰσιν—καὶ υἱοί εἰσιν τοῦ[26] Θεοῦ, τῆς ἀναστάσεως υἱοὶ ὄντες. **37** Ὅτι δὲ ἐγείρονται οἱ νεκροί, καὶ Μωϋσῆς[27] ἐμήνυσεν ἐπὶ τῆς βάτου, ὡς λέγει· ‹Κύριον τὸν Θεὸν Ἀβραὰμ καὶ τὸν[28] Θεὸν Ἰσαὰκ καὶ τὸν[29] Θεὸν Ἰακώβ.› **38** Θεὸς δὲ οὐκ ἔστιν νεκρῶν, ἀλλὰ ζώντων—πάντες γὰρ αὐτῷ ζῶσιν.» **39** Ἀποκριθέντες δέ τινες τῶν γραμματέων εἶπον,[30] «Διδάσκαλε, καλῶς εἶπας.» **40** Οὐκέτι δὲ[31] ἐτόλμων ἐπερωτᾶν αὐτὸν οὐδέν.

---

[1] επιδειξατε **f**[35] C,N [85%] CP,HF,RP,TR ¦ δειξατε ℵA,B,D,W [15%] OC,NU
[2] δηναριον *rell* ¦ 1 οι δε εδειξαν και ειπε (ℵ)C,N [20%] (plus several minor variations)
[3] αποκριθεντες **f**[35] A,C(D,W) [97%] CP,HF,RP,TR,OC ¦ οι ℵB,N [3%] NU
[4] ειπον *rell* ¦ ειπαν ℵB,C [0.5%] NU
[5] αυτοις **f**[35] A,C,D,N,W [97%] CP,HF,RP,TR,OC ¦ προς αυτους ℵB [3%] NU
[6] αποδοτε τοινυν **f**[35] A,C,N,W [92%] CP,HF,RP,TR,OC ¦ ~ 21 ℵB [2%] NU ¦ 1 D ¦ 1 ουν [6%]
[7] αντιλεγοντες **f**[35] A,W (94.3%) CP,HF,RP,TR[NU] ¦ λεγοντες ℵB,C,D,N (5.4%) OC ¦ three other variants (0.3%)
[8] αναστασιν μη ειναι *rell* ¦ ~ 231 N [2.5%] OC
[9] μωσης **f**[35] ℵA [60%] HF,RP,TR ¦ μωυσης B,D,N,W [40%] CP,OC,NU
[10] αποθανη **f**[35] A,N,W [96%] CP,HF,RP,TR,OC ¦ η B [4%] NU ¦ D is wild ¦ three other variants ¦ ℵ omits whole line
[11] ο αδελφος αυτου λαβη **f**[35] [20%] ¦ ~ 4123 A,B,D,N,W [80%] CP,HF,RP,TR,OC,NU
[12] εξαναστηση **f**[35] ℵB,D,N [67%] CP,HF,RP,TR,OC,NU ¦ εξαναστησει A,W [33%]
[13] ελαβεν **f**[35] A,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D [0.5%] NU
[14] την γυναικα και ουτος απεθανεν ατεκνος **f**[35] A,W [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D [1%] NU
[15] αυτην **f**[35] ℵB(D)W [55%] CP,HF,TR,OC,NU ¦ 1 ωσαυτως A [45%] RP
[16] επτα **f**[35] ℵA,B,D [73%] CP,HF,RP,TR,OC,NU ¦ 1 και W [27%] some TRs
[17] κατελιπον *rell* ¦ κατελειπον A [18%] ¦ αφηκαν D ¦ two other variants
[18] δε παντων **f**[35] A,W [60%] CP,HF,RP,TR,OC ¦ 2 [30%] ¦ 1 [9.5%] ¦ --- ℵB,D [0.5%] NU
[19] απεθανεν και η γυνη **f**[35] A,W [98%] CP,HF,RP,TR ¦ ~ 2341 ℵB,D [2%] OC,NU
[20] εν τη ουν **f**[35] A,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ 12 ℵ ¦ ~ η γυνη 312 B [0.5%] NU
[21] ουν αναστασει *rell* ¦ ~ 21 [0.5%] OC
[22] αποκριθεις **f**[35] A,W [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D [1%] NU
[23] εκγαμισκονται **f**[35] Q [74%] CP,HF,RP,TR ¦ εκγαμιζονται A,W [23%] OC ¦ γαμισκονται ℵB [2%] NU ¦ γαμιζονται [1%] ¦ γαμουνται D ¦ two other variants
[24] εκγαμιζονται **f**[35] A,W [84%] CP,HF,RP ¦ εκγαμισκονται [9%] TR ¦ γαμιζονται ℵD,Q [4%] OC,NU ¦ γαμισκονται B [3%]
[25] ουτε **f**[35] ℵQ,W [94.5%] CP,HF,RP,TR,OC ¦ ουδε A,B,D [5.5%] NU
[26] του **f**[35] Q,W [99.5%] CP,HF,RP,TR,OC ¦ τω D ¦ --- ℵA,B [0.3%] NU
[27] μωυσης **f**[35] B,D,Q,W [55%] CP,OC,NU ¦ μωσης ℵA [45%] HF,RP,TR
[28] τον **f**[35] A,Q,W [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D [1%] NU
[29] τον **f**[35] A,Q [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D [1%] NU ¦ W omits phrase
[30] ειπον *rell* ¦ ειπαν ℵB,D [0.5%] NU
[31] δε **f**[35] A,D,Q,W [99%] CP,HF,RP,TR,OC ¦ γαρ ℵB [1%] NU

Is the Christ David's Son?

41 Εἶπεν δὲ πρὸς αὐτούς· «Πῶς λέγουσιν[1] τὸν Χριστὸν Υἱὸν Δαυὶδ εἶναι;[2] **42** Καὶ αὐτὸς[3] Δαυὶδ λέγει ἐν Βίβλῳ[4] Ψαλμῶν, ‹Εἶπεν ὁ[5] Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου **43** ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.› **44** Δαυὶδ οὖν Κύριον αὐτὸν[6] καλεῖ, καὶ πῶς Υἱὸς αὐτοῦ[7] ἐστιν;»

Jesus denounces the scribes

45 Ἀκούοντος δὲ παντὸς τοῦ λαοῦ, εἶπεν τοῖς μαθηταῖς αὐτοῦ·[8] **46** «Προσέχετε ἀπὸ τῶν γραμματέων, τῶν θελόντων περιπατεῖν ἐν στολαῖς, καὶ φιλούντων ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις· **47** οἱ κατεσθίουσιν τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσεύχονται. Οὗτοι λήψονται[9] περισσότερον κρῖμα.»

A lesson in giving

21:1 Ἀναβλέψας δὲ εἶδεν τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον[10] πλουσίους. **2** Εἶδεν δέ τινα καὶ[11] χήραν πενιχρὰν βάλλουσαν ἐκεῖ δύο λεπτά.[12] **3** Καὶ εἶπεν· «Ἀληθῶς λέγω ὑμῖν ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη[13] πλεῖον πάντων ἔβαλεν· **4** ἅπαντες[14] γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ Θεοῦ,[15] αὕτη δέ, ἐκ τοῦ ὑστερήματος αὐτῆς, ἅπαντα[16] τὸν βίον ὃν εἶχεν ἔβαλεν.»[17]

Jerusalem will be destroyed

5 Καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ, ὅτι λίθοις καλοῖς καὶ ἀναθήμασιν κεκόσμηται, εἶπεν, **6** «Ταῦτα ἃ θεωρεῖτε—ἐλεύσονται ἡμέραι ἐν αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθον[18] ὃς οὐ καταλυθήσεται.»

The Olivet Discourse

21:7 Ἐπηρώτησαν δὲ αὐτὸν λέγοντες· «Διδάσκαλε, πότε οὖν ταῦτα ἔσται;» καὶ «Τί τὸ σημεῖον ὅταν μέλλῃ[19] ταῦτα γίνεσθαι;» **8** Ὁ δὲ εἶπεν· «Βλέπετε μὴ πλανηθῆτε, πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες ὅτι[20] ‹Ἐγώ εἰμι› καὶ ‹Ὁ καιρὸς ἤγγικεν.› Μὴ οὖν[21] πορευθῆτε ὀπίσω

---

[1] λεγουσιν *rell* ¦ 1 τινες A [17%]
[2] υιον δαυιδ ειναι **f**[35] A,Q,W [97.5%] CP,HF,RP,TR,OC ¦ ~ 321 ℵB [0.3%] NU ¦ ~ 312 [1%] ¦ 12 D ¦ υιος 2 εστιν [1%]
[3] και αυτος **f**[35] A,D,W [98%] CP,HF,RP,TR,OC ¦ ~ 2 γαρ ℵB [2%] NU ¦ 12 γαρ Q
[4] βιβλω *rell* ¦ 1 των D,W [8.5%] OC
[5] ο **f**[35] ℵA,Q,W [99.8%] CP,HF,RP,TR,OC ¦ --- B(D)NU
[6] κυριον αυτον *rell* ¦ ~ 21 A,B,Q [17%] OC
[7] υιος αυτου **f**[35] ℵD,Q,W [92%] CP,HF,RP,TR,OC ¦ ~ 21 A,B [8%] NU
[8] αυτου **f**[35] ℵA,W [98%] CP,HF,RP,TR,OC[NU] ¦ αυτους (Q) ¦ εαυτου [1.5%] ¦ --- B,D [0.3%]
[9] ληψονται *rell* ¦ λημψονται ℵA,B,D,W [1%] NU
[10] τα δωρα αυτων εις το γαζοφυλακιον **f**[35] A,Q,W [96.5%] CP,HF,RP,TR,OC ¦ ~ 456123 ℵB,D [3%] NU ¦ four other variants
[11] τινα και **f**[35] (A)Q,W [84%] CP,HF,RP ¦ ~ 21 D [11%] TR ¦ 1 ℵB [5%] OC,NU
[12] δυο λεπτα **f**[35] A(D)W [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 ℵB,Q [1%] NU
[13] η πτωχη αυτη **f**[35] A,Q,W [95%] HF,RP,TR,OC ¦ ~ 312 ℵB(D) [5%] CP,NU
[14] απαντες **f**[35] A,Q,W [99%] CP,HF,RP,TR,OC ¦ παντες ℵB(D) [1%] NU
[15] του θεου **f**[35] A,D,Q,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB [1.5%] NU
[16] απαντα **f**[35] A,W [98.5%] CP,HF,RP,TR,OC ¦ παντα ℵB,D,Q [1.5%] NU
[17] εβαλεν *rell* ¦ 1 ταυτα λεγων εφωνει ο εχων ωτα ακουειν ακουετω [20%] (there are a few minor variations)
[18] λιθος επι λιθον **f**[35] W (32.2%) CP ¦ 12 λιθω A,Q (65.1%) HF,RP,TR,OC,NU ¦ 12 λιθων (0.3%) ¦ 12 λιθω ωδε ℵB(D) (0.5%) ¦ 123 ωδε (0.4%) ¦ ωδε 12 λιθω (0.5%) ¦ ωδε 32 λιθω (0.5%) ¦ ωδε 123 (0.2%) ¦ two other variants (0.2%)
[19] μελλη *rell* ¦ μελλει W [12%]
[20] οτι **f**[35] A,D,W [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB [1%] NU
[21] ουν **f**[35] A,W [99%] CP,HF,RP,TR,OC ¦ --- (ℵ)B,D [1%] NU

αὐτῶν. **9** Ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας, μὴ πτοηθῆτε· δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον, ἀλλ᾽ οὐκ εὐθέως τὸ τέλος.»

Things are going to get bad, really bad

10 Τότε ἔλεγεν αὐτοῖς· «Ἐγερθήσεται ἔθνος ἐπὶ[1] ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν. **11** Σεισμοί τε μεγάλοι κατὰ τόπους καὶ[2] λιμοὶ καὶ λοιμοὶ ἔσονται, φόβητρά τε καὶ σημεῖα ἀπ᾽ οὐρανοῦ μεγάλα ἔσται.[3] **12** Πρὸ δὲ τούτων ἁπάντων,[4] ἐπιβαλοῦσιν ἐφ᾽ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσιν, παραδιδόντες εἰς[5] συναγωγὰς καὶ φυλακάς, ἀγομένους[6] ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. **13** Ἀποβήσεται δὲ[7] ὑμῖν εἰς μαρτύριον. **14** Θέσθε[8] οὖν εἰς τὰς καρδίας[9] ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· **15** ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν ᾗ οὐ δυνήσονται ἀντειπεῖν ἢ ἀντιστῆναι[10] πάντες[11] οἱ ἀντικείμενοι ὑμῖν. **16** Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ συγγενῶν καὶ φίλων καὶ ἀδελφῶν,[12] καὶ θανατώσουσιν ἐξ ὑμῶν. **17** Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου.[13] **18** (Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται—**19** ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.)

Jerusalem will be destroyed

20 »Ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν[14] Ἰερουσαλήμ, τότε γνῶτε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς. **21** Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, καὶ οἱ ἐν μέσῳ αὐτῆς ἐκχωρείτωσαν, καὶ οἱ ἐν ταῖς χώραις μὴ εἰσερχέσθωσαν εἰς αὐτήν. **22** Ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσιν, τοῦ πληρωθῆναι[15] πάντα τὰ γεγραμμένα. **23** Οὐαὶ δὲ[16] ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις· ἔσται γὰρ[17] ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς, καὶ ὀργὴ ἐν[18] τῷ λαῷ τούτῳ. **24** Καὶ πεσοῦνται στόματι μαχαίρας,[19] καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη.[20] Καὶ Ἰερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν, ἄχρι[21] πληρωθῶσιν καιροὶ ἐθνῶν.

Christ will return to the earth

25 »Καὶ ἔσται[22] σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις, καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν, ἐν

---

[1] επι **f**[35] B,W [91%] CP,HF,RP,TR,OC ¦ επ ℵA,D [9%] NU

[2] κατα τοπους και **f**[35] A,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 312 ℵB [0.5%] NU

[3] και (−κ. 0.6%) σημεια (−σ. 0.4%) απ ουρανου (−α. ο. 0.3%) μεγαλα (−μ. A 0.3%) εσται (−ε. 0.2%) **f**[35] (A)W (85.9%) CP,HF,RP,TR,OC ¦ ~ 125346 ℵ (5.8%) ¦ ~ 512346 (1.6%) ¦ ~ 123465 (0.4%) ¦ ~ 125634 (0.2%) ¦ ~ 341256 D (0.2%) ¦ ~ 134256 B,NU ¦ 12345 εσωνται (4.3%) ¦ ~ 12534 εσωνται (1%) ¦ five further variants (0.5%)

[4] απαντων **f**[35] [34%] CP,TR ¦ παντων ℵA,B,D,W [66%] HF,RP,OC,NU

[5] εις **f**[35] A,W [99.5%] CP,HF,RP,TR,OC ¦ 1 τας ℵB,D [0.5%] NU

[6] αγομενους **f**[35] A,W [98.5%] CP,HF,RP,TR,OC ¦ απαγομενους ℵB,D [1.5%] NU

[7] δε **f**[35] A,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D [0.5%] NU

[8] θεσθε **f**[35] [97%] CP,HF,RP,TR,OC ¦ θετε ℵA,B,D,W [3%] NU

[9] εις τας καρδιας **f**[35] W [97%] CP,HF,RP,TR,OC ¦ εν ταις καρδιαις ℵA,B,D [3%] NU

[10] αντειπειν η αντιστηναι **f**[35] A [30%] ¦ ~ 321 ℵB [1.5%] NU ¦ 1 ουδε 3 W [68%] CP,HF,RP,TR,OC ¦ 3 D ¦ two other variants

[11] παντες **f**[35] ℵA,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ απαντες B [0.5%] NU

[12] συγγενων και φιλων και αδελφων **f**[35] [75%] CP,HF,RP,OC ¦ ~ 54123 ℵB(D) [23%] TR,NU ¦ 54 συγγενεων 23 A,W ¦ at least eight further variants [2%]

[13] υπο παντων δια το ονομα μου *rell* ¦ ~ 345612 [20%]

[14] την **f**[35] A [99.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB(D)W [0.5%] NU

[15] πληρωθηναι **f**[35] C [56%] CP,TR,OC ¦ πλησθηναι ℵA,B,D,N,W [44%] HF,RP,NU

[16] δε **f**[35] ℵA,C,N,W [99%] CP,HF,RP,TR,OC ¦ --- B,D [1%] NU

[17] γαρ *rell* ¦ 1 τοτε [2.5%] OC

[18] εν **f**[35] W [87%] CP,HF,RP,TR ¦ --- ℵA,B,C,D,N [13%] OC,NU

[19] μαχαιρας **f**[35] ℵA,C,N [99%] CP,HF,RP,TR,OC ¦ μαχαιρης B [0.5%] NU ¦ μαχαιραις W ¦ ρομφαιας D [0.5%]

[20] παντα τα εθνη **f**[35] A,C,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 231 ℵB [1%] NU

[21] αχρι **f**[35] A,W [93%] CP,HF,RP,TR,OC ¦ 1 ου ℵB,N [1.5%] NU ¦ αχρις ου C,D [4%] ¦ 1 ουν [1%] ¦ two other variants

[22] εσται **f**[35] A,C,N,W [99.8%] CP,HF,RP,TR,OC ¦ εσονται ℵB,D,NU

ἀπορίᾳ, ἠχούσης[1] θαλάσσης καὶ σάλου· **26** ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ[2] οἰκουμένῃ—αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. **27** Καὶ τότε ὄψονται τὸν Υἱὸν τοῦ Ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. **28** Ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν, διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν.»

Parable of the fig tree

29 Καὶ εἶπεν παραβολὴν αὐτοῖς· «Ἴδετε τὴν συκῆν καὶ πάντα τὰ δένδρα. **30** Ὅταν προβάλλωσιν[3] ἤδη, βλέποντες ἀφ᾽ ἑαυτῶν γινώσκετε ὅτι ἤδη[4] ἐγγὺς τὸ θέρος ἐστίν. **31** Οὕτως καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ. **32** Ἀμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα γένηται. **33** Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται,[5] οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.[6]

Watch and pray

34 »Προσέχετε δὲ ἑαυτοῖς, μήποτε βαρηθῶσιν[7] ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς, καὶ αἰφνίδιος[8] ἐφ᾽ ὑμᾶς ἐπιστῇ[9] ἡ ἡμέρα ἐκείνη. **35** Ὡς παγὶς γὰρ ἐπελεύσεται[10] ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς. **36** Ἀγρυπνεῖτε οὖν[11] ἐν παντὶ καιρῷ, δεόμενοι ἵνα καταξιωθῆτε[12] ἐκφυγεῖν πάντα[13] τὰ μέλλοντα γίνεσθαι, καὶ σταθῆναι ἔμπροσθεν τοῦ Υἱοῦ τοῦ Ἀνθρώπου.»

His daily routine

37 Ἦν δὲ τὰς ἡμέρας ἐν τῷ ἱερῷ διδάσκων, τὰς δὲ νύκτας ἐξερχόμενος ηὐλίζετο εἰς τὸ ὄρος τὸ καλούμενον Ἐλαιῶν. **38** Καὶ πᾶς ὁ λαὸς ὤρθριζεν πρὸς αὐτὸν ἐν τῷ ἱερῷ ἀκούειν αὐτοῦ.

Judas joins the plot against Jesus

22:1 Ἤγγιζεν δὲ ἡ ἑορτὴ τῶν ἀζύμων, ἡ λεγομένη Πάσχα. **2** Καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὸ πῶς ἀνέλωσιν αὐτόν, ἐφοβοῦντο γὰρ τὸν λαόν. **3** Εἰσῆλθεν δὲ ὁ[14] Σατανᾶς εἰς Ἰούδαν (τὸν ἐπικαλούμενον[15] Ἰσκαριώτην), ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα. **4** Καὶ ἀπελθὼν συνελάλησεν τοῖς ἀρχιερεῦσιν καὶ[16] στρατηγοῖς τὸ πῶς αὐτὸν παραδῶ αὐτοῖς.[17] **5** Καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύρια[18] δοῦναι. **6** Καὶ ἐξωμολόγησεν, καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου.[19]

---

[1] ηχουσης **f**[35] D,W [93%] CP,HF,RP,TR,OC ¦ ηχους ℵA,B,C,N [7%] NU
[2] τη *rell* ¦ εν 1 CP
[3] προβαλλωσιν **f**[35] [28%] ¦ προβαλωσιν ℵA,B,C,W [66%] CP,HF,RP,TR,OC,NU ¦ προσβαλωσιν [5%] ¦ προβαλουσιν N ¦ προβασωσιν D ¦ three other variants
[4] ηδη *rell* ¦ --- N [15%]
[5] παρελευσεται **f**[35] C,W [32%] ¦ παρελευσονται ℵA,B,D,N [68%] CP,HF,RP,TR,OC,NU
[6] παρελθωσιν **f**[35] A,C,N [99%] CP,HF,RP,TR,OC ¦ παρελευσονται ℵB,D,T,W [1%] NU
[7] βαρηθωσιν **f**[35] ℵA,B,C,T,W [75%] CP,HF,RP,OC,NU ¦ βαρυνθωσιν D [20%] TR ¦ βαρυθωσιν N [5%]
[8] αιφνιδιος *rell* ¦ αιφνιδιως [18%] ¦ εφνιδιος ℵ ¦ εφνειδιον N ¦ ενιφνιος D ¦ one other variant
[9] αιφνιδιος εφ υμας επιστη **f**[35] C,W [95%] CP,HF,RP,TR,OC ¦ ~ 4231 (ℵ)B(D)T [1%] NU ¦ ~ 1423 A,N [3%] ¦ four other variants [1%]
[10] γαρ επελευσεται **f**[35] A,C,N,W [97%] CP,HF,RP,TR,OC ¦ 1 ελευσεται [3%] ¦ ~ επεισελευσεται 1 (ℵB,D)NU
[11] ουν **f**[35] A,C,N,W [99.8%] CP,HF,RP,TR,OC ¦ δε ℵB,D,NU
[12] καταξιωθητε **f**[35] A,C,D,N [98%] CP,HF,RP,TR,OC ¦ κατισχυσητε ℵT(W) [1.5%] NU ¦ κατισχυσηται B [0.2%]
[13] παντα **f**[35] ℵ [85%] CP,HF,RP,OC ¦ ταυτα 1 B,D [11%] TR,NU ¦ 1 ταυτα A,C,N,W [4%] ¦ two other variants
[14] ο **f**[35] [47%] TR,OC ¦ --- ℵA,B,C,D,N,W [53%] CP,HF,RP,NU
[15] επικαλουμενον **f**[35] A,C,N [92%] CP,HF,RP,TR,OC ¦ καλουμενον ℵB,D,W [3.5%] NU ¦ λεγομενον [4%] ¦ two other variants
[16] και **f**[35] ℵA,B(D) [75%] HF,RP,NU ¦ 1 τοις C,W [21%] CP,TR ¦ 1 γραμματευσιν 1 N [4%] OC
[17] αυτον παραδω αυτοις **f**[35] A,N,W [93%] CP,HF,RP,TR,OC ¦ ~ 321 𝔓[75vid]ℵB,C [7%] NU ¦ ~ 21 (D) ¦ one other variant
[18] αργυρια **f**[35] A,C [49%] OC ¦ αργυριον 𝔓[75]ℵB,D,N,W [51%] CP,HF,RP,TR,NU
[19] αυτοις ατερ οχλου **f**[35] N,W [96%] CP,HF,RP,TR,OC ¦ ~ 231 𝔓[75]ℵA,B,C [1%] NU ¦ 23 D ¦ 1 [3%]

The last night

Preparation for the last Passover

22:7 Ἦλθεν δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν[1] ᾗ ἔδει θύεσθαι τὸ Πάσχα. **8** Καὶ ἀπέστειλεν Πέτρον καὶ Ἰωάννην εἰπών, «Πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ Πάσχα, ἵνα φάγωμεν.» **9** Οἱ δὲ εἶπον[2] αὐτῷ, «Ποῦ θέλεις ἑτοιμάσομεν;»[3] **10** Ὁ δὲ εἶπεν αὐτοῖς· «Ἰδού, εἰσελθόντων ὑμῶν εἰς τὴν πόλιν συναντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν οὗ[4] εἰσπορεύεται. **11** Καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας, ‹Λέγει σοι ὁ Διδάσκαλος· Ποῦ ἐστιν τὸ κατάλυμα ὅπου τὸ Πάσχα μετὰ τῶν μαθητῶν μου φάγω;› **12** Κἀκεῖνος ὑμῖν δείξει ἀνάγαιον[5] μέγα, ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε.» **13** Ἀπελθόντες δὲ εὗρον καθὼς εἴρηκεν[6] αὐτοῖς, καὶ ἡτοίμασαν τὸ Πάσχα.

They eat the Passover

14 Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσεν, καὶ οἱ δώδεκα[7] ἀπόστολοι σὺν αὐτῷ. **15** Καὶ εἶπεν πρὸς αὐτούς· «Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ᾽ ὑμῶν πρὸ τοῦ με παθεῖν. **16** Λέγω γὰρ ὑμῖν ὅτι οὐκέτι[8] οὐ μὴ φάγω ἐξ αὐτοῦ[9] ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.» **17** Καὶ δεξάμενος[10] ποτήριον εὐχαριστήσας εἶπεν· «Λάβετε τοῦτο καὶ διαμερίσατε ἑαυτοῖς.[11] **18** Λέγω γὰρ ὑμῖν ὅτι[12] οὐ μὴ πίω[13] ἀπὸ τοῦ γενήματος[14] τῆς ἀμπέλου ἕως ὅτου[15] ἡ βασιλεία τοῦ Θεοῦ ἔλθῃ.»

Jesus institutes the Lord's Supper

19 Καὶ λαβὼν ἄρτον, εὐχαριστήσας, ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς λέγων, «Τοῦτό ἐστιν τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.» **20** Ὡσαύτως καὶ τὸ ποτήριον,[16] μετὰ τὸ δειπνῆσαι, λέγων· «Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον.[17]

The betrayer is present

21 »Πλὴν ἰδού, ἡ χεὶρ τοῦ παραδιδόντος με μετ᾽ ἐμοῦ ἐπὶ τῆς τραπέζης. **22** Καὶ[18] ὁ μὲν Υἱὸς[19] τοῦ Ἀνθρώπου πορεύεται κατὰ τὸ ὡρισμένον,[20] πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ παραδίδοται.» **23** (Καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς τὸ τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν.)

---

[1] εν **f**[35] ℵA,N,W [99%] CP,HF,RP,TR,OC[NU] ¦ --- B,C,D [1%]
[2] ειπον *rell* ¦ ειπαν **𝔓**[75]ℵB,C,D [1.5%] NU ¦ ειπων [1%]
[3] ετοιμασομεν **f**[35] [60%] CP,HF,RP ¦ ετοιμασωμεν **𝔓**[75]ℵA(B)C(D)N,W [40%] TR,OC,NU
[4] ου **f**[35] D,W [86%] CP,HF,RP,TR,OC ¦ 1 εαν A,N [12%] ¦ εις ην ℵB,C [1.5%] NU ¦ three other variants [0.5%]
[5] αναγαιον **f**[35] A,B(D)N [45%] NU ¦ ανωγαιον [27%] CP,OC ¦ ανωγεον [17%] HF,RP,TR ¦ ανωγεων [5%] ¦ ανογαιον [4%] ¦ αναγεον C,W [1%] ¦ ανωγαιαν ℵ ¦ three other variants [1%]
[6] ειρηκεν **f**[35] A,N,W [94%] CP,HF,RP,TR,OC ¦ ειρηκει **𝔓**[75]ℵB,C,D [1%] NU ¦ ειπεν [5%]
[7] δωδεκα **f**[35] A,C,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB,D [0.5%] NU
[8] ουκετι **f**[35] (D)N,W [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75v]ℵA,C,B [3%] NU ¦ one other variant
[9] εξ αυτου **f**[35] A,N,W [98%] CP,HF,RP,TR,OC ¦ απ 2 D [1%] ¦ αυτο ℵB,C [1%] NU ¦ one other variant
[10] δεξαμενος *rell* ¦ 1 το A,D,W [12%] OC ¦ 1 και [3%]
[11] εαυτοις **f**[35] A,D,N,W [93%] CP,HF,RP,TR,OC ¦ εις εαυτους B,C [6%] NU ¦ εις αυτους [1%] ¦ αλληλοις ℵ ¦ two other variants
[12] οτι **f**[35] ℵA,N,W [98%] CP,HF,RP,TR,OC[NU] ¦ --- B,C,D [2%]
[13] ου μη πιω **f**[35] A,C,N [92.5%] CP,HF,RP,TR,OC ¦ 123 απο του νυν **𝔓**[75v]ℵB [6%] NU ¦ ~ απο του νυν 123 D [1.5%] ¦ 123 νυν W
[14] γενηματος **f**[35] **𝔓**[75]ℵA,B,C,D,N,W [85%] CP,HF,RP,OC,NU ¦ γεννηματος [15%] TR
[15] οτου **f**[35] A,D,N [98%] CP,HF,RP,TR,OC ¦ ου ℵB,C [2%] NU ¦ του W
[16] ωσαυτως και το ποτηριον **f**[35] A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 2341 **𝔓**[75v]ℵB [0.5%] NU ¦ D has long omission
[17] εκχυνομενον **f**[35] N(W) [96.5%] CP,HF,RP,TR,OC ¦ εκχυννομενον ℵA,B,T [3.5%] NU
[18] και **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ οτι **𝔓**[75]ℵB,D,T [1%] NU
[19] μεν υιος **f**[35] A(D)N,W [99.6%] CP,HF,RP,TR,OC ¦ 2 ℵ ¦ ~ 21 **𝔓**[75v]B,T [0.3%] NU
[20] πορευεται κατα το ωρισμενον **f**[35] A,N,W [97%] CP,HF,RP,TR,OC ¦ ~ 2341 **𝔓**[75v]ℵB,D,T [3%] NU

Wanting to be 'the greatest' is not a valid option

24 Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς τὸ τίς αὐτῶν δοκεῖ εἶναι μείζων. **25** Ὁ δὲ εἶπεν αὐτοῖς· «Οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν[1] αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται. **26** Ὑμεῖς δὲ οὐχ[2] οὕτως—ἀλλ᾽ ὁ μείζων ἐν ὑμῖν γενέσθω[3] ὡς ὁ νεώτερος, καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν. **27** Τίς γὰρ μείζων, ὁ ἀνακείμενος ἢ ὁ διακονῶν; Οὐχ[4] ὁ ἀνακείμενος; Ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν[5] ὡς ὁ διακονῶν. **28** Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ᾽ ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου. **29** Κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς διέθετό μοι ὁ Πατήρ μου, βασιλείαν, **30** ἵνα ἐσθίητε[6] καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου·[7] καὶ καθίσεσθε[8] ἐπὶ θρόνων κρίνοντες τὰς δώδεκα φυλὰς[9] τοῦ Ἰσραήλ.»

Peter will deny Him

31 Εἶπεν δὲ ὁ Κύριος·[10] «Σίμων, Σίμων, ἰδοὺ ὁ Σατανᾶς ἐξῃτήσατο ὑμᾶς τοῦ σινιάσαι[11] ὡς τὸν σῖτον. **32** Ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ[12] ἡ πίστις σου· καὶ σύ, ποτὲ ἐπιστρέψας, στήριξον[13] τοὺς ἀδελφούς σου.» **33** Ὁ δὲ εἶπεν αὐτῷ, «Κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι.» **34** Ὁ δὲ εἶπεν, «Λέγω σοι, Πέτρε, οὐ μὴ[14] φωνήσῃ[15] σήμερον ἀλέκτωρ πρὶν ἢ[16] τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με.»[17]

"Buy a sword"

35 Καὶ εἶπεν αὐτοῖς, «Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου[18] καὶ πήρας καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε;»[19] Οἱ δὲ εἶπον,[20] «Οὐδενός.»[21] **36** Εἶπεν οὖν[22] αὐτοῖς· «Ἀλλὰ νῦν, ὁ ἔχων βαλάντιον[23] ἀράτω, ὁμοίως καὶ πήραν· καὶ ὁ μὴ ἔχων πωλήσει[24] τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγοράσει[25] μάχαιραν. **37** Λέγω γὰρ ὑμῖν ὅτι ἔτι[26] τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοί· τὸ ‹Καὶ μετὰ ἀνόμων ἐλογίσθη›· καὶ γὰρ τὰ[27] περὶ ἐμοῦ τέλος ἔχει.» **38** Οἱ δὲ εἶπον,[28] «Κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο.» Ὁ δὲ εἶπεν αὐτοῖς, «Ἱκανόν ἐστιν.»

---

[1] κυριευουσιν *rell* ¦ κυριευσουσιν [3.5%] ¦ κατακυρευουσιν N [13%]
[2] ουχ *rell* ¦ ουκ CP
[3] γενεσθω **f**[35] A,N,W [96.5%] CP,HF,RP,TR ¦ γινεσθω (א B,D)T [3.5%] OC,NU
[4] ουχ **f**[35] (D) [33%] ¦ ουχι **𝔓**[75] א A,T [67%] CP,HF,RP,TR,OC,NU ¦ ουχει B,N,W
[5] ειμι εν μεσω υμων **f**[35] (A)N,Q[v],W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 2341 א B,T [0.5%] NU ¦ D is wild
[6] εσθιητε **f**[35] A [99%] CP,HF,RP,TR,OC ¦ εσθητε **𝔓**[75] B,D,T,NU ¦ εσθιηται א Q ¦ εσθειηται W ¦ εσθειεται N
[7] εν τη βασιλεια μου **f**[35] **𝔓**[75] א A,B,N,Q,T,W [60%] CP,HF,TR,OC,NU ¦ 123 D ¦ --- [40%] RP [homoioteleuton]
[8] καθισεσθε **f**[35] [64%] CP,HF,RP,OC ¦ καθησεσθε א N [23%] NU ¦ καθισησθε [12%] TR ¦ καθησθε B,T [0.5%] ¦ καθησεσθαι A,Q,W ¦ καθεζησθε D ¦ two other variants
[9] κρινοντες τας δωδεκα φυλας **f**[35] א A,N,Q,W [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 2341 **𝔓**[75](B)T [0.3%] NU ¦ 134 D
[10] ειπεν δε ο κυριος **f**[35] א A,D,N,Q,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75] B,T [0.5%] NU
[11] σινιασαι *rell* ¦ συνιασαι OC ¦ σεινιασαι **𝔓**[75v] A,B,D,N,Q,T,W ¦ ζινιασαι א
[12] εκλιπη **f**[35] א B,D,N,T [52%] HF,RP,OC,NU ¦ εκλειπη A,Q,W [48%] CP,TR
[13] στηριξον **f**[35] D,N,W [95.5%] CP,HF,RP,TR,OC ¦ στηρισον א A,B,Q,T [4.5%] NU ¦ three other variants
[14] μη **f**[35] A,D,N,W [95.5%] CP,HF,RP,TR ¦ --- **𝔓**[75v] א B,T [4.5%] OC,NU
[15] φωνηση **f**[35] N,W [64%] CP,HF,RP ¦ φωνησει א A,B,D,T [36%] TR,OC,NU
[16] πριν η **f**[35] A,N,W [90.5%] CP,HF,RP,TR,OC ¦ 1 Q [2%] ¦ εως א B,T [1.5%] NU ¦ εως ου [6%] ¦ εως οτου D
[17] απαρνηση μη ειδεναι με **f**[35] A(D)N,W [92%] CP,HF,RP,TR,OC ¦ ~ 4123 [1%] ¦ 123 [1%] ¦ 134 [1.5%] ¦ ~ 413 א B,T [0.5%] NU ¦ ~ 143 Q [1%] ¦ απαρνησει 234 [3%]
[18] βαλαντιου **f**[35] [63%] HF,RP,TR ¦ βαλλαντιου **𝔓**[75v] א A,B,D,N,Q,T,W [37%] CP,OC,NU
[19] υστερησατε *rell* ¦ υστερηθητε [2%] OC ¦ υστερησαται א N ¦ three other variants
[20] ειπον *rell* ¦ ειπαν B,D,T [0.5%] NU ¦ ειπεν A
[21] ουδενος **f**[35] א D [52%] CP,TR ¦ ουθενος **𝔓**[75] A,B,N,Q,T,W [48%] HF,RP,OC,NU
[22] ειπεν ουν **f**[35] A,N,Q,W [98%] CP,HF,RP,TR,OC ¦ 1 δε **𝔓**[75] B,T [1.5%] NU ¦ ο δε 1 א D [0.2%] ¦ --- [0.5%]
[23] βαλαντιον **f**[35] [60%] HF,RP,TR ¦ βαλλαντιον א A,B,D,N,Q,T,W [40%] CP,OC,NU
[24] πωλησει **f**[35] N [64%] CP,HF,RP,OC ¦ πωλησατω **𝔓**[75v] א A,B,Q,T,W [28%] TR,NU ¦ πολησει [4%] ¦ πωληση [4.5%] ¦ πωλησαι D
[25] αγορασει **f**[35] D [77%] CP,HF,RP,OC ¦ αγορασατω **𝔓**[75v] א A,B,Q,T,W [21%] TR,NU ¦ αγοραση N [2%]
[26] ετι **f**[35] N [94%] CP,HF,RP,TR,OC ¦ --- א A,B,D,Q,T,W [6%] NU
[27] τα **f**[35] A,N [99%] CP,HF,RP,TR,OC ¦ το א B,D,Q(T)W [1%] NU
[28] ειπον *rell* ¦ ειπαν **𝔓**[75] א B,D,Q,T [1%] NU ¦ ειπων [1%]

Gethsemane

39 Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ
οἱ μαθηταὶ αὐτοῦ.[1] **40** Γενόμενος δὲ ἐπὶ τοῦ τόπου, εἶπεν αὐτοῖς, «Προσεύχεσθε, μὴ εἰσελθεῖν εἰς
πειρασμόν.» **41** Καὶ αὐτὸς ἀπεσπάσθη ἀπ᾽ αὐτῶν ὡσεὶ λίθου βολήν, καὶ θεὶς τὰ γόνατα
προσηύχετο **42** λέγων, «Πάτερ, εἰ βούλει παρενεγκεῖν[2] τὸ ποτήριον τοῦτο[3] ἀπ᾽ ἐμοῦ—πλήν, μὴ
τὸ θέλημά μου, ἀλλὰ τὸ σόν, γενέσθω.»[4] **43** Ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ᾽ οὐρανοῦ ἐνισχύων αὐτόν.
44 Καὶ γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσηύχετο· ἐγένετο δὲ[5] ὁ ἱδρὼς[6] αὐτοῦ ὡσεὶ θρόμβοι
αἵματος, καταβαίνοντες ἐπὶ τὴν γῆν.[7] **45** Καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς, ἐλθὼν πρὸς τοὺς
μαθητὰς[8] εὗρεν αὐτοὺς κοιμωμένους[9] ἀπὸ τῆς λύπης. **46** Καὶ εἶπεν αὐτοῖς· «Τί καθεύδετε;
Ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν.»

Betrayal and arrest

47 Ἔτι δὲ[10] αὐτοῦ λαλοῦντος, ἰδοὺ ὄχλος· καὶ ὁ λεγόμενος Ἰούδας, εἷς τῶν δώδεκα, προήρ-
χετο[11] αὐτούς,[12] καὶ ἤγγισεν τῷ Ἰησοῦ φιλῆσαι αὐτόν (τοῦτο γὰρ σημεῖον δεδώκει αὐτοῖς, «Ὃν
ἂν φιλήσω, αὐτός ἐστιν»).[13] **48** Ὁ δὲ Ἰησοῦς[14] εἶπεν αὐτῷ, «Ἰούδα, φιλήματι τὸν Υἱὸν τοῦ
Ἀνθρώπου παραδίδως;»

49 Ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον εἶπον[15] αὐτῷ,[16] «Κύριε, εἰ πατάξομεν[17] ἐν
μαχαίρᾳ;»[18] **50** Καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον τοῦ ἀρχιερέως[19] καὶ ἀφεῖλεν αὐτοῦ τὸ
οὖς[20] τὸ δεξιόν. **51** Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, «Ἐᾶτε ἕως τούτου»· καὶ ἁψάμενος τοῦ ὠτίου
αὐτοῦ[21] ἰάσατο αὐτόν.

52 Εἶπεν δὲ ὁ Ἰησοῦς[22] πρὸς τοὺς παραγενομένους πρὸς[23] αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς
τοῦ ἱεροῦ καὶ πρεσβυτέρους· «Ὡς ἐπὶ λῃστὴν ἐξεληλύθατε[24] μετὰ μαχαιρῶν καὶ ξύλων; **53** Καθ᾽
ἡμέραν ὄντος μου μεθ᾽ ὑμῶν ἐν τῷ ἱερῷ, οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ᾽ ἐμέ. Ἀλλὰ[25] αὕτη ὑμῶν
ἐστιν[26] ἡ ὥρα· καὶ ἡ ἐξουσία τοῦ σκότους.»

---

[1] αυτου **f**[35] N [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א,A,B,D,Q,T,W [3%] NU
[2] παρενεγκειν **f**[35] A,N,W [80%] CP,HF,RP,TR,OC ¦ παρενεγκε **𝔓**[75]B(D)Q,T [13%] NU ¦ παρενεγκαι א [7%]
[3] το ποτηριον τουτο **f**[35] A,N,W [99%] CP,HF,RP,TR ¦ ~ 312 **𝔓**[75]B(D)Q,T [1%] OC,NU ¦ ~ 3123 א
[4] γενεσθω **f**[35] **𝔓**[69](D)N [77%] CP,HF,RP,TR ¦ γινεσθω (**𝔓**[75]א,A,B)Q,T,W [23%] OC,NU
[5] εγενετο δε **f**[35] D,Q [95%] CP,HF,RP,TR,OC ¦ ~ και 1 א [3.5%] NU ¦ omit verses 43-44 **𝔓**[69,75]A,B,N,T,W (1.3%) (NU puts them in [[ ]])
[6] ιδρως *rell* ¦ υδρως CP
[7] have verses 43-44 **f**[35] (א)D,Q(0171) (98.7%) CP,HF,RP,TR,OC[[NU]] ¦ omit verses 43-44 **𝔓**[75]A,B,N,T,W (0.9%) ¦ place them after Mt. 26:39 (C) (0.4%)
[8] μαθητας *rell* ¦ 1 αυτου [3%] TR
[9] αυτους κοιμωμενους **f**[35] A,N,Q,W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75]אB,D,T,0171 [1.5%] NU
[10] δε **f**[35] D,0171 [83%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אA,B,N,T,W [17%] NU
[11] προηρχετο *rell* ¦ προηγεν D [8%] OC ¦ προσηρχετο **𝔓**[75] [2%]
[12] αυτους **f**[35] **𝔓**[69,75]אA,B,D,N,T [85%] CP,HF,RP,OC,NU ¦ αυτων [15%] TR ¦ αυτου W
[13] τουτο γαρ σημειον δεδωκει αυτοις ον αν φιλησω αυτος εστιν **f**[35] D [45%] (with minor variations) CP,OC ¦ --- **𝔓**[75]אA,B,N,T,W [55%] HF,RP,TR,NU
[14] ο δε ιησους **f**[35] A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 32 **𝔓**[75]אB,T [1%] NU
[15] ειπον *rell* ¦ ειπαν **𝔓**[75]אB,D,T [1%] NU
[16] αυτω **f**[35] A,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אB,T [1%] NU ¦ τω κυριω D
[17] παταξομεν *rell* ¦ παταξωμεν [22%]
[18] μαχαιρα **f**[35] A,W [99%] CP,HF,RP,TR,OC ¦ μαχαιρη **𝔓**[75]אB,D,T [1%] NU
[19] τον δουλον του αρχιερεως **f**[35] **𝔓**[75]A,D,W,0171[v] [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 3412 אB,T [1.5%] NU
[20] αυτου το ους **f**[35] A,W [96%] CP,HF,RP,TR,OC ¦ ~ 231 **𝔓**[75]אB,T,0171 [2%] NU ¦ 12 ωτιον D [2%]
[21] αυτου **f**[35] A [97.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אB,T,W [2.5%] NU ¦ D is wild
[22] ο ιησους **f**[35] W [98.5%] CP,HF,RP,TR,OC ¦ 2 **𝔓**[75]אA,B,T [0.5%] NU ¦ --- D [1%]
[23] προς **f**[35] א [33%] CP ¦ επ **𝔓**[75]A,B,D,T,W,0171 [67%] HF,RP,TR,OC,NU
[24] εξεληλυθατε **f**[35] A,W [80%] CP,HF,RP,TR,OC ¦ εξηλθατε **𝔓**[75]אB,D,T [4%] NU ¦ εξηλθετε 0171 [16%]
[25] αλλα **f**[35] D,T [46%] ¦ αλλ **𝔓**[75]אA,B [54%] CP,HF,RP,TR,OC,NU ¦ αλλ η W
[26] υμων εστιν **f**[35] A [80%] CP,HF,RP,TR ¦ ~ 21 **𝔓**[75]B,D,T,W [20%] OC,NU ¦ 2 א

Peter denies Jesus

54 Συλλαβόντες δὲ αὐτόν, ἤγαγον καὶ εἰσήγαγον[1] εἰς τὸν οἶκον[2] τοῦ ἀρχιερέως· ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν. **55** Ἁψάντων[3] δὲ πῦρ[4] ἐν μέσῳ τῆς αὐλῆς καὶ συγκαθισάντων αὐτῶν,[5] ἐκάθητο ὁ Πέτρος ἐν μέσῳ[6] αὐτῶν. **56** Ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς καὶ ἀτενίσασα αὐτῷ εἶπεν, «Καὶ οὗτος σὺν αὐτῷ ἦν.» **57** Ὁ δὲ ἠρνήσατο αὐτὸν[7] λέγων, «Γύναι, οὐκ οἶδα αὐτόν.»[8]

58 Καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν ἔφη, «Καὶ σὺ ἐξ αὐτῶν εἶ.» Ὁ δὲ Πέτρος εἶπεν,[9] «Ἄνθρωπε, οὐκ εἰμί.» **59** Καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς, ἄλλος τις διϊσχυρίζετο λέγων, «Ἐπ᾽ ἀληθείας καὶ οὗτος μετ᾽ αὐτοῦ ἦν, καὶ γὰρ Γαλιλαῖός ἐστιν.» **60** Εἶπεν δὲ ὁ Πέτρος, «Ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις.» Καὶ παραχρῆμα, ἔτι λαλοῦντος αὐτοῦ,[10] ἐφώνησεν[11] ἀλέκτωρ.

61 Καὶ στραφεὶς ὁ Κύριος ἐνέβλεψεν τῷ Πέτρῳ, καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ λόγου[12] τοῦ Κυρίου, ὡς εἶπεν αὐτῷ ὅτι «Πρὶν ἀλέκτορα φωνῆσαι,[13] ἀπαρνήσῃ με τρίς.» **62** Καὶ ἐξελθὼν ἔξω[14] ἔκλαυσεν πικρῶς.

Guards mistreat Jesus

63 Καὶ οἱ ἄνδρες οἱ συνέχοντες τὸν Ἰησοῦν[15] ἐνέπαιζον αὐτῷ, δαίροντες.[16] **64** Καὶ περικαλύψαντες αὐτόν, ἔτυπτον αὐτοῦ τὸ πρόσωπον καὶ ἐπηρώτων αὐτὸν[17] λέγοντες· «Προφήτευσον. Τίς ἐστιν ὁ παίσας σε;» **65** Καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς αὐτόν.

Crucifixion day

Jesus judged by the Council

22:66 Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, ἀρχιερεῖς τε[18] καὶ γραμματεῖς, καὶ ἀπήγαγον[19] αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν,[20] λέγοντες, **67** «Εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ[21] ἡμῖν.» Εἶπεν δὲ αὐτοῖς· «Ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε. **68** Ἐὰν δὲ καὶ[22] ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτέ μοι ἢ ἀπολύσητε.[23] **69** Ἀπὸ τοῦ νῦν[24] ἔσται ὁ Υἱὸς τοῦ Ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ.» **70** Εἶπον[25] δὲ πάντες, «Σὺ οὖν εἶ ὁ Υἱὸς τοῦ Θεοῦ;» Ὁ δὲ πρὸς αὐτοὺς ἔφη,

---

[1] εισηγαγον **f**[35] **𝔓**[75]אA,B,T [37%] CP,NU ¦ 1 αυτον [55%] HF,RP,TR,OC ¦ συνηγαγον αυτον W ¦ --- (D) [8%]
[2] τον οικον **f**[35] A,D,W [93%] CP,HF,RP,TR,OC ¦ την οικιαν **𝔓**[75]אB,T [7%] NU
[3] αψαντων **f**[35] A,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ περιαψαντων **𝔓**[75]אB,T [0.5%] NU
[4] πυρ *rell* ¦ πυραν [2.5%] OC
[5] αυτων **f**[35] A,W [95%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אB(D)T [5%] NU
[6] εν μεσω **f**[35] א(A)W [99%] CP,HF,RP,TR,OC ¦ μεσος **𝔓**[75]B,T,0171[v] [1%] NU ¦ μετ D
[7] αυτον **f**[35] A,D,N,W [68%] CP,HF,RP,TR ¦ --- **𝔓**[75]אB,T [32%] OC,NU
[8] γυναι ουκ οιδα αυτον **f**[35] A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 2341 **𝔓**[75]אB,T [1%] NU ¦ 234 D [0.5%]
[9] ειπεν **f**[35] **𝔓**[69]A,D,N,W [90%] CP,HF,RP,TR,OC ¦ εφη **𝔓**[75]אB,T [10%] NU
[10] αυτου *rell* ¦ του πετρου [15%]
[11] εφωνησεν *rell* ¦ 1 ο [3%] TR
[12] λογου **f**[35] A,D,N,W [96.5%] CP,HF,RP,TR,OC ¦ ρηματος **𝔓**[69,75]אB,T [3.5%] NU
[13] φωνησαι **f**[35] A,D,N,W [87%] CP,HF,RP,TR,OC ¦ 1 σημερον **𝔓**[75]אB,T [12%] NU ¦ σημερον 1 [1%]
[14] εξω **f**[35] **𝔓**[75]אB,D,T [47%] NU ¦ 1 ο πετρος A,N,W [53%] CP,HF,RP,TR,OC
[15] τον ιησουν **f**[35] A,N,W [96.5%] CP,HF,RP,TR,OC ¦ αυτον **𝔓**[75]אB,D,T,0171[v] [3.5%] NU
[16] δαιροντες **f**[35] [35%] ¦ δεροντες **𝔓**[75]אA,B,N,T,W [65%] CP,HF,RP,TR,OC,NU ¦ --- D,0171
[17] αυτον ετυπτον αυτου το προσωπον και επηρωτων αυτον **f**[35] A,N,W [94%] CP,HF,RP,TR,OC ¦ ~ 2134578 [4%] ¦ ~ 345216 D ¦ ~ 87 **𝔓**[75]B,T [2%] NU ¦ 78 א
[18] τε **f**[35] **𝔓**[75]אA,B,N,T,W [50%] CP,TR,NU ¦ --- (D) [50%] HF,RP,OC
[19] απηγαγον **f**[35] **𝔓**[75]אB,D,T [24%] CP,NU ¦ ανηγαγον A,W [75%] HF,RP,TR,OC ¦ ηγαγον N [1%]
[20] αυτων **f**[35] **𝔓**[75]אB,D,T [74%] CP,HF,RP,NU ¦ εαυτων A,N,W [23%] TR,OC ¦ αυτον [2%] ¦ three other variants [1%]
[21] ειπε **f**[35] A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ειπον **𝔓**[75]אB,T [0.5%] NU ¦ --- D
[22] και **f**[35] A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אB(D)T [1.5%] NU
[23] μοι η απολυσητε **f**[35] A,D,N,W (94.3%) CP,HF,RP,TR,OC ¦ 12 (three variations of the verb) (0.5%) ¦ ~ 23 με (0.3%) ¦ 23 (2.4%) ¦ 1 (1.6%) ¦ --- **𝔓**[75]אB,T (0.4%) NU ¦ four other variants (0.4%)
[24] νυν **f**[35] N,W [98.5%] CP,HF,RP,TR,OC ¦ 1 δε **𝔓**[75]אA,B,D,T [1.5%] NU
[25] ειπον *rell* ¦ ειπαν **𝔓**[75]אB,T [1%] NU ¦ one other reading

«Ὑμεῖς λέγετε ὅτι ΕΓΩ ΕΙΜΙ.» **71** Οἱ δὲ εἶπον·[1] «Τί ἔτι χρείαν ἔχομεν μαρτυρίας;[2] Αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ.»

Jesus taken to Pontius Pilate

23:1 Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν ἤγαγον[3] αὐτὸν ἐπὶ τὸν Πιλᾶτον. **2** Ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ λέγοντες, «Τοῦτον εὕρομεν[4] διαστρέφοντα τὸ ἔθνος,[5] καὶ κωλύοντα Καίσαρι φόρους[6] διδόναι,[7] λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι.» **3** Ὁ δὲ Πιλᾶτος ἐπηρώτησεν[8] αὐτὸν λέγων, «Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;» Ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη, «Σὺ λέγεις.» **4** Ὁ δὲ Πιλᾶτος εἶπεν πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους,[9] «Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ.» **5** Οἱ δὲ ἐπίσχυον, λέγοντες ὅτι «Ἀνασείει τὸν λαόν, διδάσκων καθ᾽ ὅλης τῆς Ἰουδαίας,[10] ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε.»

Jesus taken to Herod

6 Πιλᾶτος δὲ ἀκούσας ‹Γαλιλαίαν,›[11] ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστιν. **7** Καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας Ἡρῴδου ἐστίν, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρῴδην, ὄντα καὶ αὐτὸν ἐν Ἰεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις. **8** Ὁ δὲ Ἡρῴδης ἰδὼν τὸν Ἰησοῦν ἐχάρη λίαν, ἦν γὰρ θέλων ἐξ ἱκανοῦ[12] ἰδεῖν αὐτόν, διὰ τὸ ἀκούειν[13] πολλὰ[14] περὶ αὐτοῦ· καὶ ἤλπιζέν τι[15] σημεῖον ἰδεῖν ὑπ᾽ αὐτοῦ γινόμενον. **9** Ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς· αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ. **10** Εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς,[16] εὐτόνως κατηγοροῦντες αὐτοῦ. **11** Ἐξουθενήσας δὲ αὐτὸν[17] ὁ Ἡρῴδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ, καὶ ἐμπαίξας, περιβαλὼν αὐτὸν[18] ἐσθῆτα λαμπράν, ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ. **12** (Ἐγένοντο δὲ φίλοι ὅ τε Πιλᾶτος καὶ ὁ Ἡρῴδης[19] ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ᾽ ἀλλήλων—προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς.)[20]

Pilate sentences Jesus

13 Πιλᾶτος δὲ συγκαλεσάμενος τοὺς ἀρχιερεῖς καὶ τοὺς ἄρχοντας καὶ τὸν λαόν, **14** εἶπεν πρὸς αὐτούς· «Προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον ὡς ἀποστρέφοντα[21] τὸν λαόν, καὶ ἰδού, ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας οὐδὲν[22] εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον ὧν κατηγορεῖτε κατ᾽ αὐτοῦ. **15** Ἀλλ᾽ οὐδὲ Ἡρῴδης (ἀνέπεμψα γὰρ ὑμᾶς πρὸς αὐτόν)·[23] καὶ ἰδού, οὐδὲν ἄξιον θανάτου

---

[1] ειπον *rell* ¦ ειπαν 𝔓75א B,D,T [1%] NU
[2] χρειαν εχομεν μαρτυριας **f**35 אA,D,N,W [85%] CP,HF,RP,TR,OC ¦ ~ 231 𝔓75B,T [0.5%] NU ¦ 1 εχωμεν 3 [12%] ¦ 12 μαρτυρων D [2.5%]
[3] ηγαγον *rell* ¦ ηγαγεν [1%] CP,TR
[4] ευρομεν *rell* ¦ ευραμεν B,T [1%] NU ¦ ευρον D ¦ ευρωμεν [1%] ¦ two other variants
[5] εθνος **f**35 A,W [70%] CP,HF,RP,TR,OC ¦ 1 ημων 𝔓75אB,D,N,T [30%] NU
[6] καισαρι φορους **f**35 (N)W [91%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓75אB(D)T [1%] NU ¦ 1 φορον A [8%]
[7] διδοναι **f**35 A(D)N,W [96%] CP,HF,RP,TR,OC ¦ 1 και 𝔓75אB,T [4%] NU
[8] επηρωτησεν **f**35 A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ηρωτησεν 𝔓75אB,T [0.5%] NU
[9] οχλους *rell* ¦ 1 οτι [1%] OC
[10] ιουδαιας **f**35 𝔓75A(D)N,W [99.5%] CP,HF,RP,TR,OC ¦ 1 και אB,T [0.5%] NU
[11] γαλιλαιαν **f**35 A,D,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓75אB,T [0.5%] NU ¦ γαλιλαιας N ¦ four other spellings
[12] θελων εξ ικανου **f**35 A [72%] CP,HF,RP,TR ¦ ~ 231 [4%] OC ¦ 123 χρονου N,W [20%] ¦ 12 ικανων χρονων D ¦ ~ 23 χρονου 1 [3.5%] ¦ ~ 2 ικανων χρονων 1 𝔓75אB,T [0.5%] NU ¦ several other variants
[13] ακουειν *rell* ¦ 1 αυτου [3%] OC
[14] πολλα **f**35 A,N,W [95%] CP,HF,RP,TR,OC ¦ --- 𝔓75אB,D,T [5%] NU
[15] τι *rell* ¦ ετι CP
[16] αρχιερεις και οι γραμματεις *rell* ¦ ~ 4231 OC
[17] αυτον **f**35 A,B,D(W) [97.5%] CP,HF,RP,TR,OC ¦ 1 και 𝔓75N,T [2.5%] [NU] ¦ και א
[18] αυτον **f**35 A(D)N,T,W [89%] CP,HF,RP,TR,OC ¦ αυτω [6%] ¦ --- 𝔓75אB [5%] NU ¦ one other variant
[19] πιλατος και ο ηρωδης **f**35 A(D)N [74%] CP,HF,RP,TR ¦ ~ 4231 𝔓75אB,T [1.5%] OC,NU ¦ 124 W [24.5%]
[20] εαυτους **f**35 A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ αυτους 𝔓75אB,T [0.5%] NU ¦ D has long omission
[21] αποστρεφοντα *rell* ¦ διαστρεφοντα [14%]
[22] ουδεν **f**35 A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ουθεν 𝔓75אB,T [1%] NU
[23] ανεπεμψα γαρ υμας προς αυτον **f**35 A,D,N,W [82%] CP,HF,RP,TR,OC ¦ ανεπεμψεν 2345 [2%] ¦ ~ 12543 [2%] ¦ ~ ανεπεμψεν 2543 [2%] ¦ ~ ανεπεμψεν 254 ημας 𝔓75אB,T [12%] NU

ἐστὶν πεπραγμένον αὐτῷ. **16** Παιδεύσας οὖν αὐτὸν ἀπολύσω.» **17** (Ἀνάγκην δὲ εἶχεν ἀπολύειν αὐτοῖς κατὰ ἑορτὴν ἕνα.)[1]

18 Ἀνέκραξαν[2] δὲ παμπληθεὶ[3] λέγοντες· «Αἶρε τοῦτον, ἀπόλυσον δὲ ἡμῖν[4] Βαραββᾶν»— **19** ὅστις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει, καὶ φόνον, βεβλημένος εἰς φυλακήν.[5] **20** Πάλιν οὖν[6] ὁ Πιλᾶτος προσεφώνησεν,[7] θέλων ἀπολῦσαι τὸν Ἰησοῦν. **21** Οἱ δὲ ἐπεφώνουν λέγοντες· «Σταύρωσον, σταύρωσον[8] αὐτόν.» **22** Ὁ δὲ τρίτον εἶπεν πρὸς αὐτούς· «Τί γὰρ κακὸν ἐποίησεν οὗτος; Οὐδὲν αἴτιον[9] θανάτου εὗρον ἐν αὐτῷ· παιδεύσας οὖν αὐτὸν ἀπολύσω.» **23** Οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις, αἰτούμενοι αὐτὸν σταυρωθῆναι· καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν, καὶ τῶν ἀρχιερέων.[10] **24** Ὁ δὲ[11] Πιλᾶτος ἐπέκρινεν γενέσθαι τὸ αἴτημα αὐτῶν. **25** Ἀπέλυσεν δὲ[12] τὸν διὰ στάσιν καὶ φόνον βεβλημένον εἰς τὴν[13] φυλακήν, ὃν ἠτοῦντο· τὸν δὲ Ἰησοῦν παρέδωκεν τῷ θελήματι αὐτῶν.

Jesus is crucified

26 Καὶ ὡς ἀπήγαγον αὐτόν, ἐπιλαβόμενοι Σίμωνός τινος Κυρηναίου (ἐρχομένου[14] ἀπ᾽ ἀγροῦ), ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν φέρειν ὄπισθεν[15] τοῦ Ἰησοῦ. **27** Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ, καὶ γυναικῶν αἳ καὶ[16] ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν. **28** Στραφεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς[17] εἶπεν· «Θυγατέρες Ἰερουσαλήμ, μὴ κλαίετε ἐπ᾽ ἐμέ· πλὴν ἐφ᾽ ἑαυτὰς κλαίετε καὶ ἐπὶ τὰ τέκνα ὑμῶν. **29** Ὅτι ἰδού, ἔρχονται ἡμέραι ἐν αἷς ἐροῦσιν, ‹Μακάριαι αἱ στεῖραι, καὶ[18] κοιλίαι αἳ οὐκ ἐγέννησαν καὶ μαστοὶ οἳ οὐκ ἐθήλασαν.›[19] **30** Τότε ἄρξονται λέγειν τοῖς ὄρεσιν, ‹Πέσετε ἐφ᾽ ἡμᾶς,› καὶ τοῖς βουνοῖς, ‹Καλύψατε ἡμᾶς.› **31** Ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ τί γένηται;»[20]

32 Ἤγοντο δὲ καὶ ἕτεροι δύο, κακοῦργοι,[21] σὺν αὐτῷ ἀναιρεθῆναι. **33** Καὶ ὅτε ἀπῆλθον[22] ἐπὶ τὸν τόπον τὸν καλούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτόν· καὶ τοὺς κακούργους, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν.

34 Ὁ δὲ Ἰησοῦς ἔλεγεν, «Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασιν τί ποιοῦσιν».[23] διαμεριζόμενοι

---

[1] have verse 17 (with a variety of minor variations) **f**[35] (א)(D)(N)W (97.9%) CP,HF,RP,TR,OC ¦ omit verse 17 **𝔓**[75]A,B,T (1.9%) NU ¦ longer omissions (0.2%)

[2] ανεκραξαν **f**[35] A,D,N(W) [98.5%] CP,HF,RP,TR,OC ¦ ανεκραγον **𝔓**[75]אB,T [1.5%] NU

[3] παμπληθει *rell* ¦ παμπληθη CP

[4] ημιν **f**[35] A,D,W [88%] HF,RP,OC ¦ 1 τον **𝔓**[75]אB,N,T [12%] CP,TR,NU

[5] βεβλημενος εις φυλακην **f**[35] A,D,N [93.5%] CP,HF,RP,TR ¦ 12 την 3 W [6%] OC ¦ βληθεις εν τη φυλακη **𝔓**[75]B,T [0.5%] NU ¦ εν τη φυλακη א

[6] ουν **f**[35] N,W [98.5%] CP,HF,RP,TR,OC ¦ δε **𝔓**[75]אA,B,D,T [1.5%] NU ¦ one other variant

[7] προσεφωνησεν **f**[35] A,N,W [98%] CP,HF,RP,TR,OC ¦ 1 αυτοις **𝔓**[75]אB,T [2%] NU ¦ 1 αυτους D

[8] σταυρωσον σταυρωσον **f**[35] A,N [95%] CP,HF,RP,TR,OC ¦ σταυρου σταυρου **𝔓**[75]אB,D [0.3%] NU ¦ 1 W [5%]

[9] αιτιον *rell* ¦ αξιον [2%] OC

[10] και των αρχιερεων **f**[35] A(D)N,W (99%) CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אB (0.5%) NU ¦ six other readings (0.4%)

[11] ο δε **f**[35] A(D)N,W [99.5%] CP,HF,RP,TR,OC ¦ και **𝔓**[75]אB [0.5%] NU

[12] δε **f**[35] **𝔓**[75]אA,B,D,N,W [70%] CP,HF,RP,NU ¦ 1 αυτοις [20%] TR ¦ 1 αυτοις τον βαραββαν [10%] OC

[13] την **f**[35] **𝔓**[75]A,C,N [90%] CP,HF,RP,TR,OC ¦ --- אB,D [10%] NU ¦ τη W

[14] σιμωνος τινος κυρηναιου ερχομενου **f**[35] (A)N,W [96%] CP,HF,RP,OC ¦ 123 του 4 [2%] TR ¦ σιμωνα τινα κυρηναιον ερχομενον **𝔓**[75]אB [2%] NU ¦ τινα σιμωνα κυρηναιον ερχομενον C,D

[15] οπισθεν *rell* ¦ οπισω [3%] OC

[16] αι και **f**[35] W [95%] CP,HF,RP,TR,OC ¦ 1 **𝔓**[75]A,B,C(D)N [5%] NU ¦ --- א

[17] προς αυτας ο ιησους **f**[35] A,N,W [98%] CP,HF,RP,TR,OC[NU] ¦ ~ 3412 C(D) [1%] ¦ 124 **𝔓**[75]אB [0.3%] ¦ three other variants

[18] και **f**[35] **𝔓**[75]A,D,W [90%] CP,HF,RP,TR,OC ¦ 1 αι אB,C,N [10%] NU

[19] εθηλασαν **f**[35] A,N,W [98%] CP,HF,RP,TR,OC ¦ εθρεψαν **𝔓**[75]אB,C [1%] NU ¦ εξεθρεψαν D [1%]

[20] γενηται *rell* ¦ γινεται [9%] ¦ γενησεται [10%]

[21] δυο κακουργοι **f**[35] A,C,D,N,Q,W [99.8%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75]אB,NU

[22] απηλθον **f**[35] A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ ηλθον **𝔓**[75]אB,C(D)Q [2.5%] NU ¦ three other variants

[23] ο δε ιησους ελεγεν πατερ αφες αυτοις ου γαρ οιδασιν τι ποιουσιν **f**[35] א(A)C,N(Q) (99.2%—with a variety of minor variations) CP,HF,RP,TR,OC[[NU]] ¦ --- **𝔓**[75]B,D,W (0.8%)

δὲ τὰ ἱμάτια αὐτοῦ ἔβαλον[1] κλῆρον.[2] **35** Καὶ εἱστήκει ὁ λαὸς θεωρῶν. Ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς[3] λέγοντες, «Ἄλλους ἔσωσεν· σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστός, ὁ τοῦ Θεοῦ ἐκλεκτός.»[4] **36** Ἐνέπαιζον[5] δὲ αὐτῷ καὶ οἱ στρατιῶται, προσερχόμενοι καὶ[6] ὄξος προσφέροντες αὐτῷ, **37** καὶ λέγοντες, «Εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν.»

38 Ἦν δὲ καὶ[7] ἐπιγραφὴ γεγραμμένη ἐπ᾽ αὐτῷ,[8] γράμμασιν Ἑλληνικοῖς καὶ Ῥωμαϊκοῖς καὶ Ἑβραϊκοῖς·[9]

ΟΥΤΟΣ ΕΣΤΙΝ Ὁ ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ[10]

39 Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων, «Εἰ[11] σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς.» **40** Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα[12] αὐτῷ λέγων·[13] «Οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; **41** Καὶ ἡμεῖς μὲν δικαίως, ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν.» **42** Καὶ ἔλεγεν τῷ[14] Ἰησοῦ, «Μνήσθητί μου, Κύριε,[15] ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ[16] σου.» **43** Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς,[17] «Ἀμὴν λέγω σοι,[18] σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ.»

Jesus dismisses His spirit

44 Ἦν δὲ[19] ὡσεὶ ὥρα ἕκτη, καὶ σκότος ἐγένετο ἐφ᾽ ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης.[20] **45** Καὶ ἐσκοτίσθη ὁ ἥλιος·[21] καὶ ἐσχίσθη[22] τὸ καταπέτασμα τοῦ ναοῦ μέσον. **46** Καὶ φωνήσας φωνῇ μεγάλῃ, ὁ Ἰησοῦς εἶπεν, «Πάτερ, εἰς χεῖράς σου παραθήσομαι[23] τὸ πνεῦμά μου.» Καὶ ταῦτα[24] εἰπὼν ἐξέπνευσεν.

---

[1] εβαλον *rell* ¦ εβαλλον N [9%] OC
[2] κληρον **f**[35] **𝔓**[75]ℵB,C,D,Q,W [97%] CP,HF,RP,TR,OC ¦ κληρους A,N [3%] NU
[3] συν αυτοις **f**[35] A,N,W [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB,C,Q [3%] NU ¦ D is wild
[4] ο του θεου εκλεκτος **f**[35] A,N,Q [95%] CP,HF,RP,TR,OC ¦ ~ 1423 C [0.5%] ¦ ~ 2314 B,W [1%] NU ¦ ~ 12314 ℵ ¦ 1 υιος 2314 **𝔓**[75] [3%] ¦ D is wild
[5] ενεπαιζον **f**[35] A,N,Q [99%] CP,HF,RP,TR,OC ¦ ενεπαιξαν **𝔓**[75]ℵB [0.5%] NU ¦ ενεπαιξον C,D,W
[6] και **f**[35] N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵA,B,C [1%] NU ¦ τε D
[7] και **f**[35] **𝔓**[75]ℵA,B,N,Q,W [75%] HF,RP,TR,OC,NU ¦ 1 η C,D [22.5%] CP ¦ η [1.5%] ¦ --- [1%]
[8] γεγραμμενη επ αυτω **f**[35] N,W [98%] CP,HF,RP,TR,OC ¦ ~ 231 C [1.5%] ¦ 23 **𝔓**[75]ℵB [0.5%] NU ¦ επιγεγραμμενη 23 A,D,Q
[9] γραμμασιν ελληνικοις και ρωμαικοις και εβραικοις **f**[35] A,N,Q,W [98%] CP,HF,RP,TR,OC ¦ 1246 ℵD [1%] ¦ --- **𝔓**[75]B,C [0.5%] NU ¦ several minor variations
[10] ουτος εστιν ο βασιλευς των ιουδαιων **f**[35] A,W [97%] CP,HF,RP,TR,OC ¦ 12 ιησους 3456 N,Q [2%] ¦ ~ 345612 D ¦ ~ 34561 **𝔓**[75]ℵB [0.5%] NU ¦ 3456 C
[11] ει **f**[35] A,N,Q,W [99.5%] CP,HF,RP,TR,OC ¦ ουχι **𝔓**[75]ℵB,C [0.5%] NU ¦ D has long omission
[12] επετιμα **f**[35] A(D)N,W [99%] CP,HF,RP,TR,OC ¦ επετιμων **𝔓**[75]ℵB,C [1%] NU ¦ one other variant
[13] λεγων **f**[35] A(D)N,W [99%] CP,HF,RP,TR,OC ¦ εφη **𝔓**[75]ℵB,C [1%] NU
[14] τω **f**[35] A,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB,C [0.3%] NU ¦ αυτω (D)
[15] κυριε **f**[35] A,W [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB,C [3%] NU ¦ D is wild
[16] εν τη βασιλεια **f**[35] ℵA,C,W [99.5%] CP,HF,RP,TR,OC ¦ εις την βασιλειαν **𝔓**[75]B [0.3%] NU ¦ D is wild
[17] ο ιησους **f**[35] A,C(D)W [99.7%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]ℵB [0.3%] NU
[18] λεγω σοι **f**[35] ℵA,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[75]B,C [0.5%] NU ¦ D is wild
[19] ην δε **f**[35] A,D,Q,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ και 1 ℵ ¦ ~ και 1 ηδη **𝔓**[75]B,C [0.5%] NU
[20] ενατης **f**[35] **𝔓**[75]ℵA,B,C,D,Q,W [70%] CP,HF,RP,OC,NU ¦ εννατης **f**[35pt] [30%] TR [I do not consider an alternate spelling of a number to be a proper variant, since there is absolutely no difference in meaning.]
[21] και εσκοτισθη ο ηλιος **f**[35] A,Q,W (96.8%) CP,HF,RP,TR ¦ ~ 2 δε 34 D ¦ του ηλιου εκλειποντος B (0.4%) OC ¦ του ηλιου εκλιποντος **𝔓**[75]ℵC (0.4%) NU ¦ του ηλιου εσκοτισθεντος (0.7%) ¦ conflations (1.2%) ¦ two other variants (0.2%) ¦ --- (0.4%)
[22] και εσχισθη **f**[35] A(D)W [99%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε **𝔓**[75]ℵB,C [1%] NU
[23] παραθησομαι **f**[35] [77%] CP,HF,RP,TR ¦ παρατιθεμαι **𝔓**[75]ℵA,B,C,Q,W [11%] OC,NU ¦ παρατιθημι (D) [12%]
[24] και ταυτα **f**[35] A [83%] CP,HF,RP,TR,OC ¦ τουτο δε **𝔓**[75]ℵB,C(D)W [1.5%] NU ¦ 1 τουτο Q [15.5%]

Various reactions

47 Ἰδὼν δὲ ὁ ἑκατόνταρχος[1] τὸ γενόμενον, ἐδόξασεν[2] τὸν Θεὸν λέγων, «Ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν.» **48** Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα,[3] τύπτοντες ἑαυτῶν[4] τὰ στήθη ὑπέστρεφον. **49** Εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ[5] μακρόθεν,[6] καὶ γυναῖκες αἱ συνακολουθήσασαι[7] αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα.

Jesus' body is buried

50 Καὶ ἰδού, ἀνὴρ ὀνόματι Ἰωσήφ, βουλευτὴς ὑπάρχων,[8] ἀνὴρ ἀγαθὸς καὶ δίκαιος **51** (οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ καὶ τῇ πράξει αὐτῶν), ἀπὸ Ἀριμαθαίας,[9] πόλεως τῶν Ἰουδαίων, ὃς προσεδέχετο καὶ αὐτὸς[10] τὴν βασιλείαν τοῦ Θεοῦ· **52** οὗτος προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. **53** Καὶ καθελὼν αὐτὸ[11] ἐνετύλιξεν αὐτὸ[12] σινδόνι, καὶ ἔθηκεν αὐτὸ[13] ἐν μνήματι λαξευτῷ, οὗ οὐκ ἦν οὐδέπω οὐδεὶς[14] κείμενος. **54** Καὶ ἡμέρα ἦν Παρασκευή·[15] σάββατον[16] ἐπέφωσκεν. **55** Κατακολουθήσασαι δὲ[17] γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας,[18] ἐθεάσαντο τὸ μνημεῖον καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ. **56** Ὑποστρέψασαι δὲ ἡτοίμασαν ἀρώματα καὶ μύρα. Καὶ τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν.

Resurrection Day

"He is not here, but is risen!"

24:1 Τῇ δὲ μιᾷ τῶν σαββάτων, ὄρθρου βαθέος,[19] ἦλθον ἐπὶ τὸ μνῆμα[20] φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, καί τινες σὺν αὐταῖς.[21] **2** Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου· **3** καὶ εἰσελθοῦσαι[22] οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ. **4** Καὶ ἐγένετο, ἐν τῷ διαπορεῖσθαι[23] αὐτὰς περὶ τούτου, καὶ ἰδού, ἄνδρες δύο[24] ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις.[25] **5** Ἐμφόβων

---

[1] εκατονταρχος **f**[35] A,C,D,Q,W [99%] CP,HF,RP,TR,OC ¦ εκατονταρχης **𝔓**[75]**א**B [1%] NU
[2] εδοξασεν **f**[35] A,C,Q,W [99%] CP,HF,RP,TR,OC ¦ εδοξαζεν **𝔓**[75]**א**B,D [1%] NU
[3] θεωρουντες τα γενομενα **f**[35] Q,W [93%] CP,HF,RP,TR,OC ¦ 12 γινομενα [5%] ¦ θεωρησαντες 23 **𝔓**[75]**א**B,C,D [1.5%] NU ¦ --- A [0.5%]
[4] εαυτων **f**[35] Q [90%] CP,HF,RP,TR,OC ¦ αυτων W [8.5%] ¦ --- **𝔓**[75]**א**A,B,C,D [1.5%] NU
[5] αυτου **f**[35] **א**C,D,W [97%] CP,HF,RP,TR,OC ¦ αυτω **𝔓**[75]A,B [3%] NU
[6] μακροθεν **f**[35] A,C,W [95.5%] CP,HF,RP,TR ¦ απο 1 **𝔓**[75]**א**B,D [4.5%] OC,NU
[7] συνακολουθησασαι **f**[35] A,D,W [99%] CP,HF,RP,TR,OC ¦ συνακολουθουσαι **𝔓**[75]**א**B,C [1%] NU ¦ one other variant
[8] υπαρχων **f**[35] A,B(D)W [98%] CP,HF,RP,TR ¦ 1 και **𝔓**[75]**א**C [2%] OC[NU]
[9] ἀριμαθαιας **f**[35] CP,HF,RP,TR,OC ¦ ἁριμαθαιας NU
[10] ος προσδεχετο και αυτος **f**[35] [32%] CP,OC ¦ 1 και 234 A,W [52%] HF,RP,TR ¦ ~ 1 και 42 [13%] ¦ 12 **𝔓**[75]**א**B,C,D [1%] NU ¦ 1 και 2 [2%]
[11] αυτο **f**[35] A,W [95.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B,C,D [3%] NU ¦ αυτον [1.5%]
[12] αυτο *rell* ¦ --- W [3.5%] OC
[13] αυτο **f**[35] **𝔓**[75]A,W [94%] CP,HF,RP,TR,OC ¦ αυτον **א**B,C,D [1%] NU ¦ αυτω [2%] ¦ --- [3%]
[14] ουδεπω ουδεις **f**[35] [74%] CP,HF,RP,TR ¦ ~ 21 **א**C,W [20%] OC ¦ ~ 2 ουπω **𝔓**[75]A,B [1%] NU ¦ ουπω 2 D ¦ ουδεποτε 2 [5%]
[15] παρασκευη **f**[35] A,W [99%] CP,HF,RP,TR,OC ¦ παρασκευης **𝔓**[75]**א**B,C [1%] NU ¦ προσσαββατου D
[16] σαββατον **f**[35] A,W [90%] CP,HF,RP,OC ¦ και 1 **𝔓**[75]**א**B,C [10%] TR,NU ¦ --- D
[17] δε **f**[35] **א**A,C,W [90%] CP,HF,RP ¦ 1 και [2%] TR ¦ 1 αι **𝔓**[75]B [7%] OC,NU ¦ 1 δυο D ¦ --- [1%]
[18] αυτω εκ της γαλιλαιας **f**[35] A,W [94%] CP,HF,RP,TR,OC ¦ ~ 2341 **𝔓**[75]**א**(B) [0.5%] NU ¦ 234 C ¦ απο 34 (D) [5%]
[19] βαθεος **f**[35] W [50%] RP,TR,OC ¦ βαθεως **𝔓**[75]**א**A,B,C,D [50%] CP,HF,NU
[20] ηλθον επι το μνημα **f**[35] A,W [97.5%] CP,HF,RP,TR,OC ¦ ~ 2341 (B) [0.3%] NU ¦ 123 μνημειον C [2%] ¦ ~ 23 μνημειον 1 **𝔓**[75](**א**) ¦ ηρχοντο 234 D
[21] και τινες συν αυταις **f**[35] A(D)W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B,C [0.5%] NU
[22] και εισελθουσαι **f**[35] A,W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε **𝔓**[75]**א**B,C,D [1.5%] NU
[23] διαπορεισθαι **f**[35] A,W [99%] CP,HF,RP,TR,OC ¦ απορεισθαι **𝔓**[75]**א**B,C,D [0.5%] NU ¦ διαπορειν [0.5%]
[24] ανδρες δυο **f**[35] **𝔓**[75]**א**A,B,C,W [98%] CP,HF,RP,OC,NU ¦ ~ 21 D [2%] TR
[25] εσθησεσιν αστραπτουσαις **f**[35] A,C,W [99.7%] CP,HF,RP,TR,OC ¦ εσθητι αστραπτουση **𝔓**[75]**א**B,D,NU

δὲ γενομένων αὐτῶν καὶ κλινουσῶν τὸ πρόσωπον[1] εἰς τὴν γῆν, εἶπον[2] πρὸς αὐτάς· «Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; **6** Οὐκ ἔστιν ὧδε, ἀλλ'[3] ἠγέρθη· μνήσθητε ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, **7** λέγων ὅτι ‹Δεῖ τὸν Υἱὸν τοῦ Ἀνθρώπου[4] παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι.› » **8** Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ.

The women report

9 Καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου, ἀπήγγειλαν ταῦτα πάντα[5] τοῖς ἕνδεκα, καὶ πᾶσιν τοῖς λοιποῖς. **10** Ἦσαν δὲ[6] ἡ Μαγδαληνὴ[7] Μαρία καὶ Ἰωάννα καὶ Μαρία ἡ[8] Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἳ[9] ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα. **11** Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν,[10] καὶ ἠπίστουν αὐταῖς. **12** (Ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα·[11] καὶ ἀπῆλθεν πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός.)

The 'Emmaus' incident

13 Καὶ ἰδού, δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ[12] εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἰερουσαλήμ, ᾗ ὄνομα Ἐμμαούς. **14** Καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. **15** Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ[13] Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς. **16** Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν. **17** Εἶπεν δὲ πρὸς αὐτούς, «Τίνες οἱ λόγοι οὗτοι οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καί ἐστε[14] σκυθρωποί;»

18 Ἀποκριθεὶς δὲ ὁ[15] εἷς ᾧ ὄνομα[16] Κλεόπας,[17] εἶπεν πρὸς αὐτόν, «Σὺ μόνος παροικεῖς[18] Ἰερουσαλήμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις;» **19** Καὶ εἶπεν αὐτοῖς, «Ποῖα;» Οἱ δὲ εἶπον[19] αὐτῷ· «Τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου,[20] ὡς[21] ἐγένετο ἀνὴρ προφήτης δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς τοῦ λαοῦ, **20** ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρῖμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν. **21** Ἡμεῖς δὲ ἠλπίζομεν[22] ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ. Ἀλλά γε[23] σὺν πᾶσιν, τούτοις

---

[1] το προσωπον **f**[35] A,W [92%] CP,HF,RP,TR,OC ¦ τα προσωπα **𝔓**[75]א**B**,C,D [8%] NU
[2] ειπον *rell* ¦ ειπαν **𝔓**[75]א**B**,C,D [0.5%] NU ¦ ειπεν [6%] ¦ one other reading
[3] αλλ **f**[35] A [99%] CP,HF,RP,TR,OC ¦ αλλα **𝔓**[75]א**B**(W) [0.6%] NU ¦ --- C(D)
[4] οτι δει τον υιον του ανθρωπου **f**[35] A,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 345612 **𝔓**[75]א**B**,C[v] [0.5%] NU
[5] ταυτα παντα **f**[35] **𝔓**[75]A,B,W [55%] CP,HF,RP,TR,OC,NU ¦ ~ 21 א**D** [45%]
[6] ησαν δε *rell* ¦ --- A,D,W [22%]
[7] μαγδαληνη *rell* ¦ μαγδαλινη [13%] ¦ five further spellings
[8] η **f**[35] **𝔓**[75]א**A**,B,D,W [50%] NU ¦ --- **f**[35pt] [50%] CP,HF,RP,TR,OC [Is it, "and the Mary of James", or "and Mary of James"? Since there is another 'Mary' four words earlier, and a number of other 'Maries' in the Gospels, the use of the article is appropriate; but it could also be deemed to be unnecessary. Most versions, including mine, have 'the mother of', although the word 'mother' is not in the Text (the alternative would be 'wife'). Might that be the purpose of the article?]
[9] αι **f**[35] [65%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א**A**,B,D,W [35%] NU
[10] αυτων **f**[35] A,W [99%] CP,HF,RP,TR,OC ¦ ταυτα **𝔓**[75]א**B**,D [1%] NU
[11] κειμενα μονα **f**[35] [95%] CP,HF,RP,TR,OC ¦ 1 A [4.5%] ¦ 2 **𝔓**[75]B,W [0.3%] NU ¦ --- א(D) ¦ one other variant
[12] ησαν πορευομενοι εν αυτη τη ημερα (ωρα A) **f**[35] (A)(D)W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 345612 **𝔓**[75]B,NU ¦ ~ 35461 δε 2 א
[13] ο **f**[35] D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א**A**,B [0.5%] NU
[14] εστε **f**[35] N [97%] CP,HF,RP,TR,OC ¦ εσταθησαν **𝔓**[75]א**A**,B [0.5%] NU ¦ εσται W [2%] ¦ --- D ¦ two other variants
[15] ο **f**[35] A,W [88%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]א**B**,D,N [12%] NU
[16] ω ονομα **f**[35] A,D,W [99%] CP,HF,RP,TR,OC ¦ ονοματι **𝔓**[75]א**B**,N [1%] NU
[17] κλεοπας *rell* ¦ κλεωπας [14%]
[18] παροικεις **f**[35] **𝔓**[75]א**A**,B,D,N,W [80%] CP,HF,RP,NU ¦ 1 εν [18.5%] TR,OC ¦ 1 εις [1.5%]
[19] ειπον *rell* ¦ ειπαν **𝔓**[75]א**B** [0.4%] NU ¦ ειπεν [1%] ¦ --- D
[20] ναζωραιου **f**[35] A,D,N,W (99.1%) CP,HF,RP,TR,OC ¦ ναζαρηνου **𝔓**[75]א**B** (0.5%) NU ¦ ναζαραιου (0.4%)
[21] ως **f**[35] [32%] ¦ ος **𝔓**[75]א**A**,B,D,N,W [68%] CP,HF,RP,TR,OC,NU
[22] ηλπιζομεν *rell* ¦ ελπιζομεν [14%] ¦ ελπιζωμεν [1%] ¦ ηλπισαμεν B ¦ ηλπικαμεν **𝔓**[75]
[23] γε **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ 1 και **𝔓**[75]א**B**,D [1%] NU

τρίτην ταύτην ἡμέραν ἄγει σήμερον[1] ἀφ᾽ οὗ ταῦτα ἐγένετο. **22** Ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς—γενόμεναι ὄρθριαι[2] ἐπὶ τὸ μνημεῖον, **23** καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. **24** Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον καὶ εὗρον οὕτως καθὼς καὶ αἱ γυναῖκες εἶπον· αὐτὸν δὲ οὐκ εἶδον.»

25 Καὶ αὐτὸς εἶπεν πρὸς αὐτούς· «Ὦ ἀνόητοι, καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται· **26** οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστόν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ;» **27** Καὶ ἀρξάμενος ἀπὸ Μωσέως,[3] καὶ ἀπὸ πάντων τῶν προφητῶν, διηρμήνευεν[4] αὐτοῖς ἐν πάσαις ταῖς Γραφαῖς τὰ περὶ ἑαυτοῦ.[5]

28 Καὶ ἤγγισαν εἰς τὴν κώμην οὗ ἐπορεύοντο, καὶ αὐτὸς προσεποιεῖτο[6] πορρωτέρω[7] πορεύεσθαι. **29** Καὶ παρεβιάσαντο αὐτὸν λέγοντες, «Μεῖνον μεθ᾽ ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶν καὶ κέκλικεν[8] ἡ ἡμέρα.» Καὶ εἰσῆλθεν τοῦ μεῖναι σὺν αὐτοῖς. **30** Καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ᾽ αὐτῶν, λαβὼν τὸν ἄρτον εὐλόγησεν, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. **31** Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ καὶ ἐπέγνωσαν αὐτόν· καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ᾽ αὐτῶν. **32** Καὶ εἶπον[9] πρὸς ἀλλήλους, «Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν[10] ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ[11] ὡς διήνοιγεν ἡμῖν τὰς Γραφάς;»

The two report

33 Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ ὑπέστρεψαν εἰς Ἰερουσαλήμ, καὶ εὗρον συνηθροισμένους[12] τοὺς ἕνδεκα· καὶ τοὺς σὺν αὐτοῖς, **34** λέγοντας ὅτι «Ἠγέρθη ὁ Κύριος ὄντως,[13] καὶ ὤφθη Σίμωνι.» **35** Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

Jesus appears to the disciples

36 Ταῦτα δὲ αὐτῶν λαλούντων, καὶ[14] αὐτὸς ὁ Ἰησοῦς[15] ἔστη ἐν μέσῳ αὐτῶν, καὶ λέγει αὐτοῖς, «Εἰρήνη ὑμῖν.» **37** Πτοηθέντες δέ, καὶ ἔμφοβοι γενόμενοι, ἐδόκουν πνεῦμα θεωρεῖν. **38** Καὶ εἶπεν αὐτοῖς· «Τί τεταραγμένοι ἐστέ;» καὶ «Διὰ τί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις[16] ὑμῶν; **39** Ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι·[17] ψηλαφήσατέ με καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα.» **40** Καὶ τοῦτο εἰπὼν ἐπέδειξεν[18] αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. **41** Ἔτι δὲ ἀπιστούντων αὐτῶν, ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς, «Ἔχετέ τι βρώσιμον ἐνθάδε;» **42** Οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσείου[19] κηρίου.[20] **43** Καὶ λαβὼν ἐνώπιον αὐτῶν ἔφαγεν.

---

[1] σημερον **f**[35] A(D)W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אB [0.5%] NU

[2] ορθριαι **f**[35] [97%] CP,HF,RP,TR,OC ¦ ορθρινα**ι** **𝔓**[75]אA,B,D,W [3%] NU

[3] μωσεως **f**[35] אA,D [92%] CP,HF,RP,TR ¦ μωυσεως **𝔓**[75]B,T,W [8%] OC,NU

[4] διηρμηνευεν **f**[35] [82%] CP,HF,RP,TR,OC ¦ διερμηνευεν A,T [17%] ¦ διερμηνευειν אW ¦ διερμηνευσεν **𝔓**[75]B [0.2%] NU ¦ ερμηνευειν D ¦ two other variants

[5] εαυτου *rell* ¦ αυτου D,W [11%]

[6] προσεποιειτο **f**[35] W [98.5%] CP,HF,RP,TR,OC ¦ προσεποιησατο **𝔓**[75]אA,B,D [1.5%] NU

[7] πορρωτερω **f**[35] D,W [99.7%] CP,HF,RP,TR,OC [πορρωτερωτερω א] ¦ πορρωτερον **𝔓**[75]A,B [0.3%] NU

[8] κεκλικεν **f**[35] A(D)(W) [97.5%] CP,HF,RP,TR,OC ¦ 1 ηδη **𝔓**[75]אB,T[v] [2.5%] NU

[9] ειπον *rell* ¦ ειπαν **𝔓**[75]אB [0.4%] NU

[10] εν ημιν **f**[35] אA,W [99%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[75]B,D [1%]

[11] και **f**[35] A,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אB,D [0.5%] NU

[12] συνηθροισμενους **f**[35] A,W [99.6%] CP,HF,RP,TR,OC ¦ ηθροισμενους **𝔓**[75]אB,D [0.4%] NU

[13] ηγερθη ο κυριος οντως **f**[35] A [97%] CP,HF,RP,TR,OC ¦ ~ 4123 **𝔓**[75]אB,D [2%] NU ¦ ~ 1423 [1%] ¦ 123 W

[14] και **f**[35] [32%] CP ¦ --- **𝔓**[75]אA,B,D,W [68%] HF,RP,TR,OC,NU [The και is emphatic.]

[15] ο ιησους **f**[35] A,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אB,D [0.5%] NU

[16] ταις καρδιαις **f**[35] אW [99.7%] CP,HF,RP,TR,OC ¦ τη καρδια **𝔓**[75]A,B,D,NU

[17] αυτος εγω ειμι **f**[35] A,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 231 **𝔓**[75]אB [0.4%] NU ¦ ~ 213 D

[18] επεδειξεν **f**[35] A,W [85%] CP,HF,RP,TR,OC ¦ εδειξεν **𝔓**[75]אB [15%] NU ¦ εδιξεν N ¦ one other variant ¦ D omits verse

[19] μελισσειου **f**[35] [30%] CP ¦ μελισσιου *rell* [see next note]

[20] και απο μελισσειου κηριου **f**[35] N (94%) CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אA,B,D,W (0.7%) NU ¦ 123 κηριον (4.8%) ¦ 123 κυριου (0.4%)

44 Εἶπεν δὲ αὐτοῖς,[1] «Οὗτοι οἱ λόγοι[2] οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ Νόμῳ Μωσέως[3] καὶ[4] Προφήταις καὶ Ψαλμοῖς περὶ ἐμοῦ.» **45** Τότε διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς Γραφάς. **46** Καὶ εἶπεν αὐτοῖς ὅτι «Οὕτως γέγραπται. Καὶ οὕτως ἔδει[5] παθεῖν τὸν Χριστὸν καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, **47** καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ[6] ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον[7] ἀπὸ Ἰερουσαλήμ. **48** Ὑμεῖς δέ[8] ἐστε μάρτυρες[9] τούτων. **49** Καὶ ἰδού,[10] ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ Πατρός μου ἐφ᾽ ὑμᾶς· ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἰερουσαλὴμ[11] ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους.»[12]

Jesus ascends to Heaven

24:50 Ἐξήγαγεν δὲ αὐτοὺς ἔξω[13] ἕως εἰς[14] Βηθανίαν, καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ εὐλόγησεν αὐτούς. **51** Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτούς, διέστη ἀπ᾽ αὐτῶν καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν. **52** Καὶ αὐτοὶ προσκυνήσαντες αὐτόν, ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ μετὰ χαρᾶς μεγάλης· **53** καὶ ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ[15] εὐλογοῦντες τὸν Θεόν. Ἀμήν.[16,17,18]

---

[1] αυτοις **f**[35] A(D)N,W [99%] CP,HF,RP,TR,OC ¦ προς αυτους **𝔓**[75]**א**B [1%] NU

[2] λογοι **f**[35] **א**W [97%] CP,HF,RP,TR,OC ¦ 1 μου **𝔓**[75]A,B,D,N [3%] NU

[3] μωσεως **f**[35] **א**A [88%] CP,HF,RP,TR ¦ μωυσεως **𝔓**[75]B,D,N,W [12%] OC,NU

[4] και **f**[35] A,D,N,W [99.6%] CP,HF,RP,TR,OC ¦ 1 τοις **𝔓**[75]B [0.3%] NU ¦ εν τοις **א**

[5] και ουτως εδει **f**[35] A,N [99.5%] CP,HF,RP,TR,OC ¦ 23 W ¦ --- **𝔓**[75]**א**B,C,D [0.5%] NU

[6] και **f**[35] A,C,D,N,W (99.4%) CP,HF,RP,TR,OC ¦ εις **𝔓**[75]**א**B (0.5%) NU ¦ two other variants (0.1%)

[7] αρξαμενον **f**[35] **𝔓**[75]A,W (94.8%) CP,HF,RP,TR,OC ¦ αρξαμενοι **א**B,C,N (1.1%) NU ¦ αρξαμενος (3.5%) ¦ αρξαμενων D (0.4%) ¦ two other variants (0.2%)

[8] δε **f**[35] A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B,C [0.5%] NU

[9] εστε μαρτυρες **f**[35] **א** [98%] CP,HF,RP,TR,OC ¦ ~ 21 C ¦ εσται 2 A,N,W [2%] ¦ 2 **𝔓**[75]B,D,NU

[10] ιδου **f**[35] A,B,C,N(W) [99.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[75](**א**)D [0.5%]

[11] ιερουσαλημ **f**[35] A,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B,C,D [0.5%] NU

[12] δυναμιν εξ υψους **f**[35] A,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 231 **𝔓**[75]**א**B,C [0.5%] NU

[13] εξω **f**[35] A,D,W [99%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[75]**א**B,C [1%]

[14] εις **f**[35] A [97.5%] CP,HF,RP,TR,OC ¦ προς **𝔓**[75]**א**B,C,D [1%] NU ¦ --- W [1.5%]

[15] αινουντες και **f**[35] A(D)W [99.6%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**B,C [0.4%] NU

[16] αμην **f**[35] A,B [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]**א**C,D,W [1.5%] NU

[17] In the colophons, **f**[35] [50%] have, "published fifteen years after the ascension of Christ". For 50% of the MSS to have this information probably means that the tradition is ancient; and of course, I have demonstrated, to my own satisfaction at least, that **f**[35] goes back at least to the 3rd century. If this information is correct, then Luke was 'published' in 45/46 AD. The same sources have Matthew published seven years earlier (38/39) and Mark five years earlier (40/41), while John was 'published' thirty-two years after the ascension, or 61/62 AD. Not only were the authors eyewitnesses of the events, but many others were still alive when the Gospels appeared. They could attest to the veracity of the accounts, but could also be the source of textual variants, adding tidbits here and there, or 'correcting' something that they remembered differently.

[18] The citation of **f**[35] is based on the following fifty-five MSS—18, 35, 128, 201, 204, 246, 361, 402, 479, 510, 547, 553, 586, 691, 757, 769, 781, 789, 824, 867, 897, 928, 1046, 1072, 1111, 1117, 1147, 1328, 1339, 1384, 1409, 1427, 1435, 1461, 1493, 1496, 1503, 1548, 1551, 1621, 1637, 1652, 1667, 1694, 1713, 2122, 2253, 2352, 2367, 2382, 2466, 2503, 2554, 2765 and I.2110, all of which I collated myself. I also took account of 83, 480, 1247, 2322 and 2399 that were collated for the IGNTP Luke, without checking the collation (they also collated 66, a marginal family member, and 2096, out on the fringe). None of them is a 'perfect' representative of **f**[35] in Luke, as it stands [an unreasonable expectation, presumably, for a book this size, besides being a Gospel]. But several come very close; the exemplar of 789 probably was. [This refers to the MSS I have collated—there may be even better ones out there. In fact, since I have only collated perhaps 20% of the family representatives for this book, there probably are better ones out there.] The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Lesbos, Bucharest, Aegean, Andros, Athens, Tirana, Meteora, Mt. Athos [eight different monasteries], Corinth?, Grottaferrata, Moscow, Modena, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from TuT, which I take to be reasonably precise. For the variant sets that are not covered there, I mainly depended on the IGNTP Luke (The Gospel according to St. Luke,

ed. the American and British Committees of the International Greek New Testament Project. 2 vols. Oxford: Clarendon Press, 1984 and 1987). I occasionally supplemented from Swanson, Scrivener and von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±2%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±4%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%—since my sources had collated a lower percentage of the extant MSS than ECM for the General Epistles, for example, my guesses as to percentages are more tentative than they were there, except that I guarantee the witness of f35. Please see the last footnote for Matthew for further information.

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΙΩΑΝΝΗΝ

Prologue

1:1 Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. **2** Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. **3** Πάντα δι᾽ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. **4** Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. **5** Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.

John—a witness to the Light

6 Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. **7** Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσιν δι᾽ αὐτοῦ. **8** Οὐκ ἦν ἐκεῖνος τὸ φῶς ἀλλ᾽ ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. **9** Ἦν τὸ φῶς τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. **10** Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. **11** Εἰς τὰ ἴδια ἦλθεν, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. **12** Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· **13** οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ᾽ ἐκ Θεοῦ ἐγεννήθησαν.

Jesus—the Only-begotten

14 Καὶ ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς, παρὰ Πατρός, πλήρης χάριτος καὶ ἀληθείας. **15** Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ καὶ κέκραγεν λέγων, «Οὗτος ἦν ὃν εἶπον, ‹Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν.› » **16** Καὶ[1] ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος. **17** Ὅτι ὁ νόμος διὰ Μωσέως[2] ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. **18** Θεὸν οὐδεὶς ἑώρακεν πώποτε. Ὁ μονογενὴς Υἱός,[3] ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ἐκεῖνος ἐξηγήσατο.

John the baptizer performs his office

1:19 Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτε ἀπέστειλαν[4] οἱ Ἰουδαῖοι ἐξ Ἰεροσολύμων ἱερεῖς καὶ Λευΐτας ἵνα ἐρωτήσωσιν αὐτόν, «Σὺ τίς εἶ;» **20** Καὶ ὡμολόγησεν καὶ οὐκ ἠρνήσατο, καὶ ὡμολόγησεν ὅτι «Οὐκ εἰμὶ ἐγὼ[5] ὁ Χριστός.» **21** Καὶ ἠρώτησαν αὐτόν, «Τί οὖν, Ἠλίας εἶ σύ;»[6] Καὶ λέγει, «Οὐκ εἰμί.» «Ὁ Προφήτης εἶ σύ;» Καὶ ἀπεκρίθη, «Οὔ.» **22** Εἶπον[7] οὖν αὐτῷ, «Τίς εἶ;— ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς. Τί λέγεις περὶ σεαυτοῦ;» **23** Ἔφη, «Ἐγὼ φωνὴ βοῶντος· ‹Ἐν τῇ ἐρήμῳ εὐθύνατε τὴν ὁδὸν Κυρίου,› καθὼς εἶπεν Ἡσαΐας[8] ὁ προφήτης.»

24 Καὶ οἱ[9] ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων. **25** Καὶ ἠρώτησαν αὐτὸν καὶ εἶπον[10] αὐτῷ, «Τί οὖν βαπτίζεις εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς οὔτε[11] Ἠλίας οὔτε ὁ Προφήτης;» **26** Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων, «Ἐγὼ βαπτίζω ἐν ὕδατι, μέσος δὲ[12] ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε. **27** Αὐτός

---

[1] και **f**^{35} A,W [99%] CP,HF,RP,OC,TR ¦ οτι **𝔓**^{66,75}**א**B,C,D [1%] NU

[2] μωσεως **f**^{35} A [95%] CP,HF,RP,TR ¦ μωυσεως **𝔓**^{66,75}**א**B,C,W [5%] OC,NU

[3] ο μονογενης υιος **f**^{35} A(W) (99%) HF,RP,OC,TR ¦ 1 μονογεννης 3 (0.6%) CP ¦ 12 θεος **𝔓**^{75} (0.1%) ¦ 2 θεος **𝔓**^{66}**א**B,C (0.3%) NU

[4] απεστειλαν **f**^{35} **𝔓**^{66,75}**א**W [98%] CP,HF,RP,OC,TR ¦ 1 προς αυτον (A)B,C [2%] [NU] (A [1.5%] place it after λευιτας.)

[5] ουκ ειμι εγω **f**^{35} [99%] CP,HF,RP,OC,TR ¦ ~ 312 **𝔓**^{66,75}**א**A,B,C,W [1%] NU

[6] τι ουν ηλιας ει συ **f**^{35} A [99%] CP,HF,RP,OC,TR ¦ ~ 12534 (**𝔓**^{75})C [0.3%] NU ¦ ~ 52134 B ¦ 1234 **א** [0.2%] ¦ ~ τις 2534 **𝔓**^{66} ¦ ~ παλιν 12543 W ¦ three further variants

[7] ειπον **f**^{35} **א**A,N [99.5%] CP,HF,RP,OC,TR ¦ ειπαν **𝔓**^{66,75}B,C,W [0.5%] NU (A similar statement obtains in 1.25,38; 2.18,20; 3.26; 9.20; 11.46; 12.19.)

[8] ησαιας **f**^{35} CP,OC,TR? ¦ ησαιας *rell* (A similar statement will obtain wherever the name occurs.)

[9] οι **f**^{35} N,W [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**^{66,75}**א**A,B,C [1%] NU

[10] ειπον *rell* ¦ ειπαν **𝔓**^{66,75}B,C,NU

[11] ουτε **f**^{35} [98%] CP,HF,RP,OC,TR ¦ ουδε **𝔓**$^{(5)66,75}$**א**A,B,C,N,W [2%] NU (Both times.)

[12] δε **f**^{35} **𝔓**^{119}A,N,W [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**^{66,75,120}**א**B,C [1%] NU

ἐστιν ὁ[1] ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν,[2] οὗ ἐγὼ οὐκ εἰμὶ ἄξιος[3] ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος.»[4] **28** Ταῦτα ἐν Βιθαβαρᾶ ἐγένετο,[5] πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν[6] Ἰωάννης βαπτίζων.

Behold the Lamb of God!

29 Τῇ ἐπαύριον βλέπει ὁ Ἰωάννης[7] τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει· «Ἴδε, ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. **30** Οὗτός ἐστιν περὶ[8] οὗ ἐγὼ εἶπον, ‹Ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν.› **31** Κἀγὼ οὐκ ἤδειν αὐτόν· ἀλλ᾽ ἵνα φανερωθῇ τῷ Ἰσραήλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ[9] ὕδατι βαπτίζων.»

32 Καὶ ἐμαρτύρησεν[10] Ἰωάννης λέγων ὅτι «Τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡς[11] περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ᾽ αὐτόν. **33** Κἀγὼ οὐκ ἤδειν αὐτόν, ἀλλ᾽ ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν, ‹Ἐφ᾽ ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ᾽ αὐτόν—οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι Ἁγίῳ.› **34** Κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ.»

Jesus begins His public ministry

1:35 Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. **36** Καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι λέγει, «Ἴδε, ὁ Ἀμνὸς τοῦ Θεοῦ.» **37** Καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ[12] λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. **38** Στραφεὶς δὲ ὁ Ἰησοῦς καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς, «Τί ζητεῖτε;» Οἱ δὲ εἶπον αὐτῷ, «Ῥαββί» (ὃ λέγεται ἑρμηνευόμενον[13] Διδάσκαλε), «ποῦ μένεις;» **39** Λέγει αὐτοῖς, «Ἔρχεσθε καὶ ἴδετε.»[14] Ἦλθον[15] καὶ εἶδον[16] ποῦ μένει, καὶ παρ᾽ αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην—ὥρα[17] ἦν ὡς δεκάτη. **40** Ἦν Ἀνδρέας, ὁ ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου καὶ ἀκολουθησάντων αὐτῷ. **41** Εὑρίσκει οὗτος πρῶτος[18] τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα καὶ λέγει αὐτῷ, «Εὑρήκαμεν τὸν Μεσίαν»[19] (ὅ ἐστιν μεθερμηνευόμενον[20] Χριστός). **42** Καὶ[21] ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν.

---

[1] αυτος εστιν ο **f**[35] A (96.2%) CP,HF,RP,OC,TR ¦ ουτος 23 (1.2%) ¦ 12 (0.1%) ¦ 3 **𝔓**[66,75,119v,120]C,N,W (2.1%) NU ¦ --- **א**B (0.4%)

[2] ος εμπροσθεν μου γεγονεν **f**[35] A [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[5,66,75,119v,120]**א**B,C,N,W [2%] NU

[3] εγω ουκ ειμι αξιος **f**[35] A (86.4%) CP,HF,RP,OC,TR ¦ ~ 2314 **𝔓**[119]B,T,W (3%) [NU] ¦ ~ 2341 (0.2%) ¦ 234 **𝔓**[120v]**א**C,N (6.9%) ¦ 23 ικανος **𝔓**[66,75] (2.5%) ¦ 123 ικανος (0.8%) ¦ ~ 231 ικανος (0.1%)

[4] υποδηματος *rell* ¦ 1 εκεινος υμας βαπτισει εν πνευματι αγιω και πυρι (N) (8.9%)

[5] εν βιθαβαρα εγενετο **f**[35] [25%] ¦ 1 βηθαβαρα 3 (**א**[c]C[c])T[v] [10%] TR ¦ 1 βηθανια 3 **𝔓**[75]A,B,C,W [65%] CP,HF,RP,OC,NU ¦ ~ 31 βηθανια **𝔓**[66]**א** ¦ 1 βηθανια εγενοντο N

[6] ην **f**[35] A,N [99.5%] CP,HF,RP,OC,TR ¦ 1 ο **𝔓**[66,75]**א**B,C,W [0.5%] NU

[7] ο ιωαννης **f**[35] [50%] CP,OC,TR ¦ --- **𝔓**[5,66,75]**א**A,B,C,N,W [50%] HF,RP,NU (OC has small print.)

[8] περι **f**[35] A,N (98.9%) CP,HF,RP,OC,TR ¦ υπερ **𝔓**[5,66,75,106]**א**B,C,T,W (0.6%) NU ¦ --- (0.1%) ¦ long omission (0.4%)

[9] τω **f**[35] A,N [95%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]**א**B,C,W [5%] NU

[10] εμαρτυρησεν *rell* ¦ 1 ο [20%]

[11] ως **f**[35] **𝔓**[75,106](**א**)A,B,C,N,W [60%] OC,NU ¦ ωσει **𝔓**[66] [40%] CP,HF,RP,TR

[12] αυτου οι δυο μαθηται **f**[35] A,N (93.6%) CP,HF,RP,OC,TR ¦ αυτω 234 (0.7%) ¦ αυτον 234 (0.2%) ¦ ~ 2341 **א**B (1.6%) NU ¦ ~ 2314 **𝔓**[66,75]C,W (1.1%) ¦ 12341 (1.1%) ¦ 124 (0.5%) ¦ 134 (0.2%) ¦ 234 (0.4%) ¦ five other variants (0.4%)

[13] λεγεται ερμηνευομενον **f**[35] **א** (94.5%) CP,HF,RP,OC,TR ¦ 1 μεθερμηνευομενον **𝔓**[66,75]A,B,C,N(W) (3.1%) NU ¦ ερμηνευεται (0.5%) ¦ εστιν (1.3%) ¦ εστιν μεθερμηνευομενον (0.2%) ¦ --- (0.4%) ¦ two other variants (0.1%)

[14] ιδετε **f**[35] **א**A [98%] CP,HF,RP,OC,TR ¦ ιδεται N ¦ οψεσθε **𝔓**[5,66,75]B,C [2%] NU ¦ οψεσθαι W

[15] ηλθον **f**[35] [98%] CP,HF,RP,TR ¦ 1 ουν **א**A,N [1.5%] OC ¦ ηλθαν ουν **𝔓**[5v,66,75]B,C,W [0.5%] NU

[16] ειδον **f**[35] **א**A [99.5%] CP,HF,RP,OC,TR ¦ ειδαν **𝔓**[66,75]B,C,W [0.5%] NU ¦ ιδον N

[17] ωρα **f**[35] **𝔓**[66,75]**א**A,B,C,W [95%] CP,HF,RP,OC,NU ¦ 1 δε [5%] TR

[18] πρωτος **f**[35] **א**W [95%] CP,HF,RP,OC,TR ¦ πρωτον **𝔓**[66,75]A,B [5%] NU

[19] μεσιαν **f**[35] [95%] CP,HF,RP ¦ μεσσιαν **𝔓**[66,75]**א**A,B,W [5%] OC,TR,NU

[20] μεθερμηνευομενον *rell* ¦ 1 ο [5%] TR

[21] και **f**[35] A,W [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75,119v]**א**B [0.5%] NU ¦ ουτος [0.5%]

Ἐμβλέψας[1] αὐτῷ ὁ Ἰησοῦς εἶπεν, «Σὺ εἶ Σίμων, ὁ υἱὸς Ἰωνᾶ·[2] σὺ κληθήσῃ Κηφᾶς» (ὃ ἑρμηνεύεται, Πέτρος).

Nathanael

43 Τῇ ἐπαύριον ἠθέλησεν[3] ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν, καὶ εὑρίσκει Φίλιππον καὶ λέγει αὐτῷ,[4] «Ἀκολούθει μοι.» **44** (Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδά, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου.) **45** Εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ καὶ λέγει αὐτῷ, «Ὃν ἔγραψεν Μωσῆς[5] ἐν τῷ Νόμῳ—καὶ οἱ Προφῆται—εὑρήκαμεν· Ἰησοῦν τὸν[6] υἱὸν[7] Ἰωσήφ, τὸν ἀπὸ Ναζαρέτ.»[8] **46** Καὶ εἶπεν αὐτῷ Ναθαναήλ, «Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι;» Λέγει αὐτῷ[9] Φίλιππος, «Ἔρχου καὶ ἴδε.»

47 Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει περὶ αὐτοῦ, «Ἴδε, ἀληθῶς Ἰσραηλίτης ἐν ᾧ δόλος οὐκ ἔστιν.» **48** Λέγει αὐτῷ Ναθαναήλ, «Πόθεν με γινώσκεις;» Ἀπεκρίθη[10] Ἰησοῦς καὶ εἶπεν αὐτῷ, «Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε.» **49** Ἀπεκρίθη Ναθαναὴλ καὶ λέγει αὐτῷ·[11] «Ῥαββί, σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ Βασιλεὺς[12] τοῦ Ἰσραήλ.» **50** Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· «Ὅτι εἶπόν σοι,[13] ‹Εἶδόν σε ὑποκάτω τῆς συκῆς,› πιστεύεις; Μείζω τούτων ὄψει.»[14] **51** Καὶ λέγει αὐτῷ, «Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ἀπ᾽ ἄρτι ὄψεσθε[15] τὸν οὐρανὸν ἀνεῳγότα καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν Υἱὸν τοῦ Ἀνθρώπου.»

Water into wine

2:1 Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ. **2** Ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. **3** Καὶ ὑστερήσαντος οἴνου, λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν, «Οἶνον οὐκ ἔχουσιν.» **4** Λέγει[16] αὐτῇ ὁ Ἰησοῦς· «Τί ἐμοὶ καὶ σοί, γύναι; Οὔπω ἥκει ἡ ὥρα μου.» **5** Λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις, «Ὅ τι ἂν λέγῃ[17] ὑμῖν, ποιήσατε.»

6 (Ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἓξ κείμεναι, κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων,[18] χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς.) **7** Λέγει αὐτοῖς ὁ Ἰησοῦς, «Γεμίσατε τὰς ὑδρίας ὕδατος.» Καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω. **8** Καὶ λέγει αὐτοῖς, «Ἀντλήσατε νῦν, καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ.» Καὶ[19] ἤνεγκαν. **9** Ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ—οἶνον γεγενημένον, καὶ οὐκ ᾔδει πόθεν ἐστίν (οἱ δὲ διάκονοι ἤδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ)—φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος **10** καὶ

---

[1] εμβλεψας **f**[35] **𝔓**[66,106]**א**A,B [80%] HF,RP,OC,NU ¦ 1 δε **𝔓**[75] [20%] CP,TR ¦ και 1 W

[2] ιωνα **f**[35] A (99.2%) CP,HF,RP,OC,TR ¦ ιωαννου **𝔓**[66,75,106]**א**(B)W (0.5%) NU ¦ ιωανα (0.4%)

[3] ηθελησεν **f**[35] **𝔓**[66,75,120]**א**A,B,W [80%] CP,HF,RP,NU ¦ 1 ο ιησους [20%] OC,TR

[4] αυτω **f**[35] [50%] OC,TR ¦ 1 ο ιησους **𝔓**[66,75](**א**)A,B,W [50%] CP,HF,RP,NU

[5] μωσης **f**[35] **א**A [95%] CP,HF,RP,TR ¦ μωυσης **𝔓**[66,75]B,W [5%] OC,NU

[6] τον **f**[35] A,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75,106]**א**B [0.5%] NU

[7] υιον **f**[35] A [40%] CP ¦ 1 του **𝔓**[66,75]**א**B [60%] HF,RP,OC,TR,NU ¦ τω W

[8] ναζαρετ **f**[35] **𝔓**[66]**א**A,B [80%] CP,HF,RP,OC,TR,NU ¦ ναζαρεθ **𝔓**[75,106]W [20%] (Both times.)

[9] αυτω **f**[35] **𝔓**[66]**א**A,W [99.5%] CP,HF,RP,OC,TR ¦ 1 ο **𝔓**[75]B [0.5%] [NU]

[10] απεκριθη *rell* ¦ 1 ο **א** [10%] TR

[11] ναθαναηλ και λεγει αυτω **f**[35] A (93.6%) CP,HF,RP,OC,TR ¦ ~ 41 **𝔓**[66,75]B,W (1%) NU ¦ 12 ειπεν 4 (**א**) (5%) ¦ ~ 412 ειπεν (0.2%) ¦ two other variants (0.1%)

[12] ει ο βασιλευς **f**[35] **𝔓**[66]**א** [98%] CP,HF,RP,OC,TR ¦ ~ 31 **𝔓**[75]A(B)W [2%] NU

[13] σοι **f**[35] [98%] CP,HF,RP,OC,TR ¦ 1 οτι **𝔓**[66,75]**א**A,B [2%] NU ¦ οτι W

[14] οψει **f**[35] [70%] CP,HF,RP,OC,TR ¦ οψη **𝔓**[66,75]**א**A,B,W [30%] NU

[15] απ αρτι οψεσθε **f**[35] A (96%) CP,HF,RP,OC,TR ¦ 12 οψεσθαι (3%) ¦ 3 **𝔓**[66,75]B (0.7%) NU ¦ οψεσθαι **א**W (0.3%)

[16] λεγει **f**[35] **𝔓**[75]**א** [98%] CP,HF,RP,OC,TR ¦ και 1 **𝔓**[66]A,B(W) [2%] [NU]

[17] λεγη **f**[35] **𝔓**[66,75]**א**A,B,W [70%] HF,RP,OC,TR,NU ¦ λεγει [30%] CP

[18] υδριαι λιθιναι εξ κειμεναι κατα τον καθαρισμον των ιουδαιων **f**[35] A,N[v] (95.4%) CP,HF,RP,OC,TR ¦ 1 λιθινοι 3456789 (0.5%) ¦ 13456789 (0.2%) ¦ 12456789 (0.2%) ¦ 12356789 (0.4%) ¦ ~ 213567894 (−4 **א**) **𝔓**[66(75)](**א**)B (0.9%) NU ¦ ~ 123567894 W (0.2%) ¦ ~ 213456789 (1%) ¦ ~ 132456789 (0.2%) ¦ ~ 124356789 (0.6%) ¦ five other variants (0.3%)

[19] και **f**[35] A [95%] CP,HF,RP,OC,TR ¦ οι δε **𝔓**[66,75]**א**B,N,W [5%] NU

λέγει αὐτῷ· «Πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησιν, καὶ ὅταν μεθυσθῶσιν, τότε[1] τὸν ἐλάσσω. Σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι.»

11 Ταύτην ἐποίησεν τὴν ἀρχὴν[2] τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ ἐφανέρωσεν τὴν δόξαν αὐτοῦ· καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ.

12 Μετὰ τοῦτο κατέβη εἰς Καπερναούμ[3]—αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ οἱ μαθηταὶ αὐτοῦ[4]—καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας.

The first cleansing of the Temple—Passover, 27 AD

13 Καὶ ἐγγὺς ἦν τὸ Πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη εἰς Ἰεροσόλυμα ὁ Ἰησοῦς. **14** Καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ περιστεράς, καὶ τοὺς κερματιστὰς καθημένους. **15** Καὶ ποιήσας φραγέλλιον[5] ἐκ σχοινίων,[6] πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ, τά τε πρόβατα καὶ τοὺς βόας· καὶ τῶν κολλυβιστῶν ἐξέχεεν τὸ κέρμα, καὶ τὰς τραπέζας ἀνέστρεψεν.[7] **16** Καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν· «Ἄρατε ταῦτα ἐντεῦθεν· μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου.» **17** Ἐμνήσθησαν δὲ[8] οἱ μαθηταὶ αὐτοῦ ὅτι γεγραμμένον ἐστίν, «Ὁ ζῆλος τοῦ οἴκου σου καταφάγεταί[9] με.»

18 Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ, «Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς;» **19** Ἀπεκρίθη[10] Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.» **20** Εἶπον οὖν οἱ Ἰουδαῖοι, «Τεσσαράκοντα[11] καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη[12] ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν;» **21** Ἐκεῖνος δὲ ἔλεγεν περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. **22** Ὅτε οὖν ἠγέρθη ἐκ[13] νεκρῶν, ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι τοῦτο ἔλεγεν·[14] καὶ ἐπίστευσαν τῇ Γραφῇ, καὶ τῷ λόγῳ ᾧ[15] εἶπεν ὁ Ἰησοῦς.

23 Ὡς δὲ ἦν ἐν τοῖς[16] Ἱεροσολύμοις ἐν τῷ Πάσχα, ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει. **24** Αὐτὸς δὲ ὁ[17] Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν[18] αὐτοῖς, διὰ τὸ αὐτὸν γινώσκειν πάντας, **25** καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου, αὐτὸς γὰρ ἐγίνωσκεν τί ἦν ἐν τῷ ἀνθρώπῳ.

Jesus and Nicodemus

3:1 Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων. **2** Οὗτος ἦλθεν πρὸς τὸν Ἰησοῦν νυκτὸς[19] καὶ εἶπεν αὐτῷ, «Ῥαββί, οἴδαμεν ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας

---

[1] τοτε **f**[35] A,N [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]**א**B,W [1%] NU

[2] εποιησεν την αρχην **f**[35] **א**W [95%] CP,HF,RP,OC,TR ¦ 13 **𝔓**[75]A,B,N [5%] NU ¦ ~ πρωτην 31 **𝔓**[66]

[3] καπερναουμ **f**[35] A,N [99.5%] CP,HF,RP,OC,TR ¦ καφαρναουμ **𝔓**[66,75]**א**B [0.5%] NU ¦ --- W (omits phrase) (A similar statement obtains wherever the name occurs.)

[4] και η μητηρ αυτου και οι αδελφοι αυτου και οι μαθηται αυτου **f**[35] A,N (91%) CP,HF,RP,OC,TR[NU] ¦ 1-7,9-12 **𝔓**[66,75]B,0162 (0.5%) ¦ 1-7,9-11 (0.2%) ¦ ~ 1-4,9-12,5-7 (3.2%) ¦ ~ 9-12,1-3,5-8 W (0.4%) ¦ 1-8 **א** (2%) ¦ 1-4,9-12 (1.8%) ¦ ~ 9-12,5-8 (0.2%) ¦ 1-4 (0.4%) ¦ four further variants (0.3%)

[5] φραγελλιον **f**[35] **א**A,B,N (82.6%) CP,HF,RP,OC,TR,NU ¦ φραγγελιον (14.4%) ¦ ως 1 **𝔓**[66,75]W,0162 (3%)

[6] σχοινιων *rell* ¦ σχοινιου [1%] CP ¦ σχυνιων N

[7] ανεστρεψεν **f**[35] **𝔓**[75]A,N,0162 (85.8%) CP,HF,RP,OC,TR ¦ ανετρεψεν **𝔓**[66]B,W (9.2%) NU ¦ κατεστρεψεν **א** (5%) ¦ two other variants (0.1%)

[8] δε **f**[35] A,N [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]**א**B [1%] NU ¦ ~ και W

[9] καταφαγεται *rell* ¦ κατεφαγε [5%] TR ¦ καταφαγετε **𝔓**[66]W [1%]

[10] απεκριθη *rell* ¦ 1 ο **א**N [10%] TR

[11] τεσσαρακοντα **f**[35] [95%] CP,HF,RP,OC,TR ¦ τεσσερακοντα **𝔓**[66]**א**A,B [5%] NU ¦ μ **𝔓**[75]W ¦ τεσσερεκοντα N

[12] ωκοδομηθη **f**[35] A,N [99%] CP,HF,RP,OC,TR ¦ οικοδομηθη **𝔓**[66,75]**א**B(W) [1%] NU

[13] εκ *rell* ¦ 1 των [5%] CP

[14] ελεγεν **f**[35] **𝔓**[66,75]**א**A,B,N,W [90%] HF,RP,OC,NU ¦ 1 αυτοις [10%] CP,TR

[15] ω **f**[35] A,N,W (98.2%) CP,HF,RP,OC,TR ¦ ον **𝔓**[66,75]**א**B (1%) NU ¦ αυτου (−ειπεν ο ιησους) (0.7%) ¦ two other variants (0.1%)

[16] τοις *rell* ¦ --- [5%] TR

[17] ο **f**[35] **א**A,N,W (99.2%) CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]B (0.5%) NU ¦ omit phrase (0.2%)

[18] εαυτον **f**[35] **𝔓**[66]N(W) [99%] CP,HF,RP,OC,TR ¦ αυτον **א**A,B [1%] NU ¦ --- **𝔓**[75]

[19] προς τον ιησουν νυκτος **f**[35] N [60%] CP,TR ¦ 1 αυτον 4 **𝔓**[66,75]A,B,W [40%] HF,RP,OC,NU ¦ ~ 41 αυτον **א**

διδάσκαλος, οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται[1] ποιεῖν ἃ σὺ ποιεῖς ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ᾽ αὐτοῦ.» **3** Ἀπεκρίθη[2] Ἰησοῦς καὶ εἶπεν αὐτῷ, «Ἀμήν, ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ Ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ.» **4** Λέγει πρὸς αὐτὸν[3] Νικόδημος· «Πῶς δύναται ἄνθρωπος γεννηθῆναι, γέρων ὤν; Μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν καὶ γεννηθῆναι;» **5** Ἀπεκρίθη[4] Ἰησοῦς· «Ἀμήν, ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. **6** Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν, καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστιν. **7** Μὴ θαυμάσῃς ὅτι εἶπόν σοι, ‹Δεῖ ὑμᾶς γεννηθῆναι Ἄνωθεν.› **8** Τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ᾽ οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει. Οὕτως ἐστὶν πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος.»

9 Ἀπεκρίθη Νικόδημος καὶ εἶπεν αὐτῷ, «Πῶς δύναται ταῦτα γενέσθαι;» **10** Ἀπεκρίθη[5] Ἰησοῦς καὶ εἶπεν αὐτῷ· «Σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραήλ, καὶ ταῦτα οὐ γινώσκεις; **11** Ἀμήν, ἀμὴν λέγω σοι ὅτι ὃ οἴδαμεν λαλοῦμεν καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. **12** Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια πιστεύσετε;[6] **13** Καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς—ὁ Υἱὸς τοῦ Ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ.[7] **14** Καί, καθὼς Μωσῆς[8] ὕψωσεν τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ Ἀνθρώπου, **15** ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν[9] μὴ ἀπόληται, ἀλλ᾽[10] ἔχῃ[11] ζωὴν αἰώνιον. **16** Οὕτως[12] γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον ὥστε τὸν Υἱὸν αὐτοῦ[13] τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ[14] ζωὴν αἰώνιον. **17** Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ[15] εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ᾽ ἵνα σωθῇ ὁ κόσμος δι᾽ αὐτοῦ. **18** Ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται, ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ.

19 »Αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς, ἦν γὰρ πονηρὰ αὐτῶν[16] τὰ ἔργα. **20** Πᾶς γὰρ ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ.[17] **21** Ὁ δὲ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ φῶς ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν Θεῷ ἐστιν εἰργασμένα.»

John the baptizer testifies again

22 Μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς, καὶ οἱ μαθηταὶ αὐτοῦ, εἰς τὴν Ἰουδαίαν γῆν, καὶ ἐκεῖ διέτριβεν μετ᾽ αὐτῶν καὶ ἐβάπτιζεν. **23** Ἦν δὲ καὶ[18] Ἰωάννης βαπτίζων ἐν Αἰνών, ἐγγὺς τοῦ

---

[1] ταυτα τα σημεια δυναται **f**[35] [98%] CP,HF,RP,OC,TR ¦ ~ 4123 **𝔓**[66,75]א A,B,N [2%] NU ¦ ~ 4231 W ¦ two other variants

[2] απεκριθη **f**[35] **𝔓**[66,75]B,W [50%] OC,NU ¦ 1 ο א A,N [50%] CP,HF,RP,TR

[3] αυτον **f**[35] **𝔓**[66,75]B,N,W [40%] ¦ 1 ο א A [60%] CP,HF,RP,OC,TR[NU]

[4] απεκριθη **f**[35] **𝔓**[66,75]א A,W (86.9%) CP,HF,RP,OC,NU ¦ 1 ο B,N (13.1%) TR

[5] απεκριθη *rell* ¦ 1 ο א N [20%] TR

[6] πιστευσετε **f**[35] **𝔓**[66]א A,B [70%] CP,HF,RP,OC,TR,NU ¦ πιστευσητε W [29%] ¦ πιστευετε **𝔓**[75] [1%] ¦ πιστευεται N

[7] ο ων εν τω ουρανω **f**[35] (A)N (98.4%) CP,HF,RP,OC,TR ¦ --- **𝔓**[63,66,75]א B,W (1%) NU ¦ 12 εκ του ουρανου (0.4%) ¦ two other variants (0.1%)

[8] μωσης **f**[35] A [80%] CP,HF,RP,TR ¦ μωυσης **𝔓**[63,66,75]א B,N,W [20%] OC,NU

[9] εις αυτον **f**[35] א T (96.8%) CP,HF,RP,OC,TR ¦ εν αυτω **𝔓**[75]B,W (0.4%) NU ¦ επ αυτω **𝔓**[66] (0.4%) ¦ επ 2 A (0.1%) ¦ two other variants (0.1%) ¦ long omissions (2.2%) [homoioteleuton]

[10] μη απολη ται αλλ **f**[35] **𝔓**[63]A [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[36,66,75]א B,W [1%] NU

[11] εχη *rell* ¦ εχει [40%]

[12] ουτως **f**[35pt] **𝔓**[63,66,75]א A,B,W [60%] (I include this for the record, to show that the dropping of -ς before a consonant was not automatic.)

[13] αυτου **f**[35] **𝔓**[63]A,T (97.5%) CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]א B,W (0.4%) NU ¦ long omissions (2.1%) [homoioteleuton]

[14] εχη *rell* ¦ εχει [30%]

[15] αυτου **f**[35] **𝔓**[63]A [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]א B,W [1%] NU

[16] πονηρα αυτων **f**[35] [80%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[66,75]א A,B,W [20%] NU

[17] τα εργα αυτου **f**[35] א B (82.3%) CP,HF,RP,OC,TR,NU ¦ ~ 312 **𝔓**[75]A,W (9.6%) ¦ 123 οτι πονηρα εστιν **𝔓**[66] (7.1%) ¦ ~ 312 οτι πονηρα εστιν (0.3%) ¦ long omissions (0.8%) [homoioteleuton]

[18] και **f**[35] **𝔓**[75]א [70%] CP,HF,RP,OC,TR ¦ 1 ο **𝔓**[66]A,B,N,W [30%] NU

Σαλήμ,[1] ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ. Καὶ παρεγίνοντο καὶ ἐβαπτίζοντο· **24** οὔπω γὰρ ἦν βεβλημένος
εἰς τὴν φυλακὴν ὁ Ἰωάννης.

25 Ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίου[2] περὶ καθαρισμοῦ. **26** Καὶ
ἦλθον πρὸς τὸν Ἰωάννην καὶ εἶπον αὐτῷ, «Ῥαββί, ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ
μεμαρτύρηκας—ἴδε, οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν.» **27** Ἀπεκρίθη Ἰωάννης καὶ
εἶπεν· «Οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν[3] ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ.
28 Αὐτοὶ ὑμεῖς μοι[4] μαρτυρεῖτε ὅτι εἶπον,[5] ‹Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός,› ἀλλ᾽ ὅτι ‹Ἀπεσταλμένος
εἰμὶ ἔμπροσθεν ἐκείνου.› **29** Ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου, ὁ
ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου. Αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ
πεπλήρωται. **30** Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι.

31 »Ὁ Ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν· ὁ ὢν ἐκ τῆς γῆς ἐκ τῆς γῆς ἐστιν, καὶ ἐκ τῆς
γῆς λαλεῖ. Ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος ἐπάνω πάντων ἐστίν.[6] **32** Καὶ[7] ὃ ἑώρακεν καὶ ἤκουσεν,
τοῦτο μαρτυρεῖ· καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει. **33** Ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν
ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν. **34** Ὃν γὰρ ἀπέστειλεν ὁ Θεὸς τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ,
οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς[8] τὸ Πνεῦμα. **35** Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν καὶ πάντα δέδωκεν
ἐν τῇ χειρὶ αὐτοῦ. **36** Ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται
τὴν[9] ζωήν, ἀλλ᾽ ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ[10] ἐπ᾽ αὐτόν.»

Jesus and the Samaritans

4:1 Ὡς οὖν ἔγνω ὁ Ἰησοῦς[11] ὅτι ἤκουσαν οἱ Φαρισαῖοι ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ καὶ
βαπτίζει ἢ Ἰωάννης **2** (καίτοιγε Ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν, ἀλλ᾽ οἱ μαθηταὶ αὐτοῦ), **3** ἀφῆκεν
τὴν Ἰουδαίαν καὶ ἀπῆλθεν[12] εἰς τὴν Γαλιλαίαν.

The setting

4 Ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς Σαμαρείας. **5** Ἔρχεται οὖν εἰς πόλιν τῆς[13] Σαμαρείας
λεγομένην Συχάρ, πλησίον τοῦ χωρίου οὗ[14] ἔδωκεν Ἰακὼβ[15] Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. **6** Ἦν δὲ ἐκεῖ
πηγὴ τοῦ Ἰακώβ. Ὁ οὖν Ἰησοῦς, κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ.
Ὥρα ἦν ὡσεὶ[16] ἕκτη.

The woman

7 Ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ. Λέγει αὐτῇ ὁ Ἰησοῦς, «Δός μοι πιεῖν.»[17]
8 (Οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν ἵνα τροφὰς ἀγοράσωσιν.) **9** Λέγει οὖν[18]

---

[1] σαλημ **f**[35] [60%] CP,HF,RP ¦ σαλειμ **𝔓**[66,75]א**B**,N [39%] OC,TR,NU ¦ σαλλειμ A ¦ σαλιμ W [1%]
[2] ιουδαιου **f**[35] **𝔓**[75]A,B,N(W) (85.5%) HF,RP,OC,NU ¦ ιουδαιων **𝔓**[66]א (13.5%) CP,TR ¦ lengthy omissions (1%)
[3] λαμβανειν ουδεν **f**[35] A,N,W (89.3%) CP,HF,RP,OC,TR ¦ 1 ουδε εν **𝔓**[66,75]B (0.2%) NU ¦ λαβειν 2 א (0.6%) ¦ 1 αφ εαυτου 2 (4.5%) ¦ αφ εαυτου 12 (3.3%) ¦ 12 αφ εαυτου (1%) ¦ αφ εαυτου λαβειν 2 (1%) ¦ three other variants (0.2%)
[4] μοι **f**[35] **𝔓**[66]A,B,D,N,W [70%] CP,OC,TR,NU ¦ --- **𝔓**[75]א [30%] HF,RP
[5] ειπον **f**[35] אA,D,N,W [98.5%] CP,HF,RP,OC,TR ¦ 1 οτι **𝔓**[66,75] [0.2%] [NU] ¦ 1 εγω B ¦ 1 υμιν [1%]
[6] επανω παντων εστιν **f**[35] **𝔓**[66]A,B,W (97.1%) CP,HF,RP,OC,TR[NU] ¦ --- **𝔓**[75]אD (0.8%) ¦ long omissions (2.2%) [homoioteleuton]
[7] και **f**[35] A [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]א**B**,D,W [2%] NU
[8] ο θεος **f**[35] A,D [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]א(B)C,W [2%] NU
[9] την **f**[35] [50%] CP,HF ¦ --- **𝔓**[66,75](א)A,B,C,D,W [50%] RP,OC,TR,NU
[10] μενεῖ **f**[35] [50%] (CP) ¦ μένει [50%] HF,RP,OC,TR,NU
[11] ο ιησους **f**[35] **𝔓**[66]אD (21.7%) CP,NU ¦ ο κυριος **𝔓**[75]A,B,C,W (76.9%) HF,RP,OC,TR ¦ --- (1.4%)
[12] απηλθεν **f**[35] A,B (91.1%) CP,HF,RP,OC ¦ 1 παλιν **𝔓**[66,75]אC,D,W (8.6%) TR,NU ¦ long omissions (0.3%) [homoioteleuton]
[13] της *rell* ¦ --- CP
[14] ου **f**[35] **𝔓**[66]C,D,N,W [40%] CP ¦ ο **𝔓**[75]אA,B [60%] HF,RP,OC,TR,NU
[15] ιακωβ **f**[35] A,C,D,N,W [99.5%] CP,HF,RP,OC,TR ¦ 1 τω **𝔓**[66,75]א**B** [0.5%] [NU]
[16] ωσει **f**[35] [98%] CP,HF,RP,OC,TR ¦ ως **𝔓**[66,75]אA,B,C,D,N,W [2%] NU
[17] πιειν **f**[35] A,N,W [98%] CP,HF,RP,OC,TR ¦ πειν **𝔓**[66,75]B,C,D [1%] NU ¦ πιν א ¦ ποιειν [1%]
[18] ουν **f**[35] **𝔓**[66,75]A,B,C,D,N,W (86.7%) CP,HF,RP,OC,TR,NU ¦ --- א (13.3%)

αὐτῷ ἡ γυνὴ ἡ Σαμαρεῖτις, «Πῶς σύ, Ἰουδαῖος ὤν, παρ᾽ ἐμοῦ πιεῖν αἰτεῖς,[1] οὔσης γυναικὸς Σαμαρείτιδος;»[2] (οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις).[3] **10** Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ· «Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, ‹Δός μοι πιεῖν,›[4] σὺ ἂν ᾔτησας αὐτὸν καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν.» **11** Λέγει αὐτῷ ἡ γυνή·[5] «Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶν βαθύ· πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν; **12** Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιεν, καὶ οἱ υἱοὶ αὐτοῦ καὶ τὰ θρέμματα αὐτοῦ;» **13** Ἀπεκρίθη[6] Ἰησοῦς καὶ εἶπεν αὐτῇ· «Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν, **14** ὃς δ᾽ ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ οὐ μὴ διψήσῃ[7] εἰς τὸν αἰῶνα· ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον.» **15** Λέγει πρὸς αὐτὸν ἡ γυνή, «Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ μηδὲ ἔρχωμαι[8] ἐνθάδε ἀντλεῖν.»

16 Λέγει αὐτῇ ὁ Ἰησοῦς,[9] «Ὕπαγε, φώνησον τὸν ἄνδρα σου καὶ ἐλθὲ ἐνθάδε.» **17** Ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν,[10] «Οὐκ ἔχω ἄνδρα.» Λέγει αὐτῇ ὁ Ἰησοῦς· «Καλῶς εἶπας ὅτι ‹Ἄνδρα οὐκ ἔχω›· **18** πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστιν σου ἀνήρ· τοῦτο ἀληθὲς εἴρηκας.» **19** Λέγει αὐτῷ ἡ γυνή· «Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ. **20** Οἱ πατέρες ἡμῶν[11] ἐν τῷ ὄρει τούτῳ[12] προσεκύνησαν, καὶ ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου δεῖ προσκυνεῖν.»[13] **21** Λέγει αὐτῇ ὁ Ἰησοῦς· «Γύναι, πίστευσόν μοι[14] ὅτι ἔρχεται ὥρα ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί. **22** Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. **23** Ἀλλ᾽[15] ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσιν τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ Πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. **24** Πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.»

25 Λέγει αὐτῷ ἡ γυνή· «Οἶδα ὅτι Μεσίας[16] ἔρχεται» (ὁ λεγόμενος Χριστός). «Ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα.»[17] **26** Λέγει αὐτῇ ὁ Ἰησοῦς, «Ἐγώ εἰμι, ὁ λαλῶν σοι.»

The disciples

27 Καὶ ἐπὶ τούτῳ ἦλθον[18] οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐθαύμασαν[19] ὅτι μετὰ γυναικὸς ἐλάλει· οὐδεὶς μέντοι εἶπεν, «Τί ζητεῖς;» ἢ «Τί λαλεῖς μετ᾽ αὐτῆς;» **28** Ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ καὶ ἀπῆλθεν εἰς τὴν πόλιν, καὶ λέγει τοῖς ἀνθρώποις· **29** «Δεῦτε, ἴδετε ἄνθρωπον ὃς εἶπέν μοι πάντα ὅσα ἐποίησα· μήτι οὗτός ἐστιν ὁ Χριστός;» **30** Ἐξῆλθον[20] ἐκ τῆς πόλεως καὶ ἤρχοντο

---

[1] πιειν αιτεις **f**[35] N [99%] CP,HF,RP,OC,TR ¦ πειν 2 **𝔓**[75]B,C,D [0.5%] NU ¦ πιν αιτις **א** ¦ πιν 2 A [0.5%] ¦ ~ ετεις πειν **𝔓**[66] ¦ πιν ετις W

[2] ουσης γυναικος σαμαρειτιδος **f**[35] [99%] CP,HF,RP,OC,TR ¦ ~ 231 A,B,C [0.3%] ¦ ~ 213 **𝔓**[75] ¦ ~ 2 σαμαριτιδος 1 **𝔓**[63]N,W [0.3%] NU ¦ 2 σαμαριτιδος D ¦ ~ σαμαριτιδος 1 **𝔓**[66]**א** [The early uncials do manage to spread themselves around!]

[3] σαμαρειταις **f**[35] **𝔓**[75]A,B,C,N [99.5%] CP,HF,RP,OC,TR ¦ σαμαριταις **𝔓**[66]W [0.5%] NU ¦ --- **א**D omit clause

[4] πιειν **f**[35] A,N [99%] CP,HF,RP,OC,TR ¦ πειν **𝔓**[66,75]B,C [0.5%] NU ¦ πιν **א**W ¦ two other readings

[5] η γυνη **f**[35] (**𝔓**[66])A,C,D,N,W (99.8%) CP,HF,RP,OC,TR[NU] ¦ εκεινη **א** ¦ --- **𝔓**[75]B

[6] απεκριθη *rell* ¦ 1 ο N [5%] TR

[7] διψηση **f**[35] **𝔓**[66]W [90%] HF,RP,OC,TR ¦ διψησει **𝔓**[75]**א**A,B(D)N [10%] CP,NU ¦ --- C has long omission

[8] ερχωμαι **f**[35] A,C,D,W [55%] OC,TR ¦ ερχομαι N [45%] CP,HF,RP ¦ διερχωμαι **𝔓**[66]**א** [alone] NU ¦ διερχομαι **𝔓**[75]B

[9] ο ιησους **f**[35] D,N,W [98.5%] CP,HF,RP,OC,TR ¦ 2 (**א**)A [1%] ¦ --- **𝔓**[66,75]B,C [0.5%] NU

[10] ειπεν **f**[35] (**א**)A,D,W [90%] CP,HF,RP,OC,TR ¦ 1 αυτω **𝔓**[66]B,C,N [10%] NU ¦ λεγει αυτω **𝔓**[75]

[11] ημων *rell* ¦ υμων OC

[12] τω ορει τουτω *rell* ¦ ~ 312 [10%] TR

[13] δει προσκυνειν **f**[35] [99%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[66,75]**א**A,B,C,D,N,W [1%] NU

[14] γυναι πιστευσον μοι **f**[35] N [96%] CP,HF,RP,OC,TR ¦ 1 πιστευον 3 A [1.5%] ¦ 1 πιστευε 3 D [2%] ¦ ~ πιστευε 31 **𝔓**[66,75]**א**B,C,W [0.5%] NU

[15] αλλ **f**[35] C,N [99.5%] CP,HF,RP,OC,TR ¦ αλλα **𝔓**[66,75]**א**A,B,D,W [0.5%] NU

[16] μεσιας **f**[35] [95%] CP,HF,RP ¦ μεσσιας **𝔓**[66]**א**A,B,C,N,W [5%] OC,TR,NU ¦ μεσσειας **𝔓**[75]D

[17] παντα **f**[35] A,D,N [98.5%] CP,HF,RP,OC,TR ¦ απαντα **𝔓**[66,75]**א**B,C,W [1.5%] NU

[18] ηλθον *rell* ¦ ηλθαν B [alone] NU ¦ επηλθαν **א**

[19] εθαυμασαν **f**[35] [80%] CP,HF,RP,OC,TR ¦ εθαυμαζον **𝔓**[66,75]**א**A,B,C,D,N,W [20%] NU

[20] εξηλθον **f**[35] **𝔓**[75]A,B [60%] HF,RP,NU ¦ 1 ουν **𝔓**[66]**א**N,W [40%] CP,OC,TR ¦ και 1 C,D ¦ two other readings

πρὸς αὐτόν.

31 Ἐν δὲ[1] τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ[2] λέγοντες, «Ῥαββί,[3] φάγε.» **32** Ὁ δὲ εἶπεν αὐτοῖς, «Ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ οἴδατε.» **33** Ἔλεγον οὖν οἱ μαθηταὶ[4] πρὸς ἀλλήλους, «Μή τις ἤνεγκεν αὐτῷ φαγεῖν;» **34** Λέγει αὐτοῖς ὁ Ἰησοῦς· «Ἐμὸν βρῶμά ἐστιν ἵνα ποιῶ[5] τὸ θέλημα τοῦ πέμψαντός με καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. **35** Οὐχ[6] ὑμεῖς λέγετε ὅτι[7] ‹Τετράμηνός[8] ἐστιν καὶ ὁ θερισμὸς ἔρχεται›; Ἰδού, λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσιν πρὸς θερισμὸν ἤδη. **36** Καὶ[9] ὁ θερίζων μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον, ἵνα καὶ[10] ὁ σπείρων ὁμοῦ χαίρῃ[11] καὶ ὁ θερίζων. **37** Ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν ὁ ἀληθινός[12] ὅτι ‹Ἄλλος ἐστὶν ὁ σπείρων καὶ ἄλλος ὁ θερίζων›· **38** ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι κεκοπιάκασιν, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε.»

The Samaritans

39 Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν[13] διὰ τὸν λόγον τῆς γυναικός, μαρτυρούσης ὅτι «Εἶπέν μοι πάντα ὅσα[14] ἐποίησα.» **40** Ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται,[15] ἠρώτων αὐτὸν μεῖναι παρ᾽ αὐτοῖς· καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας. **41** Καὶ πολλῷ πλείους ἐπίστευσαν[16] διὰ τὸν λόγον αὐτοῦ, **42** τῇ τε γυναικὶ ἔλεγον ὅτι «Οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν, αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Σωτὴρ τοῦ κόσμου, ὁ Χριστός.»[17]

Jesus in Galilee

4:43 Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν καὶ ἀπῆλθεν[18] εἰς τὴν Γαλιλαίαν. **44** (Αὐτὸς γὰρ ὁ[19] Ἰησοῦς ἐμαρτύρησεν ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει.) **45** Ὅτε οὖν ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι, πάντα ἑωρακότες ἃ[20] ἐποίησεν ἐν Ἰεροσολύμοις, ἐν τῇ ἑορτῇ· καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν.

Jesus heals at a distance

46 Ἦλθεν οὖν πάλιν ὁ Ἰησοῦς[21] εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἐποίησεν τὸ ὕδωρ οἶνον. Καὶ ἦν τις βασιλικὸς οὗ ὁ υἱὸς ἠσθένει ἐν Καπερναούμ. **47** Οὗτος ἀκούσας ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν, ἀπῆλθεν πρὸς αὐτὸν καὶ ἠρώτα αὐτὸν[22] ἵνα καταβῇ καὶ ἰάσηται

---

[1] δε **f**[35] **𝔓**[75]A,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]**א**B,C,D [0.5%] NU ¦ ~ και W
[2] αυτου **f**[35] N,W [50%] CP ¦ --- **𝔓**[66,75]**א**A,B,C,D [50%] HF,RP,OC,TR,NU
[3] ραββι **f**[35] A,N [70%] CP,HF,RP,OC,TR,NU ¦ ραββει **𝔓**[66,75]**א**B,C,D,W [30%]
[4] μαθηται *rell* ¦ 1 αυτου [2%] CP
[5] ποιω **f**[35] **א**A [95%] CP,HF,RP,OC,TR ¦ ποιησω **𝔓**[66,75]B,C,D,N,W [5%] NU
[6] ουχ *rell* ¦ ουκ CP
[7] οτι **f**[35] **𝔓**[75] [35%] CP ¦ 1 ετι **𝔓**[66]**א**A,B,C,N,W [65%] HF,RP,OC,TR,NU
[8] τετραμηνος *rell* ¦ τετραμηνον W [5%] TR
[9] και **f**[35] A,N [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]**א**B,C,D,W [1%] NU
[10] και **f**[35] **א**A,D [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]B,C,N,W [2%] NU
[11] χαιρη **f**[35] **𝔓**[66]**א**A,B,C(D)N,W [70%] CP,HF,RP,OC,TR,NU ¦ χαιρει [30%] ¦ χαιρων **𝔓**[75]
[12] ο αληθινος **f**[35] **𝔓**[66]**א**A,D (78.9%) CP,HF,RP,OC,TR ¦ 2 B,C,N,W (16.5%) NU ¦ αληθης (1.3%) ¦ two other variants (0.2%) ¦ long omissions **𝔓**[75] (3.2%) [homoioteleuton]
[13] σαμαρειτων *rell* ¦ σαμαριτων **𝔓**[66]**א**D,W [1%] NU
[14] οσα **f**[35] **𝔓**[66]A,D,N,W (99.6%) CP,HF,RP,OC,TR ¦ α **𝔓**[75]**א**B,C (0.4%) NU
[15] σαμαρειται *rell* ¦ σαμαριται **𝔓**[66]**א**A,D,W [0.5%] NU
[16] επιστευσαν *rell* ¦ 1 εις αυτον N [2%] CP
[17] ο χριστος **f**[35] A,D,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]**א**B,C,W [0.5%] NU
[18] εκειθεν και απηλθεν **f**[35] A,N (92.6%) CP,HF,RP,OC,TR ¦ 12 ηλθεν (2.4%) ¦ 23 (2.3%) ¦ 1 **𝔓**[66,75]**א**B,C,D,W (2.2%) NU ¦ seven other variants (0.5%)
[19] ο **f**[35] N [80%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]**א**A,B,C,D,W [20%] NU
[20] α **f**[35] **א**D [95%] CP,HF,RP,OC,TR ¦ οσα **𝔓**[66,75]A,B,C(N)W [5%] NU
[21] παλιν ο ιησους **f**[35] A(N) [84%] CP,HF,RP,OC ¦ 1 **𝔓**[66,75]**א**B,C,D,W [1%] NU ¦ ~ 231 [15%] TR
[22] αυτον **f**[35] A,N [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]**א**B,C,D,W [2%] NU

αὐτοῦ[1] τὸν υἱόν, ἤμελλεν[2] γὰρ ἀποθνήσκειν. **48** Εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν, «Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε.» **49** Λέγει πρὸς αὐτὸν ὁ βασιλικός, «Κύριε, κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου.» **50** Λέγει αὐτῷ ὁ Ἰησοῦς, «Πορεύου· ὁ υἱός σου ζῇ.» Καὶ[3] ἐπίστευσεν ὁ ἄνθρωπος τ�ῳ λόγῳ ᾧ[4] εἶπεν αὐτῷ ὁ Ἰησοῦς,[5] καὶ ἐπορεύετο. **51** Ἤδη δὲ αὐτοῦ καταβαίνοντος, οἱ δοῦλοι αὐτοῦ ἀπήντησαν[6] αὐτῷ καὶ ἀπήγγειλαν[7] λέγοντες, ὅτι «Ὁ παῖς σου[8] ζῇ.» **52** Ἐπύθετο οὖν παρ᾽ αὐτῶν τὴν ὥραν[9] ἐν ᾗ κομψότερον ἔσχεν. Καὶ εἶπον[10] αὐτῷ ὅτι «Χθὲς[11] ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός.» **53** Ἔγνω οὖν ὁ πατὴρ[12] ὅτι ἐν[13] ἐκείνῃ τῇ ὥρᾳ ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι[14] «Ὁ υἱός σου ζῇ.» Καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη. **54** Τοῦτο[15] πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς, ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν.

Jesus returns to Jerusalem—Passover, 28 AD

5:1 Μετὰ ταῦτα ἦν ἡ[16] ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ[17] Ἰησοῦς εἰς Ἱεροσόλυμα.

The pool of Bethesda

2 Ἔστιν[18] δὲ ἐν τοῖς Ἱεροσολύμοις, ἐπὶ τῇ Προβατικῇ, κολυμβήθρα ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδά,[19] πέντε στοὰς ἔχουσα. **3** Ἐν ταύταις κατέκειτο πλῆθος πολὺ[20] τῶν ἀσθενούντων—τυφλῶν, χωλῶν, ξηρῶν—ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν·[21] **4** ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρα καὶ ἐτάρασσεν[22] τὸ ὕδωρ—ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος ὑγιὴς ἐγίνετο ᾧ δήποτε κατείχετο νοσήματι.[23]

The man selected for healing

5 Ἦν δέ τις ἄνθρωπος ἐκεῖ τριάκοντα ὀκτὼ ἔτη[24] ἔχων ἐν τῇ ἀσθενείᾳ.[25] **6** Τοῦτον ἰδὼν ὁ

---

[1] αυτου *rell* ¦ αυτον [1%] CP

[2] ημελλεν **f**[35] **𝔓**[66,75]אA,B,C,D,N,W [50%] CP,OC,TR,NU ¦ εμελλεν [50%] HF,RP

[3] και **f**[35] A,C,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]אB,D,W [0.5%] NU

[4] ω **f**[35] **𝔓**[66]D,N,W [97.5%] CP,HF,RP,OC,TR ¦ ον **𝔓**[75]A,B [0.5%] NU ¦ --- אC [0.5%] ¦ ο [1%] ¦ ων [0.5%]

[5] ο ιησους *rell* ¦ 2 [5%] TR ¦ ~ του ιησου א

[6] απηντησαν **f**[35] (A) [90%] CP,HF,RP,OC,TR ¦ υπηντησαν **𝔓**[66,75](א)B,C(D)N(W) [10%] NU

[7] και απηγγειλαν **f**[35] **𝔓**[39(66)]A,C(W) (88.9%) CP,HF,RP,OC,TR ¦ 1 ανηγγειλαν (9%) ¦ 1 ηγγειλαν (א)(D) (0.3%) ¦ --- **𝔓**[75]B,N (1.9%) NU

[8] ο παις σου **f**[35] (77.8%) CP,HF,RP,OC,TR ¦ 1 υιος 3 D,N (20.1%) ¦ 12 αυτου **𝔓**[66,75]אA,B,W (0.9%) NU ¦ 2 αυτου C (alone) ¦ 1 υιος αυτου (1%) ¦ conflation (0.2%)

[9] παρ αυτων την ωραν **f**[35] [95%] CP,HF,RP,OC,TR ¦ ~ 3412 **𝔓**[66]אA,C,D,N,W [5%] NU ¦ ~ 34 εκεινην **𝔓**[75]B

[10] και ειπον (ειπαν D) **f**[35] אA(D) [98%] CP,HF,RP,OC,TR ¦ 2 **𝔓**[66] ¦ ~ 2 ουν **𝔓**[75]B,C,N,W [2%] ¦ ειπαν ουν [none!] NU

[11] χθες **f**[35] [98%] CP,HF,RP,OC,TR ¦ εχθες **𝔓**[66,75]אA,B,C,D,N,W [2%] NU

[12] πατηρ **f**[35] **𝔓**[75]אA,B,D,W (90.4%) CP,HF,RP,OC,TR,NU ¦ 1 αυτου **𝔓**[66]C,N,T (8.8%) ¦ 1 του παιδος (0.5%) ¦ long omissions (0.2%)

[13] εν **f**[35] **𝔓**[66]A,D,N,W [99%] CP,HF,RP,OC,TR[NU] ¦ --- **𝔓**[75]אB,C [1%]

[14] οτι **f**[35] D,N,W [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]אA,B,C [2%] NU

[15] τουτο **f**[35] אA,D,N [99%] CP,HF,RP,OC,TR ¦ 1 δε **𝔓**[66,75]B,C,W [1%] NU

[16] η **f**[35] אC [50%] CP,HF,RP,OC ¦ --- **𝔓**[66,75]A,B,D,N,T,W [50%] TR,NU

[17] ο **f**[35] אC(N)W [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]A,B,D [2%] NU

[18] εστιν *rell* ¦ εστη CP [Note the present tense; John was writing before A.D. 70—see the next to the last footnote in John.]

[19] βηθεσδα **f**[35] A,C(N) (98%) CP,HF,RP,OC,TR ¦ βηθεσθα (1.2%) ¦ βηθσαιδα **𝔓**[75]B,T,W (0.4%) ¦ βηδσαιδαν **𝔓**[66] ¦ βηθζαθα א (0.3%) NU ¦ βελζεθα D (Is the choice of NU not curious?)

[20] πολυ **f**[35] A,D [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]אB,C,D,W [1%] NU

[21] εκδεχομενων (απεκδεχομενων 1.6%) την του υδατος κινησιν **f**[35] (D)W (99.3%) CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]א A,B,C,T (0.7%) NU

[22] εταρασσεν *rell* ¦ εταρασσετο [30%] CP,OC

[23] The whole verse **f**[35] (A) (99.2%) CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]אB,C,D,T,W (0.8%) NU

[24] τριακοντα οκτω ετη **f**[35] B [50%] CP,RP,TR ¦ 1 και 23 אA,C,D [50%] HF,OC[NU] ¦ ετη λη **𝔓**[66] ¦ λη **𝔓**[75] ¦ μ και η 3 W

[25] ασθενεια **f**[35] A [97%] CP,HF,RP,TR ¦ 1 αυτου **𝔓**[66,75]אB,C,D,W [3%] OC,NU

Ἰησοῦς κατακείμενον, καὶ γνοὺς ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ, «Θέλεις ὑγιὴς γενέσθαι;» **7** Ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν, «Κύριε, ἄνθρωπον οὐκ ἔχω ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ[1] με εἰς τὴν κολυμβήθραν, ἐν ᾧ δὲ ἔρχομαι ἐγώ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει.» **8** Λέγει αὐτῷ ὁ Ἰησοῦς, «Ἔγειραι,[2] ἆρον τὸν κράββατόν[3] σου καὶ περιπάτει.» **9** Καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος καὶ ἦρεν τὸν κράββατον αὐτοῦ καὶ περιεπάτει. **10** Ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ· «Σάββατόν ἐστιν·[4] οὐκ ἔξεστίν σοι ἆραι τὸν κράββατον.»[5] **11** Ἀπεκρίθη[6] αὐτοῖς, «Ὁ ποιήσας με ὑγιῆ—ἐκεῖνός μοι εἶπεν, ‹Ἆρον τὸν κράββατόν σου καὶ περιπάτει.› » **12** Ἠρώτησαν οὖν[7] αὐτόν, «Τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι, ‹Ἆρον τὸν κράββατόν σου[8] καὶ περιπάτει;› » **13** Ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει τίς ἐστιν, ὁ γὰρ Ἰησοῦς ἐξένευσεν, ὄχλου ὄντος ἐν τῷ τόπῳ.

14 Μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ καὶ εἶπεν αὐτῷ· «Ἴδε, ὑγιὴς γέγονας. Μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι[9] γένηται.» **15** Ἀπῆλθεν ὁ ἄνθρωπος καὶ ἀνήγγειλεν τοῖς Ἰουδαίοις ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ.

The Jews want to kill Jesus

16 Καὶ διὰ τοῦτο ἐδίωκον τὸν Ἰησοῦν οἱ Ἰουδαῖοι[10] καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι,[11] ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ. **17** Ὁ δὲ Ἰησοῦς[12] ἀπεκρίνατο αὐτοῖς, «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι.» **18** Διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυεν τὸ σάββατον ἀλλὰ καὶ Πατέρα ἴδιον ἔλεγεν τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ.

Jesus addresses the Jews

He affirms His equality with the Father

19 Ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς·[13] «Ἀμήν, ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ᾽ ἑαυτοῦ οὐδέν, ἐὰν μή τι βλέπῃ[14] τὸν Πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ,[15] ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. **20** Ὁ γὰρ Πατὴρ φιλεῖ τὸν Υἱὸν καὶ πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ· καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε. **21** Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ. **22** Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκεν τῷ Υἱῷ, **23** ἵνα πάντες τιμῶσιν τὸν Υἱὸν καθὼς τιμῶσιν τὸν Πατέρα. Ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν Πατέρα τὸν πέμψαντα αὐτόν.

The Son is the Just Judge

24 »Ἀμήν, ἀμὴν λέγω ὑμῖν ὅτι ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με ἔχει ζωὴν αἰώνιον· καὶ εἰς κρίσιν οὐκ ἔρχεται ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.

25 »Ἀμήν, ἀμὴν λέγω ὑμῖν ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται[16] τῆς

---

[1] βαλη *rell* ¦ βαλλη [5%] TR ¦ βαλλει [2%] ¦ βαλει [2%] ¦ εμβαλη C

[2] εγειραι **f**[35] **𝔓**[66] [70%] CP,HF,RP,TR ¦ εγειρε **𝔓**[75]א**B**,C,W [29%] OC,NU ¦ εγειρε και A,D [1%]

[3] κραββατον **f**[35] **𝔓**[75] [70%] CP,HF,RP,TR ¦ κραβαττον **𝔓**[66]A,B,C,D,W [29%] OC,NU ¦ κραβακτον א ¦ four other spellings (A similar statement obtains wherever the word occurs.)

[4] εστιν **f**[35] [95%] CP,HF,RP,OC,TR ¦ 1 και **𝔓**[66,75]אA,B,C,D,N,W [5%] NU

[5] κραββατον **f**[35] A,B [95%] CP,HF,RP,OC,TR ¦ 1 σου **𝔓**[66,75]אC,D,N,W [5%] NU

[6] απεκριθη **f**[35] D [95%] CP,HF,RP,OC,TR ¦ ο δε 1 **𝔓**[66]אC,N,W [4.5%] NU ¦ ος δε 1 **𝔓**[75]A,B [0.5%]

[7] ουν **f**[35] **𝔓**[75]C,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]א**B**,D [0.4%] NU ¦ omit verse A,W [homoioteleuton]

[8] τον κραββατον σου **f**[35] [70%] CP,HF,RP,OC,TR ¦ 1 κραβαττον 3 D [29.5%] ¦ 1 κραβατον 3 N ¦ --- **𝔓**[66,75]א**B**,C [0.4%] NU ¦ omit verse A,W

[9] τι σοι **f**[35] אD,W [60%] CP,HF,RP,TR ¦ ~ 21 **𝔓**[66,75]A,B,C,N [40%] OC,NU

[10] τον ιησουν οι ιουδαιοι **f**[35] A,N (95.2%) CP,HF,RP,OC,TR ¦ ~ 3412 **𝔓**[66,75]א**B**,C,D,W (2%) NU ¦ 124 (1.1%) ¦ αυτον 34 (1.4%) ¦ three other variants (0.4%)

[11] και εζητουν αυτον αποκτειναι **f**[35] A(N) (97.2%) CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]א**B**,C,D,W (2.8%) NU

[12] ιησους **f**[35] **𝔓**[66]A,D,N [99.5%] CP,HF,RP,OC,TR[NU] ¦ --- **𝔓**[75]א**B**,W [0.5%]

[13] απεκρινατο ουν ο ιησους και ειπεν αυτοις **f**[35] A [98%] CP,HF,RP,OC,TR ¦ 12345 ελεγεν 7 **𝔓**[66] [0.3%] NU ¦ 12345 λεγει 7 [1%] ¦ απεκριθη 234567 D,N,W [0.5%] ¦ 125 ελεγεν 7 **𝔓**[75]B ¦ ~ ελεγεν 2734 א

[14] βλεπη *rell* ¦ βλεπει [30%]

[15] ποιη *rell* ¦ ποιει A [30%]

[16] ακουσονται **f**[35] A,D [98.5%] CP,HF,RP,OC,TR ¦ ακουσουσιν **𝔓**[75]B [0.5%] NU ¦ ακουσωσιν **𝔓**[66]אW [1%]

φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται.[1] **26** Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκεν καὶ τῷ Υἱῷ[2] ζωὴν ἔχειν ἐν ἑαυτῷ· **27** καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ[3] κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν. **28** Μὴ θαυμάζετε τοῦτο, ὅτι ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται[4] τῆς φωνῆς αὐτοῦ **29** καὶ ἐκπορεύσονται—οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. **30** Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ᾽ ἐμαυτοῦ οὐδέν. Καθὼς ἀκούω, κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν, ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.[5]

Four witnesses to Jesus

31 »Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής. **32** Ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ. **33** Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην καὶ μεμαρτύρηκεν τῇ ἀληθείᾳ. **34** Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω· ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς σωθῆτε. **35** Ἐκεῖνος ἦν ὁ λύχνος, ὁ καιόμενος καὶ φαίνων, ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιαθῆναι πρὸς ὥραν[6] ἐν τῷ φωτὶ αὐτοῦ. **36** Ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου, τὰ γὰρ ἔργα ἃ ἔδωκέν[7] μοι ὁ Πατὴρ ἵνα τελειώσω αὐτά—αὐτὰ τὰ ἔργα ἃ ἐγὼ[8] ποιῶ—μαρτυρεῖ περὶ ἐμοῦ ὅτι ὁ Πατήρ με ἀπέσταλκεν.

37 »Καὶ ὁ πέμψας με Πατήρ, αὐτὸς[9] μεμαρτύρηκεν περὶ ἐμοῦ. Οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε[10] οὔτε εἶδος αὐτοῦ ἑωράκατε.[11] **38** Καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν ὑμῖν,[12] ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε. **39** Ἐρευνᾶτε[13] τὰς Γραφὰς ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν, καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ. **40** Καὶ οὐ θέλετε ἐλθεῖν πρός με ἵνα ζωὴν ἔχητε.

The Jews are accused by Moses

41 »Δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω. **42** Ἀλλ᾽[14] ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς. **43** Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε.[15] **44** Πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀνθρώπων[16] λαμβάνοντες καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε;

45 »Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν Πατέρα· ἔστιν ὁ κατηγορῶν ὑμῶν, Μωσῆς,[17] εἰς ὃν ὑμεῖς ἠλπίκατε. **46** Εἰ γὰρ ἐπιστεύετε Μωσεῖ,[18] ἐπιστεύετε ἂν ἐμοί, περὶ ἐμοῦ γὰρ[19] ἐκεῖνος ἔγραψεν. **47** Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασιν πιστεύσετε;»

---

[1] ζησονται **f**[35] A [98%] CP,HF,RP,OC,TR ¦ ζησουσιν **𝔓**[66,75]**א**B,D,W [2%] NU ¦ one other reading
[2] εδωκεν και τω υιω **f**[35] A,D [99.5%] CP,HF,RP,OC,TR ¦ ~ 2341 **𝔓**[66,75]B [0.4%] NU ¦ --- **א** ¦ ~ 234 ζωην 1 W
[3] και **f**[35] D [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75](**א**)A,B,N,W [1%] NU
[4] ακουσονται **f**[35] A,D [98.5%] CP,HF,RP,OC,TR ¦ ακουσουσιν **𝔓**[75]B [0.5%] NU ¦ ακουσωσιν **𝔓**[66]**א**N,W [1%]
[5] πατρος **f**[35] [80%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]**א**A,B,D,N,W [20%] NU
[6] αγαλλιαθηναι προς ωραν **f**[35] **𝔓**[66]**א**B,D,N [89.5%] HF,RP,OC,NU ¦ ~ 231 A,W [0.5%] CP ¦ αγαλλιασθηναι 23 [10%] TR
[7] εδωκεν **f**[35] A,D [95%] CP,HF,RP,OC,TR ¦ δεδωκεν **𝔓**[66]**א**B,N,W [5%] NU
[8] εγω **f**[35] [96%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]**א**A,B,D,N,W [4%] NU
[9] αυτος **f**[35] **𝔓**[66]A,N (98.1%) CP,HF,RP,OC,TR ¦ εκεινος **𝔓**[75,95]**א**B,W (0.8%) NU ¦ εκεινος 1 D (0.1%) ¦ --- (0.1%) ¦ long omissions (0.8%)
[10] ακηκοατε πωποτε **f**[35] [95%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[(66)75v]**א**A,B,D,N,W [5%] NU
[11] εωρακατε *rell* ¦ εορακατε **𝔓**[75]N [10%] ¦ εωρακαται **𝔓**[66]
[12] μενοντα εν υμιν **f**[35] A,D [96%] CP,HF,RP,OC,TR ¦ ~ 231 **𝔓**[66,75]**א**B,N,W [3%] NU ¦ ~ 23 οντα [1%]
[13] ερευνατε **f**[35] A,D,W [99.6%] CP,HF,RP,OC,TR ¦ εραυνατε **𝔓**[66]**א**B [0.4%] NU ¦ εραυναται N
[14] αλλ **f**[35] **𝔓**[66]**א**A,N [99.5%] CP,HF,RP,OC,TR ¦ αλλα **𝔓**[75]B,D,W [0.5%] NU
[15] ληψεσθε **f**[35] [97%] CP,HF,RP,OC,TR ¦ ληψεσθαι [2.2%] ¦ λημψεσθαι **א**A,D,W [0.5%] ¦ λημψεσθε **𝔓**[66,75]B,N [0.3%] NU
[16] ανθρωπων **f**[35] (22.6%) ¦ αλληλων **𝔓**[66,75]**א**A,B,D,N,W (77.2%) CP,HF,RP,OC,TR,NU ¦ long omissions (0.2%)
[17] μωσης **f**[35] A [96%] CP,HF,RP,TR ¦ μωυσης **𝔓**[66,75]**א**B,D,N,W [3%] OC,NU ¦ μωσεις [1%]
[18] μωσει **f**[35] **א**A [50%] CP,HF,TR ¦ μωση [47%] RP ¦ μωυση [2%] ¦ μωυσει **𝔓**[66,75]B,D,N,W [1%] OC,NU
[19] εμου γαρ **f**[35] D [25%] ¦ ~ 21 **𝔓**[66,75]**א**A,B,N,W [75%] CP,HF,RP,OC,TR,NU

Jesus is back in Galilee

6:1 Μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας, τῆς Τιβεριάδος. **2** Καὶ ἠκολούθει[1] αὐτῷ ὄχλος πολύς, ὅτι ἑώρων[2] αὐτοῦ[3] τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. **3** Ἀνῆλθεν δὲ εἰς τὸ ὄρος ὁ[4] Ἰησοῦς καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ. **4** (Ἦν δὲ ἐγγὺς τὸ Πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων.)

Food for 15,000

5 Ἐπάρας οὖν ὁ Ἰησοῦς τοὺς ὀφθαλμούς,[5] καὶ θεασάμενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτόν, λέγει πρὸς τὸν[6] Φίλιππον, «Πόθεν ἀγοράσομεν[7] ἄρτους ἵνα φάγωσιν οὗτοι;» **6** Τοῦτο δὲ ἔλεγεν πειράζων αὐτόν, αὐτὸς γὰρ ᾔδει τί ἤμελλεν[8] ποιεῖν. **7** Ἀπεκρίθη αὐτῷ[9] Φίλιππος, «Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς, ἵνα ἕκαστος αὐτῶν[10] βραχύ τι[11] λάβῃ.» **8** Λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἀνδρέας, ὁ[12] ἀδελφὸς Σίμωνος Πέτρου, **9** «Ἔστιν παιδάριον ἓν[13] ὧδε[14] ὃ[15] ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο ὀψάρια, ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους;»

10 Εἶπεν δὲ[16] ὁ Ἰησοῦς, «Ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν.» Ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ· ἀνέπεσον[17] οὖν[18] οἱ ἄνδρες,[19] τὸν ἀριθμὸν ὡσεὶ[20] πεντακισχίλιοι. **11** Ἔλαβεν δὲ[21] τοὺς ἄρτους ὁ Ἰησοῦς, καὶ εὐχαριστήσας διέδωκεν[22] τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ[23] τοῖς ἀνακειμένοις· ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων, ὅσον ἤθελον. **12** Ὡς δὲ ἐνεπλήσθησαν λέγει τοῖς μαθηταῖς αὐτοῦ, «Συναγάγετε τὰ περισσεύσαντα τῶν κλασμάτων,[24] ἵνα μή τι ἀπόληται.» **13** Συνήγαγον οὖν καὶ ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κριθίνων ἃ ἐπερίσσευσεν[25] τοῖς βεβρωκόσιν.

14 Οἱ οὖν ἄνθρωποι, ἰδόντες ὃ ἐποίησεν σημεῖον ὁ Ἰησοῦς,[26] ἔλεγον ὅτι «Οὗτός ἐστιν

---

[1] και ηκολουθει **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ ~ 2 δε **𝔓**[66,75v]**א**B,D,N,W [3%] NU

[2] εωρων **f**[35] **𝔓**[66]**א** (94%) CP,HF,RP,OC,TR ¦ εωρουν (1.5%) ¦ εθεωρουν B,D,N (2.6%) NU ¦ εθεωρων **𝔓**[75]A (0.5%) ¦ εωρακεν (1.1%) ¦ θεωρουντες W (0.1%) ¦ three other variants (0.2%)

[3] αυτου **f**[35] N [80%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]**א**A,B,D,W [20%] NU

[4] ο **f**[35] A,N [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]**א**B,D,W [1%] NU

[5] ο ιησους τους οφθαλμους **f**[35] [90%] CP,HF,RP,OC,TR ¦ ~ 3412 **𝔓**[66]A,B,D,N,W [9%] NU ¦ ~ 342 **א** ¦ 34 [1%]

[6] τον **f**[35] A [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]**א**B,D,N,W [1%] NU

[7] αγορασομεν **f**[35] [60%] CP,HF,RP,TR ¦ αγορασωμεν **𝔓**[66]**א**A,B,D,N,W [40%] OC,NU

[8] ημελλεν **f**[35] **𝔓**[66]D [50%] CP ¦ εμελλεν **𝔓**[75]**א**A,B,N,W [50%] HF,RP,OC,TR,NU

[9] αυτω **f**[35] **𝔓**[75]A,B,D [99.5%] CP,HF,RP,OC,TR ¦ 1 ο **𝔓**[66]**א**N,W [0.5%] [NU]

[10] αυτων **f**[35] D [97%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]**א**A,B,N,W [3%] NU

[11] τι **f**[35] **𝔓**[66]**א**A,N,W [99.7%] CP,HF,RP,OC,TR[NU] ¦ --- **𝔓**[75]B,D [0.3%]

[12] ο *rell* ¦ --- [1%] CP

[13] εν **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]**א**B,D,N,W [3%] NU

[14] ὦδε *rell* ¦ ὧδε **f**[35] (I include this information for the record and so as not to lose sight of it, but since there is apparently no difference in meaning, I stay with the conventional pointing. However, in most manuscripts the difference between ὦδε and ᾧ δε is not clear, and the expedient adopted by **f**[35] removes the ambiguity. A similar statement obtains wherever the word occurs.)

[15] ο **f**[35] **א**N [97%] CP,HF,RP,TR ¦ ος **𝔓**[66]A,B,D,W [3%] OC,NU ¦ two other readings

[16] δε **f**[35] A,N,W [99%] CP,HF,RP,OC,TR ¦ ουν **𝔓**[66]D [0.5%] ¦ --- **𝔓**[75v]**א**B [0.5%] NU

[17] ανεπεσον **f**[35] [70%] CP,HF,RP,OC,TR ¦ ανεπεσαν **𝔓**[66]**א**A,B,D,N,W [30%] NU

[18] ουν *rell* ¦ --- [30%]

[19] οι ανδρες **f**[35] **א**B (83.5%) CP,HF,RP,OC,TR,NU ¦ 2 **𝔓**[66,75]D,W (8.1%) ¦ 1 ανθρωποι 2 A (8.1%) ¦ 1 ανθρωποι (0.3%) ¦ ~ τον αριθμον 2 N

[20] ωσει **f**[35] **𝔓**[66]A [99%] CP,HF,RP,OC,TR ¦ ως **𝔓**[75]**א**B,D,N,W [1%] NU

[21] δε **f**[35] **א**N [97%] CP,HF,RP,OC,TR ¦ ουν **𝔓**[28,66]A,B,D,W [1%] NU ¦ ~ και [2%]

[22] διεδωκεν **f**[35] **𝔓**[75]A,B,W (83.4%) CP,HF,RP,OC,TR,NU ¦ δεδωκεν (7.2%) ¦ εδωκεν **𝔓**[28,66](**א**D)N (8.9%) ¦ διαδεδωκε (0.3%) ¦ three other variants (0.2%)

[23] τοις μαθηταις οι δε μαθηται **f**[35] D [97%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75v]**א**A,B,N,W [3%] NU [an easy case of homoioarcton]

[24] των κλασματων **f**[35] N [25%] ¦ κλασματα **𝔓**[75]**א**A,B [75%] CP,HF,RP,OC,TR,NU

[25] επερισσευσεν **f**[35] **א**A [99.5%] CP,HF,RP,OC,TR ¦ επερισσευσαν **𝔓**[75]B,D,W [0.5%] NU ¦ επεριεσευσεν N

[26] ο εποιησεν σημειον ο ιησους **f**[35] A(N) (89.4%) CP,HF,RP,OC,TR ¦ ~ 13245 (1.6%) ¦ ~ 12453 (1%) ¦ ~ 31245

ἀληθῶς ὁ Προφήτης ὁ ἐρχόμενος εἰς τὸν κόσμον.» **15** Ἰησοῦς οὖν, γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι καὶ ἁρπάζειν αὐτὸν ἵνα ποιήσωσιν αὐτὸν[1] βασιλέα, ἀνεχώρησεν πάλιν[2] εἰς τὸ ὄρος αὐτὸς μόνος.

Jesus walks on water

16 Ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ μαθηταὶ αὐτοῦ ἐπὶ τὴν θάλασσαν, **17** καὶ ἐμβάντες εἰς τὸ[3] πλοῖον ἤρχοντο πέραν τῆς θαλάσσης εἰς Καπερναούμ.[4] Καὶ σκοτία ἤδη ἐγεγόνει, καὶ οὐκ[5] ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς. **18** Ἥ τε θάλασσα ἀνέμου μεγάλου πνέοντος διηγείρετο.[6] **19** Ἐληλακότες οὖν ὡς σταδίους εἴκοσι πέντε ἢ τριάκοντα, θεωροῦσιν τὸν Ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης καὶ ἐγγὺς τοῦ πλοίου γινόμενον, καὶ ἐφοβήθησαν. **20** Ὁ δὲ λέγει αὐτοῖς, «Ἐγώ εἰμι· μὴ φοβεῖσθε.» **21** Ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθέως τὸ πλοῖον ἐγένετο[7] ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον.

22 Τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς θαλάσσης, ἰδὼν[8] ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ εἰ μὴ ἕν, ἐκεῖνο εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ,[9] καὶ ὅτι οὐ συνεισῆλθεν τοῖς μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς εἰς τὸ πλοιάριον[10] ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον—**23** ἄλλα δὲ[11] ἦλθεν[12] πλοιάρια[13] ἐκ Τιβεριάδος ἐγγὺς τοῦ τόπου ὅπου ἔφαγον τὸν ἄρτον, εὐχαριστήσαντος τοῦ Κυρίου —**24** ὅτε οὖν εἶδεν ὁ ὄχλος ὅτι Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, ἐνέβησαν[14] αὐτοὶ εἰς τὰ πλοῖα[15] καὶ ἦλθον εἰς Καπερναούμ, ζητοῦντες τὸν Ἰησοῦν. **25** Καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης, εἶπον αὐτῷ, «Ῥαββί, πότε ὧδε γέγονας;»

The Bread of Life

26 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν· «Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με, οὐχ ὅτι εἴδετε[16] σημεῖα, ἀλλ᾽ ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε. **27** Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ Υἱὸς τοῦ Ἀνθρώπου ὑμῖν δώσει· τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός.» **28** Εἶπον οὖν πρὸς αὐτόν, «Τί ποιῶμεν[17] ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ;» **29** Ἀπεκρίθη[18] Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, «Τοῦτό ἐστιν τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε[19] εἰς ὃν ἀπέστειλεν ἐκεῖνος.» **30** Εἶπον οὖν αὐτῷ· «Τί οὖν ποιεῖς σὺ[20] σημεῖον ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; Τί ἐργάζῃ; **31** Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ

(0.8%) ¦ ~ το 31245 (5.7%) ¦ 1245 (0.3%) ¦ α 2 σημεια 45 (0.3%) ¦ 123 אD,W (0.5%) NU ¦ α 2 σημεια 𝔓[75]B (0.3%) ¦ two other variants (0.1%)

[1] αυτον **f**[35] D(N) [97%] CP,HF,RP,OC,TR ¦ --- 𝔓[75]אA,B,W [3%] NU

[2] παλιν **f**[35] 𝔓[75]אA,B,D,N [50%] OC,TR,NU ¦ --- W [50%] HF,RP ¦ ~ παλιν ανεχωρησεν CP

[3] το **f**[35] A,D,N,W [99%] CP,HF,RP,OC,TR ¦ --- 𝔓[75]אB [1%] NU

[4] καπερναουμ **f**[35] A [99%] CP,HF,RP,OC,TR ¦ καφαρναουμ 𝔓[75]אB,D,N,W [1%] NU

[5] ουκ **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ ουπω 𝔓[75]אB,D,N,W [3%] NU

[6] διηγειρετο **f**[35] אA,D,N,W [98%] CP,HF,RP,OC,TR ¦ διεγειρετο 𝔓[28]B [2%] NU

[7] το πλοιον εγενετο **f**[35] א(D) [95%] CP,HF,RP,OC,TR ¦ ~ 312 𝔓[75]A,B,N,W [5%] NU

[8] ιδων **f**[35] [98%] CP,HF,RP,OC,TR ¦ ειδον 𝔓[75]A,B [1%] NU ¦ ειδεν 𝔓[28]אD [0.5%] ¦ ιδον N,W [0.5%]

[9] εκεινο εις ο ενεβησαν οι μαθηται αυτου **f**[35] (77.2%) CP,HF,RP,OC,TR ¦ 234567 D (1.9%) ¦ 134567 (0.7%) ¦ 12 ον 4567 (2%) ¦ 123 ανεβησαν 567 (12.9%) ¦ 123456 του ιησου א (0.9%) ¦ --- 𝔓[75]A,B,N,W (4.2%) NU ¦ long omissions (0.2%) [homoioteleuton]

[10] πλοιαριον **f**[35] [95%] CP,HF,RP,OC,TR ¦ πλοιον 𝔓[75]A,B,D,N,W [5%] NU ¦ πλοιαν א

[11] δε **f**[35] A(N)W (98.9%) CP,HF,RP,OC,TR ¦ --- 𝔓[75]B(D) (0.7%) NU ¦ ουν א (alone) ¦ two other readings (0.4%)

[12] ηλθεν **f**[35] 𝔓[75]A,B,W (84.7%) CP,HF,RP,OC,TR,NU ¦ ηλθον N (13.8%) ¦ ην (0.4%) ¦ --- (0.5%) ¦ ελθοντων D (alone) ¦ απελθοντων א (alone) ¦ four other variants (0.5%)

[13] πλοιαρια **f**[35] A,N (98.5%) CP,HF,RP,OC,TR[NU] ¦ πλοια 𝔓[75]B,W (1.4%) ¦ πλοιων א (alone) ¦ πλοιαρειων D (alone)

[14] ενεβησαν **f**[35] A,B,N,W (79.5%) CP,HF,RP,OC,NU ¦ 1 και (4.9%) TR ¦ ανεβησαν 𝔓[75]א (13.1%) ¦ ανεβησαν και (1.8%) ¦ ελαβον D (0.6%) (א 4.3% omit αυτοι)

[15] τα πλοια **f**[35] A [98%] CP,HF,RP,OC,TR ¦ 1 πλοιαρια 𝔓[75]B(D)N,W [2%] NU ¦ το πλοιον א

[16] ειδετε *rell* ¦ ιδετε A,N [25%] ¦ ειδατε D

[17] ποιωμεν *rell* ¦ ποιουμεν [3%] some TRs ¦ ποιησωμεν W [1%] ¦ two other readings

[18] απεκριθη **f**[35] 𝔓[75]אW [70%] CP,HF,RP,OC ¦ 1 ο A,B,D,N [30%] TR[NU]

[19] πιστευσητε **f**[35] [98.5%] CP,HF,RP,OC,TR ¦ πιστευητε 𝔓[75]A,B,N [1%] NU ¦ πιστευσηται D,W ¦ πιστευηται א

[20] συ *rell* ¦ --- W [10%] ¦ σοι D

ἐρήμῳ, καθώς ἐστιν γεγραμμένον· ‹Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν.› »

32 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· «Ἀμήν, ἀμὴν λέγω ὑμῖν, οὐ Μωσῆς[1] δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ᾽ ὁ Πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν. **33** Ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.» **34** Εἶπον οὖν πρὸς αὐτόν, «Κύριε, πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον.» **35** Εἶπεν δὲ[2] αὐτοῖς ὁ Ἰησοῦς· «Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. Ὁ ἐρχόμενος πρός με[3] οὐ μὴ πεινάσῃ, καὶ ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ διψήσῃ[4] πώποτε. **36** Ἀλλ᾽ εἶπον ὑμῖν ὅτι καὶ ἑωράκατέ με,[5] καὶ οὐ πιστεύετε. **37** Πᾶν ὃ δίδωσίν μοι ὁ Πατὴρ πρὸς ἐμὲ ἥξει, καὶ τὸν ἐρχόμενον πρός με[6] οὐ μὴ ἐκβάλω[7] ἔξω. **38** Ὅτι καταβέβηκα ἐκ[8] τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. **39** Τοῦτο δέ ἐστιν τὸ θέλημα τοῦ πέμψαντός με Πατρός,[9] ἵνα πᾶν ὃ δέδωκέν μοι μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ[10] ἀναστήσω αὐτὸ[11] ἐν[12] τῇ ἐσχάτῃ ἡμέρᾳ. **40** Τοῦτο δέ[13] ἐστιν τὸ θέλημα τοῦ πέμψαντός με,[14] ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον, καὶ ἀναστήσω αὐτὸν ἐγὼ[15] τῇ ἐσχάτῃ ἡμέρᾳ.»

41 Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ ὅτι εἶπεν, «Ἐγώ εἰμι ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ.» **42** Καὶ ἔλεγον· «Οὐχ οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσήφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; Πῶς οὖν[16] λέγει οὗτος[17] ὅτι ‹Ἐκ τοῦ οὐρανοῦ καταβέβηκα;› »

43 Ἀπεκρίθη οὖν[18] ὁ[19] Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· «Μὴ γογγύζετε μετ᾽ ἀλλήλων. **44** Οὐδεὶς δύναται ἐλθεῖν πρός με ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν, καὶ ἐγὼ[20] ἀναστήσω αὐτὸν ἐν[21] τῇ ἐσχάτῃ ἡμέρᾳ. **45** Ἔστιν γεγραμμένον ἐν τοῖς Προφήταις, ‹Καὶ ἔσονται πάντες διδακτοὶ[22] Θεοῦ.› Πᾶς οὖν[23] ὁ ἀκούων[24] παρὰ τοῦ Πατρὸς καὶ μαθὼν ἔρχεται πρός με.[25] **46** (Οὐχ ὅτι τὸν Πατέρα τις ἑώρακεν,[26] εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ—οὗτος ἑώρακεν τὸν Πατέρα.) **47** Ἀμήν, ἀμὴν λέγω ὑμῖν· ὁ πιστεύων εἰς ἐμὲ[27] ἔχει ζωὴν αἰώνιον.

48 »Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. **49** Οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ,[28] καὶ

---

[1] μωσης **f**[35] A [50%] CP,RP,TR ¦ μωυσης **𝔓**[75]א**B**,W [50%] HF,OC,NU
[2] δε **f**[35] A [99%] CP,HF,RP,OC,TR ¦ --- B,W [0.5%] NU ¦ ουν א**D** [0.5%]
[3] με **f**[35] A,D,W [99.8%] CP,HF,RP,OC,TR ¦ εμε **𝔓**[75]א**B** [0.2%] NU
[4] διψηση **f**[35] [95%] CP,HF,RP,OC,TR ¦ διψησει **𝔓**[66]א**A**,B,W [5%] NU ¦ διψασει D
[5] με **f**[35] **𝔓**[66]B,D,W [99.9%] CP,HF,RP,OC,TR[NU] ¦ --- א**A** [alone]
[6] με **f**[35] A,B,D,W [97%] CP,HF,RP,OC,TR ¦ εμε **𝔓**[66,75]א [3%] NU
[7] εκβαλω *rell* ¦ εκβαλλω [2%] CP
[8] εκ **f**[35] א**D** [98%] CP,HF,RP,OC,TR ¦ απο **𝔓**[66]A,B,W [2%] NU
[9] πατρος **f**[35] [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75](א)A,B(C)D,W [2%] NU
[10] αλλα *rell* ¦ αλλ D [10%] CP
[11] αυτο **f**[35] **𝔓**[66,75]א**A**,B,C,D [50%] CP,RP,OC,TR,NU ¦ αυτον N,W [50%] HF
[12] εν **f**[35] א**A**,D,N [60%] CP,OC,TR[NU] ¦ --- **𝔓**[66,75]B,C,W [40%] HF,RP
[13] δε **f**[35] [85%] CP,HF,RP,OC,TR ¦ γαρ א**A**,B,C,D,N,W [13%] NU ¦ --- **𝔓**[(66)75] [2%]
[14] πεμψαντος με **f**[35] A [90%] CP,HF,RP,OC,TR ¦ πατρος μου **𝔓**[66,75]א**B**,C,D,N,W [6%] NU ¦ --- [2%] ¦ 12 πατρος [2%]
[15] εγω **f**[35] **𝔓**[75]B,C,W [80%] CP,HF,RP,OC,TR ¦ 1 εν א**N** [18%] [NU] ¦ εν **𝔓**[66]A,D [1%] ¦ --- [1%]
[16] ουν **f**[35] **𝔓**[66]א**A**,D,N (98.9%) CP,HF,RP,OC,TR ¦ νυν **𝔓**[75]B,C,T,W (0.6%) NU ¦ --- (0.3%) ¦ three other variants (0.2%)
[17] λεγει ουτος **f**[35] A(W) (93.1%) CP,HF,RP,OC,TR ¦ 1 ουτως (0.9%) ¦ 1 αυτος (0.8%) ¦ ~ 21 א**N** (0.4%) ¦ 1 **𝔓**[66,75]B,C,T (4.8%) NU ¦ 1 εαυτον D (alone)
[18] ουν **f**[35] א**A**,D,N,W [97%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]B,C [3%] NU
[19] ο **f**[35] **𝔓**[66]A,C,D,N,W [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[75]א**B** [2%] NU
[20] και εγω **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ καγω **𝔓**[66,75]א**B**,C,D,N(W) [3%] NU
[21] εν **f**[35] **𝔓**[66]A,B,C,D,N,W [90%] HF,RP,NU ¦ --- **𝔓**[75]א [10%] CP,OC,TR
[22] διδακτοι *rell* ¦ 1 του [10%] TR
[23] ουν **f**[35] A [98%] CP,HF,RP,TR ¦ --- **𝔓**[66,75]א**B**,C,D,N,W [2%] OC,NU
[24] ακουων **f**[35] D [85%] CP,HF,RP,OC ¦ ακουσας **𝔓**[66,75]א**A**,B,C,N,W [15%] TR,NU
[25] με **f**[35] **𝔓**[66]A,C,D,N,W [99.5%] CP,HF,RP,OC,TR ¦ εμε **𝔓**[75]א**B** [0.5%] NU
[26] τις εωρακεν **f**[35] A [99%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[66]א(B)C,D(N)(W) [1%] NU
[27] εις εμε **f**[35] A,C,D,N (99.5%) CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]א**B**,T,W (0.5%) NU
[28] το μαννα εν τη ερημω **f**[35] **𝔓**[66]א**A** [99.5%] CP,HF,RP,OC,TR ¦ ~ 34512 B,C,D,W [0.5%] NU

ἀπέθανον. **50** Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ. **51** Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. Ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται[1] εἰς τὸν αἰῶνα. Καί, ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.»[2]

Chew flesh, drink blood

52 Ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι[3] λέγοντες, «Πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα[4] φαγεῖν;» **53** Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· «Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ Ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. **54** Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ[5] ἀναστήσω αὐτὸν[6] τῇ ἐσχάτῃ ἡμέρᾳ. **55** Ἡ γὰρ σάρξ μου ἀληθῶς[7] ἐστιν βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς[8] ἐστιν πόσις. **56** Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ. **57** Καθὼς ἀπέστειλέν με ὁ ζῶν Πατὴρ κἀγὼ ζῶ διὰ τὸν Πατέρα, καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται[9] δι᾽ ἐμέ. **58** Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ[10] οὐρανοῦ καταβάς—οὐ καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν[11] τὸ μάννα[12] καὶ ἀπέθανον· ὁ τρώγων μου[13] τοῦτον τὸν ἄρτον ζήσεται[14] εἰς τὸν αἰῶνα.» **59** Ταῦτα εἶπεν ἐν συναγωγῇ διδάσκων ἐν Καπερναούμ.[15]

Jesus loses many followers

60 Πολλοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ εἶπον·[16] «Σκληρός ἐστιν οὗτος ὁ λόγος·[17] τίς δύναται αὐτοῦ ἀκούειν;» **61** Εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ ὅτι γογγύζουσιν περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς· «Τοῦτο ὑμᾶς σκανδαλίζει; **62** Ἐὰν οὖν θεωρῆτε[18] τὸν Υἱὸν τοῦ Ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον; **63** Τὸ Πνεῦμά ἐστιν τὸ ζωοποιοῦν· ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ[19] ὑμῖν πνεῦμά ἐστιν, καὶ ζωή ἐστιν. **64** Ἀλλ᾽ εἰσὶν ἐξ ὑμῶν τινες οἳ οὐ πιστεύουσιν.» (Ἤδει γὰρ ἐξ ἀρχῆς ὁ Ἰησοῦς τίνες εἰσὶν οἱ μὴ πιστεύοντες, καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν.) **65** Καὶ ἔλεγεν, «Διὰ τοῦτο εἴρηκα ὑμῖν ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρός με ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ Πατρός μου.»[20]

66 Ἐκ τούτου πολλοὶ ἀπῆλθον τῶν μαθητῶν αὐτοῦ[21] εἰς τὰ ὀπίσω καὶ οὐκέτι μετ᾽ αὐτοῦ περιεπάτουν. **67** Εἶπεν οὖν ὁ Ἰησοῦς τοῖς δώδεκα, «Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;» **68** Ἀπεκρίθη

---

[1] ζησεται **f**[35] **𝔓**[66]B,C [99%] CP,HF,RP,OC,TR ¦ ζησει אD,W [1%] NU

[2] η σαρξ μου εστιν ην εγω δωσω υπερ της του κοσμου ζωης **f**[35] [99%] CP,HF,RP,OC,TR ¦ 1 4,8 12 **𝔓**[66,75v]B,C,D,W [1%] NU ¦ ~ 8-12,1-4 א

[3] προς αλληλους οι ιουδαιοι *rell* ¦ ~ 3412 C,D [3%] CP

[4] σαρκα **f**[35] אC,D,W [99.7%] CP,HF,RP,OC,TR ¦ 1 αυτου **𝔓**[66]B [0.3%] [NU]

[5] και εγω **f**[35] [95%] CP,HF,RP,OC,TR ¦ καγω **𝔓**[66,75]אA,B,C,D,W [5%] NU

[6] αυτον **f**[35] **𝔓**[66,75]אA,B,D,W [75%] CP,HF,RP,TR,NU ¦ 1 εν C [25%] OC

[7] αληθως **f**[35] **𝔓**[66](א)(D) (74.3%) CP,HF,RP,OC,TR ¦ αληθης **𝔓**[75]B,C,T,W (24.5%) NU ¦ long omissions (1.2%) [homoioteleuton]

[8] αληθως **f**[35] **𝔓**[66] (74.7%) CP,HF,RP,OC,TR ¦ αληθης **𝔓**[75]B,C,T,W (22.9%) NU ¦ --- (א)(D) (1.2%) ¦ long omissions (1.2%) [homoioteleuton]

[9] ζησεται **f**[35] **𝔓**[66] W [90%] CP,HF,RP,OC,TR ¦ ζησει **𝔓**[75]אB,N [10%] NU ¦ ζη C,D

[10] εκ του **f**[35] **𝔓**[66]אD,N,W (99.6%) CP,HF,RP,OC,TR ¦ εξ **𝔓**[75]B,C,T (0.4%) NU

[11] υμων **f**[35] אD,N (94%) CP,HF,RP,OC,TR ¦ ημων (5.4%) ¦ --- **𝔓**[66,75]B,C,T,W (0.6%) NU

[12] το μαννα **f**[35] N (92.3%) CP,HF,RP,OC,TR ¦ 12 εν τη ερημω (6.7%) ¦ --- **𝔓**[66,75]אB,C,D,T,W (1%) NU

[13] μου **f**[35] [30%] CP ¦ --- **𝔓**[66,75]אA,B,C,D,N,W [70%] HF,RP,OC,TR,NU

[14] ζησεται **f**[35] **𝔓**[66] D [85%] CP,HF,RP,OC,TR ¦ ζησει **𝔓**[75]אB,C,N [15%] NU ¦ ζηση (W)

[15] καπερναουμ **f**[35] N [99%] CP,HF,RP,OC,TR ¦ καφαρναουμ **𝔓**[66,75]אA,B,C(D)W [1%] NU

[16] ειπον *rell* ¦ ειπαν (D) NU

[17] ουτος ο λογος **f**[35] **𝔓**[75] [95%] CP,HF,RP,OC,TR ¦ ~ 231 **𝔓**[66]אB,C,D,N,W [5%] NU

[18] θεωρητε *rell* ¦ θεωρειτε [30%] ¦ θεωρησηται **𝔓**[66] ¦ ειδηται W ¦ θεωρηται N

[19] λαλω **f**[35] [90%] CP,HF,RP,OC,TR ¦ λελαληκα אB,C,D,N,W [10%] NU

[20] μου **f**[35] N [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]אB,C,D,W [1%] NU

[21] απηλθον των μαθητων αυτου **f**[35] [90%] CP,HF,RP,TR ¦ 1 εκ 234 OC [4%] ¦ ~ 2341 C,D,N,W [5%] ¦ ~ 231 א ¦ ~ εκ 2341 **𝔓**[66]B,T [1%] [NU] (According to *TuT* 4.6% have εκ, 95.4% do not, but the order of the surrounding words is not given.)

οὖν[1] αὐτῷ Σίμων Πέτρος· «Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; Ῥήματα ζωῆς αἰωνίου ἔχεις. **69** Καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν ὅτι σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς[2] τοῦ Θεοῦ τοῦ ζῶντος.»[3] **70** Ἀπεκρίθη αὐτοῖς·[4] «Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην; Καὶ ἐξ ὑμῶν εἷς διάβολός ἐστιν.» **71** Ἔλεγεν δὲ τὸν Ἰούδαν Σίμωνος Ἰσκαριώτην,[5] οὗτος γὰρ ἔμελλεν αὐτὸν παραδιδόναι,[6] εἷς ὢν[7] ἐκ τῶν δώδεκα.

Passover, 29 AD

7:1 Καὶ περιεπάτει ὁ Ἰησοῦς μετὰ ταῦτα[8] ἐν τῇ Γαλιλαίᾳ· οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι.

Jesus and His brothers

2 Ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ Σκηνοπηγία. **3** Εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· «Μετάβηθι ἐντεῦθεν καὶ ὕπαγε εἰς τὴν Ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεωρήσωσιν[9] τὰ ἔργα ἃ[10] ποιεῖς· **4** οὐδεὶς γὰρ ἐν κρυπτῷ τι[11] ποιεῖ καὶ ζητεῖ αὐτὸς ἐν παρρησίᾳ εἶναι. Εἰ ταῦτα ποιεῖς, φανέρωσον σεαυτὸν τῷ κόσμῳ.» **5** Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν.

6 Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· «Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν, ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος. **7** Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς, ἐμὲ δὲ μισεῖ ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστιν. **8** Ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτὴν ταύτην.[12] Ἐγὼ οὔπω[13] ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην, ὅτι ὁ καιρὸς ὁ ἐμὸς[14] οὔπω πεπλήρωται.» **9** Ταῦτα δὲ εἰπὼν αὐτοῖς[15] ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ.

Jesus leaves Galilee—the last six months of His public ministry

7:10 Ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτήν,[16] οὐ φανερῶς, ἀλλ᾽ ὡς[17] ἐν κρυπτῷ. **11** Οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτὸν ἐν τῇ ἑορτῇ καὶ ἔλεγον, «Ποῦ ἐστιν ἐκεῖνος;» **12** Καὶ γογγυσμὸς πολὺς περὶ αὐτοῦ ἦν[18] ἐν τοῖς ὄχλοις· οἱ μὲν ἔλεγον ὅτι «Ἀγαθός ἐστιν,» ἄλλοι[19] ἔλεγον, «Οὔ, ἀλλὰ πλανᾷ τὸν ὄχλον.» **13** Οὐδεὶς μέντοι παρρησίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν Ἰουδαίων.

---

[1] ουν **f**[35] [90%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]א B,C,N,W [10%] NU ¦ δε D

[2] ο χριστος ο υιος **f**[35] N (99.5%) CP,HF,RP,OC,TR ¦ 123 αγιος **𝔓**[66] ¦ 3 αγιος **𝔓**[75v]א B,C,D,W (0.5%) NU

[3] του θεου του ζωντος **f**[35] N (97.7%) CP,HF,RP,OC,TR ¦ 12 **𝔓**[66,75]א B,C,D,W (1.8%) NU ¦ 34 (0.5%)

[4] αυτοις **f**[35] [70%] CP,HF ¦ 1 ο ιησους **𝔓**[75] B,C,N [30%] RP,OC,TR,NU ¦ 1 ιησους **𝔓**[66] ¦ ιησους και ειπεν 1 א ¦ ο ιησους λεγων D

[5] ισκαριωτην **f**[35] N (96.3%) CP,HF,RP,OC,TR ¦ ισκαριωτου **𝔓**[66,75] B,C,W (2.8%) NU ¦ απο καρυωτου א (0.6%) ¦ ισκαριωτ (0.2%) ¦ σκαριωθ D

[6] εμελλεν αυτον παραδιδοναι **f**[35] (א) (80.2%) CP,HF,RP,OC ¦ ημελλεν 23 **𝔓**[66] (14.8%) TR ¦ ~ 132 **𝔓**[75] B,C,N,W (3%) NU ¦ ~ 213 (0.7%) ¦ ~ ημελλεν 32 D (0.7%) ¦ ~ 2 ημελλεν 3 (0.4%) ¦ two other variants (0.2%)

[7] ων **f**[35] **𝔓**[66]א N,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- B,C,D [0.5%] NU

[8] περιεπατει ο ιησους μετα ταυτα **f**[35] [90%] CP,HF,RP,OC,TR ¦ ~ 45123 **𝔓**[66,75]א A,C,D,W [10%] NU ¦ ~ 4513 B ¦ ~ 1 μετ αυτων 23 N

[9] θεωρησωσιν **f**[35] **𝔓**[66] [96%] CP,HF,RP,OC,TR ¦ θεωρησουσιν **𝔓**[75] B,D,N,W [4%] NU ¦ θεωρουσιν א

[10] τα εργα α **f**[35] א D [30%] ¦ 12 σου 3 N,W [67.5%] CP,HF,RP,OC,TR ¦ σου 123 **𝔓**[66,75] B [0.5%] NU ¦ 123 συ [2%]

[11] εν κρυπτω τι **f**[35] **𝔓**[66] D,W [95%] CP,HF,RP,OC,TR ¦ ~ 312 **𝔓**[75]א B,N [5%] NU

[12] ταυτην **f**[35] א [95%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75] B,D,N,W [5%] NU

[13] ουπω **f**[35] **𝔓**[66,75] B,N,T,W [96.5%] CP,HF,RP,OC,TR ¦ ουκ א D [3%] NU ¦ --- [0.5%]

[14] ο καιρος ο εμος **f**[35] [95%] CP,HF,RP,OC,TR ¦ ~ 342 **𝔓**[66,75] B,D,N,W [4.5%] NU ¦ ~ 42 א [0.5%]

[15] αυτοις **f**[35] **𝔓**[75] B,T (87.5%) CP,HF,RP,OC,TR ¦ αυτος **𝔓**[66]א D,N,W (8.3%) NU ¦ αυτου (0.5%) ¦ --- (3.4%) ¦ two other variants (0.2%)

[16] τοτε και αυτος ανεβη εις την εορτην **f**[35] D [95%] CP,HF,RP,OC,TR ¦ ~ 5671234 **𝔓**[66,75]א B,N,W [5%] NU

[17] αλλ ως **f**[35] N,W [99%] CP,HF,RP,OC,TR ¦ αλλα 2 **𝔓**[66,75] B [0.5%] [NU] ¦ 1 א D [0.5%]

[18] πολυς περι αυτου ην **f**[35] (89.3%) CP,HF,RP,OC,TR ¦ ~ 1423 א N (6.5%) ¦ ~ 2341 **𝔓**[75] B,T,W (1.5%) NU ¦ ~ 4123 (0.5%) ¦ ~ 2314 (0.4%) ¦ ~ 4231 (0.1%) ¦ 123 (0.4%) ¦ 124 (0.8%) ¦ ~ 423 **𝔓**[66] D (alone) ¦ 14 (0.3%) ¦ two other readings (0.1%)

[19] αλλοι **f**[35] **𝔓**[66]א D [95%] CP,HF,RP,OC ¦ 1 δε **𝔓**[75] B,N,W [5%] TR[NU]

Jesus teaches in the Temple

14 Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης, ἀνέβη ὁ[1] Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ ἐδίδασκεν. **15** Καὶ ἐθαύμαζον[2] οἱ Ἰουδαῖοι λέγοντες, «Πῶς οὗτος γράμματα οἶδεν, μὴ μεμαθηκώς;» **16** Ἀπεκρίθη οὖν[3] αὐτοῖς ὁ[4] Ἰησοῦς καὶ εἶπεν· «Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με. **17** Ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν ἢ ἐγὼ ἀπ᾽ ἐμαυτοῦ λαλῶ. **18** Ὁ ἀφ᾽ ἑαυτοῦ λαλῶν τὴν δόξαν τὴν ἰδίαν ζητεῖ, ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτόν, οὗτος ἀληθής ἐστιν, καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν.

Moses vs the Jews

19 »Οὐ Μωσῆς[5] δέδωκεν ὑμῖν τὸν νόμον; Καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον. Τί με ζητεῖτε ἀποκτεῖναι;» **20** Ἀπεκρίθη ὁ ὄχλος καὶ εἶπεν,[6] «Δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι;»

21 Ἀπεκρίθη[7] Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· «Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε. **22** Διὰ τοῦτο· Μωσῆς[8] δέδωκεν ὑμῖν τὴν περιτομήν (οὐχ ὅτι ἐκ τοῦ Μωσέως[9] ἐστίν, ἀλλ᾽ ἐκ τῶν πατέρων), καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον. **23** Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος Μωσέως,[10] ἐμοὶ χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ; **24** Μὴ κρίνετε κατ᾽ ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε.»[11]

Public opinion divided

25 Ἔλεγον οὖν τινες ἐκ τῶν Ἱεροσολυμιτῶν· «Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; **26** Καὶ ἴδε, παρρησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσιν. Μήποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες ὅτι οὗτός ἐστιν ἀληθῶς[12] ὁ Χριστός; **27** Ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν· ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστίν.»

28 Ἔκραξεν οὖν ἐν τῷ ἱερῷ διδάσκων ὁ Ἰησοῦς καὶ λέγων· «Κἀμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί· καὶ ἀπ᾽ ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ᾽ ἔστιν ἀληθινὸς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε. **29** Ἐγὼ[13] οἶδα αὐτὸν ὅτι παρ᾽ αὐτοῦ εἰμι, κἀκεῖνός με ἀπέστειλεν.» **30** Ἐζήτουν οὖν αὐτὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ᾽ αὐτὸν τὴν χεῖρα ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.

31 Πολλοὶ δὲ ἐκ τοῦ ὄχλου ἐπίστευσαν[14] εἰς αὐτόν, καὶ ἔλεγον ὅτι[15] «Ὁ Χριστὸς ὅταν ἔλθῃ, μήτι[16] πλείονα σημεῖα[17] ποιήσει ὧν οὗτος ἐποίησεν;» **32** Ἤκουσαν[18] οἱ Φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος περὶ αὐτοῦ ταῦτα, καὶ ἀπέστειλαν ὑπηρέτας οἱ Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς[19] ἵνα πιάσωσιν αὐτόν.

33 Εἶπεν οὖν[20] ὁ Ἰησοῦς· «Ἔτι μικρὸν χρόνον[21] μεθ᾽ ὑμῶν εἰμι, καὶ ὑπάγω πρὸς τὸν

---

[1] ο **f**[35] D,N,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]אB [0.5%] NU
[2] και εθαυμαζον **f**[35] N [98%] CP,HF,RP,OC,TR ¦ ~ 2 ουν **𝔓**[66,75]אB,D,W [2%] NU
[3] ουν *rell* ¦ --- D [20%] TR
[4] ο **f**[35] **𝔓**[66]D(N)W [99.5%] CP,HF,RP,OC,TR[NU] ¦ --- אB [0.5%]
[5] μωσης **f**[35] [90%] CP,HF,RP,TR ¦ μωυσης **𝔓**[66]אB,D,N,W [10%] OC,NU
[6] και ειπεν **f**[35] D,N [95%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]אB,W [1%] NU ¦ 1 ειπον αυτω [4%]
[7] απεκριθη *rell* ¦ 1 ο D,N,W [20%] TR
[8] μωσης **f**[35] [85%] CP,HF,RP,TR ¦ μωυσης **𝔓**[66,75](א)B(D)N,W [15%] OC,NU
[9] μωσεως **f**[35] אN [95%] CP,HF,RP,TR ¦ μωυσεως **𝔓**[66]B,D,W [5%] OC,NU
[10] μωσεως **f**[35] [85%] CP,HF,RP,TR ¦ μωυσεως **𝔓**[66,75]אB(D)N,W [15%] OC,NU
[11] κρινατε **f**[35] א [99%] CP,HF,RP,OC,TR ¦ κρινετε **𝔓**[66,75]B,N [1%] NU ¦ κρεινετε D ¦ κρινεται W
[12] αληθως **f**[35] [90%] HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]אB,D,N,W [10%] CP,NU
[13] εγω **f**[35] **𝔓**[75]B,W [75%] CP,HF,RP,OC,NU ¦ 1 δε **𝔓**[66]אD,N [25%] TR
[14] πολλοι δε εκ του οχλου επιστευσαν **f**[35] [93%] CP,HF,RP,OC,TR ¦ ~ 345216 **𝔓**[75v]B [0.5%] NU ¦ ~ 126345 **𝔓**[66]אD [0.5%] ¦ ~ 345 ουν 6 [5%] ¦ ~ 34516 [1%] ¦ ~ 34 ουν 516 W ¦ ~ 345 ου 16 N
[15] οτι **f**[35] [95%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]אB,D,N,W [5%] NU
[16] μητι **f**[35] N [95%] CP,HF,RP,OC,TR ¦ μη **𝔓**[66,75]אB,D,W [5%] NU
[17] σημεια **f**[35] **𝔓**[66,75]אB,D,N,W [40%] CP,NU ¦ 1 τουτων [55%] HF,RP,OC,TR ¦ τουτων 1 [5%]
[18] ηκουσαν *rell* ¦ 1 ουν N [15%] ¦ 1 δε **𝔓**[66]אD ¦ ~ και 1 [1%]
[19] υπηρετας οι φαρισαιοι και οι αρχιερεις **f**[35] [80%] CP,HF,RP,OC ¦ ~ 234561 [10%] TR ¦ ~ 564231 **𝔓**[75](B)N,W [10%] NU ¦ ~ 126453 **𝔓**[66]D ¦ ~ τους 126453 א
[20] ουν *rell* ¦ 1 αυτοις [5%] TR
[21] μικρον χρονον **f**[35] (D)N [98%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[66,75]א(B)W [2%] NU

πέμψαντά με. **34** Ζητήσετέ με καὶ οὐχ εὑρήσετε·[1] καί, ὅπου εἰμὶ ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν.» **35** Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς· «Ποῦ οὗτος μέλλει πορεύεσθαι ὅτι ἡμεῖς οὐχ εὑρήσομεν αὐτόν; Μὴ εἰς τὴν διασποράν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι καὶ διδάσκειν τοὺς Ἕλληνας; **36** Τίς ἐστιν οὗτος ὁ λόγος[2] ὃν εἶπεν, ‹Ζητήσετέ με καὶ οὐχ εὑρήσετε·[3] καί, ὅπου εἰμὶ ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν›;»

The last day of the feast

37 Ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς, εἱστήκει ὁ Ἰησοῦς καὶ ἔκραξεν, λέγων· «Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω. **38** Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.» **39** (Τοῦτο δὲ εἶπεν περὶ τοῦ Πνεύματος, ὃ[4] ἤμελλον[5] λαμβάνειν οἱ πιστεύοντες[6] εἰς αὐτόν, οὔπω γὰρ ἦν Πνεῦμα Ἅγιον[7] ὅτι[8] Ἰησοῦς οὐδέπω ἐδοξάσθη.)

40 Πολλοὶ οὖν ἐκ τοῦ ὄχλου[9] ἀκούσαντες τὸν λόγον[10] ἔλεγον, «Οὗτός ἐστιν ἀληθῶς ὁ Προφήτης.» **41** Ἄλλοι ἔλεγον, «Οὗτός ἐστιν ὁ Χριστός.» Ἄλλοι ἔλεγον·[11] «Μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται; **42** Οὐχὶ[12] ἡ Γραφὴ εἶπεν ὅτι ἐκ τοῦ σπέρματος Δαυίδ, καὶ ἀπὸ Βηθλεέμ, τῆς κώμης ὅπου ἦν Δαυίδ, ὁ Χριστὸς ἔρχεται;»[13] **43** Σχίσμα οὖν ἐν τῷ ὄχλῳ ἐγένετο[14] δι᾽ αὐτόν. **44** Τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτόν, ἀλλ᾽ οὐδεὶς ἐπέβαλεν ἐπ᾽ αὐτὸν τὰς χεῖρας.

The operatives are empty-handed

45 Ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ Φαρισαίους, καὶ εἶπον αὐτοῖς ἐκεῖνοι, «Διὰ τί οὐκ ἠγάγετε αὐτόν;» **46** Ἀπεκρίθησαν οἱ ὑπηρέται, «Οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος[15] ὡς οὗτος ὁ ἄνθρωπος.»[16] **47** Ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ Φαρισαῖοι· «Μὴ καὶ ὑμεῖς πεπλάνησθε; **48** Μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν ἢ ἐκ τῶν Φαρισαίων; **49** Ἀλλ᾽[17] ὁ ὄχλος οὗτος, ὁ μὴ γινώσκων τὸν νόμον, ἐπικατάρατοί[18] εἰσιν.»

50 Λέγει Νικόδημος πρὸς αὐτούς (ὁ ἐλθὼν νυκτὸς πρὸς αὐτόν,[19,20] εἷς ὢν ἐξ αὐτῶν), **51** «Μὴ

---

[1] ευρησετε **f**[35] **𝔓**[66]אD,W [99.5%] CP,HF,RP,OC,TR ¦ 1 με **𝔓**[75]B,N [0.5%] [NU]

[2] ουτος ο λογος **f**[35] א [90%] CP,HF,RP,OC,TR ¦ ~ 231 **𝔓**[66,75v]B,D,N,W [10%] NU

[3] ευρησετε **f**[35] **𝔓**[66]אD,N,W [99.5%] CP,HF,RP,OC,TR ¦ 1 με **𝔓**[75]B [0.5%] [NU]

[4] ο **f**[35] **𝔓**[75]B [30%] NU ¦ ου **𝔓**[66]אD,N,W [70%] CP,HF,RP,OC,TR

[5] ημελλον **f**[35] א [50%] ¦ εμελλον **𝔓**[66,75]B,D,N [50%] CP,HF,RP,OC,TR,NU ¦ --- W

[6] πιστευοντες **f**[35] אD,N [99.5%] CP,HF,RP,OC,TR ¦ πιστευσαντες **𝔓**[66]B,W [0.5%] NU

[7] αγιον **f**[35] **𝔓**[66]N,W (97.1%) CP,HF,RP,OC,TR ¦ --- **𝔓**[75]אT (1.9%) NU ¦ 1 δεδομενον B (0.7%) ¦ 1 επ αυτοις D (alone) ¦ four other variants (0.3%)

[8] οτι *rell* ¦ 1 ο [15%] TR

[9] πολλοι ουν εκ του οχλου **f**[35] N [97.5%] CP,HF,RP,OC,TR ¦ ~ 3452 **𝔓**[75]אB,D,W [2%] NU ¦ 1345 οι **𝔓**[66] ¦ four other variants

[10] τον λογον **f**[35] (53.2%) CP,HF,RP,OC,TR ¦ των λογων (18.5%) ¦ 12 αυτου (8.7%) ¦ 12 τουτον (7.8%) ¦ των λογων αυτου W (5.7%) ¦ των λογων τουτων **𝔓**[75]B,N,T (5.1%) NU ¦ αυτου των λογων τουτων **𝔓**[66]אD ¦ --- (0.5%) ¦ five further variants (0.4%)

[11] αλλοι ελεγον **f**[35] **𝔓**[66]א(D) [85%] CP,HF,RP,OC ¦ 1 δε 2 [10%] TR ¦ οι δε 2 **𝔓**[75]B,N,W [2%] NU ¦ --- [3%]

[12] ουχι **f**[35] א(D,W) [99.5%] CP,HF,RP,OC,TR ¦ ουχ **𝔓**[66,75] [0.5%] NU ¦ ουκ B,N

[13] ο χριστος ερχεται **f**[35] **𝔓**[66]א(D) (97.1%) CP,HF,RP,OC,TR ¦ ~ 312 **𝔓**[75]B,T,W (0.8%) NU ¦ 12 ερχετε N ¦ 3 (0.5%) ¦ long omissions (1.6%)

[14] εν τω οχλω εγενετο **f**[35] [99%] CP,HF,RP,OC,TR ¦ ~ 4123 **𝔓**[66,75]אB,N,W [1%] NU ¦ ~ 4 εις τον οχλον D

[15] ουτως ελαλησεν ανθρωπος **f**[35] [98%] CP,HF,RP,OC,TR ¦ ~ 132 **𝔓**[66]אD ¦ ~ 213 **𝔓**[75]B,N,W [1%] NU ¦ two other readings

[16] ως ουτος ο ανθρωπος **f**[35] (97.9%) CP,HF,RP,OC,TR ¦ ~ 1342 (0.4%) ¦ 1234 λαλει (0.4%) ¦ 12 λαλει 34 **𝔓**[66]א (0.2%) ¦ 12 λαλει D (0.2%) ¦ --- **𝔓**[75]B,T,W (1%) NU

[17] αλλ **f**[35] אN,W [99.5%] CP,HF,RP,OC,TR ¦ αλλα **𝔓**[66]B,D [0.5%] NU

[18] επικαταρατοι **f**[35] D,N [99%] CP,HF,RP,OC,TR ¦ επαρατοι **𝔓**[66]אB,W [1%] NU ¦ απαρατοι **𝔓**[75]

[19] νυκτος προς αυτον **f**[35] (89.1%) CP,HF,RP,OC,TR ¦ ~ 231 D,N (8.2%) ¦ 23 **𝔓**[66,75]B,T,W (0.7%) NU ¦ 12 τον ιησουν (1.2%) ¦ long omissions א (0.8%)

[20] αυτον **f**[35] N (95.8%) CP,HF,RP,OC,TR ¦ 1 το προτερον **𝔓**[66](W) (2.7%) [NU] ¦ 1 προτερον **𝔓**[75]B,T (0.7%) ¦ 1 το πρωτον D (0.3%) ¦ omit clause א (0.5%)

ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον ἐὰν μὴ ἀκούσῃ παρ᾽ αὐτοῦ πρότερον[1] καὶ γνῷ τί ποιεῖ;» **52** Ἀπεκρίθησαν καὶ εἶπον[2] αὐτῷ· «Μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ; Ἐρεύνησον[3] καὶ ἴδε, ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας[4] οὐκ ἐγήγερται.»[5,6] **53** Καὶ ἀπῆλθεν[7] ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ.

The Light of the world at work

8:1 Ἰησοῦς δὲ[8] ἐπορεύθη εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν. **2** Ὄρθρου δὲ πάλιν[9] παρεγένετο[10] εἰς τὸ ἱερόν, καὶ πᾶς ὁ λαὸς ἤρχετο πρὸς αὐτόν·[11] καὶ καθίσας ἐδίδασκεν αὐτούς.

A dirty deal

3 Ἄγουσιν δὲ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι πρὸς αὐτὸν[12] γυναῖκα ἐπὶ[13] μοιχείᾳ κατειλημμένην·[14] καὶ στήσαντες αὐτὴν ἐν[15] μέσῳ **4** λέγουσιν[16] αὐτῷ·[17] «Διδάσκαλε, ταύτην εὕρομεν[18] ἐπ᾽ αὐτοφώρῳ[19] μοιχευομένην.[20] **5** Ἐν δὲ[21] τῷ νόμῳ ἡμῶν Μωσῆς[22] ἐνετείλατο τὰς τοιαύτας λιθοβολεῖσθαι.[23] Σὺ οὖν τί λέγεις;»[24] **6** Τοῦτο δὲ ἔλεγον[25] πειράζοντες[26] αὐτόν, ἵνα ἔχωσιν[27] κατηγορίαν κατ᾽[28] αὐτοῦ.

---

[1] παρ αυτου προτερον **f**^{35} [85%] CP,HF,RP,OC,TR ¦ ~ πρωτον 12 **𝔓**^{66,75}B,D,N,W [10%] NU ¦ πρωτον **א** ¦ 12 πρωτον [5%]

[2] ειπον **f**^{35} **א** [97%] CP,HF,RP,OC,TR ¦ ειπαν **𝔓**^{66,75}B,D,N,W [3%] NU

[3] ερευνησον **f**^{35} **𝔓**^{66}D,N [99.5%] CP,HF,RP,OC,TR ¦ εραυνησον **𝔓**^{75}**א**B,W [0.5%] NU

[4] προφητης εκ της γαλιλαιας **f**^{35} **א**D,W (97.5%) CP,HF,RP,OC,TR ¦ ~ 2341 **𝔓**^{75}(B)N,T (2.2%) NU ¦ ~ 234 ο 1 **𝔓**^{66} ¦ two other readings (0.2%)

[5] εγηγερται **f**^{35} [70%] CP,HF,RP,OC,TR ¦ εγειρεται **𝔓**^{66,75}**א**B,D,W [10%] NU ¦ εγειγερται [20%] ¦ εγιρετε N

[6] Verses 7:53-8:11 are omitted in about 15% of the extant MSS, including all the early uncials except Codex D (Codex C has a large lacuna from 7:3–8:34, while Codex A has a larger one, 6:50–8:52). For these verses I will cite the groups posited by von Soden as used in the H-F apparatus, rather than give percentages (**M**^{7} becomes **f**^{35}); however, Robinson's collations have demonstrated that Soden 'regularized' the data rather drastically, so the H-F apparatus may in fact be rather misleading. For all that, until Robinson's collations are fully analyzed, and the result made public, it's the best we can do, except that I personally checked all the **f**^{35} MSS (in Robinson's collations) and guarantee that the citation of **f**^{35} is correct—it represents 245 MSS in these verses. The two other large groups, **M**$^{5\&6}$, do exist, although rather 'fuzzier' than Soden let on; if the lesser groups, **M**^{1,2,3,4}, can actually be extracted from the morass of variation, they will presumably qualify as secondary developments, based on the three main groups. NU places the whole pericope within [[ ]], which means that it is regarded as a later addition.

[7] απηλθεν **f**^{35} **M**^{4pt,6} HF,OC ¦ απηλθον **M**^{4pt} ¦ επορευθη **M**^{3,5} CP,RP,TR ¦ επορευθησαν **M**^{1,2} D,NU

[8] ιησους δε **f**^{35} **M**^{1,2,3,5} D,CP,RP,OC,TR,NU ¦ ~ και 1 **M**^{4} ¦ ~ και ο 1 **M**^{6} HF

[9] παλιν **f**^{35} **M**^{1,2,3,4,5} D,CP,RP,OC,TR,NU ¦ 1 βαθεως **M**^{6} HF

[10] παρεγενετο **f**^{35} **M**^{1,2,3,5} (D)CP,RP,OC,TR,NU ¦ ηλθεν ο ιησους **M**^{6} HF ¦ ηλθεν **M**^{4}

[11] προς αυτον *rell* ¦ --- **M**^{5} RP

[12] προς αυτον **f**^{35} **M**^{1pt,3pt,5,6pt} CP,HF,RP,TR ¦ --- **M**^{1pt,2,3pt,4,6pt} D,OC,NU

[13] επι **f**^{35} **M**^{1,2,3,4,6} (D)CP,HF,OC,NU ¦ εν **M**^{5} RP,TR

[14] κατειλημμενην *rell* ¦ καταληφθησαν **M**^{5} RP

[15] εν **f**^{35} **M**^{1,2,5} D,CP,RP,OC,TR,NU ¦ 1 τω **M**^{3,4,6} HF

[16] λεγουσιν **f**^{35} **M**^{1,2,5} D,CP,RP,OC,TR,NU ¦ ειπον **M**^{3,4,6} HF

[17] αυτω **f**^{35} **M**^{1,2,3,4,6} CP,HF,OC,TR,NU ¦ 1 πειραζοντες **M**^{5} (D)RP

[18] ταυτην ευρομεν **f**^{35} **M**^{6} CP,HF ¦ αυτη η γυνη κατεληφθη **M**^{5} RP,TR ¦ αυτη η γυνη ειληπται **M**^{2,3,4} ¦ αυτη η γυνη κατειληπται **M**^{1} D,OC,NU

[19] αυτοφωρω **f**^{35} D [40%] HF,OC,TR,NU ¦ αυτοφορω [60%] CP,RP (This split cuts across party lines—33% of **f**^{35} reads -φορω—and so it is not diagnostic.)

[20] μοιχευομενην **f**^{35} **M**^{6} CP,HF ¦ μοιχευομενη **M**^{1,2,3,4,5} D,RP,OC,TR,NU

[21] εν δε *rell* ¦ ~ και 1 OC

[22] ημων μωσης **f**^{35} **M**^{2,3pt,6} CP,HF ¦ 1 μωυσης OC ¦ ~ 2 ημιν **M**^{1pt,5} RP,TR ¦ ημιν 2 **M**^{3pt,4} NU ¦ 1 (D)

[23] λιθοβολεισθαι **f**^{35} **M**^{1pt,5} CP,RP,TR ¦ λιθαζειν **M**^{1pt,2,3,4,6} D,HF,OC,NU

[24] λεγεις **f**^{35} **M**^{1pt,5,6pt} CP,RP,OC,TR,NU ¦ 1 περι αυτης **M**^{1pt,2,3,4,6pt} D,HF

[25] ελεγον *rell* ¦ ειπον OC

[26] πειραζοντες *rell* ¦ εκπειραζοντες OC

[27] εχωσιν *rell* ¦ σχωσιν OC

[28] κατηγοριαν κατ **f**^{35} **M**^{2,3,4,6} CP,HF,OC ¦ κατηγορειν **M**^{1,5} RP,TR,NU ¦ --- D

Ὁ δὲ Ἰησοῦς κάτω κύψας, τῷ δακτύλῳ ἔγραφεν[1] εἰς τὴν γῆν, μὴ προσποιούμενος.[2] **7** Ὡς δὲ ἐπέμενον ἐρωτῶντες[3] αὐτόν, ἀνακύψας[4] εἶπεν πρὸς αὐτούς,[5] «Ὁ ἀναμάρτητος ὑμῶν πρῶτος[6] τὸν λίθον ἐπ᾽ αὐτῇ βαλέτω.»[7] **8** Καὶ πάλιν κάτω κύψας[8] ἔγραφεν εἰς τὴν γῆν. **9** Οἱ δὲ ἀκούσαντες, καὶ ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενοι,[9] ἐξήρχοντο εἷς καθ᾽ εἷς,[10] ἀρξάμενοι ἀπὸ τῶν πρεσβυτέρων ἕως τῶν ἐσχάτων.[11] Καὶ κατελείφθη μόνος ὁ Ἰησοῦς,[12] καὶ ἡ γυνὴ ἐν μέσῳ οὖσα.[13]

10 Ἀνακύψας δὲ ὁ Ἰησοῦς καὶ μηδένα θεασάμενος πλὴν τῆς γυναικὸς[14] εἶπεν αὐτῇ· [15] «Ποῦ εἰσιν ἐκεῖνοι οἱ κατήγοροί σου;[16] Οὐδείς σε κατέκρινεν;» **11** Ἡ δὲ εἶπεν, «Οὐδείς, Κύριε.» Εἶπεν δὲ αὐτῇ ὁ Ἰησοῦς,[17] «Οὐδὲ ἐγώ σε κατακρίνω·[18] πορεύου, καὶ ἀπὸ τοῦ νῦν[19] μηκέτι ἁμάρτανε.»[20]

Jesus dialogs with the Pharisees

12 Πάλιν οὖν αὐτοῖς ὁ Ἰησοῦς ἐλάλησεν[21] λέγων· «Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. Ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ[22] ἐν τῇ σκοτίᾳ, ἀλλ᾽ ἕξει τὸ φῶς τῆς ζωῆς.» **13** Εἶπον οὖν αὐτῷ οἱ Φαρισαῖοι, «Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής.» **14** Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· «Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου, ὅτι οἶδα πόθεν ἦλθον καὶ ποῦ ὑπάγω· ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι ἢ[23] ποῦ ὑπάγω. **15** Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε· ἐγὼ οὐ κρίνω οὐδένα. **16** Καὶ ἐὰν κρίνω δὲ ἐγώ, ἡ κρίσις ἡ ἐμὴ ἀληθής[24] ἐστιν· ὅτι μόνος οὐκ εἰμί, ἀλλ᾽ ἐγὼ καὶ ὁ πέμψας με Πατήρ. **17** Καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν· **18** Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με Πατήρ.» **19** Ἔλεγον οὖν αὐτῷ, «Ποῦ ἐστιν ὁ Πατήρ σου;» Ἀπεκρίθη[25] Ἰησοῦς· «Οὔτε ἐμὲ οἴδατε οὔτε τὸν Πατέρα μου. Εἰ ἐμὲ ἤδειτε, καὶ τὸν Πατέρα μου ἤδειτε ἄν.»[26] **20** Ταῦτα τὰ ῥήματα ἐλάλησεν ὁ Ἰησοῦς[27] ἐν τῷ γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱερῷ· καὶ οὐδεὶς ἐπίασεν αὐτόν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.

---

[1] εγραφεν *rell* ¦ κατεγραφεν **M**^{2pt} D,NU

[2] μη προσποιουμενος **f**^{35} **M**^{1pt,5,6pt} CP,RP ¦ --- **M**^{1pt,2,3,4,6pt} D,HF,OC,TR,NU

[3] ερωτωντες **f**^{35} **M**^{1,2pt,3,4,5} D,CP,RP,OC,TR,NU ¦ επερωτωντες **M**^{2pt,6} HF

[4] ανακυψας **f**^{35} **M**^{1pt,5} CP,RP,TR ¦ ανεκυψεν και **M**^{2,3,4} D,OC,NU ¦ αναβλεψας **M**^{6} HF

[5] προς αυτους **f**^{35} **M**^{5} CP,RP,TR ¦ αυτοις **M**^{1,2,3,4,6} D,HF,OC,NU

[6] πρωτος *rell* ¦ πρωτον **M**^{5pt} RP

[7] τον λιθον επ αυτη βαλετω **f**^{35} CP,TR ¦ ~ 3 αυτην 125 **M**^{5} RP ¦ ~ 253 αυτην **M**^{6} HF ¦ ~ 3 αυτην 52 **M**^{1pt,2pt,4} D,NU ¦ ~ 34512 **M**^{2pt,3} ¦ ~ 34125 **M**^{1pt} ¦ ~ 523 αυτην OC (The reading of OC is found in 90 MSS and 270 lectionaries, as collated by Robinson—it dominates the lectionaries.)

[8] κατω κυψας *rell* ¦ κατακυψας D,NU

[9] και υπο της συνειδησεως ελεγχομενοι **f**^{35} **M**^{5,6pt} CP,RP,TR ¦ --- **M**^{1,2,3,6pt} (D)HF,OC,NU ¦ 1 (**M**^{4})

[10] καθ᾽ εἰς *rell* ¦ καθέις **f**^{35} CP (I include this information for the record and so as not to lose sight of it, but since the *theta* indicates the presence of aspiration (rough breathing) there is no ambiguity. I stay with the conventional pointing.)

[11] εως των εσχατων **f**^{35} **M**^{1pt,2,3,4,6} CP,HF,TR ¦ --- **M**^{1pt,5} RP,OC,NU ¦ D is wild

[12] μονος ο ιησους **f**^{35} **M**^{2,5,6pt} CP,HF,RP,TR ¦ ~ 231 **M**^{1pt,6pt} ¦ 23 **M**^{3,4} OC ¦ 1 D,NU

[13] ουσα *rell* ¦ εστωσα **M**^{1pt} TR

[14] και μηδενα θεασαμενος πλην της γυναικος **f**^{35} **M**^{5} CP,RP,TR ¦ ειδεν αυτην και **M**^{3,4,6} HF ¦ --- **M**^{1,2} D,OC,NU

[15] αυτη **f**^{35} **M**^{5} CP,RP ¦ γυναι **M**^{3pt,6} HF ¦ 1 γυναι **M**^{1pt,2,3pt,4} OC,NU ¦ 1 η γυνη TR ¦ D is wild

[16] εκεινοι οι κατηγροι σου **f**^{35} **M**^{5,6pt} CP,RP,TR ¦ 234 **M**^{1,2pt,3,4,6pt} HF ¦ --- **M**^{2pt} D,OC,NU

[17] ειπεν δε αυτη ο ιησους **f**^{35} **M**^{1pt,6} CP,HF,TR ¦ 1245 **M**^{2,5} RP,OC,NU ¦ ~ 42513 **M**^{3,4} ¦ ~ 421 D

[18] κατακρινω *rell* ¦ κρινω **M**^{5} RP

[19] και απο του νυν **f**^{35} **M**^{1,2,3,6} CP,HF,OC[NU] ¦ 1 **M**^{4pt,5} RP,TR ¦ --- **M**^{4pt} ¦ 234 D

[20] 7:53-8:11 **f**^{35} D (85%) CP,HF,RP«OC»TR[[NU]] ¦ --- **𝔓**^{66,75}א**B**,N,T,W (15%)

[21] αυτοις ο ιησους ελαλησεν **f**^{35} [87%] CP,HF,RP,OC ¦ ~ 2314 [5%] TR ¦ ~ 1423 **𝔓**^{66}א(W) [5%] NU ¦ ~ 143 **𝔓**^{75v}**B** ¦ ~ 4123 D [2%] ¦ ~ 2341 [1%] ¦ 12341 N

[22] περιπατηση *rell* ¦ περιπατησει D [30%] TR

[23] η **f**^{35} **𝔓**^{39,66,75c}B,D(N)T [40%] CP,OC,NU ¦ και **𝔓**^{75}א**W** [50%] HF,RP,TR ¦ omit whole clause [10%]

[24] αληθης **f**^{35} **𝔓**^{66}א**N** (97.6%) CP,HF,RP,OC,TR ¦ αληθινη **𝔓**^{75}B,D,T,W (1%) NU ¦ αληθεια (0.2%) ¦ δικαια (1%) ¦ various omissions (0.3%) [homoioteleuton]

[25] απεκριθη **f**^{35} **𝔓**^{66,75}B,D [85%] HF,RP,OC,NU ¦ 1 ο א**N**,W [15%] CP,TR

[26] ηδειτε αν **f**^{35} (א) [98%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**^{39v,66,75}B(N)W [2%] NU ¦ 1 D

[27] ο ιησους **f**^{35} (N) [97%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**^{66,75}א**B**,D,W [3%] NU

"You will die in your sins"

21 Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς·[1] «Ἐγὼ ὑπάγω, καὶ ζητήσετέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε. Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν.» **22** Ἔλεγον οὖν οἱ Ἰουδαῖοι, «Μήτι ἀποκτενεῖ ἑαυτόν, ὅτι λέγει, ‹Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν›;» **23** Καὶ εἶπεν[2] αὐτοῖς· «Ὑμεῖς ἐκ τῶν κάτω ἐστέ· ἐγὼ ἐκ τῶν ἄνω εἰμί. Ὑμεῖς ἐκ τοῦ κόσμου τούτου[3] ἐστέ· ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου. **24** Εἶπον οὖν ὑμῖν ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν.» **25** Ἔλεγον οὖν αὐτῷ, «Σὺ τίς εἶ;» Καὶ εἶπεν[4] αὐτοῖς ὁ Ἰησοῦς· «Τὴν ἀρχὴν ὅ τι καὶ λαλῶ ὑμῖν. **26** Πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν, ἀλλ᾽ ὁ πέμψας με ἀληθής ἐστιν, κἀγὼ ἃ ἤκουσα παρ᾽ αὐτοῦ—ταῦτα λέγω[5] εἰς τὸν κόσμον.» **27** Οὐκ ἔγνωσαν ὅτι τὸν Πατέρα αὐτοῖς ἔλεγεν. **28** Εἶπεν οὖν αὐτοῖς[6] ὁ Ἰησοῦς· «Ὅταν ὑψώσητε τὸν Υἱὸν τοῦ Ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι καὶ ἀπ᾽ ἐμαυτοῦ ποιῶ οὐδέν, ἀλλὰ καθὼς ἐδίδαξέν με ὁ Πατήρ μου,[7] ταῦτα λαλῶ. **29** Καὶ ὁ πέμψας με μετ᾽ ἐμοῦ ἐστιν. Οὐκ ἀφῆκέν με μόνον ὁ Πατήρ,[8] ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε.»

"The Truth will make you free"

30 Ταῦτα αὐτοῦ λαλοῦντος, πολλοὶ ἐπίστευσαν εἰς αὐτόν. **31** Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· «Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μού ἐστε· **32** καὶ γνώσεσθε τὴν Ἀλήθειαν, καὶ ἡ Ἀλήθεια ἐλευθερώσει ὑμᾶς.» **33** Ἀπεκρίθησαν καὶ εἶπον[9] αὐτῷ·[10] «Σπέρμα Ἀβραάμ[11] ἐσμεν καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε. Πῶς σὺ λέγεις ὅτι ‹Ἐλεύθεροι γενήσεσθε›;» **34** Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· «Ἀμήν, ἀμὴν λέγω ὑμῖν ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστιν τῆς ἁμαρτίας. **35** Ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα. **36** Ἐὰν οὖν ὁ Υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε. **37** Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε, ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν. **38** Ἐγὼ ὃ[12] ἑώρακα παρὰ τῷ Πατρί μου,[13] λαλῶ, καὶ ὑμεῖς οὖν ὃ[14] ἑωράκατε[15] παρὰ τῷ πατρὶ[16] ὑμῶν[17] ποιεῖτε.»

"Your father is the devil"

39 Ἀπεκρίθησαν καὶ εἶπον[18] αὐτῷ, «Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν.» Λέγει αὐτοῖς ὁ Ἰησοῦς·

---

[1] ο ιησους **f**[35] N (98%) CP,HF,RP,OC,TR ¦ --- **𝔓**[39,66,75]אB,D,T,W (1.7%) NU ¦ omit clause (0.3%)

[2] και ειπεν **f**[35] [97%] CP,HF,RP,OC,TR ¦ 1 ελεγεν **𝔓**[75]B,D,N,W [3%] NU ¦ ελεγεν ουν **𝔓**[66]א

[3] του κοσμου τουτου **f**[35] אD,N (95.8%) CP,HF,RP,OC,TR ¦ ~ 312 **𝔓**[66,75]B,T,W (0.7%) NU ¦ 12 (2%) ¦ various long omissions (1.5%) [homoioteleuton]

[4] και ειπεν **f**[35] N [90%] CP,HF,RP,OC,TR ¦ 2 **𝔓**[66,75]B,W [9.5%] NU ¦ ~ 2 ουν אD [0.5%]

[5] λεγω **f**[35] [80%] CP,HF,RP,OC,TR ¦ λαλω **𝔓**[66,75]אB,D,N,W [20%] NU

[6] αυτοις **f**[35] **𝔓**[75]N (97%) CP,HF,RP,OC,TR[NU] ¦ --- **𝔓**[66]B,T,W (0.8%) ¦ 1 παλιν (א)D (0.9%) ¦ παλιν 1 (1%) ¦ long omissions (0.2%)

[7] μου **f**[35] B [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]אD,N,W [2%] NU

[8] ο πατηρ **f**[35] N [96%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]אB,D,W [4%] NU

[9] και ειπον **f**[35] [30%] ¦ --- **𝔓**[66,75]אB,D,N,W [70%] CP,HF,RP,OC,TR,NU

[10] αυτω **f**[35] [99%] CP,HF,RP,OC,TR ¦ προς αυτον **𝔓**[66,75]אB(D)W [1%] NU ¦ 1 οι ιουδαιοι N

[11] ἁβραααμ **f**[35] [50%] ¦ ἀβρααμ *rell*

[12] εγω ο **f**[35] (92.7%) CP,HF,RP,OC,TR ¦ ~ α 1 **𝔓**[66,75]אB,C,W (0.6%) NU ¦ 1 α D,N (4.8%) ¦ 1 (1.4%) ¦ 1 οσα (0.1%) ¦ various omissions (0.4%) [homoioteleuton]

[13] μου **f**[35] א(D)N (97.8%) CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]B,C(W) (1.1%) NU ¦ three other variants (0.2%) ¦ various long omissions (0.9%) [homoioteleuton]

[14] ο **f**[35] [90%] CP,HF,RP,OC,TR ¦ α **𝔓**[66,75]אB,C,D,N,W [10%] NU

[15] εωρακατε **f**[35] **𝔓**[66]אD,N (86.8%) CP,HF,RP,OC,TR ¦ ηκουσατε **𝔓**[75]B,C,W (10%) NU ¦ εορακατε (2.4%) ¦ three other variants (0.2%) ¦ long omissions (0.7%) [homoioteleuton]

[16] τω πατρι **f**[35] D,N (89.5%) CP,HF,RP,OC,TR ¦ του πατρος **𝔓**[66,75]אB,C,W (9.8%) NU ¦ long omissions (0.7%) [homoioteleuton]

[17] υμων **f**[35] אC(D)N (98.2%) CP,HF,RP,OC,TR ¦ ημων (0.4%) ¦ μου (0.2%) ¦ --- **𝔓**[66,75]B,W (0.6%) NU ¦ long omissions (0.7%) [homoioteleuton]

[18] ειπον **f**[35] W [99%] CP,HF,RP,OC,TR ¦ ειπαν **𝔓**[66,75]אB,C,D,N [1%] NU

«Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε,[1] τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε·[2] **40** νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα ἣν ἤκουσα παρὰ τοῦ Θεοῦ. Τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν. **41** Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν.» Εἶπον οὖν[3] αὐτῷ, «Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα· ἕνα Πατέρα ἔχομεν—τὸν Θεόν.» **42** Εἶπεν οὖν[4] αὐτοῖς ὁ Ἰησοῦς· «Εἰ ὁ Θεὸς Πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ, ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω· οὐδὲ γὰρ ἀπ᾽ ἐμαυτοῦ ἐλήλυθα, ἀλλ᾽ ἐκεῖνός με ἀπέστειλεν. **43** Διὰ τί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε;—ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν. **44** Ὑμεῖς ἐκ τοῦ[5] πατρὸς τοῦ διαβόλου ἐστέ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. Ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ᾽ ἀρχῆς καὶ ἐν τῇ ἀληθείᾳ οὐχ[6] ἕστηκεν, ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ. Ὅταν λαλῇ[7] τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶν καὶ ὁ πατὴρ αὐτοῦ. **45** Ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι. **46** Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; Εἰ δὲ[8] ἀλήθειαν λέγω, διὰ τί ὑμεῖς οὐ πιστεύετέ μοι; **47** Ὁ ὢν ἐκ τοῦ Θεοῦ τὰ ῥήματα τοῦ Θεοῦ ἀκούει· διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ Θεοῦ οὐκ ἐστέ.»

48 Ἀπεκρίθησαν οὖν[9] οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ, «Οὐ καλῶς λέγομεν ἡμεῖς ὅτι Σαμαρείτης[10] εἶ σὺ καὶ δαιμόνιον ἔχεις;» **49** Ἀπεκρίθη Ἰησοῦς· «Ἐγὼ δαιμόνιον οὐκ ἔχω· ἀλλὰ τιμῶ τὸν Πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με. **50** Ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων. **51** Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν[11] τηρήσῃ θάνατον οὐ μὴ θεωρήσῃ, εἰς τὸν αἰῶνα.»

“Before Abraham was, I AM”

52 Εἶπον οὖν[12] αὐτῷ οἱ Ἰουδαῖοι· «Νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις. Ἀβραὰμ ἀπέθανεν καὶ οἱ προφῆται, καὶ σὺ λέγεις, ‹Ἐάν τις τὸν λόγον μου τηρήσῃ οὐ μὴ γεύσηται θανάτου[13] εἰς τὸν αἰῶνα.› **53** Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, ὅστις ἀπέθανεν; Καὶ οἱ προφῆται ἀπέθανον. Τίνα σεαυτὸν σὺ[14] ποιεῖς;» **54** Ἀπεκρίθη Ἰησοῦς· «Ἐὰν ἐγὼ δοξάζω[15] ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν. Ἔστιν ὁ Πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε ὅτι ‹Θεὸς ἡμῶν[16] ἐστιν.› **55** Καὶ οὐκ ἐγνώκατε αὐτόν, ἐγὼ δὲ οἶδα αὐτόν. Καὶ ἐὰν[17] εἴπω ὅτι οὐκ οἶδα αὐτόν, ἔσομαι ὅμοιος ὑμῶν,[18] ψεύστης, ἀλλ᾽ οἶδα αὐτὸν καὶ τὸν λόγον αὐτοῦ τηρῶ. **56** Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καί, εἶδεν καὶ ἐχάρη.»

57 Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς αὐτόν, «Πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας;» **58** Εἶπεν[19] αὐτοῖς ὁ[20] Ἰησοῦς, «Ἀμήν, ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι.» **59** Ἦραν οὖν λίθους ἵνα βάλωσιν ἐπ᾽ αὐτόν· Ἰησοῦς δὲ ἐκρύβη καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ, διελθὼν

---

[1] ητε **f**^{35} C,N,W [99%] CP,HF,RP,OC,TR ¦ εστε **𝔓**^{66,75}**א**B,D [1%] NU

[2] εποιειτε **f**^{35} **𝔓**^{75}**א**D,W [50%] CP,HF,RP,OC,NU ¦ 1 αν C,N [50%] TR ¦ ποιειτε **𝔓**^{66}B [0.5%]

[3] ουν **f**^{35} **𝔓**^{66,75}C,D,N [99%] CP,HF,RP,OC,TR[NU] ¦ --- **א**B,W [1%]

[4] ουν **f**^{35} **א**D [70%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**^{66,75}B,C,N,W [30%] NU

[5] του *rell* ¦ --- [20%] TR

[6] ουχ **f**^{35} **𝔓**^{75}C [90%] CP,HF,RP,OC,TR ¦ ουκ **𝔓**^{66}**א**B(D)N,W [10%] NU [In consequence, NU has the Imperfect of the verb, rather than the Perfect, and this choice is reflected in many translations.]

[7] λαλη *rell* ¦ λαλει N [20%]

[8] δε **f**^{35} [95%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**^{66,75}**א**B,C,N,W [5%] NU ¦ D omits verse 46

[9] ουν **f**^{35} [95%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**^{66,75}**א**B,C,D,N,W [5%] NU

[10] σαμαρειτης **f**^{35} **𝔓**^{75}B,C,D [99%] CP,HF,RP,OC,TR ¦ σαμαριτης **𝔓**^{66}**א**N,W [1%] NU

[11] τον λογον τον εμον **f**^{35} **𝔓**^{66}N [99%] CP,HF,RP,OC,TR ¦ ~ 142 **𝔓**^{75}**א**B,C,D,W [1%] NU

[12] ουν **f**^{35} **𝔓**^{75}D,N [99%] CP,HF,RP,OC,TR[NU] ¦ --- **𝔓**^{66}**א**B,C,W [1%]

[13] ου μη γευσηται (γευσητε [5%]) θανατου **f**^{35} **𝔓**^{66,75}A,C,D,N,W [85%] CP,HF,RP,OC,NU ¦ 12 γευσεται 4 [15%] TR ¦ 123 **א** ¦ ~ θανατον 12 θεωρηση B

[14] συ **f**^{35} [75%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**^{66,75}**א**A,B,C,D,N,W [25%] NU

[15] δοξαζω **f**^{35} **𝔓**^{66}A,N [95%] CP,HF,RP,OC,TR ¦ δοξασω **𝔓**^{75}**א**B,C,D,W [5%] NU

[16] ημων **f**^{35} **𝔓**^{66,75}A,C,N,W [70%] HF,RP,NU ¦ υμων **א**B,D [30%] CP,OC,TR

[17] και εαν **f**^{35} **𝔓**^{66}A,C,N [99.5%] CP,HF,RP,OC,TR ¦ καν **𝔓**^{75}**א**B,D,W [0.5%] NU

[18] ομοιος υμων **f**^{35} **א**C,N (93.3%) CP,HF,RP,OC,TR ¦ ομοιως 2 (1.5%) ¦ ~ 21 **𝔓**^{66} (0.8%) ¦ 1 υμιν **𝔓**^{75}A,B(D)W (3.5%) NU ¦ three other variants (0.2%) ¦ long omissions (0.6%) [homoioteleuton]

[19] ειπεν *rell* ¦ 1 ουν D,N [20%]

[20] ο **f**^{35} **𝔓**^{66}**א**A,D,N,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**^{75}B,C [0.5%] NU

διὰ μέσου αὐτῶν· καὶ παρῆγεν οὕτως.[1]

The man born blind

9:1 Καὶ παράγων εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς.[2] **2** Καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες, «Ῥαββί, τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ;» **3** Ἀπεκρίθη[3] Ἰησοῦς· «Οὔτε οὗτος ἥμαρτεν οὔτε οἱ γονεῖς αὐτοῦ, ἀλλ᾽ ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ. **4** Ἐμὲ[4] δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με ἕως ἡμέρα ἐστίν· ἔρχεται νὺξ ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι. **5** Ὅταν ἐν τῷ κόσμῳ ᾖ, φῶς εἰμι τοῦ κόσμου.»

The man is healed

6 Ταῦτα εἰπών, ἔπτυσεν χαμαὶ καὶ ἐποίησεν πηλὸν ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισεν[5] τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ.[6] **7** Καὶ εἶπεν αὐτῷ, «Ὕπαγε, νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ» (ὃ ἑρμηνεύεται, Ἀπεσταλμένος). Ἀπῆλθεν οὖν καὶ ἐνίψατο, καὶ ἦλθεν βλέπων.

8 Οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον ὅτι τυφλὸς[7] ἦν ἔλεγον, «Οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν;» **9** Ἄλλοι ἔλεγον ὅτι «Οὗτός ἐστιν»· ἄλλοι δὲ ὅτι[8] «Ὅμοιος[9] αὐτῷ ἐστιν.» Ἐκεῖνος ἔλεγεν ὅτι «Ἐγώ εἰμι.»

10 Ἔλεγον οὖν αὐτῷ, «Πῶς[10] ἀνεῴχθησάν[11] σου[12] οἱ ὀφθαλμοί;» **11** Ἀπεκρίθη ἐκεῖνος καὶ εἶπεν· «Ἄνθρωπος[13] λεγόμενος Ἰησοῦς πηλὸν ἐποίησεν καὶ ἐπέχρισέν μου τοὺς ὀφθαλμοὺς καὶ εἶπέν μοι,[14] ‹Ὕπαγε εἰς τὴν κολυμβήθραν τοῦ[15] Σιλωὰμ καὶ νίψαι.› Ἀπελθὼν δὲ[16] καὶ νιψάμενος, ἀνέβλεψα.» **12** Εἶπον οὖν[17] αὐτῷ, «Ποῦ ἐστιν ἐκεῖνος;» Λέγει, «Οὐκ οἶδα.»

The man is excommunicated

13 Ἄγουσιν αὐτὸν πρὸς τοὺς Φαρισαίους τόν ποτε τυφλόν. **14** (Ἦν δὲ σάββατον ὅτε[18] τὸν πηλὸν ἐποίησεν ὁ Ἰησοῦς καὶ ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς.) **15** Πάλιν οὖν ἠρώτων αὐτὸν καὶ οἱ Φαρισαῖοι πῶς ἀνέβλεψεν. Ὁ δὲ εἶπεν αὐτοῖς, «Πηλὸν ἐπέθηκέν μου ἐπὶ τοὺς ὀφθαλμούς,[19] καὶ ἐνιψάμην, καὶ βλέπω.» **16** Ἔλεγον οὖν ἐκ τῶν Φαρισαίων τινές, «Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν παρὰ τοῦ Θεοῦ,[20] ὅτι τὸ σάββατον οὐ τηρεῖ.» Ἄλλοι[21] ἔλεγον, «Πῶς δύναται ἄνθρωπος

---

[1] (+και N 3%) διελθων (−δ. 1%) δια μεσου αυτων (+επορευετο C,N 2.4%) και (−κ. 1.3%) παρηγεν ουτως (−ο. 1%) **f**[35] A(C)(N) (99%) CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]**א**B,D,W (1%) NU

[2] γενετης *rell* ¦ γεννετης [5%] ¦ γεννητης [15%] ¦ γενητης N [5%] ¦ γεννητοις [10%]

[3] απεκριθη *rell* ¦ 1 ο D,N [15%] TR

[4] εμε **f**[35] A,C,N (99.3%) CP,HF,RP,OC,TR ¦ ημας **𝔓**[66,75]**א**B(D)(W) (0.5%) NU ¦ long omission (0.2%) [homoioteleuton]

[5] επεχρισεν **f**[35] W [97%] CP,HF,RP,OC,TR ¦ 1 αυτου **𝔓**[66(75)]**א**(A)(D)N [2%] NU ¦ επεθηκεν C [1%] ¦ επεθηκεν αυτου B

[6] του τυφλου **f**[35] A,C,W [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]**א**B [2%] NU ¦ αυτου D,N

[7] τυφλος **f**[35] [90%] CP,HF,RP,OC,TR ¦ προσαιτης **𝔓**[66,75]**א**A,B,C,D,N,W [10%] NU

[8] δε οτι **f**[35] A,D [98%] CP,HF,RP,OC,TR ¦ 1 **א** [1%] ¦ --- **𝔓**[66,75]B,C,W [1%] NU ¦ 2 N

[9] ομοιος **f**[35] A,D,N [98%] CP,HF,RP,OC,TR ¦ ελεγον ουχι αλλα 1 **𝔓**[66]**א**C,W [0.5%] NU ¦ ελεγον ουχι αλλ 1 **𝔓**[75]B [0.5%] ¦ ουχι αλλ 1 [1%]

[10] πως **f**[35] **𝔓**[75]A,B,W [99%] CP,HF,RP,OC,TR ¦ 1 ουν **𝔓**[66]**א**C,D,N [1%] [NU]

[11] ανεωχθησαν **f**[35] A [75%] CP,HF,RP,OC,TR ¦ ηνεωχθησαν **𝔓**[66,75]**א**B,C,D,N,W [25%] NU

[12] σου *rell* ¦ σοι [15%] some TRs ¦ --- **𝔓**[66]

[13] και ειπεν ανθρωπος **f**[35] A,N [98%] CP,HF,RP,OC,TR ¦ ο 3 ο **𝔓**[66]**א**B [1.5%] NU ¦ 3 ο **𝔓**[75]C [0.5%] ¦ 3 D,W

[14] μοι **f**[35] **𝔓**[75]A,D,N,W [99.5%] CP,HF,RP,OC,TR ¦ 1 οτι **𝔓**[66]**א**B [0.5%] NU

[15] την κολυμβηθραν του **f**[35] A,N (97.6%) CP,HF,RP,OC,TR ¦ τον **𝔓**[66,75]**א**B,D,W (2.1%) NU ¦ --- (0.4%)

[16] δε **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ ουν **𝔓**[66,75]**א**B,D,N,W [3%] NU

[17] ειπον ουν **f**[35] N [97.5%] CP,HF,RP,OC,TR ¦ ειπαν 2 **𝔓**[66]D ¦ 1 A ¦ ~ και 1 **𝔓**[75] [2%] ¦ ~ και ειπαν **א**B,W [alone] NU

[18] οτε **f**[35] A,D,N (99.1%) CP,HF,RP,OC,TR ¦ εν η ημερα **𝔓**[66,75]**א**B,W (0.9%) NU

[19] επεθηκεν μου (μοι N CP) επι τους οφθαλμους **f**[35] **𝔓**[66,75]**א**B(N) [95%] (CP)HF,RP,OC,NU ¦ ~ 13452 D [5%] TR ¦ ~ 21345 A

[20] ουτος ο ανθρωπος ουκ εστιν παρα του (−τ. A) θεου **f**[35] (A) [95%] CP,HF,RP,OC,TR ¦ ~ 4516823 **𝔓**[66,75]**א**B,D,N,W [5%] NU

[21] αλλοι **f**[35] **𝔓**[66,75]A,N [97%] CP,HF,RP,OC,TR ¦ 1 δε **א**B,D,W [3%] [NU]

ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν;» Καὶ σχίσμα ἦν ἐν αὐτοῖς. **17** Λέγουσιν οὖν[1] τῷ τυφλῷ πάλιν, «Σὺ τί[2] λέγεις περὶ αὐτοῦ, ὅτι ἤνοιξέν[3] σου τοὺς ὀφθαλμούς;» Ὁ δὲ εἶπεν ὅτι «Προφήτης ἐστίν.»

18 Οὐκ ἐπίστευσαν οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι τυφλὸς ἦν[4] καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀναβλέψαντος. **19** Καὶ ἠρώτησαν αὐτοὺς λέγοντες· «Οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη; Πῶς οὖν ἄρτι βλέπει;»[5] **20** Ἀπεκρίθησαν δὲ[6] αὐτοῖς[7] οἱ γονεῖς αὐτοῦ καὶ εἶπον· «Οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη. **21** Πῶς δὲ νῦν βλέπει οὐκ οἴδαμεν, ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμοὺς ἡμεῖς οὐκ οἴδαμεν. Αὐτὸς ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε.[8] Αὐτὸς περὶ ἑαυτοῦ[9] λαλήσει.» **22** Ταῦτα εἶπον[10] οἱ γονεῖς αὐτοῦ ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους, ἤδη γὰρ συνετέθειντο οἱ Ἰουδαῖοι ἵνα ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστόν, ἀποσυνάγωγος γένηται. **23** Διὰ τοῦτο οἱ γονεῖς αὐτοῦ εἶπον[11] ὅτι «Ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε.»[12]

24 Ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν ἄνθρωπον[13] ὃς ἦν τυφλὸς καὶ εἶπον[14] αὐτῷ· «Δὸς δόξαν τῷ Θεῷ· ἡμεῖς οἴδαμεν ὅτι ὁ ἄνθρωπος οὗτος[15] ἁμαρτωλός ἐστιν.» **25** Ἀπεκρίθη οὖν[16] ἐκεῖνος καὶ εἶπεν·[17] «Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα. Ἓν οἶδα, ὅτι τυφλὸς ὤν, ἄρτι βλέπω.» **26** Εἶπον δὲ[18] αὐτῷ πάλιν·[19] «Τί ἐποίησέν σοι; Πῶς ἀνέῳξέν[20] σου τοὺς ὀφθαλμούς;» **27** Ἀπεκρίθη αὐτοῖς· «Εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε. Τί πάλιν θέλετε ἀκούειν; Μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ[21] γενέσθαι;» **28** Ἐλοιδόρησαν[22] αὐτὸν καὶ εἶπον· «Σὺ εἶ μαθητὴς ἐκείνου,[23] ἡμεῖς δὲ τοῦ Μωσέως[24] ἐσμὲν μαθηταί. **29** Ἡμεῖς οἴδαμεν ὅτι Μωσεῖ[25] λελάληκεν ὁ Θεός· τοῦτον δέ—οὐκ οἴδαμεν πόθεν ἐστίν.» **30** Ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς· «Ἐν γὰρ τούτῳ[26] θαυμαστόν ἐστιν—ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστίν, καὶ ἀνέῳξέν[27] μου τοὺς ὀφθαλμούς. **31** Οἴδαμεν δὲ[28] ὅτι ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει· ἀλλ᾽ ἐάν τις θεοσεβὴς ᾖ καὶ τὸ θέλημα αὐτοῦ ποιῇ[29], τούτου ἀκούει. **32** Ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη ὅτι ἤνοιξέν[30] τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. **33** Εἰ

---

[1] ουν **f**[35] **𝔓**[66,75]א**A,B(D)N,W** [30%] CP,NU ¦ --- [70%] HF,RP,OC,TR

[2] συ τι **f**[35] **𝔓**[75]**A,D,N,W** [99.5%] CP,HF,RP,OC,TR ¦ ~ 21 א**B** [0.5%] NU ¦ --- **𝔓**[66]

[3] ηνοιξεν **f**[35] **𝔓**[66]א**A** [88%] CP,HF,RP,OC,TR ¦ ηνεωξεν **𝔓**[75]**B,W** [2%] NU ¦ ανεωζεν [10%] ¦ ηνυζεν D ¦ ανεωξεν N

[4] τυφλος ην **f**[35] **A** [99%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[66,75]א**B,N,W** [1%] NU ¦ --- D

[5] αρτι βλεπει **f**[35] **𝔓**[66]**A**(N) (98.6%) CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[75]א**B,D,W** (1%) NU ¦ five other variants (0.4%)

[6] δε **f**[35] **A,N** [85%] CP,HF,RP,OC ¦ ουν **𝔓**[66,75]א**B** [5%] NU ¦ --- D,W [10%] TR

[7] αυτοις **f**[35] **A,D,N** [95%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]א**B,W** [5%] NU

[8] αυτος ηλικιαν εχει αυτον ερωτησατε **f**[35] **A**(N) [98%] CP,HF,RP,OC,TR ¦ 123 **𝔓**[75]א ¦ ~ 4523 **𝔓**[66]**B**(D) [2%] NU ¦ 23 W

[9] εαυτου *rell* ¦ αυτου D [20%] TR

[10] ειπον *rell* ¦ ειπαν א [alone] NU

[11] ειπον **f**[35] **𝔓**[66]**A,N,W** [98.5%] CP,HF,RP,OC,TR ¦ ειπαν **𝔓**[75]א**B,D** [0.5%] NU ¦ --- [1%]

[12] ερωτησατε **f**[35] **A** [99.5%] CP,HF,RP,OC,TR ¦ επερωτησατε **𝔓**[66,75]א**B,W** [0.5%] NU ¦ ερωτατε D ¦ ερωτησαται N

[13] εκ δευτερου τον ανθρωπον **f**[35] **A,N** [99%] CP,HF,RP,OC,TR ¦ ~ 3412 **𝔓**[66,75]א**B,W** [1%] NU ¦ ~ αυτον 12 D

[14] ειπον **f**[35] **A** [99%] CP,HF,RP,OC,TR ¦ ειπαν **𝔓**[66,75]א**B,D,N,W** [1%] NU

[15] ο ανθρωπος ουτος **f**[35] **A,D,N** [99.5%] CP,HF,RP,OC,TR ¦ ~ 312 **𝔓**[66,75](א)**B,W** [0.5%] NU

[16] ουν *rell* ¦ --- [15%]

[17] και ειπεν **f**[35] **N** [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]א**A,B,D,W** [2%] NU

[18] δε **f**[35] **A** [95%] CP,HF,RP,OC,TR ¦ ουν **𝔓**[66,75]**B,D,N,W** [5%] NU ¦ --- א

[19] παλιν **f**[35] **𝔓**[66]**A** [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[75]א**B,D,W** [0.5%] NU

[20] ανεωξεν **f**[35] [30%] CP ¦ ηνεωξεν **𝔓**[66v,75]**N,W** [2%] ¦ ηνοιξεν **A,B** [63%] HF,RP,OC,TR,NU ¦ ηνυξεν א**D** [5%]

[21] αυτου μαθηται *rell* ¦ ~ 21 **𝔓**[66]א**D** [30%]

[22] ελοιδορησαν **f**[35] **𝔓**[66]**A** [92%] CP,HF,RP,OC ¦ και 1 **𝔓**[75]א**B,W** [0.5%] NU ¦ 1 ουν [5%] TR ¦ οι δε 1 D,N [2.5%]

[23] ει μαθητης εκεινου **f**[35] [98%] CP,HF,RP,OC,TR ¦ ~ 213 **𝔓**[75]א**A,B**(N)**W** [1.5%] NU ¦ ~ 231 **𝔓**[66]**D** [0.5%]

[24] μωσεως **f**[35] **A,B,N** [98%] CP,HF,RP,TR ¦ μωυσεως **𝔓**[75]א**D,W** [2%] OC,NU

[25] μωσει **f**[35] **A,N** [50%] CP,HF ¦ μωση [48%] RP,TR ¦ μωυσει **𝔓**[66,75]א**B,D,W** [1%] OC,NU ¦ μωυση [1%]

[26] γαρ τουτω **f**[35] **A** [97%] CP,HF,RP,OC,TR ¦ ~ 21 το **𝔓**[(66)75]א**B,N,W** [1%] NU ¦ 1 τουτο [2%] ¦ ~ 2 ουν D

[27] ανεωξεν **f**[35] **A** [99%] CP,HF,RP,OC,TR ¦ ηνοιξεν **𝔓**[66,75]א**B,D** [0.5%] NU ¦ ηνεωξεν N,W [0.5%]

[28] δε **f**[35] **A,N,W** [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]א**B,D** [2%] NU

[29] ποιη *rell* ¦ ποιει [15%]

[30] ηνοιξεν **f**[35] **𝔓**[66]א**A** [98%] CP,HF,RP,OC,TR ¦ ηνεωξεν B,N,W [0.5%] NU ¦ ανεωξεν **𝔓**[75] [1.5%] ¦ ηνυξε D

μὴ ἦν οὗτος παρὰ Θεοῦ οὐκ ἠδύνατο ποιεῖν οὐδέν.» **34** Ἀπεκρίθησαν καὶ εἶπον[1] αὐτῷ, «Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλως,[2] καὶ σὺ διδάσκεις ἡμᾶς;» Καὶ ἐξέβαλον αὐτὸν ἔξω.

35 Ἤκουσεν ὁ Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω·[3] καὶ εὑρὼν αὐτόν, εἶπεν αὐτῷ,[4] «Σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ;»[5] **36** Ἀπεκρίθη ἐκεῖνος καὶ εἶπεν, «Καὶ τίς ἐστιν, Κύριε,[6] ἵνα πιστεύσω εἰς αὐτόν;» **37** Εἶπεν δὲ[7] αὐτῷ ὁ Ἰησοῦς, «Καὶ ἑώρακας[8] αὐτὸν καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν.» **38** Ὁ δὲ ἔφη, «Πιστεύω, Κύριε.» Καὶ προσεκύνησεν αὐτῷ. **39** Καὶ εἶπεν ὁ Ἰησοῦς, «Εἰς κρῖμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσιν, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται.»

40 Καὶ[9] ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦτα οἱ ὄντες μετ᾽ αὐτοῦ[10] καὶ εἶπον αὐτῷ, «Μὴ καὶ ἡμεῖς[11] τυφλοί ἐσμεν;» **41** Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· «Εἰ τυφλοὶ ἦτε οὐκ ἂν εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε ὅτι ‹Βλέπομεν,› ἡ οὖν[12] ἁμαρτία ὑμῶν μένει.

Jesus the Shepherd

A true shepherd

10:1 »Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶν καὶ λῃστής. **2** Ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστιν τῶν προβάτων. **3** Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει· καὶ τὰ ἴδια πρόβατα καλεῖ[13] κατ᾽ ὄνομα καὶ ἐξάγει αὐτά. **4** Καὶ[14] ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ,[15] ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασιν τὴν φωνὴν αὐτοῦ. **5** Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν,[16] ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ, ὅτι οὐκ οἴδασιν τῶν ἀλλοτρίων τὴν φωνήν.» **6** Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς.

The Door

7 Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς·[17] «Ἀμήν, ἀμὴν λέγω ὑμῖν ὅτι[18] ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. **8** Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ[19] κλέπται εἰσὶν καὶ λῃσταί, ἀλλ᾽ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. **9** Ἐγώ εἰμι ἡ θύρα. Δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει. **10** Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ, καὶ θύσῃ, καὶ ἀπολέσῃ. Ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσιν, καὶ περισσὸν ἔχωσιν.

---

[1] ειπον **f**[35] A [99%] CP,HF,RP,OC,TR ¦ ειπαν **𝔓**[66,75]אB(D)W [1%] NU

[2] ολως **f**[35] [25%] ¦ ολος **𝔓**[75]אA,B,D,W [75%] CP,HF,RP,OC,TR,NU ¦ ο λογος **𝔓**[66]

[3] ηκουσεν ο ιησους οτι εξεβαλον αυτον εξω **f**[35] **𝔓**[66]A,D,W (88.3%) CP,HF,RP,OC,TR ¦ 134567 **𝔓**[75]אB (0.4%) NU ¦ two other variations (0.2%) ¦ --- (11%) [The omission is an obvious case of homoioteleuton—the last three words are identical.]

[4] αυτω **f**[35] **𝔓**[66]A (99.4%) CP,HF,RP,OC,TR ¦ --- **𝔓**[75]אB,D,W (0.6%) NU

[5] θεου **f**[35] A (99.6%) CP,HF,RP,OC,TR ¦ ανθρωπου **𝔓**[66,75]אB,D,W (0.4%) NU

[6] απεκριθη εκεινος και ειπεν και τις εστιν κυριε **f**[35] [97.5%] CP,HF,RP,OC,NU ¦ 1234678 [2%] TR ¦ 567 εφη 8 **𝔓**[75]B,W ¦ 12678 A ¦ ~ 1234867 א ¦ 12567 εφη 8 **𝔓**[66]

[7] δε **f**[35] A [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75](א)B(D)W [1%] NU

[8] εωρακας **f**[35] אA,D [80%] CP,HF,RP,OC,TR,NU ¦ εορακας **𝔓**[66,75]B,W [20%] ¦ two other spellings

[9] και **f**[35] A [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]אB,W [1%] NU ¦ ~ δε D ¦ ~ ουν [1%]

[10] οντες μετ αυτου **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ ~ 231 **𝔓**[66,75]אB,D,W [3%] NU

[11] ημεις *rell* ¦ υμεις CP

[12] η ουν **f**[35] A [95%] CP,HF,RP,OC,TR ¦ 1 אB [3%] NU ¦ και 1 **𝔓**[75] ¦ 1 αι **𝔓**[66] ¦ αι D,W [1%] ¦ 121 [1%]

[13] καλει **f**[35] [98%] CP,HF,RP,OC,TR ¦ φωνει **𝔓**[66,75]אA,B,D,W [2%] NU

[14] και **f**[35] A,D [95%] CP,HF,RP,OC,TR ¦ ~ δε [3%] ¦ --- **𝔓**[66,75]אB,W [2%] NU

[15] προβατα εκβαλλη **f**[35] [50%] ¦ 1 εκβαλη A [45%] CP,HF,RP,OC,TR ¦ 1 εκβαλει [3%] ¦ παντα εκβαλη **𝔓**[75]B,W [2%] NU ¦ εκβαλη παντα **𝔓**[66] ¦ εκβαλη א [All the verbs in verses 3 and 4 are in the present tense.]

[16] ακολουθησωσιν **f**[35] **𝔓**[6v,66,75]א,W [97%] CP,HF,RP,OC,TR ¦ ακολουθησουσιν A,B,D [3%] NU

[17] παλιν αυτοις ο ιησους **f**[35] D (84.4%) CP,HF,RP,OC,TR ¦ ~ 2134 אA (9.2%) ¦ ~ 2341 (1.6%) ¦ 234 **𝔓**[45,66]W (3%) ¦ 134 **𝔓**[75] (0.5%) NU ¦ 12 (0.5%) ¦ 14 B (alone) ¦ --- (0.2%) ¦ long omissions (0.4%) [homoioteleuton]

[18] οτι **f**[35] **𝔓**[66]אA,D,W (73.2%) CP,HF,RP,OC,TR,NU ¦ --- **𝔓**[75]B (26.8%)

[19] ηλθον προ εμου **f**[35] **𝔓**[66]A,B,D,W [45%] OC[NU] ¦ ~ 231 [5%] TR ¦ 1 **𝔓**[75]א [50%] CP,HF,RP

The Good Shepherd

11 »Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. **12** Ὁ μισθωτὸς δέ,[1] καὶ οὐκ[2] ὢν ποιμήν, οὗ οὐκ εἰσὶν[3] τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησιν τὰ πρόβατα, καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα.[4] **13** Ὁ δὲ μισθωτὸς φεύγει[5] ὅτι μισθωτός ἐστιν καὶ οὐ μέλει[6] αὐτῷ περὶ τῶν προβάτων.

14 »Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν.[7] **15** Καθὼς γινώσκει με ὁ Πατήρ, κἀγὼ γινώσκω τὸν Πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. **16** Καὶ ἄλλα πρόβατα ἔχω ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ[8] ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσιν·[9] καὶ γενήσεται[10] μία ποίμνη, εἷς ποιμήν.

17 »Διὰ τοῦτο ὁ Πατήρ με[11] ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου ἵνα πάλιν λάβω αὐτήν. **18** Οὐδεὶς αἴρει αὐτὴν ἀπ᾽ ἐμοῦ, ἀλλ᾽ ἐγὼ τίθημι αὐτὴν ἀπ᾽ ἐμαυτοῦ. Ἐξουσίαν ἔχω θεῖναι[12] αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. Ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ Πατρός μου.»

19 Σχίσμα οὖν[13] πάλιν ἐγένετο ἐν τοῖς Ἰουδαίοις διὰ τοὺς λόγους τούτους. **20** Ἔλεγον δὲ πολλοὶ ἐξ αὐτῶν· «Δαιμόνιον ἔχει καὶ μαίνεται. Τί αὐτοῦ ἀκούετε;» **21** Ἄλλοι ἔλεγον· «Ταῦτα τὰ ῥήματα οὐκ ἔστιν δαιμονιζομένου. Μὴ δαιμόνιον δύναται τυφλῶν ὀφθαλμοὺς ἀνοίγειν;»[14]

"My sheep hear my voice"

22 Ἐγένετο δὲ[15] τὰ Ἐγκαίνια ἐν[16] Ἱεροσολύμοις, καὶ χειμὼν[17] ἦν. **23** Καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ, ἐν τῇ Στοᾷ[18] Σολομῶνος.[19] **24** Ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι καὶ ἔλεγον αὐτῷ· «Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; Εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν παρρησίᾳ.» **25** Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· «Εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε. Τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ Πατρός μου—ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ. **26** Ἀλλ᾽[20] ὑμεῖς οὐ πιστεύετε, οὐ γάρ[21] ἐστε ἐκ τῶν προβάτων τῶν ἐμῶν, καθὼς εἶπον ὑμῖν.[22] **27** Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει,[23] κἀγὼ γινώσκω αὐτά, καὶ ἀκολουθοῦσίν μοι. **28** Κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς,[24] καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα· καὶ οὐχ ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός μου. **29** Ὁ Πατήρ μου, ὃς[25] δέδωκέν μοι, μείζων

---

[1] μισθωτος δε **f**[35] A [95%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[66]א D [3%] ¦ 1 **𝔓**[45,75]B,W [2%] NU
[2] ουκ *rell* ¦ ουχ CP
[3] εισιν **f**[35] D [95%] CP,HF,RP,OC,TR ¦ εστιν **𝔓**[45,66,75]א A,B,W [5%] NU
[4] τα προβατα **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[45,66,75]א B,D,W [3%] NU
[5] ο δε μισθωτος φευγει **f**[35] (A) [97%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[45,66,75]א B,D,W [3%] NU
[6] μελει *rell* ¦ μελλει [30%]
[7] γινωσκομαι υπο των εμων **f**[35] A [99%] CP,HF,RP,OC,TR ¦ γινωσκουσιν με τα εμα **𝔓**[(45)66(75)](א B)W [1%] NU ¦ γεινωσιν εμε τα εμα D
[8] με δει **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[45,66,75]א B,D,W [3%] NU
[9] ακουσουσιν **f**[35] **𝔓**[66,75]B,D (60.9%) CP,HF,RP,OC,TR,NU ¦ ακουσωσιν א A,W (38.1%) ¦ ακουουσιν (0.5%) ¦ ακουσονται (0.2%) ¦ four other variants (0.3%)
[10] γενησεται **f**[35] **𝔓**[66]א A (97.9%) CP,HF,RP,OC,TR ¦ γενησονται **𝔓**[45]B,D,W (1.9%) NU ¦ two other variants (0.2%)
[11] ο πατηρ με **f**[35] A,W [99%] CP,HF,RP,OC,TR ¦ ~ 312 **𝔓**[66,75]א B,D [1%] NU
[12] θειναι *rell* ¦ θηναι [10%]
[13] ουν **f**[35] **𝔓**[66]A(D) (98.7%) CP,HF,RP,OC,TR ¦ --- **𝔓**[75]א B,W (1.3%) NU
[14] ανοιγειν **f**[35] A(D) [97%] CP,HF,RP,OC,TR ¦ ανοιξαι **𝔓**[66]א B,W [3%] NU
[15] δε **f**[35] **𝔓**[66]א A(D) [98%] CP,HF,RP,OC,TR ¦ τοτε **𝔓**[75]B,W [1%] NU ¦ --- [1%]
[16] εν **f**[35] **𝔓**[45]א D [90%] CP,HF,RP ¦ 1 τοις **𝔓**[66]A,B,W [10%] OC,TR,NU
[17] και χειμων **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ 2 **𝔓**[66,75]א B,D,W [3%] NU ¦ 2 δε **𝔓**[45]
[18] στοα **f**[35] א A,D [85%] CP,HF,RP ¦ 1 του **𝔓**[66,75]B,W [15%] OC,TR,NU
[19] σολομωνος **f**[35] **𝔓**[45,66]א B,D [80%] CP,HF,RP,OC,NU ¦ σολομωντος A,W [20%] TR
[20] αλλ **f**[35] D [95%] CP,HF,RP,OC,TR ¦ αλλα **𝔓**[66,75]א A,B,W [5%] NU
[21] ου γαρ **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ οτι ουκ **𝔓**[66,75]א B,D,W [3%] NU
[22] καθως ειπον υμιν **f**[35] **𝔓**[66]A,D (95.4%) CP,HF,RP,OC,TR ¦ --- **𝔓**[75]א B,W (4.6%) NU
[23] ακουει **f**[35] **𝔓**[75]A,D [97%] CP,HF,RP,OC,TR ¦ ακουουσιν **𝔓**[66]א B,W [3%] NU
[24] ζωην αιωνιον διδωμι αυτοις **f**[35] **𝔓**[66]A,D (98.4%) CP,HF,RP,OC,TR ¦ ~ 3412 **𝔓**[75]א B,W (1.6%) NU
[25] ος **f**[35] **𝔓**[66,75]A (97.6%) CP,HF,RP,OC,TR ¦ ο א B,D,W (0.7%) NU ¦ ους (1.1%) ¦ ως (0.3%) ¦ long omissions (0.4%) (**𝔓**[66,75] 4.8% have εδωκεν.)

πάντων[1] ἐστίν· καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ Πατρός μου.[2] **30** Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.»

31 Ἐβάστασαν οὖν[3] πάλιν λίθους οἱ Ἰουδαῖοι ἵνα λιθάσωσιν αὐτόν. **32** Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· «Πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν[4] ἐκ τοῦ Πατρός μου.[5] Διὰ ποῖον αὐτῶν ἔργον λιθάζετέ με;»[6] **33** Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι λέγοντες,[7] «Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας· καὶ ὅτι σύ, ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν Θεόν.» **34** Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς·[8] «Οὐκ ἔστιν γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν,[9] ‹Ἐγὼ εἶπα,[10] θεοί ἐστε›; **35** Εἰ ἐκείνους εἶπεν θεούς, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο—καὶ οὐ δύναται λυθῆναι ἡ Γραφή—**36** ὃν ὁ Πατὴρ ἡγίασεν καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε ὅτι ‹Βλασφημεῖς,› ὅτι εἶπον, ‹Υἱὸς τοῦ Θεοῦ εἰμι›; **37** Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι. **38** Εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε,[11] τοῖς ἔργοις πιστεύσατε,[12] ἵνα γνῶτε καὶ πιστεύσητε[13] ὅτι ἐν ἐμοὶ ὁ Πατήρ, κἀγὼ ἐν αὐτῷ.»[14]

39 Ἐζήτουν οὖν[15] πάλιν πιάσαι αὐτόν,[16] καὶ ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν.

The last three months

10:40 Καὶ ἀπῆλθεν πάλιν[17] πέραν τοῦ Ἰορδάνου, εἰς τὸν τόπον ὅπου ἦν Ἰωάννης τὸ πρῶτον βαπτίζων· καὶ ἔμεινεν ἐκεῖ. **41** Καὶ πολλοὶ ἦλθον πρὸς αὐτὸν καὶ ἔλεγον ὅτι «Ἰωάννης μὲν σημεῖον ἐποίησεν[18] οὐδέν, πάντα δὲ ὅσα εἶπεν Ἰωάννης περὶ τούτου ἀληθῆ ἦν.» **42** Καὶ ἐπίστευσαν πολλοὶ[19] ἐκεῖ εἰς αὐτόν.[20]

Lazarus of Bethany

11:1 Ἦν δέ τις ἀσθενῶν, Λάζαρος ἀπὸ Βηθανίας, ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς. **2** (Ἦν δὲ Μαρία[21] ἡ ἀλείψασα τὸν Κύριον μύρῳ καὶ ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς θριξὶν ἑαυτῆς,[22] ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει.) **3** Ἀπέστειλαν οὖν αἱ ἀδελφαὶ πρὸς αὐτὸν

---

[1] μειζων παντων **f**[35] (**𝔓**[66]) (98%) CP,HF,RP,OC,TR ¦ ~ 21 ℵD,W (0.8%) ¦ μειζον 2 A (0.5%) ¦ ~ 2 μειζον B (0.4%) NU ¦ long omissions (0.3%) (**𝔓**[75] joins ~ 21, but the crucial vowel is missing.)

[2] μου **f**[35] A,D,W (99.1%) CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]ℵB (0.9%) NU

[3] ουν **f**[35] **𝔓**[66]A(D) (98.7%) CP,HF,RP,OC,TR ¦ --- (**𝔓**[45])ℵB,W (1.3%) NU

[4] καλα εργα εδειξα υμιν **f**[35] **𝔓**[66]D (87.7%) CP,HF,RP,OC,TR ¦ 234 W (0.8%) ¦ 134 (1.3%) ¦ ~ 2134 **𝔓**[45v]ℵA (9.7%) NU ¦ ~ 2341 B (0.2%) ¦ ~ 1342 (0.2%) ¦ ~ 3421 **𝔓**[75v] (alone)

[5] μου **f**[35] **𝔓**[66]A,W (99.4%) CP,HF,RP,OC,TR ¦ --- ℵB,D (0.4%) NU ¦ long omissions (0.2%) (Both **𝔓**[45] & [75] have lacunae, but there is enough space for the pronoun.)

[6] λιθαζετε με **f**[35] (**𝔓**[66]A,W)D (98.9%) CP,HF,RP,OC,TR ¦ ~ εμε 1 **𝔓**[45]ℵB (1.1%) NU

[7] λεγοντες **f**[35] D [90%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[45,66]ℵA,B,W [10%] NU

[8] αυτοις ο ιησους **f**[35] **𝔓**[75]ℵA [99.5%] CP,HF,RP,OC,TR[NU] ¦ 13 **𝔓**[45]B,W ¦ ~ 3 και ειπεν 1 **𝔓**[66] ¦ 123 και ειπεν D

[9] υμων **f**[35] A [98.5%] CP,HF,RP,OC,TR ¦ 1 οτι **𝔓**[66,75]B,W [1%] NU ¦ οτι **𝔓**[45](ℵ)D [0.5%]

[10] ειπα **f**[35] **𝔓**[45,66,75]ℵB,W [70%] CP,HF,RP,OC,TR,NU ¦ ειπον A,D [30%]

[11] πιστευητε **f**[35] **𝔓**[45,75]B [89%] CP,HF,RP,OC,TR,NU ¦ πιστευετε A [10%] ¦ πιστευεται ℵW [0.5%] ¦ πιστευηται **𝔓**[66] ¦ θελετε πιστευειν D

[12] πιστευσατε **f**[35] **𝔓**[45]A [95%] CP,HF,RP,OC,TR ¦ πιστευσαται **𝔓**[66] ¦ πιστευετε **𝔓**[75]B [5%] NU ¦ πιστευεται ℵD,W

[13] πιστευσητε **f**[35] A (94.7%) CP,HF,RP,OC,TR ¦ πιστευητε ℵ (1.3%) ¦ γινωσκητε **𝔓**[45(66)75]B (1.4%) NU ¦ γινωσκετε (W) (0.4%) ¦ --- D (0.4%) ¦ long omissions (1.6%) [homoioteleuton]

[14] αυτω **f**[35] **𝔓**[45]A [99%] CP,HF,RP,OC,TR ¦ τω πατρι **𝔓**[75]ℵB,D,W [1%] NU ¦ 1 πατρι **𝔓**[66]

[15] ουν **f**[35] **𝔓**[66]ℵA,W [75%] CP,HF,RP,OC,TR[NU] ¦ δε **𝔓**[45] ¦ --- **𝔓**[75v]B [25%] ¦ ~ και D

[16] ουν παλιν πιασαι αυτον **f**[35] (18.9%) OC ¦ ~ 1243 **𝔓**[66] (32.8%) CP,HF,RP,TR ¦ ~ 1423 A,W (12%) NU ¦ ~ 1432 (0.2%) ¦ ~ 2143 (0.2%) ¦ ~ 243 B (30.3%) ¦ ~ 423 (3.4%) ¦ ~ 143 (**𝔓**[45])ℵ (1.2%) ¦ ~ 43 D (0.6%) ¦ six further variants (0.4%)

[17] παλιν **f**[35] **𝔓**[45]ℵA,B,D,W (89.5%) CP,HF,RP,OC,TR,NU ¦ --- **𝔓**[66] (10.5%)

[18] σημειον εποιησεν **f**[35] **𝔓**[45,66,75]ℵA,B,D (88.4%) CP,HF,RP,OC,TR,NU ¦ ~ 21 W (10.8%) ¦ seven other variants (0.8%)

[19] επιστευσαν πολλοι **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[45,66,75]ℵB,D(W) [3%] NU

[20] εκει εις αυτον **f**[35] [90%] CP,HF,RP,OC,TR ¦ ~ 231 **𝔓**[66,75]ℵA,B,D,W [10%] NU ¦ 23 **𝔓**[45]

[21] μαρια **f**[35] **𝔓**[66]ℵA,D,W [99.5%] CP,HF,RP,OC,TR ¦ μαριαμ B [0.5%] NU

[22] εαυτης **f**[35] [40%] ¦ αυτης **𝔓**[45,66,75]ℵA,B,D,W [60%] CP,HF,RP,OC,TR,NU

λέγουσαι, «Κύριε, ἴδε, ὃν φιλεῖς ἀσθενεῖ.»

Jesus lets Lazarus die on purpose

4 Ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν, «Αὕτη ἡ ἀσθένεια οὐκ ἔστιν πρὸς θάνατον ἀλλ᾽ ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ Θεοῦ δι᾽ αὐτῆς.» **5** (Ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν καὶ τὴν ἀδελφὴν αὐτῆς καὶ τὸν Λάζαρον.) **6** Ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας. **7** Ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς,[1] «Ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν.»

8 Λέγουσιν αὐτῷ οἱ μαθηταί, «Ῥαββί,[2] νῦν ἐζήτουν σε λιθάσαι οἱ Ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ;» **9** Ἀπεκρίθη[3] Ἰησοῦς· «Οὐχὶ δώδεκά ὧραί εἰσιν[4] τῆς ἡμέρας; Ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ οὐ προσκόπτει, ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπει. **10** Ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτὶ προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ.»

11 Ταῦτα εἶπεν, καὶ μετὰ τοῦτο λέγει αὐτοῖς, «Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται, ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω[5] αὐτόν.» **12** Εἶπον οὖν οἱ μαθηταὶ αὐτοῦ,[6] «Κύριε, εἰ κεκοίμηται σωθήσεται.» **13** Εἰρήκει δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ, ἐκεῖνοι δὲ ἔδοξαν ὅτι περὶ τῆς κοιμήσεως τοῦ ὕπνου λέγει. **14** Τότε οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς παρρησίᾳ· «Λάζαρος ἀπέθανεν. **15** Καὶ χαίρω δι᾽ ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι οὐκ ἤμην ἐκεῖ. Ἀλλὰ[7] ἄγωμεν πρὸς αὐτόν.» **16** Εἶπεν οὖν Θωμᾶς (ὁ λεγόμενος Δίδυμος) τοῖς συμμαθηταῖς,[8] «Ἄγωμεν καὶ ἡμεῖς, ἵνα ἀποθάνωμεν μετ᾽ αὐτοῦ.»

17 Ἐλθὼν οὖν ὁ Ἰησοῦς, εὗρεν αὐτὸν τέσσαρας ἡμέρας ἤδη[9] ἔχοντα ἐν τῷ μνημείῳ. **18** (Ἦν δὲ ἡ Βηθανία ἐγγὺς τῶν Ἱεροσολύμων, ὡς ἀπὸ σταδίων δεκαπέντε· **19** καὶ πολλοὶ[10] ἐκ τῶν Ἰουδαίων ἐληλύθεισαν πρὸς τὰς περὶ[11] Μάρθαν καὶ Μαρίαν,[12] ἵνα παραμυθήσωνται[13] αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐτῶν.[14]) **20** Ἡ οὖν Μάρθα, ὡς ἤκουσεν ὅτι[15] Ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ· Μαρία[16] δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο.

Martha

21 Εἶπεν οὖν[17] Μάρθα πρὸς τὸν Ἰησοῦν· «Κύριε, εἰ ἦς ὧδε ὁ ἀδελφός μου οὐκ ἂν ἐτεθνήκει.[18] **22** Ἀλλὰ[19] καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεόν, δώσει σοι ὁ Θεός.» **23** Λέγει αὐτῇ ὁ Ἰησοῦς, «Ἀναστήσεται ὁ ἀδελφός σου.» **24** Λέγει αὐτῷ[20] Μάρθα, «Οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.» **25** Εἶπεν αὐτῇ ὁ Ἰησοῦς· «Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή. Ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται· **26** καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ

---

[1] μαθηταις *rell* ¦ 1 αυτου A,D [20%] CP
[2] ραββι **f**[35] **𝔓**[75v] [90%] CP,HF,RP,OC,TR,NU ¦ ραββει **𝔓**[45,66]א A,B,C,D,W [10%]
[3] απεκριθη **f**[35] **𝔓**[66,75]א A,B,C,D,W [85%] CP,HF,RP,OC,NU ¦ 1 ο **𝔓**[45] [15%] TR
[4] ωραι εισιν **f**[35] **𝔓**[66]א A,B,C,W [60%] CP,NU ¦ ~ 21 [40%] HF,RP,OC,TR ¦ ωρας εχει D
[5] εξυπνισω *rell* ¦ εξυπνησω [15%] ¦ εξυπνισαι D
[6] οι μαθηται αυτου **f**[35] [90%] CP,HF,RP,OC,TR ¦ 12 αυτω **𝔓**[66,75]B,C [8%] NU ¦ ~ αυτω 12 אD,W [2%] ¦ αυτω A
[7] αλλα *rell* ¦ αλλ B [20%] OC,TR
[8] συμμαθηταις **f**[35] **𝔓**[75] [90%] CP,HF,RP,OC,TR,NU ¦ συνμαθηταις **𝔓**[66]א A,B,C,D,W [5%] ¦ μαθηταις [5%]
[9] τεσσαρας ημερας ηδη **f**[35] [98.5%] CP,HF,RP,OC,TR ¦ ~ 132 **𝔓**[75]B,C [1%] NU ¦ ~ 312 **𝔓**[66] ¦ 12 A,D ¦ τεσσαρες 23 א ¦ two other variants
[10] και πολλοι **f**[35] A [98%] CP,HF,RP,OC,TR ¦ ~ 2 δε **𝔓**[66,75]א B,C,D,W [1%] NU ¦ ~ 2 ουν [1%]
[11] τας περι **f**[35] A [99%] HF,RP,OC,TR ¦ την **𝔓**[66,75v]א B,C,W [1%] CP,NU ¦ --- D ¦ one other variant
[12] μαριαν **f**[35] **𝔓**[66]א A,W [99%] CP,HF,RP,OC,TR ¦ μαριαμ **𝔓**[75]B,C,D [1%] NU
[13] παραμυθησωνται *rell* ¦ παραμυθησονται [15%]
[14] αυτων **f**[35] A,C [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[45,66,75]א B,D,W [1%] NU
[15] οτι **f**[35] **𝔓**[45,66,75]א A,B,C,D,W [90%] CP,HF,RP,NU ¦ 1 ο [10%] OC,TR
[16] μαρια *rell* ¦ μαριαμ [1%] NU
[17] ουν **f**[35] A [60%] CP,HF,RP ¦ 1 η **𝔓**[66,75]א B,C,D,W [40%] OC,TR,NU
[18] ο αδελφος μου ουκ αν ετεθνηκει **f**[35] [95%] CP,HF,RP,OC,TR ¦ ~ 45 απεθανεν 123 **𝔓**[75]א B,C,W [0.5%] NU ¦ 12345 απεθανεν **𝔓**[45,66] [2%] ¦ ~ 451236 A ¦ ~ 45123 απεθανεν D ¦ ~ 45 απεθανεν 312 [1%] ¦ two other variants [1%]
[19] αλλα **f**[35] **𝔓**[45,66] A,D,W [99%] CP,HF,RP,OC,TR[NU] ¦ --- **𝔓**[75]א B,C [1%]
[20] αυτω **f**[35] **𝔓**[45,75]א A,W [85%] HF,RP,OC,TR ¦ 1 η **𝔓**[66] B,C,D [15%] CP,NU

εἰς τὸν αἰῶνα. Πιστεύεις τοῦτο;» **27** Λέγει αὐτῷ, «Ναί, Κύριε, ἐγὼ πεπίστευκα ὅτι σὺ εἶ[1] ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ εἰς τὸν κόσμον ἐρχόμενος.»

Mary

28 Καὶ ταῦτα[2] εἰποῦσα, ἀπῆλθεν καὶ ἐφώνησεν Μαρίαν[3] τὴν ἀδελφὴν αὐτῆς, λάθρᾳ εἰποῦσα, «Ὁ διδάσκαλος πάρεστιν καὶ φωνεῖ σε.» **29** Ἐκείνη[4] ὡς ἤκουσεν, ἐγείρεται[5] ταχὺ καὶ ἔρχεται[6] πρὸς αὐτόν. **30** (Οὔπω δὲ ἐληλύθει ὁ Ἰησοῦς εἰς τὴν κώμην, ἀλλ᾽ ἦν ἐν[7] τῷ τόπῳ ὅπου ὑπήντησεν αὐτῷ ἡ Μάρθα. **31** Οἱ οὖν Ἰουδαῖοι οἱ ὄντες μετ᾽ αὐτῆς ἐν τῇ οἰκίᾳ καὶ παραμυθούμενοι αὐτήν, ἰδόντες τὴν Μαρίαν[8] ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν, ἠκολούθησαν αὐτῇ, λέγοντες[9] ὅτι «Ὑπάγει εἰς τὸ μνημεῖον ἵνα κλαύσῃ ἐκεῖ.») **32** Ἡ οὖν Μαρία,[10] ὡς ἦλθεν ὅπου ἦν ὁ[11] Ἰησοῦς, ἰδοῦσα αὐτόν, ἔπεσεν αὐτοῦ εἰς τοὺς πόδας,[12] λέγουσα αὐτῷ, «Κύριε, εἰ ἦς ὧδε οὐκ ἂν ἀπέθανέν μου[13] ὁ ἀδελφός.»

Jesus is troubled

33 Ἰησοῦς οὖν ὡς εἶδεν αὐτὴν κλαίουσαν, καὶ τοὺς συνελθόντας αὐτῇ Ἰουδαίους κλαίοντας, ἐνεβριμήσατο τῷ πνεύματι καὶ ἐτάραξεν ἑαυτόν. **34** Καὶ εἶπεν, «Ποῦ τεθείκατε αὐτόν;» Λέγουσιν αὐτῷ, «Κύριε, ἔρχου καὶ ἴδε.» **35** Ἐδάκρυσεν ὁ Ἰησοῦς. **36** Ἔλεγον οὖν οἱ Ἰουδαῖοι, «Ἴδε πῶς ἐφίλει αὐτόν.» **37** Τινὲς δὲ ἐξ αὐτῶν εἶπον,[14] «Οὐκ ἠδύνατο[15] οὗτος, ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ;» **38** Ἰησοῦς οὖν, πάλιν ἐμβριμώμενος ἐν ἑαυτῷ, ἔρχεται εἰς τὸ μνημεῖον.

Jesus raises Lazarus from the dead

Ἦν δὲ σπήλαιον, καὶ λίθος ἐπέκειτο ἐπ᾽ αὐτῷ. **39** Λέγει ὁ Ἰησοῦς, «Ἄρατε τὸν λίθον.» Λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τεθνηκότος,[16] Μάρθα, «Κύριε, ἤδη ὄζει· τεταρταῖος γάρ ἐστιν.» **40** Λέγει αὐτῇ ὁ Ἰησοῦς, «Οὐκ εἶπόν σοι ὅτι ἐὰν πιστεύσῃς ὄψει[17] τὴν δόξαν τοῦ Θεοῦ;» **41** Ἦραν οὖν τὸν λίθον οὗ ἦν ὁ τεθνηκὼς κείμενος.[18] Ὁ δὲ Ἰησοῦς ἦρεν τοὺς ὀφθαλμοὺς ἄνω καὶ εἶπεν· «Πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου. **42** Ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις, ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας.» **43** Καὶ ταῦτα εἰπών, φωνῇ μεγάλῃ ἐκραύγασεν, «Λάζαρε, δεῦρο ἔξω.» **44** Καὶ[19] ἐξῆλθεν ὁ τεθνηκώς, δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας κειρίαις, καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιεδέδετο. Λέγει αὐτοῖς ὁ Ἰησοῦς, «Λύσατε αὐτὸν καὶ ἄφετε[20] ὑπάγειν.»

---

[1] ει *rell* ¦ --- OC
[2] ταυτα **f**[35] **𝔓**[66]A,D [99.5%] CP,HF,RP,OC,TR ¦ τουτο **𝔓**[75v]א**B**,C,W [0.5%] NU
[3] μαριαν **f**[35] **𝔓**[45,66]א**W** [95%] CP,HF,RP,OC,TR ¦ μαριαμ **𝔓**[75v]A,B,C(D) [5%] NU
[4] εκεινη **f**[35] **𝔓**[66]A,D [98%] CP,HF,RP,OC,TR ¦ 1 δε **𝔓**[75]א**B**,C,W [2%] NU
[5] εγειρεται **f**[35] **𝔓**[45,66]A [98.5%] CP,HF,RP,OC,TR ¦ ηγερθη **𝔓**[75]א**B**,C,D,W [1.5%] NU
[6] ερχεται **f**[35] **𝔓**[45,66]A,D [99%] CP,HF,RP,OC,TR ¦ ηρχετο **𝔓**[75]א**B**,C,W [1%] NU
[7] ην εν **f**[35] A,D [96.5%] CP,HF,RP,OC,TR ¦ 1 ετι 2 **𝔓**[75]א**B**,C,W [2%] NU ¦ 1 ετι επι **𝔓**[66] [1%] ¦ 1 επι **𝔓**[45] [0.5%]
[8] μαριαν **f**[35] **𝔓**[66]א**A**,W [99%] CP,HF,RP,OC,TR ¦ μαριαμ **𝔓**[75]**B**,C,D [1%] NU
[9] λεγοντες **f**[35] **𝔓**[66]A [98%] CP,HF,RP,OC,TR ¦ δοξαντες א**B**,C,D,W [2%] NU ¦ δοξαζοντες **𝔓**[75v]
[10] μαρια **f**[35] **𝔓**[45,66]א**A**,D,W [99%] CP,HF,RP,OC,TR ¦ μαριαμ **𝔓**[75]**B**,C [1%] NU
[11] ο **f**[35] **𝔓**[45]W [95%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]א**A**,B,C,D [5%] NU
[12] αυτου εις τους ποδας **f**[35] **𝔓**[66]A [78%] CP,HF,RP,OC ¦ ~ 2341 [20%] TR ¦ 1 προς 34 א**B**,C,W [2%] NU ¦ ~ προς 341 D
[13] απεθανεν μου **f**[35] **𝔓**[45v]A [99%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[66,75]א**B**,C(D)W [1%] NU
[14] ειπον **f**[35] **𝔓**[(66)75v]B,C(D)W [95%] CP,HF,RP,OC,TR ¦ ειπαν א [alone] NU ¦ ελεγον A [5%]
[15] ηδυνατο **f**[35] א**A** [99%] CP,HF,RP,OC,TR ¦ εδυνατο **𝔓**[66]B,C,D,W [1%] NU
[16] τεθνηκοτος **f**[35] [97%] CP,HF,RP,OC,TR ¦ τετελευτηκοτος א**A**,B,C(D)W [1%] NU ¦ τετελευκοτος **𝔓**[66] ¦ τελευτηκοτος [2%]
[17] οψει **f**[35] [70%] CP,HF,RP,OC,TR ¦ οψη **𝔓**[66]א**A**,B,C,D,W [30%] NU
[18] ου ην ο τεθνηκως κειμενος **f**[35] [96%] CP,HF,RP,OC,TR ¦ 12 A [2%] ¦ --- **𝔓**[66,75]א**B**,C,D,W [2%] NU
[19] και **f**[35] **𝔓**[45v]א**A**,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]**B**,C [0.5%] NU ¦ 1 ευθυς D
[20] αφετε **f**[35] (א)A,D(W) [99%] CP,HF,RP,OC,TR ¦ 1 αυτον **𝔓**[45(66)75]**B**,C [1%] NU

The reaction

45 Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων οἱ ἐλθόντες πρὸς τὴν Μαρίαν,[1] καὶ θεασάμενοι ἃ[2] ἐποίησεν ὁ Ἰησοῦς,[3] ἐπίστευσαν εἰς αὐτόν. **46** Τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς Φαρισαίους καὶ εἶπον αὐτοῖς ὅσα[4] ἐποίησεν ὁ[5] Ἰησοῦς. **47** Συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι συνέδριον, καὶ ἔλεγον· «Τί ποιοῦμεν; Ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ.[6] **48** Ἐὰν ἀφῶμεν αὐτὸν οὕτως,[7] πάντες πιστεύσουσιν εἰς αὐτόν, καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος.»

49 Εἷς δέ τις ἐξ αὐτῶν, Καϊάφας, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς, «Ὑμεῖς οὐκ οἴδατε οὐδέν, **50** οὐδὲ διαλογίζεσθε[8] ὅτι συμφέρει ἡμῖν[9] ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται.» **51** (Τοῦτο δὲ ἀφ᾽ ἑαυτοῦ οὐκ εἶπεν, ἀλλὰ ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου προεφήτευσεν[10] ὅτι ἔμελλεν ὁ[11] Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους· **52** καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ᾽ ἵνα καὶ τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα[12] συναγάγῃ[13] εἰς ἕν.) **53** Ἀπ᾽ ἐκείνης οὖν τῆς ἡμέρας συνεβουλεύσαντο[14] ἵνα ἀποκτείνωσιν αὐτόν.

A tactical withdrawal

54 Ἰησοῦς οὖν[15] οὐκέτι παρρησίᾳ περιεπάτει ἐν τοῖς Ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς Ἐφραὶμ λεγομένην πόλιν. Κἀκεῖ διέτριβεν[16] μετὰ τῶν μαθητῶν αὐτοῦ.[17]

The Passover is near

55 Ἦν δὲ ἐγγὺς τὸ Πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβησαν πολλοὶ εἰς Ἱεροσόλυμα ἐκ τῆς χώρας πρὸ τοῦ Πάσχα ἵνα ἁγνίσωσιν ἑαυτούς. **56** Ἐζήτουν οὖν τὸν Ἰησοῦν, καὶ ἔλεγον μετ᾽[18] ἀλλήλων ἐν τῷ ἱερῷ ἑστηκότες, «Τί ὑμῖν δοκεῖ[19]—ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν;» **57** Δεδώκεισαν δὲ καὶ[20] οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ἐντολήν,[21] ἵνα ἐάν τις γνῷ ποῦ ἐστιν, μηνύσῃ, ὅπως πιάσωσιν αὐτόν.

The last week

Mary anoints Jesus' feet

12:1 Ὁ οὖν Ἰησοῦς, πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος (ὁ τεθνηκώς,[22] ὃν ἤγειρεν ἐκ νεκρῶν).[23] **2** Ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ—καὶ ἡ Μάρθα διηκόνει,

---

[1] μαριαν **f**[35] **𝔓**[45,66]א**A,W** [99.5%] CP,HF,RP,OC,TR ¦ μαριαμ **𝔓**[6]**B,C,D** [0.5%] NU
[2] α *rell* ¦ οσα CP ¦ ο **𝔓**[66]**B,C,D** [1%]
[3] ο ιησους **f**[35] **D** [98%] CP,HF,RP,OC,TR ¦ 2 א ¦ --- **𝔓**[6,45,66]**A,B,C,W** [2%] NU
[4] οσα **f**[35] **A** [29%] ¦ α **𝔓**[66]א**B** [70%] CP,HF,RP,OC,TR,NU ¦ ο **C,D** [1%]
[5] ο **f**[35] א**A,W** [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[6,66]**B,C,D** [0.5%] NU
[6] σημεια ποιει **f**[35] **D** [98%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[45v,66]א**A,B,W** [2%] NU
[7] ουτως **f**[35] **𝔓**[45,66]א**A,B,D,W** [50%] CP,RP,NU (Just for the record, *sigma* before consonant.)
[8] διαλογιζεσθε **f**[35] [98%] CP,HF,RP,OC,TR ¦ λογιζεσθε **𝔓**[66]א**A,B,D,W** [2%] NU
[9] ημιν **f**[35] **A,W** [98%] CP,HF,RP,OC,TR ¦ υμιν **𝔓**[45,66]**B,D** [2%] NU ¦ --- א
[10] προεφητευσεν **f**[35] **A,W** [99%] CP,HF,RP,OC,TR ¦ επροφητευσεν **𝔓**[45,66]א**B,D** [1%] NU
[11] ο **f**[35] [35%] CP,OC,TR ¦ --- **𝔓**[45,66]א**A,B(D,W)** [65%] HF,RP,NU
[12] διεσκορπισμενα *rell* ¦ διασκορπισμενα CP ¦ εσκορπισμενα **𝔓**[45,66]**D**
[13] συναγαγη *rell* ¦ συναγαγει [1%] CP
[14] συνεβουλευσαντο **f**[35] **A** [98%] CP,HF,RP,OC,TR ¦ εβουλευσαντο **𝔓**[45,66,75]א**B,D,W** [2%] NU
[15] ιησους ουν **f**[35] **A,D** [97%] CP,HF,RP,OC,TR ¦ ~ ο 21 **𝔓**[75v]א**B,W** [3%] NU ¦ ο δε 1 **𝔓**[66]
[16] διετριβεν **f**[35] (**𝔓**[45])**A,D** [99%] CP,HF,RP,OC,TR ¦ εμεινεν **𝔓**[66,75]א**B,W** [1%] NU
[17] αυτου **f**[35] **A** [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]א**B,D,W** [2%] NU
[18] μετ *rell* ¦ μετα [1%] CP
[19] υμιν δοκει **f**[35] [20%] ¦ ~ 21 **𝔓**[45v,66,75v]א**A,B,W** [80%] CP,HF,RP,OC,TR,NU ¦ δοκειτε **D** ¦ two other variants
[20] και **f**[35] **D** [90%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]א**A,B,W** [10%] NU
[21] εντοληην **f**[35] **𝔓**[66]**A,D** [97%] CP,HF,RP,OC,TR ¦ εντολας א**B,W** [3%] NU
[22] ο τεθνηκως **f**[35] **𝔓**[66]**A,D** [99.5%] CP,HF,RP,OC,TR ¦ --- א**B,W** [0.5%] NU
[23] εκ νεκρων **f**[35] [95%] CP,HF,RP,OC,TR ¦ 12 ιησους **𝔓**[66]**B** [alone] NU ¦ 12 ο ιησους **A,D,W** [5%] ¦ ιησους 12 א

ὁ δὲ Λάζαρος εἷς ἦν[1] τῶν ἀνακειμένων σὺν[2] αὐτῷ. **3** Ἡ οὖν Μαρία,[3] λαβοῦσα λίτραν μύρου νάρδου, πιστικῆς πολυτίμου, ἤλειψεν τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐξέμαξεν ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ. Ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου.

Judas has a problem

4 Λέγει οὖν[4] εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἰούδας Σίμωνος Ἰσκαριώτης[5] (ὁ μέλλων αὐτὸν παραδιδόναι), **5** «Διὰ τί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων καὶ ἐδόθη πτωχοῖς;» **6** (Εἶπεν δὲ τοῦτο, οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν[6] αὐτῷ, ἀλλ᾽ ὅτι κλέπτης ἦν καὶ τὸ γλωσσόκομον εἶχεν, καὶ[7] τὰ βαλλόμενα ἐβάσταζεν.) **7** Εἶπεν οὖν ὁ Ἰησοῦς· «Ἄφες αὐτήν·[8] εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν[9] αὐτό. **8** Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ᾽ ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.»

Lazarus <u>is</u> a problem

9 Ἔγνω οὖν[10] ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων ὅτι ἐκεῖ ἐστιν· καὶ ἦλθον, οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ᾽ ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν, ὃν ἤγειρεν ἐκ νεκρῶν. **10** Ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν, **11** ὅτι πολλοὶ δι᾽ αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν.

The 'Triumphal' Entry

12 Τῇ ἐπαύριον[11] ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτήν, ἀκούσαντες ὅτι ἔρχεται ὁ[12] Ἰησοῦς εἰς Ἰεροσόλυμα, **13** ἔλαβον τὰ βαΐα τῶν φοινίκων καὶ ἐξῆλθον εἰς ἀπάντησιν[13] αὐτῷ. Καὶ ἔκραζον·[14] «Ὡσαννά.» «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.»[15] «Βασιλεὺς τοῦ Ἰσραήλ.» **14** Εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον, ἐκάθισεν[16] ἐπ᾽ αὐτῷ·[17] καθώς ἐστιν γεγραμμένον· **15** «Μὴ

---

[1] ην **f**[35] A,D,W [99.5%] CP,HF,RP,OC,TR ¦ 1 εκ ℵB [0.5%] NU ¦ εκ 𝔓[66]

[2] ανακειμενων συν *rell* ¦ συνανακειμενων W [10%] TR

[3] μαρια **f**[35] 𝔓[66]ℵA,D,W [99%] CP,HF,RP,OC,TR ¦ μαριαμ B [1%] NU

[4] ουν **f**[35] A,D,Q [99%] CP,HF,RP,OC,TR ¦ δε 𝔓[66]ℵB,W [0.5%] NU ¦ --- [0.5%]

[5] εις εκ των μαθητων αυτου ιουδας σιμωνος ισκαριωτης **f**[35] A [97.5%] CP,HF,RP,OC,TR ¦ 1234567 ο 8 [1%] ¦ ~ 6 ο 812345 ℵ [0.5%] [NU] ¦ ~ 6 ο 81345 𝔓[66,75v]B,W [1%] ¦ 1345678 Q ¦ three other variants

[6] εμελεν **f**[35] 𝔓[66,75]ℵA,B,D,Q,W [40%] HF,RP,OC,TR,NU ¦ εμελλεν **f**[35pt] [60%] CP ¦ one other variant [As is typical of variation within the family, the difference is of one letter. However, in this case that one letter changes the verb! Is the verb μελω or μελλω? μελει as an impersonal form is most common; however, the verb is also used in a personal/active sense. μελλω ('to be about to') simply does not make sense here. μελλω is about ten times as frequent in the NT and some copyists may have put the more customary spelling without thinking. They had just written μελλων two lines above and may have repeated the form by attraction. However, since both forms have the same pronunciation, someone hearing the Text read aloud would understand it correctly, being guided by the context. Someone reading to himself would do the same. Precisely for this reason, it may be that the semantic area of the longer form came to be regarded as including that of the shorter form; in which case we would have alternate spellings of the same verb. It is not my custom to appeal to the early uncials, but all of them—P[66,75],ℵ A,B,D,Q,W—have the shorter form here, which would go along with my hypothesis above. In spite of the lopsided attestation (roughly two to one for the longer form), since the central meaning of the longer form cannot be correct, being nonsense, I conclude that the first form reproduces the archetype, beyond reasonable doubt.]

[7] ειχεν και **f**[35] 𝔓[66]A [98.5%] CP,HF,RP,OC,TR ¦ εχων 𝔓[75]ℵB,D,Q,W [1%] NU ¦ εχων 2 [0.5%]

[8] αυτην **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ 1 ινα 𝔓[66,75]ℵB,D,Q,W [2%] NU ¦ 1 οτι [1%]

[9] τετηρηκεν **f**[35] A [98%] CP,HF,RP,OC,TR ¦ τηρηση 𝔓[66,75]ℵB(D)Q,W [2%] NU

[10] ουν **f**[35] 𝔓[66,75]A,Q [99.5%] CP,HF,RP,OC,TR ¦ 1 ο ℵB,W [0.5%] [NU] ¦ δε (D)

[11] επαυριον **f**[35] ℵA,D,Q,W [99.5%] CP,HF,RP,OC,TR ¦ επαυριον ο 𝔓[66]B [0.5%] NU

[12] ο **f**[35] 𝔓[66,75]B [40%] CP,TR,NU ¦ --- ℵ(A)D,Q,W [60%] HF,RP,OC

[13] απαντησιν **f**[35] A [38%] ¦ υπαντησιν 𝔓[66,75]ℵB,Q,W [60%] CP,HF,RP,OC,TR,NU ¦ συναντησιν D [2%] [Moulton & Milligan (p. 53) opine that απαντησις "seems to have been a kind of *t.t.* for the official welcome of a newly arrived dignitary—a usage which accords excellently with its NT usage".]

[14] εκραζον **f**[35] A [98.5%] CP,HF,RP,OC,TR ¦ εκραυγαζον 𝔓[75]ℵD,W [1%] NU ¦ εκραυγασαν 𝔓[66]B,Q [0.5%]

[15] κυριου **f**[35] A [95%] CP,HF,RP,OC ¦ 1 ο 𝔓[66]D [4%] TR ¦ 1 και ο 𝔓[75]ℵB,Q,W [1%] [NU]

[16] εκαθισεν *rell* ¦ εκαθησεν [10%] CP

[17] αυτω **f**[35] [30%] CP ¦ αυτο 𝔓[66,75]ℵA,B,D,Q,W [70%] HF,RP,OC,TR,NU [The dative fits better with verse 15 than

φοβοῦ, θύγατερ[1] Σιών· ἰδού, ὁ Βασιλεύς σου ἔρχεται, καθήμενος ἐπὶ πῶλον ὄνου.» **16** (Ταῦτα δὲ[2] οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ[3] τὸ πρῶτον· ἀλλ᾽ ὅτε ἐδοξάσθη ὁ[4] Ἰησοῦς, τότε ἐμνήσθησαν ὅτι ταῦτα ἦν ἐπ᾽ αὐτῷ γεγραμμένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ.)

17 Ἐμαρτύρει οὖν ὁ ὄχλος ὁ ὢν μετ᾽ αὐτοῦ ὅτε τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. **18** Διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ[5] ὁ ὄχλος, ὅτι ἤκουσεν[6] τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. **19** Οἱ οὖν Φαρισαῖοι εἶπον πρὸς ἑαυτούς· «Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν· ἴδε, ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν.»

Some Greeks

20 Ἦσαν δέ τινες Ἕλληνες[7] ἐκ τῶν ἀναβαινόντων ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ. **21** Οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτὸν λέγοντες, «Κύριε, θέλομεν τὸν Ἰησοῦν ἰδεῖν.» **22** Ἔρχεται[8] Φίλιππος καὶ λέγει τῷ Ἀνδρέᾳ, καὶ πάλιν[9] Ἀνδρέας καὶ Φίλιππος[10] λέγουσιν τῷ Ἰησοῦ. **23** Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο[11] αὐτοῖς λέγων· «Ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ Ἀνθρώπου. **24** Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου, πεσὼν εἰς τὴν γῆν, ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. **25** Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει[12] αὐτήν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ, ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. **26** Ἐὰν ἐμοὶ διακονῇ τις,[13] ἐμοὶ ἀκολουθείτω· καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται. Καί,[14] ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ Πατήρ.

A Voice out of Heaven

27 »Νῦν ἡ ψυχή μου τετάρακται, καὶ τί εἴπω—‹Πάτερ, σῶσον με ἐκ τῆς ὥρας ταύτης›; Ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην—**28** ‹Πάτερ, δόξασόν σου τὸ ὄνομα.› » Ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ, «Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω.» **29** Ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας ἔλεγεν βροντὴν γεγονέναι. Ἄλλοι ἔλεγον, «Ἄγγελος αὐτῷ λελάληκεν.» **30** Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν·[15] «Οὐ δι᾽ ἐμὲ αὕτη ἡ φωνὴ[16] γέγονεν, ἀλλὰ δι᾽ ὑμᾶς. **31** Νῦν κρίσις ἐστὶν τοῦ κόσμου τούτου·[17] νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. **32** Κἀγώ, ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν.» **33** (Τοῦτο δὲ ἔλεγεν σημαίνων ποίῳ θανάτῳ ἤμελλεν[18] ἀποθνήσκειν.) **34** Ἀπεκρίθη[19] αὐτῷ ὁ ὄχλος· «Ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις,[20] ‹Δεῖ[21] ὑψωθῆναι τὸν Υἱὸν τοῦ Ἀνθρώπου›; Τίς ἐστιν οὗτος ὁ Υἱὸς τοῦ Ἀνθρώπου;»

35 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· «Ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ᾽ ὑμῶν[22] ἐστιν. Περιπατεῖτε

---

does the accusative.]

[1] θυγατερ **f**^{35} א [97%] CP,HF,RP,OC,TR ¦ θυγατηρ **𝔓**^{66}A,B,D,Q,W [3%] NU

[2] δε **f**^{35} A,D [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**^{66}אB,Q,W [0.5%] NU

[3] οι μαθηται αυτου **f**^{35} **𝔓**^{66}A,D,Q,W [97.5%] CP,HF,RP,OC,TR ¦ ~ 312 **𝔓**^{75}אB [0.5%] NU ¦ 12 [2%]

[4] ο **f**^{35} D,W [80%] CP,HF,OC,TR ¦ --- **𝔓**^{66,75}אA,B,Q [20%] RP,NU

[5] και υπηντησεν αυτω **f**^{35} אA(D)Q,W [99%] CP,HF,RP,OC,TR[NU] ¦ 23 **𝔓**^{66,75} [1%] ¦ ~ 231 B

[6] ηκουσεν **f**^{35} [90%] CP,HF,RP,TR ¦ ηκουσαν **𝔓**^{66,75}אA,B,D,Q,W [10%] OC,NU

[7] τινες ελληνες **f**^{35} A [97%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**^{66,75}אB,Q,W [3%] NU ¦ ~ και 21 D

[8] ερχεται **f**^{35} אA,D,W [99%] CP,HF,RP,OC,TR ¦ 1 ο **𝔓**^{66,75}B [1%] NU

[9] και παλιν **f**^{35} **𝔓**^{66}W [99%] CP,HF,RP,OC,TR ¦ ερχεται **𝔓**^{75}A,B [0.5%] NU ¦ 12 ερχεται א [0.5%] ¦ 2 D

[10] φιλιππος **f**^{35} **𝔓**^{66}D,W [99%] CP,HF,RP,OC,TR ¦ 1 και **𝔓**^{75}אA,B [1%] NU

[11] απεκρινατο **f**^{35} A,D [98%] CP,HF,RP,OC,TR ¦ αποκρινεται **𝔓**^{66,75}א(B)W [1%] NU ¦ απεκριθη [1%]

[12] απολεσει **f**^{35} A,D [98.5%] CP,HF,RP,OC,TR ¦ απολλυει **𝔓**^{66,75}אB,W [1%] NU ¦ two other variants [0.5%]

[13] διακονη τις **f**^{35} [90%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**^{66,75}אA,B(D)W [9%] NU ¦ διακονει 2 [1%]

[14] και **f**^{35} A [95%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**^{66,75}אB,D,W [5%] NU

[15] ιησους και ειπεν **f**^{35} **𝔓**^{66}D,W [50%] CP,RP,NU ¦ ο 123 A [50%] HF,OC,TR ¦ ~ 231 **𝔓**^{75}B ¦ 1 א

[16] αυτη η φωνη **f**^{35} [97%] CP,HF,RP,OC,TR ¦ ~ 231 **𝔓**^{66,75}אA,B,D,W [3%] NU

[17] τουτου *rell* ¦ --- **𝔓**^{66}D,W,CP

[18] ημελλεν **f**^{35} **𝔓**^{66,75}A,B,D,W [60%] CP,OC,TR,NU ¦ εμελλεν א [40%] HF,RP

[19] απεκριθη **f**^{35} A,D [99%] CP,HF,RP,OC,TR ¦ 1 ουν **𝔓**^{66,75v}אB,W [1%] NU

[20] συ λεγεις **f**^{35} **𝔓**^{66}אA,D [99.5%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**^{75}B,W [0.5%] NU

[21] δει **f**^{35} **𝔓**^{75} [70%] CP,HF,RP,OC ¦ οτι 1 **𝔓**^{66}אA,B,D,W [30%] TR,NU

[22] μεθ υμων **f**^{35} A [90%] CP,HF,RP,OC,TR ¦ εν υμιν **𝔓**^{66,75}אB,D,W [10%] NU

ἕως[1] τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ· καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδεν ποῦ ὑπάγει. **36** Ἕως[2] τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε.» Ταῦτα ἐλάλησεν ὁ[3] Ἰησοῦς, καὶ ἀπελθὼν ἐκρύβη ἀπ᾽ αὐτῶν.

An editorial comment

37 Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν, οὐκ ἐπίστευον εἰς αὐτόν· **38** ἵνα ὁ λόγος Ἡσαΐου τοῦ προφήτου πληρωθῇ, ὃν εἶπεν· «Κύριε, τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν; Καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;» **39** Διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι πάλιν εἶπεν Ἡσαΐας· **40** «Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμούς, καὶ πεπώρωκεν[4] αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσιν τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσιν τῇ καρδίᾳ καὶ ἐπιστραφῶσιν,[5] καὶ ἰάσωμαι[6] αὐτούς.» **41** Ταῦτα εἶπεν Ἡσαΐας ὅτε[7] εἶδεν τὴν δόξαν αὐτοῦ καὶ ἐλάλησεν περὶ αὐτοῦ.

42 Ὅμως μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτόν, ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· **43** ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ Θεοῦ.

The last public word

44 Ἰησοῦς δὲ ἔκραξεν καὶ εἶπεν· «Ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμὲ ἀλλ᾽[8] εἰς τὸν πέμψαντά με. **45** Καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με. **46** Ἐγώ, φῶς, εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ. **47** Καί, ἐάν τίς μου ἀκούσῃ τῶν ῥημάτων καὶ μὴ πιστεύσῃ,[9] ἐγὼ οὐ κρίνω αὐτόν· οὐ γὰρ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ᾽ ἵνα σώσω τὸν κόσμον. **48** Ὁ ἀθετῶν ἐμὲ καὶ μὴ λαμβάνων τὰ ῥήματά μου ἔχει τὸν κρίνοντα αὐτόν— ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· **49** ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ᾽ ὁ πέμψας με Πατήρ, αὐτός μοι ἐντολὴν ἔδωκεν,[10] τί εἴπω καὶ τί λαλήσω. **50** Καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν. Ἃ οὖν λαλῶ ἐγώ,[11] καθὼς εἴρηκέν μοι ὁ Πατήρ, οὕτως λαλῶ.»

The last night

13:1 Πρὸ δὲ τῆς ἑορτῆς τοῦ Πάσχα, εἰδὼς ὁ Ἰησοῦς ὅτι ἐλήλυθεν[12] αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν Πατέρα, ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠγάπησεν αὐτούς.

Jesus washes the disciples' feet

2 Καὶ δείπνου γενομένου[13] (τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα Σίμωνος Ἰσκαριώτου ἵνα αὐτὸν παραδῷ),[14] **3** εἰδὼς ὁ Ἰησοῦς[15] ὅτι πάντα δέδωκεν[16] αὐτῷ ὁ Πατὴρ εἰς τὰς

---

[1] εως **f**[35] **𝔓**[66]א [97%] CP,HF,RP,OC,TR ¦ ως **𝔓**[75]A,B,W [3%] NU ¦ ουν ως D

[2] εως **f**[35] **𝔓**[66] [98%] CP,HF,RP,OC,TR ¦ ως **𝔓**[75]אA,B,D,W [2%] NU

[3] ο **f**[35] **𝔓**[75]A,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]אB,D [0.5%] NU

[4] πεπωρωκεν **f**[35] [95.5%] CP,HF,RP,OC,TR ¦ επωρωσεν A,B [2%] NU ¦ επηρωσεν **𝔓**[66,75]אW [2%] ¦ --- D ¦ four other variants

[5] επιστραφωσιν **f**[35] A [95.5%] CP,HF,RP,OC,TR ¦ στραφωσιν **𝔓**[66,75v](א)B,D [0.5%] NU ¦ επιστρεψωσιν W [2%] ¦ at least four further variants [2%]

[6] ιασωμαι **f**[35] [80%] CP,HF,RP,TR ¦ ιασομαι **𝔓**[66,75]אA,B,D,W [20%] OC,NU

[7] οτε **f**[35] D [98%] CP,HF,RP,OC,TR ¦ οτι **𝔓**[66,75]אA,B [2%] NU ¦ επει W

[8] αλλ **f**[35] **𝔓**[66]A [99%] CP,HF,RP,OC,TR ¦ αλλα **𝔓**[75]אB,D,W [1%] NU

[9] πιστευση **f**[35] [90%] CP,HF,RP,OC,TR ¦ φυλαξη **𝔓**[(66)75]אA,B,D,W [10%] NU

[10] εδωκεν **f**[35] D [95%] CP,HF,RP,OC,TR ¦ δεδωκεν **𝔓**[66]אA,B,W [5%] NU

[11] λαλω εγω **f**[35] [96%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[66,75v]אA,B,W [4%] NU ¦ 1 D

[12] εληλυθεν **f**[35] [90%] CP,HF,RP,OC,TR ¦ ηλθεν אA,B,W [10%] NU ¦ ηκει **𝔓**[66] ¦ παρην D

[13] γενομενου **f**[35] (**𝔓**[66])A,D [99.5%] CP,HF,RP,OC,TR ¦ γινομενου B [0.3%] NU ¦ γεινομενου אW

[14] ιουδα σιμωνος ισκαριωτου ινα αυτον παραδω **f**[35] A [96.5%] CP,HF,RP,OC,TR ¦ 23456 [1%] ¦ ~ 4 παραδοι 5 ιουδας 2 ισκαριωτης אB ¦ ~ 465 ιουδας 23 [2%] ¦ ~ 4 παραδοι 5 ιουδας 23 [none!] NU ¦ ~ 465 ιουδας σιμωννος ισκαριωτης **𝔓**[66] ¦ ~ 465 ιδας 2 ισκαριωτη W ¦ two further variants D [NU serves up a lovely patchwork quilt.]

[15] ο ιησους **f**[35] A [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]אB,D,W [1%] NU ¦ δε 12 [1%]

[16] δεδωκεν **f**[35] **𝔓**[66]A,D [97%] CP,HF,RP,OC,TR ¦ εδωκεν אB,W [3%] NU

χεῖρας, καὶ ὅτι ἀπὸ Θεοῦ ἐξῆλθεν καὶ πρὸς τὸν Θεὸν ὑπάγει, **4** ἐγείρεται ἐκ τοῦ δείπνου καὶ τίθησιν τὰ ἱμάτια, καὶ λαβὼν λέντιον διέζωσεν ἑαυτόν. **5** Εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος.

Simon Peter

6 Ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον· καὶ[1] λέγει αὐτῷ ἐκεῖνος,[2] «Κύριε, σύ μου νίπτεις τοὺς πόδας;» **7** Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ, «Ὃ ἐγὼ ποιῶ σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα.» **8** Λέγει αὐτῷ[3] Πέτρος, «Οὐ μὴ νίψῃς τοὺς πόδας μου[4] εἰς τὸν αἰῶνα.» Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς,[5] «Ἐὰν μὴ νίψω σε, οὐκ[6] ἔχεις μέρος μετ᾽ ἐμοῦ.» **9** Λέγει αὐτῷ Σίμων Πέτρος, «Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν.» **10** Λέγει αὐτῷ ὁ Ἰησοῦς, «Ὁ λελουμένος οὐ χρείαν ἔχει[7] ἢ τοὺς πόδας[8] νίψασθαι, ἀλλ᾽ ἔστιν καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ᾽ οὐχὶ πάντες.» **11** (Ἤδει γὰρ τὸν παραδιδόντα αὐτόν· διὰ τοῦτο εἶπεν,[9] «Οὐχὶ πάντες καθαροί ἐστε.»)

Jesus explains His action

12 Ὅτε οὖν ἔνιψεν τοὺς πόδας αὐτῶν[10] καὶ[11] ἔλαβεν τὰ ἱμάτια αὐτοῦ, ἀναπεσὼν[12] πάλιν, εἶπεν αὐτοῖς· «Γινώσκετε τί πεποίηκα ὑμῖν; **13** Ὑμεῖς φωνεῖτέ με ‹Ὁ Διδάσκαλος,› καὶ ‹Ὁ Κύριος,› καὶ καλῶς λέγετε, εἰμὶ γάρ. **14** Εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ Κύριος καὶ ὁ Διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. **15** Ὑπόδειγμα γὰρ δέδωκα[13] ὑμῖν, ἵνα καθὼς[14] ἐποίησα ὑμῖν καὶ ὑμεῖς ποιῆτε.[15]

16 »Ἀμήν, ἀμὴν λέγω ὑμῖν, οὐκ ἔστιν δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. **17** Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά.

18 »Οὐ περὶ πάντων ὑμῶν λέγω—ἐγὼ[16] οἶδα οὓς[17] ἐξελεξάμην. Ἀλλ᾽ ἵνα ἡ Γραφὴ πληρωθῇ· ‹Ὁ τρώγων μετ᾽ ἐμοῦ[18] τὸν ἄρτον ἐπῆρεν ἐπ᾽ ἐμὲ τὴν πτέρναν αὐτοῦ.› **19** Ἀπ᾽ ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα ὅταν γένηται πιστεύσητε[19] ὅτι ἐγώ εἰμι. **20** Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὁ λαμβάνων ἐάν[20] τινα πέμψω ἐμὲ λαμβάνει· ὁ δὲ ἐμὲ λαμβάνων λαμβάνει τὸν πέμψαντά με.»

The traitor is identified

21 Ταῦτα εἰπὼν ὁ[21] Ἰησοῦς ἐταράχθη τῷ πνεύματι καὶ ἐμαρτύρησεν καὶ εἶπεν, «Ἀμήν, ἀμὴν

---

[1] και **f**[35] ℵA,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]B,D [0.5%] NU
[2] εκεινος **f**[35] A,D,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66](ℵ)B [0.5%] NU
[3] αυτω *rell* ¦ 1 ο [15%]
[4] νιψης τους ποδος μου **f**[35] ℵA [97%] CP,HF,RP,OC,TR ¦ ~ 1423 **𝔓**[66]B,C,W [1%] NU ¦ ~ 4123 D [2%]
[5] αυτω ο ιησους **f**[35] ℵ [94%] CP,HF,RP,OC,TR ¦ ~ 31 A,B,C [0.5%] NU ¦ 13 **𝔓**[66]W [5%] ¦ 3 D [0.5%]
[6] ουκ *rell* ¦ ουχ CP
[7] ου χρειαν εχει **f**[35] D [99%] CP,HF,RP,OC,TR ¦ ~ ουκ 32 **𝔓**[66]ℵA,B,C,W [1%] NU
[8] η τους ποδας **f**[35] A [96%] CP,HF,RP,OC,TR ¦ ει μη 23 B,C,W [3%] NU ¦ ει μη 23 μονον **𝔓**[66](D) ¦ 23 [0.5%] ¦ --- ℵ
[9] ειπεν **f**[35] ℵA [99%] CP,HF,RP,OC,TR ¦ 1 οτι **𝔓**[66]B,C,W [1%] NU ¦ --- D
[10] αυτων *rell* ¦ των μαθητων [15%]
[11] και **f**[35] B,C,D,W [99%] CP,HF,RP,OC,TR[NU] ¦ --- **𝔓**[66]ℵA [1%]
[12] αναπεσων **f**[35] D [99%] CP,HF,RP,OC,TR ¦ και ανεπεσεν ℵB,C,W [0.5%] NU ¦ και 1 **𝔓**[66] [0.5%] ¦ --- A
[13] δεδωκα **f**[35] **𝔓**[66]ℵA [35%] CP,OC ¦ εδωκα B,C,D,W [65%] HF,RP,TR,NU
[14] καθως **f**[35] [25%] ¦ 1 εγω **𝔓**[66]ℵA,B,C,D,W [75%] CP,HF,RP,OC,TR,NU
[15] ποιητε *rell* ¦ ποιειτε D [30%]
[16] εγω *rell* ¦ 1 γαρ ℵA [15%]
[17] ους **f**[35] **𝔓**[66]A,D,W [98%] CP,HF,RP,OC,TR ¦ τινας ℵB,C [2%] NU
[18] μετ εμου **f**[35] **𝔓**[66]ℵA,D,W [99.5%] CP,HF,RP,OC,TR ¦ μου B,C [0.5%] NU
[19] οταν γενηται πιστευσητε **f**[35] A [98%] CP,HF,RP,OC,TR ¦ 12 πιστευσηται D,W [1%] ¦ 12 πιστευητε C ¦ ~ 312 [0.5%] NU ¦ ~ πιστευσηται 12 **𝔓**[66]ℵ ¦ ~ πιστευητε 12 B
[20] εαν **f**[35] D [97%] CP,HF,RP,OC,TR ¦ αν **𝔓**[66]ℵB,C,W [3%] NU ¦ α A
[21] ο **f**[35] A,C,D,W [99.5%] CP,HF,RP,OC,TR[NU] ¦ --- **𝔓**[66]ℵB [0.5%]

λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.» **22** Ἔβλεπον δὲ[1] πρὸς[2] ἀλλήλους οἱ μαθηταί, ἀπορούμενοι περὶ τίνος λέγει. **23** Ἦν δὲ[3] ἀνακείμενος εἷς[4] τῶν μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, ὃν ἠγάπα ὁ Ἰησοῦς. **24** Νεύει οὖν τούτῳ Σίμων Πέτρος πυθέσθαι τίς ἂν εἴη περὶ οὗ λέγει. **25** Ἐπιπεσὼν[5] δὲ[6] ἐκεῖνος[7] ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ, λέγει αὐτῷ, «Κύριε, τίς ἐστιν;» **26** Ἀποκρίνεται ὁ[8] Ἰησοῦς, «Ἐκεῖνός ἐστιν ᾧ ἐγὼ βάψας[9] τὸ ψωμίον ἐπιδώσω.»[10] Καὶ ἐμβάψας[11] τὸ ψωμίον[12] δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτῃ.[13] **27** Καὶ μετὰ τὸ ψωμίον, τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς. Λέγει οὖν αὐτῷ ὁ Ἰησοῦς, «Ὃ ποιεῖς, ποίησον τάχιον.» **28** (Τοῦτο δὲ[14] οὐδεὶς ἔγνω τῶν ἀνακειμένων πρὸς τί εἶπεν αὐτῷ. **29** Τινὲς γὰρ ἐδόκουν, ἐπεὶ τὸ γλωσσόκομον εἶχεν ὁ[15] Ἰούδας, ὅτι λέγει αὐτῷ ὁ[16] Ἰησοῦς, «Ἀγόρασον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν,» ἢ τοῖς πτωχοῖς ἵνα τι δῷ.) **30** Λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος, εὐθέως ἐξῆλθεν.[17] Ἦν δὲ νύξ.

A new commandment

31 Ὅτε[18] ἐξῆλθεν, λέγει ὁ[19] Ἰησοῦς· «Νῦν ἐδοξάσθη ὁ Υἱὸς τοῦ Ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ. **32** Εἰ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ,[20] καὶ ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ,[21] καὶ εὐθὺς δοξάσει αὐτόν.

33 »Τεκνία, ἔτι μικρὸν μεθ᾽ ὑμῶν εἰμι. Ζητήσετέ με, καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις ὅτι ‹Ὅπου ὑπάγω ἐγώ,[22] ὑμεῖς οὐ δύνασθε ἐλθεῖν,› καὶ ὑμῖν λέγω ἄρτι.

34 »Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς—ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. **35** Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.»

Jesus warns Peter

36 Λέγει αὐτῷ Σίμων Πέτρος, «Κύριε, ποῦ ὑπάγεις;» Ἀπεκρίθη αὐτῷ[23] ὁ[24] Ἰησοῦς, «Ὅπου ἐγὼ[25] ὑπάγω οὐ δύνασαί μοι[26] νῦν ἀκολουθῆσαι, ὕστερον δὲ ἀκολουθήσεις μοι.»[27] **37** Λέγει αὐτῷ[28] Πέτρος· «Κύριε, διὰ τί οὐ δύναμαί σοι ἀκολουθῆσαι ἄρτι; Τὴν ψυχήν μου ὑπὲρ σοῦ

---

[1] δε **f**[35] [20%] ¦ ουν **𝔓**[66](א)A,D,W [79.5%] CP,HF,RP,OC,TR ¦ --- B,C [0.5%] NU
[2] προς **f**[35] [25%] ¦ εις **𝔓**[66]אA,B,C,D,W [75%] CP,HF,RP,OC,TR,NU
[3] δε **f**[35] **𝔓**[66]אA,D,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- B,C [0.5%] NU
[4] εις **f**[35] [90%] CP,HF,RP,TR ¦ 1 εκ **𝔓**[66]אA,B,C,D,W [10%] OC,NU
[5] επιπεσων **f**[35] אA,D,W [95%] CP,HF,RP,OC,TR ¦ αναπεσων **𝔓**[66]B,C [5%] NU
[6] δε **f**[35] A [96%] CP,HF,RP,OC,TR ¦ ουν **𝔓**[66]א,D,W [4%] NU ¦ --- B,C
[7] εκεινος **f**[35] אA,D,W [50%] CP,OC,TR ¦ 1 ουτως **𝔓**[66]B,C [45%] HF,RP,NU ¦ 1 ουτος [5%]
[8] ο **f**[35] אA,C,D [97%] CP,HF,RP,OC,TR[NU] ¦ --- **𝔓**[66]B,W [3%]
[9] βαψας **f**[35] **𝔓**[66]א [95%] CP,HF,RP,OC,TR ¦ βαψω B,C [1%] NU ¦ εμβαψας A(D,W) [4%]
[10] επιδωσω **f**[35] **𝔓**[66]אA,D [98%] CP,HF,RP,OC,TR ¦ και δωσω αυτω B,C [0.5%] NU ¦ δωσω (W) ¦ two other variants
[11] και εμβαψας **f**[35] A(W) [99%] CP,HF,RP,OC,TR ¦ ~ βαψας ουν אB,C [0.5%] NU ¦ 1 βαψας D [0.5%] ¦ 1 ψας **𝔓**[66]
[12] ψωμιον **f**[35] **𝔓**[66]אA,D,W [98%] CP,HF,RP,OC,TR ¦ 1 λαμβανει και B,C [2%] [NU]
[13] ισκαριωτη **f**[35] **𝔓**[66]A,W [98%] CP,HF,RP,OC,TR ¦ ισκαριωτου אB,C [2%] NU ¦ απο καρυωτου D
[14] δε **f**[35] **𝔓**[66]אA,C,D [99.5%] CP,HF,RP,OC,TR[NU] ¦ --- B,W [0.5%]
[15] ο **f**[35] **𝔓**[66]C,D [95%] CP,HF,RP,OC,TR ¦ --- אA,B,W [5%] NU
[16] ο **f**[35] **𝔓**[66]A,C,D,W [99.5%] CP,HF,RP,OC,TR[NU] ¦ --- אB [0.5%]
[17] ευθεως εξηλθεν **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ ~ 2 ευθυς **𝔓**[66]אB,C,D,W [1%] NU ¦ ~ 2 ευθεως [2%]
[18] οτε **f**[35] A [75%] CP,HF,RP,TR ¦ 1 ουν **𝔓**[66]אB,C,D,W [25%] OC,NU
[19] ο **f**[35] A,C,D,W [95%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]אB [5%] NU
[20] ει ο θεος εδοξασθη εν αυτω **f**[35] A [98%] CP,HF,RP,OC,TR[NU] ¦ --- **𝔓**[66]אB,C,D,W [2%]
[21] εαυτω **f**[35] A,C,D,W [99.5%] CP,HF,RP,OC,TR ¦ αυτω **𝔓**[66]אB [0.5%] NU
[22] υπαγω εγω **f**[35] [80%] CP,HF,RP,OC,TR ¦ ~ 21 אA,B,C,D [19.5%] NU ¦ 1 **𝔓**[66]W [0.5%]
[23] αυτω **f**[35] **𝔓**[66]אA,D,W [99.5%] CP,HF,RP,OC,TR[NU] ¦ --- B,C [0.5%]
[24] ο **f**[35] א,D,W [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]A,B,C [1%] NU
[25] εγω **f**[35] א,D [45%] CP,OC ¦ --- **𝔓**[66]A,B,C,W [55%] HF,RP,TR,NU
[26] μοι *rell* ¦ με [1%] CP
[27] υστερον δε ακολουθησεις μοι **f**[35] [97%] CP,HF,RP,OC,TR ¦ ~ 1243 D ¦ 123 A [1%] ¦ ~ 321 **𝔓**[66]אB,C,W [2%] NU
[28] αυτω **f**[35] אA,C,D [80%] CP,HF,RP ¦ 1 ο **𝔓**[66]B,W [20%] OC,TR,NU

θήσω.» **38** Ἀπεκρίθη[1] αὐτῷ[2] ὁ[3] Ἰησοῦς· «Τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις; Ἀμήν, ἀμὴν λέγω σοι, οὐ μὴ ἀλέκτωρ φωνήσῃ[4] ἕως οὗ ἀπαρνήσῃ[5] με τρίς.

The Way, the Truth, the Life

14:1 »Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία· πιστεύετε εἰς τὸν Θεὸν καὶ εἰς ἐμὲ πιστεύετε. **2** Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσιν (εἰ δὲ μή, εἶπον ἂν ὑμῖν).[6] Πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν. **3** Καὶ ἐὰν πορευθῶ καὶ ἑτοιμάσω[7] ὑμῖν τόπον,[8] πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν, ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς ἦτε. **4** Καὶ ὅπου ἐγὼ[9] ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε.»[10]

Thomas' question

5 Λέγει αὐτῷ Θωμᾶς, «Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις, καὶ[11] πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι;» **6** Λέγει αὐτῷ ὁ[12] Ἰησοῦς· «Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή. Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ. **7** Εἰ ἐγνώκειτέ[13] με, καὶ τὸν Πατέρα μου ἐγνώκειτε ἄν·[14] καὶ ἀπ' ἄρτι γινώσκετε αὐτὸν καὶ ἑωράκατε αὐτόν.»

Philip's question

8 Λέγει αὐτῷ Φίλιππος, «Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα καὶ ἀρκεῖ ἡμῖν.» **9** Λέγει αὐτῷ ὁ Ἰησοῦς· «Τοσοῦτον χρόνον[15] μεθ' ὑμῶν εἰμι καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; Ὁ ἑωρακὼς ἐμὲ ἑώρακεν τὸν Πατέρα· καὶ[16] πῶς σὺ λέγεις, ‹Δεῖξον ἡμῖν τὸν Πατέρα›; **10** Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν; Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ[17] ὑμῖν ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ Πατὴρ ὁ[18] ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα.[19] **11** Πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί·[20] εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι.[21]

Greater works than these

12 »Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει· καὶ μείζονα τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς τὸν Πατέρα μου[22] πορεύομαι. **13** Καί, ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ Πατὴρ ἐν τῷ Υἱῷ. **14** Ἐάν τι αἰτήσητε[23] ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω. **15** Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε.[24] **16** Καί, ἐγὼ[25]

---

[1] απεκριθη **f**[35] (D) [97%] CP,HF,RP,OC,TR ¦ αποκρινεται **𝔓**[66]א A(B)C,W [3%] NU
[2] αυτω **f**[35] (D) [90%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]א A,B,C,W [10%] NU
[3] ο **f**[35] W [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]א A,B,C,D [2%] NU
[4] φωνηση **f**[35] **𝔓**[66]א A,B,W [70%] CP,HF,RP,NU ¦ φωνησει C,D [30%] OC,TR
[5] απαρνηση **f**[35] א A,C(W) [99%] CP,HF,RP,OC,TR ¦ αρνηση **𝔓**[66]B,D [1%] NU
[6] υμιν **f**[35] **𝔓**[66](N) [96%] CP,HF,RP,OC,TR ¦ 1 οτι א A,B,C,D,W [4%] NU
[7] και ετοιμασω **f**[35] **𝔓**[66]א B,C,N [65%] CP,HF,OC,TR,NU ¦ 2 A,W [15%] RP ¦ ετοιμασαι D [20%]
[8] υμιν τοπον **f**[35] **𝔓**[66]A,C,W [90%] CP,HF,RP,OC,TR ¦ ~ 21 א B,D,N [10%] NU
[9] εγω **f**[35] א A,B,C,N,Q [97%] CP,HF,RP,OC,TR[NU] ¦ --- **𝔓**[66]D,W [3%]
[10] και την οδον οιδατε **f**[35] **𝔓**[66]A,D,N [99%] CP,HF,RP,OC,TR ¦ 23 א B,C,Q,W [1%] NU
[11] και **f**[35] א A,D,N,Q [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]B,C,W [0.5%] NU
[12] ο **f**[35] A,B,C,D,N,Q,W [99.5%] CP,HF,RP,OC,TR[NU] ¦ --- **𝔓**[66]א [0.5%]
[13] εγνωκειτε **f**[35] A,B,C,N,Q [99%] CP,HF,RP,OC,TR ¦ εγνωκατε א D [0.5%] NU ¦ εγνωκαται **𝔓**[66] ¦ εγνωκεται W
[14] εγνωκειτε αν **f**[35] A,N,Q [98%] CP,HF,RP,OC,TR ¦ αν ηδειτε B,C [1.5%] ¦ γνωσεσθε **𝔓**[66] [alone] NU ¦ γνωσεσθαι א D,W [Poor NU!]
[15] τοσουτον χρονον **f**[35] **𝔓**[66]A,B,N [99.5%] CP,HF,RP,OC,TR ¦ τοσουτω χρονω א D,Q,W [0.5%] NU
[16] και **f**[35] A,D,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]א B,Q,W [0.5%] NU
[17] λαλω **f**[35] **𝔓**[66]א A,Q,W [99%] CP,HF,RP,OC,TR ¦ λεγω **𝔓**[75]N [0.5%] NU ¦ --- B ¦ λελαληκα D
[18] ο **f**[35] א A,D,N,Q,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]B [0.5%] NU
[19] αυτος ποιει τα εργα **f**[35] A,Q [99%] CP,HF,RP,OC,TR ¦ ~ 2341 **𝔓**[75]W [0.5%] ¦ ~ 234 αυτου **𝔓**[66]א B,D [0.5%] NU
[20] εμοι *rell* ¦ 1 εστιν CP,some TRs
[21] μοι **f**[35] A,B,Q [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]א D,W [1%] NU
[22] μου **f**[35] [95%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]א A,B,D,Q,W [5%] NU
[23] αιτησητε **f**[35] A,D,Q [80%] CP,HF,OC,TR ¦ 1 με **𝔓**[66]א B,W [19%] RP,NU ¦ omit whole verse [1%]
[24] τηρησατε **f**[35] A,D,Q,W [99%] CP,HF,RP,OC,TR ¦ τηρησετε B [0.5%] NU ¦ τηρησητε א ¦ τηρησηται **𝔓**[66]
[25] και εγω **f**[35] A,W [98%] CP,HF,RP,OC,TR ¦ καγω **𝔓**[66]א B,D,Q [2%] NU

ἐρωτήσω τὸν Πατέρα καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ᾽ ὑμῶν εἰς τὸν αἰῶνα[1] **17**—τὸ Πνεῦμα τῆς Ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ οὐδὲ γινώσκει αὐτό·[2] ὑμεῖς δὲ[3] γινώσκετε αὐτό, ὅτι παρ᾽ ὑμῖν μένει καὶ ἐν ὑμῖν ἔσται.

18 »Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς ὑμᾶς. **19** Ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ με. Ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε.[4] **20** Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς ὅτι ἐγὼ ἐν τῷ Πατρί μου, καὶ ὑμεῖς ἐν ἐμοί, κἀγὼ[5] ἐν ὑμῖν. **21** Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με. Ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου, καὶ ἐγὼ[6] ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν.«

Judas' question

22 Λέγει αὐτῷ Ἰούδας (οὐχ ὁ Ἰσκαριώτης), «Κύριε, καὶ[7] τί γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν καὶ οὐχὶ τῷ κόσμῳ;» **23** Ἀπεκρίθη[8] Ἰησοῦς καὶ εἶπεν αὐτῷ· «Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει. Καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ᾽ αὐτῷ ποιήσομεν.[9] **24** Ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ· καί, ὁ λόγος ὃν ἀκούετε οὐκ ἔστιν ἐμός, ἀλλὰ τοῦ πέμψαντός με Πατρός.

The Teacher, the peace; the Father, the enemy

25 »Ταῦτα λελάληκα ὑμῖν παρ᾽ ὑμῖν μένων. **26** Ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν.[10]

27 »Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος δίδωσιν ἐγὼ δίδωμι ὑμῖν. Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω.

28 »Ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν, ‹Ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς.› Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν ὅτι εἶπον,[11] ‹Πορεύομαι πρὸς τὸν Πατέρα,› ὅτι ὁ Πατήρ μου[12] μείζων μού ἐστιν. **29** Καὶ νῦν εἴρηκα ὑμῖν, πρὶν γενέσθαι, ἵνα ὅταν γένηται, πιστεύσητε.

30 »Οὐκέτι πολλὰ λαλήσω μεθ᾽ ὑμῶν, ἔρχεται γὰρ ὁ τοῦ κόσμου[13] ἄρχων· καί, ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν. **31** Ἀλλ᾽ ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν Πατέρα, καὶ καθὼς ἐνετείλατό μοι ὁ Πατήρ, οὕτως ποιῶ.

»Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν.

The true vine

15:1 »Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστιν. **2** Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπόν, αἴρει αὐτό· καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτό, ἵνα πλείονα καρπὸν[14] φέρῃ. **3** Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν. **4** Μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. Καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ᾽ ἑαυτοῦ, ἐὰν μὴ μείνῃ[15] ἐν τῇ ἀμπέλῳ,

---

[1] μενη μεθ υμων εις τον αιωνα **f**[35] **𝔓**[66]A,W [98%] CP,HF,RP,OC,TR ¦ η 23456 Q [0.5%] ¦ μενει 23456 [1%] ¦ ~ 145623 D ¦ ~ 23456 η **𝔓**[75]B,NU ¦ ~ 23 η 456 **א**

[2] αυτο **f**[35] A,Q [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]**א**B,W [0.5%] NU ¦ αυτον D

[3] δε **f**[35] A,D [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66,75]**א**B,Q,W [1%] NU

[4] ζησεσθε **f**[35] **𝔓**[66]D,Q [99%] CP,HF,RP,OC,TR ¦ ζησετε **𝔓**[75]B,NU ¦ ζησεσθαι **א**A,W [0.5%]

[5] καγω **f**[35] **𝔓**[66,75]**א**A,B,D,Q,W [80%] CP,HF,OC,TR,NU ¦ και εγω [20%] RP

[6] και εγω **f**[35] A,W [98%] CP,HF,RP,OC,TR ¦ καγω **𝔓**[66,75]**א**B,D,Q [2%] NU

[7] και **f**[35] **א**Q,W [95%] CP,HF,RP,OC[NU] ¦ --- **𝔓**[66,75]A,B,D [5%] TR

[8] απεκριθη *rell* ¦ 1 ο [15%] TR

[9] ποιησομεν **f**[35] A [91.5%] CP,HF,RP,OC,TR ¦ ποιησομεθα **𝔓**[66,75]**א**B,W [3%] NU ¦ ποιησωμεν [5%] ¦ ποιησωμεθα [0.5%] ¦ ποιησομαι D

[10] υμιν **f**[35] **א**A,D [99.5%] CP,HF,RP,OC,TR ¦ 1 εγω B [0.5%] [NU]

[11] ειπον **f**[35] [90%] CP,HF,RP,OC,TR ¦ --- **א**A,B,D [9%] NU ¦ εγω [1%]

[12] μου **f**[35] **א** [98%] CP,HF,RP,OC,TR ¦ --- A,B,D [2%] NU

[13] κοσμου *rell* ¦ 1 τουτου [10%] TR

[14] πλειονα καρπον **f**[35] A,D [98%] CP,HF,RP,OC,TR ¦ ~ 21 B [2%] NU ¦ ~ 2 πλειω **א**

[15] μεινη **f**[35] **𝔓**[66]A,D [99.5%] CP,HF,RP,OC,TR ¦ μενη **א**B [0.5%] NU

οὕτως[1] οὐδὲ ὑμεῖς ἐὰν μὴ ἐν ἐμοὶ μείνητε.[2]

5 »Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. Ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. **6** Ἐὰν μή τις μείνῃ[3] ἐν ἐμοί, ἐβλήθη ἔξω, ὡς τὸ κλῆμα, καὶ ἐξηράνθη· καὶ συνάγουσιν αὐτὰ καὶ εἰς τὸ[4] πῦρ βάλλουσιν, καὶ καίεται. **7** Ἐὰν μείνητε ἐν ἐμοὶ καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε αἰτήσεσθε,[5] καὶ γενήσεται ὑμῖν. **8** Ἐν τούτῳ ἐδοξάσθη ὁ Πατήρ μου· ἵνα καρπὸν πολὺν φέρητε· καὶ γενήσεσθε[6] ἐμοὶ μαθηταί.

We love

9 »Καθὼς ἠγάπησέν με ὁ Πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς·[7] μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. **10** Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ Πατρός μου τετήρηκα καὶ μένω[8] αὐτοῦ ἐν τῇ ἀγάπῃ. **11** Ταῦτα λελάληκα ὑμῖν ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ,[9] καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. **12** Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς. **13** Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. **14** Ὑμεῖς φίλοι μού ἐστε ἐὰν ποιῆτε ὅσα[10] ἐγὼ ἐντέλλομαι ὑμῖν.

15 »Οὐκέτι ὑμᾶς λέγω[11] δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδεν τί ποιεῖ αὐτοῦ ὁ κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ Πατρός μου ἐγνώρισα ὑμῖν. **16** Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς καὶ ἔθηκα ὑμᾶς ἵνα ὑμεῖς ὑπάγητε καὶ καρπὸν φέρητε, καὶ ὁ καρπὸς ὑμῶν μένῃ·[12] ἵνα ὅ τι ἂν αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου δώῃ[13] ὑμῖν. **17** Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους.

The world hates

18 »Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. **19** Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει. Ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. **20** Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν, ‹Οὐκ ἔστιν δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ.› Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν. Εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. **21** Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν[14] διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασιν τὸν πέμψαντά με. **22** Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον,[15] νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν περὶ τῆς ἁμαρτίας αὐτῶν. **23** Ὁ ἐμὲ μισῶν καὶ τὸν Πατέρα μου μισεῖ. **24** Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν,[16] ἁμαρτίαν οὐκ εἶχον·[17] νῦν δὲ καὶ ἑωράκασιν καὶ μεμισήκασιν καὶ ἐμὲ καὶ τὸν Πατέρα μου. **25** Ἀλλ᾽ ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν[18] ὅτι ‹Ἐμίσησάν με δωρεάν.›

26 »Ὅταν δὲ[19] ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς

---

[1] ουτως *rell* ¦ outos CP
[2] μεινητε **f**[35] D [99.5%] CP,HF,RP,OC,TR ¦ μενητε ℵA,B [0.5%] NU ¦ μενων **𝔓**[66]
[3] μεινη **f**[35] [99%] CP,HF,RP,OC,TR ¦ μενη **𝔓**[66]ℵA,B,D [1%] NU
[4] το *rell* ¦ --- D [20%] TR
[5] αιτησεσθε **f**[35] ℵ [85%] CP,HF,RP,TR ¦ αιτησασθε B [10%] OC,NU ¦ αιτησασθαι A,D [0.5%] ¦ αιτησεσθαι [4.5%]
[6] γενησεσθε **f**[35] [96%] CP,HF,RP,OC,TR ¦ γενησθε B [3%] NU ¦ γενησεσθαι ℵA [0.5%] ¦ γενησθαι **𝔓**[66v]D [0.5%]
[7] ηγαπησα υμας **f**[35] **𝔓**[66]ℵA [98.5%] CP,HF,RP,OC,TR ¦ ~ 21 B,D [1.5%] NU
[8] μένω *rell* ¦ μενῶ [25%]
[9] μεινη **f**[35] ℵ [98.5%] CP,HF,RP,OC,TR ¦ η A,B,D [1.5%] NU
[10] οσα **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ α **𝔓**[66]ℵD [3%] NU ¦ o B
[11] υμας λεγω **f**[35] D [99%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[66]ℵA,B [1%] NU
[12] μενη *rell* ¦ μεινη [10%] ¦ μενει N [10%]
[13] δωη **f**[35] N [47%] HF ¦ δω A,B,D [50%] CP,RP,OC,TR,NU ¦ δωσει ℵ [0.5%] ¦ δωση [0.5%] ¦ δωει [1%] ¦ one other variant [1%]
[14] υμιν **f**[35] A,N [98%] CP,HF,RP,OC,TR ¦ εις υμας **𝔓**[66]B,D [2%] NU ¦ --- ℵ
[15] ειχον **f**[35] A [99.5%] CP,HF,RP,OC,TR ¦ ειχοσαν **𝔓**[66]ℵB,N [0.5%] NU ¦ ειχαν D
[16] πεποιηκεν **f**[35] [95%] CP,HF,RP,OC,TR ¦ εποιησεν **𝔓**[66]ℵA,B,D [5%] NU
[17] ειχον **f**[35] A [99%] CP,HF,RP,OC,TR ¦ ειχοσαν **𝔓**[66]ℵB [1%] NU ¦ ειχαν D
[18] γεγραμμενος εν τω νομω αυτων **f**[35] A [98%] CP,HF,RP,OC,TR ¦ ~ 23451 B,D [2%] NU ¦ ~ 2341 **𝔓**[66v] ¦ ~ 23 κοσμω 51 ℵ
[19] δε **f**[35] A,D [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[22]ℵB [0.5%] NU

Ἀληθείας ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. **27** Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ᾽ ἀρχῆς μετ᾽ ἐμοῦ ἐστε.

16:1 »Ταῦτα λελάληκα ὑμῖν ἵνα μὴ σκανδαλισθῆτε **2**—ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ᾽ ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ. **3** Καὶ ταῦτα ποιήσουσιν[1] ὅτι οὐκ ἔγνωσαν τὸν Πατέρα οὐδὲ ἐμέ. **4** Ἀλλὰ ταῦτα λελάληκα ὑμῖν ἵνα ὅταν ἔλθῃ ἡ ὥρα,[2] μνημονεύητε αὐτῶν ὅτι ἐγὼ εἶπον ὑμῖν. Ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον ὅτι μεθ᾽ ὑμῶν ἤμην.

What the Enabler will do

5 »Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, ‹Ποῦ ὑπάγεις;› **6** Ἀλλ᾽ ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. **7** Ἀλλ᾽ ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν· Συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ[3] μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς.

8 »Καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως· **9** περὶ ἁμαρτίας μέν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ· **10** περὶ δικαιοσύνης δέ, ὅτι πρὸς τὸν Πατέρα μου[4] ὑπάγω καὶ οὐκέτι θεωρεῖτέ με· **11** περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται.

12 »Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν,[5] ἀλλ᾽ οὐ δύνασθε βαστάζειν ἄρτι. **13** Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς Ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν·[6] οὐ γὰρ λαλήσει ἀφ᾽ ἑαυτοῦ, ἀλλ᾽ ὅσα ἂν[7] ἀκούσῃ[8] λαλήσει· καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. **14** Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται[9] καὶ ἀναγγελεῖ ὑμῖν. **15** Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν· διὰ τοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει[10] καὶ ἀναγγελεῖ ὑμῖν.

Sorrow to joy

16 »Μικρὸν καὶ οὐ[11] θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, ὅτι ὑπάγω πρὸς τὸν Πατέρα.»[12] **17** Εἶπον[13] οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους· «Τί ἐστιν τοῦτο ὃ λέγει ἡμῖν, ‹Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με,› καὶ ὅτι ‹Ἐγὼ[14] ὑπάγω πρὸς τὸν Πατέρα›;» **18** Ἔλεγον οὖν· «Τοῦτο τί ἐστιν[15] ὃ λέγει,[16] ‹τὸ μικρόν›; Οὐκ οἴδαμεν τί λαλεῖ.»

19 Ἔγνω οὖν[17] ὁ[18] Ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρωτᾶν, καὶ εἶπεν αὐτοῖς· «Περὶ τούτου ζητεῖτε μετ᾽ ἀλλήλων ὅτι εἶπον, ‹Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με;› **20** Ἀμήν, ἀμὴν λέγω ὑμῖν ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται· ὑμεῖς δὲ[19] λυπηθήσεσθε, ἀλλ᾽ ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. **21** Ἡ γυνὴ ὅταν τίκτῃ[20] λύπην ἔχει, ὅτι ἦλθεν ἡ

---

[1] ποιησουσιν **f**[35] A,B [85%] CP,HF,RP,OC,NU ¦ 1 υμιν ℵD [15%] TR
[2] ωρα **f**[35] ℵD [90%] CP,HF,RP,OC,TR ¦ 1 αυτων A,B [10%] NU
[3] εγω **f**[35] A [98%] CP,HF,RP,OC ¦ --- ℵB,D [2%] TR,NU
[4] μου **f**[35] A [99%] CP,HF,RP,OC,TR ¦ --- ℵB,D,W [1%] NU
[5] λεγειν υμιν **f**[35] A,D,W [99%] CP,HF,RP,OC,TR ¦ ~ 21 ℵB [1%] NU
[6] εις πασαν την αληθειαν **f**[35] [98%] CP,HF,RP,OC,TR ¦ ~ 1342 A,B ¦ εν τη αληθεια παση (−π. ℵ) (ℵ)D,W [2%] NU
[7] αν **f**[35] [97%] CP,HF,RP,OC,TR ¦ εαν A [1%] ¦ --- ℵB,D,W [2%] NU
[8] ακουση **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ ακουσει B,D,W [2.5%] NU ¦ ακουει ℵ [0.5%]
[9] ληψεται **f**[35] [99.5%] CP,HF,RP,OC,TR ¦ λημψεται ℵA,B,D,W [0.5%] NU
[10] λαμβανει **f**[35] B,D,N,W [80%] CP,HF,RP,NU ¦ ληψεται (A) [20%] OC,TR ¦ --- 𝔓[66]ℵ omit whole verse
[11] ου **f**[35] A [98%] CP,HF,RP,OC,TR ¦ ουκετι 𝔓[66v]ℵB,D,N,W [2%] NU
[12] οτι υπαγω προς τον πατερα **f**[35] A,N [79.5%] CP,HF,RP ¦ 1 εγω 2345 [20%] OC,TR ¦ --- 𝔓[66]ℵB,D,W [0.5%] NU
[13] ειπον **f**[35] ℵA,D,N [99.5%] CP,HF,RP,OC,TR ¦ ειπαν 𝔓[66]B,W [0.5%] NU
[14] εγω **f**[35] D,W [90%] CP,HF,RP,OC,TR ¦ --- ℵA,B,N [10%] NU
[15] τουτο τι εστιν **f**[35] A,N [97%] CP,HF,RP,OC,TR ¦ ~ 231 𝔓[66]ℵB,D,W [3%] NU
[16] ο λεγει **f**[35] B,N [97.5%] CP,HF,RP,OC,TR[NU] ¦ το 2 A ¦ --- 𝔓[66]ℵD,W [2.5%]
[17] ουν **f**[35] A,N [96%] CP,HF,RP,OC,TR ¦ --- 𝔓[5]ℵB,D,W [1%] NU ¦ δε [3%]
[18] ο **f**[35] ℵAD,N [99.5%] CP,HF,RP,OC,TR[NU] ¦ --- 𝔓[5]B,W [0.5%]
[19] δε **f**[35] A,N,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- 𝔓[5]ℵB,D [0.5%] NU
[20] τικτη *rell* ¦ τικτει [10%] ¦ τικτι N

ὥρα αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς θλίψεως, διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. **22** Καὶ ὑμεῖς οὖν λύπην μὲν νῦν[1] ἔχετε· πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ᾽ ὑμῶν. **23** Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν.

»Ἀμήν, ἀμὴν λέγω ὑμῖν ὅτι ὅσα ἂν[2] αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου δώσει ὑμῖν. **24** Ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου. Αἰτεῖτε καὶ λήψεσθε,[3] ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη.

Figures of speech

25 »Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν, ἀλλ᾽[4] ἔρχεται ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παρρησίᾳ περὶ τοῦ Πατρὸς ἀναγγελῶ[5] ὑμῖν. **26** Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε, καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ ἐρωτήσω τὸν Πατέρα περὶ ὑμῶν· **27** αὐτὸς γὰρ ὁ Πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ[6] Θεοῦ ἐξῆλθον. **28** Ἐξῆλθον παρὰ τοῦ Πατρὸς καὶ ἐλήλυθα εἰς τὸν κόσμον. Πάλιν ἀφίημι τὸν κόσμον καὶ πορεύομαι πρὸς τὸν Πατέρα.»

29 Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ·[7] «Ἴδε, νῦν[8] παρρησίᾳ λαλεῖς καὶ παροιμίαν οὐδεμίαν λέγεις. **30** Νῦν οἴδαμεν ὅτι οἶδας πάντα καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ. Ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ Θεοῦ ἐξῆλθες.»

"Take heart!"

31 Ἀπεκρίθη αὐτοῖς ὁ[9] Ἰησοῦς· «Ἄρτι πιστεύετε; **32** Ἰδού, ἔρχεται ὥρα καὶ νῦν[10] ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια, καὶ ἐμὲ[11] μόνον ἀφῆτε. Καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ Πατὴρ μετ᾽ ἐμοῦ ἐστιν. **33** Ταῦτα λελάληκα ὑμῖν ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε. Ἐν τῷ κόσμῳ θλῖψιν ἔχετε·[12] ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.»

Jesus prays

17:1 Ταῦτα ἐλάλησεν ὁ[13] Ἰησοῦς καὶ ἐπῆρεν[14] τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν καὶ[15] εἶπεν·

For Himself

«Πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν Υἱόν, ἵνα καὶ[16] ὁ Υἱός σου[17] δοξάσῃ σε, **2** καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ δώσει[18] αὐτοῖς ζωὴν αἰώνιον. **3** Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή· ἵνα γινώσκωσίν σε, τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστει-

---

[1] ουν λυπην μεν νυν **f**[35] A(N) [96%] CP,HF,RP,OC,TR ¦ ~ 1432 **𝔓**[5v,22v,66]B,C,D,W [3%] NU ¦ ~ 4312 **א** ¦ four other variants

[2] οτι οσα αν **f**[35] [96%] CP,HF,RP,OC,TR ¦ 12 εαν [1%] ¦ 13 A,W ¦ 1 ο 3 **א** ¦ 1 ο εαν [2%] ¦ ο εαν N ¦ 3 τι **𝔓**[5]B,C [0.5%] NU ¦ εαν τι (**𝔓**[22])D

[3] ληψεσθε **f**[35] C [99%] CP,HF,RP,OC,TR ¦ λημψεσθε **𝔓**[5]**א**A,B,D [0.5%] NU ¦ λημψεσθαι N,W [0.5%]

[4] αλλ **f**[35] A,N [99%] CP,HF,RP,OC,TR ¦ --- **א**B,C,D,W [1%] NU

[5] αναγγελω **f**[35] N [98%] CP,HF,RP,OC,TR ¦ απαγγελω **𝔓**[5v,66]A,B,C,D,W [2%] NU ¦ απαγγελλω **א**

[6] του **f**[35] B,C,D,W [99.5%] CP,HF,RP,OC,TR[NU] ¦ --- **𝔓**[5]**א**A,N [0.5%]

[7] αυτω οι μαθηται αυτου **f**[35] A,D [98.5%] CP,HF,RP,OC,TR ¦ 234 B,C,N [1%] NU ¦ ~ 231 **א** ¦ 123 W

[8] νυν **f**[35] A,N [99.5%] CP,HF,RP,OC,TR ¦ 1 εν **א**B,C,D,W [0.5%] NU

[9] ο **f**[35] **א**A,D,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[22,66]B,C,W [0.5%] NU

[10] νυν **f**[35] N [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]**א**A,B,C,D,W [1%] NU

[11] και εμε **f**[35] A,D,W [98%] CP,HF,RP,OC,TR ¦ καμε **𝔓**[22,66]**א**B,C,N [2%] NU

[12] εχετε **f**[35] **א**A,B,C [90%] CP,HF,RP,NU ¦ εξετε D [8.5%] OC,TR ¦ εξεται [1%] ¦ εχεται N ¦ omit whole clause **𝔓**[66] [0.5%]

[13] ο **f**[35] A,C,D,N,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- **א**B [0.5%] NU

[14] επηρεν **f**[35] A,N [97%] CP,HF,RP,OC,TR ¦ επαρας **𝔓**[66]**א**B,C,D,W [3%] NU

[15] και **f**[35] A,N [95%] CP,HF,RP,OC,TR ¦ --- **א**B,C,D,W [5%] NU

[16] και **f**[35] N [98%] CP,HF,RP,OC,TR ¦ --- **א**A,B,C,D,W [2%] NU

[17] σου **f**[35] A,D,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- **א**B,C,W [0.5%]

[18] δωσει **f**[35] B,N [90%] CP,HF,RP,OC ¦ δωση A,C [10%] TR,NU ¦ δωσω **א** ¦ δως **𝔓**[107]W ¦ εχη D

λας—Ἰησοῦν Χριστόν. **4** Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς. Τὸ ἔργον ἐτελείωσα[1] ὃ δέδωκάς μοι ἵνα ποιήσω. **5** Καὶ νῦν δόξασόν με σύ, Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί.

For the Apostles

6 »Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς δέδωκάς[2] μοι ἐκ τοῦ κόσμου. Σοὶ ἦσαν, καὶ ἐμοὶ[3] αὐτοὺς δέδωκας,[4] καὶ τὸν λόγον σου τετηρήκασιν.[5] **7** Νῦν ἔγνωκαν[6] ὅτι πάντα ὅσα δέδωκάς μοι παρὰ σοῦ ἐστιν·[7] **8** ὅτι τὰ ῥήματα ἃ δέδωκάς[8] μοι δέδωκα αὐτοῖς· καὶ αὐτοὶ ἔλαβον καὶ ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπίστευσαν ὅτι σύ με ἀπέστειλας. **9** Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ. Οὐ περὶ τοῦ κόσμου ἐρωτῶ ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσιν. **10** Καί, τὰ ἐμὰ πάντα σά ἐστιν, καὶ τὰ σὰ ἐμά, καὶ δεδόξασμαι ἐν αὐτοῖς. **11** Καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι[9] ἐν τῷ κόσμῳ εἰσίν, καὶ ἐγὼ[10] πρὸς σὲ ἔρχομαι.

»Πάτερ Ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ[11] δέδωκάς μοι, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς. **12** Ὅτε ἤμην μετ᾽ αὐτῶν ἐν τῷ κόσμῳ,[12] ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου. Οὓς[13] δέδωκάς μοι[14] ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ Γραφὴ πληρωθῇ. **13** Νῦν δὲ πρὸς σὲ ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ ἵνα ἔχωσιν τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς.[15]

14 »Ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου· καὶ ὁ κόσμος ἐμίσησεν αὐτοὺς ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. **15** Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ᾽ ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ. **16** Ἐκ τοῦ κόσμου οὐκ εἰσίν, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί.[16] **17** Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου·[17] ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστιν. **18** Καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον. **19** Καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα καὶ αὐτοὶ ὦσιν[18] ἡγιασμένοι ἐν ἀληθείᾳ.

For all believers

20 »Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων[19] διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ· **21** ἵνα πάντες ἓν ὦσιν, καθὼς σύ, Πάτερ, ἐν ἐμοὶ κἀγὼ ἐν σοί· ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν[20] ὦσιν, ἵνα ὁ κόσμος πιστεύσῃ[21] ὅτι σύ με ἀπέστειλας. **22** Καὶ ἐγὼ[22] τὴν δόξαν ἣν δέδωκάς μοι δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἕν ἐσμεν·[23] **23** ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσιν τετελειωμένοι εἰς ἕν· καὶ ἵνα[24] γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας καὶ ἠγάπησας αὐτοὺς

---

[1] ετελειωσα **f**[35] D [98%] CP,HF,RP,OC,TR ¦ τελειωσας **𝔓**[66]א,A,B,C,N,W [2%] NU
[2] δεδωκας **f**[35] C [98%] CP,HF,RP,OC,TR ¦ εδωκας א,A,B,D,N,W [2%] NU
[3] και εμοι **f**[35] א,A,C,D,N,W [99%] CP,HF,RP,OC,TR ¦ καμοι B [1%] NU
[4] δεδωκας **f**[35] C,N [96%] CP,HF,RP,OC,TR ¦ εδωκας **𝔓**[66]א,A,B,D,W [4%] NU
[5] τετηρηκασιν **f**[35] A,C [99%] CP,HF,RP,OC,TR ¦ τετηρηκαν B,D,W [0.5%] NU ¦ ετηρησαν אN [0.5%]
[6] εγνωκαν *rell* ¦ εγνωσαν [15%] ¦ εγνωκα W [0.5%] ¦ εγνων א
[7] εστιν **f**[35] A,D [99%] CP,HF,RP,OC,TR ¦ εισιν אB,C(N)W [1%] NU
[8] δεδωκας **f**[35] אN [99%] CP,HF,RP,OC,TR ¦ εδωκας A,C,D,W [0.5%] NU ¦ εδωκες B ¦ --- [0.5%]
[9] ουτοι **f**[35] A,C,D,N,W [99.5%] CP,HF,RP,OC,TR ¦ αυτοι אB [0.5%] NU
[10] και εγω **f**[35] **𝔓**[66v]A,N,W [98.5%] CP,HF,RP,OC,TR ¦ καγω אB,C,D [1.5%] NU
[11] ω *rell* ¦ ους (N) [20%] TR ¦ ο D [1%]
[12] εν τω κοσμω **f**[35] A,N [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]אB,C,D,W [1%] NU
[13] ους **f**[35] A,D(N) [99.5%] CP,HF,RP,OC,TR ¦ ω B,C,W [0.5%] NU ¦ --- (**𝔓**[66]א)
[14] μοι **f**[35] A,D,N [99.5%] CP,HF,RP,OC,TR ¦ 1 και B,C,W [0.5%] NU ¦ και **𝔓**[66]א
[15] αυτοις **f**[35] **𝔓**[66]אD [99%] CP,HF,RP,OC,TR ¦ εαυτοις A,B,N,W [1%] NU ¦ ταις καρδιαις εαυτων C
[16] εκ του κοσμου ουκ ειμι **f**[35] **𝔓**[66]N [99%] CP,HF,RP,OC,TR ¦ ~ 45123 אA,B,C,D,W [1%] NU
[17] σου **f**[35] N [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]A,B,C,D,W [1%] NU ¦ א omits six words [homoioteleuton]
[18] και αυτοι ωσιν **f**[35] [90%] CP,HF,RP,OC,TR ¦ ~ 312 אA,B,C,D,N,W [10%] NU ¦ ~ 32 **𝔓**[66v]
[19] πιστευοντων *rell* ¦ πιστευσοντων [5%] TR
[20] εν **f**[35] אA,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66v]B,C,D,W [0.5%] NU
[21] πιστευση **f**[35] A,D,N [99.5%] CP,HF,RP,OC,TR ¦ πιστευη **𝔓**[66]אB,C,W [0.5%] NU
[22] και εγω **f**[35] A,N [97%] CP,HF,RP,OC,TR ¦ καγω **𝔓**[66]אB,C,D,W [3%] NU
[23] εν εσμεν **f**[35] A,N [99%] CP,HF,RP,OC,TR ¦ 1 **𝔓**[66]B,C,D,W [1%] NU ¦ --- א
[24] και ινα **f**[35] A,N [98.5%] CP,HF,RP,OC,TR ¦ 2 B,C,D [1%] NU ¦ 1 **𝔓**[66]אW [0.5%]

καθὼς ἐμὲ ἠγάπησας.

24 »Πάτερ, οὓς[1] δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ κἀκεῖνοι ὦσιν μετ᾽ ἐμοῦ, ἵνα θεωρῶσιν τὴν δόξαν τὴν ἐμήν, ἣν δέδωκάς[2] μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου. **25** Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων· καὶ οὗτοι ἔγνωσαν ὅτι σύ με ἀπέστειλας. **26** Καί, ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω, ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς.»

Betrayal and arrest

18:1 Ταῦτα εἰπὼν ὁ[3] Ἰησοῦς ἐξῆλθεν σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τῶν Κέδρων,[4] ὅπου ἦν κῆπος εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ. **2** Ἤδει δὲ καὶ Ἰούδας, ὁ παραδιδοὺς αὐτόν, τὸν τόπον· ὅτι πολλάκις συνήχθη[5] ὁ[6] Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. **3** Ὁ οὖν Ἰούδας, λαβὼν τὴν σπεῖραν, καὶ ἐκ τῶν ἀρχιερέων καὶ[7] Φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων.

Jesus knocks the soldiers down with His word

4 Ἰησοῦς οὖν, εἰδὼς πάντα τὰ ἐρχόμενα[8] ἐπ᾽ αὐτόν, ἐξελθὼν εἶπεν[9] αὐτοῖς, «Τίνα ζητεῖτε;» **5** Ἀπεκρίθησαν αὐτῷ, «Ἰησοῦν τὸν Ναζωραῖον.» Λέγει αὐτοῖς ὁ Ἰησοῦς, «Ἐγώ εἰμι.»[10] (Εἱστήκει δὲ καὶ Ἰούδας, ὁ παραδιδοὺς αὐτόν, μετ᾽ αὐτῶν.) **6** Ὡς οὖν εἶπεν αὐτοῖς ὅτι[11] «Ἐγώ εἰμι,» ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσον[12] χαμαί. **7** Πάλιν οὖν αὐτοὺς ἐπηρώτησεν,[13] «Τίνα ζητεῖτε;» Οἱ δὲ εἶπον,[14] «Ἰησοῦν τὸν Ναζωραῖον.» **8** Ἀπεκρίθη[15] Ἰησοῦς· «Εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι. Εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν» **9** (ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν ὅτι «Οὓς δέδωκάς μοι οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα»).

10 Σίμων οὖν Πέτρος, ἔχων μάχαιραν, εἵλκυσεν αὐτὴν καὶ ἔπαισεν τὸν τοῦ ἀρχιερέως δοῦλον καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον[16] τὸ δεξιόν. (Ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος.) **11** Εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· «Βάλε τὴν μάχαιραν[17] εἰς τὴν θήκην· τὸ ποτήριον ὃ δέδωκέν μοι ὁ Πατήρ, οὐ μὴ πίω αὐτό;»

To Annas first

12 Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν καὶ ἔδησαν αὐτόν. **13** Καὶ ἀπήγαγον αὐτὸν[18] πρὸς Ἄνναν[19] πρῶτον, ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. **14** (Ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀπολέσθαι[20] ὑπὲρ τοῦ λαοῦ.)

---

[1] ους **f**[35] A,C,N [99.5%] CP,HF,RP,OC,TR ¦ ο ℵB,D,W [0.5%] NU
[2] δεδωκας **f**[35] ℵA,C,D,W [60%] CP,OC,NU ¦ εδωκας 𝔓[108]B,N [40%] HF,RP,TR
[3] ο **f**[35] A,C,D,N,W [99.7%] CP,HF,RP,OC,TR ¦ --- ℵB [0.3%] NU
[4] των κεδρων **f**[35] B,C,N [94%] CP,HF,RP,OC,TR ¦ 1 κενδρων [4%] ¦ του 2 A [1.5%] NU ¦ του κεδρου ℵD,W
[5] συνηχθη **f**[35] ℵA,B,C,D,N,W [65%] CP,RP,TR,NU ¦ 1 και [35%] HF,OC
[6] ο **f**[35] A,C(D)N,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- ℵB [0.5%] NU
[7] και **f**[35] 𝔓[108v]A,C,N,W [99.5%] CP,HF,RP,OC,TR ¦ 1 εκ των ℵD [0.5%] NU ¦ 1 των B
[8] ερχομενα *rell* ¦ επερχομενα [11%]
[9] εξελθων ειπεν **f**[35] ℵA,N,W [98.5%] CP,HF,RP,OC,TR ¦ εξηλθεν και λεγει B,C,D [1.5%] NU
[10] ο ιησους εγω ειμι **f**[35] A,C(N)W [97.5%] CP,HF,RP,OC,TR ¦ 234 ℵ ¦ ~ 342 B ¦ 34 [2.5%] D,NU
[11] οτι **f**[35] C [95%] CP,HF,RP,OC,TR ¦ --- ℵA,B,D,N,W [5%] NU
[12] επεσον **f**[35] A,N [99%] CP,HF,RP,OC,TR ¦ επεσαν ℵB,C,D,W [1%] NU
[13] αυτους επηρωτησεν **f**[35] ℵD,N,W [75%] CP,HF,RP,OC,TR ¦ ~ 21 A,B,C [6%] NU ¦ αυτοις 2 [18%] ¦ 2 [1%]
[14] ειπον **f**[35] ℵA,B,C,N,W [99.8%] CP,HF,RP,OC,TR ¦ ειπαν 𝔓[66]D,NU
[15] απεκριθη *rell* ¦ 1 ο (D)N [14%] TR
[16] ωτιον **f**[35] A,D,N [99.5%] CP,HF,RP,OC,TR ¦ ωταριον ℵB,C,W [0.5%] NU
[17] μαχαιραν **f**[35] 𝔓[66]ℵA,B,C,D,N,W [52%] CP,OC,NU ¦ 1 σου [48%] HF,RP,TR
[18] απηγαγον αυτον **f**[35] A [89.5%] CP,HF,RP,OC,TR ¦ 1 C,N [9%] ¦ ηγαγον 𝔓[66]ℵB,D,W [0.5%] NU ¦ ηγαγον 2 [1%]
[19] ἀνναν **f**[35] CP,OC,TR ¦ ἄνναν HF,RP,NU
[20] απολεσθαι **f**[35] A,N [94%] CP,HF,RP,OC,TR ¦ αποθανειν 𝔓[66]ℵB,C,W [6%] NU

Peter denies Jesus

15 Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος, καὶ ὁ[1] ἄλλος μαθητής. Ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ συνεισῆλθεν τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως. **16** Ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ[2] ἔξω. Ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος, ὃς ἦν[3] γνωστὸς τῷ ἀρχιερεῖ,[4] καὶ εἶπεν τῇ θυρωρῷ, καὶ εἰσήγαγεν τὸν Πέτρον. **17** Λέγει οὖν ἡ παιδίσκη, ἡ θυρωρός, τῷ Πέτρῳ,[5] «Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου;» Λέγει ἐκεῖνος, «Οὐκ εἰμί.» **18** Εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψῦχος ἦν, καὶ ἐθερμαίνοντο. Ἦν δὲ μετ᾽ αὐτῶν ὁ Πέτρος[6] ἑστὼς καὶ θερμαινόμενος.

Caiaphas interrogates Jesus

19 Ὁ οὖν ἀρχιερεὺς ἠρώτησεν τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ καὶ περὶ τῆς διδαχῆς αὐτοῦ. **20** Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς·[7] «Ἐγὼ παρρησίᾳ ἐλάλησα[8] τῷ κόσμῳ. Ἐγὼ πάντοτε ἐδίδαξα ἐν[9] συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντοτε[10] οἱ Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν. **21** Τί με ἐπερωτᾷς;[11] Ἐπερώτησον[12] τοὺς ἀκηκοότας τί ἐλάλησα αὐτοῖς. Ἴδε, οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ.» **22** Ταῦτα δὲ αὐτοῦ εἰπόντος, εἷς τῶν ὑπηρετῶν παρεστηκὼς[13] ἔδωκεν ῥάπισμα τῷ Ἰησοῦ, εἰπών, «Οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ;» **23** Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς,[14] «Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δαίρεις;»[15] **24** (Ἀπέστειλεν[16] αὐτὸν ὁ Ἄννας δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα.)

Peter again

25 Ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ θερμαινόμενος. Εἶπον οὖν αὐτῷ, «Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ;» Ἠρνήσατο οὖν[17] ἐκεῖνος καὶ εἶπεν, «Οὐκ εἰμί.» **26** Λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ ἀπέκοψεν Πέτρος τὸ ὠτίον, «Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ᾽ αὐτοῦ;» **27** Πάλιν οὖν ἠρνήσατο ὁ[18] Πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν.

Crucifixion day

Jesus taken to Pilate

18:28 Ἄγουσιν οὖν[19] τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον, ἦν δὲ πρωΐ.[20] Καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ᾽ ἵνα[21] φάγωσιν τὸ Πάσχα. **29** Ἐξῆλθεν

---

[1] ο **f**[35] C,N [97.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]א,A,B,W [2.5%] NU

[2] τη θυρα *rell* ¦ την 2 [13%] ¦ την θυραν [12%]

[3] ος ην **f**[35] **𝔓**[66v]א,A,C(N)W [99.9%] CP,HF,RP,OC,TR ¦ ο B [0.1%] NU

[4] τω αρχιερει **f**[35] א,A,N,W [99.5%] CP,HF,RP,OC,TR ¦ του αρχιερεως **𝔓**[66v]B,C [0.5%] NU

[5] παιδισκη η θυρωρος τω πετρω **f**[35] **𝔓**[66]א,A,N(W) [99%] CP,HF,RP,OC,TR ¦ ~ 561234 B,C [1%] NU

[6] μετ αυτων ο πετρος **f**[35] A,N [96%] CP,HF,RP,OC,TR ¦ ~ και 3412 **𝔓**[66v]א,B,C(W) [2%] NU ¦ 12 και 34 [1%] ¦ 124 [1%]

[7] αυτω ο ιησους **f**[35] A,N,W [95%] CP,HF,RP,OC,TR ¦ δε 123 [1%] ¦ 13 **𝔓**[66]B [2%] NU ¦ ~ 31 א ¦ 23 C [2%]

[8] ελαλησα **f**[35] **𝔓**[66]W [96%] CP,HF,RP,OC,TR ¦ λελαληκα א,A,B,C,N [4%] NU

[9] εν **f**[35] א,A,B,C,N,W [88%] HF,RP,OC,NU ¦ 1 τη [12%] CP,TR

[10] παντοτε **f**[35] [87%] CP,HF,RP,OC,TR ¦ παντες א,A,B,C,N,W [13%] NU

[11] επερωτας **f**[35] N [97%] CP,HF,RP,OC,TR ¦ ερωτας א,A,B,C,W [3%] NU

[12] επερωτησον **f**[35] A,N [95%] CP,HF,RP,OC,TR ¦ ερωτησον **𝔓**[66v]א,B,C [5%] NU

[13] των υπηρετων παρεστηκως **f**[35] A,N [96.5%] CP,HF,RP,OC,TR ¦ ~ 312 א,B,W [0.5%] NU ¦ ~ 1 παρεστωτων 2 C [0.5%] ¦ 1 παρεστηκοτων 2 [1.5%] ¦ various other variants [1%]

[14] απεκριθη αυτω ο ιησους **f**[35] A,N [97%] CP,HF,RP,OC,TR ¦ 124 B,C [1%] NU ¦ ~ 3 δε 4 ειπεν 2 אW [1%] ¦ various others [1%]

[15] δαιρεις **f**[35] [36%] ¦ δερεις **𝔓**[66]א,A,B,C,W [64%] CP,HF,RP,OC,TR,NU ¦ δερις N

[16] απεστειλεν **f**[35] A [85%] CP,HF,RP,OC,TR ¦ 1 ουν B,C(N)W [8%] NU,some TRs ¦ 1 δε א [7%]

[17] ουν **f**[35] [71%] CP,HF,RP,OC ¦ --- א,A,B,C,N,W [29%] TR,NU

[18] ο **f**[35] אN [75%] CP,HF,RP,OC,TR ¦ --- A,B,C,W [25%] NU

[19] ουν *rell* ¦ --- [35%]

[20] πρωι **f**[35] א,A,B,C,W [60%] CP,HF,RP,OC,NU ¦ πρωια N [38%] TR ¦ --- [2%]

[21] αλλ ινα **f**[35] [97%] CP,HF,RP,OC,TR ¦ αλλα א,A,B,C,N,W [3%] NU

οὖν ὁ Πιλᾶτος πρὸς αὐτοὺς[1] καὶ εἶπεν,[2] «Τίνα κατηγορίαν φέρετε κατὰ[3] τοῦ ἀνθρώπου τούτου;» **30** Ἀπεκρίθησαν καὶ εἶπον[4] αὐτῷ, «Εἰ μὴ ἦν οὗτος κακοποιός,[5] οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν.» **31** Εἶπεν οὖν αὐτοῖς ὁ Πιλᾶτος, «Λάβετε αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν.» Εἶπον οὖν[6] αὐτῷ οἱ Ἰουδαῖοι, «Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα» **32** (ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ, ὃν εἶπεν, σημαίνων ποίῳ θανάτῳ ἔμελλεν[7] ἀποθνήσκειν).

Pilate and Jesus

33 Εἰσῆλθεν οὖν εἰς τὸ πραιτώριον πάλιν[8] ὁ Πιλᾶτος καὶ ἐφώνησεν τὸν Ἰησοῦν καὶ εἶπεν αὐτῷ, «Σὺ εἶ ὁ Βασιλεὺς τῶν Ἰουδαίων;» **34** Ἀπεκρίθη αὐτῷ[9] ὁ[10] Ἰησοῦς, «Ἀφ᾽ ἑαυτοῦ[11] σὺ τοῦτο λέγεις, ἢ ἄλλοι σοι εἶπον[12] περὶ ἐμοῦ;» **35** Ἀπεκρίθη ὁ Πιλᾶτος· «Μήτι ἐγὼ Ἰουδαῖός εἰμι; Τὸ ἔθνος τὸ σόν, καὶ οἱ ἀρχιερεῖς, παρέδωκάν σε ἐμοί. Τί ἐποίησας;» **36** Ἀπεκρίθη[13] Ἰησοῦς· «Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου. Εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο,[14] ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν.» **37** Εἶπεν οὖν αὐτῷ ὁ Πιλᾶτος, «Οὐκοῦν βασιλεὺς εἶ σύ;» Ἀπεκρίθη[15] Ἰησοῦς· «Σὺ λέγεις ὅτι βασιλεύς εἰμι ἐγώ·[16] ἐγὼ εἰς τοῦτο γεγέννημαι. Καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ Ἀληθείᾳ. Πᾶς ὁ ὢν ἐκ τῆς Ἀληθείας ἀκούει μου τῆς φωνῆς.» **38** Λέγει αὐτῷ ὁ Πιλᾶτος, «Τί ἐστιν ἀλήθεια;»[17]

Barabbas

Καὶ τοῦτο εἰπὼν πάλιν ἐξῆλθεν πρὸς τοὺς Ἰουδαίους καὶ λέγει αὐτοῖς· «Ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ.[18] **39** Ἔστιν δὲ συνήθεια ἡμῖν[19] ἵνα ἕνα ὑμῖν ἀπολύσω[20] ἐν τῷ Πάσχα. Βούλεσθε οὖν ὑμῖν ἀπολύσω[21] τὸν Βασιλέα τῶν Ἰουδαίων;» **40** Ἐκραύγασαν οὖν[22] πάντες,[23] λέγοντες, «Μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν.» Ἦν δὲ ὁ Βαραββᾶς λῃστής.

Soldiers mock Jesus

19:1 Τότε οὖν ἔλαβεν ὁ Πιλᾶτος τὸν Ἰησοῦν καὶ ἐμαστίγωσεν. **2** Καὶ οἱ στρατιῶται

---

[1] ο πιλατος προς αυτους **f**[35] (A) [85%] CP,HF,RP,OC,TR ¦ 12 εξω 34 (B,C) [11%] NU ¦ ~ 3412 εξω א(W) ¦ 1234 εξω N [3%] ¦ various others [1%]
[2] ειπεν **f**[35] A,N [97%] CP,HF,RP,OC,TR ¦ φησιν **𝔓**[66]אB,C,W [3%] NU
[3] κατα **f**[35] **𝔓**[66]A,C,N,W [99.7%] CP,HF,RP,OC,TR[NU] ¦ --- אB [0.3%]
[4] ειπον **f**[35] A,W [99.5%] CP,HF,RP,OC,TR ¦ ειπαν אB,C,N [0.5%] NU
[5] κακοποιος **f**[35] A,N [99.5%] CP,HF,RP,OC,TR ¦ κακοποιων C [0.3%] ¦ κακον ποιων B,W [0.2%] NU ¦ κακον ποιησας א
[6] ουν **f**[35] אW [87%] CP,HF,RP,OC,TR ¦ δε A,N [12%] ¦ --- B,C [1%] NU
[7] εμελλεν **f**[35] [62%] CP ¦ ημελλεν אA,B,C,N,W [38%] HF,RP,OC,TR,NU
[8] εις το πραιτωριον παλιν **f**[35] אA(N) [90%] CP,HF,RP,OC,TR ¦ ~ 4123 **𝔓**[66v]B,C,W [7%] NU ¦ 123 [2%] ¦ several others [1%]
[9] αυτω **f**[35] א [90%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]A,B,C,N,W [10%] NU
[10] ο **f**[35] אA,C,N,W [97%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66v]B [3%] NU
[11] αφ εαυτου **f**[35] A,W [99%] CP,HF,RP,OC,TR ¦ απο σεαυτου **𝔓**[66]אB,C,N [1%] NU
[12] σοι ειπον **f**[35] אA(N) [92.5%] CP,HF,RP,OC,TR ¦ ~ 21 B,C,W [0.5%] NU ¦ 1 ειπεν [7%] ¦ ~ ειπεν 1 **𝔓**[66]
[13] απεκριθη *rell* ¦ 1 ο N [10%] TR
[14] αν οι εμοι ηγωνιζοντο **f**[35] A,N [95%] CP,HF,RP,OC,TR ¦ ~ 2341 אW [3%] [NU] ¦ 234 B [0.5%] ¦ 134 [1.5%]
[15] απεκριθη **f**[35] W [58%] HF,RP,OC ¦ 1 ο אA,B,N [42%] CP,TR,NU
[16] εγω **f**[35] A,N,W[v] [96%] CP,HF,RP,OC,TR ¦ --- אB [4%] NU
[17] Comparing John with Luke 23:4-12, it appears that it was at this point that Jesus was sent to Herod.
[18] αιτιαν ευρισκω εν αυτω **f**[35] אA,N,W [97.5%] CP,HF,RP,OC,TR ¦ ~ 2341 B [1.5%] NU ¦ ~ 2134 **𝔓**[66] ¦ several others
[19] ημιν **f**[35] [20%] ¦ υμιν אA,B,W [80%] CP,HF,RP,OC,TR,NU ¦ υμων N [Really now, would Rome release a prisoner based on a Jewish demand? This was evidently a bit of 'pub. rel.' that Rome had decided to do.]
[20] υμιν απολυσω **f**[35] A(N) [85%] CP,HF,RP,OC,TR ¦ ~ 21 אB [2%] NU ¦ ημιν 2 [13%] ¦ ~ απολυω 1 W
[21] υμιν απολυσω **f**[35] [79%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[66]אA,B,N,W [10%] NU ¦ 2 [4%] ¦ ~ ινα 21 [6%] ¦ ~ ινα 12 [1%]
[22] ουν **f**[35] N [30%] CP ¦ 1 παλιν אA,B,W [70%] HF,RP,OC,TR,NU
[23] παντες **f**[35] A,N [88%] CP,HF,RP,OC,TR ¦ --- אB,W [12%] NU

πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ· καὶ ἱμάτιον πορφυροῦν περιέβαλον
αὐτὸν[1] **3** καὶ ἔλεγον, «Χαῖρε, ὁ Βασιλεὺς τῶν Ἰουδαίων.» Καὶ ἐδίδουν[2] αὐτῷ ῥαπίσματα.

"Behold the Man!"

4 Ἐξῆλθεν οὖν[3] πάλιν ἔξω ὁ Πιλᾶτος καὶ λέγει αὐτοῖς, «Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω ἵνα γνῶτε
ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω.»[4] **5** Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν τὸν ἀκάνθινον
στέφανον καὶ τὸ πορφυροῦν ἱμάτιον· καὶ λέγει αὐτοῖς, «Ἴδε,[5] ὁ ἄνθρωπος.» **6** Ὅτε οὖν εἶδον
αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν λέγοντες, «Σταύρωσον, σταύρωσον αὐτόν.»[6]
Λέγει αὐτοῖς ὁ Πιλᾶτος, «Λάβετε αὐτὸν ὑμεῖς καὶ σταυρώσατε, ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ
αἰτίαν.» **7** Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι, «Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν[7]
ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν Υἱὸν Θεοῦ[8] ἐποίησεν.»

Pilate and Jesus again

8 Ὅτε οὖν ἤκουσεν ὁ Πιλᾶτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη, **9** καὶ εἰσῆλθεν εἰς τὸ
πραιτώριον πάλιν καὶ λέγει τῷ Ἰησοῦ, «Πόθεν εἶ σύ;» Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ.
10 Λέγει οὖν αὐτῷ ὁ Πιλᾶτος· «Ἐμοὶ οὐ λαλεῖς; Οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε καὶ
ἐξουσίαν ἔχω ἀπολῦσαί[9] σε;» **11** Ἀπεκρίθη[10] Ἰησοῦς·[11] «Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ'
ἐμοῦ[12] εἰ μὴ ἦν σοι δεδομένον[13] Ἄνωθεν. Διὰ τοῦτο ὁ παραδιδούς[14] μέ σοι μείζονα ἁμαρτίαν
ἔχει.»

The Jews best Pilate

12 Ἐκ τούτου ἐζήτει ὁ Πιλᾶτος[15] ἀπολῦσαι αὐτόν· οἱ δὲ Ἰουδαῖοι ἔκραζον[16] λέγοντες· «Ἐὰν
τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· πᾶς ὁ βασιλέα ἑαυτὸν[17] ποιῶν ἀντιλέγει τῷ Καίσα-
ρι.» **13** Ὁ οὖν Πιλᾶτος ἀκούσας τοῦτον τὸν λόγον[18] ἤγαγεν ἔξω τὸν Ἰησοῦν καὶ ἐκάθισεν ἐπὶ τοῦ[19]
βήματος, εἰς τόπον λεγόμενον Λιθόστρωτον, Ἑβραϊστὶ δὲ Γαβαθᾶ[20] **14** (ἦν δὲ Παρασκευὴ τοῦ
Πάσχα· ὥρα ἦν[21] ὡσεὶ[22] ἕκτη), καὶ λέγει τοῖς Ἰουδαίοις, «Ἴδε, ὁ Βασιλεὺς ὑμῶν.» **15** Οἱ δὲ
ἐκραύγασαν,[23] «Ἆρον, ἆρον, σταύρωσον αὐτόν.» Λέγει αὐτοῖς ὁ Πιλᾶτος, «Τὸν Βασιλέα ὑμῶν
σταυρώσω;» Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς, «Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα.» **16** Τότε οὖν

---

[1] αυτον **f**[35] A [80%] CP,HF,RP,OC,TR ¦ αυτω [10%] ¦ 1 και ηρχοντο προς 1 **𝔓**[66,90]**א**B,N,W [10%] NU
[2] εδιδουν **f**[35] A [98%] CP,HF,RP,OC,TR ¦ εδιδοσαν **𝔓**[66]**א**B,N,W [2%] NU
[3] εξηλθεν ουν **f**[35] N,W [96%] CP,HF,RP,OC,TR ¦ ~ και 1 A,B [2%] NU ¦ 1 **א** [2%]
[4] εν αυτω ουδεμιαν αιτιαν ευρισκω **f**[35] N [96.5%] CP,HF,RP,OC,TR ¦ ~ 34512 B [1%] NU ¦ ~ 31245 A ¦ ~ 412 ουχ 5 **𝔓**[66v]W ¦ 4 ουχ 5 **א** ¦ at least five further variants [2%]
[5] ιδε **f**[35] A,N [98%] CP,HF,RP,OC,TR ¦ ιδου **א**B,W [2%] NU ¦ --- (**𝔓**[66])
[6] αυτον **f**[35] **א**A,N [90%] CP,HF,RP,OC ¦ --- (**𝔓**[66])B,W [10%] TR,NU
[7] ημων **f**[35] A [99%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]**א**B(N)W [1%] NU
[8] εαυτον υιον θεου **f**[35] A,N [72%] CP,RP ¦ ~ 132 [20%] HF,OC ¦ ~ 231 **𝔓**[66]**א**B [3%] NU ¦ 12 του 3 [5%] TR ¦ ~ 2 του 31 W
[9] σταυρωσαι σε και εξουσιαν εχω απολυσαι **f**[35] W [99.5%] CP,HF,RP,OC,TR ¦ ~ 623451 **א**A,B(N) [0.5%] NU
[10] απεκριθη **f**[35] A,N [98%] CP,HF,RP,OC,TR ¦ 1 αυτω **א**B,W [2%] [NU]
[11] ιησους **f**[35] B [90%] CP,HF,RP,OC,NU ¦ ο 1 **א**A,N,W [10%] TR
[12] ουδεμιαν κατ εμου **f**[35] A,N [96%] CP,HF,RP,OC,TR ¦ ~ 231 **𝔓**[66v]**א**B,W [4%] NU
[13] σοι δεδομενον **f**[35] A,N [99.5%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[66]**א**B,W [0.5%] NU
[14] παραδιδους **f**[35] A,N,W [99.5%] CP,HF,RP,OC,TR ¦ παραδους **א**B [0.5%] NU
[15] εζητει ο πιλατος **f**[35] (A)N [98%] CP,HF,RP,OC,TR ¦ ~ 231 **𝔓**[66v]**א**(B,W) [2%] NU
[16] εκραζον **f**[35] [89%] CP,HF,RP,OC,TR ¦ εκραυγαζον A,N,W [10%] ¦ εκραυγασαν **𝔓**[66v]B [1%] NU ¦ ελεγον (**א**)
[17] εαυτον *rell* ¦ αυτον [5%] TR
[18] τουτον τον λογον **f**[35] N [50%] CP,HF,RP,OC,TR ¦ τουτων των λογων [47%] ¦ των λογων τουτων **א**A,B,W [2%] NU ¦ ~ 231 [1%]
[19] του **f**[35] W [97%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]**א**A,B,N [3%] NU
[20] γαβαθα **f**[35] [50%] CP ¦ γαββαθα A,B,N,W [49%] HF,RP,OC,TR,NU ¦ γολγοθα **א** ¦ καπφαθα [1%]
[21] ην **f**[35] **א**A,B,N,W [40%] NU ¦ δε [60%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]
[22] ωσει **f**[35] N [60%] CP,HF,RP,OC,TR ¦ ως **א**A,B,W [40%] NU ¦ --- **𝔓**[66]
[23] οι δε εκραυγασαν **f**[35] [98%] CP,HF,RP,OC,TR ¦ 12 εκραυγασον A ¦ 12 εκραυγαζον [1%] ¦ 12 εκραυγαζον λεγοντες N ¦ 12 ελεγον **𝔓**[66v]**א**W [0.5%] ¦ 3 ουν εκεινοι B [0.5%] NU

παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα σταυρωθῇ.

Jesus is crucified

Παρέλαβον δὲ[1] τὸν Ἰησοῦν καὶ ἤγαγον.[2] **17** Καὶ βαστάζων τὸν σταυρὸν αὐτοῦ[3] ἐξῆλθεν εἰς τὸν[4] λεγόμενον Κρανίου τόπον, ὃς[5] λέγεται Ἑβραϊστί, Γολγοθᾶ, **18** ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ᾽ αὐτοῦ ἄλλους δύο, ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν. **19** Ἔγραψεν δὲ καὶ τίτλον ὁ Πιλᾶτος, καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ. Ἦν δὲ γεγραμμένον·

ΙΗΣΟΥΣ Ὁ ΝΑΖΩΡΑΙΟΣ Ὁ ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ

20 Τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν ὁ τόπος τῆς πόλεως[6] ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον Ἑβραϊστί, Ἑλληνιστί, Ῥωμαϊστί.[7] **21** Ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων, «Μὴ γράφε, ‹Ὁ Βασιλεὺς τῶν Ἰουδαίων,› ἀλλ᾽ ὅτι ἐκεῖνος εἶπεν, ‹Βασιλεύς εἰμι τῶν Ἰουδαίων.› » **22** Ἀπεκρίθη ὁ Πιλᾶτος, «Ὃ γέγραφα, γέγραφα.»

Psalm 22:18 is fulfilled

23 Οἱ οὖν στρατιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν χιτῶνα. Ἦν δὲ ὁ χιτὼν ἄρραφος,[8] ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι᾽ ὅλου. **24** Εἶπον[9] οὖν πρὸς ἀλλήλους, «Μὴ σχίσωμεν αὐτὸν ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται,» ἵνα ἡ Γραφὴ πληρωθῇ ἡ λέγουσα·[10] «Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.» Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν.

Jesus provides for His mother

25 Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. **26** Ἰησοῦς οὖν, ἰδὼν τὴν μητέρα, καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ μητρὶ αὐτοῦ,[11] «Γύναι, ἴδε[12] ὁ υἱός σου.» **27** Εἶτα λέγει τῷ μαθητῇ, «Ἰδοὺ[13] ἡ μήτηρ σου.» Καὶ ἀπ᾽ ἐκείνης τῆς ὥρας ἔλαβεν ὁ μαθητὴς αὐτὴν[14] εἰς τὰ ἴδια.

The shout of victory

28 Μετὰ τοῦτο, εἰδὼς ὁ Ἰησοῦς[15] ὅτι ἤδη πάντα[16] τετέλεσται, ἵνα τελειωθῇ ἡ Γραφή, λέγει, «Διψῶ.» **29** Σκεῦος οὖν[17] ἔκειτο ὄξους μεστόν· οἱ δέ, πλήσαντες σπόγγον ὄξους, καὶ[18] ὑσσώπῳ

---

[1] παρελαβον δε **f**[35] A [96%] CP,HF,RP,OC,TR ¦ 1 ουν B [0.5%] NU ¦ ~ οι 2 λαβοντες א ¦ ~ οι 2 παραλαβοντες N,W [3%] ¦ two other variants

[2] και ηγαγον **f**[35] [91.5%] CP,HF,RP,OC ¦ 1 απηγαγον A [5%] TR ¦ --- B [0.5%] NU ¦ απηγαγον (א)N,W [2%] ¦ 1 επεθηκαν [1%]

[3] τον σταυρον αυτου **f**[35] [96%] CP,HF,RP,OC,TR ¦ 12 εαυτου A,N [1.5%] ¦ ~ αυτω 12 B [0.5%] ¦ ~ εαυτω 12 אW [1%] NU ¦ one other variant [1%] ¦ --- **𝔓**[66] has a long omission

[4] τον **f**[35] אA,B,N,W [50%] CP,OC,TR,NU ¦ τοπον **𝔓**[66] [50%] HF,RP

[5] ος **f**[35] N [99%] CP,HF,RP,OC,TR ¦ ο **𝔓**[66]אA,B,W [1%] NU

[6] ο τοπος της πολεως **f**[35] **𝔓**[66]A,B,N [90%] CP,HF,RP,NU ¦ ~ 3412 W [10%] OC,TR ¦ א omits verses 20-21

[7] ελληνιστι ρωμαιστι **f**[35] A [98.5%] CP,HF,RP,OC,TR ¦ ~ 21 B,N [0.5%] NU ¦ ~ 2 εβραεισι W ¦ omit whole clause [1%]

[8] αρραφος **f**[35] B [40%] CP,OC,TR,NU ¦ αραφος אA,N,W [60%] HF,RP

[9] ειπον **f**[35] A,B,N [99%] CP,HF,RP,OC,TR ¦ ειπαν אW [0.5%] NU ¦ ειπεν [0.5%]

[10] η λεγουσα **f**[35] A,N,W [99.8%] CP,HF,RP,OC,TR[NU] ¦ --- אB

[11] αυτου **f**[35] A,N [98.5%] CP,HF,RP,OC,TR ¦ --- אB,W [1.5%] NU

[12] ιδε **f**[35] B,N [60%] CP,HF,OC,NU ¦ ιδου אA,W [40%] RP,TR

[13] ιδου **f**[35] A [98%] CP,HF,RP,OC,TR ¦ ιδε אB,N,W [2%] NU

[14] ο μαθητης αυτην **f**[35] **𝔓**[66v]A,B,N [90%] HF,RP,OC,NU ¦ ~ 312 אW [8%] TR ¦ ~ 312 εκεινος [2%] CP

[15] ειδως ο ιησους **f**[35] אA,W [70%] CP,OC,TR,NU ¦ ιδως 23 N ¦ ιδων 23 [30%] HF,RP ¦ ~ 31 B

[16] ηδη παντα **f**[35] **𝔓**[66]A,B [30%] NU ¦ ~ 21 אN [60%] CP,HF,RP,OC,TR ¦ 2 W [10%]

[17] ουν **f**[35] N [99%] CP,HF,RP,OC,TR ¦ δε א ¦ --- A,B,W [1%] NU

[18] οι δε πλησαντες σπογγον οξους και **f**[35] A,N [99%] CP,HF,RP,OC,TR ¦ 4 ουν μεστον του (−τ. א) 5 **𝔓**[66v](א)B,W [1%] NU

περιθέντες, προσήνεγκαν αὐτοῦ τῷ στόματι. **30** Ὅτε οὖν ἔλαβεν τὸ ὄξος ὁ Ἰησοῦς,[1] εἶπεν, «Τετέλεσται.» Καὶ κλίνας τὴν κεφαλήν, παρέδωκεν τὸ πνεῦμα.

A soldier spears His side

31 Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ Παρασκευὴ ἦν[2] (ἦν γὰρ μεγάλη ἡ[3] ἡμέρα ἐκείνου[4] τοῦ σαββάτου), ἠρώτησαν τὸν Πιλᾶτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν. **32** Ἦλθον οὖν οἱ στρατιῶται καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ. **33** Ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη[5] τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη. **34** Ἀλλ᾽ εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξεν, καὶ εὐθέως ἐξῆλθεν[6] αἷμα καὶ ὕδωρ. **35** Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκεν, καὶ ἀληθινὴ ἐστιν ἡ μαρτυρία αὐτοῦ,[7] (κἀκεῖνος[8] οἶδεν ὅτι ἀληθῆ λέγει), ἵνα[9] ὑμεῖς πιστεύσητε.[10] **36** Ἐγένετο γὰρ ταῦτα ἵνα ἡ Γραφὴ πληρωθῇ, «Ὀστοῦν οὐ συντριβήσεται ἀπ᾽[11] αὐτοῦ.» **37** Καὶ πάλιν ἑτέρα Γραφὴ λέγει· «Ὄψονται εἰς ὃν ἐξεκέντησαν.»

Jesus' body is buried

38 Μετὰ[12] ταῦτα ἠρώτησεν τὸν Πιλᾶτον[13] Ἰωσήφ, ὁ[14] ἀπὸ Ἀριμαθαίας (ὢν μαθητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων), ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ Πιλᾶτος. Ἦλθεν οὖν καὶ ἦρεν τὸ σῶμα τοῦ Ἰησοῦ.[15] **39** Ἦλθεν δὲ καὶ Νικόδημος (ὁ ἐλθὼν πρὸς τὸν Ἰησοῦν[16] νυκτὸς τὸ πρῶτον), φέρων μῖγμα σμύρνης καὶ ἀλόης, ὡς[17] λίτρας ἑκατόν. **40** Ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ καὶ ἔδησαν αὐτὸ ἐν[18] ὀθονίοις, μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶν τοῖς Ἰουδαίοις ἐνταφιάζειν. **41** Ἦν δὲ ἐν τῷ τόπῳ ὅπου ἐσταυρώθη κῆπος, καὶ ἐν τῷ κήπῳ μνημεῖον καινὸν ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη.[19] **42** Ἐκεῖ οὖν, διὰ τὴν Παρασκευὴν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

Resurrection Day

The empty tomb

20:1 Τῇ δὲ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωΐ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. **2** Τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ πρὸς τὸν ἄλλον μαθητήν, ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς, «Ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν.» **3** Ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητὴς καὶ ἤρχοντο εἰς τὸ μνημεῖον. **4** Ἔτρεχον δὲ οἱ δύο ὁμοῦ, καὶ ὁ ἄλλος μαθητὴς προέδραμεν τάχιον τοῦ Πέτρου καὶ ἦλθεν πρῶτος εἰς τὸ μνημεῖον. **5** Καὶ παρακύψας βλέπει κείμενα τὰ

---

[1] ο ιησους **f**[35] A,N [99.8%] CP,HF,RP,OC,TR[NU] ¦ 2 B,W ¦ --- א

[2] ινα μη μεινη επι του σταυρου τα σωματα εν τω σαββατω επει παρασκευη ην **f**[35] A,N [97%] CP,HF,RP,OC,TR ¦ ~ 12-14,1-11 **𝔓**[66]אB,W [3%] NU

[3] η *rell* ¦ --- אA,W [20%]

[4] εκεινου *rell* ¦ εκεινη B [20%] CP,some TRs

[5] αυτον ηδη **f**[35] אA,N [99.5%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[66]B,W [0.5%] NU

[6] ευθεως εξηλθεν **f**[35] [90%] CP,HF,RP,OC ¦ ευθυς 2 A [9%] TR ¦ ~ 2 ευθυς **𝔓**[66]אB,N,W [1%] NU

[7] εστιν η μαρτυρια αυτου **f**[35] [30%] CP ¦ ~ 1423 **𝔓**[66v]N [65%] HF,RP ¦ ~ 4123 אA,B,W [5%] OC,TR,NU

[8] κακεινος **f**[35] אA(N) [99%] CP,HF,RP,OC,TR ¦ και εκεινος B,W [1%] NU

[9] ινα **f**[35] [80%] CP,HF,RP,TR ¦ 1 και **𝔓**[66]אA,B,N,W [20%] OC,NU (OC has small print.)

[10] πιστευσητε **f**[35] A,N [99%] CP,HF,RP,OC,TR[NU] ¦ πιστευητε אB [0.5%] ¦ πιστευσηται W [0.5%]

[11] απ **f**[35] א [60%] CP,RP ¦ --- A,B,N,W [40%] HF,OC,TR,NU [The force of the preposition would be partitive.]

[12] μετα **f**[35] [90%] CP,HF,RP ¦ 1 δε אA,B,N,W [10%] OC,TR,NU

[13] πιλατον **f**[35] אB,N,W [70%] CP,RP,OC,NU ¦ 1 ο A [30%] HF,TR

[14] ο **f**[35] אN,W [99%] CP,HF,RP,OC,TR[NU] ¦ --- **𝔓**[66]A,B [1%]

[15] το σωμα του ιησου **f**[35] N [99%] CP,HF,RP,OC,TR ¦ 12 αυτου **𝔓**[66]B [0.5%] NU ¦ αυτον אW ¦ --- A [0.5%] omit a whole line [homoioteleuton]

[16] τον ιησουν **f**[35] אN,W [99%] CP,HF,RP,OC,TR ¦ αυτον **𝔓**[66v]A,B [1%] NU

[17] ως **f**[35] אB [80%] CP,HF,RP,OC,NU ¦ ωσει **𝔓**[66]A,N,W [20%] TR

[18] εν **f**[35] A [90%] CP,HF,RP,OC ¦ --- **𝔓**[66]אB,N,W [10%] TR,NU

[19] ετεθη **f**[35] A(N) [99.5%] CP,HF,RP,OC,TR ¦ ην τεθειμενος אB [0.5%] NU

ὀθόνια, οὐ μέντοι εἰσῆλθεν. **6** Ἔρχεται οὖν[1] Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, **7** καὶ τὸ σουδάριον ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον.

John sees and believes

8 Τότε οὖν εἰσῆλθεν καὶ ὁ ἄλλος μαθητής, ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδεν καὶ ἐπίστευσεν. **9** (Οὐδέπω γὰρ ᾔδεισαν τὴν Γραφήν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι.) **10** Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς[2] οἱ μαθηταί.

Jesus appears first to Magdalene

11 Μαρία δὲ εἰστήκει πρὸς τῷ μνημείῳ[3] κλαίουσα ἔξω.[4] Ὡς οὖν ἔκλαιεν, παρέκυψεν εἰς τὸ μνημεῖον. **12** Καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ καὶ ἕνα πρὸς τοῖς ποσίν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ. **13** Καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι, «Γύναι, τί κλαίεις;» Λέγει αὐτοῖς, «Ὅτι ἦραν τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν.» **14** Καὶ[5] ταῦτα εἰποῦσα ἐστράφη εἰς τὰ ὀπίσω καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα, καὶ οὐκ ᾔδει ὅτι[6] Ἰησοῦς ἐστιν. **15** Λέγει αὐτῇ ὁ[7] Ἰησοῦς· «Γύναι, τί κλαίεις; Τίνα ζητεῖς;» Ἐκείνη, δοκοῦσα ὅτι ὁ κηπουρός ἐστιν, λέγει αὐτῷ, «Κύριε, εἰ σὺ ἐβάστασας αὐτόν, εἰπέ μοι ποῦ ἔθηκας αὐτόν,[8] κἀγὼ αὐτὸν ἀρῶ.» **16** Λέγει αὐτῇ ὁ[9] Ἰησοῦς, «Μαρία.»[10] Στραφεῖσα ἐκείνη, λέγει αὐτῷ,[11] «Ῥαβουνί»[12] (ὃ λέγεται, Διδάσκαλε). **17** Λέγει αὐτῇ ὁ[13] Ἰησοῦς· «Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου·[14] πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς, ‹Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.› » **18** Ἔρχεται Μαρία[15] ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα[16] τοῖς μαθηταῖς ὅτι ἑώρακεν[17] τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

Disciples commissioned

19 Οὔσης οὖν ὀψίας, τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν[18] σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι,[19] διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς, «Εἰρήνη ὑμῖν.» **20** Καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ.[20] Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον. **21** Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς[21] πάλιν· «Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέν με ὁ Πατήρ, κἀγὼ πέμπω ὑμᾶς.» **22** Καὶ τοῦτο εἰπὼν ἐνεφύσησεν καὶ λέγει αὐτοῖς· «Λάβετε Πνεῦμα Ἅγιον. **23** Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας,

---

[1] ουν **f**[35] A,N [99.5%] CP,HF,RP,OC,TR ¦ 1 και **𝔓**[66]B(W) [0.5%] NU ¦ ℵ omits a whole verse
[2] εαυτους **f**[35] A,W [99.5%] CP,HF,RP,OC,TR ¦ αυτους ℵB [0.5%] NU ¦ N omits verse 10
[3] τω μνημειω **f**[35] **𝔓**[66v]ℵA,B,N,W [50%] OC,NU ¦ το μνημειον [50%] CP,HF,RP,TR [The dative is correct; she was ‘at’ the tomb.]
[4] κλαιουσα εξω **f**[35] [75%] CP,HF,RP,OC,TR ¦ ~ 21 B,N,W [25%] NU ¦ 1 ℵA
[5] και **f**[35] [96%] CP,HF,RP,OC,TR ¦ --- ℵA,B,D,N,W [4%] NU
[6] οτι *rell* ¦ 1 ο [5%] TR
[7] ο **f**[35] A,D,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[66]ℵB,W [0.5%] NU
[8] εθηκας αυτον *rell* ¦ ~ 21 N [20%] TR
[9] ο **f**[35] ℵA,N,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- B,D [0.5%] NU
[10] μαρια **f**[35] A,D [98.5%] CP,HF,RP,OC,TR ¦ μαριαμ ℵB,N,W [1.5%] NU
[11] αυτω **f**[35] A [99%] CP,HF,RP,OC,TR ¦ 1 εβραιστι ℵB,D,N,W [1%] NU
[12] ραβουνι **f**[35] [50%] CP ¦ ραββουνι ℵA,B,D(N)W [50%] HF,RP,OC,TR,NU
[13] ο **f**[35] ℵA,N,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- B,D [0.5%] NU
[14] μου **f**[35] **𝔓**[66]A,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- ℵB,D,W [0.5%] NU
[15] μαρια **f**[35] A,D,N,W [98.5%] CP,HF,RP,OC,TR ¦ μαριαμ **𝔓**[66]ℵB [1.5%] NU
[16] απαγγελλουσα **f**[35] D,N [82%] CP,HF,RP,OC,TR ¦ απαγγελουσα [1%] ¦ αναγγελλουσα W [15%] ¦ αναγγελουσα [1.5%] ¦ αγγελλουσα **𝔓**[66]ℵA,B [0.3%] N-A ¦ αγγελουσα UBS [corrected in the 4th edition]
[17] εωρακεν **f**[35] A,D [99.5%] CP,HF,RP,OC,TR ¦ εωρακα (**𝔓**[66])ℵB,N,W [0.5%] NU
[18] των **f**[35] D,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- ℵA,B,W [0.5%] NU
[19] συνηγμενοι **f**[35] N [99.5%] CP,HF,RP,OC,TR ¦ --- ℵA,B,D,W [0.5%] NU
[20] αυτοις τας χειρας και την πλευραν αυτου **f**[35] [97.5%] CP,HF,RP,OC,TR ¦ ~ 234561 ℵD,W,NU ¦ ~ 4234561 A,B ¦ 123456 [1%] ¦ 123 και τους ποδας 4567 [1%] ¦ ~ 1237456 N
[21] ο ιησους **f**[35] A,B,N [99.5%] CP,HF,RP,OC,TR[NU] ¦ --- ℵD(W) [0.5%]

ἀφίενται[1] αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται.»

Thomas

24 Θωμᾶς δέ, εἷς ἐκ τῶν δώδεκα (ὁ λεγόμενος Δίδυμος), οὐκ ἦν μετ᾽ αὐτῶν ὅτε ἦλθεν ὁ[2] Ἰησοῦς. **25** Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί, «Ἑωράκαμεν τὸν Κύριον.» Ὁ δὲ εἶπεν αὐτοῖς, «Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου[3] εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω.»

26 Καὶ μεθ᾽ ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ᾽ αὐτῶν. Ἔρχεται ὁ Ἰησοῦς, τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν, «Εἰρήνη ὑμῖν.» **27** Εἶτα λέγει τῷ Θωμᾷ· «Φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε τὰς χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν μου. Καὶ μὴ γίνου ἄπιστος ἀλλὰ πιστός.» **28** Καὶ[4] ἀπεκρίθη[5] Θωμᾶς καὶ εἶπεν αὐτῷ, «Ὁ Κύριός μου καὶ ὁ Θεός μου.» **29** Λέγει αὐτῷ ὁ Ἰησοῦς· «Ὅτι ἑώρακάς με,[6] πεπίστευκας. Μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες.»

Why this book

30 Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ,[7] ἃ οὐκ ἔστιν γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ· **31** ταῦτα δὲ γέγραπται ἵνα πιστεύσητε[8] ὅτι[9] Ἰησοῦς ἐστιν ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

Epilogue

Breakfast on the beach

21:1 Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν[10] ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ,[11] ἐγερθεὶς ἐκ νεκρῶν,[12] ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· ἐφανέρωσεν δὲ οὕτως· **2** Ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς (ὁ λεγόμενος Δίδυμος), καὶ Ναθαναὴλ (ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας), καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. **3** Λέγει αὐτοῖς Σίμων Πέτρος, «Ὑπάγω ἁλιεύειν.» Λέγουσιν αὐτῷ, «Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί.» Ἐξῆλθον καὶ ἐνέβησαν[13] εἰς τὸ πλοῖον εὐθύς,[14] καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν.

4 Πρωΐας δὲ ἤδη γενομένης,[15] ἔστη ὁ[16] Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέντοι ᾔδεισαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς ἐστιν. **5** Λέγει οὖν αὐτοῖς ὁ[17] Ἰησοῦς, «Παιδία, μήτι προσφάγιον ἔχετε;» Ἀπεκρίθησαν αὐτῷ, «Οὔ.» **6** Ὁ δὲ εἶπεν αὐτοῖς, «Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε.» Ἔβαλον οὖν, καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυσαν[18] ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. **7** Λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ Ἰησοῦς τῷ Πέτρῳ, «Ὁ Κύριός ἐστιν.» Σίμων οὖν Πέτρος, ἀκούσας ὅτι ὁ Κύριός ἐστιν, τὸν ἐπενδύτην διεζώσατο (ἦν γὰρ γυμνός) καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν. **8** Οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον (οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς,

---

[1] αφιενται **f**[35] W [95%] CP,HF,RP,OC,TR ¦ αφεονται (B) [0.5%] ¦ αφεωνται A,D [3%] NU ¦ αφεθησεται ℵ ¦ two other variants

[2] ο **f**[35] A,W [99.5%] CP,HF,RP,OC,TR ¦ --- ℵB,D [0.5%] NU

[3] την χειρα μου **f**[35] (A)N [98.5%] CP,HF,RP,OC,TR ¦ ~ 312 ℵ(B,W) [0.5%] NU ¦ 12 [1%] ¦ ~ 3 τον δακτυλον D

[4] και **f**[35] A [97%] CP,HF,RP,OC,TR ¦ --- ℵB,C,D,W [3%] NU

[5] απεκριθη **f**[35] 𝔓[66]A,B,C,D,W [95%] CP,HF,RP,OC,NU ¦ 1 ο ℵ [5%] TR

[6] με *rell* ¦ 1 θωμα [5%] TR

[7] αυτου **f**[35] 𝔓[66]ℵC,D,N,W [90%] CP,HF,RP,OC,TR[NU] ¦ --- A,B [10%]

[8] πιστευσητε **f**[35] A,C,D [99.5%] CP,HF,RP,OC,TR[NU] ¦ πιστευητε ℵB ¦ πιστευσηται N,W ¦ πιστευηται 𝔓[66v]

[9] οτι *rell* ¦ 1 ο [5%] TR

[10] εαυτον **f**[35] [20%] ¦ 1 παλιν A,B,C,N(W) [80%] CP,HF,RP,OC,TR,NU ¦ παλιν 1 ℵ(D)

[11] αυτου **f**[35] D [40%] ¦ --- ℵA,B,C,N,W [60%] CP,HF,RP,OC,TR,NU

[12] εγερθεις εκ νεκρων **f**[35] [25%] ¦ --- ℵA,B,C,D,N,W [75%] CP,HF,RP,OC,TR,NU

[13] ενεβησαν *rell* ¦ ανεβησαν [10%] TR

[14] ευθυς **f**[35] A [98%] CP,HF,RP,OC,TR ¦ --- ℵB,C,D,N,W [2%] NU

[15] γενομενης *rell* ¦ γινομενης C [10%] ¦ γεινομενης A,B

[16] ο **f**[35] N [98%] CP,HF,RP,OC,TR ¦ --- ℵA,B,C,D,W [2%] NU

[17] ο **f**[35] C,D,N [99.5%] CP,HF,RP,OC,TR[NU] ¦ --- ℵB ¦ A omits three words, and W two

[18] ισχυσαν **f**[35] A(W) [97%] CP,HF,RP,OC,TR ¦ ισχυον ℵB,C,D,N [3%] NU

ἀλλ᾽[1] ὡς ἀπὸ πηχῶν διακοσίων), σύροντες τὸ δίκτυον τῶν ἰχθύων.

9 Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην καὶ ὀψάριον ἐπικείμενον, καὶ ἄρτον. **10** Λέγει αὐτοῖς ὁ Ἰησοῦς, «Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν.» **11** Ἀνέβη[2] Σίμων Πέτρος καὶ εἵλκυσεν τὸ δίκτυον ἐπὶ τῆς γῆς,[3] μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντήκοντα τριῶν· καὶ τοσούτων ὄντων, οὐκ ἐσχίσθη τὸ δίκτυον.

12 Λέγει αὐτοῖς ὁ Ἰησοῦς, «Δεῦτε ἀριστήσατε.» Οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν, «Σὺ τίς εἶ;»—εἰδότες ὅτι ὁ Κύριός ἐστιν. **13** Ἔρχεται οὖν[4] ὁ[5] Ἰησοῦς καὶ λαμβάνει τὸν ἄρτον καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως.

14 Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ[6] Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ,[7] ἐγερθεὶς ἐκ νεκρῶν.

Jesus reinstates Peter

15 Ὅτε οὖν ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς, «Σίμων Ἰωνᾶ,[8] ἀγαπᾷς με πλεῖον[9] τούτων;» Λέγει αὐτῷ, «Ναί, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε.» Λέγει αὐτῷ, «Βόσκε τὰ ἀρνία μου.» **16** Λέγει αὐτῷ πάλιν, δεύτερον, «Σίμων Ἰωνᾶ,[10] ἀγαπᾷς με;» Λέγει αὐτῷ, «Ναί, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε.» Λέγει αὐτῷ, «Ποίμαινε τὰ πρόβατά μου.» **17** Λέγει αὐτῷ τὸ τρίτον, «Σίμων Ἰωνᾶ,[11] φιλεῖς με;» Ἐλυπήθη ὁ Πέτρος ὅτι εἶπεν αὐτῷ τὸ τρίτον, «Φιλεῖς με;» Καὶ εἶπεν[12] αὐτῷ· «Κύριε, σὺ πάντα[13] οἶδας. Σὺ γινώσκεις ὅτι φιλῶ σε.» Λέγει αὐτῷ ὁ Ἰησοῦς·[14] «Βόσκε τὰ πρόβατά μου. **18** Ἀμήν, ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος ἐζώννυες σεαυτὸν[15] καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς ἐκτενεῖς τὰς χεῖράς σου καὶ ἄλλος σε ζώσει καὶ οἴσει ὅπου οὐ θέλεις.» **19** (Τοῦτο δὲ εἶπεν σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν.) Καὶ τοῦτο εἰπὼν λέγει αὐτῷ, «Ἀκολούθει μοι.»

About the author

20 Ἐπιστραφεὶς δὲ[16] ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς ἀκολουθοῦντα (ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ εἶπεν, «Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε;»). **21** Τοῦτον[17] ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ, «Κύριε, οὗτος δὲ τί;» **22** Λέγει αὐτῷ ὁ Ἰησοῦς· «Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; Σὺ ἀκολούθει μοι.»[18] **23** Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος[19] εἰς τοὺς ἀδελφούς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει. Καὶ οὐκ εἶπεν[20] αὐτῷ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνήσκει, ἀλλ᾽, «Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ;»[21]

24 Οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων, καὶ[22] γράψας ταῦτα· καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ.[23] **25** Ἔστιν δὲ καὶ ἄλλα πολλὰ ὅσα[24] ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα

---

[1] αλλ **f**[35] **𝔓**[66]D,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- אA,B,C,W [0.5%] NU
[2] αλλ **f**[35] **𝔓**[66]D,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- אA,B,C,W [0.5%] NU
[3] επι της γης **f**[35] [96%] CP,HF,RP,OC,TR ¦ εις την γην **𝔓**[122]אA,B,C,N,W [2%] NU ¦ 1 την γην (D) [2%]
[4] ουν **f**[35] A,N [98%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[122]אB,C,D,W [2%] NU
[5] ο **f**[35] אA,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- **𝔓**[122]B,C,D,W [0.5%] NU
[6] ο **f**[35] אA,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- B,C,D(W) [0.5%] NU
[7] αυτου **f**[35] D [98%] CP,HF,RP,OC,TR ¦ --- אA,B,C,N,W [2%] NU
[8] ιωνα **f**[35] A,N [99.5%] CP,HF,RP,OC,TR ¦ ιωαννου C,W,NU ¦ ιωανου B,D ¦ --- א
[9] πλειον **f**[35] A(W) [98.5%] CP,HF,RP,OC,TR ¦ πλεον אB,C,D [1%] NU ¦ πλιον N ¦ one other variant
[10] ιωνα **f**[35] A,N [99.5%] CP,HF,RP,OC,TR ¦ ιωαννου אC,W,NU ¦ ιωανου B,D
[11] ιωνα **f**[35] A,N [99.5%] CP,HF,RP,OC,TR ¦ ιωαννου אC(W)NU ¦ ιωανου B,D
[12] ειπεν **f**[35] B,C [98%] CP,HF,RP,OC,TR ¦ λεγει אA,D,N,W [2%] NU
[13] συ παντα **f**[35] A [99%] CP,HF,RP,OC,TR ¦ ~ 21 אB,C,D(N)W [1%] NU
[14] ο ιησους **f**[35] A,N [99%] CP,HF,RP,OC,TR[NU] ¦ 2 B,C ¦ --- אD,W [1%]
[15] σεαυτον *rell* ¦ εαυτον [20%]
[16] δε **f**[35] אD,N [99.5%] CP,HF,RP,OC,TR ¦ --- A,B,C,W [0.5%] NU
[17] τουτον **f**[35] A,W [99.5%] CP,HF,RP,OC,TR ¦ 1 ουν אB,C,D [0.5%] NU
[18] ακολυθει μοι **f**[35] [98.5%] CP,HF,RP,OC,TR ¦ ~ 21 **𝔓**[122]אA,B,C,D,W [1.5%] NU
[19] ο λογος ουτος **f**[35] A [98.5%] CP,HF,RP,OC,TR ¦ ~ 312 אB,C,D,W [1.5%] NU
[20] και ουκ ειπεν **f**[35] A,D [99.5%] CP,HF,RP,OC,TR ¦ ~ 23 δε **𝔓**[122]אB,C,W [0.5%] NU
[21] τι προς σε **f**[35] **𝔓**[109]A,B,C,W [99.5%] CP,HF,RP,OC,TR[NU] ¦ --- א [0.5%] ¦ 23 D
[22] και **f**[35] אA,C,D [99.5%] CP,HF,RP,OC,TR ¦ 1 ο B,W,NU ¦ ο 1 [0.5%]
[23] εστιν η μαρτυρια αυτου **f**[35] אA [99.5%] CP,HF,RP,OC,TR ¦ ~ 4231 B,C,W,NU ¦ ~ 1423 D
[24] οσα **f**[35] A,D,W [99.5%] CP,HF,RP,OC,TR ¦ α B,C [0.5%] NU ¦ א omits whole verse

ἐὰν γράφηται καθ᾽ ἕν,[1] οὐδὲ[2] αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἀμήν.[3,4,5]

[1] καθ᾽ ἑν *rell* ¦ καθέν **f**[35] [30%] [for the record]

[2] ουδε **f**[35] A,C,W [98.5%] CP,HF,RP,OC,TR ¦ ουδ B,D [1.5%] NU

[3] αμην **f**[35] [98.5%] CP,HF,RP,OC,TR ¦ --- A,B,C,D,W [1.5%] NU

[4] In the colophons, **f**[35] [50%] have "published thirty-two years after the ascension of Christ", or 61/62 AD. For 50% of the MSS to have this information probably means that the tradition is ancient; and of course, I have demonstrated, to my own satisfaction at least, that **f**[35] goes back at least to the 3rd century. If this information is correct, then John was 'published' in 61/62 AD. The same sources have Matthew published eight years after the ascension, or 38/39 AD, Mark published two years later (40/41) and Luke another five years later (45/46). Not only were the authors eyewitnesses of the events, but many others were still alive when the Gospels appeared. They could attest to the veracity of the accounts, but could also be the source of textual variants, adding tidbits here and there, or 'correcting' something that they remembered differently.

[5] The citation of **f**[35] is based on the following sixty-two MSS—18, 35, 83, 128, 141, 201, 204, 361, 363, 402, 479, 480, 510, 547, 553, 586, 685, 696, 757, 769, 789, 824, 867, 897, 928, 955, 1046, 1072, 1075, 1111, 1117, 1145, 1147, 1334, 1339, 1384, 1435, 1461, 1493, 1496, 1503, 1559, 1560, 1572, 1617, 1637, 1652, 1667, 1686, 1694, 1700, 1713, 2122, 2253, 2322, 2352, 2382, 2466, 2503, 2554, 2765 and Iviron 2110. I collated all of them myself, except for 201 and 480 that I took from Scrivener. None of them is a 'perfect' representative of **f**[35] in John, as it stands [an unreasonable expectation, presumably, for a book this size, besides being a Gospel], but several come very close; cursive 2382 has only one variant, corrected, so its exemplar was presumably perfect, and it is a complete copy: no letter has been lost. [This refers to the MSS I have collated—there may be even better ones out there. In fact, since I have only collated around 20% of the family representatives for this book, there probably are better ones out there.] The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Aegean, Andros, Lesbos, Prinkipos, Bucharest, Athens, Modena, Meteora, Tirana, Mt. Athos [nine different monasteries], Grottaferrata, Corinth[?], Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *Text und Textwert*, which I take to be reasonably precise. For the variant sets that are not covered there, I referred to Swanson, Scrivener and von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±2%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±4%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%—since my sources had collated a lower percentage of the extant MSS than *ECM* for the General Epistles, for example, my guesses as to percentages are more tentative than they were there, except that I guarantee the witness of **f**[35]. Please see the last footnote for Matthew for further information.

ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ

Opening considerations

A link to Luke

1:1 Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν **2** ἄχρι ἧς ἡμέρας, ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ Πνεύματος Ἁγίου οὓς ἐξελέξατο, ἀνελήφθη·[1] **3** οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα, μετὰ τὸ παθεῖν αὐτόν, ἐν πολλοῖς τεκμηρίοις, δι᾽ ἡμερῶν τεσσαράκοντα[2] ὀπτανόμενος αὐτοῖς καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ. **4** Καὶ συναλιζόμενος[3] παρήγγειλεν αὐτοῖς ἀπὸ Ἰεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρός, «ἣν ἠκούσατέ μου· **5** ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι[4] Ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας.»

Jesus returns to Heaven

6 Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων[5] αὐτὸν λέγοντες, «Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;» **7** Εἶπεν δὲ πρὸς αὐτούς· «Οὐχ ὑμῶν ἐστιν γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. **8** Ἀλλὰ λήψεσθε[6] δύναμιν, ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ᾽ ὑμᾶς· καὶ ἔσεσθέ μοι[7] μάρτυρες—ἔν τε Ἰερουσαλήμ, καὶ[8] πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.»

9 Καὶ ταῦτα εἰπών, βλεπόντων αὐτῶν, ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. **10** Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανόν, πορευομένου αὐτοῦ, καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ,[9] **11** οἳ καὶ εἶπον·[10] «Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες[11] εἰς τὸν οὐρανόν; Οὗτος[12] Ἰησοῦς ὁ ἀναληφθεὶς[13] ἀφ᾽ ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.»

12 Τότε ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἰερουσαλὴμ (σαββάτου ἔχον[14] ὁδόν).

A replacement for Judas Iscariot

13 Καὶ ὅτε εἰσῆλθον ἀνέβησαν εἰς τὸ ὑπερῷον[15] οὗ ἦσαν καταμένοντες· ὅ τε Πέτρος καὶ Ἰάκωβος, Ἰωάννης[16] καὶ Ἀνδρέας, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος καὶ Ματθαῖος,[17] Ἰάκωβος Ἀλφαίου καὶ Σίμων ὁ Ζηλωτής, καὶ Ἰούδας Ἰακώβου. **14** Οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες

---

[1] ανεληφθη *rell* ¦ ανελημφθη ℵA,B,C [1%] NU ¦ D is wild
[2] τεσσαρακοντα **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ τεσσερακοντα ℵA,B,C(D) [2%] NU
[3] συναλιζομενος *rell* ¦ συναυλιζομενος [15%] ¦ συναλισκομενος D
[4] βαπτισθησεσθε (βαπτισθησεσθαι A,C 5.6%) εν πνευματι **f**[35] (A,C) (98.8%) HF,RP,OC,TR,CP ¦ ~ 231 B (0.5%) NU ¦ ~ 23 βαπτισθησεσθαι ℵ(D) (0.7%)
[5] επηρωτων **f**[35] D [99%] HF,RP,OC,TR,CP ¦ ηρωτων ℵA,B [1%] NU ¦ ηρωτουν C
[6] ληψεσθε **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ ληψεσθαι [5%] ¦ λημψεσθαι ℵC,D ¦ λημψεσθε A,B,NU
[7] μοι **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ μου ℵA,B,C,D [2%] NU
[8] και **f**[35] A,C,D [25%] ¦ 1 εν ℵB [75%] HF,RP,OC,TR,CP[NU]
[9] εσθητι λευκη **f**[35] D [97%] HF,RP,OC,TR,CP ¦ εσθησεσι λευκαις ℵ(A)(B)C [3%] NU
[10] ειπον **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ ειπαν ℵA,B,C,D [2%] NU
[11] εμβλεποντες **f**[35] A,C,D [75%] HF,RP,OC,TR,CP[NU] ¦ βλεποντες ℵB [25%]
[12] ουτος **f**[35] [30%] ¦ 1 ο ℵA,B,C,D [70%] HF,RP,OC,TR,CP,NU (A demonstrative pronoun defines, even more than a definite article, so the article is redundant here.)
[13] αναληφθεις **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ αναληφθης [4%] ¦ αναλημφθεις ℵA,B,C,D [2%] NU
[14] εχον *rell* ¦ εχων B [15%]
[15] ανεβησαν εις το υπερωον **f**[35] (D) [98%] HF,RP,OC,TR,CP ¦ 234 ℵ ¦ ~ 2341 A,B,C [1.5%] NU
[16] ιακωβος ιωαννης **f**[35] [25%] ¦ 1 και 2 [73%] HF,RP,OC,TR,CP ¦ ~ 2 και 1 ℵA,C [2%] NU ¦ ~ ιωανης και 1 B ¦ ~ ιωανης ειακωβος D
[17] ματθαιος **f**[35] A,C [99%] HF,RP,OC,TR,CP ¦ μαθθαιος ℵB,D [1%] NU

ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει,[1] σὺν γυναιξίν, καὶ Μαρίᾳ[2] τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ σὺν[3] τοῖς ἀδελφοῖς αὐτοῦ.

15 Καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν[4] εἶπεν (ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς[5] ἑκατὸν εἴκοσιν)·[6] **16** «Ἄνδρες ἀδελφοί· ἔδει πληρωθῆναι τὴν Γραφὴν ταύτην,[7] ἣν προεῖπεν τὸ Πνεῦμα τὸ Ἅγιον διὰ στόματος Δαυὶδ περὶ Ἰούδα, τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσιν τὸν[8] Ἰησοῦν, **17** ὅτι κατηριθμημένος ἦν σὺν[9] ἡμῖν καὶ ἔλαχεν τὸν κλῆρον τῆς διακονίας ταύτης.» **18** (Οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ[10] μισθοῦ τῆς ἀδικίας, καὶ πρηνὴς[11] γενόμενος ἐλάκισεν[12] μέσος, καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ. **19** Καὶ γνωστὸν ἐγένετο πᾶσιν τοῖς κατοικοῦσιν Ἰερουσαλήμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν ‹Ἀκελδαμᾶ,›[13] τοῦτ᾽ ἔστιν, ‹Χωρίον Αἵματος.›) **20** «Γέγραπται γὰρ ἐν Βίβλῳ Ψαλμῶν· ‹Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ› καί, ‹Τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι[14] ἕτερος.› **21** Δεῖ οὖν, τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ ἐν[15] ᾧ εἰσῆλθεν καὶ ἐξῆλθεν ἐφ᾽ ἡμᾶς ὁ Κύριος Ἰησοῦς, **22** ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου ἕως τῆς ἡμέρας ἧς ἀνελήφθη[16] ἀφ᾽ ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι σὺν ἡμῖν[17] ἕνα τούτων.»

23 Καὶ ἔστησαν δύο, Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν,[18] ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν.[19] **24** Καὶ προσευξάμενοι εἶπον· «Σὺ Κύριε, καρδιογνῶστα πάντων, ἀνάδειξον ὃν ἐξελέξω ἐκ τούτων τῶν δύο ἕνα[20] **25** λαβεῖν τὸν κλῆρον[21] τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἐξ[22] ἧς παρέβη Ἰούδας πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον.» **26** Καὶ ἔδωκαν κλήρους αὐτῶν,[23] καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν,[24] καὶ συγκατεψηφίσθη[25] μετὰ τῶν ἕνδεκα ἀποστόλων.

Pentecost

2:1 Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς, ἦσαν ἅπαντες[26,27] ὁμοθυμαδὸν[28] ἐπὶ τὸ αὐτό. **2** Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος, ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ ἦσαν καθήμενοι. **3** Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ

---

[1] και τη δεησει **f**[35] (96.1%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D (3.9%) NU
[2] μαρια **f**[35] ℵA,C,D [96%] HF,RP,OC,TR,CP ¦ μαριαμ B [4%] NU
[3] συν **f**[35] B [94%] HF,RP,OC,TR,CP ¦ --- ℵA,C,D [6%] NU
[4] μαθητων **f**[35] D [97%] HF,RP,OC,TR,CP ¦ αδελφων ℵA,B,C [3%] NU
[5] ως **f**[35] B,D [95%] HF,RP,OC,TR,CP ¦ ωσει ℵA,C [5%] NU
[6] εικοσιν **f**[35] [50%] HF,OC,TR ¦ εικοσι ℵA,B,C [50%] RP,CP,NU
[7] ταυτην **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [5%] NU
[8] τον **f**[35] D [99%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [1%] NU
[9] συν **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ εν ℵA,B,C,D [3%] NU
[10] εκ *rell* ¦ 1 του [5%] TR
[11] πρηνης *rell* ¦ πρινης A,C [20%]
[12] ελακισεν **f**[35] [40%] ¦ ελακησεν ℵA,B,C,D [60%] HF,RP,OC,TR,CP,NU
[13] ακελδαμα **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ ακελδαμαχ B(D) [1%] NU ¦ αχελδαμαχ ℵA [1%]
[14] λαβοι **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ λαβετω ℵA,B,C,D [2%] NU ¦ λαβη [5%]
[15] εν **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C(D) [3%] NU
[16] ανεληφθη *rell* ¦ ανελημφθη ℵA,B,D [1.5%] NU
[17] γενεσθαι συν ημιν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 231 ℵA,B,C(D) [5%] NU
[18] βαρσαβαν **f**[35] C,D [70%] HF,RP,TR,CP ¦ βαρσαββαν ℵA,B [30%] OC,NU
[19] ματθιαν **f**[35] ℵ(A)C [99%] HF,RP,OC,TR,CP ¦ μαθθιαν B,D [1%] NU
[20] ον εξελεξω εκ τουτων των δυο ενα **f**[35] ℵA,B,C [95%] HF,RP,OC,CP,NU ¦ ~ 3456712 [5%] TR
[21] κληρον **f**[35] ℵ [98%] HF,RP,OC,TR,CP ¦ τοπον A,B,C(D) [2%] NU
[22] εξ **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ αφ ℵA,B,C,D [3%] NU
[23] αυτων **f**[35] D [97%] HF,RP,OC,TR,CP ¦ αυτοις ℵA,B,C [3%] NU
[24] ματθιαν **f**[35] ℵA,C [99%] HF,RP,OC,TR,CP ¦ μαθθιαν B,D [1%] NU
[25] συγκατεψηφισθη *rell* ¦ συγκατεψυφισθη CP
[26] απαντες **f**[35] [80%] HF,RP,OC,TR,CP ¦ παντες A,B,C [20%] NU ¦ --- ℵ ¦ παντων D
[27] απαντες/παντες *rell* ¦ 1 οι αποστολοι [20%]
[28] ομοθυμαδον **f**[35] (94.3%) HF,RP,OC,TR,CP ¦ ομοθυμαδων (2.9%) ¦ ομου ℵA,B,C (2.3%) NU ¦ two other readings D (0.5%)

πυρός, ἐκάθισέν τε[1] ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν. **4** Καὶ ἐπλήσθησαν ἅπαντες[2] Πνεύματος Ἁγίου καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι.[3]

People from all over

5 Ἦσαν δὲ ἐν[4] Ἰερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν.[5] **6** Γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθεν τὸ πλῆθος καὶ συνεχύθη, ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν. **7** Ἐξίσταντο δὲ[6] καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους·[7] «Οὐκ,[8] ἰδού, πάντες[9] οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; **8** Καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν;[10] **9** Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται· καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, **10** Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης[11] τῆς κατὰ Κυρήνην· καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι—Ἰουδαῖοί τε καὶ προσήλυτοι—**11** Κρῆτες καὶ Ἄραβες· ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ.» **12** Ἐξίσταντο δὲ πάντες καὶ διηπόρουν, ἄλλος πρὸς ἄλλον λέγοντες, «Τί ἂν[12] θέλοι[13] τοῦτο εἶναι;» **13** Ἕτεροι δὲ διαχλευάζοντες,[14] ἔλεγον ὅτι «Γλεύκους μεμεστωμένοι[15] εἰσίν.»

Peter's proclamation

14 Σταθεὶς δὲ[16] Πέτρος, σὺν τοῖς ἕνδεκα, ἐπῆρεν τὴν φωνὴν αὐτοῦ καὶ ἐπεφθέγξατο[17] αὐτοῖς· «Ἄνδρες—Ἰουδαῖοι καὶ οἱ κατοικοῦντες Ἰερουσαλὴμ ἅπαντες[18]—τοῦτο ὑμῖν γνωστὸν ἔστω· καί, ἐνωτίσασθε τὰ ῥήματά μου. **15** Οὐ γάρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν (ἔστιν γὰρ ὥρα τρίτη τῆς ἡμέρας), **16** ἀλλὰ τοῦτό ἐστιν τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ·

> **17** ‹Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει ὁ Θεός· Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες[19] ὑμῶν· καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται· καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια[20] ἐνυπνιασθήσονται. **18** Καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, καὶ προφητεύσουσιν. **19** Καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω· αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ. **20** Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα πρὶν ἢ[21] ἐλθεῖν τὴν[22] ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. **21** Καὶ ἔσται· πᾶς ὃς ἂν ἐπικαλέσηται[23] τὸ ὄνομα Κυρίου

---

[1] εκαθισεν τε **f**[35] A [98%] HF,RP,OC,TR,CP ¦ 1 δε C ¦ ~ και 1 B [1%] NU ¦ και εκαθισαν ℵ ¦ και εκαθισαν 2 D
[2] απαντες **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ παντες ℵA,B,D [2%] NU
[3] αυτοις αποφθεγγεσθαι **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B,C,D [3%] NU
[4] εν **f**[35] B,C,D [99%] HF,RP,OC,TR,CP ¦ εις ℵA [1%] NU
[5] τον ουρανον *rell* ¦ των ουρανων [13%]
[6] δε **f**[35] B,D [65%] HF,CP,NU ¦ 1 παντες (ℵ)A,C [35%] RP,OC,TR (*TuT* is completely off here.)
[7] προς αλληλους **f**[35] D (97.3%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C (2.7%) NU
[8] ουκ **f**[35] A,C [98%] HF,RP,OC,TR,CP ¦ ουχ ℵD [2%] NU ¦ ουχι B
[9] παντες **f**[35] B [98%] HF,RP,OC,TR,CP ¦ απαντες ℵA,C,D [2%] NU
[10] εγεννηθημεν **f**[35] ℵB,C,D [75%] HF,RP,OC,TR,NU ¦ εγενηθημεν A [25%] CP
[11] λιβυης *rell* ¦ λυβιης [15%] ¦ λιβυας CP ¦ λιβουης D
[12] αν **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [3%] NU
[13] θελοι **f**[35] ℵ [93%] HF,RP,OC,TR,CP ¦ θελει (A)B,C,D [7%] NU
[14] διαχλευαζοντες **f**[35] ℵA,B,C [25%] NU ¦ χλευαζοντες [75%] HF,RP,OC,TR,CP ¦ διεχλευαζον D
[15] μεμεστωμενοι *rell* ¦ μεμεστομενοι [7%] ¦ μεμεσταμενοι [5%]
[16] δε **f**[35] C [88%] HF,RP,OC,TR,CP ¦ 1 ο ℵA,B,D [12%] NU
[17] επεφθεγξατο **f**[35] [25%] ¦ απεφθεγξατο ℵA,B,C [75%] HF,RP,OC,TR,CP,NU ¦ ειπεν D [Is the verb επιφθεγγομαι or αποφθεγγομαι? They are similar in meaning.]
[18] απαντες **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ παντες ℵA,B,C [5%] NU ¦ --- D
[19] θυγατερες *rell* ¦ θυγατεραις C [20%]
[20] ενυπνια **f**[35] [85%] HF,RP,OC,TR ¦ ενυπνιοις ℵA,B,C [15%] CP,NU ¦ --- D
[21] η **f**[35] B [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,C,D [5%] NU
[22] την **f**[35] A,C [99%] HF,RP,OC,TR,CP ¦ --- ℵB,D [1%] NU
[23] επικαλεσηται *rell* ¦ επικαλεσεται [15%] ¦ επικαλεσειται [3%] ¦ επικαλεσητε A

σωθήσεται.›

22 »Ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους· Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον[1] εἰς ὑμᾶς δυνάμεσιν καὶ τέρασιν καὶ σημείοις, οἷς ἐποίησεν δι᾽ αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ[2] αὐτοὶ οἴδατε, **23** τοῦτον—τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον—λαβόντες[3] διὰ χειρῶν[4] ἀνόμων, προσπήξαντες, ἀνείλετε·[5] **24** ὃν ὁ Θεὸς ἀνέστησεν, λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ᾽ αὐτοῦ. **25** Δαυὶδ γὰρ λέγει εἰς αὐτόν·

‹Προωρώμην[6] τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ. **26** Διὰ τοῦτο εὐφράνθη[7] ἡ καρδία μου καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου. Ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ᾽ ἐλπίδι, **27** ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς Ἅδου,[8] οὐδὲ δώσεις τὸν Ὅσιόν σου ἰδεῖν διαφθοράν. **28** Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου.›

29 »Ἄνδρες ἀδελφοί, ἐξὸν εἰπεῖν μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαυίδ, ὅτι καὶ ἐτελεύτησεν καὶ ἐτάφη, καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. **30** Προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ, τὸ κατὰ σάρκα, ἀναστήσειν τὸν Χριστὸν[9] καθίσαι ἐπὶ τοῦ Θρόνου[10] αὐτοῦ, **31** προϊδὼν ἐλάλησεν περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅτι ‹Οὐ[11] κατελείφθη ἡ ψυχὴ αὐτοῦ[12] εἰς Ἅδου,[13] οὐδὲ[14] ἡ σὰρξ αὐτοῦ εἶδεν διαφθοράν.›

32 »Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεός, οὗ πάντες ἡμεῖς ἐσμεν μάρτυρες. **33** Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθείς, τήν τε ἐπαγγελίαν τοῦ Ἁγίου Πνεύματος[15] λαβὼν παρὰ τοῦ Πατρός, ἐξέχεεν τοῦτο ὃ νῦν[16] ὑμεῖς[17] βλέπετε καὶ ἀκούετε. **34** Οὐ γὰρ Δαυὶδ ἀνέβη εἰς τοὺς οὐρανούς, λέγει δὲ αὐτός· ‹Εἶπεν ὁ[18] Κύριος τῷ Κυρίῳ μου· «Κάθου ἐκ δεξιῶν μου **35** ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.» › **36** Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ ὅτι καὶ[19] Κύριον καὶ Χριστὸν αὐτὸν[20] ὁ Θεὸς ἐποίησεν,[21] τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε.»

The reaction

37 Ἀκούσαντες δὲ κατενύγησαν τῇ καρδίᾳ,[22] εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους, «Τί ποιήσομεν,[23] ἄνδρες ἀδελφοί;» **38** Εἶπεν δὲ Πέτρος πρὸς αὐτούς· «Μετανοή-

---

[1] απο του θεου αποδεδειγμενον **f**[35] A [94%] HF,RP,OC,TR,CP ¦ ~ 4123 (א)B(C) [6%] NU ¦ 123 δεδοκιμασμενον D
[2] και **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- אA,B,C,D [5%] NU
[3] λαβοντες **f**[35] D (97.3%) HF,RP,OC,TR,CP ¦ --- אA,B,C (2.7%) NU
[4] χειρων **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ χειρος אA,B,C,D [5%] NU
[5] ανειλετε **f**[35] [70%] HF,RP,OC,TR,CP ¦ ανειλατε אA,B,C,D [25%] NU ¦ four other spellings [5%]
[6] προωρωμην **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ προορωμην אA,B,C,D [4%] NU
[7] ευφρανθη **f**[35] [70%] HF,RP,OC,TR,CP ¦ ηυφρανθη אA,B,C,D [30%] NU
[8] αδου **f**[35] [85%] RP,OC,TR,CP ¦ αδην אA,B,C,D [15%] NU ¦ αιδου HF
[9] το κατα σαρκα αναστησειν τον χριστον **f**[35] (D) (96.1%) HF,RP,OC,TR,CP ¦ 456 (1.6%) ¦ --- אA,B,C (2.3%) NU (There are a number of variations scattered about: αναστησει 2.3%, αναστησαι 5%, +τε 6.1%, +και 5.6%.)
[10] του θρονου **f**[35] [70%] HF,RP,OC,TR,CP ¦ τον θρονον אA,B,C,D [10%] NU ¦ 2 [20%]
[11] ου **f**[35] [71%] HF,RP,OC,TR ¦ ουκ [27%] CP ¦ ουτε אA,B,C,D [2%] NU (The choice ου/ουκ is governed by the following letter.)
[12] κατελειφθη η ψυχη αυτου **f**[35] (68.7%) HF,RP,OC,TR ¦ κατεληφθη 234 (1.8%) ¦ εγκατελειφθη 234 (23.1%) CP ¦ εγκατεληφθη 234 (4.1%) ¦ εγκατελειφθη (א)A(B,C,D) (1.8%) NU ¦ two other variants (0.5%)
[13] αδου **f**[35] A,C,D [90%] RP,OC,TR,CP ¦ αδην אB [10%] NU ¦ αιδου HF
[14] ουδε **f**[35] B [92%] HF,RP,OC,TR,CP ¦ ουτε אA,C,D [8%] NU
[15] αγιου πνευματος **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ ~ 2 του 1 אA,B,C [5%] NU
[16] νυν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- אA,B,C [4%] NU
[17] υμεις **f**[35] אA(C) [99.5%] HF,RP,OC,TR,CP ¦ 1 και B(D)[NU]
[18] ο **f**[35] A,C [95%] HF,RP,OC,TR,CP[NU] ¦ --- אB(D) [5%]
[19] και *rell* ¦ --- [2%] some TRs
[20] και χριστον αυτον **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ ~ 312 אA,B,C [4%] NU ¦ 12 D [2%]
[21] ο θεος εποιησεν **f**[35] A,C,D [99%] HF,RP,OC,TR,CP ¦ ~ 312 אB [1%] NU
[22] τη καρδια **f**[35] D [98%] HF,RP,OC,TR,CP ¦ την καρδιαν אA,B,C [2%] NU
[23] ποιησομεν **f**[35] D [60%] RP,OC,TR ¦ ποιησωμεν אA,B,C [40%] HF,CP,NU

σατε[1] καὶ βαπτισθήτω, ἕκαστος ὑμῶν, ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν,[2] καὶ λήψεσθε[3] τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος. **39** Ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία, καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσιν τοῖς εἰς μακράν—ὅσους ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν.» **40** Ἑτέροις τε λόγοις πλείοσιν διεμαρτύρατο[4] καὶ παρεκάλει[5] λέγων, «Σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης.»

The beginning of the Church

2:41 Οἱ μὲν οὖν ἀσμένως[6] ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ ἐβαπτίσθησαν, καὶ προσετέθησαν[7] τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. **42** Ἦσαν δὲ προσκαρτεροῦντες τῇ διδαχῇ τῶν ἀποστόλων καὶ τῇ κοινωνίᾳ, καὶ[8] τῇ κλάσει τοῦ ἄρτου καὶ ταῖς προσευχαῖς. **43** Ἐγένετο[9] δὲ πάσῃ ψυχῇ φόβος—πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγίνετο.[10]

All things in common

44 Πάντες δὲ οἱ πιστεύοντες[11] ἦσαν ἐπὶ τὸ αὐτὸ καὶ εἶχον ἅπαντα κοινά· **45** καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον καὶ διεμέριζον αὐτὰ πᾶσιν καθότι ἄν τις χρείαν εἶχεν. **46** Καθ᾽ ἡμέραν[12] τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ, κλῶντές τε κατ᾽ οἶκον ἄρτον· μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας, **47** αἰνοῦντες τὸν Θεὸν καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν. Ὁ δὲ Κύριος προσετίθει[13] τοὺς σῳζομένους καθ᾽ ἡμέραν τῇ ἐκκλησίᾳ.[14]

A man lame from birth

3:1 Ἐπὶ τὸ αὐτὸ δὲ Πέτρος[15] καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς (τὴν ἐνάτην).[16] **2** Καί τις ἀνήρ, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων, ἐβαστάζετο (ὃν ἐτίθουν καθ᾽ ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱεροῦ, τὴν λεγομένην Ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν), **3** ὅς, ἰδὼν Πέτρον καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸ ἱερόν, ἠρώτα ἐλεημοσύνην.[17]

Peter heals him

4 Ἀτενίσας δὲ Πέτρος εἰς αὐτόν, σὺν τῷ Ἰωάννῃ, εἶπεν, «Βλέψον εἰς ἡμᾶς.» **5** Ὁ δὲ ἐπεῖχεν αὐτοῖς, προσδοκῶν τι παρ᾽ αὐτῶν λαβεῖν. **6** Εἶπεν δὲ Πέτρος· «Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι, ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι. Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ἔγειραι καὶ[18]

---

[1] ειπεν δε πετρος προς αυτους μετανοησατε **f**[35] [20%] ¦ ~ 32 εφη 456 [72%] HF,RP,OC,TR,CP ¦ ~ 32456 φησιν ℵA,C [2%] [NU] ¦ ~ 32456 B ¦ ~ 3245 φησιν 6 D ¦ five further variants [5%]

[2] αμαρτιων **f**[35] D (95.3%) HF,RP,OC,TR,CP ¦ 1 υμων (1.4%) ¦ των 1 υμων ℵA,B(C) (1.8%) NU ¦ των 1 (1.6%)

[3] ληψεσθε **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ λημψεσθε A,B,NU ¦ λημψεσθαι ℵC,D [1%] ¦ ληψεσθαι [3%]

[4] διεμαρτυρατο **f**[35] ℵA,B(C)D [45%] NU ¦ διεμαρτυρετο [55%] HF,RP,OC,TR,CP (Aorist or Imperfect? The immediately following verb presumably exerted pressure.)

[5] παρεκαλει **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ 1 αυτους ℵA,B,C,D [4%] NU ¦ 1 αυτοις [1%]

[6] ασμενως **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [3%] NU

[7] προσετεθησαν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ 1 εν ℵA,B,C,D [5%] NU

[8] και **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [2%] NU

[9] εγενετο **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ εγινετο ℵA(B,C,D) [2%] NU

[10] εγινετο **f**[35] B,D (88.1%) HF,RP,OC,TR,CP,NU (εγενετο [15%], εγεινετο B,C,D) ¦ 1 εν (εις 1.8%) ιερουσαλημ φοβος τε ην μεγας επι παντας (+αυτους 3.2%) ℵA,C (7.2%) ¦ 1234567 (1.8%) ¦ 123 (2.3%) ¦ two other readings (0.7%)

[11] πιστευοντες **f**[35] A,C,D [88%] HF,RP,OC,TR,NU ¦ πιστευσαντες ℵB [12%] CP

[12] **f**[35] [40%] accent καθημεραν as one word, but since the meaning evidently remains the same I stay with the conventional spelling. This statement obtains throughout. Since the *theta* signals aspiration, there is no ambiguity; the scribes were just saving ink.

[13] προσετιθει *rell* ¦ προσετιθη [20%]

[14] τη εκκλησια **f**[35] (D) (97.1%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C (2.9%) NU

[15] δε πετρος **f**[35] (D) (89.2%) HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B,C (7.6%) NU ¦ 2 (3.1%)

[16] ενατην **f**[35] ℵA,B,C(D) [70%] HF,RP,OC,NU ¦ εννατην [30%] TR,CP

[17] ελεημοσυνην **f**[35] (D) [94%] HF,RP,OC,CP ¦ 1 λαβειν ℵA,B,C [6%] TR,NU

[18] εγειραι και **f**[35] C [70%] RP,TR,CP ¦ εγειρε 2 A [30%] HF,OC[NU] ¦ --- ℵB,D

περιπάτει.» **7** Καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρεν·[1] παραχρῆμα δὲ ἐστερεώθησαν αὐτοῦ αἱ βάσεις[2] καὶ τὰ σφυρά.[3] **8** Καὶ ἐξαλλόμενος ἔστη καὶ περιεπάτει, καὶ εἰσῆλθεν σὺν αὐτοῖς εἰς τὸ ἱερόν, περιπατῶν καὶ ἁλλόμενος καὶ αἰνῶν τὸν Θεόν. **9** Καὶ εἶδεν αὐτὸν πᾶς ὁ λαὸς[4] περιπατοῦντα καὶ αἰνοῦντα τὸν Θεόν· **10** ἐπεγίνωσκόν τε[5] αὐτὸν—ὅτι οὗτος[6] ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ Ὡραίᾳ Πύλῃ τοῦ ἱεροῦ—καὶ ἐπλήσθησαν θάμβους καὶ ἐκστάσεως ἐπὶ τῷ συμβεβηκότι αὐτῷ.

Peter preaches

11 Κρατοῦντος δὲ τοῦ ἰαθέντος χωλοῦ[7] τὸν Πέτρον καὶ[8] Ἰωάννην, συνέδραμεν πρὸς αὐτοὺς πᾶς ὁ λαὸς[9] ἐπὶ τῇ στοᾷ, τῇ καλουμένῃ Σολομῶντος,[10] ἔκθαμβοι. **12** Ἰδὼν δὲ[11] Πέτρος ἀπεκρίνατο πρὸς τὸν λαόν· «Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ,[12] ἢ ἡμῖν τί ἀτενίζετε ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσιν τοῦ περιπατεῖν αὐτόν; **13** Ὁ Θεὸς Ἀβραὰμ[13] καὶ[14] Ἰσαὰκ καὶ[15] Ἰακώβ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ἐδόξασεν τὸν Παῖδα αὐτοῦ Ἰησοῦν, ὃν ὑμεῖς μὲν[16] παρεδώκατε· καὶ ἠρνήσασθε αὐτὸν[17] κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν. **14** Ὑμεῖς δὲ τὸν Ἅγιον καὶ Δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν, **15** τὸν δὲ Ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν. **16** Καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον ὃν θεωρεῖτε καὶ οἴδατε ἐστερέωσεν τὸ ὄνομα αὐτοῦ. Καὶ ἡ πίστις ἡ δι᾽ αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν.

17 »Καὶ νῦν, ἀδελφοί, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν. **18** Ὁ δὲ Θεὸς ἃ προκατήγγειλεν διὰ στόματος πάντων τῶν προφητῶν αὐτοῦ, παθεῖν τὸν Χριστόν,[18] ἐπλήρωσεν οὕτως. **19** Μετανοήσατε οὖν, καὶ ἐπιστρέψατε, εἰς τὸ ἐξαλειφθῆναι[19] ὑμῶν τὰς ἁμαρτίας, ὅπως ἂν ἔλθωσιν καιροὶ ἀναψύξεως ἀπὸ προσώπου τοῦ[20] Κυρίου **20** καὶ ἀποστείλῃ τὸν προκεχειρισμένον[21] ὑμῖν Χριστόν, Ἰησοῦν,[22] **21** ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων, ὧν ἐλάλησεν ὁ Θεὸς διὰ στόματος πάντων τῶν[23] ἁγίων αὐτοῦ

---

[1] ηγειρεν **f**[35] (D) [97%] HF,RP,OC,TR,CP ¦ 1 αυτον ℵA,B,C [3%] NU
[2] αυτου αι βασεις **f**[35] D [97%] HF,RP,OC,TR,CP ¦ ~ 231 (ℵ)A,B,C [3%] NU
[3] σφυρα **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ σφυδρα ℵA,B,C [1%] NU ¦ σφυρια [4%]
[4] αυτον πας ο λαος **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ~ 2341 ℵA,B,C,D [3%] NU
[5] τε **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ δε ℵA,B,C [2%] NU ¦ ται D
[6] ουτος **f**[35] B,D [98%] HF,RP,OC,TR,CP ¦ αυτος ℵA,C [2%] NU
[7] του ιαθεντος χωλου **f**[35] (88.8%) HF,RP,OC,TR,CP ¦ αυτου ℵ(A)B,C,057 (10.8%) NU ¦ two other readings D (0.4%)
[8] και **f**[35] C(D) (91.3%) HF,RP,OC,TR,CP ¦ 1 τον ℵA,B,057 (8.7%) NU
[9] προς αυτους (αυτον 2%) πας ο λαος **f**[35] (91.9%) HF,RP,OC,TR,CP ¦ ~ 34512 ℵA,B,C (7.4%) NU ¦ three other readings D (0.7%)
[10] σολομωντος (A) *rell* ¦ σολομωνος D [5%] CP
[11] δε **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ 1 ο ℵA,B,C,D,057[v] [4%] NU
[12] τουτω *rell* ¦ τουτο [25%]
[13] ἁβραααμ **f**[35] [50%] ¦ ἀβρααμ [50%] RP,HF,OC,CP,TR,NU (This name is aspirated throughout the book, and the statement of evidence also obtains throughout the book.) [When Jehovah changed Abram's name to Abraham (Genesis 17:5) the intervocalic aspiration in Hebrew is adequately represented in English by 'h'; but so far as I know, there is no way in Greek to indicate intervocalic aspiration within a word—the only alternative to losing the aspiration altogether would be to place it at the beginning of the word.]
[14] και **f**[35] B [95%] HF,RP,OC,TR,CP ¦ 1 ο θεος ℵC [5%] [NU] ¦ 1 θεος A,D
[15] και **f**[35] B [97%] HF,RP,OC,TR,CP ¦ 1 ο θεος ℵC [3%] [NU] ¦ 1 θεος A,D
[16] μεν **f**[35] ℵA,B,C [85%] HF,RP,OC,NU ¦ --- D [15%] CP,TR
[17] αυτον **f**[35] D [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [3%] NU
[18] αυτου παθειν τον χριστον **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 2341 (ℵ)B(C)D [4%] NU ¦ 234 [1%] ¦ 1 A
[19] εξαλειφθηναι *rell* ¦ εξαληφθηναι [12%] ¦ εξαλιφθηναι ℵB,C [2%]
[20] του *rell* ¦ --- [10%]
[21] προκεχειρισμενον *rell* ¦ προκεκηρυγμενον TR ¦ five further spellings A,C [5%]
[22] χριστον ιησουν **f**[35] ℵB,D [75%] HF,RP,OC,NU ¦ ~ 21 A,C [25%] CP,TR
[23] παντων των **f**[35] [85%] HF,RP,CP ¦ 2 ℵA,B,C,D [10%] NU ¦ 1 [5%] OC,TR

προφητῶν ἀπ᾽ αἰῶνος.[1]

22 »Μωϋσῆς[2] μὲν γὰρ πρὸς τοὺς πατέρας εἶπεν[3] ὅτι ‹Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἡμῶν[4] ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. Αὐτοῦ ἀκούσεσθε,[5] κατὰ πάντα ὅσα ἂν λαλήσῃ[6] πρὸς ὑμᾶς. **23** Ἔσται δέ, πᾶσα ψυχὴ ἥτις ἂν[7] μὴ ἀκούσῃ τοῦ Προφήτου ἐκείνου ἐξολοθρευθήσεται[8] ἐκ τοῦ λαοῦ.›

24 »Καὶ πάντες δὲ οἱ προφῆται, ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς, ὅσοι ἐλάλησαν, καὶ προκατήγγειλαν[9] τὰς ἡμέρας ταύτας. **25** Ὑμεῖς ἐστε[10] υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης ἧς διέθετο ὁ Θεὸς πρὸς τοὺς πατέρας ἡμῶν,[11] λέγων πρὸς Ἀβραάμ, ‹Καὶ ἐν[12] τῷ σπέρματί σου ἐνευλογηθήσονται[13] πᾶσαι αἱ πατριαὶ τῆς γῆς.› **26** Ὑμῖν πρῶτον ὁ Θεός, ἀναστήσας[14] τὸν Παῖδα αὐτοῦ Ἰησοῦν,[15] ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς, ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν ὑμῶν.»

Peter and John arrested

4:1 Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαόν, ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ Σαδδουκαῖοι, **2** διαπονούμενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαὸν καὶ καταγγέλλειν[16] ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν τῶν[17] νεκρῶν. **3** Καὶ ἐπέβαλον[18] αὐτοῖς τὰς χεῖρας καὶ ἔθεντο[19] εἰς τήρησιν εἰς τὴν αὔριον, ἦν γὰρ ἑσπέρα ἤδη. **4** (Πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν, καὶ ἐγενήθη ὁ[20] ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ[21] χιλιάδες πέντε.) **5** Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας, καὶ[22] πρεσβυτέρους καὶ[23] γραμματεῖς, ἐν[24] Ἰερουσαλήμ, **6** καὶ Ἄνναν τὸν ἀρχιερέα, καὶ Καϊάφαν καὶ Ἰωάννην καὶ Ἀλέξανδρον,[25] καὶ ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ. **7** Καὶ στήσαντες αὐτοὺς ἐν[26] μέσῳ ἐπυνθάνοντο· «Ἐν ποίᾳ δυνάμει, ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς;»

Peter’s defense

8 Τότε Πέτρος, πλησθεὶς Πνεύματος Ἁγίου, εἶπεν πρὸς αὐτούς· «Ἄρχοντες τοῦ λαοῦ καὶ

---

[1] αυτου προφητων απ αιωνος **f**[35] (80.8%) HF,RP,OC,TR,CP ¦ 12 των 34 (3.8%) ¦ ~ 2134 (3.2%) ¦ ~ 3412 ℵA,B,C (5.4%) NU ¦ ~ των 3412 (2.5%) ¦ ~ 1 των 342 (2.7%) ¦ four other variants D (1.6%)

[2] μωυσης **f**[35] A,B,C,D [70%] OC,NU ¦ μωσης ℵ [30%] HF,RP,TR,CP

[3] γαρ προς τους πατερας ειπεν **f**[35] (80.8%) HF,RP,OC,TR,CP ¦ ~ 5234 (5.9%) ¦ 1234 ημων 5 (4.3%) ¦ 1234 υμων 5 (2%) ¦ ~ 5234 ημων D (2.7%) ¦ 1234 (0.2%) ¦ 5 ℵA,B,C (4.1%) NU

[4] ημων **f**[35] ℵC [60%] HF,RP ¦ υμων A,D [40%] OC,TR,CP,NU ¦ --- B

[5] ακουσεσθε *rell* ¦ ακουσεσθαι C,D [10%]

[6] λαλησῃ *rell* ¦ λαλησει C [10%]

[7] αν **f**[35] B,D [35%] TR ¦ εαν ℵA,C [65%] HF,RP,OC,CP,NU

[8] εξολοθρευθησεται **f**[35] ℵ [99%] HF,RP,OC,TR,CP ¦ εξολεθρευθησεται A,B,C,D [1%] NU

[9] προκατηγγειλαν **f**[35] [25%] TR ¦ κατηγγειλαν (ℵ)A,B,C(D) [75%] HF,RP,OC,CP,NU

[10] εστε **f**[35] D [75%] HF,RP,OC,TR,CP ¦ 1 οι ℵA,B,C,0165 [25%] NU

[11] ημων **f**[35] ℵC,D,0165 [88%] HF,RP,OC,TR,CP ¦ υμων A,B [12%] NU

[12] εν *rell* ¦ --- 0165 [5%] TR

[13] ενευλογηθησονται **f**[35] ℵD,0165 [95%] HF,RP,OC,TR,CP[NU] ¦ επευλογηθησονται C ¦ ευλογηθησονται A,B [2%]

[14] ο θεος αναστησας **f**[35] A,D [87%] HF,RP,OC,TR,CP ¦ ~ 312 ℵB,C,0165 [3%] NU ¦ 3 [10%]

[15] ιησουν **f**[35] A [96%] HF,RP,OC,TR,CP ¦ --- ℵB,C,D,0165 [4%] NU

[16] καταγγελλειν *rell* ¦ καταγγελειν CP

[17] των **f**[35] D,0165 [90%] HF,RP,OC,CP ¦ την εκ ℵA,B,C [10%] TR,NU

[18] επεβαλον *rell* ¦ επεβαλλον [12%] ¦ επειβαλοντες D

[19] εθεντο *rell* ¦ 1 αυτους A,C [10%]

[20] ο **f**[35] A [99%] HF,RP,OC,TR,CP[NU] ¦ --- ℵB(D)0165 [1%]

[21] ωσει **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ως B,D,0165 [2%] [NU] ¦ --- ℵA [2%]

[22] και **f**[35] [85%] HF,RP,TR,CP ¦ 1 τους ℵA,B,0165 [15%] OC,NU ¦ 1 οι D

[23] και **f**[35] D,0165 [96%] HF,RP,OC,TR,CP ¦ 1 τους ℵA,B [4%] NU

[24] εν **f**[35] A,B,D [30%] NU ¦ εις ℵ0165 [70%] HF,RP,OC,TR,CP

[25] ανναν τον αρχιερεα και καιαφαν και ιωαννην και αλεξανδρον **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ αννας ο αρχιερευς και καιαφας και ιωαννης και αλεξανδρος ℵA,B(D)(0165) [3%] NU

[26] εν **f**[35] D,0165 [90%] HF,RP,CP ¦ 1 τω ℵA,B [10%] OC,TR,NU

πρεσβύτεροι τοῦ Ἰσραήλ·[1] **9** Εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς,
ἐν τίνι οὗτος σέσωσται,[2] **10** γνωστὸν ἔστω πᾶσιν ὑμῖν, καὶ παντὶ τῷ λαῷ Ἰσραήλ, ὅτι ἐν τῷ
ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν,
ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. **11** Οὗτός ἐστιν ‹ὁ λίθος ὁ ἐξουθενηθεὶς ὑφ᾽
ὑμῶν, τῶν οἰκοδομούντων,[3] ὁ γενόμενος εἰς κεφαλὴν γωνίας.› **12** Καί, οὐκ ἔστιν ἐν ἄλλῳ[4] οὐδενὶ
ἡ σωτηρία, οὐδὲ[5] γὰρ ὄνομα ἕτερόν ἐστιν[6] ὑπὸ τὸν οὐρανόν,[7] τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ
δεῖ σωθῆναι ἡμᾶς.»

Rulers impressed

13 Θεωροῦντες δὲ τὴν τοῦ Πέτρου παρρησίαν καὶ Ἰωάννου, καὶ καταλαβόμενοι ὅτι ἄνθρω -
ποι ἀγράμματοί εἰσιν καὶ ἰδιῶται, ἐθαύμαζον· ἐπεγίνωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν.
14 Τὸν δὲ[8] ἄνθρωπον βλέποντες σὺν αὐτοῖς ἑστῶτα[9] τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν.
15 Κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου ἀπελθεῖν συνέβαλλον[10] πρὸς ἀλλήλους **16** λέγον-
τες· «Τί ποιήσομεν[11] τοῖς ἀνθρώποις τούτοις; Ὅτι μὲν γὰρ γνωστὸν σημεῖον γέγονεν δι᾽ αὐτῶν,
πᾶσιν τοῖς κατοικοῦσιν Ἰερουσαλὴμ φανερόν, καὶ οὐ δυνάμεθα ἀρνήσασθαι.[12] **17** Ἀλλ᾽ ἵνα μὴ ἐπὶ
πλεῖον διανεμηθῇ εἰς τὸν λαόν, ἀπειλῇ[13] ἀπειλησώμεθα[14] αὐτοῖς[15] μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι
τούτῳ μηδενὶ ἀνθρώπῳ.»[16]

They are forbidden to use the name ‘Jesus’

18 Καὶ καλέσαντες αὐτούς, παρήγγειλαν αὐτοῖς[17] τὸ καθόλου μὴ φθέγγεσθαι μηδὲ διδάσκειν
ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ. **19** Ὁ δὲ Πέτρος καὶ Ἰωάννης ἀποκριθέντες πρὸς αὐτοὺς εἶπον·[18] «Εἰ
δίκαιόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε. **20** Οὐ δυνάμεθα γὰρ
ἡμεῖς, ἃ εἴδομεν[19] καὶ ἃ[20] ἠκούσαμεν, μὴ λαλεῖν.» **21** Οἱ δὲ προσαπειλησάμενοι ἀπέλυσαν αὐτούς,
μηδὲν εὑρίσκοντες τὸ πῶς κολάσονται[21] αὐτούς, διὰ τὸν λαόν, ὅτι πάντες ἐδόξαζον τὸν Θεὸν ἐπὶ
τῷ γεγονότι· **22** ἐτῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα[22] ὁ ἄνθρωπος ἐφ᾽ ὃν ἐγεγόνει[23] τὸ σημεῖον
τοῦτο τῆς ἰάσεως.

The reaction of the believers

23 Ἀπολυθέντες δὲ ἦλθον πρὸς τοὺς ἰδίους καὶ ἀνήγγειλαν[24] ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς

---

[1] του ισραηλ **f**[35] D (97.3%) HF,RP,OC,TR,CP ¦ 1 λαου (0.5%) ¦ 1 λαου 2 (0.5%) ¦ --- ℵA,B,0165 (1.8%) NU
[2] σεσωσται **f**[35] B,D,0165 [98%] HF,RP,OC,TR,CP ¦ σεσωται ℵA [1%] NU ¦ σεσωστε [1%]
[3] οικοδομουντων **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ οικοδομων ℵA,B,D,0165 [5%] NU
[4] αλλω *rell* ¦ 1 εν [10%] CP
[5] ουδε **f**[35] ℵA,B,0165 [30%] OC,NU ¦ ουτε [70%] HF,RP,TR ¦ ουδεν CP ¦ ου D
[6] ονομα ετερον εστιν **f**[35] A,0165 [20%] CP ¦ ~ 132 B [80%] HF,RP,OC,TR,NU ¦ ~ 213 ℵ ¦ ~ 321 D
[7] υπο τον ουρανον **f**[35] ℵA,B,D,0165 [40%] HF,OC,TR,CP,NU ¦ --- [60%] RP
[8] δε **f**[35] [75%] HF,RP,OC,TR,CP ¦ τε ℵA,B [25%] NU ¦ --- D
[9] εστωτα **f**[35] [20%] ¦ 1 τον ℵA,B,D [80%] HF,RP,OC,TR,CP,NU [Verse 14 begins with the article, so it is superfluous here.]
[10] συνεβαλλον **f**[35] ℵA,B [95%] HF,RP,OC,NU ¦ συνεβαλον D [5%] CP,TR
[11] ποιησομεν **f**[35] D [70%] RP,OC,TR,CP ¦ ποιησωμεν ℵA,B [30%] HF,NU
[12] αρνησασθαι **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ αρνεισθαι (ℵA)B(D) [3%] NU
[13] απειλη **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [3%] NU
[14] απειλησωμεθα **f**[35] ℵA,B [60%] HF,OC,TR,CP,NU ¦ απειλησομεθα (D) [40%] RP
[15] αυτοις *rell* ¦ αυτους [12%] ¦ ουτοις D
[16] ανθρωπω **f**[35] [35%] CP ¦ ανθρωπων ℵA,B [65%] HF,RP,OC,TR,NU
[17] αυτοις **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D,0165[v] [5%] NU
[18] προς αυτους ειπον **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 312 ℵA,D [4%] NU ¦ ~ ειπαν 12 B [1%] ¦ ~ ειπεν 12 0165
[19] ειδομεν *rell* ¦ ειδαμεν ℵA,B(D) [2%] NU ¦ ειδωμεν [10%]
[20] α **f**[35] [20%] ¦ --- ℵA,B,D [80%] HF,RP,OC,TR,CP,NU [What they saw and what they heard were not the same things.]
[21] κολασονται **f**[35] [98%] HF,RP,OC,CP ¦ κολασωνται ℵA,D [2%] TR,NU ¦ κολασωσιν B
[22] τεσσαρακοντα **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ τεσσερακοντα ℵA,B [2%] NU
[23] εγεγονει **f**[35] ℵA [99%] HF,RP,OC,TR,CP ¦ γεγονει B,D [1%] NU
[24] ανηγγειλαν **f**[35] (ℵ) [25%] ¦ απηγγειλαν A,B [75%] HF,RP,OC,TR,CP,NU

καὶ οἱ πρεσβύτεροι εἶπον.[1] **24** Οἱ δὲ ἀκούσαντες ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν Θεὸν καὶ εἶπον·[2] «Δέσποτα, σὺ ὁ Θεός,[3] ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς· **25** ὁ[4] διὰ[5] στόματος Δαυὶδ[6] παιδός σου εἰπών· ‹Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά; **26** Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό, κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.› **27** Συνήχθησαν γὰρ ἐπ᾽ ἀληθείας[7] ἐπὶ τὸν ἅγιον Παῖδά σου Ἰησοῦν, ὃν ἔχρισας, Ἡρῴδης τε καὶ Πόντιος Πιλᾶτος, σὺν ἔθνεσιν καὶ λαοῖς Ἰσραήλ, **28** ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου[8] προώρισεν γενέσθαι. **29** Καὶ τὰ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς δούλοις σου μετὰ παρρησίας πάσης λαλεῖν τὸν λόγον σου, **30** ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν σε[9] εἰς ἴασιν, καὶ σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίου Παιδός σου Ἰησοῦ.» **31** Καὶ δεηθέντων αὐτῶν, ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου[10] καὶ ἐλάλουν τὸν λόγον τοῦ Θεοῦ μετὰ παρρησίας.

The young Church consolidates

4:32 Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ[11] καρδία καὶ ἡ[12] ψυχὴ μία· καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ[13] ἔλεγεν ἴδιον εἶναι, ἀλλ᾽ ἦν αὐτοῖς ἅπαντα κοινά. **33** (Καὶ δυνάμει μεγάλῃ[14] ἀπεδίδουν οἱ ἀπόστολοι τὸ μαρτύριον[15] τῆς ἀναστάσεως τοῦ Κυρίου Ἰησοῦ.)[16] Χάρις τε μεγάλη ἦν ἐπὶ πάντας αὐτούς, **34** οὐδὲ γὰρ ἐνδεής τις ἦν[17] ἐν αὐτοῖς—ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων **35** καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων· διεδίδοτο[18] δὲ ἑκάστῳ καθότι ἄν[19] τις χρείαν εἶχεν.

36 Ἰωσῆς[20] δέ, ὁ ἐπικληθεὶς Βαρνάβας ἀπὸ[21] τῶν ἀποστόλων (ὅ ἐστιν, μεθερμηνευόμενον, ‹Υἱὸς παρακλήσεως›), Λευΐτης, Κύπριος τῷ γένει, **37** ὑπάρχοντος αὐτῷ[22] ἀγροῦ, πωλήσας ἤνεγκεν τὸ χρῆμα καὶ ἔθηκεν παρὰ[23] τοὺς πόδας τῶν ἀποστόλων.

Ananias and Sapphira

5:1 Ἀνὴρ δέ τις Ἀνανίας ὀνόματι, σὺν Σαπφείρα[24] τῇ γυναικὶ αὐτοῦ, ἐπώλησεν κτῆμα **2** καὶ

---

[1] ειπον *rell* ¦ ειπαν ℵB,D [2%] NU
[2] ειπον *rell* ¦ ειπαν ℵA,B,D [10%] NU
[3] ο θεος **f**[35] D [98%] HF,RP,TR,CP ¦ --- ℵA,B [2%] OC,NU
[4] ο **f**[35] (D) (91.9%) HF,RP,OC,TR,CP ¦ 1 του πατρος ημων ℵA,B (8.1%) NU
[5] δια **f**[35] (91.3%) HF,RP,OC,TR,CP ¦ 1 πνευματος αγιου ℵA,B(D) (8.3%) NU ¦ two other readings (0.4%)
[6] δαυιδ **f**[35] ℵA,B,D (74.7%) HF,RP,OC,NU ¦ 1 του (25.1%) CP(TR) ¦ one other reading (0.2%)
[7] αληθειας **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ 1 εν τη πολει (+σου A) ταυτη (ℵ)(A)B,D [10%] NU
[8] σου **f**[35] ℵD [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- A,B [2%]
[9] την χειρα σου εκτεινειν σε **f**[35] (ℵ) [85%] HF,RP,OC,TR[NU] ¦ 1234 D [13%] CP ¦ 1245 B ¦ ~ 1254 A [1%] ¦ ~ 4123 σου **𝔓**[45]
[10] πνευματος αγιου **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ~ του 21 **𝔓**[8]ℵA,B,D [3%] NU ¦ του 1 του 2 **𝔓**[45]
[11] η **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[8]ℵA,B,D [2%] NU
[12] η **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[8]ℵA,B,D [2%] NU
[13] αυτω **f**[35] ℵA,B [64%] HF,OC,TR,CP,NU ¦ αυτων [35%] RP ¦ αυτου **𝔓**[8]D [1%]
[14] δυναμει μεγαλη **f**[35] **𝔓**[8](ℵ)A,B,D [20%] NU ¦ ~ 21 **𝔓**[45v] [80%] HF,RP,OC,TR,CP
[15] οι αποστολοι το μαρτυριον **f**[35] A [30%] ¦ ~ 3412 **𝔓**[8,45v]ℵB,D [70%] HF,RP,OC,TR,CP,NU
[16] του κυριου ιησου **f**[35] **𝔓**[8](B) (79.9%) HF,RP,OC,TR,NU ¦ 123 χριστου D (16.1%) CP ¦ ~ 3 χριστου 12 ℵA (0.9%) ¦ ~ 3 χριστου 12 ηνων (1.8%) ¦ 1 χριστου (0.7%) ¦ three other variants (0.7%)
[17] ην **f**[35] ℵA(B) (24.5%) NU ¦ υπηρχεν **𝔓**[8]D (74.8%) HF,RP,OC,TR,CP ¦ two other readings (0.7%)
[18] διεδιδοτο **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ διεδιδετο **𝔓**[8]ℵA,B,D [3%] NU
[19] καθοτι αν **f**[35] **𝔓**[8]ℵA,B,D [45%] HF,RP,OC,TR,CP,NU ¦ καθο [40%] ¦ καθο αν [10%] ¦ two other variants [5%]
[20] ιωσης **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ιωσηφ **𝔓**[8]ℵA,B,D [5%] NU
[21] απο **f**[35] **𝔓**[8]ℵA,B [75%] HF,RP,OC,NU ¦ υπο D [25%] CP,TR
[22] αυτω *rell* ¦ αυτου [20%] CP
[23] παρα **f**[35] **𝔓**[8,57]A,B,D [98%] HF,RP,OC,TR,CP ¦ προς ℵ [2%] NU
[24] σαπφειρα **f**[35] B [40%] ¦ σαπφειρη A [56%] HF,RP,OC,TR,CP ¦ σαπφιρη NU ¦ σαμφιρη ℵ ¦ σαφφυρα D ¦ five further spellings [3%] (One minuscule saves NU from being a patchwork quilt.)

ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς,[1] συνειδυίας[2] καὶ τῆς γυναικὸς αὐτοῦ·[3] καὶ ἐνέγκας μέρος τι παρὰ τοὺς
πόδας τῶν ἀποστόλων ἔθηκεν. **3** Εἶπεν δὲ[4] Πέτρος· «Ἀνανία, διὰ τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν
καρδίαν σου ψεύσασθαί σε τὸ Πνεῦμα τὸ Ἅγιον καὶ νοσφίσασθαι σε[5] ἀπὸ τῆς τιμῆς τοῦ χωρίου;
4 Οὐχὶ μένον σοὶ ἔμενεν, καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχεν; Τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ
πρᾶγμα τοῦτο; Οὐκ ἐψεύσω ἀνθρώποις ἀλλὰ τῷ Θεῷ.» **5** Ἀκούων δὲ ὁ[6] Ἀνανίας τοὺς λόγους
τούτους, πεσὼν ἐξέψυξεν. (Καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα.)[7]
6 Ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτὸν καὶ ἐξενέγκαντες ἔθαψαν.

7 Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα, καὶ ἡ γυνὴ αὐτοῦ, μὴ εἰδυῖα τὸ γεγονός, εἰσῆλθεν.
8 Ἀπεκρίθη δὲ αὐτῇ[8] ὁ[9] Πέτρος, «Εἰπέ μοι εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε.» Ἡ δὲ εἶπεν, «Ναί,
τοσούτου.» **9** Ὁ δὲ Πέτρος εἶπεν[10] πρὸς αὐτήν· «Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ Πνεῦμα
Κυρίου; Ἰδού, οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοίσουσίν σε.» **10** Ἔπεσεν
δὲ παραχρῆμα παρὰ[11] τοὺς πόδας αὐτοῦ καὶ ἐξέψυξεν· εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν
νεκράν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς. **11** Καὶ ἐγένετο φόβος μέγας ἐφ᾽ ὅλην
τὴν ἐκκλησίαν καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα.

The Apostles distinguish themselves

12 Διὰ δὲ τῶν χειρῶν τῶν ἀποστόλων ἐγένετο[12] σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά·[13] καὶ
ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ Στοᾷ Σολομῶνος.[14] **13** Τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι
αὐτοῖς, ἀλλ᾽ ἐμεγάλυνεν αὐτοὺς ὁ λαός. **14** Μᾶλλον δὲ προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ,
πλήθη[15] ἀνδρῶν τε καὶ γυναικῶν, **15** ὥστε κατὰ[16] τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς καὶ τιθέναι
ἐπὶ κλινῶν[17] καὶ κραββάτων,[18] ἵνα ἐρχομένου τοῦ[19] Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ[20] τινὶ αὐτῶν.
16 Συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς[21] Ἰερουσαλήμ, φέροντες ἀσθενεῖς καὶ
ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ[22] ἐθεραπεύοντο ἅπαντες.

Sadducees vs Apostles

17 Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ (ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων)·[23]
ἐπλήσθησαν ζήλου **18** καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν[24] ἐπὶ τοὺς ἀποστόλους καὶ ἔθεντο αὐτοὺς

---

[1] τιμης *rell* ¦ 1 του κτηματος [12%]
[2] συνειδυιας **f**[35] D [96%] HF,RP,OC,TR,CP ¦ συνειδυιης NU ¦ συνιδυιης A,B [1%] ¦ συνιδυης ℵ ¦ four further spellings [3%]
[3] αυτου **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B(D) [3%] NU
[4] δε **f**[35] D [96%] HF,RP,OC,TR,CP ¦ 1 ο 𝔓[8]ℵA,B [4%] NU
[5] σε **f**[35] D [85%] HF,RP ¦ --- 𝔓[8]ℵA,B [15%] OC,TR,CP,NU
[6] ο *rell* ¦ --- D [25%] TR
[7] ταυτα **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[8]ℵA,B,D [3%] NU
[8] αυτη **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ προς αυτην 𝔓[8]ℵA,B,D [4%] NU ¦ two other variants [1%]
[9] ο **f**[35] 𝔓[8v]D [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [3%] NU
[10] ειπεν **f**[35] A [97%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[8]ℵB,D [3%] NU
[11] παρα **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ προς ℵA,B,D [2%] NU
[12] εγενετο **f**[35] [44%] TR ¦ εγινετο ℵ [55%] HF,RP,OC,CP,NU ¦ εγεινετο A,B,D [1%]
[13] εν τω λαω πολλα **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ ~ 4123 𝔓[45]ℵA,B,D [5%] NU ¦ ~ μεγαλα 123 [10%]
[14] σολομωνος **f**[35] B,D [75%] CP ¦ σολομωντος 𝔓[45]A [25%] HF,RP,OC,TR,NU ¦ σαλομωντος ℵ
[15] πληθη *rell* ¦ πληθος [12%]
[16] κατα **f**[35] D [96%] HF,RP,OC,TR,CP ¦ και εις ℵA,B [4%] NU
[17] κλινων **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ κλιναριων ℵA,B,D [3%]
[18] κραββατων **f**[35] [80%] HF,RP,TR,CP ¦ κραβαττων ℵA,B,D [5%] OC,NU ¦ κραβατων [15%]
[19] του **f**[35] [30%] ¦ --- 𝔓[45]ℵA,B,D [70%] HF,RP,OC,TR,CP,NU
[20] επισκιαση *rell* ¦ επισκιασει B [15%]
[21] εις **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [2%] NU ¦ εν [3%]
[22] και **f**[35] D [20%] ¦ οιτινες ℵA,B [80%] HF,RP,OC,TR,CP,NU
[23] σαδδουκαιων *rell* ¦ σαδδουκαιον CP
[24] αυτων **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[45]ℵA,B,D [3%] NU

ἐν τηρήσει δημοσίᾳ. **19** Ἄγγελος δὲ Κυρίου διὰ τῆς[1] νυκτὸς ἤνοιξεν[2] τὰς θύρας τῆς φυλακῆς, ἐξαγαγών τε αὐτοὺς εἶπεν, **20** «Πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης.» **21** Ἀκούσαντες δὲ εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱερὸν καὶ ἐδίδασκον.

Παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον, καὶ πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ, καὶ ἀπέστειλαν εἰς τὸ δεσμωτήριον ἀχθῆναι αὐτούς. **22** Οἱ δὲ παραγενόμενοι ὑπηρέται[3] οὐχ εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ, ἀναστρέψαντες δὲ ἀπήγγειλαν, **23** λέγοντες ὅτι «Τὸ μὲν[4] δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν[5] πάσῃ ἀσφαλείᾳ, καὶ τοὺς φύλακας[6] ἑστῶτας πρὸ[7] τῶν θυρῶν, ἀνοίξαντες δὲ ἔσω οὐδένα εὕρομεν.»[8] **24** Ὡς δὲ ἤκουσαν τοὺς λόγους τούτους ὅ τε ἱερεὺς καὶ ὁ[9] στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς,[10] διηπόρουν περὶ αὐτῶν τί ἂν γένοιτο τοῦτο.

25 Παραγενόμενος δέ τις ἀπήγγειλεν αὐτοῖς[11] ὅτι «Ἰδού, οἱ ἄνδρες οὓς ἔθεσθε ἐν τῇ φυλακῇ εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν.» **26** Τότε ἀπελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις ἤγαγεν[12] αὐτούς, οὐ μετὰ βίας, ἐφοβοῦντο γὰρ τὸν λαόν, ἵνα[13] μὴ λιθασθῶσιν. **27** Ἀγαγόντες δὲ αὐτοὺς ἔστησαν ἐν τῷ συνεδρίῳ· καὶ ἐπηρώτησεν αὐτοὺς ὁ ἀρχιερεὺς **28** λέγων· «Οὐ[14] παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; Καὶ ἰδού, πεπληρώκατε τὴν Ἰερουσαλὴμ τῆς διδαχῆς ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ᾽ ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου.»

Apostles infuriate Sadducees

29 Ἀποκριθεὶς δὲ[15] Πέτρος καὶ οἱ ἀπόστολοι εἶπον·[16] «Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις. **30** Ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν, ὃν ὑμεῖς διεχειρίσασθε[17] κρεμάσαντες ἐπὶ ξύλου. **31** Τοῦτον ὁ Θεὸς Ἀρχηγὸν καὶ Σωτῆρα ὕψωσεν τῇ δεξιᾷ αὐτοῦ,[18] δοῦναι μετάνοιαν τῷ Ἰσραήλ, καὶ ἄφεσιν ἁμαρτιῶν. **32** Καὶ ἡμεῖς ἐσμεν αὐτοῦ[19] μάρτυρες τῶν ῥημάτων τούτων, καὶ τὸ Πνεῦμα δὲ[20] τὸ Ἅγιον ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ.»

Gamaliel counsels Sadducees

33 Οἱ δὲ ἀκούοντες[21] διεπρίοντο καὶ ἐβουλεύοντο[22] ἀνελεῖν αὐτούς. **34** Ἀναστὰς δέ τις ἐν τῷ συνεδρίῳ (Φαρισαῖος ὀνόματι Γαμαλιήλ, νομοδιδάσκαλος τίμιος παντὶ τῷ λαῷ), ἐκέλευσεν ἔξω

---

[1] της **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B(D) [3%] NU
[2] ηνοιξεν **f**[35] B [99%] HF,RP,OC,TR,CP ¦ ανοιξας ℵA [1%] NU ¦ ανεωξαν D
[3] παραγενομενοι υπηρεται **f**[35] ℵA,B [20%] NU ¦ ~ 21 D [80%] HF,RP,OC,TR,CP
[4] μεν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [5%] NU
[5] εν *rell* ¦ επι CP
[6] φυλακας *rell* ¦ 1 εξω TR
[7] προ **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ επι ℵA,B,D [3%] NU
[8] προ **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ επι ℵA,B,D [3%] NU
[9] ιερευς και ο **f**[35] (85.7%) HF,RP,OC,TR ¦ αρχιερευς 23 (4.2%) CP ¦ --- ℵA,B,D (9.3%) NU ¦ two other variants (0.9%)
[10] αρχιερεις *rell* ¦ αρχιερευς CP
[11] αυτοις *rell* ¦ 1 λεγων [5%] TR,CP
[12] ηγαγεν **f**[35] A,D [99%] HF,RP,OC,TR,CP ¦ ηγεν ℵB [1%] NU
[13] ινα **f**[35] A [97%] HF,RP,OC,TR,CP ¦ --- ℵB,D [3%] NU
[14] ου **f**[35] D [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- ℵA,B [2%]
[15] δε *rell* ¦ 1 ο (D) [10%] TR
[16] ειπον *rell* ¦ ειπαν ℵA,B [2%] NU ¦ ειπεν D
[17] διεχειρισασθε *rell* ¦ διεχειρησασθε [13%] CP ¦ six other variants ℵA,D [3%]
[18] αυτου **f**[35] A [99.5%] HF,RP,OC,TR,CP ¦ 1 του ℵB[NU]
[19] εσμεν αυτου **f**[35] [91%] HF,RP,OC,TR,CP ¦ εν αυτω B ¦ 1 ℵ(A)D [7%] NU ¦ four other variants [2%]
[20] δε **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[45]ℵA,B,D [4%] NU
[21] ακουοντες **f**[35] 𝔓[45] [32%] RP ¦ ακουσαντες ℵA,B,D [68%] HF,OC,TR,CP,NU
[22] εβουλευοντο **f**[35] ℵD [80%] HF,RP,OC,TR,CP ¦ εβουλοντο A,B [16%] NU ¦ two other variants [4%]

βραχύ τι[1] τοὺς ἀποστόλους[2,3] ποιῆσαι. **35** Εἶπέν τε πρὸς αὐτούς· «Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις, τί μέλλετε πράσσειν. **36** Πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν·[4] ᾧ προσεκλίθη[5] ἀριθμὸς ἀνδρῶν[6] ὡς[7] τετρακοσίων· ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διελύθησαν καὶ ἐγένοντο εἰς οὐδέν. **37** Μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος, ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησεν λαὸν ἱκανὸν[8] ὀπίσω αὐτοῦ. Κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν. **38** Καὶ τὰ νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων καὶ ἐάσατε[9] αὐτούς· ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ[10] ἢ τὸ ἔργον τοῦτο, καταλυθήσεται· **39** εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δυνήσεσθε[11] καταλῦσαι αὐτό[12]— μήποτε καὶ θεομάχοι εὑρεθῆτε.»

Sadducees beat and threaten Apostles

40 Ἐπείσθησαν δὲ αὐτῷ, καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους, δήραντες[13] παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ, καὶ ἀπέλυσαν αὐτούς.[14] **41** Οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ[15] ἀτιμασθῆναι. **42** Πᾶσαν τε ἡμέραν, ἐν τῷ ἱερῷ καὶ κατ᾽ οἶκον, οὐκ ἐπαύοντο[16] διδάσκοντες καὶ εὐαγγελιζόμενοι τὸν Χριστὸν Ἰησοῦν.[17]

Enter deacons

6:1 Ἐν δὲ ταῖς ἡμέραις ταύταις, πληθυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. **2** Προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν εἶπον·[18] «Οὐκ ἀρεστόν ἐστιν ἡμᾶς, καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις. **3** Ἐπισκέψασθε οὖν,[19] ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτά, πλήρεις[20] Πνεύματος Ἁγίου[21] καὶ σοφίας, οὓς καταστήσομεν[22] ἐπὶ τῆς χρείας ταύτης. **4** Ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν.»[23]

5 Καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους· καὶ ἐξελέξαντο Στέφανον, ἄνδρα

---

[1] τι **f**[35] [60%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [40%] NU
[2] αποστολους **f**[35] (D) (98.7%) HF,RP,OC,TR,CP ¦ ανθρωπους (**𝔓**[45])ℵA,B (1.1%) NU ¦ conflation (0.2%)
[3] βραχυ τι τους αποστολους *rell* ¦ ~ 3412 [35%]
[4] εαυτον *rell* ¦ 1 μεγαν (D) [3%] CP
[5] προσεκλιθη **f**[35] ℵA,B [30%] OC,NU ¦ προσεκληθη D [54%] HF,RP,CP ¦ προσεκληθησαν C [1%] ¦ προσεκολληθη [15%] TR
[6] αριθμος ανδρων **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B,C [5%] NU
[7] ως **f**[35] A,B,C,D [20%] NU ¦ ωσει ℵ [80%] HF,RP,OC,TR,CP
[8] λαον ικανον **f**[35] [86%] HF,RP,OC,TR,CP ¦ 1 ℵA,B [9%] NU ¦ 1 πολυν (C)D ¦ ~ 21 [3%] ¦ two other variants [1%]
[9] εασατε **f**[35] D [97%] HF,RP,OC,TR,CP ¦ αφετε ℵA,B,C [3%] NU
[10] βουλη **f**[35] [85%] HF,RP ¦ 1 αυτη ℵA,B,C,D [15%] OC,TR,CP,NU
[11] δυνησεσθε **f**[35] B [30%] NU ¦ δυνησεσθαι ℵC,D [2%] ¦ δυνασθε A [58%] HF,RP,OC,TR,CP ¦ δυνασθαι [10%]
[12] αυτο **f**[35] C [92%] HF,RP,OC,TR,CP ¦ αυτους ℵA,B(D) [5%] NU ¦ αυτω [3%]
[13] δηραντες **f**[35] [40%] CP ¦ δειραντες ℵA,B,C,D [60%] HF,RP,OC,TR,NU
[14] αυτους **f**[35] D [98%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [2%] NU
[15] κατηξιωθησαν υπερ του ονοματος του χριστου **f**[35] [20%] ¦ ~ 234561 [15%] ¦ 12345 ιησου [3%] CP ¦ ~ 2345 ιησου 1 [8%] HF,RP ¦ ~ 234 αυτου 1 [15%] OC,TR ¦ 1234 αυτου [5%] ¦ 1234 ℵA,B,C [3%] NU ¦ ~ 2345 κυριου ιησου 1 [10%] ¦ ~ 2341 D [18%] ¦ ~ 234 ιησου 1 [3%]
[16] επαυοντο *rell* ¦ επαυσαντο CP
[17] τον χριστον ιησουν **f**[35] ℵA,B [25%] NU ¦ ~ 312 [67%] HF,RP,OC,TR,CP ¦ 1 κυριον 3 C [2%] ¦ 1 κυριον 32 D ¦ ~ 32 [6%]
[18] ειπον *rell* ¦ ειπαν A,B,C [2%] NU
[19] ουν **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ δε ℵB [1%] NU ¦ δη A ¦ --- D
[20] πληρεις *rell* ¦ πληρης [15%]
[21] αγιου **f**[35] A,C [97%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[8](ℵ)B,D [3%] NU
[22] καταστησομεν **f**[35] **𝔓**[8]ℵA,B,C,D [60%] OC,TR,CP,NU ¦ καταστησωμεν [40%] HF,RP
[23] προσκαρτερησομεν *rell* ¦ προσκαρτερησωμεν [50%] ¦ προσκαρτερουντες D

πλήρη[1] πίστεως καὶ Πνεύματος Ἁγίου, καὶ Φίλιππον καὶ Πρόχορον[2] καὶ Νικάνορα καὶ Τίμωνα[3] καὶ Παρμενᾶν καὶ Νικόλαον, προσήλυτον Ἀντιοχέα, **6** οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων· καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας.

7 Καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανεν, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἰερουσαλὴμ σφόδρα, πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκουον[4] τῇ πίστει. **8** Στέφανος δέ, πλήρης πίστεως[5] καὶ δυνάμεως, ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ.

Stephen in a kangaroo court

9 Ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς Συναγωγῆς τῆς λεγομένης Λιβερτίνων (καὶ Κυρηναίων[6] καὶ Ἀλεξανδρέων καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας), συζητοῦντες τῷ Στεφάνῳ. **10** Καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ Πνεύματι ᾧ ἐλάλει.

11 Τότε ὑπέβαλον ἄνδρας λέγοντας ὅτι «Ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωσῆν[7] καὶ τὸν Θεόν.» **12** Συνεκίνησάν τε τὸν λαόν, καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς· καὶ ἐπιστάντες συνήρπασαν αὐτὸν καὶ ἤγαγον εἰς τὸ συνέδριον· **13** ἔστησάν τε μάρτυρας ψευδεῖς λέγοντας· «Ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα βλάσφημα λαλῶν[8] κατὰ τοῦ τόπου τοῦ ἁγίου[9] καὶ τοῦ νόμου· **14** ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον καὶ ἀλλάξει τὰ ἔθη ἃ παρέδωκεν ἡμῖν Μωσῆς.»[10] **15** Καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες[11] οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου.

Stephen's discourse

7:1 Εἶπεν δὲ ὁ ἀρχιερεύς, «Εἰ ἄρα[12] ταῦτα οὕτως ἔχει;» **2** Ὁ δὲ ἔφη· «Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε· Ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ[13] ὄντι ἐν τῇ Μεσοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαρράν,[14] **3** καὶ εἶπεν πρὸς αὐτόν, ‹Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ[15] τῆς συγγενείας σου, καὶ δεῦρο εἰς[16] γῆν ἣν ἄν σοι δείξω.› **4** Τότε ἐξελθὼν ἐκ γῆς Χαλδαίων κατῴκησεν ἐν[17] Χαρράν.[18] Κἀκεῖθεν,[19] μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, μετῴκισεν[20] αὐτὸν εἰς τὴν γῆν ταύτην εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε· **5** καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ, οὐδὲ βῆμα ποδός. Καὶ ἐπηγγείλατο δοῦναι αὐτὴν εἰς κατάσχεσιν αὐτῷ,[21] καὶ τῷ σπέρματι αὐτοῦ μετ᾽ αὐτόν, οὐκ ὄντος αὐτῷ τέκνου. **6** Ἐλάλησεν δὲ οὕτως[22] ὁ Θεός· ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ

---

[1] πληρη **f**[35] B [40%] OC,TR,CP ¦ πληρης ℵA,C,D [45%] HF,RP,NU ¦ πληρις [12%] ¦ πληρεις [3%] (The accusative is correct.)
[2] προχορον *rell* ¦ προχωρον [12%]
[3] τιμωνα *rell* ¦ τιμονα [35%] ¦ τειμωνα B,D
[4] υπηκουον *rell* ¦ υπηκουεν A [14%] ¦ two other variants
[5] πιστεως **f**[35] (78.8%) HF,RP,OC,TR,CP ¦ χαριτος 𝔓[8,45v]ℵA,B,D,0175 (19.7%) NU ¦ πνευματος (0.4%) ¦ four conflations (1.1%)
[6] κυρηναιων *rell* ¦ κυριναιων [13%] ¦ κυρυναιων A ¦ κυρηνεων D ¦ one other variant
[7] μωσην **f**[35] [55%] HF,RP,TR ¦ μωυσην 𝔓[8]ℵA,B,C,D [45%] OC,CP,NU
[8] ρηματα βλασφημα λαλων **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ ~ 31 𝔓[8v,45v]ℵB,C,0175 [3%] NU ¦ 13 A,D ¦ ~ 312 [3%]
[9] αγιου **f**[35] ℵA,D,0175 [90%] HF,RP,OC,CP ¦ 1 τουτου (𝔓[8])B,C [10%] TR[NU]
[10] μωσης **f**[35] A [60%] HF,RP,TR,CP ¦ μωυσης ℵB,C,D,0175 [40%] OC,NU
[11] απαντες **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ παντες ℵA,B,C,D,0175 [5%] NU
[12] αρα **f**[35] D [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [3%] NU
[13] ἀβρααμ **f**[35] [50%] ¦ ἀβρααμ ℵA,B,C [50%] HF,RP,OC,TR,CP,NU
[14] χαρραν *rell* ¦ χαραν D [20%] ¦ two other variants [1%]
[15] εκ **f**[35] ℵA,C [99.5%] HF,RP,OC,TR,CP[NU] ¦ --- B,D
[16] εις **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ 1 την ℵA,B,C,D [3%] NU
[17] εν *rell* ¦ εις [35%] ¦ επι [1%]
[18] χαρραν *rell* ¦ χαραν [18%] ¦ two other variants [1%]
[19] κακειθεν **f**[35] ℵA,B,C [60%] HF,RP,OC,TR,CP,NU ¦ και εκειθεν [40%] CP ¦ κακει ην D
[20] μετωκισεν *rell* ¦ μετωκησεν D [45%] CP ¦ five other variants [5%]
[21] δουναι αυτην εις κατασχεσιν αυτω **f**[35] ℵA [25%] ¦ ~ 15342 B,C,D [65%] HF,RP,OC,CP,NU ¦ ~ 512345 [5%] ¦ ~ 51342 [5%] TR
[22] ουτως *rell* ¦ αυτω ℵ [10%] ¦ ουτος [1%]

πάροικον ἐν γῇ ἀλλοτρίᾳ—καὶ δουλώσουσιν αὐτὸ καὶ κακώσουσιν—ἔτη τετρακόσια. **7** ‹Καὶ τὸ ἔθνος ᾧ[1] ἐὰν δουλεύσωσιν[2] κρινῶ ἐγώ,› εἶπεν ὁ Θεός,[3] ‹καὶ μετὰ ταῦτα ἐξελεύσονται καὶ λατρεύσουσίν μοι ἐν τῷ τόπῳ τούτῳ.› **8** Καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς· καὶ οὕτως[4] ἐγέννησεν τὸν Ἰσαὰκ καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, καὶ ὁ[5] Ἰσαὰκ τὸν Ἰακώβ, καὶ ὁ[6] Ἰακὼβ τοὺς δώδεκα πατριάρχας.

Down to Egypt

9 »Καὶ οἱ πατριάρχαι, ζηλώσαντες, τὸν Ἰωσὴφ ἀπέδοντο εἰς Αἴγυπτον· καὶ ἦν ὁ Θεὸς μετ᾽ αὐτοῦ **10** καὶ ἐξείλετο[7] αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ χάριν καὶ σοφίαν ἐναντίον Φαραώ, βασιλέως Αἰγύπτου· καὶ κατέστησεν αὐτὸν ἡγούμενον ἐπ᾽ Αἴγυπτον καὶ[8] ὅλον τὸν οἶκον αὐτοῦ. **11** Ἦλθεν δὲ λιμὸς ἐφ᾽ ὅλην τὴν γῆν Αἰγύπτου[9] καὶ Χαναάν, καὶ θλῖψις μεγάλη, καὶ οὐχ[10] εὕρισκον[11] χορτάσματα οἱ πατέρες ἡμῶν. **12** Ἀκούσας δὲ Ἰακὼβ ὄντα σῖτα[12] ἐν Αἰγύπτῳ,[13] ἐξαπέστειλεν τοὺς πατέρας ἡμῶν πρῶτον. **13** Καὶ ἐν τῷ δευτέρῳ ἀνεγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ φανερὸν ἐγένετο τῷ[14] Φαραὼ τὸ γένος τοῦ[15] Ἰωσήφ. **14** Ἀποστείλας δὲ Ἰωσὴφ μετεκαλέσατο Ἰακὼβ τὸν πατέρα αὐτοῦ[16] καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ,[17] ἐν ἑβδομήκοντα πέντε ψυχαῖς.[18] **15** Κατέβη δὲ[19] Ἰακὼβ εἰς Αἴγυπτον· καὶ ἐτελεύτησεν, αὐτὸς καὶ οἱ πατέρες ἡμῶν· **16** καὶ μετετέθησαν εἰς Συχὲμ καὶ ἐτέθησαν ἐν τῷ μνήματι ὃ[20] ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὼρ[21] τοῦ[22] Συχέμ.

Enter Moses

17 »Καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας ἧς ὤμοσεν[23] ὁ Θεὸς τῷ Ἀβραάμ, ηὔξησεν ὁ λαὸς καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ, **18** ἄχρις[24] οὗ ἀνέστη βασιλεὺς ἕτερος[25] ὃς οὐκ ᾔδει[26] τὸν Ἰωσήφ. **19** Οὗτος κατασοφισάμενος τὸ γένος ἡμῶν ἐκάκωσεν τοὺς πατέρας ἡμῶν,[27] τοῦ ποιεῖν

---

[1] ω *rell* ¦ ο [10%]
[2] δουλευσωσιν **f**[35] ℵB [95%] HF,OC,TR,CP ¦ δουλευσουσιν A,C,D [5%] RP,NU
[3] ειπεν ο θεος **f**[35] D [98%] HF,RP,OC,TR,CP ¦ ~ 231 ℵA,B,C [2%] NU
[4] ουτως *rell* ¦ ουτος [18%]
[5] ο **f**[35] D [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [4%] NU
[6] ο **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [4%] NU
[7] εξειλετο **f**[35] [60%] HF,RP,OC,TR,CP ¦ εξειλατο (ℵ)A,B(C,D) [40%] NU
[8] και **f**[35] B,D [96%] HF,RP,OC,TR,CP ¦ 1 εφ ℵA,C [4%] [NU]
[9] την γην αιγυπτου **f**[35] (91%) HF,RP,OC,TR,CP ¦ 23 (4.6%) ¦ 1 αιγυπτον **𝔓**[45v]ℵA,B,C (3.9%) NU ¦ two other readings D (0.4%)
[10] ουχ *rell* ¦ ουκ CP
[11] ευρισκον **f**[35] ℵA,C,D [87%] HF,RP,OC,TR,CP ¦ ηυρισκον B [13%] NU
[12] σιτα **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ σιτια ℵA(B)C(D) [4%] NU ¦ σιτον [6%]
[13] εν αιγυπτω **f**[35] D [98%] HF,RP,OC,TR,CP ¦ εις αιγυπτον ℵA,B,C [2%] NU
[14] τω *rell* ¦ --- ℵ [2%] CP ¦ το [1%]
[15] του **f**[35] **𝔓**[45]D [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- (ℵA),B,C [2%]
[16] ιακωβ τον πατερα αυτου **f**[35] ℵA,B,C,D [20%] NU ¦ ~ 2341 [80%] HF,RP,OC,TR,CP
[17] αυτου **f**[35] D [30%] OC,TR,CP ¦ --- ℵA,B,C [70%] HF,RP,NU
[18] εβδομηκοντα πεντε ψυχαις **f**[35] [30%] CP ¦ ~ 312 ℵA,B,C [63%] HF,RP,OC,TR,NU ¦ ~ 31 και 2 [5%] ¦ 1 και 23 D [2%]
[19] κατεβη δε **f**[35] B [94%] HF,RP,OC,TR,CP ¦ ~ και 1 ℵA,C [5%] NU ¦ 1 D [1%]
[20] ο **f**[35] [87%] HF,RP,TR ¦ ω ℵA,B,C,D [13%] OC,CP,NU
[21] εμμωρ **f**[35] ℵA,B,C,D [33%] NU ¦ εμμορ [60%] HF,RP,OC,TR,CP ¦ εμορ [7%]
[22] του **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ εν ℵB,C [4%] NU ¦ 1 εν A [1%]
[23] ωμοσεν **f**[35] (96.5%) HF,RP,OC,TR,CP ¦ ωμολογησεν (ℵ)A,B,C (2.6%) NU ¦ επηγγειλατο **𝔓**[45]D (0.9%) (A small number of MSS misspell the main variant as ωμωσεν or ομωσεν.)
[24] αχρις **f**[35] ℵA [98%] HF,OC,TR,CP ¦ αχρι B,C,D [2%] RP,NU
[25] ετερος **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ 1 επ αιγυπτον (ℵ)A,B,C [5%] [NU]
[26] ηδει *rell* ¦ ηδη [1%] CP ¦ ειδη [12%]
[27] ημων **f**[35] A,C [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- ℵB,D [2%]

ἔκθετα τὰ βρέφη[1] αὐτῶν εἰς τὸ μὴ ζωογονεῖσθαι. **20** Ἐν ᾧ καιρῷ ἐγεννήθη Μωϋσῆς,[2] καὶ ἦν ἀστεῖος τῷ Θεῷ· ὃς ἀνετράφη μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρός.[3] **21** Ἐκτεθέντα δὲ αὐτὸν[4] ἀνείλετο[5] ἡ θυγάτηρ Φαραὼ καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς υἱόν. **22** Καὶ ἐπαιδεύθη Μωϋσῆς[6] πάσῃ[7] σοφίᾳ Αἰγυπτίων· ἦν δὲ δυνατὸς ἐν λόγοις[8] καὶ[9] ἔργοις.[10] **23** Ὡς δὲ ἐπληροῦτο αὐτῷ τεσσαρακονταετὴς[11] χρόνος, ἀνέβη ἐπὶ[12] τὴν καρδίαν αὐτοῦ ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ, τοὺς υἱοὺς Ἰσραήλ. **24** Καὶ ἰδών τινα ἀδικούμενον, ἠμύνατο καὶ ἐποίησεν[13] ἐκδίκησιν τῷ καταπονουμένῳ, πατάξας τὸν Αἰγύπτιον. **25** Ἐνόμιζεν δὲ συνιέναι τοὺς ἀδελφοὺς αὐτοῦ[14] ὅτι ὁ Θεὸς διὰ χειρὸς αὐτοῦ δίδωσιν αὐτοῖς σωτηρίαν,[15] οἱ δὲ οὐ συνῆκαν. **26** Τῇ τε ἐπιούσῃ ἡμέρᾳ ὤφθη αὐτοῖς μαχομένοις καὶ συνήλασεν[16] αὐτοὺς εἰς εἰρήνην, εἰπών, ‹Ἄνδρες, ἀδελφοί ἐστε ὑμεῖς·[17] ἵνα τί ἀδικεῖτε[18] ἀλλήλους;› **27** Ὁ δὲ ἀδικῶν τὸν πλησίον ἀπώσατο τοῦτον[19] εἰπών· ‹Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ᾽ ἡμᾶς;[20] **28** Μὴ ἀνελεῖν με σὺ θέλεις ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον;›[21] **29** Ἔφυγεν δὲ Μωσῆς[22] ἐν τῷ λόγῳ τούτῳ, καὶ ἐγένετο πάροικος ἐν γῇ Μαδιάμ, οὗ ἐγέννησεν υἱοὺς δύο.

Moses commissioned

30 »Καὶ πληρωθέντων ἐτῶν τεσσαράκοντα,[23] ὤφθη αὐτῷ ἐν τῇ ἐρήμῳ τοῦ Ὄρους Σινᾶ ἄγγελος Κυρίου,[24] ἐν φλογὶ πυρὸς βάτου. **31** Ὁ δὲ Μωσῆς[25] ἰδὼν ἐθαύμασεν[26] τὸ ὅραμα, προσερχομένου δὲ αὐτοῦ κατανοῆσαι, ἐγένετο φωνὴ Κυρίου πρὸς αὐτόν·[27] **32** ‹Ἐγὼ ὁ Θεὸς τῶν πατέρων σου—ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς[28] Ἰσαὰκ καὶ ὁ Θεὸς[29] Ἰακώβ.› Ἔντρομος δὲ γενόμενος Μωϋσῆς,[30] οὐκ ἐτόλμα κατανοῆσαι. **33** Εἶπεν δὲ αὐτῷ ὁ Κύριος· ‹Λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου, ὁ γὰρ τόπος ἐν[31] ᾧ ἕστηκας γῆ ἁγία ἐστίν. **34** Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα· καὶ κατέβην ἐξελέσθαι αὐτούς. Καὶ νῦν δεῦρο,

---

[1] εκθετα τα βρεφη **f**[35] **𝔓**[45]D [97%] HF,RP,OC,TR,CP ¦ ~ 231 ℵA,B,C [3%] NU
[2] μωυσης **f**[35] **𝔓**[45]ℵB,C,D [75%] OC,NU ¦ μωσης A [25%] HF,RP,TR,CP
[3] πατρος **f**[35] A,B,C [92%] HF,RP,NU ¦ 1 αυτου D [8%] OC,TR,CP ¦ 1 μου ℵ
[4] εκτεθεντα δε αυτον **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ εκτεθεντος 2 αυτου ℵA,B,C(D) [4%] NU
[5] ανειλετο **f**[35] [25%] HF,RP ¦ 1 αυτον [60%] OC,TR,CP ¦ ανειλατο αυτον ℵA,B,C,D [15%] NU
[6] μωυσης **f**[35] ℵB,C,D [90%] OC,CP,NU ¦ μωσης A [10%] HF,RP,TR
[7] παση **f**[35] B,D [98%] HF,RP,OC,TR,CP ¦ εν 1 ℵA,C [2%] [NU]
[8] λογοις *rell* ¦ λογω [10%]
[9] και **f**[35] ℵA,B,C,D [65%] HF,RP,CP,NU ¦ 1 εν [35%] OC,TR (OC is in small print)
[10] εργοις **f**[35] [95%] HF,RP,OC,TR ¦ 1 αυτου ℵA,B,C[v] [5%] CP,NU
[11] τεσσαρακονταετης **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ τεσσερακονταετης ℵA,B,C [3%] NU
[12] επι *rell* ¦ εις [2%] OC
[13] εποιησεν *rell* ¦ εποιησατο OC
[14] αυτου **f**[35] A,D [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- ℵB,C [2%]
[15] αυτοις σωτηριαν **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B,C,D [3%] NU
[16] συνηλασεν **f**[35] A [92%] HF,RP,OC,TR,CP ¦ συνηλλασσεν ℵB,C,D [3%] NU ¦ συνηλλασεν [5%]
[17] υμεις **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [8%] NU
[18] αδικειτε (ℵ) *rell* ¦ αδικητε [20%] ¦ αδικειται C(D) [2%]
[19] τουτον **f**[35] [20%] ¦ αυτον ℵA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU (The demonstrative is more emphatic, this being the crucial point of comparison Stephen will make later. It is repeated four times in verses 35-37.)
[20] ημας **f**[35] D [60%] HF,RP,TR,CP ¦ ημων ℵA,B,C [40%] OC,NU
[21] χθες τον αιγυπτιον **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 231 A [2%] ¦ εχθες 23 ℵB,C [2%] NU ¦ αιχθες 23 D
[22] μωσης **f**[35] A [45%] HF,RP,TR,CP ¦ μωυσης ℵB,C(D) [55%] OC,NU
[23] τεσσαρακοντα **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ τεσσερακοντα ℵA,B,C [2%] NU
[24] κυριου **f**[35] D [98%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [2%] NU
[25] μωσης **f**[35] A [38%] HF,RP,TR ¦ μωυσης ℵB,C,D [62%] OC,CP,NU
[26] εθαυμασεν **f**[35] A,B,C [25%] TR ¦ εθαυμαζεν ℵD [75%] HF,RP,OC,CP,NU
[27] προς αυτον **f**[35] C [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [4%] NU
[28] ο θεος **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [5%] NU ¦ 2 D
[29] ο θεος **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [5%] NU ¦ 2 D
[30] μωυσης **f**[35] ℵB,C,D [80%] OC,CP,NU ¦ μωσης A [20%] HF,RP,TR
[31] εν **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ εφ **𝔓**[45]ℵA,B,C [3%] NU ¦ ου D [for εν ω]

ἀποστελῶ[1] σε εἰς Αἴγυπτον.›

35 »Τοῦτον τὸν Μωϋσῆν[2] ὃν ἠρνήσαντο εἰπόντες, ‹Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστήν;›[3]—τοῦτον ὁ Θεὸς[4] ἀρχηγὸν[5] καὶ λυτρωτὴν ἀπέστειλεν[6] ἐν[7] χειρὶ ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ. **36** Οὗτος ἐξήγαγεν αὐτούς, ποιήσας τέρατα καὶ σημεῖα ἐν γῇ Αἰγύπτῳ[8] καὶ ἐν Ἐρυθρᾷ Θαλάσσῃ, καὶ ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα.[9]

Israel's rebellion

37 »Οὗτός ἐστιν[10] Μωϋσῆς[11] ὁ εἰπὼν[12] τοῖς υἱοῖς Ἰσραήλ, ‹Προφήτην ὑμῖν ἀναστήσει Κύριος[13] ὁ Θεὸς ἡμῶν[14] ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ.›[15] **38** Οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ, μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ ἐν τῷ Ὄρει Σινᾶ καὶ τῶν πατέρων ἡμῶν, ὃς ἐδέξατο λόγια[16] ζῶντα δοῦναι ἡμῖν· **39** ᾧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ πατέρες ἡμῶν·[17] ἀλλ'[18] ἀπώσαντο καὶ ἐστράφησαν τῇ καρδίᾳ[19] αὐτῶν εἰς Αἴγυπτον, **40** εἰπόντες τῷ Ἀαρών, ‹Ποίησον ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωϋσῆς[20] οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου—οὐκ οἴδαμεν τί γέγονεν[21] αὐτῷ.› **41** Καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἀνήγαγον θυσίαν τῷ εἰδώλῳ, καὶ εὐφραίνοντο[22] ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν. **42** Ἔστρεψεν δὲ ὁ Θεὸς καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καθὼς γέγραπται ἐν Βίβλῳ τῶν Προφητῶν· ‹Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ[23] μοι ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα,[24] οἶκος Ἰσραήλ; **43** Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολόχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν,[25] Ῥεφφάν,[26] τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς· καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος.›

A dwelling for God

44 »Ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν[27] τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ, καθὼς διετάξατο ὁ λαλῶν τῷ Μωϋσῇ[28] ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν ἑωράκει·[29] **45** ἣν καὶ εἰσήγαγον, διαδεξάμενοι οἱ

---

[1] αποστελω **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ αποστειλω A,B,C,D [9%] NU ¦ αποστιλω ℵ [1%]
[2] μωυσην **f**[35] ℵB,C,D [85%] OC,TR,CP,NU ¦ μωσην A [15%] HF,RP
[3] δικαστην **f**[35] 𝔓[45]A,B [87%] HF,RP,OC,TR,CP,NU ¦ 1 εφ ημας [10%] ¦ 1 εφ ημων ℵC,D [3%]
[4] θεος **f**[35] 𝔓[45]ℵA,C [96%] HF,RP,OC,TR,CP ¦ 1 και B,D [4%] [NU]
[5] αρχηγον **f**[35] A [23%] ¦ αρχοντα 𝔓[45]ℵB,C,D [77%] HF,RP,OC,TR,CP,NU
[6] απεστειλεν **f**[35] (C) [90%] HF,RP,OC,TR,CP ¦ απεσταλκεν ℵA,B,D [10%] NU
[7] εν **f**[35] ℵ [96%] HF,RP,OC,TR,CP ¦ συν A,B,C,D [4%] NU
[8] αιγυπτω *rell* ¦ αιγυπτου D [10%] TR
[9] τεσσαρακοντα **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ τεσσερακοντα ℵA,B,C [3%] NU ¦ μ 𝔓[45]D [1%]
[10] εστιν **f**[35] D [65%] ¦ 1 ο ℵA,B,C [35%] HF,RP,OC,TR,CP,NU
[11] μωυσης **f**[35] ℵB,C,D [80%] OC,TR,CP,NU ¦ μωσης A [20%] HF,RP
[12] ειπων **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ ειπας ℵA,B,C,D [2%] NU
[13] κυριος **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [2%] NU
[14] ημων **f**[35] [40%] HF,RP,CP ¦ υμων [55%] OC,TR ¦ --- ℵA,B,C,D [5%] NU
[15] εμε **f**[35] ℵA,B [85%] HF,RP,CP,NU ¦ 1 αυτου ακουσεσθε C(D) [15%] OC,TR (OC is in small print)
[16] λογια **f**[35] 𝔓[45]ℵA,B,C [80%] HF,OC,TR,CP,NU ¦ λογον [20%] RP
[17] ημων *rell* ¦ υμων [12%]
[18] αλλ **f**[35] [70%] HF,RP,OC,TR,CP ¦ αλλα ℵA,B,C,D [30%] NU
[19] τη καρδια **f**[35] [95%] HF,RP,OC ¦ ταις καρδιαις D [3%] CP,TR ¦ εν ταις καρδιαις 𝔓[45](ℵ)A,B,C [2%] NU
[20] μωυσης **f**[35] ℵB,C,D [80%] OC,CP,NU ¦ μωσης A [20%] HF,RP,TR
[21] γεγονεν **f**[35] D [97%] HF,RP,OC,TR,CP ¦ εγενετο ℵA,B,C [3%] NU
[22] ευφραινοντο *rell* ¦ ηυφραινοντο D [20%]
[23] προσηνεγκατε *rell* ¦ προσενεγκατε [2%] CP
[24] εν τη ερημω ετη τεσσαρακοντα **f**[35] (A) [20%] ¦ ~ 45 (τεσσερακοντα ℵC,NU) 123 (ℵC)D [80%] HF,RP,OC,TR,CP (NU) ¦ 4 τεσσερακοντα B
[25] υμων **f**[35] ℵA,C [90%] HF,RP,OC,TR,CP[NU] ¦ --- B,D ¦ ημων [9%]
[26] ρεφφαν **f**[35] [50%] ¦ ρεφαν C [8%] CP ¦ ρεμφαν (D) [25%] HF,RP,OC,TR ¦ ραιφαν A [7%] NU ¦ ρομφα B [3%] ¦ ρομφαν ℵ ¦ ρεφραν [5%] ¦ several further spellings
[27] ην **f**[35] ℵA,B,C [95%] HF,RP,OC,NU ¦ 1 εν D [5%] CP,TR
[28] μωυση **f**[35] ℵB,C(D) [85%] OC,CP,NU ¦ μωση A [15%] HF,RP,TR
[29] εωρακει **f**[35] ℵA,B,C [80%] HF,RP,OC,TR,CP,NU ¦ εωρακεν D [20%]

πατέρες ἡμῶν, μετὰ Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν, ὧν ἔξωσεν ὁ Θεὸς ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν, ἕως τῶν ἡμερῶν Δαυίδ·[1] **46** ὃς εὗρεν χάριν ἐνώπιον[2] τοῦ Θεοῦ καὶ ἠτήσατο εὑρεῖν σκήνωμα τῷ Θεῷ[3] Ἰακώβ· **47** Σολομὼν δὲ ᾠκοδόμησεν[4] αὐτῷ[5] οἶκον. **48** Ἀλλ᾽ οὐχ ὁ Ὕψιστος ἐν χειροποιήτοις ναοῖς[6] κατοικεῖ, καθὼς ὁ προφήτης λέγει· **49** ‹Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον οἰκοδομήσετέ μοι,› λέγει Κύριος, ‹ἢ τίς τόπος τῆς καταπαύσεώς μου; **50** Οὐχὶ ἡ χείρ μου ἐποίησεν ταῦτα πάντα;›[7]

Stephen attacks

51 »Σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ[8] καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ Ἁγίῳ ἀντιπίπτετε· ὡς οἱ πατέρες ὑμῶν, καὶ ὑμεῖς. **52** Τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν; Καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ Δικαίου, οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς γεγένησθε·[9] **53** οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων καὶ οὐκ ἐφυλάξατε.»

Stephen is martyred

54 Ἀκούοντες δὲ ταῦτα διεπρίοντο ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ᾽ αὐτόν. **55** Ὑπάρχων δὲ πλήρης Πνεύματος Ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανόν, εἶδεν δόξαν Θεοῦ καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, **56** καὶ εἶπεν, «Ἰδού, θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους[10] καὶ τὸν Υἱὸν τοῦ Ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ.»[11] **57** Κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐτῶν καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ᾽ αὐτόν, **58** καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν. (Καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια[12] παρὰ τοὺς πόδας νεανίου[13] καλουμένου Σαύλου.) **59** Καὶ ἐλιθοβόλουν τὸν Στέφανον ἐπικαλούμενον καὶ λέγοντα, «Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου.» **60** Θεὶς δὲ τὰ γόνατα, ἔκραξεν φωνῇ μεγάλῃ, «Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην.»[14] Καὶ τοῦτο εἰπὼν ἐκοιμήθη. (Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ.)

Under persecution the Church moves out

8:1 Ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἰεροσολύμοις· πάντες δὲ[15] διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν ἀποστόλων. **2** (Συνεκόμισαν δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς καὶ ἐποιήσαντο[16] κοπετὸν μέγαν ἐπ᾽ αὐτῷ.)[17] **3** Σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκκλησίαν· κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας, παρεδίδου εἰς φυλακήν. **4** Οἱ μὲν οὖν διασπαρέντες διῆλθον εὐαγγελιζόμενοι τὸν λόγον.

Philip's ministry

5 Φίλιππος δέ, κατελθὼν εἰς[18] πόλιν τῆς Σαμαρείας, ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν· **6** προσ-

---

[1] Since most minuscules use a shortened form for 'David' (δαδ), the choice δαυιδ *rell* ¦ δαβιδ TR must be made on a different basis.
[2] ενωπιον *rell* ¦ ενωπιων CP
[3] θεω **f**[35] A,C [95%] HF,RP,OC,TR,CP ¦ οικω ℵB,D [5%] NU
[4] ωκοδομησεν **f**[35] ℵA,C [99%] HF,RP,OC,TR,CP ¦ οικοδομησεν B,D [1%] NU
[5] αυτω *rell* ¦ εαυτω C [15%]
[6] ναοις **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C(D) [5%] NU
[7] ταυτα παντα **f**[35] ℵB [87%] HF,RP,OC,TR,CP,NU ¦ ~ 21 A,C,D [13%]
[8] τη καρδια **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ καρδιαις A,C,D [1%] NU ¦ καρδιας B ¦ ταις καρδιαις ℵ [3%]
[9] γεγενησθε **f**[35] [88%] HF,RP,OC,TR,CP ¦ εγενεσθε 𝔓[45]A,B [5%] NU ¦ εγενεσθαι ℵC,D [2%] ¦ γεγενεσθαι [5%]
[10] ανεωγμενους **f**[35] (D) [97%] HF,RP,OC,TR,CP ¦ διηνοιγμενους ℵA(B)C [3%] NU
[11] εστωτα του θεου *rell* ¦ ~ 231 OC
[12] ιματια **f**[35] [75%] HF,RP ¦ 1 αυτων ℵA,C,D [24%] OC,TR,CP,NU ¦ 1 εαυτων B
[13] νεανιου *rell* ¦ 1 του [10%] CP ¦ τινος D
[14] την αμαρτιαν ταυτην **f**[35] ℵ [98%] HF,RP,OC,TR,CP ¦ ~ 312 A,B,C,D [2%] NU
[15] δε **f**[35] B,C [88%] HF,RP,OC,CP,NU ¦ τε A [5%] TR ¦ γαρ [5%] ¦ και [2%] ¦ --- ℵ
[16] εποιησαντο **f**[35] [85%] HF,RP,TR,CP ¦ εποιησαν ℵA,B,C,D [15%] OC,NU
[17] αυτω *rell* ¦ αυτον [30%]
[18] εις **f**[35] C,D [98%] HF,RP,OC,TR,CP ¦ 1 την ℵA,B [2%] [NU]

εἶχον δὲ[1] οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδόν, ἐν τῷ ἀκούειν αὐτοὺς καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει. **7** Πολλῶν[2] γὰρ τῶν ἐχόντων πνεύματα ἀκάθαρτα βοῶντα φωνῇ μεγάλῃ[3] ἐξήρχετο,[4] πολλοὶ δὲ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν. **8** Καὶ ἐγένετο[5] χαρὰ μεγάλη[6] ἐν τῇ πόλει ἐκείνῃ.

Simon the sorcerer

9 Ἀνὴρ δέ τις ὀνόματι Σίμων προϋπῆρχεν ἐν τῇ πόλει, μαγεύων καὶ ἐξιστῶν[7] τὸ ἔθνος τῆς Σαμαρείας, λέγων εἶναί τινα ἑαυτὸν μέγαν, **10** ᾧ προσεῖχον,[8] ἀπὸ μικροῦ ἕως μεγάλου, λέγοντες, «Οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ, ἡ[9] μεγάλη.» **11** Προσεῖχον δὲ αὐτῷ διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις[10] ἐξεστακέναι[11] αὐτούς. **12** Ὅτε δὲ ἐπίστευσαν τῷ Φιλίππῳ, εὐαγγελιζομένῳ τὰ[12] περὶ τῆς βασιλείας τοῦ Θεοῦ καὶ τοῦ ὀνόματος,[13] Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο, ἄνδρες τε καὶ γυναῖκες. **13** Ὁ δὲ Σίμων καὶ αὐτὸς ἐπίστευσεν, καὶ βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ Φιλίππῳ· θεωρῶν τε δυνάμεις καὶ σημεῖα[14] γινόμενα,[15] ἐξίστατο.

14 Ἀκούσαντες δὲ οἱ ἐν Ἰεροσολύμοις ἀπόστολοι ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς τὸν[16] Πέτρον καὶ Ἰωάννην, **15** οἵτινες καταβάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσιν Πνεῦμα Ἅγιον, **16** οὔπω[17] γὰρ ἦν ἐπ᾽ οὐδενὶ αὐτῶν ἐπιπεπτωκός· μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Χριστοῦ,[18] Ἰησοῦ. **17** Τότε ἐπετίθουν[19] τὰς χεῖρας ἐπ᾽ αὐτούς, καὶ ἐλάμβανον Πνεῦμα Ἅγιον.

18 Θεασάμενος[20] δὲ ὁ Σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ Ἅγιον,[21] προσήνεγκεν αὐτοῖς χρήματα, **19** λέγων, «Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν[22] ἐπιθῶ τὰς χεῖρας λαμβάνῃ[23] Πνεῦμα Ἅγιον.» **20** Πέτρος δὲ εἶπεν πρὸς αὐτόν· «Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας[24] διὰ χρημάτων κτᾶσθαι. **21** Οὐκ ἔστιν σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ, ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐναντίον[25] τοῦ Θεοῦ. **22** Μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης καὶ δεήθητι τοῦ Θεοῦ,[26] εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου· **23** εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα.» **24** Ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπεν, «Δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ

---

[1] δε **f**[35] ℵA,B,C [30%] OC,NU ¦ τε [70%] HF,RP,TR,CP
[2] πολλων **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ πολλοι ℵA,B,C [3%] NU ¦ πολλοις D
[3] φωνη μεγαλη **f**[35] ℵA,B,C,D [95%] HF,RP,OC,CP,NU ¦ ~ 21 [5%] TR
[4] εξηρχετο **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ εξηρχοντο ℵA,B,C,D [15%] NU
[5] και εγενετο **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 2 δε ℵA,B,C [4%] NU ¦ τε 2 (D)
[6] χαρα μεγαλη **f**[35] (D) [98%] HF,RP,OC,TR,CP ¦ πολλη χαρα ℵA,B,C [2%] NU
[7] εξιστων **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ εξιστανων ℵA,B(C) [5%] NU
[8] προσειχον **f**[35] [93%] HF,RP ¦ 1 παντες ℵA,B,C,D [7%] OC,TR,CP,NU
[9] η **f**[35] (90.4%) HF,RP,OC,TR,CP ¦ 1 καλουμενη ℵA,B,C,D (6.6%) NU ¦ 1 λεγομενη (1.9%) ¦ three other readings (1.1%)
[10] μαγειαις *rell* ¦ μαγιαις ℵA,C,D [20%]
[11] εξεστακεναι *rell* ¦ εξιστακεναι (A) [20%] ¦ εξεστηκεναι [3%] ¦ εξειστακεναι C
[12] τα **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [4%] NU
[13] ονοματος **f**[35] ℵA,B,C,D [95%] HF,RP,OC,CP,NU ¦ 1 του [5%] TR
[14] δυναμεις και σημεια **f**[35] [93%] HF,RP,OC ¦ 123 μεγαλα [2%] CP ¦ ~ 321 μεγαλας (ℵ)A,B(C,D) [5%] TR,NU
[15] γινομενα **f**[35] [95%] HF,RP,OC,CP ¦ γινομενας (ℵA,B,D) [5%] TR,NU ¦ --- C
[16] τον **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [7%] NU
[17] ουπω **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ ουδεπω ℵA,B,C,D [6%] NU
[18] χριστου **f**[35] [70%] HF,RP ¦ κυριου ℵA,B,C [30%] OC,TR,CP,NU ¦ κυριου ιησου χριστου D
[19] επετιθουν **f**[35] 𝔓[45]D [96%] HF,RP,OC,TR,CP ¦ επετιθεσαν ℵA [3%] NU ¦ επετιθεισαν C ¦ επετιθοσαν B
[20] θεασαμενος **f**[35] [85%] HF,RP,TR,CP ¦ ιδων ℵA,B,C,D [15%] OC,NU
[21] το αγιον **f**[35] 𝔓[45]A,C,D (99.6%) HF,RP,OC,TR,CP ¦ --- ℵB (alone) NU
[22] αν **f**[35] D [59%] TR ¦ εαν ℵA,B,C [40%] HF,RP,OC,CP,NU ¦ --- [1%]
[23] λαμβανη *rell* ¦ λαμβανει [20%]
[24] ενομισας *rell* ¦ ενομησας [15%] ¦ two other variants
[25] εναντιον **f**[35] C [20%] ¦ ενωπιον [78%] HF,RP,OC,TR,CP ¦ εναντι ℵA,B,D [2%] NU
[26] θεου **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ κυριου ℵA,B,C,D [5%] NU

πρὸς τὸν Κύριον,[1] ὅπως μηδὲν ἐπέλθῃ ἐπ᾽ ἐμὲ ὧν εἰρήκατε.»

25 Οἱ μὲν οὖν διαμαρτυράμενοι[2] καὶ λαλήσαντες τὸν λόγον τοῦ Κυρίου, ὑπέστρεψαν[3] εἰς Ἰερουσαλήμ·[4] πολλάς τε κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο.[5]

The Ethiopian treasurer

26 Ἄγγελος δὲ Κυρίου ἐλάλησεν πρὸς Φίλιππον, λέγων, «Ἀνάστηθι καὶ πορεύου κατὰ μεσημβρίαν ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ Ἰερουσαλὴμ εἰς Γάζαν· αὕτη ἐστὶν ἔρημος.» **27** Καὶ ἀναστὰς ἐπορεύθη· καὶ ἰδού, ἀνὴρ Αἰθίοψ, εὐνοῦχος, δυνάστης Κανδάκης τῆς[6] βασιλίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς γάζης αὐτῆς, ὃς ἐληλύθει[7] προσκυνήσων εἰς Ἰερουσαλήμ **28**—ἦν τε ὑποστρέφων καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ, καὶ ἀνεγίνωσκεν[8] τὸν προφήτην Ἡσαΐαν. **29** Εἶπεν δὲ τὸ Πνεῦμα τῷ Φιλίππῳ, «Πρόσελθε καὶ κολλήθητι τῷ ἅρματι τούτῳ.» **30** Προσδραμὼν[9] δὲ ὁ Φίλιππος ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος τὸν προφήτην Ἡσαΐαν,[10] καὶ εἶπεν, «Ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις;» **31** Ὁ δὲ εἶπεν, «Πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις[11] ὁδηγήσῃ[12] με;» Παρεκάλεσέν τε τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ.

32 Ἡ δὲ περιοχὴ τῆς Γραφῆς ἣν ἀνεγίνωσκεν ἦν αὕτη· «Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη· καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος[13] αὐτὸν ἄφωνος, οὕτως[14] οὐκ ἀνοίγει[15] τὸ στόμα αὐτοῦ. **33** Ἐν τῇ ταπεινώσει αὐτοῦ[16] ἡ κρίσις αὐτοῦ ἤρθη, τὴν δὲ[17] γενεὰν αὐτοῦ τίς διηγήσεται; Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.» **34** Ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ εἶπεν, «Δέομαί σου, περὶ τίνος ὁ προφήτης λέγει τοῦτο, περὶ ἑαυτοῦ ἢ περὶ ἑτέρου τινός;» **35** Ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα αὐτοῦ καὶ ἀρξάμενος ἀπὸ τῆς Γραφῆς ταύτης, εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν.

36 Ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδὸν ἦλθον ἐπί τι ὕδωρ, καί φησιν ὁ εὐνοῦχος· «Ἰδού, ὕδωρ· τί κωλύει με βαπτισθῆναι;»[18] **38** Καὶ ἐκέλευσεν στῆναι τὸ ἅρμα, καὶ κατέβησαν ἀμφότεροι εἰς τὸ ὕδωρ, ὅ τε Φίλιππος καὶ ὁ εὐνοῦχος, καὶ ἐβάπτισεν αὐτόν. **39** Ὅτε δὲ ἀνέβησαν ἐκ τοῦ ὕδατος, Πνεῦμα Κυρίου ἥρπασεν τὸν Φίλιππον, καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος· ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων.

40 Φίλιππος δὲ εὑρέθη εἰς Ἄζωτον, καὶ διερχόμενος εὐηγγελίζετο τὰς πόλεις πάσας ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν.

---

[1] κυριον *rell* ¦ θεον D [12%] OC

[2] διαμαρτυραμενοι **f**^{35} A,B,C,D [75%] HF,RP,OC,TR,NU ¦ διαμαρτυρομενοι ℵ [25%] CP

[3] υπεστρεψαν **f**^{35} C [96%] HF,RP,OC,TR,CP ¦ υπεστρεφον ℵA,B,D [4%] NU

[4] ιερουσαλημ **f**^{35} [92%] HF,RP,OC,TR,CP ¦ ιεροσολυμα ℵA,B,C(D) [8%] NU

[5] ευηγγελισαντο **f**^{35} [95%] HF,RP,OC,TR,CP ¦ ευηγγελιζοντο ℵ(A)B,C,D [5%] NU

[6] της **f**^{35} [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [3%] NU

[7] εληλυθει (C) *rell* ¦ εληλυθη [50%]

[8] και ανεγινωσκεν **f**^{35} (B,C) [40%] HF,RP,OC,TR,NU ¦ 2 ℵ [60%] CP ¦ ~ 2 τε A ¦ αναγειινωσκων D

[9] προσδραμων *rell* ¦ προδραμων CP

[10] τον προφητην ησαιαν **f**^{35} [96%] HF,RP,OC,TR,CP ¦ ~ 312 ℵA,B,C [4%] NU

[11] τις *rell* ¦ της CP

[12] οδηγηση **f**^{35} A [85%] HF,RP,OC,TR,CP ¦ οδηγησει ℵ(C) [15%] NU ¦ οδαγησει B

[13] κειροντος **f**^{35} B [66%] RP,OC,TR,CP ¦ κειραντος A,C [25%] HF,NU ¦ κηραντος [8%] ¦ κιραντος ℵ [1%]

[14] ουτως **f**^{35} ℵA,B,C [65%] HF,RP,OC,TR,CP,NU ¦ ουτος [35%]

[15] ανοιγει *rell* ¦ ανοιγη [2%] CP ¦ ανυγει ℵ [1%]

[16] αυτου **f**^{35} C [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- ℵA,B [2%]

[17] δε **f**^{35} [98%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [2%] NU

[18] βαπτισθηναι **f**^{35} 𝔓^{45}ℵA,B,C (88%) HF,RP,CP,NU ¦ βαπτισθηναι 37 ειπεν δε αυτω ει πιστευεις εξ ολης της καρδιας σου εξεστιν αποκριθεις δε ειπεν πιστευω τον υιον του θεου ειναι ιησουν χριστον (8.4%) ¦ βαπτισθηναι 37 ειπεν δε ο φιλιππος ει πιστευεις εξ ολης της καρδιας εξεστιν αποκριθεις δε ειπεν πιστευω τον υιον του θεου ειναι τον ιησουν χριστον (0.6%) OC,TR [actually, only cursive 1883 of the 16th century is identical to OC,TR—OC is in small print] ¦ four variations include ευνουχος and a 2nd αυτω before πιστευω (1.1%) ¦ four further variations (1.9%) (The addition appears in eighteen slightly different forms [the name ‘Philip’ appears in eleven MSS, or 2.3%]. Since Philip’s house in Caesarea seems to have been something of a way-station for travelling Christians, he probably repeated the story hundreds of times; the information given in verse 37 is likely historically correct, but the Holy Spirit didn’t have Luke include it in the inspired account.)

Saul of Tarsus

9:1 Ὁ δὲ Σαῦλος, ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου, προσελθὼν τῷ ἀρχιερεῖ, **2** ἠτήσατο παρ᾽ αὐτοῦ ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς τὰς συναγωγάς, ὅπως ἐάν τινας εὕρῃ τῆς Ὁδοῦ ὄντας, ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς Ἰερουσαλήμ.

Jesus chooses Saul

3 Ἐν δὲ τῷ πορεύεσθαι, ἐγένετο αὐτὸν ἐγγίζειν τῇ Δαμασκῷ, καὶ ἐξαίφνης[1] περιήστραψεν αὐτὸν φῶς[2] ἀπὸ[3] τοῦ οὐρανοῦ· **4** καὶ πεσὼν ἐπὶ τὴν γῆν ἤκουσεν φωνὴν λέγουσαν αὐτῷ, «Σαούλ, Σαούλ, τί με διώκεις;» **5** Εἶπεν δέ, «Τίς εἶ, Κύριε;» Ὁ δὲ Κύριος εἶπεν,[4] «Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις·[5] **6** ἀλλὰ[6] ἀνάστηθι καὶ εἴσελθε εἰς τὴν πόλιν, καὶ λαληθήσεταί σοι[7] τί σε δεῖ ποιεῖν.» **7** Οἱ δὲ ἄνδρες οἱ συνοδεύοντες αὐτῷ εἱστήκεισαν ἐνεοί,[8] ἀκούοντες μὲν τῆς φωνῆς, μηδένα δὲ θεωροῦντες. **8** Ἠγέρθη δὲ ὁ[9] Σαῦλος ἀπὸ τῆς γῆς, ἀνεῳγμένων τε[10] τῶν ὀφθαλμῶν αὐτοῦ, οὐδένα[11] ἔβλεπεν· χειραγωγοῦντες δὲ αὐτὸν εἰσήγαγον εἰς Δαμασκόν. **9** Καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων, καὶ οὐκ ἔφαγεν οὐδὲ ἔπιεν.

Ananias sent to Saul

10 Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ ὀνόματι Ἀνανίας,[12] καὶ εἶπεν πρὸς αὐτὸν ὁ Κύριος ἐν ὁράματι,[13] «Ἀνανία.» Ὁ δὲ εἶπεν, «Ἰδοὺ ἐγώ, Κύριε.» **11** Ὁ δὲ Κύριος πρὸς αὐτόν· «Ἀναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην Εὐθεῖαν, καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι, Ταρσέα· ἰδοὺ γὰρ προσεύχεται, **12** καὶ εἶδεν ἐν ὁράματι ἄνδρα[14] Ἀνανίαν ὀνόματι[15] εἰσελθόντα καὶ ἐπιθέντα αὐτῷ χεῖρα,[16] ὅπως ἀναβλέψῃ.» **13** Ἀπεκρίθη δὲ[17] Ἀνανίας· «Κύριε, ἀκήκοα[18] ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ ἐποίησεν τοῖς ἁγίοις σου[19] ἐν Ἰερουσαλήμ. **14** Καὶ ὧδε ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου.» **15** Εἶπεν δὲ πρὸς αὐτὸν ὁ Κύριος· «Πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν[20] οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν[21] καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ· **16** ἐγὼ γὰρ ὑποδείξω αὐτῷ ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν.» **17** Ἀπῆλθεν δὲ Ἀνανίας καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ ἐπιθεὶς ἐπ᾽ αὐτὸν τὰς χεῖρας εἶπεν, «Σαοὺλ ἀδελφέ, ὁ Κύριος ἀπέσταλκέν με,[22] ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου, ὅπως ἀναβλέψῃς καὶ πλησθῇς[23] Πνεύματος Ἁγίου.» **18** Καὶ εὐθέως

---

[1] και εξαιφνης **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 2 τε (א)A(B,C) [4%] NU
[2] περιηστραψεν αυτον φως **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 213 אB,C [4%] NU ¦ ~ 231 A
[3] απο **f**[35] 𝔓[45] [92%] HF,RP,OC,TR,CP ¦ εκ אA,B,C [8%] NU
[4] κυριος ειπεν **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ 2 א [2%] ¦ --- 𝔓[45]A,B,C [3%] NU ¦ 2 προς αυτον [2%]
[5] διωκεις **f**[35] 𝔓[45]אA,B,C [99.9%] HF,RP,OC,CP,NU ¦ 1 σκληρον σοι προς κεντρα λακτιζειν τρεμων τε και θαμβων ειπε κυριε τι με θελεις ποιησαι και ο κυριος προς αυτον TR
[6] αλλα *rell* ¦ αλλ [8%] ¦ --- TR
[7] σοι **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ 1 ο אA,B,C [4%] NU
[8] ενεοι **f**[35] אA,B,C [60%] HF,RP,OC,NU ¦ εννεοι **f**[35pt] [40%] TR,CP [A mere alternate spelling is not a proper variant, since neither the identity nor the meaning of the word is affected.]
[9] ο **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- אA,B,C [3%] NU
[10] τε **f**[35] [88%] HF,RP,OC ¦ δε אA,B,C [12%] TR,CP,NU
[11] ουδενα **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ ουδεν אA,B [2%] NU
[12] ἀνανιας **f**[35] [95%] RP,OC,TR,CP ¦ ἀνανιας [5%] HF,NU (This statement obtains for all occurrences of the name.)
[13] ο κυριος εν οραματι **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 3412 אA,B,C [4%] NU
[14] εν οραματι ανδρα **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 312 B,C [1%] [NU] ¦ 3 אA [2%] ¦ 12 [1%]
[15] ανανιαν ονοματι **f**[35] אA,B,C [20%] NU ¦ ~ 21 [80%] HF,RP,OC,TR,CP
[16] χειρα **f**[35] [91%] HF,RP,OC,TR,CP ¦ χειρας (א)A,C [3%] ¦ τας χειρας B [1%] [NU] ¦ χειραν [5%]
[17] δε **f**[35] אA,B,C [95%] HF,RP,OC,CP,NU ¦ 1 ο [5%] TR
[18] ακηκοα **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ηκουσα אA,B,C [3%] NU
[19] εποιησεν τοις αγιοις σου **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 2341 א(A)B,C [4%] NU
[20] μοι εστιν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 אA,B,C [5%] NU
[21] εθνων **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ 1 τε אA,B,C [5%] NU
[22] με **f**[35] [90%] HF,RP ¦ 1 ιησους 𝔓[45]אA,B,C [10%] OC,TR,CP,NU
[23] πλησθης *rell* ¦ πλησθεις [20%]

ἀπέπεσον[1] ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ[2] ὡσεὶ[3] λεπίδες, ἀνέβλεψέν τε παραχρῆμα·[4] καὶ ἀναστὰς ἐβαπτίσθη, **19** καὶ λαβὼν τροφὴν ἐνίσχυσεν. Ἐγένετο δὲ ὁ Σαῦλος[5] μετὰ τῶν[6] ἐν Δαμασκῷ μαθητῶν ἡμέρας τινάς.

Saul starts preaching

20 Καὶ εὐθέως ἐν ταῖς συναγωγαῖς ἐκήρυσσεν τὸν Ἰησοῦν,[7] ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ. **21** Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες καὶ ἔλεγον· «Οὐχ οὗτός ἐστιν ὁ πορθήσας, ἐν[8] Ἰερουσαλήμ, τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο; Καὶ ὧδε εἰς τοῦτο ἐλήλυθεν,[9] ἵνα δεδεμένους αὐτοὺς ἀγάγῃ[10] ἐπὶ τοὺς ἀρχιερεῖς.» **22** Σαῦλος[11] δὲ μᾶλλον ἐνεδυναμοῦτο καὶ συνέχυνεν[12] τοὺς[13] Ἰουδαίους τοὺς κατοικοῦντας ἐν Δαμασκῷ, συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός.

Saul escapes death

23 Ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναί, συνεβουλεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν· **24** ἐγνώσθη δὲ τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν. Παρετήρουν[14] τε[15] τὰς πύλας ἡμέρας τε[16] καὶ νυκτὸς ὅπως αὐτὸν ἀνέλωσιν· **25** λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ[17] νυκτός, καθῆκαν διὰ τοῦ τείχους,[18] χαλάσαντες ἐν σπυρίδι.

Barnabas vouches for Saul

26 Παραγενόμενος δὲ ὁ Σαῦλος[19] ἐν[20] Ἰερουσαλήμ, ἐπειρᾶτο[21] κολλᾶσθαι τοῖς μαθηταῖς· καὶ πάντες ἐφοβοῦντο αὐτόν, μὴ πιστεύοντες ὅτι ἐστὶν μαθητής. **27** Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν ἤγαγεν πρὸς τοὺς ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς πῶς ἐν τῇ ὁδῷ εἶδεν[22] τὸν Κύριον, καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ ἐπαρρησιάσατο ἐν τῷ ὀνόματι τοῦ Κυρίου[23] Ἰησοῦ. **28** Καὶ ἦν μετ᾽ αὐτῶν εἰσπορευόμενος καὶ ἐκπορευόμενος[24] ἐν[25] Ἰερουσαλήμ, καὶ[26] παρρησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ.[27] **29** Ἐλάλει[28] τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς· οἱ δὲ ἐπεχείρουν

---

[1] απεπεσον **f**[35] [91%] HF,RP,OC,TR,CP ¦ απεπεσαν ℵA,B,C [6%] NU ¦ απεπεσων [3%]
[2] απο των οφθαλμων αυτου **f**[35] ℵC [98%] HF,RP,OC,TR,CP ¦ ~ 4123 **𝔓**[45v]A,B [2%] NU
[3] ωσει **f**[35] C [97%] HF,RP,OC,TR,CP ¦ ως **𝔓**[45]ℵA,B [3%] NU
[4] παραχρημα **f**[35] [30%] TR,CP ¦ --- **𝔓**[45]ℵA,B,C [70%] HF,RP,OC,NU
[5] ο σαυλος **f**[35] [87%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [6%] NU ¦ 2 [7%]
[6] των **f**[35] ℵA,B,C [35%] HF,RP,TR,CP,NU ¦ 1 οντων [65%] OC
[7] ιησουν **f**[35] **𝔓**[45]ℵA,B,C [20%] OC,NU ¦ χριστον [80%] HF,RP,TR,CP [To teach that the Messiah was the Son of God would be 'old hat', no problem—but Saul was showing that Jesus was God's Son. Notice the end of verse 22, "this is the Christ"—what is the antecedent of "this"? To say that the Christ is the Christ would be stupid, which neither of the authors is.]
[8] εν **f**[35] B,C [99%] HF,RP,OC,TR,CP ¦ εις ℵA [1%] NU
[9] εληλυθεν **f**[35] [96%] HF,RP,OC ¦ εληλυθει ℵA,B,C [4%] TR,CP,NU
[10] αγαγη *rell* ¦ αναγαγη **𝔓**[45] [12%] ¦ απαγαγη [1%] ¦ αγαγει [7%]
[11] σαυλος *rell* ¦ παυλος [6%] CP
[12] συνεχυνεν **f**[35] **𝔓**[45]A [97%] HF,RP,OC,TR ¦ συνεχυννεν ℵB,C [1%] NU ¦ συνεχεε [2%] CP
[13] τους **f**[35] A,C [99%] HF,RP,OC,TR,CP[NU] ¦ --- ℵB [1%]
[14] παρετηρουν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ παρετηρουντο ℵA,B,C [5%] NU
[15] τε **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ δε και ℵA,B,C [4%] NU ¦ δε [2%]
[16] τε *rell* ¦ --- (A) [24%]
[17] αυτον οι μαθηται **f**[35] (87.1%) HF,RP,OC,TR,CP ¦ ~ 231 (3%) ¦ 123 δια της (1.9%) ¦ ~ 23 αυτου ℵA,B,C (1.9%) NU ¦ 23 (4.7%) ¦ 123 αυτου (0.8%) ¦ one other reading (0.6%)
[18] καθηκαν δια του τειχους **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 2341 αυτον (ℵ)A,B,C [5%] NU
[19] ο σαυλος **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ 1 παυλος [5%] ¦ --- ℵA,B,C [3%] NU
[20] εν **f**[35] [86%] HF,RP,CP ¦ εις **𝔓**[45]ℵA,B,C [14%] OC,TR,NU
[21] επειρατο **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ επειραζεν ℵA,B,C [2%] NU
[22] ειδεν *rell* ¦ ιδεν A [12%]
[23] κυριου **f**[35] (A) [45%] ¦ --- ℵB,C [55%] HF,RP,OC,TR,CP,NU
[24] και εκπορευομενος **f**[35] ℵA,B,C [20%] OC,TR,NU ¦ --- [80%] HF,RP,CP (An easy case of homoioteleuton.)
[25] εν **f**[35] [30%] OC,TR ¦ εις ℵA,B,C [70%] HF,RP,CP,NU
[26] και **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [4%] NU
[27] ιησου **f**[35] (C) [24%] ¦ κυριου 1 [67%] HF,RP,OC,TR,CP ¦ κυριου ℵA,B [8%] NU ¦ --- [1%]
[28] ελαλει *rell* ¦ ελαλη [25%]

ἀνελεῖν αὐτὸν.[1] **30** Ἐπιγνόντες[2] δὲ οἱ ἀδελφοί, κατήγαγον αὐτὸν εἰς Καισάρειαν καὶ ἐξαπέστειλαν[3] εἰς Ταρσόν.

A brief respite

31 Αἱ μὲν οὖν ἐκκλησίαι[4] καθ᾽ ὅλης τῆς Ἰουδαίας καὶ Γαλιλαίας, καὶ Σαμαρείας, εἶχον[5] εἰρήνην οἰκοδομούμεναι· καὶ πορευόμεναι[6] τῷ φόβῳ τοῦ Κυρίου καὶ τῇ παρακλήσει τοῦ Ἁγίου Πνεύματος ἐπληθύνοντο.[7]

Peter's ministry

32 Ἐγένετο δέ, Πέτρον διερχόμενον διὰ πάντων, κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν.[8]

Peter heals Aeneas

33 Εὗρεν δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν ὀνόματι[9] ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραββάτῳ,[10] ὃς ἦν παραλελυμένος. **34** Καὶ εἶπεν αὐτῷ ὁ Πέτρος· «Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ[11] Χριστός. Ἀνάστηθι καὶ στρῶσον σεαυτῷ.» Καὶ εὐθέως ἀνέστη. **35** Καὶ εἶδον[12] αὐτὸν πάντες οἱ κατοικοῦντες Λύδδαν[13] καὶ τὸν[14] Ἀσσάρωνα,[15] οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον.

Peter raises Dorcas

36 Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβηθά,[16] ἣ διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων[17] καὶ ἐλεημοσυνῶν ὧν ἐποίει. **37** Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν· λούσαντες δὲ αὐτὴν ἔθηκαν[18] ἐν τῷ[19] ὑπερῴῳ. **38** Ἐγγὺς δὲ οὔσης Λύδδης[20] τῇ Ἰόππῃ, οἱ μαθηταί, ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν[21] πρὸς αὐτὸν παρακαλοῦντες μὴ ὀκνῆσαι[22] διελθεῖν ἕως αὐτῶν.[23] **39** Ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον, καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ᾽ αὐτῶν οὖσα ἡ Δορκάς. **40** Ἐκβαλὼν δὲ ἔξω πάντας, ὁ Πέτρος[24] θεὶς τὰ γόνατα προσηύξατο, καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα εἶπεν,

---

[1] ανελειν αυτον **f**[35] א(A)B(C) [20%] NU ¦ ~ 21 [80%] HF,RP,OC,TR,CP

[2] επιγνοντες *rell* ¦ επιγνωντες [35%]

[3] εξαπεστειλαν **f**[35] A [20%] ¦ 1 αυτον אB,C [80%] HF,RP,OC,TR,CP,NU

[4] αι μεν ουν εκκλησιαι **f**[35] (91.7%) HF,RP,OC,TR,CP ¦ η 23 εκκλησια אA,B,C (8.3%) NU (This set and the next three go together, singular vs plural.)

[5] ειχον **f**[35] (91.9%) HF,RP,OC,TR,CP ¦ ειχεν אA,B,C (8.1%) NU

[6] οικοδομουμεναι και πορευομεναι **f**[35] (91.1%) HF,RP,OC,TR,CP ¦ οικοδομουμενοι 2 πορευομενοι (0.8%) ¦ οικοδομουμενη 2 πορευομενη אA,B,C (8.1%) NU

[7] επληθυνοντο **f**[35] (90.7%) HF,RP,OC,TR,CP ¦ επληθυνετο אA,B,C (9.3%) NU

[8] λυδδαν **f**[35] C [75%] HF,RP,OC,TR ¦ λυδδα (א)A,B [2%] NU ¦ λυδαν [23%] CP

[9] αινεαν ονοματι **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 אA,B(C) [4%] NU ¦ 1 [1%]

[10] κραββατω **f**[35] [43%] HF,RP,TR,CP ¦ κραβατω [16%] ¦ κραβαττω [22%] OC ¦ κραβαττου אA,B,C [2%] NU ¦ κραββατου [5%] ¦ three further spellings [2%]

[11] ο **f**[35] A [98%] HF,RP,OC,TR,CP ¦ --- אB,C [2%] NU

[12] ειδον *rell* ¦ ειδαν A,B,C [1%] NU ¦ ιδον [9%

[13] λυδδαν **f**[35] 𝔓[53]C [80%] HF,RP,OC,TR ¦ λυδδα אA,B [5%] NU ¦ λυδαν [15%] CP

[14] τον *rell* ¦ την CP ¦ --- 𝔓[53]א

[15] ασσαρωνα **f**[35] [65%] HF,RP ¦ σαρωνα 𝔓[53]B,C [17%] OC,NU ¦ σαρρωνα אA ¦ σαρωναν 𝔓[45] [5%] TR,CP ¦ ασαρωνα [12%]

[16] ταβηθα **f**[35] [54%] RP ¦ ταβιθα אA [45%] HF,OC,TR,CP,NU ¦ ταβειθα 𝔓[45,53]B,C [1%]

[17] αγαθων εργων **f**[35] 𝔓[53]אA [93%] HF,RP,OC,TR,CP ¦ ~ 21 𝔓[45]B,C [2%] NU ¦ 1 [5%]

[18] αυτην εθηκαν **f**[35] 𝔓[45,53]C [97%] HF,RP,OC,TR,CP ¦ ~ 21 אA [3%] [NU] ¦ 2 B

[19] τω **f**[35] 𝔓[53]A,C [20%] ¦ --- 𝔓[45]אB [80%] HF,RP,OC,TR,CP,NU ('the' upper room, of her house.)

[20] λυδδης **f**[35] [87%] HF,RP,OC,TR ¦ λυδδας 𝔓[53]אB,C [2%] NU ¦ λυδδα A ¦ λυνδα 𝔓[45v] ¦ λυδης [5%] CP ¦ λυδδη [5%]

[21] απεστειλαν **f**[35] [92%] HF,RP ¦ 1 δυο ανδρας 𝔓[45]אA,B,C [8%] OC,TR,CP,NU (OC is in small print.)

[22] οκνησαι **f**[35] 𝔓[45] [97%] HF,RP,OC,TR,CP ¦ οκνησης אA,B,C [3%] NU

[23] αυτων **f**[35] 𝔓[45v] [97%] HF,RP,OC,TR,CP ¦ ημων אA,B,C [3%] NU

[24] πετρος **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ 1 και 𝔓[45]אA,B,C [5%] NU

«Ταβηθά,[1] ἀνάστηθι.» Ἡ δὲ ἤνοιξεν τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισεν.[2] **41** Δοὺς δὲ αὐτῇ χεῖρα ἀνέστησεν αὐτήν, φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας παρέστησεν αὐτὴν ζῶσαν. **42** Γνωστὸν δὲ ἐγένετο καθ᾽ ὅλης τῆς Ἰόππης, καὶ πολλοὶ ἐπίστευσαν[3] ἐπὶ τὸν Κύριον. **43** Ἐγένετο δὲ αὐτὸν ἡμέρας ἱκανὰς μεῖναι[4] ἐν Ἰόππῃ παρά τινι Σίμωνι, βυρσεῖ.

The case of Cornelius

10:1 Ἀνὴρ δέ τις ἦν[5] ἐν Καισαρείᾳ ὀνόματι Κορνήλιος, ἑκατοντάρχης ἐκ σπείρας[6] τῆς καλουμένης Ἰταλικῆς, **2** εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν τε[7] ἐλεημοσύνας πολλὰς τῷ λαῷ καὶ δεόμενος τοῦ Θεοῦ διὰ παντός. **3** Εἶδεν ἐν ὁράματι φανερῶς, ὡσεὶ[8] ὥραν ἐνάτην[9] τῆς ἡμέρας, ἄγγελον τοῦ Θεοῦ εἰσελθόντα πρὸς αὐτὸν καὶ εἰπόντα αὐτῷ, «Κορνήλιε.» **4** Ὁ δέ, ἀτενίσας αὐτῷ καὶ ἔμφοβος γενόμενος, εἶπεν, «Τί ἐστιν, Κύριε;» Εἶπεν δὲ αὐτῷ· «Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον[10] τοῦ Θεοῦ. **5** Καὶ νῦν πέμψον εἰς Ἰόππην ἄνδρας[11] καὶ μετάπεμψαι Σίμωνα,[12] ὃς ἐπικαλεῖται Πέτρος·[13] **6** οὗτος ξενίζεται παρά τινι Σίμωνι, βυρσεῖ, ᾧ ἐστιν οἰκία παρὰ θάλασσαν.»[14] **7** Ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ[15] λαλῶν τῷ Κορνηλίῳ,[16] φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ[17] καὶ στρατιώτην εὐσεβῆ τῶν προσ-καρτερούντων αὐτῷ, **8** καὶ ἐξηγησάμενος αὐτοῖς ἅπαντα[18] ἀπέστειλεν αὐτοὺς εἰς τὴν[19] Ἰόππην.

God prepares Peter

9 Τῇ δὲ ἐπαύριον, ὁδοιπορούντων ἐκείνων καὶ τῇ πόλει ἐγγιζόντων, ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην. **10** Ἐγένετο δὲ πρόσπεινος καὶ ἤθελεν γεύσασθαι· παρα-σκευαζόντων δὲ ἐκείνων,[20] ἐπέπεσεν[21] ἐπ᾽ αὐτὸν ἔκστασις, **11** καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγ-μένον, καὶ καταβαῖνον ἐπ᾽ αὐτὸν[22] σκεῦός τι ὡς ὀθόνην μεγάλην—τέσσαρσιν ἀρχαῖς δεδεμένον, καὶ καθιέμενον[23] ἐπὶ τῆς γῆς— **12** ἐν ᾧ ὑπῆρχεν πάντα τὰ τετράποδα τῆς γῆς (καὶ τὰ θηρία καὶ τὰ ἑρπετά) καὶ τὰ πετεινὰ[24] τοῦ οὐρανοῦ. **13** Καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν, «Ἀναστάς, Πέτρε, θῦσον

---

[1] ταβηθα **f**[35] [50%] RP ¦ ταβιθα ℵA,C [50%] HF,OC,TR,CP,NU ¦ ταβειθα B
[2] ανεκαθισεν *rell* ¦ ανεκαθησεν [15%] ¦ ανεκαθεισεν A ¦ ανεκαθισαι [5%]
[3] πολλοι επιστευσαν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 21 **𝔓**[53]ℵA,B,C [4%] NU
[4] αυτον ημερας ικανας μειναι **f**[35] A [20%] ¦ ~ 2341 [79%] HF,RP,OC,TR,CP ¦ 234 **𝔓**[53]ℵB [1%] NU ¦ ~ 2 τινας 41 C
[5] ην **f**[35] [65%] HF,RP,TR,CP ¦ --- ℵA,B,C [35%] OC,NU
[6] σπειρας **f**[35] B [45%] ¦ σπειρης ℵA,C [55%] HF,RP,OC,TR,CP,NU
[7] τε **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [4%] NU
[8] ωσει **f**[35] [85%] HF,RP,OC,TR ¦ 1 περι A,B,C [5%] NU ¦ ως [6%] CP ¦ ως περι ℵ [3%] ¦ περι [1%]
[9] ενατην **f**[35] ℵA,B,C [65%] HF,RP,OC,NU ¦ εννατην [35%] CP,TR
[10] ενωπιον **f**[35] C [97%] HF,RP,OC,TR,CP ¦ εμπροσθεν ℵA,B [3%] NU
[11] εις ιοππην ανδρας **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 312 ℵA,B,C [5%] NU
[12] σιμωνα **f**[35] ℵ [97%] HF,RP,OC,TR ¦ 1 τινα A,B,C [3%] CP,NU
[13] ος επικαλειται πετρος **f**[35] ℵ(A)B,C [20%] CP,TR,NU ¦ τον επικαλουμενον πετρον [80%] HF,RP,OC
[14] θαλασσαν *rell* ¦ 1 ουτος λαλησει σοι τι σε δει ποιειν TR
[15] ο *rell* ¦ --- [30%]
[16] τω κορνηλιω **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ αυτω ℵA,B,C [5%] NU
[17] αυτου **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [3%] NU
[18] αυτοις απαντα **f**[35] C [96%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B [4%] NU
[19] την *rell* ¦ --- [8%] CP
[20] εκεινων **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ αυτων **𝔓**[45]ℵA,B,C [7%] NU
[21] επεπεσεν **f**[35] (78.4%) HF,RP,OC,TR,CP ¦ επεσεν (10.4%) ¦ εγενετο ℵA,B,C (11%) NU ¦ ηλθεν **𝔓**[45]
[22] καταβαινον επ αυτον **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ 1 ℵA,B,C [7%] NU ¦ --- **𝔓**[45] [1%]
[23] δεδεμενον και καθιεμενον **f**[35] (**𝔓**[45])(C) (92.5%) HF,RP,OC,TR,CP ¦ 3 ℵA(B) (4.1%) NU ¦ 1 (1.1%) ¦ δεδεμενην 2 καθιεμενην (1.3%) ¦ conflations (0.9%) ¦ one other variant (0.2%)
[24] τετραποδα της γης και τα θηρια και τα ερπετα και τα πετεινα **f**[35] (80.9%) HF,RP,OC,TR,CP ¦ ~ 1,4-9,2-3, 10-12 C (7.5%) ¦ ~ 1,7-9,2-3,10-12 (4.3%) ¦ ~ 1,7,9,2-3,10,12 **𝔓**[45v]ℵA,B (1.5%) NU ¦ 1,2-5,9-12 (0.6%) ¦ six variations place the five nouns—quadrupeds, earth, beasts, reptiles, birds—in different sequences (3%) ¦ two conflations (0.9%) ¦ two other variants (1.3%)

καὶ φάγε.» **14** Ὁ δὲ Πέτρος εἶπεν· «Μηδαμῶς, Κύριε· ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ[1] ἀκάθαρτον.» **15** Καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν, «Ἃ ὁ Θεὸς ἐκαθάρισεν, σὺ μὴ κοίνου.» **16** Τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς,[2] καὶ πάλιν[3] ἀνελήφθη[4] τὸ σκεῦος εἰς τὸν οὐρανόν.

The messengers arrive

17 Ὡς δὲ ἐν ἑαυτῷ διηπόρει ὁ Πέτρος τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδεν, καὶ[5] ἰδού, οἱ ἄνδρες οἱ ἀπεσταλμένοι ὑπὸ[6] τοῦ Κορνηλίου, διερωτήσαντες[7] τὴν οἰκίαν[8] Σίμωνος, ἐπέστησαν ἐπὶ τὸν πυλῶνα, **18** καὶ φωνήσαντες ἐπυνθάνοντο εἰ Σίμων, ὁ[9] ἐπικαλούμενος[10] Πέτρος, ἐνθάδε ξενίζεται. **19** Τοῦ δὲ Πέτρου διενθυμουμένου[11] περὶ τοῦ ὁράματος εἶπεν αὐτῷ τὸ Πνεῦμα·[12] «Ἰδού, ἄνδρες[13] ζητοῦσίν[14] σε· **20** ἀλλὰ[15] ἀναστὰς κατάβηθι, καὶ πορεύου σὺν αὐτοῖς μηδὲν διακρινόμενος, διότι[16] ἐγὼ ἀπέσταλκα αὐτούς.» **21** Καταβὰς δὲ[17] Πέτρος πρὸς τοὺς ἄνδρας,[18] εἶπεν·[19] «Ἰδού, ἐγώ εἰμι ὃν ζητεῖτε. Τίς ἡ αἰτία δι᾽ ἣν πάρεστε;» **22** Οἱ δὲ εἶπον·[20] «Κορνήλιος, ἑκατοντάρχης, ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν Θεόν, μαρτυρούμενός τε ὑπὸ ὅλου[21] τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου[22] μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ.» **23** Εἰσκαλεσάμενος οὖν αὐτοὺς ἐξένισεν.

On to Caesarea

Τῇ δὲ ἐπαύριον[23] ὁ Πέτρος[24] ἐξῆλθεν σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ[25] Ἰόππης συνῆλθον αὐτῷ· **24** καὶ τῇ[26] ἐπαύριον εἰσῆλθον[27] εἰς τὴν Καισάρειαν. Ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτούς, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους. **25** Ὡς δὲ ἐγένετο τοῦ[28] εἰσελθεῖν τὸν Πέτρον,[29] συναντήσας αὐτῷ ὁ Κορνήλιος, πεσὼν ἐπὶ τοὺς πόδας προσεκύνησεν. **26** Ὁ δὲ Πέτρος ἤγειρεν αὐτόν,[30] λέγων· «Ἀνάστηθι· κἀγὼ αὐτὸς[31] ἄνθρωπός

---

[1] η **f**[35] C [95%] HF,RP,OC,TR,CP ¦ και **𝔓**[45]ℵA,B [5%] NU
[2] τρις *rell* ¦ τρεις ℵA [25%]
[3] παλιν **f**[35] (D) [96%] HF,RP,OC,TR,CP ¦ ευθυς ℵA,B,C [4%] NU ¦ --- **𝔓**[45] [1%]
[4] ανεληφθη **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ανελημφθη **𝔓**[45]ℵA,B(D) [3%] NU
[5] και **f**[35] C,D [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[45]ℵA,B [4%] NU
[6] υπο **f**[35] ℵB [30%] NU ¦ απο A,C,D [70%] HF,RP,OC,TR,CP
[7] διερωτησαντες **f**[35] **𝔓**[45]ℵA,B,C,D [95%] HF,RP,OC,TR,NU ¦ 1 και μαθοντες [5%] CP
[8] οικιαν **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ 1 του **𝔓**[45]ℵA,B,C,D [8%] NU
[9] ο *rell* ¦ --- CP
[10] επικαλουμενος *rell* ¦ καλουμενος [12%]
[11] διενθυμουμενου *rell* ¦ ενθυμουμενου [5%] TR ¦ διενθυμενου ℵ
[12] αυτω το πνευμα **f**[35] **𝔓**[45]D,0244 (95.8%) HF,RP,OC,TR,CP[NU] ¦ ~ 231 ℵA(C) (4%) ¦ 23 B
[13] ανδρες **f**[35] D [95%] HF,RP ¦ 1 τρεις (ℵ)A(C) [5%] OC,TR,CP,NU ¦ 1 δυο B (OC is in small print)
[14] ζητουσιν **f**[35] **𝔓**[45]A,C,D [98%] HF,RP,OC,TR,CP ¦ ζητουντες ℵB [2%] NU
[15] αλλα *rell* ¦ αλλ [13%]
[16] διοτι **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ οτι ℵA,B,C,D [10%] NU
[17] δε *rell* ¦ 1 ο (D) [10%]
[18] τους ανδρας **f**[35] **𝔓**[45v]ℵA,B [65%] HF,RP,OC,NU ¦ αυτους C ¦ 12 τους απεσταλμενους απο (+του [5%] TR) κορνηλιου προς αυτον (αυτους [15%]) (−π.α. CP) [35%] (CP)(TR)
[19] ειπεν *rell* ¦ 1 προς αυτους CP
[20] ειπον *rell* ¦ ειπαν ℵA,B,C [2%] NU
[21] ολου *rell* ¦ οχλου CP
[22] αγγελου **f**[35] [20%] ¦ 1 αγιου ℵA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU
[23] επαυριον **f**[35] [80%] HF,RP,TR,CP ¦ 1 αναστας **𝔓**[45]ℵA,B,C,D [20%] OC,NU
[24] ο πετρος **f**[35] C [92%] HF,RP,TR,CP ¦ --- ℵA,B,D [8%] OC,NU
[25] απο **f**[35] ℵA,B,C,D [95%] HF,RP,CP,NU ¦ 1 της [5%] OC,TR (OC is in small print)
[26] και τη **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 2 δε ℵA,B,C,D [4%] NU
[27] εισηλθον **f**[35] A [89%] HF,RP,OC,TR,CP ¦ εισηλθεν B,D [10%] NU ¦ εισηλθαν ℵC [1%]
[28] του **f**[35] ℵA,B,C (87.6%) HF,RP,OC,NU ¦ --- (12.2%) TR,CP ¦ a long addition D
[29] εισελθειν τον πετρον **f**[35] (ℵ)(A)B,C (81.9%) HF,RP,OC,TR,NU ¦ 13 (1.7%) ¦ ελθειν 23 (15%) CP ¦ ελθειν 3 (1.3%) ¦ a long addition D
[30] ηγειρεν αυτον **f**[35] ℵA,B,C,D [25%] HF,CP,NU ¦ ~ 21 [75%] RP,OC,TR
[31] καγω αυτος **f**[35] A [93%] HF,RP,OC,TR,CP ¦ και εγω 2 ℵB [1%] NU ¦ και 2 εγω C ¦ 1 D ¦ και γαρ εγω 2 [4%] ¦ και

εἰμι.» **27** Καὶ συνομιλῶν αὐτῷ εἰσῆλθεν, καὶ εὑρίσκει συνεληλυθότας πολλούς. **28** Ἔφη τε πρὸς αὐτούς· «Ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν[1] ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ· καὶ ἐμοὶ[2] ὁ Θεὸς ἔδειξεν μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον. **29** Διὸ καὶ ἀναντιρρήτως ἦλθον μεταπεμφθείς. Πυνθάνομαι οὖν, τίνι λόγῳ μετεπέμψασθέ[3] με;»

30 Καὶ ὁ Κορνήλιος ἔφη· «Ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην νηστεύων· καὶ τὴν[4] ἐνάτην[5] ὥραν[6] προσευχόμενος ἐν τῷ οἴκῳ μου, καὶ ἰδού, ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ **31** καί φησιν· ‹Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχὴ καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ Θεοῦ. **32** Πέμψον οὖν εἰς Ἰόππην καὶ μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος. Οὗτος ξενίζεται ἐν οἰκίᾳ Σίμωνος, βυρσέως, παρὰ θάλασσαν· ὃς παραγενόμενος λαλήσει σοι.›[7] **33** Ἐξαυτῆς οὖν ἔπεμψα πρός σε, σύ τε καλῶς ἐποίησας παραγενόμενος. Νῦν οὖν, πάντες ἡμεῖς ἐνώπιον τοῦ Θεοῦ πάρεσμεν ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ.»[8]

Peter preaches

34 Ἀνοίξας δὲ Πέτρος τὸ στόμα[9] εἶπεν· «Ἐπ᾽ ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ ἔστιν προσωπολήπτης[10] ὁ Θεός, **35** ἀλλ᾽ ἐν παντὶ ἔθνει[11] ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν. **36** Τὸν λόγον ὃν[12] ἀπέστειλεν τοῖς υἱοῖς Ἰσραήλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ—οὗτός ἐστιν πάντων Κύριος—**37** ὑμεῖς οἴδατε, τὸ γενόμενον ῥῆμα καθ᾽ ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον[13] ἀπὸ τῆς Γαλιλαίας, μετὰ τὸ βάπτισμα, ὃ ἐκήρυξεν Ἰωάννης· **38** Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ,[14] ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι Ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου, ὅτι ὁ Θεὸς ἦν μετ᾽ αὐτοῦ **39**—καὶ ἡμεῖς ἐσμεν[15] μάρτυρες πάντων ὧν ἐποίησεν, ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων καὶ ἐν[16] Ἰερουσαλήμ—ὃν καὶ[17] ἀνεῖλον,[18] κρεμάσαντες ἐπὶ ξύλου. **40** Τοῦτον ὁ Θεὸς ἤγειρεν[19] τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι, **41** οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσιν τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ, ἡμῖν, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν. **42** Καὶ παρήγγειλεν ἡμῖν κηρῦξαι τῷ λαῷ, καὶ διαμαρτύρασθαι ὅτι αὐτός[20] ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ Κριτὴς ζώντων καὶ νεκρῶν. **43** Τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν.»

The Holy Spirit falls

44 Ἔτι[21] λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἐπέπεσεν τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ πάντας

γαρ εγω [1%]

[1] αθεμιτον *rell* ¦ αθεμητον [12%] ¦ αθεμιστον D

[2] και εμοι **f**^{35} [96%] HF,RP,OC,TR,CP ¦ καμοι ℵA,B,C,D [4%] NU

[3] μετεπεμψασθε *rell* ¦ μετεπεμψασθαι ℵA,D [15%]

[4] νηστευων και την **f**^{35} **𝔓**^{50} (95.2%) HF,RP,OC,TR,CP ¦ 13 D (0.4%) ¦ 1 (1.1%) ¦ 3 ℵA,B,C (3.4%) NU

[5] ενατην *rell* ¦ εννατην [35%] CP,TR

[6] ωραν **f**^{35} (94.7%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**^{50}ℵA,B,C (4%) NU ¦ και (1.1%) ¦ τε D

[7] ος παραγενομενος λαλησει σοι **f**^{35} C,D (94.1%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**^{45}ℵA,B (4.6%) NU ¦ three other variants (1.3%)

[8] θεου **f**^{35} D [95%] HF,RP,OC,TR,CP ¦ κυριου **𝔓**^{45}ℵA,B,C [5%] NU

[9] στομα *rell* ¦ 1 αυτου A,C [5%] OC (in small print)

[10] προσωποληπτης *rell* ¦ προσωπολημπτης **𝔓**^{45}ℵA,B,C,D [3%] NU ¦ three further spellings

[11] εθνει *rell* ¦ εθνη [25%] ¦ εθνι ℵD

[12] ον **f**^{35} ℵC,D [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- A,B [2%]

[13] αρξαμενον **f**^{35} **𝔓**^{45} [93%] HF,RP,OC,TR,CP ¦ αρξαμενος ℵ(A)B,C(D) [7%] NU

[14] ναζαρετ **f**^{35} A [80%] HF,RP,OC,TR,CP ¦ ναζαρεθ **𝔓**^{45}ℵB,C,D [20%] NU

[15] εσμεν **f**^{35} [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [4%] NU

[16] εν **f**^{35} ℵA,C [95%] HF,RP,OC,TR,CP[NU] ¦ --- B,D [5%]

[17] και **f**^{35} ℵA,B,C [95%] HF,RP,OC,CP,NU ¦ --- [5%] TR

[18] ανειλον *rell* ¦ ανειλαν (ℵ)A,B,C,D [4%] NU

[19] ηγειρεν **f**^{35} A,B [99%] HF,RP,OC,TR,CP ¦ 1 εν ℵC [1%] [NU] ¦ 1 μετα (D)

[20] αυτος **f**^{35} ℵA [90%] HF,RP,OC,TR,CP ¦ ουτος B,C,D [10%] NU

[21] ετι *rell* ¦ 1 δε [15%]

τοὺς ἀκούοντας τὸν λόγον. **45** Καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοὶ ὅσοι συνῆλθον[1] τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ Ἁγίου Πνεύματος ἐκκέχυται· **46** ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις καὶ μεγαλυνόντων τὸν Θεόν. Τότε ἀπεκρίθη ὁ[2] Πέτρος· **47** «Μήτι τὸ ὕδωρ κωλῦσαι δύναταί τις[3] τοῦ μὴ βαπτισθῆναι τούτους οἵτινες τὸ Πνεῦμα τὸ Ἅγιον ἔλαβον ὡς[4] καὶ ἡμεῖς;» **48** Προσέταξέν τε[5] αὐτοὺς βαπτισθῆναι ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ.[6] Τότε ἠρώτησαν αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς.

Peter has to explain

11:1 Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ Θεοῦ. **2** Καὶ ὅτε[7] ἀνέβη Πέτρος εἰς Ἱεροσόλυμα,[8] διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς, **3** λέγοντες ὅτι «Εἰσῆλθες πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας καὶ συνέφαγες[9] αὐτοῖς.»

4 Ἀρξάμενος δὲ ὁ[10] Πέτρος ἐξετίθετο αὐτοῖς καθεξῆς λέγων· **5** «Ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος, καὶ εἶδον ἐν ἐκστάσει ὅραμα· καταβαῖνον σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς καθιεμένην, ἐκ τοῦ οὐρανοῦ, καὶ ἦλθεν ἄχρις[11] ἐμοῦ· **6** εἰς ἣν ἀτενίσας κατενόουν καὶ εἶδον τὰ τετράποδα τῆς γῆς[12]—καὶ τὰ θηρία καὶ τὰ ἑρπετά—καὶ τὰ πετεινὰ[13] τοῦ οὐρανοῦ. **7** Ἤκουσα δὲ[14] φωνῆς λεγούσης μοι, ‹Ἀναστάς, Πέτρε, θῦσον καὶ φάγε.› **8** Εἶπον δέ· ‹Μηδαμῶς, Κύριε· ὅτι πᾶν[15] κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου.› **9** Ἀπεκρίθη δέ μοι[16] ἐκ δευτέρου φωνὴ[17] ἐκ τοῦ οὐρανοῦ, ‹Ἃ ὁ Θεὸς ἐκαθάρισεν σὺ μὴ κοίνου.› **10** Τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνεσπάσθη[18] ἅπαντα εἰς τὸν οὐρανόν. **11** Καὶ ἰδού, ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἤμην,[19] ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός με. **12** Εἶπεν δέ μοι τὸ Πνεῦμα[20] συνελθεῖν αὐτοῖς, μηδὲν διακρινόμενον.[21] Ἦλθον δὲ σὺν ἐμοὶ καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι, καὶ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀνδρός. **13** Ἀπήγγειλέν δὲ[22] ἡμῖν πῶς εἶδεν τὸν[23] ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ σταθέντα καὶ εἰπόντα αὐτῷ,[24] ‹Ἀπόστειλον εἰς Ἰόππην[25] καὶ μετάπεμψαι Σίμωνα, τὸν

---

[1] συνηλθον *rell* ¦ συνηλθαν ℵB,NU
[2] ο **f**[35] D [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [3%] NU
[3] κωλυσαι δυναται τις **f**[35] (88.1%) HF,RP,OC,TR,CP ¦ ~ 231 (7.4%) ¦ ~ 213 ℵA,B (3.2%) NU ¦ ~ 132 (D) (0.6%) ¦ two other readings (0.6%)
[4] ως **f**[35] ℵA,B [25%] NU ¦ καθως [75%] HF,RP,OC,TR,CP ¦ ωσπερ D
[5] τε **f**[35] A [95%] HF,RP,OC,TR,CP ¦ δε ℵB [5%] NU ¦ τοτε (D)
[6] βαπτισθηναι εν τω ονοματι του κυριου ιησου **f**[35] [35%] CP ¦ 123456 [57%] HF,RP,OC,TR ¦ 12347 χριστου [5%] ¦ ~ 2347 χριστου 1 ℵA,B [2%] NU ¦ 1234567 χριστου D [1%]
[7] και οτε **f**[35] (90.7%) HF,RP,OC,TR,CP ¦ 1 οτι (1.1%) ¦ ~ 2 δε ℵA,B (7.6%) NU ¦ conflation (0.4%) ¦ a long addition D
[8] ιεροσολυμα **f**[35] D [98%] HF,RP,OC,TR,CP ¦ ιερουσαλημ 𝔓[45]ℵA,B [2%] NU
[9] εισηλθες προς ανδρας ακροβυστιαν εχοντες και συνεφαγες **f**[35] ℵA,D [20%] NU ¦ ~ 2345167 [71%] HF,RP,OC, TR,CP ¦ ~ 234516 συνεφαγεν [8%] ¦ εισηλθεν 23456 συνεφαγεν 𝔓[45v]B [1%]
[10] ο **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[45]ℵA,B,D [5%] NU
[11] ο **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[45]ℵA,B,D [5%] NU
[12] της γης *rell* ¦ --- [20%]
[13] πετεινα *rell* ¦ πετηνα [20%] ¦ πετινα ℵ [1%]
[14] δε **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ 1 και ℵA,B [5%] NU
[15] παν **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[45]ℵA,B,D [5%] NU ¦ τι [1%]
[16] μοι **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[45]ℵA,B,D [3%] NU
[17] εκ δευτερου φωνη **f**[35] B [20%] ¦ ~ 312 𝔓[45]ℵA [80%] HF,RP,OC,TR,CP,NU ¦ 3 D
[18] παλιν ανεσπασθη **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B,D [3%] NU
[19] ημην **f**[35] 𝔓[45] [90%] HF,RP,OC,TR,CP ¦ ημεν ℵA,B,D [5%] NU ¦ ημιν [5%]
[20] μοι το πνευμα **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ~ 231 𝔓[45]ℵA,B,D [3%] NU
[21] διακρινομενον **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ διακριναντα A(B) [3%] NU ¦ διακρινοντα ℵ [2%] ¦ διακρινομενος [5%] ¦ --- D
[22] δε **f**[35] ℵA,B,D [30%] NU ¦ τε [70%] HF,RP,OC,TR,CP
[23] τον **f**[35] ℵA,B [99%] HF,RP,OC,TR,CP[NU] ¦ --- 𝔓[45]D [1%]
[24] αυτω **f**[35] D [98%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [2%] NU
[25] ιοππην **f**[35] ℵA,B,D [20%] NU ¦ 1 ανδρας [80%] HF,RP,OC,TR,CP

ἐπικαλούμενον Πέτρον, **14** ὃς λαλήσει ῥήματα πρός σε ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου.› **15** Ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν, ἐπέπεσεν τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ᾽ αὐτούς, ὥσπερ καὶ ἐφ᾽ ἡμᾶς ἐν ἀρχῇ. **16** Ἐμνήσθην[1] δὲ τοῦ ῥήματος τοῦ[2] Κυρίου, ὡς ἔλεγεν ὅτι[3] ‹Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε[4] ἐν Πνεύματι Ἁγίῳ.› **17** Εἰ οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ Θεὸς ὡς καὶ ἡμῖν πιστεύσασιν ἐπὶ τὸν Κύριον Ἰησοῦν,[5] ἐγὼ[6] τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεόν;» **18** Ἀκούσαντες δὲ ταῦτα ἡσύχασαν καὶ ἐδόξαζον[7] τὸν Θεόν, λέγοντες, «Ἄραγε[8] καὶ τοῖς ἔθνεσιν ὁ Θεὸς τὴν μετάνοιαν ἔδωκεν εἰς ζωήν.»[9]

Enter Barnabas

19 Οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον Ἰουδαίοις. **20** Ἦσαν δέ τινες ἐξ αὐτῶν, ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες εἰσελθόντες[10] εἰς Ἀντιόχειαν ἐλάλουν[11] πρὸς τοὺς Ἕλληνιστάς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν. **21** Καὶ ἦν χεὶρ Κυρίου μετ᾽ αὐτῶν,[12] πολύς τε ἀριθμὸς[13] πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν Κύριον. **22** Ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς[14] ἐν Ἰεροσολύμοις[15] περὶ αὐτῶν, καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν[16] ἕως Ἀντιοχείας·[17] **23** ὃς παραγενόμενος καὶ ἰδὼν τὴν χάριν[18] τοῦ Θεοῦ ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ **24** (ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης Πνεύματος Ἁγίου καὶ πίστεως). Καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ.

25 Ἐξῆλθεν δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας[19] ἀναζητῆσαι Σαῦλον, **26** καὶ εὑρὼν[20] ἤγαγεν[21] εἰς Ἀντιόχειαν. Ἐγένετο δὲ αὐτοὺς[22] ἐνιαυτὸν ὅλον συναχθῆναι[23] τῇ ἐκκλησίᾳ καὶ διδάξαι ὄχλον ἱκανόν. Χρηματίσαι τε πρῶτον[24] ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς Χριστιανούς.

Enter Agabus

27 Ἐν ταύταις δὲ ταῖς ἡμέραις, κατῆλθον ἀπὸ Ἰεροσολύμων προφῆται εἰς Ἀντιόχειαν. **28** Ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν ὀνόματι Ἄγαβος, ἐσήμανεν διὰ τοῦ Πνεύματος λιμὸν μέγαν[25] μέλλειν

---

[1] εμνησθην *rell* ¦ εμνησθη [13%] ¦ εμνησθημεν A
[2] του **f**^{35} ℵA,B,D [40%] NU ¦ --- [60%] HF,RP,OC,TR,CP
[3] οτι **f**^{35} [25%] ¦ --- ℵA,B,D [75%] HF,RP,OC,TR,CP,NU
[4] βαπτισθησεσθε *rell* ¦ βαπτισθησεσθαι ℵA,D [10%]
[5] ιησουν **f**^{35} [25%] ¦ 1 χριστον ℵA,B,D [75%] HF,RP,OC,TR,CP,NU
[6] εγω **f**^{35} ℵA,B [20%] NU ¦ 1 δε [80%] HF,RP,OC,TR,CP
[7] εδοξαζον **f**^{35} A [70%] HF,RP,OC,TR,CP ¦ εδοξασαν ℵB [30%] NU ¦ εδοξαν D
[8] αραγε **f**^{35} [96%] HF,RP,OC,TR,CP ¦ αρα ℵA,B,D [4%] NU
[9] εδωκεν εις ζωην **f**^{35} [96%] HF,RP,OC,TR,CP ¦ ~ 231 ℵA,B,D [4%] NU
[10] εισελθοντες **f**^{35} [90%] HF,RP,OC,TR,CP ¦ ελθοντες ℵA,B,D [10%] NU
[11] ελαλουν **f**^{35} D [97%] HF,RP,OC,TR,CP ¦ 1 και ℵA,B [3%] NU
[12] αυτων *rell* ¦ 1 του ιασθαι αυτους [5%] CP
[13] αριθμος **f**^{35} D [98%] HF,RP,OC,TR,CP ¦ 1 ο ℵA,B [2%] NU
[14] της **f**^{35} A,D [85%] HF,RP,OC,TR,CP ¦ 1 ουσης ℵB [15%] NU
[15] ιεροσολυμοις **f**^{35} [95%] HF,RP,OC,TR,CP ¦ ιερουσαλημ 𝔓^{45}ℵA,B,D [5%] NU
[16] διελθειν **f**^{35} D [97%] HF,RP,OC,TR,CP[NU] ¦ --- ℵA,B [3%]
[17] εως αντιοχειας *rell* ¦ εις αντιοχειαν CP
[18] χαριν **f**^{35} D [99%] HF,RP,OC,TR,CP ¦ 1 την ℵA,B [1%] [NU]
[19] ο βαρναβας **f**^{35} [96%] HF,RP,OC,TR,CP ¦ --- 𝔓^{45}ℵA,B(D) [4%] NU
[20] ευρων **f**^{35} ℵA,B,D [25%] HF,RP,NU ¦ 1 αυτον [75%] OC,TR,CP
[21] ηγαγεν **f**^{35} 𝔓^{45}ℵA,B,D [40%] NU ¦ 1 αυτον [60%] HF,RP,OC,TR,CP (OC is in small print)
[22] αυτους **f**^{35} [92%] HF,RP,OC,TR,CP ¦ αυτοις 𝔓^{45} [4%] ¦ αυτοις και ℵA,B [4%] NU ¦ οιτινες D
[23] συναχθηναι **f**^{35} (D) [80%] HF,RP ¦ 1 εν **f**^{35pt} 𝔓^{45}ℵA,B [20%] OC,TR,CP,NU (OC is in small print) [Since Greek nouns and adjectives have case endings, that signal grammatical function, a preposition is often implicit in the case ending, as in this case. Making the preposition explicit affects neither the meaning nor a translation, so we have two ways of saying the same thing. If the longer form were original, why would anyone delete the preposition? Adding the preposition to the shorter form would be a 'natural'.]
[24] πρωτον **f**^{35} A(D) [98%] HF,RP,OC,TR,CP ¦ πρωτος 𝔓^{45}ℵB [2%] NU
[25] μεγαν **f**^{35} D [96%] HF,RP,OC,TR,CP ¦ μεγαλην 𝔓^{45}ℵA,B [4%] NU

ἔσεσθαι ἐφ᾽ ὅλην τὴν οἰκουμένην (ὅστις[1] καὶ[2] ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος).[3] **29** Τῶν δὲ μαθητῶν, καθὼς εὐπορεῖτό[4] τις, ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς· **30** ὃ καὶ ἐποίησαν ἀποστείλαντες πρὸς τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου.

Enter Herod

12:1 Κατ᾽ ἐκεῖνον δὲ τὸν καιρόν, ἐπέβαλεν Ἡρῴδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας. **2** Ἀνεῖλεν δὲ Ἰάκωβον, τὸν ἀδελφὸν Ἰωάννου, μαχαίρᾳ.[5] **3** Καὶ ἰδὼν[6] ὅτι ἀρεστόν ἐστιν τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον (ἦσαν δὲ αἱ[7] ἡμέραι τῶν ἀζύμων) **4**—ὃν καὶ πιάσας ἔθετο εἰς φυλακήν, παραδοὺς τέσσαρσιν τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτόν, βουλόμενος μετὰ τὸ Πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ.

Enter angel

5 Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ, προσευχὴ δὲ ἦν ἐκτενὴς[8] γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ[9] αὐτοῦ. **6** Ὅτε δὲ ἔμελλεν[10] προάγειν αὐτὸν[11] ὁ Ἡρῴδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν, δεδεμένος ἁλύσεσιν δυσίν, φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν. **7** Καὶ ἰδού, ἄγγελος Κυρίου ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου, ἤγειρεν αὐτὸν λέγων, «Ἀνάστα ἐν τάχει,» καὶ ἐξέπεσον[12] αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν. **8** Εἶπέν τε[13] ὁ ἄγγελος πρὸς αὐτόν, «Περίζωσαι[14] καὶ ὑπόδησαι τὰ σανδάλιά σου.» Ἐποίησεν δὲ οὕτως. Καὶ λέγει αὐτῷ, «Περιβαλοῦ τὸ ἱμάτιόν σου καὶ ἀκολούθει μοι.» **9** Καὶ ἐξελθὼν ἠκολούθει[15] αὐτῷ,[16] καὶ οὐκ ᾔδει[17] ὅτι ἀληθές ἐστιν τὸ γινόμενον[18] διὰ[19] τοῦ ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν. **10** Διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον[20] ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη[21] ἠνοίχθη[22] αὐτοῖς· καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ᾽ αὐτοῦ.

Enter Rhoda

11 Καὶ ὁ Πέτρος, γενόμενος ἐν ἑαυτῷ,[23] εἶπεν, «Νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλεν[24] Κύριος

---

[1] οστις **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ητις ℵA,B,D [5%] NU
[2] και **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [5%] NU
[3] καισαρος **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[45]ℵA,B,D [3%] NU
[4] ευπορειτο **f**[35] A,B [71%] HF,RP,CP,NU ¦ ηυπορειτο [25%] OC,TR ¦ ευπορουντο D ¦ ευποριτο ℵ ¦ four other variants [3%]
[5] μαχαιρα **f**[35] D [98%] HF,RP,OC,TR,CP ¦ μαχαιρη ℵA,B [2%] NU
[6] και ιδων **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ ~ 2 δε 𝔓[45]ℵA,B [5%] NU
[7] αι **f**[35] A,D [50%] HF,RP,OC[NU] ¦ --- 𝔓[45v]ℵB [50%] TR,CP
[8] εκτενης **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ εκτενως ℵA,B [2%] NU ¦ εν εκτενεια D
[9] υπερ **f**[35] A [95%] HF,RP,OC,TR ¦ περι ℵB,D [5%] CP,NU
[10] εμελλεν **f**[35] A,D [65%] HF,RP,OC,TR,CP ¦ ημελλεν ℵB [35%] NU
[11] προαγειν αυτον **f**[35] D [25%] ¦ ~ 21 [58%] HF,RP,OC,TR ¦ προαγαγειν 2 A [2%] CP,NU ¦ προσαγειν 2 ℵ [8%] ¦ προσαγαγειν 2 B [1%] ¦ ~ 2 προαγαγειν [5%] ¦ two other variants [1%]
[12] εξεπεσον *rell* ¦ εξεπεσαν ℵA,B,D [5%] NU ¦ εξεπεσων [3%]
[13] τε **f**[35] ℵA [85%] HF,RP,OC,TR,CP ¦ δε B,D [15%] NU
[14] περιζωσαι **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ζωσαι ℵA,B,D [5%] NU
[15] ηκολουθει *rell* ¦ ηκολουθη [15%] ¦ ηκολουθι ℵ [1%]
[16] αυτω **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [3%] NU
[17] ηδει *rell* ¦ ηδη [12%] ¦ ηδι ℵ ¦ two other variants
[18] γινομενον *rell* ¦ γενομενον [5%] CP ¦ γεινομενον B,D
[19] δια *rell* ¦ υπο A [20%]
[20] ηλθον *rell* ¦ ηλθαν ℵA,B [1%] NU
[21] αυτοματη *rell* ¦ αυτοματι [15%]
[22] ηνοιχθη **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ ηνοιγη A [5%] NU ¦ ηνυγη ℵB,D ¦ ηνυχθη [4%]
[23] γενομενος εν εαυτω **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 231 ℵA,D [5%] NU ¦ ~ 2 αυτω 1 B
[24] εξαπεστειλεν **f**[35] ℵA [96%] HF,RP,OC,TR,CP ¦ 1 ο B [4%] [NU]

τὸν ἄγγελον αὐτοῦ καὶ ἐξείλετό[1] με ἐκ χειρὸς Ἡρῴδου καὶ πάσης τῆς[2] προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων.» **12** Συνιδών τε[3] ἦλθεν ἐπὶ τὴν οἰκίαν[4] Μαρίας, τῆς μητρὸς Ἰωάννου (τοῦ ἐπικαλουμένου Μάρκου), οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι[5] καὶ προσευχόμενοι. **13** Κρούσαντος δὲ τοῦ Πέτρου[6] τὴν θύραν τοῦ πυλῶνος, προσῆλθεν παιδίσκη ὑπακοῦσαι, ὀνόματι Ῥόδη. **14** Καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ Πέτρου, ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξεν τὸν πυλῶνα, εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστάναι τὸν Πέτρον πρὸ τοῦ πυλῶνος. **15** Οἱ δὲ πρὸς αὐτὴν εἶπον,[7] «Μαίνῃ.» Ἡ δὲ διισχυρίζετο οὕτως ἔχειν. Οἱ δὲ[8] ἔλεγον, «Ὁ ἄγγελος αὐτοῦ ἐστιν.»[9] **16** Ὁ δὲ Πέτρος ἐπέμενεν κρούων· ἀνοίξαντες δὲ εἶδον[10] αὐτὸν καὶ ἐξέστησαν. **17** Κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾶν, διηγήσατο αὐτοῖς[11] πῶς ὁ Κύριος αὐτὸν ἐξήγαγεν[12] ἐκ τῆς φυλακῆς. Εἶπεν δέ,[13] «Ἀπαγγείλατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα.» Καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον.

Poor guards

18 Γενομένης δὲ ἡμέρας, ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο. **19** Ἡρῴδης δέ,[14] ἐπιζητήσας αὐτὸν καὶ μὴ εὑρών, ἀνακρίνας τοὺς φύλακας, ἐκέλευσεν ἀπαχθῆναι. Καὶ κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν[15] Καισάρειαν διέτριβεν.

Herod gets his ‘comeuppance’

20 Ἦν δὲ ὁ Ἡρῴδης[16] θυμομαχῶν Τυρίοις καὶ Σιδωνίοις· ὁμοθυμαδὸν τε[17] παρῆσαν πρὸς αὐτόν, καὶ πείσαντες Βλάστον, τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως, ἠτοῦντο εἰρήνην, διὰ τὸ τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς βασιλικῆς. **21** Τακτῇ δὲ ἡμέρᾳ ὁ Ἡρῴδης, ἐνδυσάμενος ἐσθῆτα βασιλικὴν καὶ[18] καθίσας[19] ἐπὶ τοῦ βήματος, ἐδημηγόρει πρὸς αὐτούς. **22** Ὁ δὲ δῆμος ἐπεφώνει,[20] «Θεοῦ φωνὴ[21] καὶ οὐκ ἀνθρώπου.» **23** Παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος Κυρίου, ἀνθ᾽ ὧν οὐκ ἔδωκεν[22] δόξαν τῷ Θεῷ, καὶ γενόμενος σκωληκόβρωτος,[23] ἐξέψυξεν.

24 Ὁ δὲ λόγος τοῦ Θεοῦ ηὔξανεν καὶ ἐπληθύνετο.

The Gentile Church

12:25 Βαρνάβας δὲ καὶ Σαῦλος ὑπέστρεψαν εἰς Ἀντιόχειαν,[24] πληρώσαντες τὴν διακονίαν,

---

[1] εξειλετο *rell* ¦ εξειλατο ℵA,B,D [13%] NU ¦ εξηλατο [7%] ¦ εξιλατο [1%] ¦ ερρυσατο [5%]
[2] της *rell* ¦ --- CP
[3] τε *rell* ¦ δε A [15%] ¦ και D ¦ 1 ο πετρος [13%]
[4] οικιαν **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ 1 της ℵA,B,D [2%] NU
[5] συνηθροισμενοι *rell* ¦ 1 αδελφοι [5%] CP
[6] του πετρου **f**[35] [90%] HF,RP,TR,CP ¦ αυτου ℵA,B,D [10%] OC,NU
[7] ειπον *rell* ¦ ειπαν ℵA,B [2%] NU ¦ ελεγον D[v] ¦ two other variants [1%]
[8] δε *rell* ¦ δ TR
[9] αυτου εστιν **f**[35] D [99%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B [1%] NU
[10] ειδον *rell* ¦ ειδαν A,B [1%] NU ¦ ιδον [8%] ¦ και ιδοντες D
[11] αυτοις **f**[35] B,D [97%] HF,RP,OC,TR,CP[NU] ¦ --- ℵA [3%]
[12] αυτον εξηγαγεν (A) *rell* ¦ ~ 21 [13%] OC
[13] δε **f**[35] D [97%] HF,RP,OC,TR,CP ¦ τε 𝔓[45]ℵA,B [3%] NU
[14] δε *rell* ¦ τε A [5%] CP
[15] την **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[45]ℵA,B,D [10%] NU
[16] ο ηρωδης **f**[35] [85%] HF,RP,TR,CP ¦ 2 [11%] OC ¦ --- ℵA,B(D) [4%] NU
[17] τε **f**[35] [20%] OC,CP ¦ δε ℵA,B(D) [70%] HF,RP,TR,NU ¦ --- [10%]
[18] και **f**[35] A,D [95%] HF,RP,OC,TR,CP[NU] ¦ --- ℵB [5%]
[19] καθισας *rell* ¦ καθησας [20%]
[20] επεφωνει *rell* ¦ επεφωνη [18%]
[21] θεου φωνη **f**[35] ℵA,B(D) [20%] OC,TR,NU ¦ ~ 21 [78%] HF,RP,CP ¦ ~ 2 κυριου [2%]
[22] εδωκεν **f**[35] D [96%] HF,RP,CP ¦ 1 την ℵA,B [4%] OC,TR,NU
[23] σκωληκοβρωτος *rell* ¦ σκωληκωβρωτος CP ¦ σκωλικοβρωτος [9%] ¦ σκολικοβρωτος [5%] ¦ four further spellings D [4%]
[24] 1) εις αντιοχειαν (**f**[35]=27.8%) (5.1%)
2) απο ιερουσαλημ (**f**[35]=8.9%) D (10.9%)
3) απο ιερουσαλημ εις αντιοχειαν (**f**[35]=12.7%) (7.3%)
4) εξ ιερουσαλημ (**f**[35]=1.3%) ℵA (3.6%) OC,TR

συμπαραλαβόντες καὶ[1] Ἰωάννην, τὸν ἐπικληθέντα Μᾶρκον.

Missionary journey I—Barnabas and Saul→Paul

13:1 Ἦσαν δέ τινες[2] ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι· ὅ τε Βαρνάβας καὶ Συμεὼν (ὁ καλούμενος[3] Νίγερ) καὶ Λούκιος ὁ Κυρηναῖος,[4] Μαναήν τε (Ἡρῴδου τοῦ τετράρχου[5] σύντροφος) καὶ Σαῦλος. **2** Λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ καὶ νηστευόντων, εἶπεν τὸ Πνεῦμα τὸ Ἅγιον, «Ἀφορίσατε[6] δή μοι τὸν[7] Βαρνάβαν καὶ τὸν[8] Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς.» **3** Τότε, νηστεύσαντες καὶ προσευξάμενοι καὶ ἐπιθέντες τὰς χεῖρας αὐτοῖς,[9] ἀπέλυσαν.

---

5) εξ ιερουσαλημ εις αντιοχειαν (**f**^{35}=11.4%) (12.2%) CP
6) εις ιερουσαλημ (**f**^{35}=36.7%) B (60%) RP,HF,NU [15 out of 29 **f**^{35} MSS are at M. Lavras!]
7) εις ιερουσαλημ εις αντιοχειαν (**f**^{35}=1.3%) (0.6%)
(one other reading) (0.2%)

This is the only place in the whole NT that Family 35 splinters (everywhere else there are only two main variants). Besides the 61 MSS plus two fragments that were fully collated, I spot-checked a further 27. Those 90 MSS represent the total of family representatives that are presently available (with the exception of GA 1400 whose microfilm is very hard to read). Here is the evidence from those 90 MSS (those within braces were spot-checked).

εις αντιοχειαν	141,204,328,394,801,928,986,1140,1247,1249,1482,1723,1725,1732, 1749,1761,1855,1856,1876,1897,2080,2255, 2261,2378,2431,2441
απο ιερουσαλημ	18,386,1100,2554 {634,1101,1733,2303}
απο ιερουσαλημ εις αντιοχειαν	444,1058,1548,2587 {664,1400,1752,1763,2221,2704}
εξ ιερουσαλημ	1865
εξ ιερουσαλημ εις αντιοχειαν	604,1865^{c} {432,1767,1768}
εις ιερουσαλημ	35^{c},149,201,757,824,1040,1072,1075,1248,1503,1508,1617,1619,1628, 1636,1637,1656,1723^{c},1740,1746,1864,1892,2352,2431^{c},2466,2723 {1618,1737,1748,2653,2691}
εις ιερουσαλημ εις αντιοχειαν	35 (not a conflation, because it is nonsense; the copyist knew both readings and recorded them both)
Lacking:	1652,2218 {206^{s,fr},1745^{fr},1754^{s,fr},1766^{fr},1858^{fr},2175^{fr},2289^{fr},2626^{fr},2777^{fr}, 2778^{fr},2926^{s,fr}}

Totals: εις αντιοχειαν = 26
απο ιερουσαλημ = 8
απο ιερουσαλημ εις αντιοχειαν = 10
εξ ιερουσαλημ = 1
εξ ιερουσαλημ εις αντιοχειαν = 4
εις ιερουσαλημ = 28
Lacking = 13

Comment: The first five readings are votes against the sixth, so the vote is 49:28. However, 15 of the 28 are from the M. Lavras monastery (Mt. Athos), which probably indicates a common influence. The vote for the sixth reading should probably be reduced, making the advantage of the first reading all the stronger (if the 15 represent 5 exemplars, the vote would be 49:18). The reading of the archetype is the first, εις αντιοχειαν. Within the context, 'to Jerusalem' is nonsense. For a complete discussion, please see my article, "Where to Place a 'Comma'—Acts 12:25".

[1] και **f**^{35} [98%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [2%] NU ¦ τον D
[2] τινες **f**^{35} [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [4%] NU
[3] καλουμενος *rell* ¦ επικαλουμενος D [1%] OC
[4] κυρηναιος *rell* ¦ κυριναιος [20%]
[5] τετραρχου **f**^{35} A,C,D [99%] HF,RP,OC,TR,CP ¦ τετρααρχου ℵ,NU ¦ τραρχου B
[6] αφορισατε *rell* ¦ αφορησατε [13%] ¦ two other spellings C [1%]
[7] τον *rell* ¦ 1 τε [5%] TR
[8] τον **f**^{35} ℵ [93%] HF,RP,OC,TR,CP ¦ --- A,B,C,D [7%] NU
[9] τας χειρας αυτοις (ℵC) *rell* ¦ ~ 312 [20%] OC

1st stop—Cyprus

4 Οὗτοι[1] μέν,[2] ἐκπεμφθέντες ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου,[3] κατῆλθον εἰς τὴν[4] Σελεύκειαν·[5] ἐκεῖθεν[6] τε[7] ἀπέπλευσαν εἰς τὴν[8] Κύπρον. **5** Καὶ γενόμενοι ἐν Σαλαμῖνι,[9] κατήγγελλον[10] τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων (εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην). **6** Διελθόντες δὲ[11] τὴν νῆσον ἄχρι Πάφου, εὗρόν[12] τινα μάγον, ψευδοπροφήτην, Ἰουδαῖον ᾧ ὄνομα Βαρϊησοῦν,[13] **7** ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ, Σεργίῳ Παύλῳ, ἀνδρὶ συνετῷ. Οὗτος προσκαλεσάμενος Βαρνάβαν καὶ Σαῦλον, ἐπεζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ. **8** Ἀνθίστατο δὲ αὐτοῖς Ἐλύμας ὁ μάγος (οὕτως γὰρ μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ), ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πίστεως.

9 Σαῦλος δέ, ὁ καὶ Παῦλος, πλησθεὶς Πνεύματος Ἁγίου καὶ[14] ἀτενίσας εἰς[15] αὐτὸν **10** εἶπεν· «Ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης, οὐ παύσῃ[16] διαστρέφων τὰς ὁδοὺς[17] Κυρίου τὰς εὐθείας; **11** Καὶ νῦν ἰδού, χεὶρ[18] Κυρίου ἐπὶ σὲ καὶ ἔσῃ τυφλός, μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ.» Παραχρῆμα δὲ[19] ἐπέπεσεν[20] ἐπ᾽ αὐτὸν ἀχλὺς καὶ σκότος, καὶ περιάγων ἐζήτει χειραγωγούς. **12** Τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονὸς ἐπίστευσεν, ἐκπληττόμενος[21] ἐπὶ τῇ διδαχῇ τοῦ Κυρίου.

On to Pisidian Antioch

13 Ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν[22] Παῦλον ἦλθον εἰς Πέργην τῆς Παμφυλίας (Ἰωάννης δὲ ἀποχωρήσας ἀπ᾽ αὐτῶν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα).[23] **14** Αὐτοὶ δὲ διελθόντες ἀπὸ τῆς Πέργης, παρεγένοντο εἰς Ἀντιόχειαν τῆς Πισιδίας·[24] καὶ εἰσελθόντες[25] εἰς τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν σαββάτων, ἐκάθισαν. **15** Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ Νόμου καὶ τῶν Προφητῶν, ἀπέστειλαν πρὸς αὐτοὺς οἱ ἀρχισυνάγωγοι,[26] λέγοντες, «Ἄνδρες ἀδελφοί, εἰ[27] ἔστιν λόγος ἐν ὑμῖν[28] παρακλήσεως πρὸς τὸν λαόν, λέγετε.»

Paul expounds the Gospel

16 Ἀναστὰς δὲ Παῦλος καὶ κατασείσας τῇ χειρί, εἶπεν· «Ἄνδρες Ἰσραηλῖται καὶ οἱ φοβού-

---

[1] ουτοι **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ αυτοι ℵA,C,B [4%] NU ¦ οι D
[2] μεν **f**[35] [20%] ¦ 1 ουν ℵA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU
[3] πνευματος του αγιου **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 31 ℵA,B,C [5%] NU ¦ 13 D
[4] την **f**[35] [87%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [13%] NU
[5] σελευκειαν *rell* ¦ σελευκιαν ℵA,C,D [25%]
[6] εκειθεν *rell* ¦ κακειθεν [30%]
[7] τε **f**[35] ℵA,B,C [27%] OC,TR,CP,NU ¦ δε [72%] HF,RP ¦ --- D [1%]
[8] την **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [7%] NU
[9] σαλαμινι *rell* ¦ σαλαμινη ℵA [15%] ¦ σαλαμεινι B,D ¦ four further spellings [3%]
[10] κατηγγελλον *rell* ¦ κατηγγελον [7%] ¦ κατηνγειλαν D [9%]
[11] δε **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ 1 ολην ℵA,B,C,D [10%] NU
[12] ευρον **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ 1 ανδρα ℵA,B,C,D [7%] NU
[13] βαριησουν **f**[35] A [79%] HF ¦ βαριησους B,C [20%] RP,OC,TR,CP ¦ βαριησου ℵ [1%] NU ¦ βαριησουα D
[14] και **f**[35] 𝔓[45]D [90%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [10%] NU
[15] εις *rell* ¦ προς OC
[16] παυση *rell* ¦ παυη [10%] ¦ παυσει [2%] ¦ παυει [2%]
[17] οδους **f**[35] A,C,D [99%] HF,RP,OC,TR,CP ¦ 1 του ℵB[NU]
[18] χειρ **f**[35] 𝔓[45]ℵA,B,C [95%] HF,RP,OC,CP,NU ¦ 1 του [5%] TR
[19] δε **f**[35] A,B [97%] HF,RP,OC,TR,CP ¦ τε 𝔓[45]ℵC [2%] NU ¦ --- D [1%]
[20] επεπεσεν **f**[35] C [96%] HF,RP,TR,CP ¦ επεσεν 𝔓[45v]ℵ(A)B [4%] OC,NU
[21] εκπληττομενος **f**[35] B [35%] ¦ εκπλησσομενος 𝔓[45v]ℵ(A)C,D [65%] HF,RP,OC,TR,CP,NU
[22] τον **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- (𝔓[45v])ℵA,B,C,D [5%] NU
[23] ιεροσολυμα *rell* ¦ ιερουσαλημ CP
[24] της πισιδιας **f**[35] (D) [98%] HF,RP,OC,TR,CP ¦ την πισιδιαν (𝔓[45])ℵA,B,C [2%] NU
[25] εισελθοντες **f**[35] A,D [98%] HF,RP,OC,TR,CP[NU] ¦ ελθοντες ℵB,C [2%]
[26] προς αυτους οι αρχισυναγωγοι **f**[35] [20%] ¦ ~ 3412 ℵA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU
[27] ει **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ 1 τις ℵA,B,C,D [5%] NU
[28] λογος εν υμιν **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ ~ 231 ℵA,B,C [10%] NU ¦ λογου σοφιας εν υμειν D

μενοι τὸν Θεόν, ἀκούσατε. **17** Ὁ Θεὸς τοῦ λαοῦ τούτου[1] ἐξελέξατο τοὺς πατέρας ἡμῶν, καὶ τὸν λαὸν ὕψωσεν ἐν τῇ παροικίᾳ[2] ἐν γῇ Αἰγύπτῳ,[3] καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς. **18** Καὶ ὡς τεσσαρακονταετῆ[4] χρόνον ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ. **19** Καὶ καθελὼν ἔθνη ἑπτὰ ἐν γῇ Χαναάν, κατεκληρονόμησεν[5] αὐτοῖς[6] τὴν γῆν αὐτῶν. **20** Καὶ μετὰ ταῦτα, ὡς ἔτεσιν τετρακοσίοις καὶ πεντήκοντα[7] ἔδωκεν κριτὰς, ἕως Σαμουὴλ τοῦ[8] προφήτου. **21** Κἀκεῖθεν ᾐτήσαντο βασιλέα, καὶ ἔδωκεν αὐτοῖς ὁ Θεὸς τὸν Σαούλ, υἱὸν Κίς, ἄνδρα ἐκ φυλῆς Βενιαμίν,[9] ἔτη τεσσαράκοντα.[10] **22** Καὶ μεταστήσας αὐτὸν ἤγειρεν αὐτοῖς τὸν Δαυὶδ[11] εἰς βασιλέα, ᾧ καὶ εἶπεν μαρτυρήσας, ‹Εὗρον Δαυὶδ τὸν τοῦ Ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου.› **23** Τούτου ὁ Θεός, ἀπὸ τοῦ σπέρματος, κατ᾽ ἐπαγγελίαν, ἤγαγεν[12] τῷ Ἰσραὴλ σωτηρίαν,[13] **24** προκηρύξαντος Ἰωάννου, πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ, βάπτισμα μετανοίας τῷ[14] Ἰσραήλ. **25** Ὡς δὲ ἐπλήρου ὁ[15] Ἰωάννης τὸν δρόμον, ἔλεγεν· ‹Τίνα με[16] ὑπονοεῖτε εἶναι;[17] Οὐκ εἰμὶ ἐγώ—ἀλλ᾽ ἰδού, ἔρχεται μετ᾽ ἐμέ, οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι.›

26 »Ἄνδρες ἀδελφοί, υἱοὶ γένους Ἀβραάμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεόν· ὑμῖν[18] ὁ λόγος τῆς σωτηρίας ταύτης ἐξαπεστάλη.[19] **27** Οἱ γὰρ κατοικοῦντες[20] Ἰερουσαλὴμ καὶ οἱ ἄρχοντες αὐτῶν, τοῦτον ἀγνοήσαντες καὶ τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν. **28** Καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, ᾐτήσαντο Πιλᾶτον ἀναιρεθῆναι αὐτόν. **29** Ὡς δὲ ἐτέλεσαν πάντα[21] τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον. **30** Ὁ δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν· **31** ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἰερουσαλήμ, οἵτινές[22] εἰσιν μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν.

32 »Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα· τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην, **33** ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρωκεν τοῖς τέκνοις αὐτῶν, ἡμῖν,[23] ἀναστήσας Ἰησοῦν· ὡς καὶ ἐν τῷ ψαλμῷ τῷ δευτέρῳ γέγραπται·[24] ‹Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά[25] σε.› **34** Ὅτι δὲ ἀνέστησεν

---

[1] τουτου **f**[35] [95%] HF,RP ¦ 1 ισραηλ ℵA,C,D [4%] OC,TR,CP,NU ¦ του ισραηλ B [1%]
[2] εν τη παροικια *rell* ¦ --- CP
[3] αιγυπτω **f**[35] C,D [85%] HF,RP,OC,TR,CP ¦ αιγυπτου ℵA,B [15%] NU
[4] τεσσαρακονταετη **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ τεσσερακονταετη ℵA,B [2%] NU ¦ τεσσερακονταετην C ¦ ετη μ D
[5] κατεκληρονομησεν **f**[35] ℵA,B,C [95%] HF,RP,OC,NU ¦ κατεκληροδοτησεν [5%] TR,CP
[6] αυτοις **f**[35] A,C [97%] HF,RP,OC,TR,CP ¦ --- ℵB,D [3%] NU
[7] και μετα ταυτα ως ετεσιν τετρακοσιοις και πεντηκοντα **f**[35] (91.6%) HF,RP,OC,TR,CP ¦ 1 5 τριακοσιοις 7-8 (1.1%) ¦ ~ 45678123 ℵA,B,C (5.5%) NU ¦ ~ 4-8,1 (0.6%) ¦ ~ 5-8,1 (0.6%) ¦ 1 εως 5 υ΄ 7 ν΄ D ¦ two other variants (0.6%)
[8] του **f**[35] C,D [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- ℵA,B [2%]
[9] βενιαμιν *rell* ¦ βενιαμειν ℵA,B,C [3%] ¦ βενιαμην [13%]
[10] τεσσαρακοντα **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ τεσσερακοντα ℵA,B,C [2%] NU ¦ μ D [1%]
[11] αυτοις τον δαυιδ **f**[35] C [97%] HF,RP,OC,TR,CP ¦ ~ 231 ℵA,B [2%] NU ¦ ~ 31 D (TR, not CP, has Δαβιδ throughout.)
[12] ηγαγεν **f**[35] ℵA,B [75%] HF,RP,OC,NU ¦ ηγειρεν C,D [25%] TR,CP
[13] σωτηριαν **f**[35] [80%] HF,RP,OC ¦ σωτηρα ιησουν ℵA,B,C(D) [15%] TR,CP,NU ¦ σωτηρα [5%]
[14] τω **f**[35] [80%] HF,RP ¦ παντι 1 A [1%] ¦ παντι 1 λαω ℵB,C,D [19%] OC,TR,NU ¦ παντι 1 λαω του CP
[15] ο **f**[35] [65%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [35%] NU
[16] τινα με **f**[35] 𝔓[45]C,D [98%] HF,RP,OC,TR,CP ¦ τι εμε ℵA,B [2%] NU
[17] ειναι *rell* ¦ --- [14%]
[18] υμιν **f**[35] 𝔓[45]C [96%] HF,RP,OC,TR,CP ¦ ημιν ℵA,B(D) [4%] NU
[19] εξαπεσταλη **f**[35] ℵA,B,C [30%] NU ¦ απεσταλη 𝔓[45]D [70%] HF,RP,OC,TR,CP
[20] κατοικουντες **f**[35] C [30%] HF,CP ¦ 1 εν ℵA,B,D [70%] RP,OC,TR,NU
[21] παντα **f**[35] ℵA,B,C [95%] HF,RP,OC,CP,NU ¦ απαντα [5%] TR
[22] οιτινες **f**[35] B [94%] HF,RP,OC,TR,CP ¦ 1 νυν 𝔓[45](ℵ)A,C [5%] [NU] ¦ 1 αχρι νυν D [1%]
[23] αυτων ημιν **f**[35] (96%) HF,RP,OC,TR,CP[NU] ¦ 1 υμιν (1.1%) ¦ 1 (1.3%) ¦ ημων ℵA,B,C,D (1.5%) ¦ one other variant
[24] τω δευτερω γεγραπται **f**[35] [86%] HF,RP,OC,TR,CP ¦ ~ 312 𝔓[45]ℵA,B,C [4%] NU ¦ 23 (D) [10%]
[25] γεγεννηκα *rell* ¦ γεγενηκα [18%]

αὐτὸν ἐκ νεκρῶν, μηκέτι μέλλοντα ὑποστρέφειν[1] εἰς διαφθοράν, οὕτως εἴρηκεν ὅτι ‹Δώσω ὑμῖν τὰ ὅσια Δαυὶδ τὰ πιστά.› **35** Διὸ[2] καὶ ἐν ἑτέρῳ λέγει, ‹Οὐ δώσεις τὸν Ὅσιόν σου ἰδεῖν διαφθοράν.› **36** Δαυὶδ μὲν γάρ, ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ Θεοῦ βουλῇ, ἐκοιμήθη, καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ εἶδεν διαφθοράν· **37** ὃν δὲ[3] ὁ Θεὸς ἤγειρεν οὐκ εἶδεν διαφθοράν. **38** Γνωστὸν οὖν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοί, ὅτι διὰ τούτου ὑμῖν ἄφεσις ἁμαρτιῶν καταγγέλλεται· **39** καὶ[4] ἀπὸ πάντων ὧν οὐκ ἠδυνήθητε ἐν[5] νόμῳ Μωϋσέος[6] δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται. **40** Βλέπετε οὖν μὴ ἐπέλθῃ[7] ἐφ᾽ ὑμᾶς[8] τὸ εἰρημένον ἐν τοῖς προφήταις· **41** ‹Ἴδετε, οἱ καταφρονηταί, καὶ θαυμάσατε[9] καὶ ἀφανίσθητε· ὅτι ἔργον ἐγὼ ἐργάζομαι[10] ἐν ταῖς ἡμέραις ὑμῶν[11] ᾧ[12] οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν.› »

The reaction

42 Ἐξιόντων δὲ ἐκ τῆς συναγωγῆς τῶν Ἰουδαίων,[13] παρεκάλουν τὰ ἔθνη[14] εἰς τὸ μεταξὺ σάββατον λαληθῆναι αὐτοῖς τὰ ῥήματα ταῦτα.[15] **43** Λυθείσης δὲ τῆς συναγωγῆς, ἠκολούθησαν πολλοὶ τῶν Ἰουδαίων καὶ τῶν σεβομένων προσηλύτων τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ, οἵτινες

---

[1] υποστρεφειν *rell* ¦ 1 αυτον CP

[2] διο **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ διοτι ℵA,B [2%] NU ¦ --- D

[3] ον δε *rell* ¦ ο 2 D ¦ --- [20%]

[4] και **f**[35] B,D [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- ℵA,C [2%]

[5] εν **f**[35] ℵA,B,C,D [20%] NU ¦ 1 τω [80%] HF,RP,OC,TR,CP

[6] μωυσεος **f**[35] [25%] ¦ μωυσεως ℵB,C [35%] HF,RP,OC,CP,NU ¦ μωσεως A,D [40%] TR

[7] επελθη *rell* ¦ επελθοι [2%] CP ¦ απελθη ℵ

[8] εφ υμας **f**[35] A,C [97%] HF,RP,OC,TR,CP ¦ --- ℵB,D [3%] NU

[9] θαυμασατε **f**[35] A,B,D [91%] HF,RP,OC,TR,NU ¦ θαυμασετε ℵ [1%] ¦ θαυμασαται C [1%] ¦ 1 και επιβλεψατε [3%] CP ¦ επιβλεψατε και 1 [4%]

[10] εγω εργαζομαι **f**[35] C [97%] HF,RP,OC,TR,CP ¦ ~ 21 A,B,D [3%] NU ¦ ο 121 ℵ

[11] υμων **f**[35] D [95%] HF,RP,CP ¦ 1 εργον ℵA,B,C [5%] OC,TR,NU

[12] ω **f**[35] [25%] OC,TR ¦ ο ℵA,B,C,D [70%] HF,RP,CP,NU ¦ ος [5%]

[13]

1) δε	εκ της συναγωγης των ιουδαιων	f35 (60.2%) HF,RP,TR
2) δε αυτων		ℵA,B,C,D (16.2%) NU
3) δε αυτων εκ της συναγωγης των ιουδαιων		(20.8%) OC,CP
4) δε αυτων εκ της συναγωγης		(2.3%)
(two other readings)		(0.4%)

I believe this variant set must be considered along with the presence of τα εθνη after παρεκαλουν, but *TuT* does not include the second set. However, from UBS[3] it appears that virtually the same roster of witnesses, including the three ancient versions (!), read variant 2) and omit "the Gentiles". Where then is the Subject of the main verb παρεκαλουν? Presumably for those witnesses it would be the Jews and proselytes who had just heard Paul and wanted to hear it all over again the next Sabbath. So why are they (Jews and proselytes) mentioned overtly again in verse 43? And on what basis would the whole city show up the next week (v. 44)? But to go back to verse 42, why would the first hearers want to hear the same thing (τα ρηματα ταυτα) again anyway? The really interested ones stuck with Paul and Barnabas to learn more (v. 43), just as we would expect. The witnesses to variants 1) and 3) join in support of "the Gentiles", giving us a strong majority (over 80%). So the Subject of παρεκαλουν is τα εθνη—**they** want a chance to hear the Gospel too, and the whole city turns out. It fits the context perfectly. So, variant 3) appears to be a conflation and the basic reading is variant 1).

The witnesses to variant 3), because they have "the Gentiles", are really on the side of variant 1), not 2), so presumably 1) may be viewed as having 80% attestation. For the witnesses to variant 1) the antecedent or referent of εξιοντων must be Paul's group, since the Gentiles would presumably address their request to the teacher.

In variant 2) αυτων presumably serves as Subject of both the participle and the main verb, but in that event the main verb should take precedence and the pronoun should be nominative, not genitive. However one might explain the motivation for such a change—from 1) to 2) and deleting "the Gentiles"—variant 2) is evidently wrong, even though attested by the three ancient versions. Perhaps someone faced with variant 1) took "of the Jews" to be the referent of the participle instead of modifying "synagogue" (like NKJV), and thought it should be Subject of the main verb as well—then, of course, "the Gentiles" were in the way and were deleted. Then 1) might have been shortened to 2) for 'clarity'.

[14] τα εθνη **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [15%] NU

[15] τα ρηματα ταυτα **f**[35] ℵA,B,C [50%] HF,OC,TR,NU ¦ 12 [50%] RP ¦ ~ 1 αυτα 2 CP ¦ 23 D

προσλαλοῦντες[1] ἔπειθον ἐπιμένειν αὐτοὺς[2] τῇ χάριτι τοῦ Θεοῦ. **44** Τῷ τε[3] ἐρχομένῳ σαββάτῳ σχεδὸν πᾶσα ἡ πόλις συνήχθη ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ.[4] **45** Ἰδόντες δὲ οἱ Ἰουδαῖοι τοὺς ὄχλους, ἐπλήσθησαν ζήλου καὶ ἀντέλεγον τοῖς ὑπὸ τοῦ[5] Παύλου λεγομένοις,[6] ἀντιλέγοντες καὶ[7] βλασφημοῦντες.

46 Παρρησιασάμενοι δὲ[8] ὁ Παῦλος καὶ ὁ Βαρνάβας εἶπον·[9] «Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ. Ἐπειδὴ δὲ[10] ἀπωθεῖσθε[11] αὐτόν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. **47** Οὕτως γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος· ‹Τέθεικά[12] σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς.› » **48** Ἀκούοντα δὲ τὰ ἔθνη ἔχαιρον,[13] καὶ ἐδόξαζον[14] τὸν λόγον τοῦ Κυρίου·[15] καὶ ἐπίστευσαν ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον.

49 Διεφέρετο δὲ ὁ λόγος τοῦ Κυρίου δι᾽ ὅλης τῆς χώρας. **50** Οἱ δὲ Ἰουδαῖοι παρώτρυναν τὰς σεβομένας γυναῖκας καὶ[16] τὰς εὐσχήμονας καὶ τοὺς πρώτους τῆς πόλεως, καὶ ἐπήγειραν διωγμὸν ἐπὶ τὸν Παῦλον καὶ τὸν[17] Βαρνάβαν, καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν. **51** Οἱ δὲ ἐκτιναξάμενοι[18] τὸν κονιορτὸν[19] τῶν ποδῶν αὐτῶν[20] ἐπ᾽ αὐτούς, ἦλθον εἰς Ἰκόνιον. **52** Οἱ δὲ[21] μαθηταὶ ἐπληροῦντο χαρᾶς καὶ Πνεύματος Ἁγίου.

Iconium

14:1 Ἐγένετο δὲ ἐν Ἰκονίῳ κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐτοὺς εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων, καὶ λαλῆσαι οὕτως ὥστε πιστεῦσαι Ἰουδαίων τε καὶ Ἑλλήνων πολὺ πλῆθος. **2** Οἱ δὲ ἀπειθοῦντες[22] Ἰουδαῖοι ἐπήγειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν. **3** Ἱκανὸν μὲν οὖν χρόνον διέτριψαν, παρρησιαζόμενοι ἐπὶ τῷ Κυρίῳ, τῷ μαρτυροῦντι[23] τῷ λόγῳ τῆς χάριτος αὐτοῦ,[24] διδόντι σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τῶν χειρῶν αὐτῶν. **4** Ἐσχίσθη δὲ τὸ πλῆθος τῆς πόλεως· καὶ οἱ μὲν ἦσαν σὺν τοῖς Ἰουδαίοις, οἱ δὲ σὺν τοῖς ἀποστόλοις. **5** Ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθνῶν τε καὶ Ἰουδαίων, σὺν τοῖς ἄρχουσιν αὐτῶν, ὑβρίσαι καὶ λιθοβολῆσαι[25] αὐτούς, **6** συνιδόντες κατέφυγον εἰς τὰς πόλεις τῆς Λυκαονίας—Λύστραν καὶ Δέρβην, καὶ τὴν περίχωρον—**7** κἀκεῖ ἦσαν εὐαγγελιζόμενοι.[26]

---

[1] προσλαλουντες **f**[35] [95%] HF,RP ¦ 1 αυτοις ℵA,B,C,D [5%] OC,TR,CP,NU

[2] επιμενειν αυτους **f**[35] [20%] ¦ ~ 21 [64%] HF,RP,TR,CP ¦ ~ 2 προσμενειν (ℵ)(A),B,C,D [15%] OC,NU ¦ προσμενειν 2 [1%]

[3] τε **f**[35] B [90%] HF,RP,OC,CP ¦ δε ℵA,D [10%] TR,NU

[4] θεου **f**[35] B,C [96%] HF,RP,OC,TR,CP ¦ κυριου ℵA,D [4%] NU

[5] του **f**[35] C,D [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [3%] NU

[6] λεγομενοις **f**[35] C,D [97%] HF,RP,OC,TR,CP ¦ λαλουμενοις ℵA,B [3%] NU

[7] αντιλεγοντες και **f**[35] D (80%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C (19.6%) NU ¦ one other variant (0.4%)

[8] δε **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ τε ℵA,B,C,D [4%] NU

[9] ειπον *rell* ¦ ειπαν ℵA,B(D) [3%] NU

[10] δε **f**[35] 𝔓[45]A,C [99%] HF,RP,OC,TR,CP ¦ --- ℵB,D [1%] NU

[11] απωθεισθε *rell* ¦ αποθεισθε [20%] ¦ απωθεισθαι (ℵ)A,C,D [5%]

[12] τεθεικα *rell* ¦ τεθηκα [20%] ¦ τεθικα ℵ

[13] εχαιρον **f**[35] ℵA,B,C,D [49%] OC,TR,NU ¦ εχαιρεν [50%] HF,RP,CP ¦ two other variants [1%]

[14] εδοξαζον *rell* ¦ εδοξαζεν [30%] ¦ εδεξαντο D,OC

[15] κυριου *rell* ¦ θεου B,D [15%] ¦ θεον [6%]

[16] και **f**[35] ℵ [95%] HF,RP,OC,TR,CP ¦ --- A,B,C,D [5%] NU

[17] τον **f**[35] [78%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[45]ℵA,B,C,D [22%] NU

[18] εκτιναξαμενοι *rell* ¦ εκτειναξαμενοι [15%]

[19] κονιορτον *rell* ¦ 1 απο [22%]

[20] αυτων **f**[35] D [90%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [10%] NU

[21] δε **f**[35] ℵC,D [97%] HF,RP,OC,TR,CP ¦ τε A,B [3%] NU ¦ γε 𝔓[45]

[22] απειθουντες **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ απειθησαντες (ℵ)A,B(C) [5%] NU ¦ D is wild

[23] μαρτυρουντι *rell* ¦ 1 επι ℵA[NU]

[24] αυτου **f**[35] ℵA,B,D [90%] HF,RP,OC,CP,NU ¦ 1 και C [10%] TR

[25] λιθοβολησαι *rell* ¦ λιθοβολισαι [14%]

[26] ησαν ευαγγελιζομενοι **f**[35] C [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B,D [5%] NU

Lystra

8 Καί τις ἀνὴρ ἐν Λύστροις ἀδύνατος[1] τοῖς ποσὶν ἐκάθητο (χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων,[2] ὃς οὐδέποτε περιπεπατήκει).[3] **9** Οὗτος ἤκουεν[4] τοῦ Παύλου λαλοῦντος· ὃς ἀτενίσας αὐτῷ καὶ ἰδὼν ὅτι πίστιν ἔχει[5] τοῦ σωθῆναι, **10** εἶπεν μεγάλῃ τῇ[6] φωνῇ,[7] «Ἀνάστηθι ἐπὶ τοὺς πόδας σου ὀρθός.»[8] Καὶ ἥλλατο[9] καὶ περιεπάτει. **11** Οἱ δὲ[10] ὄχλοι, ἰδόντες ὃ ἐποίησεν ὁ[11] Παῦλος, ἐπῆραν τὴν φωνὴν αὐτῶν[12] Λυκαονιστὶ λέγοντες, «Οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις κατέβησαν πρὸς ἡμᾶς.» **12** Ἐκάλουν τε[13] τὸν μὲν[14] Βαρνάβαν, Δία,[15] τὸν δὲ Παῦλον, Ἑρμῆν, ἐπειδὴ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου. **13** Ὁ δὲ[16] ἱερεὺς τοῦ Διός, τοῦ ὄντος πρὸ τῆς πόλεως αὐτῶν,[17] ταύρους καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας ἐνέγκας, σὺν τοῖς ὄχλοις ἤθελεν[18] θύειν.

14 Ἀκούσαντες δὲ οἱ ἀπόστολοι, Βαρνάβας καὶ Παῦλος, διαρρήξαντες τὰ ἱμάτια αὐτῶν, εἰσεπήδησαν[19] εἰς τὸν ὄχλον, κράζοντες **15** καὶ λέγοντες· «Ἄνδρες, τί ταῦτα ποιεῖτε; Καὶ[20] ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν[21] ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν[22] Θεὸν τὸν[23] ζῶντα, ὃς ἐποίησεν τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· **16** ὃς ἐν ταῖς παρῳχημέναις γενεαῖς εἴασεν πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν. **17** Καίτοιγε[24] οὐκ ἀμάρτυρον ἑαυτὸν[25] ἀφῆκεν, ἀγαθοποιῶν,[26] οὐρανόθεν ὑμῖν[27] ὑετοὺς διδοὺς καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν.»[28] **18** Καὶ ταῦτα λέγοντες, μόλις κατέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύειν αὐτοῖς.[29]

---

[1] εν λυστροις αδυνατος **f**[35] A,C [97%] HF,RP,OC,TR,CP ¦ ~ 312 ℵB [1%] NU ¦ εκαθητο 3 D ¦ three other variants [2%]

[2] υπαρχων **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [5%] NU

[3] περιπεπατηκει **f**[35] [76%] HF,RP,OC,TR,CP ¦ περιεπατησεν ℵA,B,C [5%] NU ¦ περιπατηκει [12%] ¦ περιεπεπατηκει [6%] some TRs ¦ περειπεπατικει D ¦ two further variants

[4] ηκουεν **f**[35] B,C [75%] TR,CP ¦ ηκουσεν ℵA,D [25%] HF,RP,OC,NU

[5] πιστιν εχει **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B,C,D [5%] NU

[6] τη **f**[35] A [98%] HF,RP,OC,TR,CP ¦ --- ℵB,C,D [2%] NU

[7] φωνη **f**[35] ℵA,B [95%] HF,RP,OC,TR,NU ¦ 1 σοι λεγω εν τω ονοματι του κυριου ιησου χριστου C,D [5%] CP

[8] ορθος **f**[35] ℵB,C,D [45%] HF,OC,TR,CP,NU ¦ ορθως [50%] RP ¦ ορθρος A [5%]

[9] ηλλατο **f**[35] [30%] ¦ ηλλετο [35%] HF,RP,TR,CP ¦ ηλετο [19%] ¦ ηλατο ℵA,B,C [15%] OC,NU ¦ ανηλατο D ¦ three other variants [1%] (Presumably an unusual form of the 1st aorist that some 'corrected' by making it imperfect, while others deleted the 'extra' λ.)

[10] δε **f**[35] C,D [98%] HF,RP,OC,TR,CP ¦ τε ℵA,B [2%] NU

[11] ο **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [5%] NU

[12] την φωνην αυτων *rell* ¦ ~ 312 [30%]

[13] τε *rell* ¦ δε D [11%]

[14] μεν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [4%] NU

[15] δια *rell* ¦ διαν [20%]

[16] ο δε **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ο τε ℵA,B [4%] NU ¦ τοτε C [1%] ¦ οι 2 D

[17] αυτων **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [5%] NU ¦ αυτοις (D)

[18] ηθελεν *rell* ¦ ηθελον D [35%]

[19] εισεπηδησαν **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ εξεπηδησαν ℵA,B,C,D [6%] NU

[20] και *rell* ¦ --- 𝔓[45]D [15%]

[21] υμιν εσμεν **f**[35] C [20%] ¦ ~ 21 𝔓[45v]ℵA,B(D) [60%] HF,RP,OC,TR,CP,NU ¦ 2 [20%]

[22] τον **f**[35] 𝔓[45]D [94%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [6%] NU

[23] τον **f**[35] 𝔓[45]ℵ [94%] HF,RP,OC,TR,CP ¦ --- A,B,C,D [6%] NU

[24] καιτοιγε **f**[35] ℵ [95%] HF,RP,OC,TR,CP ¦ καιτοι A,B,C [3%] NU ¦ και γε 𝔓[45]D [1%] ¦ two other variants

[25] εαυτον **f**[35] C(D) [98%] HF,RP,OC,TR,CP ¦ αυτον 𝔓[45]ℵA,B [2%] NU

[26] αγαθοποιων **f**[35] D [96%] HF,RP,OC,TR,CP ¦ αγαθουργων ℵA,B,C [4%] NU

[27] υμιν **f**[35] 𝔓[45]ℵB,C(D) [83%] HF,RP,OC,NU ¦ ημιν **f**[35pt] [15%] TR,CP ¦ --- A [2%] [Is it 'giving you rain from heaven', or 'giving us rain from heaven'? Within the context, the extemporaneous 'sermon' in Lystra, it makes no difference.]

[28] ημων **f**[35] A [75%] HF,RP,TR,CP ¦ υμων ℵB,C,D [20%] OC,NU ¦ --- [5%]

[29] αυτοις **f**[35] 𝔓[45]ℵA,B [90%] HF,RP,OC,TR,NU ¦ 1 διατριβοντων δε αυτων και διδασκοντων C,D [10%] CP

Paul stoned

19 Ἐπῆλθον[1] δὲ ἀπὸ Ἀντιοχείας καὶ Ἰκονίου Ἰουδαῖοι, καὶ πείσαντες τοὺς ὄχλους καὶ λιθάσαντες τὸν Παῦλον, ἔσυραν[2] ἔξω τῆς πόλεως, νομίσαντες[3] αὐτὸν τεθνάναι.[4] **20** Κυκλωσάντων δὲ τῶν μαθητῶν αὐτόν,[5] ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν. Καὶ τῇ ἐπαύριον ἐξῆλθεν σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην.

The return to Antioch

21 Εὐαγγελισάμενοί[6] τε τὴν πόλιν ἐκείνην καὶ μαθητεύσαντες ἱκανούς, ὑπέστρεψαν εἰς[7] Λύστραν καὶ[8] Ἰκόνιον καὶ[9] Ἀντιόχειαν, **22** ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, παρακαλοῦντες ἐμμένειν τῇ πίστει, καὶ ὅτι «Διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.» **23** Χειροτονήσαντες δὲ αὐτοῖς πρεσβυτέρους κατ᾽ ἐκκλησίαν,[10] προσευξάμενοι μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ εἰς ὃν πεπιστεύκεισαν.[11] **24** Καὶ διελθόντες τὴν Πισιδίαν, ἦλθον εἰς[12] Παμφυλίαν. **25** Καὶ λαλήσαντες ἐν Πέργῃ τὸν λόγον, κατέβησαν εἰς Ἀττάλειαν.[13] **26** Κἀκεῖθεν ἀπέπλευσαν εἰς Ἀντιόχειαν, ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ Θεοῦ εἰς τὸ ἔργον ὃ ἐπλήρωσαν. **27** Παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν, ἀνήγγειλαν[14] ὅσα ἐποίησεν ὁ Θεὸς μετ᾽ αὐτῶν, καὶ ὅτι ἤνοιξεν τοῖς ἔθνεσιν θύραν πίστεως. **28** Διέτριβον δὲ ἐκεῖ[15] χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς.

The Jerusalem Council

The conflict

15:1 Καὶ τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας ἐδίδασκον τοὺς ἀδελφοὺς ὅτι «Ἐὰν μὴ περιτέμνησθε[16] τῷ ἔθει[17] Μωϋσέος,[18] οὐ δύνασθε σωθῆναι.» **2** Γενομένης οὖν[19] στάσεως καὶ ζητήσεως[20] οὐκ ὀλίγης τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς, ἔταξαν ἀναβαίνειν Παῦλον καὶ Βαρνάβαν, καί τινας ἄλλους ἐξ αὐτῶν, πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους εἰς Ἰερουσαλὴμ περὶ τοῦ ζητήματος τούτου. **3** Οἱ μὲν οὖν, προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας, διήρχοντο τὴν[21] Φοινίκην καὶ[22] Σαμάρειαν, ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν ἐθνῶν· καὶ ἐποίουν χαρὰν μεγάλην πᾶσιν τοῖς ἀδελφοῖς. **4** Παραγενόμενοι δὲ εἰς Ἰερουσαλήμ, ἀπεδέχθησαν[23] ὑπὸ[24] τῆς ἐκκλησίας

---

[1] επηλθον *rell* ¦ επηλθαν ℵA,B [1%] NU ¦ ανηλθον 𝔓[45] [12%]
[2] εσυραν **f**[35] D [43%] OC,CP ¦ εσυρον ℵA,B,C [57%] HF,RP,TR,NU
[3] νομισαντες **f**[35] C [96%] HF,RP,OC,TR,CP ¦ νομιζοντες 𝔓[45]ℵA,B,D [4%] NU
[4] τεθναναι **f**[35] (D) [94%] HF,RP,OC,TR,CP ¦ τεθνηκεναι ℵA,B,C [6%] NU
[5] των μαθητων αυτον **f**[35] ℵA,B,C [22%] NU ¦ ~ 312 [55%] HF,RP,OC,TR ¦ ~ αυτων 12 [20%] CP ¦ 12 αυτου D ¦ 12 αυτου 3 𝔓[45] ¦ three other variants [2%]
[6] ευαγγελισαμενοι *rell* ¦ ευαγγελιζομενοι A,D [20%]
[7] εις **f**[35] D [20%] ¦ 1 την ℵA,B,C [80%] HF,RP,OC,TR,CP,NU
[8] και **f**[35] 𝔓[45]D [90%] HF,RP,OC,TR,CP ¦ 1 εις ℵA,B,C [5%] NU ¦ 1 το [5%]
[9] και **f**[35] B,D [95%] HF,RP,OC,TR,CP ¦ 1 εις ℵA,C [5%] NU
[10] πρεσβυτερους κατ εκκλησιαν **f**[35] [94%] HF,RP,TR,CP ¦ ~ 231 ℵA,B,C(D) [6%] NU ¦ 123 και OC (in small print)
[11] πεπιστευκεισαν *rell* ¦ επεπιστευκεισαν [14%] ¦ πεπιστευκισαν ℵC ¦ πεπιστευκασιν D [2%] OC ¦ πεπιστευκησαν [1%] ¦ πεπειστευκεισαν A
[12] εις **f**[35] A,D [97%] HF,RP,OC,TR,CP ¦ 1 την ℵB,C [3%] NU
[13] ατταλειαν *rell* ¦ αταλειαν [15%] ¦ αταλιαν [10%] ¦ ατταλιαν ℵA,B,C,D [8%] ¦ two other spellings
[14] ανηγγειλαν **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ ανηγγελλον ℵA,B,C [3%] NU ¦ ανηγγειλον D ¦ απηγγειλαν [5%]
[15] εκει **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [4%] NU
[16] περιτεμνησθε **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ περιτμηθητε ℵA,C(D) [4%] NU ¦ περιθμητε B
[17] εθει **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ 1 τω ℵA,B,C [2%] NU ¦ 1 του [3%]
[18] μωυσεος **f**[35] [28%] CP ¦ μωυσεως ℵB,C [55%] HF,RP,OC,TR,NU ¦ μωσεως A,D [17%]
[19] ουν **f**[35] A [93%] HF,RP,OC,TR,CP ¦ δε 𝔓[45v]ℵB,C,D [7%] NU
[20] ζητησεως **f**[35] ℵA,B,C [95%] HF,RP,OC,CP,NU ¦ συζητησεως [5%] TR
[21] την **f**[35] A [97%] HF,RP,OC,TR,CP ¦ 1 τε 𝔓[45]ℵB,C [3%] NU
[22] και *rell* ¦ 1 την D [20%]
[23] απεδεχθησαν **f**[35] C [96%] HF,RP,OC,TR,CP ¦ παρεδεχθησαν 𝔓[45v]ℵA,B [3%] NU ¦ παρεδοθησαν D ¦ two other variants [1%]
[24] υπο **f**[35] ℵA [99%] HF,RP,OC,TR,CP ¦ απο B,C [1%] NU

καὶ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων, ἀνήγγειλάν τε ὅσα ὁ Θεὸς ἐποίησεν μετ᾽ αὐτῶν.[1] **5** Ἐξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν Φαρισαίων πεπιστευκότες,[2] λέγοντες ὅτι «Δεῖ περιτέμνειν αὐτούς, παραγγέλλειν[3] τε τηρεῖν τὸν νόμον Μωσέως.»[4]

The Council

6 Συνήχθησαν δὲ[5] οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου. **7** Πολλῆς δὲ συζητήσεως[6] γενομένης, ἀναστὰς Πέτρος εἶπεν πρὸς αὐτούς· «Ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε ὅτι ἀφ᾽ ἡμερῶν ἀρχαίων ὁ Θεὸς ἐν ὑμῖν ἐξελέξατο,[7] διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου καὶ πιστεῦσαι. **8** Καὶ ὁ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν αὐτοῖς δοὺς αὐτοῖς[8] τὸ Πνεῦμα τὸ Ἅγιον, καθὼς καὶ ἡμῖν· **9** καὶ οὐδὲν[9] διέκρινεν μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν. **10** Νῦν οὖν, τί πειράζετε τὸν Θεόν, ἐπιθεῖναι[10] ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν ὃν οὔτε οἱ πατέρες ἡμῶν οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; **11** Ἀλλά, διὰ τῆς χάριτος τοῦ[11] Κυρίου Ἰησοῦ[12] πιστεύομεν σωθῆναι, καθ᾽ ὃν τρόπον κἀκεῖνοι.»

12 Ἐσίγησεν δὲ πᾶν τὸ πλῆθος[13] καὶ ἤκουον Βαρνάβα καὶ Παύλου ἐξηγουμένων ὅσα ἐποίησεν ὁ Θεὸς σημεῖα καὶ τέρατα ἐν τοῖς ἔθνεσιν δι᾽ αὐτῶν. **13** Μετὰ δὲ τὸ σιγῆσαι αὐτούς, ἀπεκρίθη Ἰάκωβος λέγων· **14** «Ἄνδρες ἀδελφοί, ἀκούσατέ μου. Συμεὼν ἐξηγήσατο καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν ἐπὶ[14] τῷ ὀνόματι αὐτοῦ. **15** Καὶ τούτῳ[15] συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν, καθὼς γέγραπται· **16** ‹Μετὰ ταῦτα ἀναστρέψω, καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαυίδ, τὴν πεπτωκυῖαν· καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω καὶ ἀνορθώσω αὐτήν· **17** ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον, καὶ πάντα τὰ ἔθνη—ἐφ᾽ οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ᾽ αὐτούς—λέγει Κύριος ὁ[16] ποιῶν ταῦτα πάντα.›[17] **18** Γνωστὰ ἀπ᾽ αἰῶνός ἐστιν τῷ Θεῷ πάντα τὰ ἔργα αὐτοῦ.[18] **19** Διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν Θεόν, **20** ἀλλ᾽[19] ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ[20] τῶν ἀλισγημάτων τῶν εἰδώλων[21] καὶ τῆς πορνείας καὶ τοῦ πνικτοῦ καὶ τοῦ αἵματος. **21** Μωσῆς[22] γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει, ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος.»

The edict

22 Τότε ἔδοξεν τοῖς ἀποστόλοις καὶ τοῖς πρεσβυτέροις, σὺν ὅλῃ τῇ ἐκκλησίᾳ, ἐκλεξαμένους

---

[1] υπο **f**[35] ℵA [99%] HF,RP,OC,TR,CP ¦ απο B,C [1%] NU
[2] πεπιστευκοτες *rell* ¦ πεπιστευκοτων [15%]
[3] παραγγελλειν *rell* ¦ παραγγελειν [15%] ¦ four further spellings ℵ [5%]
[4] μωσεως **f**[35] A,D [35%] CP ¦ μωυσεως **𝔓**[45]ℵB,C [60%] HF,RP,OC,TR,NU ¦ μωυσεος [5%]
[5] δε **f**[35] ℵA,D [97%] HF,RP,OC,TR,CP ¦ τε B,C [3%] NU
[6] συζητησεως **f**[35] (C,D) [95%] HF,RP,OC,TR,CP ¦ ζητησεως **𝔓**[45]ℵA,B [5%] NU
[7] ο θεος εν υμιν εξελεξατο **f**[35] [30%] ¦ 123 ημιν 5 [55%] HF,RP,OC,TR,CP ¦ 12 ημιν 5 [5%] ¦ 125 (1.5%) ¦ ~ 34512 ℵA,B,C [5%] NU ¦ ~ 3 ημιν 512 [1%] ¦ ~ 3 ημιν 125 [1%] ¦ ~ ημιν 125 (D) [1%]
[8] αυτοις **f**[35] C(D) [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [3%] NU
[9] ουδεν **f**[35] ℵA,C,D [40%] HF,RP,OC,TR,CP ¦ ουθεν B [60%] NU
[10] επιθειναι *rell* ¦ επιθηναι [22%]
[11] του *rell* ¦ --- [5%] TR
[12] ιησου **f**[35] ℵA,B [95%] HF,RP,OC,NU ¦ 1 χριστου C,D [5%] TR,CP
[13] παν το πληθος *rell* ¦ ~ 23 απαν CP ¦ απαν 23 [2%] ¦ 23 [1%]
[14] επι **f**[35] [87%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [13%] NU
[15] τουτω *rell* ¦ τουτο [25%] ¦ ουτως D
[16] ο **f**[35] A,C [98%] HF,RP,OC,TR,CP ¦ --- ℵB,D [2%] NU
[17] ταυτα παντα **f**[35] [48%] HF,RP,OC,TR ¦ ~ 21 [45%] CP ¦ 1 ℵA,B,C,D [7%] NU
[18] εστιν (εισιν 6%; −ε. A 1%) τω θεω (κυριω A,D 2.5%) παντα (−π. A,D 2.5%) τα εργα (το εργον A,D 1%) αυτου **f**[35] (A,D) [90%] HF,RP,OC,TR ¦ --- ℵB,C [5%] NU ¦ CP gives the whole verse as: α εστι γνωστα απ αιωνος αυτω (5%)
[19] αλλ **f**[35] **𝔓**[45]B,C [55%] ¦ αλλα ℵA [45%] HF,RP,OC,TR,CP,NU
[20] απο **f**[35] A,C [98%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[45]ℵB,D [2%] NU
[21] ειδωλων *rell* ¦ ειδολων [20%]
[22] μωσης **f**[35] **𝔓**[45]A [35%] TR ¦ μωυσης ℵB,C,D [65%] HF,RP,OC,CP,NU

ἄνδρας ἐξ αὐτῶν πέμψαι εἰς Ἀντιόχειαν σὺν[1] Παύλῳ καὶ Βαρνάβᾳ· Ἰούδαν (τὸν ἐπικαλούμενον[2] Βαρσαβᾶν)[3] καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς· **23** γράψαντες διὰ χειρὸς αὐτῶν τάδε·[4] «Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι καὶ οἱ[5] ἀδελφοί, τοῖς κατὰ[6] Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν· Χαίρειν. **24** Ἐπειδὴ[7] ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν[8] ἐξελθόντες[9] ἐτάραξαν ὑμᾶς λόγοις, ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, λέγοντες περιτέμνεσθαι καὶ τηρεῖν τὸν νόμον[10]—οἷς οὐ διεστειλάμεθα—**25** ἔδοξεν ἡμῖν, γενομένοις ὁμοθυμαδόν, ἐκλεξαμένοις[11] ἄνδρας πέμψαι πρὸς ὑμᾶς σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ,[12] **26** ἀνθρώποις παραδεδωκόσιν τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. **27** Ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. **28** Ἔδοξεν γὰρ τῷ Ἁγίῳ Πνεύματι,[13] καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος πλὴν τῶν ἐπάναγκες τούτων·[14] **29** ἀπέχεσθαι εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτοῦ[15] καὶ πορνείας·[16] ἐξ ὧν διατηροῦντες ἑαυτοὺς εὖ πράξετε.[17] Ἔρρωσθε.»

Good results

30 Οἱ μὲν οὖν ἀπολυθέντες ἦλθον[18] εἰς Ἀντιόχειαν, καὶ συναγαγόντες τὸ πλῆθος ἐπέδωκαν[19] τὴν ἐπιστολήν. **31** Ἀναγνόντες[20] δὲ ἐχάρησαν ἐπὶ τῇ παρακλήσει. **32** Ἰούδας τε[21] καὶ Σίλας, καὶ αὐτοὶ προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφοὺς καὶ ἐπεστήριξαν. **33** Ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ᾽ εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς ἀποστόλους.[22,23] **35** Παῦλος δὲ καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ, διδάσκοντες καὶ εὐαγγελιζόμενοι, μετὰ καὶ ἑτέρων πολλῶν, τὸν λόγον τοῦ Κυρίου.

---

[1] συν **f**[35] D [93%] HF,RP,CP ¦ 1 τω ℵA,B,C [7%] OC,TR,NU
[2] επικαλουμενον **f**[35] [87%] HF,RP,OC,TR,CP ¦ καλουμενον **𝔓**[45]ℵA,B,C,D [13%] NU
[3] βαρσαβαν **f**[35] [50%] TR ¦ βαρσαββαν ℵA,B,C(D) [50%] HF,RP,OC,CP,NU
[4] ταδε **f**[35] (C,D) (97.7%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**[45]ℵA,B (1.3%) NU ¦ ταυτα (0.8%) ¦ one other variant
[5] και οι **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [3%] NU
[6] κατα **f**[35] [20%] ¦ 1 την ℵA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU
[7] επειδη *rell* ¦ επιδη D [14%] ¦ επι δε ℵ [1%]
[8] εξ ημων **f**[35] A,B,C [95%] HF,RP,OC,TR,NU ¦ --- [4%] CP ¦ 1 υμων ℵ [1%]
[9] εξελθοντες **f**[35] A(C)D (95%) HF,RP,OC,TR,CP[NU] ¦ ελθοντες (3.3%) ¦ --- ℵB (1.7%)
[10] λεγοντες περιτεμνεσθαι και τηρειν τον νομον **f**[35] C [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[45v]ℵA,B [4%] NU
[11] εκλεξαμενοις **f**[35] **𝔓**[45v]A,B [35%] CP,NU ¦ εκλεξαμενους ℵC,D [65%] HF,RP,OC,TR
[12] παυλω *rell* ¦ παυλου [5%] CP
[13] αγιω πνευματι **f**[35] C,D [95%] HF,RP,OC,TR,CP ¦ ~ 2 τω 1 ℵA,B [5%] NU
[14] των επαναγκες τουτων **f**[35] [63%] HF,RP,OC,TR,CP ¦ ~ 312 B,C [30%] NU ¦ 12 (A) [5%] ¦ ~ 32 (ℵ)D [2%]
[15] πνικτου **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ πνικτων ℵA,B,C [3%] NU ¦ --- D
[16] πορνειας *rell* ¦ 1 και οσα μη θελετε εαυτοις γινεσθαι ετεροις μη ποιειν (ποιειτε CP) D [5%] (CP)
[17] πραξετε *rell* ¦ πραξατε (D) [8%] CP ¦ four other variants C [2%]
[18] ηλθον **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ κατηλθον ℵA,B,C(D) [6%] NU ¦ απηλθον [4%]
[19] επεδωκαν *rell* ¦ εδωκαν [25%] ¦ one other variant
[20] αναγνοντες *rell* ¦ αναγνωντες [15%]
[21] τε *rell* ¦ δε D [5%] [some TRs]
[22] αποστολους **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ αποστειλαντας αυτους A,B,C,D [5%] NU ¦ αποστειλαντας εαυτους ℵ
[23] 1) (omit verse 34) **f**[35] ℵA,B (70.8%) HF,RP,NU
2) εδοξεν δε τω σιλα επιμειναι αυτου (20.3%) OC,TR (OC is in small print)
3) εδοξεν δε τω σιλα επιμειναι αυτοθι (7.5%) CP
4) εδοξεν δε τω σιλα επιμειναι αυτους C(D) (1%)
(two other readings) (0.4%)
(RP,HF,NU agree that variant 1) is correct, and indeed verse 33 seems to require that Silas returned to Jerusalem; "they were sent back … to the apostles", and "they" refers to Judas and Silas. The 'problem' is that in verse 40 Paul chooses Silas to accompany him, so he had to be in Antioch, not Jerusalem. Accordingly, the longer reading was created to solve the 'problem'. The "some days" of verse 36 could well have been a month or two. From Antioch to Jerusalem would be a trip of some 400 miles. Silas had time to go to Jerusalem and get back to Antioch.)

Missionary journey II—Paul and Silas

Paul and Barnabas separate

36 Μετὰ δέ τινας ἡμέρας εἶπεν Παῦλος πρὸς Βαρνάβαν,[1] «Ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς ἡμῶν[2] κατὰ πᾶσαν πόλιν[3] ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ Κυρίου, πῶς ἔχουσιν.» **37** Βαρνάβας δὲ ἐβουλεύσατο[4] συμπαραλαβεῖν καὶ[5] Ἰωάννην (τὸν καλούμενον[6] Μᾶρκον). **38** Παῦλος δὲ ἠξίου, τὸν ἀποστάντα ἀπ᾽ αὐτῶν ἀπὸ Παμφυλίας καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον μὴ συμπαραλαβεῖν[7] τοῦτον. **39** Ἐγένετο οὖν[8] παροξυσμὸς ὥστε χωρισθῆναι[9] αὐτοὺς ἀπ᾽ ἀλλήλων. Τόν τε[10] Βαρνάβαν παραλαβόντα τὸν Μᾶρκον ἐκπλεῦσαι εἰς Κύπρον· **40** Παῦλος δὲ ἐπιλεξάμενος Σίλαν ἐξῆλθεν, παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ[11] ὑπὸ τῶν ἀδελφῶν. **41** Διήρχετο δὲ τὴν Συρίαν καὶ Κιλικίαν,[12] ἐπιστηρίζων τὰς ἐκκλησίας.

Paul finds Timothy

16:1 Κατήντησεν δὲ[13] εἰς Δέρβην καὶ[14] Λύστραν. Καὶ ἰδού, μαθητής τις ἦν ἐκεῖ[15] ὀνόματι Τιμόθεος, υἱὸς γυναικός τινος[16] Ἰουδαίας πιστῆς, πατρὸς δὲ Ἕλληνος· **2** ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν. **3** Τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ ἐξελθεῖν, καὶ λαβὼν περιέτεμεν αὐτὸν διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις, ᾔδεσαν[17] γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ ὅτι Ἕλλην[18] ὑπῆρχεν. **4** Ὡς δὲ διεπορεύοντο[19] τὰς πόλεις παρεδίδουν[20] αὐτοῖς φυλάσσειν τὰ δόγματα—τὰ κεκριμένα ὑπὸ τῶν ἀποστόλων καὶ τῶν[21] πρεσβυτέρων τῶν ἐν Ἰερουσαλήμ.[22] **5** Αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει, καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ᾽ ἡμέραν.

The ‘Macedonian call’

6 Διελθόντες[23] δὲ τὴν Φρυγίαν καὶ τὴν[24] Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ Ἁγίου Πνεύματος λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ, **7** ἐλθόντες[25] κατὰ τὴν Μυσίαν ἐπείραζον κατὰ[26] τὴν

---

[1] παυλος προς βαρναβαν **f**[35] (D) [96%] HF,RP,OC,TR,CP ¦ ~ 231 ℵA,B,C [2%] NU ¦ ~ 23 o 1 [2%]
[2] ημων **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [10%] NU
[3] πασαν πολιν **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B,C [3%] NU
[4] εβουλευσατο **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ εβουλετο ℵA,B,C [5%] NU ¦ εβουλευετο D ¦ two other variants [2%]
[5] και **f**[35] A,C [39%] ¦ 1 τον ℵB [3%] NU ¦ τον [50%] HF,RP,OC,TR,CP ¦ --- D [8%]
[6] καλουμενον *rell* ¦ επικαλουμενον C,D [20%] OC
[7] συμπαραλαβειν **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ συμπαραλαμβανειν 𝔓[45v](ℵA,B,C) [8%] NU ¦ D is wild
[8] ουν **f**[35] C [90%] HF,RP,OC,TR,CP ¦ δε 𝔓[45]ℵA,B,D [10%] NU
[9] χωρισθηναι **f**[35] [20%] ¦ αποχωρισθηναι ℵA,B,C,D [75%] HF,RP,OC,TR,CP,NU ¦ four other variants [5%]
[10] τε *rell* ¦ δε [20%] ¦ τοτε D
[11] θεου **f**[35] 𝔓[45]C [97%] HF,RP,OC,TR,CP ¦ κυριου ℵA,B(D) [3%] NU
[12] κιλικιαν **f**[35] ℵA,C [98%] HF,RP,OC,TR,CP ¦ την 1 B,D [2%] [NU] ¦ της κιλικιας 𝔓[45]
[13] δε **f**[35] ℵC [95%] HF,RP,OC,TR,CP ¦ 1 και 𝔓[45]A,B [5%] [NU] ¦ --- D
[14] και **f**[35] C,D [96%] HF,RP,OC,TR,CP ¦ 1 εις ℵA,B [4%] NU
[15] εκει *rell* ¦ --- CP
[16] τινος **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [10%] NU (OC is in small print)
[17] ηδεσαν **f**[35] [22%] ¦ ηδεισαν ℵA,B,C,D [65%] HF,RP,OC,TR,CP,NU ¦ ηδησαν [10%] ¦ two other variants [3%] (Imperfect or Pluperfect? The Imperfect fits the context better.)
[18] τον πατερα αυτου οτι ελλην **f**[35] 𝔓[45v]D [95%] HF,RP,OC,TR,CP ¦ ~ 45 o πατηρ 3 ℵA,B,C [5%] NU
[19] διεπορευοντο *rell* ¦ επορευοντο [10%] CP ¦ διερχομενοι D
[20] παρεδιδουν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ παρεδιδοσαν 𝔓[45v]ℵA,B,D [4%] NU ¦ παρεδιδουσαν C ¦ παρεδιδωσαν [1%]
[21] των **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [10%] NU
[22] ιερουσαλημ **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ιεροσολυμοις ℵA,B,C [4%] NU
[23] διελθοντες **f**[35] [80%] HF,RP,OC,TR,CP ¦ διηλθον ℵA,B,C,D [20%] NU
[24] την **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [5%] NU
[25] ελθοντες **f**[35] [80%] HF,RP,OC,TR,CP ¦ 1 δε ℵA,B,C,D [20%] NU
[26] κατα **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ εις ℵA,B,C,D [10%] NU

Βιθυνίαν πορεύεσθαι,[1] καὶ οὐκ εἴασεν αὐτοὺς τὸ Πνεῦμα.[2] **8** Παρελθόντες δὲ τὴν Μυσίαν κατέβησαν εἰς Τρῳάδα.

9 Καὶ ὅραμα διὰ τῆς[3] νυκτὸς ὤφθη τῷ Παύλῳ·[4] ἀνήρ τις ἦν Μακεδὼν[5] ἑστώς,[6] παρακαλῶν αὐτὸν καὶ λέγων, «Διαβὰς εἰς τὴν[7] Μακεδονίαν,[8] βοήθησον ἡμῖν.» **10** Ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς τὴν[9] Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος[10] εὐαγγελίσασθαι αὐτούς.

Philippi

11 Ἀναχθέντες οὖν[11] ἀπὸ τῆς[12] Τρῳάδος, εὐθυδρομήσαμεν εἰς τὴν[13] Σαμοθρᾴκην, τῇ τε[14] ἐπιούσῃ εἰς Νεάπολιν· [15] **12** ἐκεῖθέν τε[16] εἰς Φιλίππους, ἥτις ἐστὶν πρώτη τῆς[17] μερίδος τῆς[18] Μακεδονίας πόλις, κολωνεία.[19] Ἦμεν δὲ ἐν αὐτῇ[20] τῇ πόλει διατρίβοντες ἡμέρας τινάς. **13** Τῇ τε ἡμέρᾳ τῶν σαββάτων ἐξήλθομεν ἔξω τῆς πόλεως[21] παρὰ ποταμόν, οὗ ἐνομίζετο[22] προσευχὴ[23] εἶναι, καὶ καθίσαντες[24] ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξίν. **14** Καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις[25] πόλεως Θυατείρων,[26] σεβομένη τὸν Θεόν, ἤκουεν,[27] ἧς ὁ Κύριος διήνοιξεν τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου. **15** Ὡς δὲ ἐβαπτίσθη αὐτῇ,[28] καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσεν λέγουσα, «Εἰ κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ εἶναι,[29] εἰσελθόντες εἰς τὸν οἶκόν μου, μείνατε.»[30] Καὶ παρεβιάσατο ἡμᾶς.

Prison

16 Ἐγένετο δέ, πορευομένων ἡμῶν εἰς[31] προσευχήν, παιδίσκην τινὰ ἔχουσαν πνεῦμα

---

[1] πορευεσθαι **f**[35] C,D [97%] HF,RP,OC,TR,CP ¦ πορευθηναι ℵA,B [3%] NU
[2] πνευμα **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ 1 ιησου ℵA,B,D [6%] NU ¦ 1 κυριου C
[3] της **f**[35] ℵC [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- A,B,D [2%]
[4] ωφθη τω παυλω **f**[35] A,C,D [94%] HF,RP,OC,TR,CP ¦ ~ 231 ℵB [4%] NU ¦ εφανη 23 [2%]
[5] τις ην μακεδων **f**[35] [89%] HF,RP,OC,TR,CP ¦ ~ 312 (ℵA)B(C) [4%] NU ¦ 13 [5%] ¦ ~ 31 D [1%] ¦ two other variants [1%]
[6] εστως **f**[35] (D) [90%] HF,RP,OC,TR,CP ¦ 1 και ℵA,B,C [10%] NU
[7] την **f**[35] [20%] ¦ --- ℵA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU
[8] μακεδονιαν *rell* ¦ μακεδωνιαν [6%] CP ¦ μακαιδονιαν A [1%] (CP has the same vowel shift in verses 10 and 12.)
[9] την **f**[35] [75%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [25%] NU ¦ D is wild
[10] κυριος **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ θεος ℵA,B,C [5%] NU
[11] ουν **f**[35] B,C [95%] HF,RP,OC,TR,CP ¦ δε ℵA [4%] NU ¦ --- D [1%]
[12] της **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [7%] NU
[13] την **f**[35] [20%] ¦ --- ℵA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU
[14] τε **f**[35] [90%] HF,RP,TR,CP ¦ δε ℵA,C [10%] OC,NU ¦ δ B ¦ και D
[15] νεαπολιν **f**[35] C,D [97%] HF,RP,OC,TR,CP ¦ νεαν πολιν ℵA,B [3%] NU
[16] εκειθεν τε **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ κακειθεν ℵA,B(C)D [5%] NU ¦ 1 δε [5%]
[17] πρωτη της **f**[35] ℵA,C [84%] HF,RP,OC,TR,CP ¦ 1 B [16%] ¦ κεφαλη D ¦ πρωτης [none!] [NU] (NU has a conjecture)
[18] μεριδος της *rell* ¦ 1 ℵA,C [10%] ¦ --- D [10%] (homoioteleuton)
[19] κολωνεια **f**[35] [82%] HF,RP,CP ¦ κολωνια ℵB,C,D [12%] OC,TR,NU ¦ κωλωνεια [5%] ¦ κωλωνια A ¦ three other variants [1%]
[20] αυτη **f**[35] [93%] HF,RP,OC,CP ¦ ταυτη ℵA,B,C,D [6%] TR,NU ¦ one other variant
[21] πολεως **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ πυλης ℵA,B,C,D [5%] NU
[22] ενομιζετο **f**[35] A [96%] HF,RP,OC,TR,CP ¦ ενομιζομεν B [2%] NU ¦ ενομιζαμεν C ¦ ενομιζεν ℵ [1%] ¦ εδοκει D
[23] προσευχη **f**[35] A,B,D [84%] HF,RP,OC,TR,CP ¦ προσευχην ℵC [2%] NU ¦ ευχη [14%]
[24] καθισαντες *rell* ¦ καθησαντες [10%] ¦ καθεισαντες A
[25] πορφυροπωλις *rell* ¦ πορφυροπολις [30%] ¦ πορφυροπωλεις A ¦ πορφυροπολεις [3%] ¦ one other variant
[26] θυατειρων *rell* ¦ θυατηρων [25%] ¦ three other variants [1%]
[27] ηκουεν *rell* ¦ ηκουσεν D [30%]
[28] αυτη **f**[35] [20%] ¦ --- ℵA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU
[29] τω κυριω ειναι *rell* ¦ ~ 312 [5%] CP ¦ 3 [5%]
[30] μεινατε **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ μενετε 𝔓[45]ℵA,B,D [3%] NU ¦ μινατε C ¦ μενεται [1%]
[31] εις **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ 1 την 𝔓[45]ℵA,B,C [5%] NU

Πύθωνος[1] ἀπαντῆσαι[2] ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχεν τοῖς κυρίοις αὐτῆς μαντευομένη. **17** Αὕτη κατακολουθήσασα[3] τῷ Παύλῳ καὶ τῷ Σίλᾳ[4] ἔκραζεν[5] λέγουσα, «Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου εἰσίν, οἵτινες καταγγέλλουσιν[6] ἡμῖν[7] ὁδὸν σωτηρίας.» **18** Τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς ἡμέρας. Διαπονηθεὶς δὲ ὁ[8] Παῦλος, καὶ ἐπιστρέψας τῷ πνεύματι εἶπεν, «Παραγ-γέλλω[9] σοι ἐν τῷ[10] ὀνόματι Ἰησοῦ Χριστοῦ ἐξελθεῖν ἀπ᾽ αὐτῆς.» Καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ.

19 Ἰδόντες δὲ οἱ κύριοι αὐτῆς ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν[11] Σίλαν εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας, **20** καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς εἶπον,[12] «Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες, **21** καὶ καταγγέλλουσιν[13] ἔθη ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσιν.» **22** Καὶ συνεπέστη ὁ ὄχλος κατ᾽ αὐτῶν, καὶ οἱ στρατηγοὶ περιρρήξαντες[14] αὐτῶν τὰ ἱμάτια[15] ἐκέλευον ῥαβδίζειν. **23** Πολλάς τε ἐπιθέντες αὐτοῖς πληγάς, ἔβαλον εἰς φυλακήν, παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς· **24** ὅς, παραγγελίαν τοιαύτην εἰληφώς,[16] ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν[17] φυλακὴν καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο[18] εἰς τὸ ξύλον.

The Jailor Converts

25 Κατὰ δὲ τὸ μεσονύκτιον Παῦλος καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεόν· ἐπηκροῶντο[19] δὲ αὐτῶν οἱ δέσμιοι. **26** Ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου·[20] ἀνεῴχθησάν[21] δὲ[22] παραχρῆμα αἱ θύραι πᾶσαι καὶ πάντων τὰ δεσμὰ ἀνέθη. **27** Ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας τῆς φυλακῆς, σπασάμενος[23] μάχαιραν, ἔμελλεν[24] ἑαυτὸν ἀναιρεῖν, νομίζων ἐκπεφευγέναι τοὺς δεσμίους.

28 Ἐφώνησεν δὲ φωνῇ μεγάλῃ ὁ Παῦλος[25] λέγων, «Μηδὲν πράξῃς[26] σεαυτῷ κακόν, ἅπαντες γάρ ἐσμεν ἐνθάδε.» **29** Αἰτήσας δὲ φῶτα εἰσεπήδησεν[27] καὶ ἔντρομος γενόμενος προσέπεσεν τῷ Παύλῳ καὶ τῷ[28] Σίλᾳ. **30** Καὶ προαγαγὼν αὐτοὺς ἔξω ἔφη, «Κύριοι, τί με δεῖ ποιεῖν ἵνα σωθῶ;»

---

[1] πυθωνος **f**[35] **𝔓**[45] [97%] HF,RP,OC,TR,CP ¦ πυθωνα ℵA,B,C,D [3%] NU
[2] απαντησαι **f**[35] A,D [96%] HF,RP,OC,TR,CP ¦ υπαντησαι **𝔓**[45]ℵB,C [4%] NU
[3] κατακολουθησασα **f**[35] A,C [98%] HF,RP,OC,TR,CP ¦ κατακολουθουσα ℵB,D [2%] NU ¦ κατακολουθουσαν **𝔓**[45]
[4] τω σιλα **f**[35] [40%] OC ¦ ημιν **𝔓**[45]ℵA,B,C(D) [60%] HF,RP,TR,CP,NU (Who was put in prison?)
[5] εκραζεν *rell* ¦ εκραξε [17%] CP ¦ εκραζον D
[6] καταγγελλουσιν *rell* ¦ καταγγελουσιν [30%] ¦ ευαγγελιζοντες D
[7] ημιν **f**[35] A,C [80%] HF,RP,OC,TR,CP ¦ υμιν ℵB(D) [20%] NU
[8] ο **f**[35] C,D [98%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[45]ℵA,B [2%] NU
[9] παραγγελλω *rell* ¦ παραγγελω C [18%]
[10] τω **f**[35] D [93%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [7%] NU
[11] τον *rell* ¦ --- C,D [5%] CP
[12] ειπον *rell* ¦ ειπαν ℵA,B [2%] NU
[13] καταγγελλουσιν *rell* ¦ καταγγελουσιν [25%] ¦ one other variant
[14] περιρρηξαντες **f**[35] [82%] HF,RP,OC,TR,CP ¦ περιρηξαντες ℵA,B,C,D [18%] NU
[15] αυτων τα ιματια *rell* ¦ ~ 231 [1%] CP
[16] ειληφως **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ λαβων ℵA,B,C,D [5%] NU
[17] εσωτεραν *rell* ¦ εσοτεραν [12%] CP
[18] αυτων ησφαλισατο **f**[35] (D) [97%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B,C [3%] NU
[19] επηκροωντο *rell* ¦ επικροωντο [40%]
[20] δεσμωτηριου *rell* ¦ δεσμοτηριου [14%]
[21] ανεωχθησαν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ηνεωχθησαν B,C,D [3%] NU ¦ ηνοιχθησαν ℵA [2%]
[22] δε **f**[35] ℵA,B,D [30%] NU ¦ τε C [70%] HF,RP,OC,TR,CP
[23] σπασαμενος **f**[35] ℵA [98%] HF,RP,OC,TR,CP ¦ 1 την B,C,D [2%] [NU]
[24] εμελλεν **f**[35] D [85%] HF,RP,OC,TR,CP ¦ ημελλεν ℵA,B,C [15%] NU
[25] φωνη μεγαλη ο παυλος **f**[35] D (91.3%) HF,RP,OC,TR,CP ¦ ~ 2134 A (0.8%) [NU] ¦ ~ 3412 (3.5%) ¦ ~ 214 [1%] ¦ 124 ℵC (3.1%) ¦ ~ 421 B ¦ three other variants (1%)
[26] πραξης *rell* ¦ πραξεις [13%] ¦ one other variant
[27] εισεπηδησεν *rell* ¦ εισεπιδησεν [5%] CP
[28] τω **f**[35] ℵA [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- B,C,D [2%]

31 Οἱ δὲ εἶπον,[1] «Πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν[2] καὶ σωθήσῃ, σὺ καὶ ὁ οἶκός σου.» **32** Καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ Κυρίου καὶ πᾶσιν[3] τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ. **33** Καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς ἔλουσεν ἀπὸ τῶν πληγῶν, καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ αὐτοῦ πάντες[4] παραχρῆμα. **34** Ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ[5] παρέθηκεν τράπεζαν, καὶ ἠγαλλιᾶτο,[6] πανοικὶ[7] πεπιστευκὼς τῷ Θεῷ.

Magistrates Rebuked

35 Ἡμέρας δὲ γενομένης ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς ῥαβδούχους λέγοντες, «Ἀπόλυσον τοὺς ἀνθρώπους ἐκείνους.» **36** Ἀπήγγειλεν δὲ ὁ δεσμοφύλαξ τοὺς λόγους τούτους[8] πρὸς τὸν Παῦλον, ὅτι «Ἀπεστάλκασιν[9] οἱ στρατηγοὶ ἵνα ἀπολυθῆτε· νῦν οὖν ἐξελθόντες πορεύεσθε ἐν εἰρήνῃ.» **37** Ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτούς· «Δήραντες[10] ἡμᾶς δημοσίᾳ, ἀκατακρίτους, ἀνθρώπους Ῥωμαίους ὑπάρχοντας, ἔβαλον[11] εἰς φυλακήν, καὶ νῦν λάθρᾳ ἡμᾶς ἐκβάλλουσιν; Οὐ γάρ· ἀλλὰ[12] ἐλθόντες αὐτοὶ[13] ἐξαγαγέτωσαν.» **38** Ἀνήγγειλαν[14] δὲ τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα· ἐφοβήθησαν δὲ[15] ἀκούσαντες ὅτι Ῥωμαῖοί εἰσιν· **39** καὶ ἐλθόντες παρεκάλεσαν αὐτούς, καὶ ἐξαγαγόντες ἠρώτων ἐξελθεῖν[16] τῆς[17] πόλεως. **40** Ἐξελθόντες δὲ ἀπὸ[18] τῆς φυλακῆς εἰσῆλθον πρὸς[19] τὴν Λυδίαν, καὶ ἰδόντες τοὺς ἀδελφοὺς παρεκάλεσαν αὐτοὺς[20] καὶ ἐξῆλθον.

Thessalonica

17:1 Διοδεύσαντες δὲ τὴν Ἀμφίπολιν καὶ[21] Ἀπολλωνίαν, ἦλθον εἰς Θεσσαλονίκην, ὅπου ἦν ἡ[22] συναγωγὴ τῶν Ἰουδαίων. **2** Κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ, εἰσῆλθεν πρὸς αὐτοὺς καὶ ἐπὶ σάββατα τρία διελέγετο[23] αὐτοῖς ἀπὸ τῶν Γραφῶν, **3** διανοίγων καὶ παρατιθέμενος ὅτι τὸν Χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι «οὗτός ἐστιν Ἰησοῦς ὁ Χριστὸς[24] ὃν ἐγὼ καταγγέλλω ὑμῖν.» **4** Καί τινες ἐξ αὐτῶν ἐπείσθησαν καὶ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, τῶν τε σεβομένων Ἑλλήνων πλῆθος πολύ,[25] γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι.

5 Προσλαβόμενοι δὲ οἱ Ἰουδαῖοι οἱ ἀπειθοῦντες[26] τῶν ἀγοραίων ἄνδρας τινὰς[27] πονηρούς,

---

[1] ειπον *rell* ¦ ειπαν ℵA,B,D [3%] NU
[2] χριστον **f**[35] C,D [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [3%] NU
[3] και πασιν **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ συν 2 A,C,D [6%] NU ¦ συμπασιν **𝔓**[45]ℵ [2%] ¦ συ πασιν B
[4] αυτου παντες **f**[35] (A)C,D (89.6%) HF,RP,OC,TR,NU ¦ 1 απαντες ℵB (4.1%) ¦ 1 ολος **𝔓**[45] ¦ 1 (3.9%) CP ¦ αυτω 2 (1.9%) ¦ one other variant
[5] αυτου **f**[35] ℵA(D) [80%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[45]B,C [20%] NU
[6] ηγαλλιατο **f**[35] C,D [70%] HF,RP,OC ¦ ηγαλλιασατο ℵA,B [30%] TR,CP,NU
[7] πανοικι **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ πανοικει **𝔓**[45]ℵA,B,C [4%] NU ¦ D is wild
[8] τουτους **f**[35] ℵA [99%] HF,RP,OC,TR,CP[NU] ¦ --- B,C,D [1%]
[9] απεσταλκασιν **f**[35] D [97%] HF,RP,OC,TR,CP ¦ απεσταλκαν **𝔓**[45]ℵA,B [2%] NU ¦ απεστειλαν C [1%]
[10] δηραντες **f**[35] [32%] CP ¦ δειραντες A,B,D [67%] HF,RP,OC,TR,NU ¦ διραντες ℵ [1%]
[11] εβαλον *rell* ¦ εβαλαν B,D,NU
[12] αλλα *rell* ¦ αλλ [23%]
[13] αυτοι **f**[35] [75%] HF,RP ¦ 1 ημας **𝔓**[45]ℵA,B,D [25%] OC,TR,CP,NU
[14] ανηγγειλαν **f**[35] [65%] HF,RP,OC,TR,CP ¦ απηγγειλαν **𝔓**[45](ℵ)A,B,D [35%] NU
[15] εφοβηθησαν δε **f**[35] **𝔓**[45]ℵA,B [20%] NU ¦ ~ και 1 [80%] HF,RP,OC,TR,CP ¦ ~ 21 (D)
[16] εξελθειν **f**[35] **𝔓**[45v](D) [96%] HF,RP,OC,TR,CP ¦ απελθειν (ℵ)A,B [4%] NU
[17] της **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ απο 1 ℵA,B [5%] NU ¦ εκ 1 D [2%]
[18] απο **f**[35] ℵB [20%] NU ¦ εκ A,D [80%] HF,RP,OC,TR,CP
[19] προς *rell* ¦ εις [5%] TR
[20] τους αδελφους παρεκαλεσαν αυτους **f**[35] (D) [98%] HF,RP,OC,TR,CP ¦ ~ 312 ℵA,B [2%] NU
[21] και **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ 1 την ℵA,B [4%] NU
[22] η **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [4%] NU
[23] διελεγετο **f**[35] [92%] OC,TR,CP ¦ διελεξατο ℵA,B [5%] HF,RP,NU ¦ διελεχθη D [3%]
[24] ιησους ο χριστος **f**[35] [20%] ¦ ~ 231 [75%] HF,RP,OC,TR,CP ¦ ~ 2321 B[NU] ¦ 13 ℵ [3%] ¦ ~ 31 A,D [2%]
[25] πληθος πολυ **f**[35] ℵA,B,D [20%] NU ¦ ~ 21 [80%] HF,RP,OC,TR,CP
[26] προσλαβομενοι δε οι ιουδαιοι οι απειθουντες **f**[35] [75%] HF,RP,CP ¦ ~ ζηλωσαντες 23456 και 1 [12%] ¦ ~ ζηλωσαντες 234 και 1 ℵA,B [5%] NU ¦ ~ ζηλωσαντες 2564 και 1 [3%] TR ¦ ~ ζηλωσαντες 234 και 156 [3%] ¦ ~ 12364 [2%] ¦ ~ 3264 συστρεψαντες D ¦ ~ 12364 OC
[27] ανδρας τινας **f**[35] A,B [20%] NU ¦ ~ 21 ℵ(D) [75%] HF,RP,OC,TR,CP ¦ 1 [5%]

καὶ ὀχλοποιήσαντες ἐθορύβουν τὴν πόλιν· ἐπιστάντες τε[1] τῇ οἰκίᾳ Ἰάσονος,[2] ἐζήτουν αὐτοὺς ἀγαγεῖν[3] εἰς τὸν δῆμον. **6** Μὴ εὑρόντες δὲ αὐτούς, ἔσυρον[4] τὸν[5] Ἰάσονα[6] καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας, βοῶντες ὅτι «Οἱ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισιν, **7** οὓς ὑποδέδεκται Ἰάσων· καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος πράσσουσιν,[7] βασιλέα ἕτερον λέγοντες[8] εἶναι[9]—Ἰησοῦν.» **8** Ἐτάραξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρχας ἀκούοντας ταῦτα. **9** Καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος[10] καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς.

Berea

10 Οἱ δὲ ἀδελφοὶ εὐθέως, διὰ τῆς νυκτός,[11] ἐξέπεμψαν τόν τε[12] Παῦλον καὶ τὸν Σίλαν εἰς Βέρροιαν·[13] οἵτινες παραγενόμενοι εἰς τὴν συναγωγὴν ἀπῆεσαν τῶν Ἰουδαίων.[14] **11** Οὗτοι δὲ ἦσαν εὐγενέστεροι τῶν[15] ἐν Θεσσαλονίκῃ,[16] οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας,[17] καθ᾽ ἡμέραν ἀνακρίνοντες τὰς Γραφὰς εἰ ἔχοι ταῦτα οὕτως. **12** Πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν Ἑλληνίδων, γυναικῶν τῶν εὐσχημόνων καὶ ἀνδρῶν, οὐκ ὀλίγοι. **13** Ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ τῆς Θεσσαλονίκης Ἰουδαῖοι ὅτι καὶ ἐν τῇ[18] Βερροίᾳ[19] κατηγγέλη[20] ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ Θεοῦ, ἦλθον κἀκεῖ, σαλεύοντες[21] τοὺς ὄχλους. **14** Εὐθέως δέ, τότε τὸν Παῦλον ἐξαπέστειλαν οἱ ἀδελφοί, πορεύεσθαι ὡς[22] ἐπὶ τὴν θάλασσαν, ὑπέμενον[23] δὲ[24] ὅ τε Σίλας καὶ ὁ Τιμόθεος ἐκεῖ. **15** Οἱ δὲ καθιστῶντες[25] τὸν Παῦλον ἤγαγον αὐτὸν[26] ἕως Ἀθηνῶν· καὶ λαβόντες ἐντολὴν πρὸς τὸν Σίλαν καὶ[27] Τιμόθεον ἵνα ὡς τάχιστα ἔλθωσιν πρὸς αὐτόν, ἐξῆεσαν.

Athens

16 Ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο[28] τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ θεωροῦντι[29] κατείδωλον οὖσαν τὴν πόλιν. **17** Διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας.

---

[1] επισταντες τε **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ ~ και 1 ℵA,B(D) [5%] NU ¦ 1 [5%]
[2] ιασονος *rell* ¦ ιασωνος A,D [30%]
[3] αγαγειν **f**[35] [89%] HF,RP,OC,TR,CP ¦ προαγαγειν ℵA,B [6%] NU ¦ αναγαγειν [3%] ¦ προσαγαγειν [2%] ¦ εξαγαγειν D
[4] εσυρον *rell* ¦ εσυραν D [13%] ¦ ευρον ℵ ¦ one other variant
[5] τον **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [5%] NU
[6] ιασονα *rell* ¦ ιασωνα [30%] ¦ ισωναν D
[7] πρασσουσιν **f**[35] ℵA,B,D [91%] HF,RP,OC,NU ¦ πραττουσιν [7%] TR,CP ¦ ταρασσουσιν [2%]
[8] ετερον λεγοντες **f**[35] ℵA,B [30%] OC,NU ¦ ~ 21 D [70%] HF,RP,TR,CP
[9] ειναι *rell* ¦ --- CP
[10] ιασονος *rell* ¦ ιασωνος D [30%]
[11] δια της νυκτος **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ 13 𝔓[45]ℵB,D [4%] NU ¦ --- A [1%]
[12] τε *rell* ¦ --- D [2%] CP ¦ two other variants [2%]
[13] βερροιαν **f**[35] [30%] ¦ βεροιαν 𝔓[45]ℵA,B,D [70%] HF,RP,OC,TR,CP,NU
[14] απεσαν των ιουδαιων **f**[35] [95%] HF,RP,OC,CP ¦ ~ 231 ℵA,B,D [5%] TR,NU ¦ 23 𝔓[45]
[15] των *rell* ¦ 1 αλλων CP
[16] θεσσαλονικη *rell* ¦ θεσαλονικη [22%] ¦ θεσσαλονεικη 𝔓[45]B ¦ two other spellings
[17] προθυμιας **f**[35] 𝔓[45]ℵA(D) [25%] NU ¦ 1 το B [75%] HF,RP,OC,TR,CP
[18] τη *rell* ¦ --- [5%] CP
[19] βερροια **f**[35] [30%] ¦ βεροια ℵA,B(D) [70%] HF,RP,OC,TR,CP,NU
[20] κατηγγελη *rell* ¦ κατηγγελλη [15%] ¦ κατηγγελει [12%] ¦ three other variants [2%]
[21] σαλευοντες **f**[35] 𝔓[45] (67.6%) HF,RP,OC,TR,CP ¦ σαλευσοντες [10%] ¦ 1 και ταρασσοντες ℵA,B(D) (22.2%) NU ¦ one other variant
[22] ως **f**[35] [89%] HF,RP,OC,TR,CP ¦ εως ℵA,B [4%] NU ¦ --- D [7%]
[23] υπεμενον **f**[35] [76%] HF,RP,OC,TR,CP ¦ υπεμενεν [10%] ¦ υπεμειναν 𝔓[45](ℵ)B [8%] NU ¦ υπεμεινεν A,D [3%] ¦ επεμειναν [2%] ¦ two other variants [1%]
[24] δε **f**[35] D [93%] HF,RP,OC,TR,CP ¦ τε 𝔓[45]ℵA,B [7%] NU
[25] καθιστωντες **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ καθιστανοντες A,B [1%] NU ¦ καθισπαντες ℵ ¦ καταστανοντες 𝔓[45]D
[26] αυτον **f**[35] [88%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[45]ℵA,B,D [12%] NU
[27] και **f**[35] A,D [97%] HF,RP,OC,TR,CP ¦ 1 τον 𝔓[45]ℵB [3%] NU
[28] παρωξυνετο *rell* ¦ παροξυνετο [14%]
[29] θεωρουντι **f**[35] D [87%] HF,RP,OC,TR,CP ¦ θεωρουντος ℵA,B [5%] NU ¦ θεορουντος [7%] ¦ θεωρουντες [1%]

18 Τινὲς δὲ καὶ[1] τῶν Ἐπικουρείων[2] καὶ τῶν[3] Στωϊκῶν[4] φιλοσόφων συνέβαλον[5] αὐτῷ. Καί τινες ἔλεγον, «Τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν;» Οἱ δέ, «Ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι»—ὅτι τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν εὐηγγελίζετο.[6] **19** Ἐπιλαβόμενοί τε αὐτοῦ[7] ἐπὶ τὸν Ἄρειον Πάγον ἤγαγον λέγοντες· «Δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή; **20** Ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν· βουλόμεθα οὖν γνῶναι τί ἂν θέλοι[8] ταῦτα εἶναι.» **21** (Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι εἰς οὐδὲν ἕτερον εὐκαίρουν[9] ἢ λέγειν τι καὶ[10] ἀκούειν[11] καινότερον.)

The Areopagus

22 Σταθεὶς δὲ ὁ[12] Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου Πάγου ἔφη· «Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ· **23** διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν ἐν ᾧ ἐπεγέγραπτο· ‹Ἀγνώστῳ Θεῷ.› Ὃν[13] οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον[14] ἐγὼ καταγγέλλω[15] ὑμῖν· **24** Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος, οὐρανοῦ καὶ γῆς Κύριος ὑπάρχων,[16] οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, **25** οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων[17] θεραπεύεται, προσδεόμενός τινος, αὐτὸς διδοὺς[18] πᾶσιν ζωὴν καὶ πνοὴν κατὰ[19] πάντα. **26** Ἐποίησέν τε ἐξ ἑνὸς αἵματος[20] πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον[21] τῆς γῆς, ὁρίσας προστεταγμένους[22] καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν, **27** ζητεῖν τὸν Κύριον,[23] εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν, καί γε[24] οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα· **28** ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. Ὡς καί τινες τῶν καθ᾽ ὑμᾶς[25] ποιητῶν εἰρήκασιν, ‹Τοῦ γὰρ καὶ γένος ἐσμέν.› **29** Γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ—χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου—τὸ θεῖον εἶναι ὅμοιον. **30** Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεός, τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσιν[26] πανταχοῦ μετανοεῖν, **31** διότι[27] ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ ἐν ἀνδρὶ ᾧ ὥρισεν· πίστιν παρασχὼν[28] πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν.»

32 Ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον,[29] «Ἀκουσόμεθά σου

---

[1] και **f**[35] ℵA,B,D [85%] HF,RP,CP,NU ¦ --- [15%] OC,TR
[2] επικουρειων *rell* ¦ επικουριων ℵA,B,D [22%]
[3] των **f**[35] D [93%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [7%] NU
[4] στωικων **f**[35] B [60%] TR,CP ¦ στοικων ℵ,A,D [40%] HF,RP,OC,NU
[5] συνεβαλον **f**[35] [50%] ¦ συνεβαλλον ℵA,B [50%] HF,RP,OC,TR,CP,NU ¦ συνελαβον D
[6] ευηγγελιζετο **f**[35] ℵB [75%] HF,RP,CP,NU ¦ 1 αυτοις A [20%] OC ¦ αυτοις 1 [5%] TR ¦ --- D
[7] αυτου *rell* ¦ αυτον (D) [8%] ¦ του παυλου [5%] ¦ αυτους [3%]
[8] τι αν θελοι **f**[35] D [89%] HF,RP,OC,TR,CP ¦ τινα θελει ℵA,B [4%] NU ¦ τινα 2 [2%] ¦ 12 θελει [5%]
[9] ευκαιρουν **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ ηυκαιρουν (ℵ)A,B,D [10%] NU
[10] και **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ η ℵA,B,D [2%] NU
[11] ακουειν **f**[35] D [98%] HF,RP,OC,TR,CP ¦ 1 τι ℵA,B [2%] NU
[12] ο **f**[35] D [95%] HF,RP,OC,TR,CP[NU] ¦ --- ℵA,B [5%]
[13] ον **f**[35] (97.5%) HF,RP,OC,TR,CP ¦ ο ℵA,B,D (2.3%) NU
[14] τουτον **f**[35] (98.3%) HF,RP,OC,TR,CP ¦ τουτο ℵA,B,D (1.7%) NU
[15] καταγγελλω *rell* ¦ καταγγελω [25%] ¦ κατεγγελλω A
[16] κυριος υπαρχων **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B [5%] NU
[17] ανθρωπων **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ανθρωπινων (ℵ)A,B,D [5%] NU
[18] αυτος διδους *rell* ¦ δους [18%]
[19] κατα **f**[35] [90%] HF,RP,OC,TR ¦ και τα A,B,D [8%] CP,NU ¦ και ℵ [1%] ¦ --- [1%]
[20] αιματος **f**[35] D (95.2%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B (4.4%) NU ¦ two other variants (0.4%)
[21] παν το προσωπον **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ παντος προσωπου ℵA,B,D [3%] NU
[22] προστεταγμενους *rell* ¦ προτεταγμενους D [5%] TR ¦ τεταγμενους [2%]
[23] κυριον **f**[35] [55%] HF,RP,OC,TR,CP ¦ θεον ℵA,B [45%] NU ¦ θειον D
[24] και γε **f**[35] B [94%] HF,RP,OC,NU ¦ καιτοιγε ℵ [5%] TR,CP ¦ καιτοι A [1%] ¦ και τε D
[25] υμας *rell* ¦ ημας B [5%] CP
[26] πασιν **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ παντας ℵA,B [3%] NU ¦ παντες D
[27] διοτι **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ καθοτι ℵA,B,D [10%] NU
[28] παρασχων *rell* ¦ παρασχειν CP ¦ παρεσχειν D ¦ one other variant
[29] ειπον *rell* ¦ ειπαν ℵB [2%] NU

πάλιν περὶ τούτου.» **33** Καὶ[1] οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν. **34** Τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ, ἐπίστευσαν, ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς.

Consolidation of the Gentile Church

Corinth

18:1 Μετὰ δὲ[2] ταῦτα χωρισθεὶς ὁ Παῦλος[3] ἐκ τῶν Ἀθηνῶν ἦλθεν εἰς Κόρινθον. **2** Καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ (διὰ τὸ διατεταχέναι[4] Κλαύδιον χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἐκ[5] τῆς Ῥώμης), προσῆλθεν αὐτοῖς· **3** καὶ διὰ τὸ ὁμότεχνον εἶναι, ἔμενεν[6] παρ᾽ αὐτοῖς καὶ εἰργάζετο[7] (ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην).[8]

4 Διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον, ἔπειθέν τε Ἰουδαίους καὶ Ἕλληνας. **5** Ὡς δὲ κατῆλθον ἀπὸ τῆς Μακεδονίας ὅ τε Σίλας καὶ ὁ Τιμόθεος, συνείχετο τῷ Πνεύματι[9] ὁ Παῦλος, διαμαρτυρόμενος τοῖς Ἰουδαίοις·[10] τὸν Χριστὸν Ἰησοῦν. **6** Ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων, ἐκτιναξάμενος[11] τὰ ἱμάτια εἶπεν πρὸς αὐτούς· «Τὸ αἷμα ὑμῶν ἐπὶ τὰς κεφαλὰς[12] ὑμῶν· καθαρὸς ἐγώ. Ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι.»

The house of Justus becomes the base

7 Καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν[13] εἰς οἰκίαν τινὸς ὀνόματι[14] Ἰούστου, σεβομένου τὸν Θεόν, οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ. **8** Κρίσπος δέ, ὁ ἀρχισυνάγωγος, ἐπίστευσεν τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ· καὶ πολλοὶ τῶν Κορινθίων, ἀκούοντες,[15] ἐπίστευον καὶ ἐβαπτίζοντο. **9** Εἶπεν δὲ ὁ Κύριος δι᾽ ὁράματος ἐν νυκτὶ[16] τῷ Παύλῳ· «Μὴ φοβοῦ· ἀλλὰ λάλει καὶ μὴ σιωπήσῃς, **10** διότι ἐγώ εἰμι μετὰ σοῦ καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε, διότι λαός ἐστίν μοι πολὺς ἐν τῇ πόλει ταύτῃ.» **11** Ἐκάθισέν τε[17] ἐνιαυτὸν καὶ μῆνας ἕξ, διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ.

Gallio

12 Γαλλίωνος δὲ ἀνθυπατεύοντος[18] τῆς Ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι[19] τῷ Παύλῳ καὶ ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα, **13** λέγοντες ὅτι «Παρὰ τὸν νόμον ἀναπείθει οὗτος[20] τοὺς ἀνθρώπους σέβεσθαι τὸν Θεόν.» **14** Μέλλοντος δὲ τοῦ Παύλου ἀνοίγειν τὸ στόμα, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους· «Εἰ μὲν οὖν[21] ἦν ἀδίκημά τι[22] ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι,

---

[1] παλιν περι τουτου και **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 2341 ℵA,B [4%] NU ¦ ~ 231 D [1%]
[2] δε **f**[35] (D) [92%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [8%] NU
[3] ο παυλος **f**[35] A (98.3%) HF,RP,OC,TR,CP ¦ --- ℵB(D) (1.7%) NU
[4] διατεταχεναι **f**[35] A,B [67%] OC,TR,CP,NU ¦ τεταχεναι D [20%] HF,RP ¦ διατεταχθεναι [3%] ¦ προστεταχεναι [10%] ¦ τεχεναι ℵ
[5] εκ **f**[35] [90%] HF,RP,TR,CP ¦ απο ℵA,B,D [10%] OC,NU
[6] εμενεν *rell* ¦ εμεινεν [55%] OC ¦ εμινεν [1%]
[7] ειργαζετο **f**[35] (91.6%) HF,RP,OC,TR,CP ¦ ηργαζετο A,D (7.8%) NU ¦ ηργαζοντο ℵB (alone) ¦ one other variant
[8] την τεχνην **f**[35] [83%] HF,RP,TR,CP ¦ τη τεχνη ℵA,B [17%] OC,NU ¦ --- D
[9] πνευματι **f**[35] (93.9%) HF,RP,OC,TR,CP ¦ λογω ℵA,B,D (6.1%) NU
[10] ιουδαιοις **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ 1 ειναι ℵ(A)B,D [6%] NU
[11] εκτιναξαμενος *rell* ¦ εκτειναξαμενος [17%] ¦ one other variant
[12] τας κεφαλας **f**[35] [20%] ¦ την κεφαλην ℵA,B [80%] HF,RP,OC,TR,CP,NU
[13] ηλθεν **f**[35] B [95%] HF,RP,OC,TR,CP ¦ εισηλθεν ℵA,D [5%] NU
[14] ονοματι **f**[35] A [95%] HF,RP,OC,TR,CP ¦ 1 τιτιου B [1%] NU ¦ 1 τιτου ℵ [4%]
[15] ακουοντες **f**[35] ℵA,B [50%] HF,RP,OC,TR,CP,NU ¦ ακουσαντες [50%]
[16] δι οραματος εν νυκτι **f**[35] (D) [92%] HF,RP,OC,TR,CP ¦ ~ 3412 ℵB [3%] NU ¦ εν οραματι 34 [5%] ¦ εν οραματι A
[17] τε **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ δε ℵA,B [5%] NU ¦ ται [1%] ¦ και (D)
[18] ανθυπατευοντος **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ανθυπατου οντος ℵA,B,D [3%] NU ¦ two other variants [2%]
[19] ομοθυμαδον οι ιουδαιοι *rell* ¦ ~ 231 B [14%]
[20] αναπειθει ουτος **f**[35] ℵ(A)B [25%] NU ¦ ~ 21 D [65%] HF,RP,OC,TR,CP ¦ ~ 1 πειθει [10%]
[21] ουν **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [15%] NU
[22] ην αδικημα τι *rell* ¦ ~ 231 [3%] CP ¦ 23 [3%]

κατὰ λόγον ἂν ἠνεσχόμην[1] ὑμῶν· **15** εἰ δὲ ζήτημά[2] ἐστιν περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ᾽ ὑμᾶς, ὄψεσθε αὐτοί· κριτὴς γὰρ[3] ἐγὼ τούτων οὐ βούλομαι εἶναι.» **16** Καὶ ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος. **17** Ἐπιλαβόμενοι δὲ πάντες οἱ Ἕλληνες[4] Σωσθένην, τὸν ἀρχισυνάγωγον, ἔτυπτον ἔμπροσθεν τοῦ βήματος. Καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελλεν.[5]

To Ephesus and Antioch

18 Ὁ δὲ Παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανάς, τοῖς ἀδελφοῖς ἀποταξάμενος, ἐξέπλει εἰς τὴν Συρίαν, καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας (κειράμενος τὴν κεφαλὴν ἐν Κεγχρεαῖς,[6] εἶχεν γὰρ εὐχήν). **19** Κατήντησεν[7] δὲ εἰς Ἔφεσον κἀκείνους[8] κατέλιπεν[9] αὐτοῦ (αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγὴν διελέχθη[10] τοῖς Ἰουδαίοις). **20** Ἐρωτώντων δὲ αὐτῶν[11] ἐπὶ πλείονα χρόνον μεῖναι παρ᾽ αὐτοῖς,[12] οὐκ ἐπένευσεν· **21** ἀλλ᾽[13] ἀπετάξατο αὐτοῖς[14] εἰπών, «Δεῖ με πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα·[15] πάλιν δὲ[16] ἀνακάμψω πρὸς ὑμᾶς, τοῦ Θεοῦ θέλοντος.» Καὶ ἀνήχθη[17] ἀπὸ τῆς Ἐφέσου.

22 Καὶ κατελθὼν εἰς Καισάρειαν, ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν. **23** Καὶ ποιήσας χρόνον τινὰ ἐξῆλθεν, διερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, ἐπιστηρίζων πάντας τοὺς μαθητάς.[18]

Apollos

24 Ἰουδαῖος δέ τις Ἀπολλὼς ὀνόματι,[19] Ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς Γραφαῖς. **25** Οὗτος ἦν κατηχημένος τὴν ὁδὸν τοῦ Κυρίου, καὶ ζέων τῷ Πνεύματι ἐλάλει καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Ἰησοῦ,[20] ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάννου. **26** Οὗτός τε ἤρξατο παρρησιάζεσθαι ἐν τῇ συναγωγῇ. Ἀκούσαντες δὲ αὐτοῦ Ἀκύλας καὶ Πρίσκιλλα,[21] προσελάβοντο αὐτὸν καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο[22] τὴν τοῦ Θεοῦ ὁδόν.[23]

27 Βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν Ἀχαΐαν, προτρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν τοῖς

---

[1] ηνεσχομην **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ανεσχομην ℵA,B [3%] NU

[2] ζητημα **f**[35] D [94%] HF,RP,OC,TR,CP ¦ ζητηματα ℵA,B [6%] NU

[3] γαρ **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [3%] NU

[4] οι ελληνες **f**[35] D (96.4%) HF,RP,OC,TR,CP ¦ 1 ιουδαιοι (1.9%) ¦ --- ℵA,B (1.7%) NU

[5] εμελλεν **f**[35] ℵ [85%] HF,RP,CP ¦ εμελεν **f**[35pt] A,B [14%] OC,TR,NU ¦ ημελλεν [1%] ¦ --- D [Here we have different verbs, although the difference is of only one letter. Is the verb μελλω or μελω? If the former, the meaning is not common and could easily give rise to the latter; the reverse change would be unlikely. Render: 'None of this was a delay to Gallio'; Gallio is in the dative case. His name should be in the nominative case, if he is taken to be the subject of the verb. Gallio presumably considered himself to be a busy man and did not appreciate the interruption; he was not about to allow himself to be further delayed. In Acts 22:16 the same verb has the sense of 'delay'.)

[6] την κεφαλην εν κεγχρεαις (κεχρεαις 20%) **f**[35] D [96%] HF,RP,OC,TR(CP) ¦ ~ 3412 (ℵ)(A,B) [4%] NU

[7] κατηντησεν **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ κατηντησαν ℵA,B [2%] NU ¦ καταντησας D

[8] κακεινους **f**[35] ℵA,B [29%] OC,TR,CP,NU ¦ και εκεινους [70%] HF,RP ¦ κακει [1%] ¦ εκεινους D

[9] κατελιπεν *rell* ¦ κατελειπεν A [25%]

[10] διελεχθη **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ διελεξατο ℵA,B [3%] NU ¦ διελεγχθη [2%] ¦ διελεγετο D [1%]

[11] αυτων *rell* ¦ αυτον [15%] ¦ three other variants

[12] παρ αυτοις **f**[35] D (91.5%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B (8.5%) NU

[13] αλλ *rell* ¦ αλλα ℵA,B,D [40%] OC,CP

[14] απεταξατο αυτοις **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ αποταξαμενος και ℵA,B,D [2%] NU ¦ αποταξαμενος 2 και [2%]

[15] δει με παντως την εορτην την ερχομενην ποιησαι εις ιεροσολυμα **f**[35] (D) [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [3%] NU

[16] δε **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B(D) [4%] NU

[17] και ανηχθη **f**[35] [96%] HF,OC,TR,CP ¦ 2 A,B,D [3%] RP,NU ¦ ~ 2 δε ℵ (0.4%) (*TuT* is way off here)

[18] παντας τους μαθητας *rell* ¦ ~ 231 CP ¦ 23 [2%]

[19] ονοματι *rell* ¦ ονομα CP

[20] ιησου **f**[35] ℵA,B(D) [35%] NU ¦ κυριου [65%] HF,RP,OC,TR,CP

[21] ακυλας και πρισκιλλα **f**[35] D [98%] HF,RP,OC,TR,CP ¦ ~ 321 (ℵ)A,B [2%] NU

[22] εξεθεντο *rell* ¦ εξεθετο [12%] ¦ εξεθοντο D

[23] του θεου οδον **f**[35] [86%] HF,RP,TR ¦ ~ 312 ℵA,B [5%] OC,CP[NU] ¦ 1 κυριου 3 [5%] ¦ ~ 31 κυριου [2%] ¦ ~ λογον 1 κυριου [2%] ¦ 3 D

μαθηταῖς ἀποδέξασθαι αὐτόν· ὃς παραγενόμενος συνεβάλετο πολὺ τοῖς πεπιστευκόσιν διὰ τῆς χάριτος· **28** εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο δημοσίᾳ, ἐπιδεικνὺς διὰ τῶν Γραφῶν εἶναι τὸν Χριστὸν Ἰησοῦν.

Back to Ephesus

19:1 Ἐγένετο δὲ ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ, Παῦλον, διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν[1] εἰς Ἔφεσον.

Disciples of John

Καὶ εὑρών[2] τινας μαθητὰς[3] **2** εἶπεν[4] πρὸς αὐτούς, «Εἰ Πνεῦμα Ἅγιον ἐλάβετε πιστεύσαντες;» Οἱ δὲ εἶπον[5] πρὸς αὐτόν, «Ἀλλ᾽ οὐδὲ[6] εἰ Πνεῦμα Ἅγιόν ἐστιν ἠκούσαμεν.» **3** Εἶπέν τε,[7] «Εἰς τί οὖν ἐβαπτίσθητε;» Οἱ δὲ εἶπον,[8] «Εἰς τὸ Ἰωάννου βάπτισμα.» **4** Εἶπεν δὲ[9] Παῦλος, «Ἰωάννης μὲν[10] ἐβάπτισεν βάπτισμα μετανοίας, τῷ λαῷ λέγων εἰς τὸν ἐρχό-μενον μετ᾽ αὐτὸν ἵνα πιστεύσωσιν, τοῦτ᾽ ἔστιν, εἰς τὸν Χριστόν,[11] Ἰησοῦν.»[12] **5** Ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. **6** Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς[13] χεῖρας ἦλθεν τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ᾽ αὐτούς, ἐλάλουν τε γλώσσαις καὶ προεφήτευον.[14] **7** Ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο.[15]

The school of Tyrannus becomes the base

8 Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν ἐπαρρησιάζετο, ἐπὶ μῆνας τρεῖς, διαλεγόμενος καὶ πείθων τὰ[16] περὶ τῆς βασιλείας τοῦ Θεοῦ. **9** Ὡς δέ τινες ἐσκληρύνοντο καὶ ἠπείθουν, κακολογοῦντες τὴν Ὁδὸν ἐνώπιον τοῦ πλήθους, ἀποστὰς ἀπ᾽ αὐτῶν ἀφώρισεν τοὺς μαθητάς, καθ᾽ ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ Τυράννου τινός.[17] **10** Τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας τοὺς κατοικοῦντας τὴν Ἀσίαν ἀκοῦσαι τὸν λόγον τοῦ Κυρίου Ἰησοῦ,[18] Ἰουδαίους τε καὶ Ἕλληνας.

11 Δυνάμεις δὲ[19] οὐ τὰς τυχούσας ἐποίει ὁ Θεὸς[20] διὰ τῶν χειρῶν Παύλου, **12** ὥστε καὶ ἐπὶ

---

[1] ελθειν **f**[35] B [92%] HF,RP,OC,TR,CP ¦ κατελθειν (א)A [4%] [NU] ¦ ερχεται D ¦ two other variants [4%]

[2] ευρων **f**[35] D [85.5%] HF,RP,OC,TR,CP ¦ ευρον [9%] ¦ ευρειν A,B (5.5%) NU ¦ ευριν א

[3] τινας μαθητας *rell* ¦ ~ 21 OC

[4] ειπεν **f**[35] D (94.7%) HF,RP,OC,TR,CP ¦ 1 τε אA,B (3.6%) NU ¦ 1 δε (1.7%)

[5] ειπον **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- אA,B,D [5%] NU

[6] ουδε **f**[35] (D) [98%] HF,RP,OC,TR,CP ¦ ουδ אA,B [2%] NU

[7] 1) ειπεν τε **f**[35] B (18.3%) NU ¦ ειπεν δε D (4.5%) ¦ ειπεν ουν (1.7%)
2) ειπεν τε προς αυτους (61.6%) HF,RP,OC,TR,CP ¦ ειπεν δε προς αυτους (5.1%) ¦ ειπεν προς αυτους (1.1%)
3) ο δε ειπεν אA (3.6%) ¦ ο δε ειπεν αυτοις (4%) ¦ ο δε παυλος προς αυτους 𝔓[38]
At issue is a minor question of taste or style. The second set of three gives the complete formula, the first gives a shortened form. We observe that in verse 2 there is a complete exchange between Paul and the group of disciples, and the full introductory formula is used for both. In verse 3 there is a second complete exchange, wherein the second introductory formula is short—should not the first introductory formula also be short, to match it? That would seem to make for better style. But the attestation for the long form is fairly strong, 67.8% vs 24.5%. Presumably the contenders are the first variants in 1) and 2), so τε wins over δε. I consider that the first variant in 1) really is the better reading, as well as being attested by **f**[35].

[8] ειπον *rell* ¦ ειπαν אA,B [2%] NU

[9] δε *rell* ¦ τε [45%]

[10] μεν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- אA,B,D [4%] NU

[11] χριστον **f**[35] (D) [96%] HF,RP,OC,TR,CP ¦ --- אA,B [4%] NU

[12] χριστον ιησουν *rell* ¦ ~ 21 OC

[13] τας **f**[35] [55%] HF,RP,OC,TR,CP[NU] ¦ --- אA,B(D) [45%]

[14] προεφητευον **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ επροφητευον אA,B,D [7%] NU

[15] δεκαδυο **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ δωδεκα אA,B,D [6%] NU

[16] τα **f**[35] אA [96%] HF,RP,OC,TR,CP[NU] ¦ --- B,D [4%]

[17] τινος **f**[35] (D) [97%] HF,RP,OC,TR,CP ¦ --- אA,B [3%] NU

[18] ιησου **f**[35] [87%] HF,RP,OC,TR,CP ¦ --- אA,B(D) [13%] NU

[19] δε **f**[35] D [22%] ¦ τε אA,B [78%] HF,RP,OC,TR,CP,NU

[20] εποιει ο θεος **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 231 אA,B,D [5%] NU

τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι[1] ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια ἢ σιμικίνθια, καὶ ἀπαλλάσσεσθαι[2] ἀπ᾽ αὐτῶν τὰς νόσους τά τε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ᾽ αὐτῶν.[3]

Some fake exorcists

13 Ἐπεχείρησαν[4] δέ τινες ἀπὸ[5] τῶν περιερχομένων Ἰουδαίων ἐξορκιστῶν ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, λέγοντες, «Ὁρκίζομεν[6] ὑμᾶς τὸν Ἰησοῦν ὃν ὁ[7] Παῦλος κηρύσσει.» **14** Ἦσαν δέ τινες[8] υἱοὶ Σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ[9] οἱ[10] τοῦτο ποιοῦντες. **15** Ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν εἶπεν,[11] «Τὸν[12] Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι, ὑμεῖς δὲ τίνες ἐστέ;» **16** Καὶ ἐφαλλόμενος[13] ἐπ᾽ αὐτοὺς ὁ ἄνθρωπος[14] ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρὸν καὶ[15] κατακυριεύσαν[16] αὐτῶν·[17] ἴσχυσεν κατ᾽ αὐτῶν, ὥστε γυμνοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου. **17** Τοῦτο δὲ ἐγένετο πᾶσιν γνωστόν,[18] Ἰουδαίοις τε καὶ Ἕλλησιν, τοῖς κατοικοῦσιν τὴν Ἔφεσον· καὶ ἐπέπεσεν φόβος ἐπὶ πάντας αὐτούς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. **18** Πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο, ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες[19] τὰς πράξεις αὐτῶν. **19** Ἱκανοὶ δὲ τῶν τὰ περίεργα πραξάντων συνενέγκαντες τὰς βίβλους κατέκαιον ἐνώπιον πάντων (καὶ συνεψηφίσαντο[20] τὰς τιμὰς αὐτῶν καὶ εὗρον ἀργυρίου μυριάδας πέντε). **20** Οὕτως κατὰ κράτος ὁ λόγος τοῦ Κυρίου[21] ηὔξανεν καὶ ἴσχυεν.

21 Ὡς δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος ἐν τῷ πνεύματι, διελθὼν[22] τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, πορεύεσθαι εἰς Ἰερουσαλήμ,[23] εἰπὼν ὅτι «Μετὰ τὸ γενέσθαι με ἐκεῖ, δεῖ με καὶ Ῥώμην ἰδεῖν.» **22** Ἀποστείλας δὲ εἰς τὴν Μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ, Τιμόθεον καὶ Ἔραστον, αὐτὸς ἐπέσχεν χρόνον εἰς τὴν Ἀσίαν.

Demetrius

23 Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος περὶ τῆς Ὁδοῦ. **24** Δημήτριος γάρ τις ὀνόματι, ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος, παρείχετο τοῖς τεχνίταις

---

[1] επιφερεσθαι **f**[35] D [90%] HF,RP,OC,TR,CP ¦ αποφερεσθαι ℵA,B [5%] NU ¦ two other variants [5%]
[2] απαλλασσεσθαι *rell* ¦ απαλλασεσθαι B [15%] ¦ at least six further spellings
[3] εξερχεσθαι απ αυτων **f**[35] [88%] HF,RP,OC,TR,CP ¦ εκπορευεσθαι ℵA,B,D [7%] NU ¦ 1 [5%]
[4] επεχειρησαν *rell* ¦ επεχειρισαν [3%] CP ¦ επεχιρησαν ℵ
[5] απο **f**[35] [55%] HF,RP,OC,TR,CP ¦ και ℵA,B [5%] NU ¦ και 1 [40%] ¦ εκ D
[6] ορκιζομεν **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ ορκιζω ℵA,B,D [3%] NU ¦ ορκιζωμεν [1%] ¦ εξορκιζομεν [5%] ¦ --- [1%]
[7] ο **f**[35] [35%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [65%] NU
[8] τινες **f**[35] ℵA (95.8%) HF,RP,OC,TR,CP ¦ τινος [𝔓[38]]B[D] (4%) NU ¦ --- 𝔓[38] and D have a long addition ¦ one other variant
[9] υιοι σκευα ιουδαιου αρχιερεως επτα **f**[35] (91%) HF,RP,OC,TR,CP ¦ ~ 23451 ℵ(A)B (8.5%) NU ¦ --- 𝔓[38] and D are wild
[10] οι **f**[35] (95%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B (4.7%) NU ¦ --- 𝔓[38] and D are wild
[11] ειπεν **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ 1 αυτοις ℵA,B,D [7%] NU
[12] τον **f**[35] ℵA,D [97%] HF,RP,OC,TR,CP ¦ 1 μεν B [3%] [NU]
[13] εφαλλομενος **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ εφαλομενος ℵA,B [5%] NU ¦ εναλλομενος D ¦ two other variants [1%]
[14] επ αυτους ο ανθρωπος **f**[35] (D) [93%] HF,RP,OC,TR,CP ¦ ~ 3412 ℵA,B [5%] NU ¦ 34 [2%]
[15] και **f**[35] ℵ [95%] HF,RP,OC,TR,CP ¦ --- A,B(D) [5%] NU
[16] κατακυριευσαν **f**[35] A [80%] HF,RP,CP ¦ κατακυριευσας ℵB [18%] OC,TR,NU ¦ κυριευσας D [1%] ¦ κατεκυριευσεν [1%]
[17] αυτων **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ αμφοτερων ℵA,B,D [5%] NU ¦ two other variants [5%]
[18] εγενετο πασιν γνωστον **f**[35] [20%] ¦ ~ 132 ℵA,B,D [75%] HF,RP,OC,TR,CP,NU ¦ ~ 312 [5%]
[19] αναγγελλοντες *rell* ¦ αναγγελοντες [18%] ¦ one other variant
[20] συνεψηφισαντο **f**[35] [20%] ¦ συνεψηφισαν ℵA,B(D) [67%] HF,RP,OC,TR,CP,NU ¦ συνεψηφησαν [12%] ¦ two other variants [1%]
[21] ο λογος του κυριου **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ~ 3412 ℵA,B [1%] NU ¦ 123 θεου [2%] ¦ 3 θεου D
[22] διελθων *rell* ¦ διελθειν A,D [20%] ¦ one other variant
[23] ιερουσαλημ **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ ιεροσολυμα ℵA,B(D) [8%] NU

ἐργασίαν οὐκ ὀλίγην·[1] **25** οὓς συναθροίσας, καὶ τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν· «Ἄνδρες, ἐπίστασθε ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐπορία ἡμῶν[2] ἐστιν. **26** Καὶ θεωρεῖτε καὶ ἀκούετε ὅτι οὐ μόνον Ἐφέσου ἀλλὰ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος οὗτος πείσας μετέστησεν ἱκανὸν ὄχλον, λέγων ὅτι οὐκ εἰσὶν θεοὶ οἱ διὰ χειρῶν γινόμενοι.[3] **27** Οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς Ἀρτέμιδος ἱερὸν[4] εἰς οὐδὲν[5] λογισθῆναι, μέλλειν δὲ[6] καὶ καθαιρεῖσθαι τὴν μεγαλειότητα[7] αὐτῆς, ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται.»

28 Ἀκούσαντες δὲ καὶ γενόμενοι πλήρεις[8] θυμοῦ ἔκραζον λέγοντες, «Μεγάλη ἡ Ἄρτεμις Ἐφε-σίων.» **29** Καὶ ἐπλήσθη ἡ πόλις ὅλη[9] τῆς[10] συγχύσεως, ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον (συναρπάσαντες Γάϊον καὶ Ἀρίσταρχον, Μακεδόνας, συνεκδήμους[11] Παύλου). **30** Τοῦ δὲ Παύλου[12] βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ μαθηταί. **31** Τινὲς δὲ καὶ τῶν Ἀσιαρχῶν, ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον. **32** Ἄλλοι μὲν οὖν ἄλλο τι ἔκραζον, ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη, καὶ οἱ πλείους οὐκ ᾔδεισαν τίνος ἕνεκεν[13] συνεληλύθεισαν. **33** Ἐκ δὲ τοῦ ὄχλου προεβίβασαν[14] Ἀλέξανδρον, προβαλλόντων[15] αὐτὸν τῶν Ἰουδαίων. Ὁ δὲ Ἀλέξανδρος, κατασείσας τὴν χεῖρα, ἤθελεν ἀπολογεῖσθαι τῷ δήμῳ. **34** Ἐπιγνόντες[16] δὲ ὅτι Ἰουδαῖός ἐστιν, φωνὴ ἐγένετο μία ἐκ πάντων ὡς ἐπὶ ὥρας δύο κραζόντων, «Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων.»

35 Καταστείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον φησίν· «Ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἄνθρω-πος[17] ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν νεωκόρον[18] οὖσαν τῆς μεγάλης θεᾶς[19] Ἀρτέμιδος καὶ τοῦ Διοπετοῦς; **36** Ἀναντιρρήτων οὖν ὄντων τούτων, δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν καὶ μηδὲν προπετὲς πράσσειν.[20] **37** Ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους, οὔτε ἱεροσύλους οὔτε βλασφημοῦντας τὴν θεὸν[21] ὑμῶν.[22] **38** Εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ τεχνῖται ἔχουσιν πρός τινα λόγον,[23] ἀγοραῖοι ἄγονται, καὶ ἀνθύπατοί εἰσιν· ἐγκαλείτωσαν[24] ἀλλήλοις. **39** Εἰ δέ τι περὶ ἑτέρων[25] ἐπιζητεῖτε,[26] ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται. **40** Καὶ γὰρ κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως, περὶ τῆς σήμερον, μηδενὸς αἰτίου ὑπάρχοντος περὶ οὗ οὐ[27] δυνησόμεθα

---

[1] εργασιαν ουκ ολιγην **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 231 (א)A,B,D [4%] NU
[2] ημων **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ ημιν אA,B(D) [7%] NU
[3] γινομενοι *rell* ¦ γενομενοι D [15%] ¦ γεινομενοι B ¦ three other variants
[4] αρτεμιδος ιερον **f**[35] אA,B [25%] OC,TR,NU ¦ ~ 21 D [75%] HF,RP,CP
[5] ουδεν **f**[35] D [40%] TR ¦ ουθεν אA,B [60%] HF,RP,OC,CP,NU
[6] δε **f**[35] [88%] HF,RP,TR,CP ¦ τε אA,B [10%] OC,NU ¦ --- D [2%]
[7] την μεγαλειοτητα **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ της μεγαλειοτητος (א)A,B [5%] NU ¦ --- D
[8] πληρεις *rell* ¦ πληρης A [20%] ¦ πληρις א [1%]
[9] ολη **f**[35] (D) [92%] HF,RP,OC,TR,CP ¦ --- אA,B [8%] NU
[10] της **f**[35] אA,B [95%] HF,RP,OC,NU ¦ --- (D) [5%] TR,CP
[11] συνεκδημους *rell* ¦ 1 του [5%] TR
[12] του δε παυλου **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 32 אA,B [3%] NU ¦ ~ 132 [1%] ¦ ~ 213 (D)
[13] ενεκεν **f**[35] D [97%] HF,RP,OC,TR,CP ¦ ενεκα אA,B [3%] NU
[14] προεβιβασαν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ συνεβιβασαν אA,B [4%] NU ¦ κατεβιβασαν D
[15] προβαλλοντων **f**[35] D [65%] OC,CP ¦ προβαλοντων אA,B [35%] HF,RP,TR,NU
[16] επιγνοντες **f**[35] אA,B [70%] HF,RP,OC,CP,NU ¦ επιγνοντων [5%] TR ¦ επιγνωντες [25%]
[17] ανθρωπος **f**[35] D [92%] HF,RP,OC,TR,CP ¦ ανθρωπων אA,B [8%] NU
[18] νεωκορον *rell* ¦ νεοκορον [25%] ¦ ναοκορον D
[19] θεας **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ --- אA,B,D [6%] NU
[20] πρασσειν *rell* ¦ πραττειν [10%] TR ¦ πρασσιν א ¦ two other variants
[21] θεον *rell* ¦ θεαν D [15%] OC,TR
[22] υμων **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ ημων אA,B,D [10%] NU
[23] εχουσιν προς τινα λογον **f**[35] אA,B [95%] HF,RP,OC,CP,NU ¦ ~ 2341 [5%] TR
[24] εγκαλειτωσαν *rell* ¦ εγκαλητωσαν [20%] ¦ εγκαλιτωσαν D [1%]
[25] περι ετερων **f**[35] אA,D (92.7%) HF,RP,OC,TR,CP ¦ περαιτερω B (4.7%) NU ¦ περετερω (1.1%) ¦ περετερον (0.6%) ¦ three other variants (0.9%)
[26] επιζητειτε *rell* ¦ επιζητειται א [13%] ¦ ζητειτε [2%] ¦ one other variant
[27] ου **f**[35] אA,B [90%] HF,RP,CP[NU] ¦ --- D [10%] OC,TR

ἀποδοῦναι[1] λόγον[2] τῆς συστροφῆς ταύτης.» **41** Καὶ ταῦτα εἰπὼν ἀπέλυσεν τὴν ἐκκλησίαν.

Paul makes his own plans

Greece

20:1 Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον, προσκαλεσάμενος[3] ὁ Παῦλος τοὺς μαθητὰς καὶ[4] ἀσπασάμενος, ἐξῆλθεν πορευθῆναι[5] εἰς τὴν[6] Μακεδονίαν. **2** Διελθὼν δὲ τὰ μέρη ἐκεῖνα καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν Ἑλλάδα. **3** Ποιήσας τε μῆνας τρεῖς, γενομένης ἐπιβουλῆς αὐτῷ[7] ὑπὸ τῶν Ἰουδαίων, μέλλοντι ἀνάγεσθαι εἰς τὴν Συρίαν, ἐγένετο γνώμη[8] τοῦ ὑποστρέφειν διὰ Μακεδονίας. **4** Συνείπετο δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας[9] Σώπατρος[10] Βερροιαῖος,[11] Θεσσαλονικέων[12] δὲ Ἀρίσταρχος καὶ Σεκοῦνδος, καὶ Γάϊος Δερβαῖος, καὶ Τιμόθεος, Ἀσιανοὶ δὲ Τυχικὸς καὶ Τρόφιμος· **5** οὗτοι[13] προελθόντες[14] ἔμενον ἡμᾶς ἐν Τρῳάδι. **6** Ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας τῶν ἀζύμων ἀπὸ Φιλίππων, καὶ ἤλθομεν πρὸς αὐτοὺς εἰς τὴν Τρῳάδα ἄχρις[15] ἡμερῶν πέντε, οὗ[16] διετρίψαμεν ἡμέρας ἑπτά.

Troas

7 Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων, συνηγμένων τῶν μαθητῶν[17] κλάσαι[18] ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς, μέλλων[19] ἐξιέναι τῇ ἐπαύριον παρέτεινέν τε τὸν λόγον μέχρι μεσονυκτίου. **8** Ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ οὗ ἦμεν[20] συνηγμένοι. **9** Καθήμενος[21] δέ τις νεανίας ὀνόματι Εὔτυχος ἐπὶ τῆς θυρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ, διαλεγομένου τοῦ Παύλου ἐπὶ πλεῖον· κατενεχθεὶς ἀπὸ[22] τοῦ ὕπνου ἔπεσεν ἀπὸ τοῦ τριστέγου κάτω καὶ ἤρθη νεκρός. **10** Καταβὰς δὲ ὁ Παῦλος ἐπέπεσεν αὐτῷ, καὶ συμπεριλαβὼν[23] εἶπεν, «Μὴ θορυβεῖσθε,[24] ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν.» **11** Ἀναβὰς δὲ καὶ κλάσας[25] ἄρτον καὶ γευσάμενος, ἐφ᾽ ἱκανόν τε ὁμιλήσας ἄχρις[26] αὐγῆς—οὕτως ἐξῆλθεν. **12** (Ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ μετρίως.)

13 Ἡμεῖς δὲ προσελθόντες[27] ἐπὶ τὸ πλοῖον ἀνήχθημεν εἰς[28] τὴν Ἄσσον,[29] ἐκεῖθεν μέλλοντες

---

[1] αποδουναι **f**[35] ℵA,B,D [20%] OC,TR,NU ¦ δουναι [80%] HF,RP,CP ¦ two other variants
[2] λογον **f**[35] D [93%] HF,RP,OC,TR,CP ¦ 1 περι ℵA,B [7%] NU
[3] προσκαλεσαμενος **f**[35] A,D [95%] HF,RP,OC,TR,CP ¦ μεταπεμψαμενος ℵB [3%] NU ¦ μεταστειλαμενος [2%]
[4] και **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ 1 παρακαλεσας A,B(D) [6%] NU ¦ 1 παρακαλεσας 1 ℵ [1%] ¦ one other variant
[5] πορευθηναι **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ πορευεσθαι ℵA,B [3%] NU ¦ --- D [2%]
[6] την **f**[35] A [80%] HF,RP,TR,CP ¦ --- ℵB,D [20%] OC,NU
[7] επιβουλης αυτω **f**[35] ℵA,B [20%] NU ¦ ~ 21 D [80%] HF,RP,OC,TR,CP
[8] γνωμη **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ γνωμης ℵA,B [7%] NU ¦ D is wild
[9] αχρι της ασιας **f**[35] A (97%) HF,RP,OC,TR,CP ¦ --- ℵB (1.1%) NU ¦ μεχρι 23 D (0.6%) ¦ 12 μακεδονιας (1.3%)
[10] σωπατρος **f**[35] [95%] HF,RP,OC,TR ¦ 1 πυρρου ℵA,B,D [5%] CP,NU
[11] βερροιαιος **f**[35] [25%] ¦ βεροιαιος A,B [35%] HF,RP,OC,TR,CP,NU ¦ βηροιαιος [30%] ¦ βερυαιος (D) [9%] ¦ βεροιος ℵ ¦ two other spellings
[12] θεσσαλονικεων *rell* ¦ θεσσαλονικαιων ℵ [10%] ¦ θεσαλονικαιων [10%] ¦ three other variants
[13] ουτοι **f**[35] D [94%] HF,RP,OC,TR,CP ¦ 1 δε ℵA,B [6%] NU
[14] προελθοντες **f**[35] D [45%] OC,TR,NU ¦ προσελθοντες ℵA[v]B [55%] HF,RP,CP
[15] αχρις **f**[35] [58%] HF,OC,TR ¦ αχρι A,B [40%] RP,CP,NU ¦ απο ℵ [1%] ¦ two other variants ¦ D is wild
[16] ου **f**[35] B [98%] HF,RP,OC,TR,CP ¦ οπου ℵA [2%] NU ¦ εν η D
[17] των μαθητων **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ ημων ℵA,B,D [7%] NU
[18] κλασαι **f**[35] ℵA,B [95%] HF,RP,OC,CP,NU ¦ του 1 D [5%] TR
[19] μελλων *rell* ¦ μελλον [12%]
[20] ημεν **f**[35] ℵA,B,D [85%] HF,RP,OC,CP,NU ¦ ησαν [15%] TR
[21] καθημενος **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ καθεζομενος ℵA,B,D [4%] NU
[22] απο *rell* ¦ υπο D [30%]
[23] συμπεριλαβων *rell* ¦ συνπεριλαβων ℵA,B,D [15%] ¦ συμπαραλαβων [5%]
[24] θορυβεισθε *rell* ¦ θορυβησθε [5%] CP ¦ θορυβεισθαι B,C [4%] ¦ θορυβισθαι D [1%]
[25] κλασας **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ 1 τον ℵA,B,C,D [3%] NU
[26] αχρις **f**[35] (C)D [97%] HF,OC,TR,CP ¦ αχρι ℵA,B [3%] RP,NU ¦ one other variant
[27] προσελθοντες **f**[35] A,B [85%] HF,RP ¦ προελθοντες ℵC [15%] OC,TR,CP,NU ¦ κατελθοντες D
[28] εις **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ επι ℵA,B,C [5%] NU
[29] ασσον *rell* ¦ ασον [10%] ¦ θασον [15%] ¦ θασσον [5%] ¦ two other spellings

ἀναλαμβάνειν τὸν Παῦλον—οὕτως γὰρ ἦν διατεταγμένος,[1] μέλλων αὐτὸς πεζεύειν. **14** Ὡς δὲ συνέβαλεν[2] ἡμῖν εἰς τὴν Ἄσσον ἀναλαβόντες αὐτὸν ἤλθομεν εἰς Μιτυλήνην.[3] **15** Κἀκεῖθεν ἀποπλεύσαντες, τῇ ἐπιούσῃ κατηντήσαμεν ἀντικρὺ[4] Χίου, τῇ δὲ ἑτέρᾳ παρεβάλομεν εἰς Σάμον, καὶ μείναντες ἐν Τρωγυλίῳ·[5,6] τῇ ἐχομένῃ[7] ἤλθομεν εἰς Μίλητον. **16** (Ἔκρινεν[8] γὰρ ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ, ἔσπευδεν γάρ, εἰ δυνατὸν ἦν[9] αὐτῷ, τὴν ἡμέραν τῆς Πεντηκοστῆς γενέσθαι εἰς Ἰεροσόλυμα.)

Miletus

17 Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας. **18** Ὡς δὲ παρεγένοντο πρὸς αὐτόν, εἶπεν αὐτοῖς· «Ὑμεῖς ἐπίστασθε ἀπὸ πρώτης ἡμέρας[10] ἧς ἐπέβην εἰς τὴν Ἀσίαν, πῶς μεθ᾽ ὑμῶν τὸν πάντα χρόνον ἐγενόμην, **19** δουλεύων τῷ Κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης, καὶ πολλῶν[11] δακρύων καὶ πειρασμῶν, τῶν συμβάντων[12] μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων· **20** ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόντων τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν καὶ διδάξαι ὑμᾶς δημοσίᾳ καὶ κατ᾽ οἴκους, **21** διαμαρτυρόμενος[13] Ἰουδαίοις τε καὶ Ἕλλησιν τὴν εἰς[14] Θεὸν μετάνοιαν καὶ πίστιν τὴν[15] εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν.[16] **22** Καὶ νῦν ἰδού, ἐγὼ δεδεμένος[17] τῷ πνεύματι πορεύομαι εἰς Ἰερουσαλήμ, τὰ ἐν αὐτῇ συναντήσοντά[18] μοι μὴ εἰδώς, **23** πλὴν ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον κατὰ πόλιν διαμαρτύρεται,[19] λέγον[20] ὅτι δεσμά με καὶ θλίψεις[21] μένουσιν. **24** Ἀλλ᾽ οὐδενὸς λόγον[22] ποιοῦμαι, οὐδὲ ἔχω[23] τὴν ψυχήν μου[24] τιμίαν ἐμαυτῷ, ὡς[25] τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς,[26] καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ.

25 »Καὶ νῦν ἰδού, ἐγὼ οἶδα ὅτι οὐκέτι ὄψεσθε τὸ πρόσωπόν μου ὑμεῖς πάντες ἐν οἷς διῆλθον κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ.[27] **26** Διὸ[28] μαρτύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ ὅτι καθαρὸς

---

[1] ην διατεταγμενος **f**[35] D [96%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA(B) [4%] NU ¦ ~ εντεταλμενος 1 C
[2] συνεβαλεν **f**[35] C,D [90%] HF,RP,OC,TR,CP ¦ συνεβαλλεν A,B [10%] NU ¦ συνεβαλλον ℵ
[3] μιτυληνην *rell* ¦ μιτυλινην A [11%] CP ¦ at least six further spellings
[4] αντικρυ **f**[35] [82%] HF,RP,OC,TR,CP ¦ αντικρυς ℵA,B,C,D [18%] NU
[5] τρωγυλιω **f**[35] [20%] OC ¦ τρωγυλλιω [30%] HF,RP,TR ¦ τρογυλιω [13%] ¦ τρογυλλιω [18%] ¦ τρογγυλιω [13%] CP ¦ --- ℵA,B,C (6.1%) NU ¦ seven other spellings D [2%]
[6] και μειναντες εν τρωγυλιω **f**[35] D (93.8%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C (6.2%) NU
[7] τη εχομενη **f**[35] (85.4%) HF,RP,OC,TR,CP ¦ 1 δε 2 ℵA,B,C (4%) NU ¦ 1 ερχομενη D (9.1%) ¦ 1 δε ερχομενη (1.3%) ¦ two other variants
[8] εκρινεν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ κεκρικει ℵA,C [4%] NU ¦ κεκρει B ¦ καικικρι D
[9] ην **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ειη ℵA,B,C [4%] NU ¦ εις D ¦ --- [1%]
[10] ημερας **f**[35] [20%] ¦ 1 αφ ℵA,B,C(D) [80%] HF,RP,OC,TR,CP,NU
[11] πολλων **f**[35] C [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [3%] NU
[12] συμβαντων (D) *rell* ¦ συμβαινοντων C [15%] ¦ συμβεβηκατων [1%]
[13] διαμαρτυρομενος *rell* ¦ διαμαρτυραμενος [30%] ¦ διαμαρτυρουμενος D [1%]
[14] εις **f**[35] ℵB,C [45%] NU ¦ 1 τον A,D [55%] HF,RP,OC,TR,CP (OC is in small print)
[15] την **f**[35] [96%] HF,RP,OC,TR ¦ --- ℵA,B,C(D) [4%] CP,NU
[16] ιησουν **f**[35] B [75%] HF,RP,NU ¦ 1 χριστον ℵA,C(D) [25%] OC,TR,CP (OC is in small print)
[17] εγω δεδεμενος **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B,C [5%] NU
[18] συναντησοντα *rell* ¦ συναντησαντα A,D [30%] ¦ συμβησομενα C [2%]
[19] διαμαρτυρεται **f**[35] [79%] HF,RP,OC,TR ¦ 1 μοι ℵA,B,C,D [15%] CP,NU ¦ διαμεμαρτυρηται [2%] ¦ διεμαρτυρατο μοι A [2%] ¦ three other variants [2%]
[20] λεγον *rell* ¦ λεγων D [30%]
[21] με και θλιψεις **f**[35] [83%] HF,RP,OC,TR,CP ¦ ~ 231 (ℵ)A(B)C(D) [17%] NU
[22] λογον **f**[35] A,D (89.9%) HF,RP,OC,TR,CP ¦ λογου ℵB,C (2.9%) NU ¦ τουτων 1 (6.9%) ¦ one other variant
[23] ποιουμαι ουδε εχω **f**[35] (95.6%) HF,RP,OC,TR,CP ¦ ~ 321 A(D) (2.3%) ¦ 1 ℵB,C (1.5%) NU
[24] μου **f**[35] D (87%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C (13%) NU
[25] ως *rell* ¦ ωστε [20%] ¦ ως το C ¦ του D
[26] μετα χαρας **f**[35] C (97.1%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D (2.9%) NU [Observe how the attestation in ( ) fluctuates among these four variant sets, all in one verse.]
[27] του θεου **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [3%] NU ¦ 1 ιησου D
[28] διο **f**[35] C [80%] HF,OC,TR ¦ διοτι ℵA,B [20%] RP,NU ¦ 1 και CP ¦ αχρι ουν D

ἐγὼ[1] ἀπὸ τοῦ αἵματος πάντων· **27** οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ.[2] **28** Προσέχετε[3] οὖν[4] ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Κυρίου καὶ Θεοῦ[5] ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος.[6] **29** Ἐγὼ γὰρ[7] οἶδα τοῦτο,[8] ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου. **30** Καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες, λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. **31** Διὸ γρηγορεῖτε, μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην, μετὰ δακρύων, νουθετῶν ἕνα ἕκαστον.

32 »Καὶ τὰ νῦν παρατίθεμαι ὑμᾶς, ἀδελφοί,[9] τῷ Θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ ἐποικοδομῆσαι[10] καὶ δοῦναι ὑμῖν[11] κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσιν. **33** Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα. **34** Αὐτοὶ[12] γινώσκετε ὅτι ταῖς χρείαις μου, καὶ τοῖς οὖσιν μετ᾽ ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται. **35** Πάντα ὑπέδειξα ὑμῖν ὅτι οὕτως κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μνημονεύειν τε τοῦ λόγου[13] τοῦ Κυρίου Ἰησοῦ ὅτι αὐτὸς εἶπεν, ‹Μακάριόν ἐστιν μᾶλλον διδόναι[14] ἢ λαμβάνειν.› »

36 Καὶ ταῦτα εἰπών, θεὶς τὰ γόνατα αὐτοῦ, σὺν πᾶσιν αὐτοῖς προσηύξατο. **37** Ἱκανὸς δὲ κλαυθμὸς ἐγένετο[15] πάντων, καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον τοῦ Παύλου κατεφίλουν αὐτόν, **38** ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ λόγῳ ᾧ εἰρήκει, ὅτι οὐκέτι μέλλουσιν τὸ πρόσωπον αὐτοῦ θεωρεῖν. Προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον.[16]

Paul is warned—<u>again</u>

21:1 Ὡς δὲ ἐγένετο ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ᾽ αὐτῶν, εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶ,[17] τῇ δὲ ἑξῆς εἰς τὴν Ῥόδον, κἀκεῖθεν εἰς Πάταρα. **2** Καὶ εὑρόντες πλοῖον διαπερῶν[18] εἰς Φοινίκην, ἐπιβάντες ἀνήχθημεν. **3** Ἀναφανέντες[19] δὲ τὴν Κύπρον καὶ καταλιπόντες[20] αὐτὴν εὐώνυμον, ἐπλέομεν εἰς Συρίαν καὶ κατήχθημεν[21] εἰς Τύρον, ἐκεῖσε γὰρ ἦν τὸ πλοῖον[22] ἀποφορτιζόμενον τὸν γόμον. **4** Καὶ ἀνευρόντες[23] μαθητάς, ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτά· οἵτινες τῷ Παύλῳ ἔλεγον διὰ τοῦ Πνεύματος μὴ ἀναβαίνειν[24] εἰς Ἰερουσαλήμ.[25] **5** Ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας, ἐξελθόντες ἐπορευόμεθα, προπεμπόντων ἡμᾶς πάντων, σὺν γυναιξὶν καὶ τέκνοις, ἕως ἔξω τῆς πόλεως, καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν προσηυξάμεθα.[26] **6** Καὶ

---

[1] εγω **f**[35] A [94%] HF,RP,OC,TR,CP ¦ ειμι ℵB,C,D [5%] NU ¦ 1 ειμι [1%]
[2] υμιν πασαν την βουλην του θεου **f**[35] A [97%] HF,RP,OC,TR,CP ¦ ~ 234561 ℵB,C(D) [3%] NU
[3] προσεχετε *rell* ¦ προσεχεται D [15%]
[4] ουν **f**[35] C [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [3%] NU
[5] κυριου και θεου **f**[35] [89%] HF,RP,OC,CP ¦ 3 ℵB [7%] TR,NU ¦ 1 A,C,D [4%]
[6] ιδιου αιματος **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 2 του 1 ℵA,B,C,D [5%] NU
[7] εγω γαρ **f**[35] (95.8%) HF,RP,OC,TR,CP ¦ 1 ℵA,C,D (4%) NU ¦ ~ οτι 1 B
[8] τουτο **f**[35] (92.3%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D (7.7%) NU
[9] αδελφοι **f**[35] C [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [4%] NU
[10] εποικοδομησαι **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ οικοδομησαι ℵA,B,C(D) [4%] NU
[11] υμιν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ την ℵA,B [2%] NU ¦ 1 την C [1%] ¦ --- D [1%]
[12] αυτοι **f**[35] ℵA,B,C [85%] HF,RP,OC,CP,NU ¦ 1 δε [5%] TR ¦ 1 γαρ [10%]
[13] του λογου **f**[35] [22%] ¦ των λογων ℵA,B,C,D [23%] HF,RP,TR,NU ¦ τον λογον [55%] OC,CP
[14] μαλλον διδοναι *rell* ¦ ~ 21 [8%] TR
[15] κλαυθμος εγενετο **f**[35] ℵA,B,C,D [20%] NU ¦ ~ 21 [80%] HF,RP,OC,TR,CP
[16] CP omits the last sentence.
[17] κω **f**[35] ℵA,B,C,D [50%] OC,CP,NU ¦ κων [50%] HF,RP,TR
[18] διαπερων *rell* ¦ διαπερον [10%] CP ¦ two other variants
[19] αναφανεντες **f**[35] A,C [92%] HF,RP,OC,CP ¦ αναφαναντες ℵB [8%] TR,NU
[20] καταλιποντες *rell* ¦ καταλειποντες A [15%]
[21] κατηχθημεν **f**[35] C [87%] HF,RP,OC,TR,CP ¦ κατηλθομεν ℵA,B [3%] NU ¦ --- [10%]
[22] ην το πλοιον **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 231 ℵA,B,C [5%] NU
[23] και ανευροντες **f**[35] [90%] HF,RP,CP ¦ 12 τους [1%] OC,TR ¦ ~ 2 δε τους ℵA,B,C [4%] NU ¦ 1 ευροντες [5%] (OC is in small print)
[24] αναβαινειν **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ επιβαινειν (ℵ)A,B,C [2%] NU
[25] ιερουσαλημ **f**[35] [95%] HF,RP,TR,CP ¦ ιεροσολυμα ℵA,B,C [5%] OC,NU
[26] προσηυξαμεθα **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ προσευξαμενοι ℵA,B,C [5%] NU

ἀσπασάμενοι ἀλλήλους,[1] ἐπέβημεν[2] εἰς τὸ πλοῖον, ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια.

7 Ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες ἀπὸ Τύρου, κατηντήσαμεν εἰς Πτολεμαΐδα· καὶ ἀσπασάμενοι τοὺς ἀδελφοὺς ἐμείναμεν ἡμέραν μίαν παρ᾽ αὐτοῖς. **8** Τῇ δὲ ἐπαύριον ἐξελθόντες, ἤλθομεν[3] εἰς Καισάρειαν· καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ[4] (ὄντος ἐκ τῶν ἑπτά), ἐμείναμεν παρ᾽ αὐτῷ. **9** (Τούτῳ δὲ ἦσαν θυγατέρες παρθένοι τέσσαρες[5] προφητεύουσαι.)

Agabus

10 Ἐπιμενόντων δὲ ἡμῶν[6] ἡμέρας πλείους, κατῆλθέν τις ἀπὸ τῆς Ἰουδαίας προφήτης ὀνόματι Ἄγαβος. **11** Καὶ ἐλθὼν πρὸς ἡμᾶς καὶ ἄρας τὴν ζώνην τοῦ Παύλου, δήσας τε αὐτοῦ[7] τοὺς πόδας καὶ τὰς χεῖρας[8] εἶπεν, «Τάδε λέγει τὸ Πνεῦμα τὸ Ἅγιον· ‹Τὸν ἄνδρα οὗ ἐστιν ἡ ζώνη αὕτη οὕτως δήσουσιν ἐν[9] Ἰερουσαλὴμ οἱ Ἰουδαῖοι, καὶ παραδώσουσιν εἰς χεῖρας ἐθνῶν.› » **12** Ὡς δὲ ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν, ἡμεῖς τε καὶ οἱ ἐντόπιοι, τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἰερουσαλήμ. **13** Ἀπεκρίθη τε[10] ὁ Παῦλος· «Τί ποιεῖτε, κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; Ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν εἰς Ἰερουσαλὴμ, ἑτοίμως ἔχω[11] ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ.» **14** Μὴ πειθομένου δὲ αὐτοῦ, ἡσυχάσαμεν εἰπόντες, «Τὸ θέλημα τοῦ Κυρίου[12] γενέσθω.»[13]

Jerusalem

15 Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἐπισκευασάμενοι[14] ἀνεβαίνομεν εἰς Ἰερουσαλήμ.[15] **16** Συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ Καισαρείας σὺν ἡμῖν, ἄγοντες[16] παρ᾽ ᾧ ξενισθῶμεν, Μνάσωνί τινι Κυπρίῳ, ἀρχαίῳ μαθητῇ. **17** Γενομένων δὲ ἡμῶν εἰς Ἰεροσόλυμα, ἀσμένως ἐδέξαντο[17] ἡμᾶς οἱ ἀδελφοί. **18** Τῇ δὲ ἐπιούσῃ εἰσῄει ὁ Παῦλος, σὺν ἡμῖν, πρὸς Ἰάκωβον, πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι. **19** Καὶ ἀσπασάμενος αὐτούς, ἐξηγεῖτο καθ᾽ ἓν ἕκαστον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσιν διὰ τῆς διακονίας αὐτοῦ.

---

[1] και ασπασαμενοι αλληλους **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ απησπασαμεθα 31 ℵ(A)B(C) [4%] NU

[2] επεβημεν **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ ανεβημεν ℵA,C [4%] NU ¦ ενεβημεν B [3%] ¦ one other variant

[3] ηλθομεν **f**[35] ℵA(B)C (38.8%) OC,CP,NU ¦ οι περι τον παυλον ηλθον (46.4%) HF,RP,TR ¦ οι περι τον παυλον ηλθομεν (13.3%) ¦ οι αποστολοι (απο τυρου) ηλθον (1.1%) ¦ one other reading (0.4%)

The third variant would appear to be a not very felicitous conflation. The first variant best fits the context—since the beginning of the chapter, and before, the main participants have been presented in the first person plural. The closest finite verb on each side of the variant in question is εμειναμεν, 1st plural. The information in the second variant is unnecessary but not objectionable; if it were original there would be no need to change it. Of course, if the first variant were original there would be no need to change it either, unless some felt it was time to remind the reader who "we" was referring to. More likely it was the influence of the Lectionaries, since they have precisely the second variant (while all three ancient versions have the first one).

[4] ευαγγελιστου *rell* ¦ 1 του [5%] TR

[5] θυγατερες παρθενοι τεσσαρες **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ ~ 132 ℵA,B [5%] NU ¦ ~ 213 C ¦ one other variant

[6] ημων **f**[35] (84.6%) HF,RP,OC,TR,CP ¦ --- A,B,C (14.4%) NU ¦ αυτων ℵ (0.4%) ¦ two other variants (0.6%)

[7] τε αυτου **f**[35] [89%] HF,RP,OC,TR,CP ¦ εαυτου ℵA,B,C,D [10%] NU ¦ 2 [1%]

[8] τους ποδας και τας χειρας **f**[35] ℵB,C,D [85%] HF,RP,OC,CP,NU ¦ ~ 45312 A [15%] TR

[9] εν *rell* ¦ εις D [1%] OC

[10] απεκριθη τε **f**[35] [92%] HF,RP,OC,CP ¦ 1 δε [5%] TR ¦ ~ τοτε 1 ℵA,B [2%] NU ¦ ~ τοτε 1 δε C [1%] ¦ D is wild

[11] εις ιερουσαλημ ετοιμως εχω *rell* ¦ ~ 3412 A [5%] CP

[12] το θελημα του κυριου **f**[35] D [96%] HF,RP,OC,TR,CP ¦ ~ 3412 ℵA,B,C [4%] NU

[13] γενεσθω **f**[35] [73%] HF,RP,TR,CP ¦ γινεσθω C [25%] OC,NU ¦ γεινεσθω ℵA,B,D [2%]

[14] επισκευασαμενοι **f**[35] A,B [90%] HF,RP,OC,CP,NU ¦ επισκευασαμενον ℵ ¦ αποσκευασαμενοι [5%] TR ¦ παρασκευασαμενοι C [2%] ¦ αποταξαμενοι D ¦ two other variants

[15] ιερουσαλημ **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ ιεροσολυμα ℵA,B,C [7%] NU

[16] αγοντες *rell* ¦ αγαγοντες CP

[17] εδεξαντο **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ απεδεξαντο ℵA,B,C [5%] NU

Paul submits to a false agenda

20 Οἱ δὲ ἀκούσαντες[1] ἐδόξαζον τὸν Κύριον,[2] εἰπόντες[3] αὐτῷ· «Θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων[4] τῶν πεπιστευκότων, καὶ πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσιν· **21** κατηχήθησαν δὲ περὶ σοῦ ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωϋσέος[5] τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα μηδὲ τοῖς ἔθεσιν[6] περιπατεῖν. **22** Τί οὖν ἐστιν; Πάντως δεῖ πλῆθος συνελθεῖν·[7] ἀκούσονται γὰρ[8] ὅτι ἐλήλυθας. **23** Τοῦτο οὖν ποίησον ὅ σοι λέγομεν· Εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες εὐχὴν ἔχοντες ἐφ᾽ ἑαυτῶν. **24** Τούτους παραλαβὼν ἁγνίσ-θητι σὺν αὐτοῖς, καὶ δαπάνησον[9] ἐπ᾽ αὐτοῖς ἵνα ξυρήσωνται[10] τὴν κεφαλήν, καὶ γνῶσιν[11] πάντες ὅτι ὧν κατήχηνται περὶ σοῦ οὐδέν ἐστιν· ἀλλὰ στοιχεῖς καὶ αὐτὸς τὸν νόμον φυλάσσων.[12] **25** Περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν, κρίναντες μηδὲν τοιοῦτον τηρεῖν αὐτούς, εἰ μὴ[13] φυλάσσεσθαι αὐτοὺς τό τε εἰδωλόθυτον καὶ τὸ[14] αἷμα καὶ πνικτὸν καὶ πορνείαν.»

Paul arrested

26 Τότε ὁ Παῦλος παραλαβὼν[15] τοὺς ἄνδρας, τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς εἰσῄει εἰς τὸ ἱερόν, διαγγέλλων[16] τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά. **27** Ὡς δὲ ἤμελλον[17] αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι, θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ, συνέχεον πάντα τὸν ὄχλον καὶ ἐπέβαλον ἐπ᾽ αὐτὸν τὰς χεῖρας,[18] **28** κράζοντες· «Ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε. Οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχοῦ[19] διδάσκων. Ἔτι τε καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν καὶ κεκοίνωκεν[20] τὸν ἅγιον τόπον τοῦτον.» **29** (Ἦσαν γὰρ ἑωρακότες[21] Τρόφιμον[22] τὸν Ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ Παῦλος.)

30 Ἐκινήθη τε ἡ πόλις ὅλη καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ. Καὶ ἐπιλαβόμενοι τοῦ Παύλου εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ, καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι. **31** Ζητούντων δὲ[23] αὐτὸν ἀποκτεῖναι, ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς σπείρας[24] ὅτι ὅλη συγκέχυται[25] Ἰερουσαλήμ· **32** ὃς ἐξαυτῆς παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχους,[26] κατέδραμεν ἐπ᾽ αὐτούς· οἱ δέ, ἰδόντες τὸν

---

[1] ακουσαντες *rell* ¦ ακουοντες [23%]
[2] κυριον **f**[35] D [70%] HF,RP,OC,TR ¦ θεον ℵA,B,C [30%] CP,NU
[3] ειποντες **f**[35] C,D [60%] HF,RP ¦ ειπον τε A,B [37%] OC,TR,CP,NU ¦ ειπαν τε ℵ [2%] ¦ two other variants
[4] ιουδαιων **f**[35] (88.1%) HF,RP,OC,TR,CP ¦ εν τοις ιουδαιοις A,B,C (6.9%) NU ¦ --- ℵ (2.1%) ¦ των 1 (1.9%) ¦ ιουδαιοι (0.8%) ¦ εν τη ιουδαια D
[5] μωυσεος **f**[35] [25%] ¦ μωυσεως ℵB,C [45%] HF,RP,OC,NU ¦ μωσεως A,D [30%] TR,CP
[6] εθεσιν *rell* ¦ εθνεσιν D [15%]
[7] δει πληθος συνελθειν **f**[35] D [94%] HF,RP,OC,TR,CP ¦ ~ 132 ℵA [4%] ¦ --- B,C [2%] NU
[8] γαρ **f**[35] A,D [96%] HF,RP,OC,TR,CP ¦ --- (ℵ)B,C [4%] NU
[9] δαπανησον *rell* ¦ δαπανισον [14%]
[10] ξυρησωνται **f**[35] A,C [62%] HF,RP,OC,TR,CP ¦ ξυρησονται ℵB [18%] NU ¦ ξυρισωνται [18%] ¦ ξυρισονται [2%] ¦ ξυρωνται D
[11] γνωσιν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ γνωσονται ℵA,B,C,D [5%] NU
[12] τον νομον φυλασσων **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ ~ 312 ℵA,B,C,D [10%] NU
[13] μηδεν τοιουτον (τοιουτο C 5.5% RP,HF) τηρειν αυτους ει μη (αλλα 4.6%) **f**[35] (C)D (97.9%) (HF,RP)OC,TR,CP ¦ --- ℵA,B (2.1%) NU
[14] το **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C,D [4%] NU
[15] ο παυλος παραλαβων *rell* ¦ ~ 312 [32%] ¦ 23 D [5%]
[16] διαγγελλων *rell* ¦ διαγγελων [25%] CP
[17] ημελλον **f**[35] [33%] ¦ εμελλον ℵA,B,C [60%] HF,RP,OC,TR,CP,NU ¦ εμελλων [7%] ¦ D is wild
[18] επ αυτον τας χειρας **f**[35] ℵA,B,C,D [75%] NU ¦ ~ 3412 [25%] HF,RP,OC,TR,CP
[19] πανταχου **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ πανταχη ℵA,B,C,D [10%] NU ¦ one other variant
[20] κεκοινωκεν *rell* ¦ κεκοινωνηκεν (ℵ) [20%] ¦ εκοινωνησεν D
[21] εωρακοτες **f**[35] [85%] HF,RP,OC,CP ¦ προεωρακοτες ℵA,B,C,D [10%] TR,NU ¦ εορακατες [5%]
[22] τροφιμον *rell* ¦ τροφημον [18%]
[23] δε **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ τε ℵA,B [3%] NU ¦ και D
[24] σπειρας **f**[35] [30%] ¦ σπειρης (ℵ)A,B,D [70%] HF,RP,OC,TR,CP,NU
[25] συγκεχυται **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ συγχυνεται (ℵA)B(D) [2%] NU ¦ two other variants
[26] εκατονταρχους **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ εκατονταρχας ℵA,B,D [3%] NU ¦ εκατονταρχην [1%]

χιλίαρχον καὶ τοὺς στρατιώτας, ἐπαύσαντο τύπτοντες τὸν Παῦλον. **33** Ἐγγίσας δὲ[1] ὁ χιλίαρχος ἐπελάβετο αὐτοῦ, καὶ ἐκέλευσεν δεθῆναι ἁλύσεσιν δυσίν, καὶ ἐπυνθάνετο τίς ἂν[2] εἴη καὶ τί ἐστιν πεποιηκώς. **34** Ἄλλοι δὲ ἄλλο τι ἐβόων[3] ἐν τῷ ὄχλῳ· μὴ δυνάμενος δὲ[4] γνῶναι τὸ ἀσφαλές, διὰ τὸν θόρυβον, ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν. **35** Ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμούς, συνέβη βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν, διὰ τὴν βίαν τοῦ ὄχλου. **36** Ἠκολούθει[5] γὰρ τὸ πλῆθος τοῦ λαοῦ κράζον,[6] «Αἶρε αὐτόν.»

37 Μέλλων δὲ[7] εἰς τὴν παρεμβολὴν εἰσάγεσθαι,[8] ὁ Παῦλος λέγει τῷ χιλιάρχῳ, «Εἰ ἔξεστίν μοι εἰπεῖν[9] πρός σε;» Ὁ δὲ ἔφη· «Ἑλληνιστὶ γινώσκεις; **38** Οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν Σικαρίων;» **39** Εἶπεν δὲ ὁ Παῦλος, «Ἐγὼ ἄνθρωπος μέν εἰμι Ἰουδαῖος, Ταρσεὺς τῆς Κιλικίας, οὐκ ἀσήμου[10] πόλεως πολίτης· δέομαι δέ[11] σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν.» **40** Ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν κατέσεισεν τῇ χειρὶ τῷ λαῷ· πολλῆς δὲ σιγῆς γενομένης, προσεφώνει[12] τῇ Ἑβραΐδι διαλέκτῳ λέγων·

Paul addresses the mob

22:1 «Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νυνὶ[13] ἀπολογίας.» **2** Ἀκούσαντες δὲ ὅτι τῇ Ἑβραΐδι διαλέκτῳ προσεφώνει[14] αὐτοῖς, μᾶλλον παρέσχον ἡσυχίαν. Καί φησιν· **3** «Ἐγὼ μέν[15] εἰμι ἀνὴρ Ἰουδαῖος, γεγεννημένος[16] ἐν Ταρσῷ τῆς Κιλικίας, ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ παρὰ τοὺς πόδας Γαμαλιήλ, πεπαιδευμένος κατὰ[17] ἀκρίβειαν τοῦ πατρῴου νόμου, ζηλωτὴς ὑπάρχων τοῦ Θεοῦ, καθὼς πάντες ὑμεῖς ἐστε σήμερον· **4** ὃς ταύτην τὴν Ὁδὸν ἐδίωξα ἄχρι θανάτου, δεσμεύων καὶ παραδιδοὺς εἰς φυλακὰς ἄνδρας τε καὶ γυναῖκας, **5** ὡς καὶ[18] ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι[19] καὶ πᾶν τὸ πρεσβυτέριον·[20] παρ᾽ ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς τοὺς ἀδελφοὺς εἰς Δαμασκὸν ἐπορευόμην, ἄξων καὶ τοὺς ἐκεῖσε ὄντας δεδεμένους εἰς Ἰερουσαλήμ, ἵνα τιμωρηθῶσιν. **6** Ἐγένετο δέ μοι πορευομένῳ καὶ ἐγγίζοντι[21] τῇ Δαμασκῷ, περὶ μεσημβρίαν, ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμέ. **7** Ἔπεσόν[22] τε εἰς τὸ ἔδαφος καὶ ἤκουσα φωνῆς λεγούσης μοι, ‹Σαούλ, Σαούλ, τί με διώκεις;› **8** Ἐγὼ δὲ ἀπεκρίθην, ‹Τίς εἶ, Κύριε;› Εἶπέν τε πρός με, ‹Ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις.› **9** Οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἔμφοβοι ἐγένοντο·[23] τὴν δὲ φωνὴν[24] οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι. **10** Εἶπον δέ, ‹Τί ποιήσω, Κύριε;› Ὁ δὲ Κύριος εἶπεν πρός με, ‹Ἀναστὰς πορεύου

---

[1] εγγισας δε **f**[35] [92%] HF,RP,OC,CP ¦ ~ τοτε 1 ℵA,B,D [8%] TR,NU
[2] αν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [4%] NU
[3] εβοων **f**[35] [77%] HF,RP,OC,TR,CP ¦ εβοουν [15%] ¦ επεφωνουν ℵA,B,D [6%] NU ¦ επιβοων [2%]
[4] δυναμενος δε **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ δυναμενου 2 αυτου ℵA,B(D) [4%] NU
[5] ηκολουθει *rell* ¦ ηκολουθη [30%] ¦ ηκολουθι ℵD [1%]
[6] κραζον **f**[35] D [78%] HF,RP,OC,TR,CP ¦ κραζοντες ℵA,B [5%] NU ¦ κραζων [17%]
[7] δε **f**[35] [40%] ¦ τε ℵA,B,D [58%] HF,RP,OC,TR,CP,NU ¦ --- [2%]
[8] εις την παρεμβολην εισαγεσθαι **f**[35] [20%] ¦ ~ 4123 ℵA,B,D [80%] HF,RP,OC,TR,CP,NU
[9] ειπειν **f**[35] [80%] HF,RP,CP ¦ 1 τι ℵA,B [20%] OC,TR,NU ¦ λαλησαι D
[10] ασημου *rell* ¦ ασιμου [35%] ¦ --- D
[11] δε *rell* ¦ --- [20%]
[12] προσεφωνει **f**[35] [40%] RP ¦ προσεφωνησεν ℵA,B,D [60%] HF,OC,TR,CP,NU
[13] νυνι **f**[35] ℵA,B(D) [95%] HF,RP,OC,CP,NU ¦ νυν [5%] TR
[14] προσεφωνει *rell* ¦ προσφωνει D [40%] ¦ προσεφωνησεν [3%] ¦ προσφωνησεν [3%]
[15] μεν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,D [4%] NU
[16] γεγεννημενος (D) *rell* ¦ γεγενημενος [25%]
[17] κατα *rell* ¦ δε 1 [40%]
[18] και *rell* ¦ --- CP
[19] μαρτυρει μοι *rell* ¦ ~ 21 CP
[20] πρεσβυτεριον *rell* ¦ πρεσβυτερειον B [25%]
[21] εγγιζοντι *rell* ¦ εγγυζοντι CP
[22] επεσον **f**[35] (D) [45%] OC,TR,CP ¦ επεσα ℵA,B [50%] HF,RP,NU ¦ three other variants [5%]
[23] και εμφοβοι εγενοντο **f**[35] D (88.2%) HF,RP,OC,TR,CP ¦ 12 γενομενοι (1.5%) ¦ --- (ℵ)A,B (10.3%) NU
[24] δε φωνην *rell* ¦ ~ 21 CP

εἰς Δαμασκόν, κἀκεῖ σοι λαληθήσεται περὶ πάντων ὧν τέτακταί[1] σοι ποιῆσαι.› **11** Ὡς δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου, χειραγωγούμενος ὑπὸ τῶν συνόντων μοι, ἦλθον εἰς Δαμασκόν. **12** Ἀνανίας δέ τις, ἀνὴρ εὐσεβὴς[2] κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν κατοικούντων ἐν Δαμασκῷ[3] Ἰουδαίων, **13** ἐλθὼν πρός με καὶ ἐπιστὰς εἶπέν μοι, ‹Σαοὺλ ἀδελφέ, ἀνάβλεψον.› Κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς αὐτόν. **14** Ὁ δὲ εἶπεν· ‹Ὁ Θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό[4] σε γνῶναι τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν Δίκαιον, καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ. **15** Ὅτι ἔσῃ μάρτυς αὐτῷ πρὸς πάντας ἀνθρώπους ὧν ἑώρακας καὶ ἤκουσας. **16** Καὶ νῦν τί μέλλεις; Ἀναστάς, βάπτισαι καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ Κυρίου.›[5]

17 »Ἐγένετο δέ μοι ὑποστρέψαντι εἰς Ἰερουσαλὴμ καὶ προσευχομένου μου ἐν τῷ ἱερῷ, γενέσθαι με ἐν ἐκστάσει **18** καὶ ἰδεῖν αὐτὸν λέγοντά μοι, ‹Σπεῦσον καὶ ἔξελθε ἐν τάχει ἐξ Ἰερουσαλήμ, διότι οὐ παραδέξονταί σου τὴν[6] μαρτυρίαν περὶ ἐμοῦ.› **19** Κἀγὼ εἶπον· ‹Κύριε, αὐτοὶ ἐπίστανται ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δαίρων[7] κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας εἰς[8] σέ· **20** καὶ ὅτε ἐξεχεῖτο[9] τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός[10] σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ,[11] καὶ[12] φυλάσσων τὰ ἱμάτια τῶν ἀναιρούντων αὐτόν.› **21** Καὶ εἶπεν πρός με, ‹Πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε.› »

A Roman citizen

22 Ἤκουον δὲ αὐτοῦ ἄχρι τούτου τοῦ λόγου, καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν λέγοντες, «Αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον, οὐ γὰρ καθῆκεν[13] αὐτὸν ζῆν.» **23** Κραυγαζόντων[14] δὲ[15] αὐτῶν καὶ ῥιπτούντων[16] τὰ ἱμάτια, καὶ κονιορτὸν βαλλόντων εἰς τὸν ἀέρα, **24** ἐκέλευσεν ὁ χιλίαρχος ἄγεσθαι αὐτὸν[17] εἰς τὴν παρεμβολήν, εἰπὼν[18] μάστιξιν ἀνετάζεσθαι αὐτόν, ἵνα ἐπιγνῷ δι᾽ ἣν αἰτίαν οὕτως ἐπεφώνουν αὐτῷ. **25** Ὡς δὲ προέτειναν[19] αὐτὸν τοῖς ἱμᾶσιν, εἶπεν πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον ὁ Παῦλος, «Εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν;» **26** Ἀκούσας δὲ ὁ ἑκατόνταρχος,[20] προσελθὼν τῷ χιλιάρχῳ ἀπήγγειλεν[21] λέγων, «Ὅρα[22] τί μέλλεις ποιεῖν, ὁ γὰρ ἄνθρωπος οὗτος Ῥωμαῖός ἐστιν.» **27** Προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ, «Λέγε μοι, εἰ[23] σὺ Ῥωμαῖος εἶ;» Ὁ δὲ ἔφη, «Ναί.» **28** Ἀπεκρίθη τε[24] ὁ χιλίαρχος, «Ἐγὼ πολλοῦ κεφαλαίου τὴν

---

[1] περι παντων ων τετακται (B) *rell* ¦ τι σε δει [16%] ¦ τι σε εδει [5%] ¦ τις σε δει [5%] ¦ σοι δει [5%]
[2] ευσεβης **f**[35] [44%] RP,OC,TR ¦ ευσεβεις [5%] ¦ ευλαβης ℵB [50%] HF,CP,NU ¦ --- A [1%]
[3] εν δαμασκω **f**[35] [75%] HF,OC,CP ¦ --- ℵA,B [25%] RP,TR,NU (OC is in small print)
[4] προεχειρισατο *rell* ¦ προεχειρησατο A [12%] ¦ two other variants
[5] του κυριου **f**[35] [79%] HF,RP,OC,TR,CP ¦ αυτου ℵA,B [6%] NU ¦ 2 [15%]
[6] την **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [4%] NU
[7] δαιρων **f**[35] [25%] CP ¦ δερων ℵA,B [75%] HF,RP,OC,TR,NU
[8] εις **f**[35] [20%] ¦ επι ℵA,B [80%] HF,RP,OC,TR,CP,NU
[9] εξεχειτο **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ εξεχυννετο ℵA,B [1%] NU ¦ εξεχυνετο [2%] ¦ at least five further spellings [5%]
[10] μαρτυρος *rell* ¦ πρωτομαρτυρος [10%] CP
[11] τη αναιρεσει αυτου **f**[35] (97.7%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B (2.3%) NU
[12] και **f**[35] ℵA,B,D [25%] OC,TR,NU ¦ --- [75%] HF,RP,CP
[13] καθηκεν *rell* ¦ καθηκον [20%] TR ¦ καθηκει [2%]
[14] κραυγαζοντων **f**[35] ℵA,B,D [82%] OC,TR,NU ¦ κραζοντων C [16%] HF,RP,CP ¦ three other variants [2%]
[15] δε **f**[35] ℵD [99%] HF,RP,OC,TR,CP ¦ τε A,B,C [1%] NU
[16] ριπτουντων (B) *rell* ¦ ριπτοντων (D) [30%] OC ¦ two other variants
[17] ο χιλιαρχος αγεσθαι αυτον **f**[35] [20%] ¦ ~ 4123 [74%] HF,RP,OC,TR,CP ¦ 12 εισαγεσθαι 4 ℵA(B)C(D) [6%] NU
[18] ειπων **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ειπας ℵA,B,C,D [4%] NU ¦ ειπε δε [1%]
[19] προετειναν **f**[35] (ℵ)B [30%] OC,CP,NU ¦ προετεινεν [30%] HF,RP,TR ¦ προσετινεν [27%] ¦ προσετειναν C(D) [3%] ¦ προετεινον A [5%] ¦ three other variants [5%]
[20] εκατονταρχος **f**[35] B [98%] HF,RP,OC,TR,CP ¦ εκατονταρχης ℵA,C,D [2%] NU
[21] τω χιλιαρχω απηγγειλεν **f**[35] (ℵ)A(B)C(D) [20%] NU ¦ ~ 312 [73%] HF,RP,OC,TR,CP ¦ 12 ανηγγειλεν [2%] ¦ ~ ανηγγειλεν 12 [5%]
[22] ορα **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [5%] NU
[23] ει **f**[35] [65%] HF,RP,OC,TR ¦ --- ℵA,B,C,D [35%] CP,NU
[24] τε **f**[35] [80%] HF,RP,OC,TR,CP ¦ δε ℵB,C [13%] NU ¦ --- A [7%] ¦ και (D)

πολιτείαν ταύτην ἐκτησάμην.» Ὁ δὲ Παῦλος ἔφη, «Ἐγὼ δὲ καὶ γεγέννημαι.»[1] **29** Εὐθέως οὖν ἀπέστησαν ἀπ᾽ αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν· καὶ ὁ χιλίαρχος δὲ[2] ἐφοβήθη, ἐπιγνοὺς ὅτι Ῥωμαῖός ἐστιν καὶ ὅτι ἦν αὐτὸν[3] δεδεκώς.

The Sanhedrin

30 Τῇ δὲ ἐπαύριον, βουλόμενος γνῶναι τὸ ἀσφαλὲς τὸ τί κατηγορεῖται ὑπὸ[4] τῶν Ἰουδαίων, ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν[5] καὶ ἐκέλευσεν ἐλθεῖν[6] τοὺς ἀρχιερεῖς καὶ πᾶν[7] τὸ συνέδριον αὐτῶν,[8] καὶ καταγαγὼν τὸν Παῦλον ἔστησεν εἰς αὐτούς.

23:1 Ἀτενίσας δὲ ὁ Παῦλος τῷ συνεδρίῳ[9] εἶπεν, «Ἄνδρες ἀδελφοί, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ Θεῷ ἄχρι ταύτης τῆς ἡμέρας.» **2** Ὁ δὲ ἀρχιερεὺς Ἀνανίας ἐπέταξεν τοῖς παρεστῶσιν αὐτῷ τύπτειν αὐτοῦ τὸ στόμα. **3** Τότε ὁ Παῦλος πρὸς αὐτὸν εἶπεν· «Τύπτειν σε μέλλει ὁ Θεός, τοῖχε κεκονιαμένε· καὶ σὺ κάθῃ κρίνων[10] με κατὰ τὸν νόμον, καὶ παρανομῶν κελεύεις με τύπτεσθαι.» **4** Οἱ δὲ παρεστῶτες εἶπον,[11] «Τὸν ἀρχιερέα τοῦ Θεοῦ λοιδορεῖς;» **5** Ἔφη τε ὁ Παῦλος· «Οὐκ ᾔδειν, ἀδελφοί, ὅτι ἐστὶν ἀρχιερεύς· γέγραπται γάρ,[12] ‹Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.› »

6 Γνοὺς δὲ ὁ Παῦλος ὅτι τὸ ἓν μέρος ἐστὶν Φαρισαίων, τὸ δὲ ἕτερον Σαδδουκαίων,[13] ἔκραξεν[14] ἐν τῷ συνεδρίῳ, «Ἄνδρες ἀδελφοί, ἐγὼ Φαρισαῖός εἰμι, υἱὸς Φαρισαίου·[15] περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ[16] κρίνομαι.» **7** Τοῦτο δὲ αὐτοῦ λαλήσαντος,[17] ἐγένετο στάσις τῶν Φαρισαίων καὶ τῶν Σαδδουκαίων,[18] καὶ ἐσχίσθη τὸ πλῆθος. **8** (Σαδδουκαῖοι μὲν γὰρ λέγουσιν μὴ εἶναι ἀνάστασιν, μήτε[19] ἄγγελον μήτε πνεῦμα, Φαρισαῖοι δὲ ὁμολογοῦσιν τὰ ἀμφότερα.) **9** Ἐγένετο δὲ κραυγὴ μεγάλη, καὶ ἀναστάντες[20] οἱ γραμματεῖς[21] τοῦ μέρους τῶν Φαρισαίων διεμάχοντο λέγοντες, «Οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ· εἰ δὲ[22] πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος, μὴ θεομαχῶμεν.»[23] **10** Πολλῆς δὲ γενομένης στάσεως,[24] εὐλαβηθεὶς[25] ὁ χιλίαρχος μὴ διασπασθῇ ὁ Παῦλος ὑπ᾽ αὐτῶν, ἐκέλευσεν τὸ στράτευμα καταβῆναι καὶ[26] ἁρπάσαι αὐτὸν ἐκ μέσου αὐτῶν, ἄγειν τε εἰς τὴν παρεμβολήν.

---

[1] γεγεννημαι *rell* ¦ γεγενημαι A [18%] ¦ γεγεννημε C [2%]
[2] δε *rell* ¦ --- ℵ [2%] CP
[3] ην αυτον **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B,C [4%] NU
[4] υπο **f**[35] ℵA,B,C [30%] NU ¦ παρα [70%] HF,RP,OC,TR,CP
[5] απο των δεσμων **f**[35] (90.1%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C (9.9%) NU
[6] ελθειν **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ συνελθειν ℵA,B,C [5%] NU ¦ συνεισελθειν [2%]
[7] παν **f**[35] ℵA,B,C [20%] NU ¦ ολον [80%] HF,RP,OC,TR,CP
[8] αυτων **f**[35] [88%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [12%] NU
[9] ο παυλος τω συνεδριω **f**[35] (85.9%) HF,RP,OC,TR,NU ¦ 234 B (9%) CP ¦ ~ 3412 ℵA,C (5%)
[10] κρινων *rell* ¦ κρινον [20%]
[11] ειπον *rell* ¦ ειπαν ℵB [5%] NU
[12] γαρ **f**[35] C [95%] HF,RP,OC,TR,CP ¦ 1 οτι ℵA,B [5%] NU
[13] φαρισαιων το δε ετερον σαδδουκαιων **f**[35] [20%] ¦ ~ 52341 ℵA,B,C [80%] HF,RP,OC,TR,CP,NU
[14] εκραξεν **f**[35] A [90%] HF,RP,OC,TR,CP ¦ εκραζεν ℵB,C [10%] NU
[15] φαρισαιου **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ φαρισαιων ℵA(B)C [3%] NU
[16] εγω **f**[35] ℵA [99%] HF,RP,OC,TR,CP[NU] ¦ --- B,C [1%]
[17] λαλησαντος **f**[35] C [86%] HF,RP,OC,TR,CP ¦ λαλουντος B [10%] ¦ ειποντος (ℵ)A [4%] NU
[18] φαρισαιων και των σαδδουκαιων **f**[35] [48%] HF,OC,TR ¦ 1 [25%] RP ¦ ~ 4231 [7%] ¦ 124 A(B)C [15%] NU ¦ ~ 421 ℵ [5%] CP
[19] μητε **f**[35] ℵA,B,C [25%] OC,NU ¦ μηδε [75%] HF,RP,TR,CP
[20] ανασταντες **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ 1 τινες ℵA,B(C) [7%] NU
[21] οι γραμματεις **f**[35] [49%] HF,RP,OC,TR,CP ¦ 2 [45%] ¦ των γραμματεων ℵB(C) [4%] NU ¦ --- A [2%]
[22] δε *rell* ¦ 1 και CP
[23] μη θεομαχωμεν **f**[35] (95.6%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C (4.4%) NU
[24] γενομενης στασεως **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 A,C ¦ γινομενης 2 (ℵ)(B) [5%] NU
[25] ευλαβηθεις **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ φοβηθεις (ℵ)A,B,C [7%] NU
[26] καταβηναι και **f**[35] [95%] HF,RP,OC,CP ¦ καταβαν ℵA,B,C [5%] TR,NU

A plot exposed

11 Τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος εἶπεν, «Θάρσει Παῦλε,[1] ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἰερουσαλήμ, οὕτως σε δεῖ[2] καὶ εἰς Ῥώμην μαρτυρῆσαι.» **12** Γενομένης δὲ ἡμέρας, ποιήσαντές τινες τῶν Ἰουδαίων συστροφήν,[3] ἀνεθεμάτισαν ἑαυτοὺς[4] μήτε φαγεῖν μήτε πιεῖν ἕως οὗ ἀνέλωσιν[5] τὸν Παῦλον. **13** Ἦσαν δὲ πλείους τεσσαράκοντα[6] οἱ ταύτην τὴν συνωμοσίαν[7] πεποιηκότες·[8] **14** οἵτινες προσελθόντες τοῖς ἀρχιερεῦσιν καὶ τοῖς[9] πρεσβυτέροις εἶπον·[10] «Ἀναθέματι ἀνεθεματίσαμεν ἑαυτοὺς μηδενὸς γεύσασθαι ἕως οὗ ἀποκτείνωμεν τὸν Παῦλον. **15** Νῦν οὖν, ὑμεῖς ἐμφανίσατε τῷ χιλιάρχῳ, σὺν τῷ συνεδρίῳ, ὅπως αὔριον[11] καταγάγῃ αὐτὸν[12] πρὸς[13] ὑμᾶς, ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ· ἡμεῖς δέ, πρὸ τοῦ ἐγγίσαι αὐτόν, ἕτοιμοί ἐσμεν τοῦ ἀνελεῖν αὐτόν.»

16 Ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνεδρον,[14] παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολήν, ἀπήγγειλεν τῷ Παύλῳ. **17** Προσκαλεσάμενος δὲ ὁ Παῦλος ἕνα τῶν ἑκατοντάρχων ἔφη, «Τὸν νεανίαν[15] τοῦτον ἀπάγαγε πρὸς τὸν χιλίαρχον, ἔχει γάρ τι ἀπαγγεῖλαι[16] αὐτῷ.» **18** Ὁ μὲν οὖν παραλαβὼν αὐτὸν ἤγαγεν πρὸς τὸν χιλίαρχον καί φησιν, «Ὁ δέσμιος Παῦλος προσκαλεσάμενός με ἠρώτησεν τοῦτον τὸν νεανίαν[17] ἀγαγεῖν πρός σε, ἔχοντά τι λαλῆσαί σοι.» **19** Ἐπιλαβόμενος δὲ τῆς χειρός αὐτοῦ, ὁ χιλίαρχος καὶ ἀναχωρήσας κατ᾽ ἰδίαν ἐπυνθάνετο, «Τί ἐστιν ὃ ἔχεις ἀπαγγεῖλαί μοι;» **20** Εἶπεν δὲ ὅτι «Οἱ Ἰουδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί σε ὅπως αὔριον εἰς τὸ συνέδριον καταγάγῃς τὸν Παῦλον,[18] ὡς μέλλοντές[19] τι ἀκριβέστερον πυνθάνεσθαι

---

[1] παυλε **f**^{35} [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [5%] NU

[2] σε δει *rell* ¦ ~ 21 CP

[3] τινες των ιουδαιων συστροφην **f**^{35} [86%] HF,RP,OC,TR,CP ¦ ~ 4123 (**𝔓**^{48}) [4%] ¦ ~ 4 οι ιουδαιοι ℵA,B,C [10%] NU

[4] εαυτους **f**^{35} C [25%] ¦ 1 λεγοντες **𝔓**^{48}ℵA,B [75%] HF,RP,OC,TR,CP,NU

[5] ανελωσιν **f**^{35} (A) [20%] ¦ αποκτεινωσιν (ℵ)B,C [80%] HF,RP,OC,TR,CP,NU ¦ απεκτεινας **𝔓**^{48}

[6] τεσσαρακοντα **f**^{35} [97%] HF,RP,OC,TR,CP ¦ τεσσερακοντα ℵA,B,C [3%] NU

[7] συνωμοσιαν *rell* ¦ συνομοσιαν [35%] ¦ two other variants ¦ --- **𝔓**^{48} is wild

[8] πεποιηκοτες **f**^{35} [85%] HF,RP,OC,TR,CP ¦ ποιησαμενοι ℵA,B,C [5%] NU ¦ ποιησαντες [9%] ¦ three other variants **𝔓**^{48} [1%]

[9] τοις *rell* ¦ --- CP

[10] ειπον *rell* ¦ ειπαν **𝔓**^{48}ℵA,B,C [15%] NU

[11] αυριον **f**^{35} [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [5%] NU

[12] καταγαγη αυτον **f**^{35} **𝔓**^{48}ℵA,B,C [35%] CP,NU ¦ ~ 21 [65%] HF,RP,OC,TR

[13] προς **f**^{35} C [93%] HF,RP,OC,TR,CP ¦ εις **𝔓**^{48}ℵA,B [7%] NU

[14] το ενεδρον **f**^{35} [92%] HF,RP,OC,TR,CP ¦ πην ενεδραν ℵA,B,C [8%] NU

[15] νεανιαν *rell* ¦ νεανισκον [2%] CP ¦ νεανια [19%] ¦ one other variant

[16] τι απαγγειλαι **f**^{35} (ℵ)C [97%] HF,RP,OC,TR,CP ¦ ~ 21 A,B [3%] NU

[17] νεανιαν **f**^{35} B [85%] HF,RP,OC,TR,CP ¦ νεανισκον ℵA [15%] NU

[18] εις το συνεδριον καταγαγης τον παυλον **f**^{35} [88%] HF,RP,OC,TR,CP ¦ ~ 564123 ℵA,B [7%] NU ¦ ~ 456123 [5%]

[19] 1) μελλοντες **f**^{35} (33.1%) TR,CP
2) μελλοντα (27.2%) HF,RP
3) μελλοντων (17.4%) OC
4) μελλων A,B (9.2%)
5) μελλον ℵ (7.5%) NU
6) μελλοντας (5.4%)
(one other) (0.2%)

Rather a dismaying picture—what to do? To begin, the variants are all participial forms of the same verb. The key seems to be the perceived referent or antecedent of the participle. Is it "the Jews", "the Sanhedrin" or "the commander"? The best answer from the point of view of the grammar is evidently "the Jews", which would require a masc., nom., plural form—the only candidate is variant 1). However, there were those who took the referent to be "the Sanhedrin"—the Alexandrian MSS have συνεδριον next to the participle, separated only by ως. The grammar requires a neuter, acc., sg. form—variant 5). But, the Sanhedrin was made up of men, so perhaps some decided it would be more appropriate to make it plural—variant 2); and maybe even masc. besides—variant 6) [might this be assimilation to verse 15?]. Variant 3), being genitive, is really strange, unless somehow someone thought that the commander intended to inquire of the Sanhedrin, viewed as plural. Variant 4) presumably takes "the commander" as the referent, but puts the form in the nom., sort of *ad sensum* since σε is

περὶ αὐτοῦ. **21** Σὺ οὖν μὴ πεισθῇς αὐτοῖς· ἐνεδρεύουσιν γὰρ αὐτὸν ἐξ αὐτῶν ἄνδρες πλείους[1] τεσσαράκοντα,[2] οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν μήτε πιεῖν ἕως οὗ ἀνέλωσιν αὐτόν· καὶ νῦν ἕτοιμοί εἰσιν[3] προσδεχόμενοι τὴν ἀπὸ σοῦ ἐπαγγελίαν.» **22** Ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσεν[4] τὸν νεανίαν[5] παραγγείλας, «Μηδενὶ ἐκλαλῆσαι ὅτι ταῦτα ἐνεφάνισας πρός με.»

Paul sent to Felix

23 Καὶ προσκαλεσάμενος δύο τινὰς[6] τῶν ἑκατοντάρχων εἶπεν· «Ἑτοιμάσατε στρατιώτας διακοσίους ὅπως πορευθῶσιν ἕως Καισαρείας, καὶ ἱππεῖς ἑβδομήκοντα καὶ δεξιολάβους διακοσίους, ἀπὸ τρίτης ὥρας τῆς νυκτός· **24** κτήνη τε παραστῆσαι, ἵνα ἐπιβιβάσαντες[7] τὸν Παῦλον διασώσωσιν πρὸς Φήλικα[8] τὸν ἡγεμόνα.» **25** Γράψας ἐπιστολὴν περιέχουσαν[9] τὸν τύπον τοῦτον·

26 «Κλαύδιος Λυσίας, τῷ κρατίστῳ ἡγεμόνι Φήλικι·[10] Χαίρειν. **27** Τὸν ἄνδρα τοῦτον συλληφθέντα[11] ὑπὸ τῶν Ἰουδαίων καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ᾽ αὐτῶν· ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλόμην[12] αὐτόν,[13] μαθὼν ὅτι Ῥωμαῖός ἐστιν. **28** Βουλόμενος δὲ[14] γνῶναι[15] τὴν αἰτίαν δι᾽ ἣν ἐνεκάλουν αὐτῷ, κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν·[16] **29** ὃν εὗρον ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν, μηδὲν[17] ἄξιον θανάτου ἢ δεσμῶν ἔγκλημα ἔχοντα.[18] **30** Μηνυθείσης δέ μοι ἐπιβουλῆς εἰς τὸν ἄνδρα μέλλειν[19] ἔσεσθαι ὑπὸ τῶν Ἰουδαίων,[20] ἐξαυτῆς ἔπεμψα πρός σε, παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ[21] πρὸς αὐτὸν ἐπὶ σοῦ. Ἔρρωσο.»[22]

31 Οἱ μὲν οὖν στρατιῶται, κατὰ τὸ διατεταγμένον αὐτοῖς, ἀναλαβόντες τὸν Παῦλον, ἤγαγον

---

acc. But variant 2) could also be referring to the commander, precisely masc., acc., singular.

What are the requirements of the context? "The commander" as referent does not fit. Not only was it not his idea, he sent Paul away that very night to forestall the possibility. (That the Jews should attempt to tell the commander what was in **his** mind is scarcely credible.) "The Sanhedrin" as referent really doesn't fit either. το συνεδριον appears in the text as the object of a preposition, not as an initiating agent. It is "the Jews" that is the Subject of the main verb, and therefore of the two infinitives, and our participle is working with the second infinitive, "as ones intending to inquire".

Conclusion: variant 1) is the only one that really fits the context; it is also the best attested. Although it only musters 33.1% of the vote (including $\mathbf{f}^{35}$), it is also attested by the three ancient versions—always weighty testimony. I conclude that the Autograph read μελλοντες.

[1] πλειους *rell* ¦ --- [15%]

[2] τεσσαρακοντα $\mathbf{f}^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ τεσσερακοντα ℵA,B [2%] NU

[3] ετοιμοι εισιν $\mathbf{f}^{35}$ [92%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B [8%] NU

[4] απελυσεν *rell* ¦ επελυσεν CP ¦ απελυσαι [3%]

[5] νεανιαν $\mathbf{f}^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ νεανισκον ℵA,B [4%] NU

[6] δυο τινας $\mathbf{f}^{35}$ A [97%] HF,RP,OC,TR,CP[NU] ¦ ~ 21 ℵB [2%] ¦ 2 [1%]

[7] επιβιβασαντες *rell* ¦ επιβηβασαντες [20%]

[8] φηλικα $\mathbf{f}^{35}$ ℵB [35%] HF,RP,OC,TR,NU ¦ φιληκα $\mathbf{f}^{35pt}$ [25%] CP ¦ φιλικα A [40%] [We are dealing with alternate spellings of a proper name, a name that occurs nine times with division in chapters 23-25. This discussion will serve for all nine. The first reading is attested by codices B and Aleph, and P^{48}, which indicates that the spelling is not a late invention. But in any case, a mere alternate spelling is not a proper variant, since neither the identity nor the meaning of the word is affected. That said, however, we must choose one to print in the Text. Almost all Greek texts and translations have 'Felix', so that is the accepted spelling. Most of the better family representatives attest the first spelling.]

[9] περιεχουσαν $\mathbf{f}^{35}$ A [94%] HF,RP,OC,TR,CP ¦ εχουσαν ℵB [6%] NU ¦ --- $\mathfrak{P}^{48}$ is wild

[10] φηλικι $\mathbf{f}^{35}$ $\mathfrak{P}^{48}$ℵB [40%] HF,RP,OC,TR,NU ¦ φιληκι [30%] CP ¦ φιλικι A [17%] ¦ φιλικη [4%] ¦ --- [9%]

[11] συλληφθεντα *rell* ¦ συλλημφθεντα $\mathfrak{P}^{48}$ℵA,B [2%] NU

[12] εξειλομην *rell* ¦ εξειλαμην ℵ(A)B [4%] NU ¦ ερυσαμην $\mathfrak{P}^{48}$

[13] αυτον $\mathbf{f}^{35}$ [87%] HF,RP,OC,TR,CP ¦ αυτων [3%] ¦ --- ℵA,B [10%] NU ¦ κραζον $\mathfrak{P}^{48}$

[14] αυτον $\mathbf{f}^{35}$ [87%] HF,RP,OC,TR,CP ¦ αυτων [3%] ¦ --- ℵA,B [10%] NU ¦ κραζον $\mathfrak{P}^{48}$

[15] γνωναι $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ επιγνωναι ℵA,B [5%] NU

[16] κατηγαγον αυτον εις το συνεδριον αυτων $\mathbf{f}^{35}$ $\mathfrak{P}^{48v}$ [95%] HF,RP,OC,TR,CP ¦ 13456 ℵA [4%] NU ¦ --- B [1%]

[17] μηδεν $\mathbf{f}^{35}$ [75%] HF,RP ¦ 1 δε ℵA,B [25%] OC,TR,CP,NU

[18] εγκλημα εχοντα $\mathbf{f}^{35}$ [50%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B [50%] NU

[19] μελλειν $\mathbf{f}^{35}$ (89.4%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B (10.6%) NU

[20] υπο των ιουδαιων $\mathbf{f}^{35}$ (89.4%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B (10.6%) NU

[21] τα $\mathbf{f}^{35}$ [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- (ℵA)B [2%]

[22] ερρωσο $\mathbf{f}^{35}$ ℵ [68%] HF,RP,OC,TR,CP ¦ ερρωσθε [25%] ¦ four further spellings [5%] ¦ --- A,B [2%] NU

διὰ τῆς[1] νυκτὸς εἰς τὴν Ἀντιπατρίδα. **32** Τῇ δὲ ἐπαύριον ἐάσαντες τοὺς ἱππεῖς πορεύεσθαι[2] σὺν αὐτῷ, ὑπέστρεψαν εἰς τὴν παρεμβολήν. **33** Οἵτινες εἰσελθόντες εἰς τὴν Καισάρειαν καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι, παρέστησαν καὶ τὸν Παῦλον αὐτῷ. **34** Ἀναγνοὺς δὲ ὁ ἡγεμὼν[3] καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας[4] ἐστίν καὶ πυθόμενος ὅτι ἀπὸ Κιλικίας. **35** «Διακούσομαί σου,» ἔφη, «ὅταν καὶ οἱ κατήγοροί σου παραγένωνται.»[5] Ἐκέλευσέν τε[6] αὐτὸν[7] ἐν τῷ πραιτωρίῳ τοῦ[8] Ἡρῴδου φυλάσσεσθαι.[9]

Caesarea

Felix

24:1 Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς Ἀνανίας μετὰ τῶν πρεσβυτέρων[10] καὶ ῥήτορος Τερτύλλου τινός, οἵτινες ἐνεφάνισαν[11] τῷ ἡγεμόνι[12] κατὰ τοῦ Παύλου. **2** Κληθέντος δὲ αὐτοῦ, ἤρξατο κατηγορεῖν ὁ Τέρτυλλος λέγων· «Πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ, καὶ κατορθωμάτων[13] γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς προνοίας, **3** πάντῃ[14] τε καὶ πανταχοῦ ἀποδεχόμεθα, κράτιστε Φῆλιξ,[15] μετὰ πάσης εὐχαριστίας.[16] **4** Ἵνα δὲ μὴ ἐπὶ πλέον[17] σε ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε ἡμῶν συντόμως τῇ σῇ ἐπιεικείᾳ. **5** Εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν καὶ κινοῦντα στάσιν[18] πᾶσιν τοῖς Ἰουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην, πρωτοστάτην τε τῆς τῶν Ναζωραίων αἱρέσεως, **6** ὃς καὶ τὸ ἱερὸν ἐπείρασεν βεβηλῶσαι· ὃν καὶ ἐκρατήσαμεν·[19] **8** παρ᾽ οὗ

---

[1] της **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [10%] NU
[2] πορευεσθαι **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ απερχεσθαι (ℵ)A,B [15%] NU
[3] ο ηγεμων **f**[35] [91%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [9%] NU
[4] επαρχιας *rell* ¦ επαρχειας ℵA,B [2%] NU
[5] παραγενωνται *rell* ¦ παραγενονται [20%] ¦ παραγενοντε [3%]
[6] εκελευσεν τε **f**[35] [87%] HF,RP,OC,TR,CP ¦ κελευσας A,B [10%] NU ¦ κελευσαντος ℵ ¦ εκελευσαι δε [3%]
[7] αυτον **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [10%] NU
[8] του **f**[35] ℵA [20%] OC,TR,NU ¦ τω B [1%] ¦ --- [79%] HF,RP,CP
[9] φυλασσεσθαι **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ 1 αυτον ℵA,B [10%] NU
[10] των πρεσβυτερων **f**[35] (83.4%) HF,RP,OC,TR,CP ¦ ~ 2 τινων ℵA,B (14.9%) NU ¦ 2 (1.7%)
[11] ενεφανισαν *rell* ¦ ενεφανησαν [20%] ¦ επεφανησαν [5%]
[12] ηγεμονι *rell* ¦ ηγεμωνι [10%] ¦ ηγεμονη [3%]
[13] κατορθωματων **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ διορθωματων ℵA,B [10%] NU
[14] παντη *rell* ¦ παντι [35%] ¦ one other variant
[15] φηλιξ **f**[35] ℵA,B [40%] HF,RP,OC,TR,NU ¦ φιληξ [35%] CP ¦ φιλιξ [25%]
[16] ευχαριστιας *rell* ¦ ευχαριστειας A [14%]
[17] πλεον **f**[35] [20%] ¦ πλειον ℵA,B [79%] HF,RP,OC,TR,CP,NU ¦ πλιον A [1%]
[18] στασιν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ στασεις (ℵ)A,B [4%] NU
[19] 1) (without the long addition) **f**[35] ℵA,B (58.9%) HF,RP,NU
2) - 36): [7] και κατα τον ημετερον νομον ηθελησαμεν <u>κριναι</u> παρελθων δε λυσιας ο χιλιαρχος μετα πολλης βιας εκ των χειρων ημων απηγαγεν κελευσας τους κατηγορους αυτου ερχεσθαι <u>επι σε</u>.
The five principle variations hinge on the three underlined words; they are:

2) κριναι … επι σε	(9.7%)	[6 variants]
8) κριναι … επι σου	(10.5%)	[14 variants]
22) κριναι … προς σε	(5.3%)	[8 variants]
30) κρινειν … επι σου	(4.4%)	[4 variants]
34) κρινειν … επι σε	(1.7%) OC,TR	[3 variants] (OC is in small print)
37) replaces απηγαγεν with five words, plus two other changes:		
κριναι … επι σου	(3.2%)	[2 variants]
39) completely rewrites the material:		
κριναι … προς σε	(3.4%) CP	[6 variants]
(eight further variants)	(2.9%)	[8 variants].

Variant 2) presumably has the best claim to be the standard form of the addition: κριναι clearly bests κρινειν, επι clearly bests προς, σε barely bests σου. [Although variant 8) appears to be slightly stronger than 2) numerically, the 14 internal variants, compared to 6, effectively diminish its credibility. The main variant in 2) is far stronger than that of 8).] It is also attested by syr and lat[pt]. However, although some form of the addition commands 41.1% of the MSS, there are no less than 51 variants!

What about the context? The addition makes good sense, and it fits nicely. But, it is not really necessary; that information Felix already knew. The text reads quite well without the addition also. I conclude that the short form

δυνήσῃ, αὐτὸς ἀνακρίνας, περὶ πάντων τούτων ἐπιγνῶναι ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ.» **9** Συνεπέθεντο[1] δὲ καὶ οἱ Ἰουδαῖοι, φάσκοντες ταῦτα οὕτως ἔχειν.

10 Ἀπεκρίθη δὲ[2] ὁ Παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος, λέγειν· «Ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν δίκαιον[3] τῷ ἔθνει τούτῳ ἐπιστάμενος, εὐθυμότερον[4] τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι, **11** δυναμένου σου γνῶναι[5] ὅτι οὐ πλείους εἰσίν μοι ἡμέραι[6] δεκαδύο,[7] ἀφ᾽ ἧς ἀνέβην προσκυνήσων ἐν[8] Ἰερουσαλήμ. **12** Καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον ἢ ἐπισύστασιν[9] ποιοῦντα ὄχλου, οὔτε ἐν ταῖς συναγωγαῖς, οὔτε κατὰ τὴν πόλιν. **13** Οὔτε[10] παραστῆσαι[11] δύνανται[12] περὶ ὧν νῦν[13] κατηγοροῦσίν μου. **14** Ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδὸν ἣν λέγουσιν αἵρεσιν, οὕτως λατρεύω τῷ πατρῴῳ Θεῷ, πιστεύων πᾶσιν τοῖς κατὰ τὸν Νόμον καὶ τοῖς[14] Προφήταις γεγραμμένοις, **15** ἐλπίδα ἔχων εἰς τὸν Θεόν, ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν,[15] δικαίων τε καὶ ἀδίκων. **16** Ἐν τούτῳ δὲ[16] αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν ἔχων[17] πρός τε[18] τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους διὰ παντός.[19] **17** Δι᾽ ἐτῶν δὲ πλειόνων παρεγενόμην ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου[20] καὶ προσφοράς, **18** ἐν οἷς[21] εὗρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ, οὐ μετὰ ὄχλου οὐδὲ μετὰ θορύβου, τινὲς[22] ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι· **19** οὓς ἔδει[23] ἐπὶ σοῦ παρεῖναι καὶ κατηγορεῖν εἴ τι ἔχοιεν πρός με.[24] **20** Ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν[25] τί εὗρον ἐν ἐμοὶ[26] ἀδίκημα, στάντος μου ἐπὶ τοῦ συνεδρίου, **21** ἢ περὶ μιᾶς ταύτης

---

was judged to be abrupt or incomplete, giving rise to the addition; presumably the Autograph did not contain it. Since Tertullus was an orator he may well have actually said what is in the addition, plus a good deal more besides, but did Luke write it? (The incidents recorded in Acts were well known by many contemporaries, and there were many written accounts in circulation [Luke 1:1], so it was entirely predictable that a variety of historically correct material would be added, here and there, to Luke's account.)

The external evidence, though divided, is adequate to resolve this case: 58.9% against a severely fragmented 41.1%. The ancient versions, being divided, do not help us much this time. Although 59% is not a strong majority, by any means, still, the severe fragmentation of the 41% sort of leaves variant 1) without a worthy opponent. Variant 1) wins in "Antiquity", "Number", "Variety" and "Continuity", so I have no doubt that it is original. [The reading of the TR, variant 34), really has little to commend it.]

[1] συνεπεθεντο *rell* ¦ συνεθεντο [5%] TR
[2] δε **f**[35] [95%] HF,RP,OC,TR ¦ τε ℵA,B [5%] CP,NU
[3] δικαιον **f**[35] [25%] ¦ --- ℵA,B [75%] HF,RP,OC,TR,CP,NU
[4] ευθυμοτερον **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ ευθυμως ℵA,B [7%] NU
[5] γνωναι **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ επιγνωναι ℵA,B [7%] NU
[6] ημεραι **f**[35] ℵA,B [95%] HF,RP,OC,CP,NU ¦ 1 η [5%] TR ¦ one other variant
[7] δεκαδυο **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ δωδεκα ℵA,B [7%] NU
[8] εν **f**[35] [75%] HF,RP,TR,CP ¦ εις ℵA,B [25%] OC,NU
[9] επισυστασιν **f**[35] [89%] HF,RP,OC,TR,CP ¦ επιστασιν ℵA,B [10%] NU ¦ two other variants [1%]
[10] ουτε **f**[35] A [98%] HF,RP,OC,TR,CP ¦ ουδε ℵB [2%] NU
[11] παραστησαι **f**[35] ℵA,B [40%] OC,NU ¦ 1 με HF,RP,TR,CP ¦ 1 με νυν [60%]
[12] δυνανται **f**[35] [88%] HF,RP,OC,TR,CP ¦ 1 σοι (σου A) ℵ(A)B [7%] NU ¦ 1 μοι [5%]
[13] νυν **f**[35] [88%] HF,RP,OC,TR,CP ¦ νυνι ℵA(B) [7%] NU ¦ --- [5%]
[14] τοις **f**[35] A (79.1%) HF,RP,TR,CP ¦ 1 εν 1 ℵB (20.4%) OC,NU ¦ τους [5%] (OC is in small print)
[15] νεκρων **f**[35] (93.4%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C (6.6%) NU
[16] δε **f**[35] [76%] HF,RP,TR,CP ¦ και ℵA,B,C [10%] NU ¦ 1 και [12%] OC ¦ τε και [2%]
[17] εχων **f**[35] [95%] HF,RP,CP ¦ εχειν ℵA,B,C [5%] OC,TR,NU
[18] τε **f**[35] [60%] ¦ --- ℵA,B,C [40%] HF,RP,OC,TR,CP,NU
[19] δια παντος *rell* ¦ --- CP
[20] δια παντος *rell* ¦ --- CP
[21] οις **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ αις ℵA,B,C [10%] NU ¦ one other variant
[22] τινες **f**[35] [92%] HF,RP,OC ¦ 1 δε ℵA,B [2%] TR,CP,NU ¦ 1 των [2%] ¦ 1 δε των C [4%] ¦ one other variant
[23] εδει **f**[35] ℵA,B,C [30%] OC,NU ¦ δει [70%] HF,RP,TR,CP
[24] με **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ εμε ℵA,B,C [3%] NU
[25] ειπατωσαν **f**[35] ℵA,B,C [95%] HF,RP,OC,CP,NU ¦ 1 ει [5%] TR
[26] εν εμοι **f**[35] C [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [3%] NU

φωνῆς ἧς ἔκραξα,[1] ἑστὼς ἐν αὐτοῖς,[2] ὅτι ‹Περὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι σήμερον ὑφ'[3] ὑμῶν.› »

22 Ἀκούσας δὲ ταῦτα ὁ Φῆλιξ ἀνεβάλετο αὐτούς,[4] ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς Ὁδοῦ, εἰπών,[5] «Ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ διαγνώσομαι τὰ καθ' ὑμᾶς»· **23** διαταξάμενός τε[6] τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν Παῦλον,[7] ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν ἢ προσέρχεσθαι[8] αὐτῷ.

24 Μετὰ δὲ ἡμέρας τινάς, παραγενόμενος ὁ Φῆλιξ[9] σὺν Δρουσίλλῃ τῇ γυναικί,[10] οὔσῃ Ἰουδαίᾳ, μετεπέμψατο τὸν Παῦλον καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς Χριστὸν Ἰησοῦν[11] πίστεως. **25** Διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας καὶ τοῦ κρίματος τοῦ μέλλοντος ἔσεσθαι,[12] ἔμφοβος γενόμενος ὁ Φῆλιξ ἀπεκρίθη, «Τὸ νῦν ἔχον[13] πορεύου· καιρὸν δὲ μεταλαβὼν[14] μετακαλέσομαί σε.» **26** Ἅμα[15] καὶ ἐλπίζων ὅτι χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ Παύλου, ὅπως λύσῃ αὐτόν·[16] διὸ καὶ πυκνότερον[17] μεταπεμπόμενος ὡμίλει[18] αὐτῷ. **27** Διετίας δὲ πληρωθείσης, ἔλαβεν διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆστον· θέλων δὲ[19] χάριτας[20] καταθέσθαι τοῖς Ἰουδαίοις, ὁ Φῆλιξ κατέλιπεν[21] τὸν Παῦλον δεδεμένον.

Festus

25:1 Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ,[22] μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ Καισαρείας. **2** Ἐνεφάνισαν[23] δὲ[24] αὐτῷ οἱ ἀρχιερεῖς[25] καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου, καὶ παρεκάλουν αὐτόν, **3** αἰτούμενοι χάριν κατ' αὐτοῦ ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ—ἐνέδραν ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν. **4** Ὁ μὲν οὖν Φῆστος ἀπεκρίθη τηρεῖσθαι τὸν Παῦλον ἐν Καισαρείᾳ,[26] ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι. **5** «Οἱ οὖν δυνατοὶ ἐν ὑμῖν,» φησίν,[27] «συγκαταβάντες, εἴ τί ἐστιν ἐν τῷ ἀνδρὶ τούτῳ,[28] κατηγορείτωσαν

---

[1] εκραξα **f**[35] [80%] HF,RP,OC,TR,CP ¦ εκεκραξα ℵA,B,C [20%] NU
[2] εστως εν αυτοις **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ ~ 231 ℵA,B,C [8%] NU
[3] υφ **f**[35] ℵ [97%] HF,RP,OC,TR,CP ¦ εφ A,B,C [3%] NU
[4] ακουσας δε ταυτα ο φηλιξ ανεβαλετο (ανεβαλλετο 7.4% CP) αυτους **f**[35] (92.4%) HF,RP,OC,TR(CP) ¦ ~ 62745 ℵA,B,C (4.9%) NU ¦ ~ 62457 (2.7%) (For the statement of evidence on φηλιξ see the note five down.)
[5] ειπων **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ειπας ℵA,B,C [3%] NU ¦ --- [2%]
[6] τε **f**[35] [75%] HF,RP,OC,TR,CP ¦ δε [3%] ¦ --- ℵA,B,C [22%] NU
[7] τον παυλον **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ αυτον ℵA,B,C [7%] NU
[8] η προσερχεσθαι **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [5%] NU
[9] φηλιξ **f**[35] ℵA [46%] HF,RP,OC,TR,NU ¦ φιληξ [37%] CP ¦ φιλιξ B [17%] (The percentages remain the same in verses 25, 27a and 27b. In the note five up, the three variants have [46%], [32%] and [22%] respectively.)
[10] γυναικι **f**[35] C [88%] HF,RP ¦ 1 αυτου ℵ [8%] OC,TR ¦ ιδια 1 B [3%] CP,NU ¦ ιδια 1 αυτου A [1%]
[11] ιησουν **f**[35] ℵ(B) [55%] CP,NU ¦ --- A [45%] HF,RP,OC,TR
[12] εσεσθαι **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [8%] NU
[13] εχον *rell* ¦ εχων [14%] ¦ one other variant
[14] μεταλαβων *rell* ¦ λαβων [10%] CP ¦ παραλαβων A ¦ two other variants
[15] αμα **f**[35] ℵA,B,C [95%] HF,RP,CP,NU ¦ 1 δε [5%] OC,TR
[16] οπως λυση αυτον **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [5%] NU ¦ two other variants [2%]
[17] πυκνοτερον **f**[35] [20%] ¦ 1 αυτον ℵA,B [75%] HF,RP,OC,TR,CP,NU ¦ 1 αυτων [5%]
[18] ωμιλει (B) *rell* ¦ ομιλει [14%] ¦ διελεγετο C ¦ one other variant
[19] δε **f**[35] [55%] OC,CP ¦ τε ℵA,B,C [45%] HF,RP,TR,NU
[20] χαριτας **f**[35] [81%] HF,RP,TR,CP ¦ χαριτα ℵA,B,C [3%] NU ¦ χαριν [16%] OC
[21] κατελιπεν *rell* ¦ κατελειπεν A [16%]
[22] επαρχια *rell* ¦ επαρχεια B [1%] NU ¦ επαρχιω ℵ [1%] ¦ επαρχειω A ¦ two other variants
[23] ενεφανισαν *rell* ¦ ανεφανισαν CP ¦ ενεφανησαν [6%] ¦ two other variants
[24] δε **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ τε ℵA,B,C [4%] NU
[25] οι αρχιερεις **f**[35] ℵA,B,C [40%] NU ¦ ο αρχιερευς [55%] HF,RP,OC,TR ¦ ο τε αρχιερευς [5%] CP
[26] εν καισαρεια **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ εις καισαρειαν (ℵA)B,C [4%] NU
[27] δυνατοι εν υμιν φησιν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 23 (ημιν ℵ) 41 (ℵ)A,B,C [5%] NU
[28] τουτω **f**[35] (74.2%) HF,RP,OC,TR,CP ¦ ατοπον ℵA,B,C (9.4%) NU ¦ 1 ατοπον (13.3%) ¦ ~ ατοπον 1 (3.1%)

αὐτοῦ.» **6** Διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας[1] πλείους ἢ δέκα,[2] καταβὰς εἰς Καισάρειαν· τῇ ἐπαύριον καθίσας[3] ἐπὶ τοῦ βήματος ἐκέλευσεν τὸν Παῦλον ἀχθῆναι. **7** Παραγενομένου δὲ αὐτοῦ, περιέστησαν[4] οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα αἰτιάματα[5] φέροντες κατὰ τοῦ Παύλου[6] ἃ οὐκ ἴσχυον ἀποδεῖξαι, **8** ἀπολογουμένου αὐτοῦ[7] ὅτι «Οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων οὔτε εἰς τὸ ἱερὸν οὔτε εἰς Καίσαρά τι[8] ἥμαρτον.» **9** Ὁ Φῆστος δέ, τοῖς Ἰουδαίοις θέλων[9] χάριν καταθέσθαι, ἀποκριθεὶς τῷ Παύλῳ εἶπεν, «Θέλεις εἰς Ἱεροσόλυμα[10] ἀναβάς, ἐκεῖ περὶ τούτων κρίνεσθαι[11] ὑπ'[12] ἐμοῦ;» **10** Εἶπεν δὲ ὁ Παῦλος· «Ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις. **11** Εἰ μὲν γὰρ[13] ἀδικῶ καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ[14] ἀποθανεῖν· εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσίν μου, οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι. Καίσαρα ἐπικαλοῦμαι.» **12** Τότε ὁ Φῆστος, συλλαλήσας μετὰ τοῦ συμβουλίου ἀπεκρίθη· «Καίσαρα ἐπικέκλησαι. Ἐπὶ Καίσαρα πορεύσῃ.»

Agrippa

13 Ἡμερῶν δὲ διαγενομένων τινῶν, Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν ἀσπασόμενοι[15] τὸν Φῆστον. **14** Ὡς δὲ πλείους ἡμέρας διέτριβον[16] ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν Παῦλον λέγων· «Ἀνήρ τίς ἐστιν καταλελειμμένος ὑπὸ Φήλικος[17] δέσμιος, **15** περὶ οὗ, γενομένου μου εἰς Ἱεροσόλυμα, ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ᾽ αὐτοῦ δίκην·[18] **16** πρὸς οὓς ἀπεκρίθην ὅτι οὐκ ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν[19] πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους, τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος. **17** Συνελθόντων οὖν αὐτῶν ἐνθάδε,[20] ἀναβολὴν μηδεμίαν ποιησάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα· **18** περὶ οὗ σταθέντες οἱ κατήγοροι οὐδεμίαν αἰτίαν ἐπέφερον[21] ὧν ὑπενόουν ἐγώ,[22] **19** ζητήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας[23] εἶχον πρὸς αὐτόν, καὶ περί τινος Ἰησοῦ τεθνηκότος ὃν ἔφασκεν ὁ Παῦλος ζῆν. **20** Ἀπορούμενος δὲ ἐγὼ[24] περὶ τὴν[25] τούτων[26] ζήτησιν,

---

[1] ημερας **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ 1 ου (א)A,B,C [5%] NU
[2] η δεκα **f**[35] [92%] HF,RP,OC,TR ¦ 1 οκτω CP ¦ οκτω 12 אA,B,C [8%] NU
[3] καθισας *rell* ¦ καθησας (A) [15%]
[4] περιεστησαν **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ 1 αυτον אA,B,C [9%] NU ¦ 1 αυτω [1%]
[5] αιτιαματα **f**[35] [70%] TR ¦ αιτιωματα אA,B,C [30%] HF,RP,OC,CP,NU ¦ two other variants
[6] φεροντες κατα του παυλου **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ καταφεροντες אA,B,C [3%] NU ¦ καταφεροντες 34 [1%] ¦ two other variants [1%]
[7] απολογουμενου αυτου **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ ~ του παυλου 1 אA,B,C [10%] NU
[8] τι *rell* ¦ --- [2%] CP
[9] τοις ιουδαιοις θελων **f**[35] [90%] HF,RP,TR,CP ¦ ~ 312 אA,B,C [10%] OC,NU
[10] ιεροσολυμα *rell* ¦ ιερουσαλημ OC
[11] κρινεσθαι **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ κριθηναι אA,B,C [5%] NU
[12] ὑπ **f**[35] [35%] ¦ επ אA,B,C [63%] HF,RP,OC,TR,CP,NU ¦ επι [2%]
[13] γαρ **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ ουν אA,B,C [10%] NU
[14] το **f**[35] אA,B,C [65%] HF,RP,OC,TR,CP,NU ¦ του [35%]
[15] ασπασομενοι **f**[35] [40%] OC,TR ¦ ασπασαμενοι אA,B [60%] HF,RP,CP,NU
[16] διετριβον **f**[35] אA(B)C [55%] OC,TR,NU ¦ διετριβεν [45%] HF,RP,CP
[17] φηλικος **f**[35] אA,B,C [52%] HF,RP,OC,TR,NU ¦ φιληκος [37%] CP ¦ φιλικος [11%]
[18] δικην **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ καταδικην אA,B,C [5%] NU
[19] εις απωλειαν **f**[35] (92.5%) HF,RP,OC,TR,CP ¦ --- אA,B,C (7.5%) NU
[20] αυτων ενθαδε **f**[35] אA (88.8%) HF,RP,OC,TR[NU] ¦ 2 B (7.5%) CP ¦ ~ 21 C (3.7%)
[21] επεφερον **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ εφερον אA,B,C [10%] NU ¦ υπεφερον [5%]
[22] υπενοουν εγω **f**[35] [91%] HF,RP,OC,TR,CP ¦ 12 πονηραν [5%] ¦ ~ 21 πονηρων B [1%] NU ¦ ~ 21 πονηραν (א)A,C [3%]
[23] δεισιδαιμονιας *rell* ¦ δυσειδαιμονιας CP ¦ δισιδαιμονιας אA,B [2%] ¦ three other variants
[24] εγω **f**[35] אA,B [90%] HF,RP,OC,CP,NU ¦ 1 εις C [10%] TR
[25] περι την **f**[35] [22%] ¦ 2 [2%] ¦ ~ 21 אA,B,C [76%] HF,RP,OC,TR,CP,NU
[26] τουτων **f**[35] אA,B,C [35%] NU ¦ τουτου [65%] HF,RP,OC,TR,CP

ἔλεγον εἰ βούλοιτο πορεύεσθαι εἰς Ἰερουσαλὴμ[1] κἀκεῖ κρίνεσθαι περὶ τούτων. **21** Τοῦ δὲ Παύλου ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ διάγνωσιν, ἐκέλευσα τηρεῖσθαι αὐτὸν ἕως οὗ πέμψω[2] αὐτὸν πρὸς Καίσαρα.»

22 Ἀγρίππας δὲ πρὸς τὸν Φῆστον ἔφη,[3] «Ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι.» Ὁ δέ,[4] «Αὔριον,» φησίν, «ἀκούσῃ αὐτοῦ.» **23** Τῇ οὖν ἐπαύριον, ἐλθόντος τοῦ Ἀγρίππα καὶ τῆς Βερνίκης μετὰ πολλῆς φαντασίας καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον,[5] σύν τε τοῖς[6] χιλιάρχοις καὶ ἀνδράσιν τοῖς κατ᾽ ἐξοχὴν οὖσιν[7] τῆς πόλεως, καὶ κελεύσαντος τοῦ Φήστου, ἤχθη ὁ Παῦλος. **24** Καί φησιν ὁ Φῆστος· «Ἀγρίππα βασιλεῦ, καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες· θεωρεῖτε τοῦτον, περὶ οὗ πᾶν[8] τὸ πλῆθος τῶν Ἰουδαίων ἐνέτυχόν μοι, ἔν τε Ἰεροσολύμοις καὶ ἐνθάδε, ἐπιβοῶντες[9] μὴ δεῖν ζῆν αὐτὸν[10] μηκέτι. **25** Ἐγὼ δὲ καταλαβόμενος[11] μηδὲν ἄξιον θανάτου αὐτὸν[12] πεπραχέναι, καὶ[13] αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν Σεβαστόν, ἔκρινα πέμπειν αὐτόν.[14] **26** Περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω. Διὸ προήγαγον αὐτὸν ἐφ᾽ ὑμῶν, καὶ μάλιστα ἐπὶ σοῦ, Βασιλεῦ Ἀγρίππα, ὅπως τῆς ἀνακρίσεως γενομένης[15] σχῶ τι γράψαι.[16] **27** Ἄλογον γάρ μοι δοκεῖ πέμποντα δέσμιον, μὴ καὶ τὰς κατ᾽ αὐτοῦ αἰτίας σημᾶναι.»

Paul's defense

26:1 Ἀγρίππας δὲ πρὸς τὸν Παῦλον ἔφη, «Ἐπιτρέπεταί σοι ὑπὲρ[17] σεαυτοῦ λέγειν.» Τότε ὁ Παῦλος ἀπελογεῖτο, ἐκτείνας τὴν χεῖρα·[18] **2** «Περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, Βασιλεῦ Ἀγρίππα, ἥγημαι ἐμαυτὸν μακάριον ἐπὶ σοῦ μέλλων ἀπολογεῖσθαι σήμερον,[19] **3** μάλιστα γνώστην ὄντα σε πάντων τῶν κατὰ Ἰουδαίους ἐθῶν[20] τε καὶ ζητημάτων·[21] διὸ δέομαί σου[22] μακροθύμως ἀκοῦσαί μου. **4** Τὴν μὲν οὖν βίωσίν μου τὴν[23] ἐκ νεότητος, τὴν ἀπ᾽ ἀρχῆς γενομένην ἐν τῷ ἔθνει[24] μου ἐν[25] Ἰεροσολύμοις, ἴσασιν πάντες οἱ[26] Ἰουδαῖοι, **5** προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσιν μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα Φαρισαῖος. **6** Καὶ νῦν ἐπ᾽ ἐλπίδι τῆς πρὸς[27] τοὺς πατέρας[28] ἐπαγγελίας γενομένης ὑπὸ τοῦ Θεοῦ

---

[1] ιερουσαλημ **f**[35] [80%] HF,RP,TR,CP ¦ ιεροσολυμα ℵA,B,C [20%] OC,NU
[2] πεμψω **f**[35] [87%] HF,RP,OC,TR,CP ¦ αναπεμψω ℵA,B,C [8%] NU ¦ πεμψας [5%]
[3] εφη **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [2%] NU
[4] ο δε **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [2%] NU
[5] ακροατηριον *rell* ¦ ακροτηριον (ℵ) [17%] ¦ πραιτωριον [5%]
[6] τοις **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [7%] NU
[7] τοις **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [7%] NU
[8] παν **f**[35] [89%] HF,RP,OC,TR,CP ¦ απαν ℵA,B,C [10%] NU ¦ --- [1%]
[9] επιβοωντες **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ βοωντες ℵA,B [2%] NU
[10] ζην αυτον **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,C [15%] NU ¦ 2 B
[11] καταλαβομενος **f**[35] ℵ [95%] HF,RP,OC,TR,CP ¦ κατελαβομην A,B,C [5%] NU
[12] θανατου αυτον **f**[35] ℵ [97%] HF,RP,OC,TR,CP ¦ ~ 21 A,B,C [3%] NU
[13] και **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [5%] NU
[14] αυτον **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [4%] NU
[15] γενομενης *rell* ¦ γινομενης [24%] ¦ one other variant
[16] γραψαι **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ γραψω ℵA,B,C [7%] NU
[17] υπερ **f**[35] B [84%] HF,RP,OC,TR,CP ¦ περι ℵA,C [16%] NU
[18] απελογειτο εκτεινας την χειρα **f**[35] [95%] HF,RP,TR,CP ¦ ~ 2341 (ℵ)A,B,C [5%] OC,NU
[19] επι σου μελλων απολογεισθαι σημερον **f**[35] [85%] HF,RP,OC,CP ¦ ~ 12354 (ℵ)(A)B,C [15%] NU ¦ ~ 34125 TR ¦ one other variant
[20] εθων **f**[35] ℵB [62%] OC,TR,NU ¦ ηθων [37%] HF,RP,CP ¦ εθνων A,C [1%]
[21] ζητηματων *rell* ¦ 1 επισταμενος C,D [20%]
[22] σου **f**[35] C [88%] HF,RP,OC,TR,CP ¦ --- ℵ(A)B [12%] NU
[23] την **f**[35] ℵA [82%] HF,RP,OC,TR,CP[NU] ¦ --- B,C [18%]
[24] εθνει *rell* ¦ εθνη [14%] ¦ εθνι ℵ [1%]
[25] εν **f**[35] C [97%] HF,RP,OC,TR,CP ¦ 1 τε ℵA,B [3%] NU
[26] οι **f**[35] ℵA [75%] HF,RP,OC,TR,CP[NU] ¦ --- B,C [25%]
[27] προς **f**[35] C [90%] HF,RP,OC,TR,CP ¦ εις ℵA,B [10%] NU
[28] πατερας **f**[35] [78%] HF,RP,OC,TR,CP ¦ 1 ημων ℵA,B,C [22%] NU

ἕστηκα κρινόμενος, **7** εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν, ἐν ἐκτενίᾳ[1] νύκτα καὶ ἡμέραν λατρεῦον,[2] ἐλπίζει καταντῆσαι. Περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι, Βασιλεῦ Ἀγρίππα, ὑπὸ Ἰουδαίων.[3] **8** Τί ἄπιστον κρίνεται παρ᾽ ὑμῖν εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει;

How he persecuted Christians

9 »Ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ Ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι· **10** ὃ καὶ ἐποίησα ἐν Ἰεροσολύμοις, καὶ πολλοὺς[4] τῶν ἁγίων ἐγὼ[5] φυλακαῖς κατέκλεισα, τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών· ἀναιρουμένων τε[6] αὐτῶν κατήνεγκα ψῆφον. **11** Καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτούς, ἠνάγκαζον βλασφημεῖν· περισσῶς τε ἐμμαινόμενος αὐτοῖς, ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις.

How Jesus chose him

12 »Ἐν οἷς καὶ[7] πορευόμενος εἰς[8] Δαμασκὸν μετ᾽ ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ[9] τῶν ἀρχιερέων, **13** ἡμέρας μέσης κατὰ τὴν ὁδὸν εἶδον,[10] βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου, περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους. **14** Πάντων δὲ[11] καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα φωνὴν λαλοῦσαν πρός με καὶ λέγουσαν[12] τῇ Ἑβραΐδι διαλέκτῳ· ‹Σαούλ, Σαούλ, τί με διώκεις; Σκληρόν σοι πρὸς κέντρα λακτίζειν.› **15** Ἐγὼ δὲ εἶπον,[13] ‹Τίς εἶ, Κύριε;› Ὁ δὲ[14] εἶπεν· ‹Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις. **16** Ἀλλὰ ἀνάστηθι καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες[15] ὧν τε ὀφθήσομαί σοι, **17** ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ [16]τῶν ἐθνῶν, εἰς οὓς ἐγώ[17] σε ἀποστέλλω·[18] **18** ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἐπιστρέψαι[19] ἀπὸ σκότους εἰς φῶς καὶ[20] τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν Θεόν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις, πίστει τῇ εἰς ἐμέ.› **19** Ὅθεν, Βασιλεῦ[21] Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ **20**—ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον[22] καὶ Ἰεροσολύμοις, εἰς[23] πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας καὶ τοῖς ἔθνεσιν, ἀπαγγέλλω·[24] ‹μετανοεῖν[25] καὶ ἐπιστρέφειν ἐπὶ τὸν Θεόν, ἄξια τῆς

---

[1] εκτενια **f**[35] A,C [69%] ¦ εκτενεια ℵB [31%] HF,RP,OC,TR,CP,NU
[2] λατρευον *rell* ¦ λατρευων [16%]
[3] βασιλευ αγριππα υπο ιουδαιων **f**[35] [87%] HF,RP(CP) ¦ ~ 3412 [9%] ¦ 123 των 4 OC,TR ¦ ~ 341 ℵB,C [3%] NU ¦ 34 A [1%] ¦ one other variant (OC is in small print)
[4] πολλους **f**[35] B [95%] HF,RP,OC,TR,CP ¦ πολους τε ℵA,C [5%] NU
[5] εγω **f**[35] [85%] HF,RP,TR,CP ¦ 1 εν ℵA,B,C [15%] OC,NU
[6] τε *rell* ¦ δε [25%] ¦ one other variant
[7] και **f**[35] [83%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [17%] NU (OC is in small print)
[8] εις **f**[35] A [32%] ¦ 1 την ℵB,C [68%] HF,RP,OC,TR,CP,NU
[9] παρα **f**[35] C [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [5%] NU
[10] ειδον *rell* ¦ ιδον A [16%] ¦ ιδου C ¦ one other variant
[11] δε **f**[35] C [90%] HF,RP,OC,TR,CP ¦ τε ℵA,B [10%] NU
[12] λαλουσαν προς με και λεγουσαν **f**[35] (74.6%) HF,RP,OC,TR,CP ¦ λαλουσης 234 λεγουσης (1.4%) ¦ 123 (7.4%) ¦ ~ 523 ℵA,B,C (8.6%) NU ¦ ~ λεγουσης 23 (4.7%) ¦ 5 μοι (2.5%) ¦ three other variants (0.8%)
[13] ειπον **f**[35] ℵ [65%] HF,RP,OC,TR,CP ¦ ειπα A,B,C [35%] NU
[14] δε **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ 1 κυριος ℵA,B,C [15%] NU
[15] ειδες **f**[35] ℵ [87%] HF,RP,OC,TR ¦ 1 με B(C) [4%] [NU] ¦ οιδες CP ¦ ιδες A,C [9%]
[16] και **f**[35] C [94%] HF,RP,OC,TR,CP ¦ 1 εκ ℵA,B [6%] NU
[17] εγω *rell* ¦ νυν [5%] TR
[18] σε αποστελλω **f**[35] [50%] HF,RP,OC,TR,CP ¦ 1 αποστελω [35%] ¦ ~ αποστελω 1 [9%] ¦ ~ 21 ℵA,B [2%] NU ¦ ~ εξαποστελλω 1 C [2%] ¦ ~ εξαποστελω 1 [2%]
[19] επιστρεψαι **f**[35] ℵB,C [30%] OC,TR,CP,NU ¦ υποστρεψαι [35%] HF,RP ¦ αποστρεψαι A [35%]
[20] και *rell* ¦ 1 απο C [20%]
[21] βασιλευ *rell* ¦ βασιλευς [2%] CP
[22] πρωτον **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ 1 τε ℵA,B [2%] NU
[23] εις **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [2%] NU
[24] απαγγελλω **f**[35] [61%] OC ¦ απαγγελλων [20%] HF,RP,TR ¦ απηγγελλον ℵA,B [9%] CP,NU ¦ απηγγελλων [8%] ¦ three other variants [2%]
[25] μετανοειν *rell* ¦ μετανοιαν CP

μετανοίας ἔργα πράσσοντας.› **21** Ἕνεκα τούτων με οἱ Ἰουδαῖοι συλλαβόμενοι[1] ἐν[2] τῷ ἱερῷ ἐπειρῶντο διαχειρίσασθαι. **22** Ἐπικουρίας οὖν τυχὼν τῆς παρὰ[3] τοῦ Θεοῦ, ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα μαρτυρόμενος[4] μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται ἐλάλησαν μελλόντων γίνεσθαι[5] καὶ Μωϋσῆς[6] **23**—εἰ παθητὸς ὁ Χριστός· εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει[7] καταγγέλλειν τῷ τε[8] λαῷ καὶ τοῖς ἔθνεσιν.»

Festus interrupts

24 Ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου, ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη·[9] «Μαίνῃ, Παῦλε· τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει.» **25** Ὁ δέ·[10] «Οὐ μαίνομαι,» φησίν, «κράτιστε Φῆστε· ἀλλὰ[11] ἀληθείας καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι. **26** Ἐπίσταται γὰρ περὶ τούτων ὁ βασιλεύς, πρὸς ὃν καὶ παρρησιαζόμενος λαλῶ· λανθάνειν γὰρ αὐτόν τι[12] τούτων οὐ[13] πείθομαι οὐδέν,[14] οὐ[15] γὰρ[16] ἐν γωνίᾳ πεπραγμένον τοῦτο.[17] **27** Πιστεύεις, Βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; Οἶδα ὅτι πιστεύεις.» **28** Ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον ἔφη,[18] «Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι.»[19] **29** Ὁ δὲ Παῦλος εἶπεν,[20] «Εὐξαίμην[21] ἂν τῷ Θεῷ, καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ,[22] οὐ μόνον σέ ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον γενέσθαι τοιούτους ὁποῖος κἀγώ[23] εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων.»

30 Καὶ ταῦτα εἰπόντος αὐτοῦ, ἀνέστη[24] ὁ βασιλεύς, καὶ ὁ ἡγεμὼν ἥ τε Βερνίκη, καὶ οἱ συγκαθήμενοι αὐτοῖς· **31** καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους, λέγοντες ὅτι «Οὐδὲν θανάτου ἄξιον ἢ δεσμῶν[25] πράσσει[26] ὁ ἄνθρωπος οὗτος.» **32** Ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη, «Ἀπολελύσθαι ἐδύνατο[27] ὁ ἄνθρωπος οὗτος, εἰ μὴ ἐπεκέκλητο[28] Καίσαρα.»

Paul sent to Rome

27:1 Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν Ἰταλίαν, παρεδίδουν τόν τε Παῦλον καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ ὀνόματι Ἰουλίῳ, σπείρας[29] Σεβαστῆς. **2** Ἐπιβάντες δὲ πλοίῳ

---

[1] με οι ιουδαιοι συλλαβομενοι **f**[35] [84%] HF,OC,TR,CP ¦ ~ 2314 [5%] RP ¦ 134 B [5%] NU ¦ ~ 314 [4%] ¦ ~ 2341 A [1%] ¦ 13 συλλαβουμενοι ℵ ¦ two other variants [1%]
[2] εν **f**[35] A,B [94%] HF,RP,OC,TR,CP ¦ οντα 1 ℵ [6%] [NU]
[3] παρα **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ απο ℵA,B [5%] NU ¦ υπο [2%]
[4] μαρτυρομενος **f**[35] ℵA,B [75%] HF,RP,OC,CP,NU ¦ μαρτυρουμενος [12%] TR ¦ μαρτυρωμενος [13%]
[5] γινεσθαι *rell* ¦ γενεσθαι [1%] OC
[6] μωυσης *rell* ¦ μωσης A,B [13%] TR
[7] μελλει *rell* ¦ μελλειν [18%] ¦ μελλιν ℵ ¦ one other variant
[8] τε **f**[35] ℵA,B [60%] NU ¦ --- [40%] HF,RP,OC,TR,CP
[9] εφη **f**[35] [83%] HF,RP,OC,TR,CP ¦ φησιν ℵA,B [15%] NU ¦ ειπεν [2%]
[10] δε **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ 1 παυλος ℵA,B [5%] NU
[11] αλλα *rell* ¦ αλλ B [12%] TR
[12] τι **f**[35] ℵA [96%] HF,RP,OC,TR,CP[NU] ¦ --- B [4%]
[13] ου *rell* ¦ --- [12%] ¦ ουδεν [2%]
[14] ουδεν **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ --- A [4%] ¦ ουθεν ℵB [2%] NU
[15] ου *rell* ¦ --- CP ¦ ουδε [15%]
[16] γαρ **f**[35] [75%] HF,RP,CP ¦ 1 εστιν ℵA,B [25%] OC,TR,NU
[17] τουτο *rell* ¦ 1 εστι CP
[18] εφη **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [6%] NU
[19] γενεσθαι **f**[35] (96.5%) HF,RP,OC,TR,CP ¦ ποιησαι ℵA,B (3.5%) NU
[20] ειπεν **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [6%] NU
[21] ευξαιμην **f**[35] A,B [60%] HF,RP,OC,TR,CP,NU ¦ ευξαμην **f**[35pt] ℵ [40%]
[22] πολλω **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ μεγαλω ℵA,B [6%] NU
[23] καγω **f**[35] ℵA [96%] HF,RP,OC,TR,CP ¦ και εγω B [4%] NU
[24] και ταυτα ειποντος αυτου ανεστη **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ 5 τε ℵA,B [3%] NU ¦ 5 δε [2%] ¦ three other variants [2%]
[25] θανατου αξιον η δεσμων **f**[35] [89%] HF,RP,OC,TR,CP ¦ ~ 1342 ℵB [5%] NU ¦ ~ 2134 A [6%]
[26] πρασσει **f**[35] B [93%] HF,RP,OC,TR,CP ¦ τι 1 ℵA [7%] [NU]
[27] εδυνατο *rell* ¦ ηδυνατο [20%] CP ¦ two other variants
[28] επεκεκλητο *rell* ¦ επικεκλητο [20%] CP ¦ three other variants
[29] σπειρας **f**[35] [35%] ¦ σπειρης ℵA,B [65%] HF,RP,OC,TR,CP,NU

Ἀτραμυτινῷ,[1] μέλλοντες[2] πλεῖν[3] τοὺς κατὰ τὴν Ἀσίαν τόπους, ἀνήχθημεν· ὄντος σὺν ἡμῖν Ἀριστάρχου, Μακεδόνος Θεσσαλονικέως. **3** Τῇ τε[4] ἑτέρᾳ κατήχθημεν εἰς Σιδῶνα· φιλανθρώπως[5] τε ὁ Ἰούλιος τῷ Παύλῳ χρησάμενος ἐπέτρεψεν πρὸς τοὺς[6] φίλους πορευθέντα[7] ἐπιμελείας τυχεῖν. **4** Κἀκεῖθεν ἀναχθέντες, ὑπεπλεύσαμεν τὴν Κύπρον, διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους. **5** Τό τε πέλαγος τὸ κατὰ τὴν Κιλικίαν καὶ Παμφυλίαν διαπλεύσαντες, κατήχθημεν[8] εἰς Μύρα τῆς Λυκίας. **6** Κἀκεῖ εὑρὼν ὁ ἑκατόνταρχος[9] πλοῖον Ἀλεξανδρῖνον[10] πλέον εἰς[11] Ἰταλίαν, ἐνεβίβασεν[12] ἡμᾶς εἰς αὐτό. **7** Ἐν ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες καὶ μόλις γενόμενοι κατὰ τὴν Κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν τὴν Κρήτην κατὰ Σαλμώνην· **8** μόλις τε παραλεγόμενοι αὐτὴν ἤλθομεν εἰς τόπον τινὰ καλούμενον Καλοὺς Λιμένας, ᾧ ἐγγὺς ἦν πόλις[13] Λασαία.

A difference of opinion

9 Ἱκανοῦ δὲ χρόνου διαγενομένου καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοός, διὰ τὸ καὶ τὴν Νηστείαν ἤδη παρεληλυθέναι· παρῄνει ὁ Παῦλος **10** λέγων αὐτοῖς, «Ἄνδρες, θεωρῶ[14] ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας, οὐ μόνον τοῦ φόρτου[15] καὶ τοῦ πλοίου ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν, μέλλειν ἔσεσθαι τὸν πλοῦν.» **11** Ὁ δὲ ἑκατόνταρχος[16] τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπείθετο μᾶλλον[17] ἢ τοῖς ὑπὸ τοῦ[18] Παύλου λεγομένοις. **12** Ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ πλείους[19] ἔθεντο βουλὴν ἀναχθῆναι ἐκεῖθεν,[20] εἴ πως δύναιντο καταντήσαντες εἰς Φοίνικα παραχειμάσαι, λιμένα τῆς Κρήτης βλέποντα κατὰ λίβα καὶ κατὰ χῶρον.

The storm

13 Ὑποπνεύσαντος δὲ νότου, δόξαντες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες ἆσσον παρελέγοντο τὴν Κρήτην. **14** Μετ᾽ οὐ πολὺ δέ, ἔβαλεν κατ᾽ αὐτῆς ἄνεμος τυφωνικός (ὁ καλούμενος Εὐροκλύδων).[21] **15** Συναρπασθέντος δὲ τοῦ πλοίου, καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ, ἐπιδόντες[22] ἐφερόμεθα. **16** Νησίον δέ τι ὑποδραμόντες καλούμενον Κλαύδην,[23] μόλις ἰσχύσαμεν[24] περικρατεῖς γενέσθαι τῆς σκάφης· **17** ἣν ἄραντες, βοηθείαις[25] ἐχρῶντο, ὑποζωννύντες τὸ

---

[1] ατραμυτινω **f**[35] [21%] ¦ αδραμυτινω [13%] ¦ ατραμυττινω [6%] ¦ αδραμυττινω [4%] ¦ αδραμυντινω [5%] ¦ ατραμυτηνω [12%] ¦ αδραμυτηνω [9%] CP ¦ αδραμυττηνω א [25%] HF,RP,OC,TR,NU ¦ αραμμυτηνω [4%] ¦ αδραμυντηνω A,B

[2] μελλοντες **f**[35] [75%] HF,RP,OC,TR,CP ¦ μελλοντι אA,B [16%] NU ¦ μελλοντα [4%] ¦ μελλοντων [5%]

[3] πλειν **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ 1 εις אA,B [8%] NU ¦ επι [2%]

[4] τε *rell* ¦ --- [3%] CP ¦ δε [5%]

[5] φιλανθρωπως *rell* ¦ φιλανθροπως [1%] CP ¦ φιλανθρωπος [5%]

[6] τους *rell* ¦ --- [5%] TR (OC is in small print)

[7] πορευθεντα **f**[35] [87%] HF,RP,OC,TR,CP ¦ πορευθεντι אA,B [4%] NU ¦ πορευθεντας [5%] ¦ απελθοντα [4%]

[8] κατηχθημεν **f**[35] [23%] CP ¦ κατηλθομεν B [71%] HF,RP,OC,TR,NU ¦ κατηλθαμεν אA [1%] ¦ ηλθομεν [5%] ¦ one other variant

[9] εκατονταρχος **f**[35] [97%] HF,RP,TR,CP ¦ εκατονταρχης אA,B [3%] OC,NU

[10] αλεξανδρινον *rell* ¦ αλεξανδρηνον [22%]

[11] εις **f**[35] [30%] ¦ 1 την אA,B [70%] HF,RP,OC,TR,CP,NU

[12] ενεβιβασεν *rell* ¦ ανεβιβασεν [25%] ¦ ενεβηβασεν [15%] ¦ επεβιβασεν [1%] ¦ one other variant

[13] ην πολις **f**[35] B [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 אA [5%] NU

[14] θεωρω *rell* ¦ θεορω א [13%]

[15] φορτου **f**[35] [30%] OC,TR ¦ φορτιου אA,B [70%] HF,RP,CP,NU

[16] εκατονταρχος **f**[35] [50%] TR ¦ εκατονταρχης אA,B [50%] HF,RP,OC,CP,NU

[17] επειθετο μαλλον **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ ~ 21 (אA)B [15%] NU

[18] του **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ --- אA,B [8%] NU

[19] πλειους **f**[35] [91%] HF,RP,OC,TR,CP ¦ πλειονες אA,B [4%] NU ¦ πλειων [5%]

[20] εκειθεν **f**[35] אA,B [80%] NU ¦ κακειθεν [20%] HF,RP,OC,TR,CP

[21] ευροκλυδων **f**[35] (95.3%) HF,RP,OC,TR,CP ¦ ευρυκλυδων (1.4%) ¦ ευρωκλυδων (0.8%) ¦ ευρακυλων אA,B (0.8%) NU ¦ seven other variants (1.7%)

[22] επιδοντες *rell* ¦ επιδιδοντες [2%] CP ¦ one other variant

[23] κλαυδην **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ κλαυδα אA^{v} [4%] ¦ καυδα B [1%] NU

[24] μολις ισχυσαμεν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 אA,B [5%] NU

[25] βοηθειαις *rell* ¦ βοηθειας C [15%] ¦ βοηθιαν א ¦ one other variant

πλοῖον· φοβούμενοί τε μὴ εἰς τὴν Σύρτιν[1] ἐκπέσωσιν, χαλάσαντες τὸ σκεῦος, οὕτως ἐφέροντο. **18** Σφοδρῶς δὲ χειμαζομένων ἡμῶν, τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο, **19** καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν.[2] **20** Μήτε δὲ ἡλίου μήτε ἄστρων ἐπιφαινόντων ἐπὶ πλείονας ἡμέρας, χειμῶνός τε οὐκ ὀλίγου ἐπικειμένου, λοιπὸν περιῃρεῖτο πᾶσα ἐλπὶς[3] τοῦ σῴζεσθαι ἡμᾶς.

21 Πολλῆς δὲ[4] ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν εἶπεν· «Ἔδει μέν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης, κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν. **22** Καὶ τὰ νῦν παραινῶ ὑμᾶς εὐθυμεῖν, ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου. **23** Παρέστη γάρ μοι ταύτῃ τῇ νυκτὶ[5] ἄγγελος τοῦ Θεοῦ οὗ εἰμι, ᾧ καὶ λατρεύω,[6] **24** λέγων· ‹Μὴ φοβοῦ, Παῦλε· Καίσαρί σε δεῖ παραστῆναι. Καὶ ἰδού, κεχάρισταί σοι ὁ Θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ.› **25** Διὸ εὐθυμεῖτε, ἄνδρες· πιστεύω γὰρ τῷ Θεῷ ὅτι οὕτως ἔσται καθ᾽ ὃν τρόπον λελάληταί μοι. **26** Εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν.»

27 Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, διαφερομένων ἡμῶν ἐν τῷ Ἀδρίᾳ, κατὰ μέσον τῆς νυκτὸς ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν. **28** Καὶ βολίσαντες εὗρον ὀργυιὰς[7] εἴκοσι· βραχὺ δὲ διαστήσαντες, καὶ πάλιν βολίσαντες, εὗρον ὀργυιὰς δεκαπέντε· **29** φοβούμενοί τε μή πῶς[8] εἰς[9] τραχεῖς τόπους ἐκπέσωμεν,[10] ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας, ηὔχοντο[11] ἡμέραν γενέσθαι. **30** Τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, προφάσει ὡς ἐκ πρῴρας[12] μελλόντων ἀγκύρας[13] ἐκτείνειν· **31** εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις, «Ἐὰν μὴ οὗτοι ἐν τῷ πλοίῳ μείνωσιν,[14] ὑμεῖς σωθῆναι οὐ δύνασθε.» **32** Τότε οἱ στρατιῶται ἀπέκοψαν[15] τὰ σχοινία τῆς σκάφης καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν.

33 Ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα[16] γίνεσθαι,[17] παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων· «Τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες—ἄσιτοι διατελεῖτε,[18] μηδὲν[19] προσλαβόμενοι. **34** Διὸ παρακαλῶ ὑμᾶς μεταλαβεῖν[20] τροφῆς, τοῦτο γὰρ πρὸς τῆς ἡμετέρας[21] σωτηρίας ὑπάρχει· οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἐκ[22] τῆς κεφαλῆς πεσεῖται.»[23] **35** Εἰπὼν[24] δὲ ταῦτα καὶ λαβὼν ἄρτον, εὐχαρίστησεν[25] τῷ Θεῷ ἐνώπιον πάντων· καὶ κλάσας ἤρξατο ἐσθίειν. **36** Εὔθυμοι

---

[1] συρτιν **f**[35] ℵA,B,C [45%] OC,TR,NU ¦ συρτην [55%] HF,RP,CP
[2] ερριψαμεν **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ ερριψαν (ℵ)A(B)C [10%] NU
[3] πασα ελπις **f**[35] ℵC [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 A,B [5%] NU
[4] δε **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ τε ℵA,B,C [10%] NU
[5] ταυτη τη νυκτι **f**[35] A,B,C [95%] HF,RP,CP,NU ¦ ~ 231 [5%] OC,TR ¦ τηδε 23 ℵ
[6] αγγελος του θεου ου ειμι ω και λατρευω **f**[35] [84%] HF,RP,OC,TR,CP ¦ ~ 23456781 B,C [4%] ¦ ~ 2345 εγω 6781 ℵA [1%] [NU] ¦ 12345 εγω 678 [10%] ¦ three other variants [1%]
[7] οργυιας *rell* ¦ οργυας [5%] CP (twice in this verse) ¦ several further spellings
[8] μη πως **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ μηπω A ¦ μη που B,C [5%] NU ¦ μη ℵ
[9] εις **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ κατα ℵA,B,C [5%] NU
[10] εκπεσωμεν **f**[35] A,B,C [76%] HF,RP,OC,CP,NU ¦ εμπεσωμεν ℵ [1%] ¦ εκπεσωσιν [18%] TR ¦ εκπεσομεν [5%]
[11] ηυχοντο *rell* ¦ ευχοντο B,C [20%]
[12] πρωρας **f**[35] B,C [96%] HF,RP,OC,TR,CP ¦ πρωρης A [1%] NU ¦ πλωρης ℵ [1%] ¦ three other variants [2%]
[13] μελλοντων αγκυρας **f**[35] ℵ [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 A,B,C [5%] NU
[14] εν τω πλοιω μεινωσιν **f**[35] ℵ [20%] ¦ ~ 4123 A,B,C [75%] HF,RP,OC,TR,CP,NU ¦ 123 [5%]
[15] οι στρατιωται απεκοψαν **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ ~ 321 ℵA,B,C [10%] NU
[16] εμελλεν ημερα **f**[35] [76%] OC,TR,CP ¦ ημελλεν 2 [21%] HF,RP ¦ ~ 2 ημελλεν B,C [2%] NU ¦ ~ 21 ℵA
[17] γινεσθαι *rell* ¦ γενεσθαι [10%] ¦ γεινεσθαι ℵA,B
[18] διατελειτε *rell* ¦ διατελειται ℵ [13%] ¦ one other variant
[19] μηδεν **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ μηθεν ℵA,B [2%] NU
[20] μεταλαβειν **f**[35] ℵA,B,C [30%] OC,NU ¦ προσλαβειν [70%] HF,RP,TR,CP
[21] ημετερας **f**[35] A [50%] ¦ υμετερας ℵB,C [50%] HF,RP,OC,TR,CP,NU
[22] εκ **f**[35] ℵ [92%] HF,RP,OC,TR,CP ¦ απο A,B,C [6%] NU ¦ --- [2%]
[23] πεσειται **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ απολειται ℵA,B,C [5%] NU
[24] ειπων **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ ειπας ℵA,B,C [2%] NU
[25] ευχαριστησεν *rell* ¦ ηυχαριστησεν [20%] ¦ ευχαριστησας ℵ

δὲ γενόμενοι πάντες[1] καὶ αὐτοὶ προσελάβοντο τροφῆς. **37** (Ἦμεν[2] δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαί,[3] διακόσιαι ἑβδομήκοντα ἕξ.) **38** Κορεσθέντες δὲ[4] τροφῆς, ἐκούφιζον τὸ πλοῖον ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν.

39 Ὅτε δὲ ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον, κόλπον δέ τινα κατενόουν[5] ἔχοντα αἰγιαλόν, εἰς ὃν ἐβουλεύσαντο,[6] εἰ δυνατόν,[7] ἐξῶσαι τὸ πλοῖον. **40** Καὶ τὰς ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων· καὶ ἐπάραντες τὸν ἀρτέμονα[8] τῇ πνεούσῃ κατεῖχον εἰς τὸν αἰγιαλόν. **41** Περιπεσόντες δὲ εἰς τόπον διθάλασσον ἐπώκειλαν[9] τὴν ναῦν·[10] καὶ ἡ μὲν πρῷρα ἐρείσασα ἔμενεν[11] ἀσάλευτος, ἡ δὲ πρύμνα ἐλύετο[12] ὑπὸ τῆς βίας τῶν κυμάτων.[13]

42 Τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο ἵνα τοὺς δεσμώτας ἀποκτείνωσιν, μή τις ἐκκολυμβήσας διαφύγῃ.[14] **43** Ὁ δὲ ἑκατόνταρχος,[15] βουλόμενος διασῶσαι τὸν Παῦλον, ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος[16] ἐκέλευσέν τε τοὺς δυναμένους κολυμβᾶν ἀπορρίψαντας[17] πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι, **44** καὶ τοὺς λοιπούς, οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου. Καὶ οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.

Malta

28:1 Καὶ διασωθέντες, τότε ἐπέγνωσαν[18] ὅτι Μελίτη ἡ νῆσος καλεῖται. **2** Οἱ δὲ[19] βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν ἡμῖν, ἀνάψαντες[20] γὰρ πυράν, προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν τὸν ἐφεστῶτα καὶ διὰ[21] τὸ ψῦχος. **3** Συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων[22] πλῆθος καὶ ἐπιθέντος ἐπὶ τὴν πυράν, ἔχιδνα ἐκ[23] τῆς θέρμης ἐξελθοῦσα[24] καθήψατο[25] τῆς χειρὸς αὐτοῦ. **4** Ὡς δὲ εἶδον οἱ βάρβαροι κρεμάμενον[26] τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλήλους,[27] «Πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς θαλάσσης ἡ Δίκη ζῆν οὐκ εἴασεν.» **5** Ὁ μὲν οὖν, ἀποτιναξάμενος[28] τὸ θηρίον εἰς τὸ πῦρ, ἔπαθεν οὐδὲν κακόν. **6** Οἱ δὲ προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι, ἢ καταπίπτειν ἄφνω νεκρόν· ἐπὶ πολὺ δὲ αὐτῶν

---

[1] παντες *rell* ¦ --- CP ¦ απαντες א
[2] ημεν **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ ημεθα אA,B [2%] NU
[3] εν τω πλοιω αι πασαι ψυχαι **f**[35] [86%] HF,RP,OC,TR,CP ¦ ~ 456123 אB,C [4%] NU ¦ ~ 56123 A [5%] ¦ 12356 [5%]
[4] δε **f**[35] אA,B,C [30%] OC,TR,CP,NU ¦ 1 της [70%] HF,RP
[5] κατενοουν *rell* ¦ υπενοουν [10%]
[6] εβουλευσαντο **f**[35] [91%] HF,RP,OC,TR,CP ¦ εβουλευοντο אB,C [4%] NU ¦ εβουλοντο A [5%]
[7] δυνατον **f**[35] C [90%] HF,RP,CP ¦ δυναιντο אA,B [10%] OC,TR,NU
[8] αρτεμονα **f**[35] [60%] HF,RP,TR ¦ αρτεμωνα אA,B,C [40%] OC,CP,NU
[9] επωκειλαν **f**[35] [64%] HF,RP,OC,TR,CP ¦ επεκειλαν אB,C [3%] NU ¦ επωκιλαν [15%] ¦ εποκιλαν [10%] ¦ επεκιλαν [7%] ¦ three other variants A [1%]
[10] ναυν *rell* ¦ ναυ [23%]
[11] εμενεν **f**[35] A [25%] ¦ εμεινεν אB,C [75%] HF,RP,OC,TR,CP,NU
[12] ελυετο *rell* ¦ διελυετο [12%] ¦ ελυτο א
[13] των κυματων **f**[35] C (98.8%) HF,RP,OC,TR,CP[NU] ¦ --- אA,B (1.2%)
[14] διαφυγη **f**[35] אA,B,C [92%] HF,RP,CP,NU ¦ διαφυγοι [5%] OC,TR ¦ διαφυγει [3%]
[15] εκατονταρχος **f**[35] [95%] HF,RP,TR,CP ¦ εκατονταρχης אA,B,C [5%] OC,NU
[16] βουλληματος *rell* ¦ βουλευματος [1%] CP
[17] απορριψαντας **f**[35] A [95%] HF,RP,OC,TR,CP ¦ αποριψαντας א(B)C [2%] NU ¦ απορρηψαντος [3%]
[18] επεγνωσαν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ επεγνωμεν אA,B,C [4%] NU ¦ two other variants
[19] δε **f**[35] א [92%] HF,RP,OC,TR,CP ¦ τε A,B,C [8%] NU
[20] αναψαντες **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ αψαντες אA,B,C [6%] NU
[21] δια *rell* ¦ --- א [15%]
[22] φρυγανων **f**[35] א [95%] HF,RP,OC,TR,CP ¦ 1 τι A,B,C [5%] NU
[23] εκ **f**[35] [70%] HF,RP,TR,CP ¦ απο אA,B,C [30%] OC,NU
[24] εξελθουσα **f**[35] אA,B,C [35%] TR,NU ¦ διεξελθουσα [65%] HF,RP,OC,CP
[25] καθηψατο **f**[35] C [25%] ¦ καθηψεν אA,B [72%] HF,RP,OC,TR,CP,NU ¦ καθεικε [3%]
[26] κρεμαμενον *rell* ¦ κρεμμαμενον [15%]
[27] ελεγον προς αλληλους **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ ~ 231 אA,B,C [8%] NU
[28] αποτιναξαμενος **f**[35] A [55%] ¦ αποτιναξας אB [45%] HF,RP,OC,TR,CP,NU

προσδοκώντων καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον, μεταβαλλόμενοι[1] ἔλεγον θεὸν αὐτὸν εἶναι.[2]

7 Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχεν χωρία τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Ποπλίῳ, ὃς ἀναδεξάμενος ἡμᾶς τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν. **8** Ἐγένετο δὲ τὸν πατέρα τοῦ Ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ[3] συνεχόμενον κατακεῖσθαι· πρὸς ὃν ὁ Παῦλος εἰσελθὼν καὶ προσευξάμενος,[4] ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἰάσατο αὐτόν. **9** Τούτου οὖν[5] γενομένου, καὶ οἱ λοιποὶ οἱ ἔχοντες ἀσθενείας ἐν τῇ νήσῳ[6] προσήρχοντο καὶ ἐθεραπεύοντο· **10** οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν.[7]

Rome

11 Μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν[8] ἐν πλοίῳ παρακεχειμακότι ἐν τῇ νήσῳ, Ἀλεξανδρίνῳ,[9] παρασήμῳ Διοσκούροις. **12** Καὶ καταχθέντες εἰς Συρακούσας ἐπεμείναμεν ἡμέρας τρεῖς· **13** ὅθεν περιελθόντες[10] κατηντήσαμεν εἰς Ῥήγιον. Καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου, δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους, **14** οὗ εὑρόντες ἀδελφούς, παρεκλήθημεν ἐπ'[11] αὐτοῖς ἐπιμεῖναι[12] ἡμέρας ἑπτά—καὶ οὕτως εἰς τὴν Ῥώμην ἤλθομεν.[13] **15** Κἀκεῖθεν οἱ ἀδελφοί, ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον[14] εἰς ἀπάντησιν ἡμῖν[15] ἄχρις[16] Ἀππίου Φόρου καὶ Τριῶν Ταβερνῶν, οὓς ἰδὼν ὁ Παῦλος, εὐχαριστήσας τῷ Θεῷ, ἔλαβεν θάρσος.

16 Ὅτε δὲ ἤλθομεν[17] εἰς Ῥώμην, ὁ ἑκατόνταρχος παρέδωκεν τοὺς δεσμίους[18] τῷ στρατοπεδάρχῃ·[19] τῷ δὲ Παύλῳ ἐπετράπη[20] μένειν καθ' ἑαυτόν, σὺν τῷ φυλάσσοντι αὐτὸν[21] στρατιώτῃ.

Paul and the Jews

17 Ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς συγκαλέσασθαι τὸν Παῦλον[22] τοὺς ὄντας τῶν Ἰουδαίων πρώτους· συνελθόντων δὲ αὐτῶν, ἔλεγεν πρὸς αὐτούς· «Ἄνδρες ἀδελφοί, ἐγὼ[23] οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσιν τοῖς πατρῴοις, δέσμιος ἐξ Ἰεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων, **18** οἵτινες ἀνακρίναντές με ἐβούλοντο[24] ἀπολῦσαι διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί. **19** Ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων, ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα· οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι.[25] **20** Διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν[26]

---

[1] μεταβαλλομενοι **f**[35] ℵ [87%] HF,RP,OC,TR,CP ¦ μεταβαλομενοι A,B [13%] NU
[2] θεον αυτον ειναι **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 213 [2%] ¦ ~ 231 ℵB [2%] NU ¦ ~ 321 A
[3] δυσεντερια **f**[35] [50%] HF,RP,TR,CP ¦ δυσεντεριω ℵA,B [50%] OC,NU
[4] προσευξαμενος *rell* ¦ 1 και [2%] OC προσευξαμενος *rell* ¦ 1 και [2%] OC
[5] ουν **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ δε ℵA,B [8%] NU
[6] εχοντες ασθενειας εν τη νησω **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 34512 ℵA,B [5%] NU
[7] την χρειαν **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ τας χρειας ℵA,B [10%] NU
[8] ανηχθημεν **f**[35] ℵA,B [70%] HF,OC,TR,NU ¦ ηχθημεν [30%] RP,CP
[9] αλεξανδρινω *rell* ¦ αλεξανδρηνω [12%] CP
[10] περιελθοντες **f**[35] A [95%] HF,RP,OC,TR,CP ¦ περιελοντες ℵB [5%] NU
[11] επ **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ παρ ℵA,B [5%] NU
[12] επιμειναι *rell* ¦ επιμειναντες [15%]
[13] ηλθομεν *rell* ¦ ηλθωμεν [9%] ¦ ηλθαμεν ℵ(A)B [1%] NU ¦ εισηλθομεν [3%]
[14] εξηλθον **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ηλθαν ℵB,NU ¦ ηλθον A [3%]
[15] ημιν *rell* ¦ ημων [30%] ¦ υμιν ℵ
[16] αχρις **f**[35] [97%] HF,OC,TR,CP ¦ αχρι ℵA,B [3%] RP,NU ¦ αχριμ ℵ
[17] ηλθομεν **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ εισηλθομεν ℵ(A)B [5%] NU ¦ ηλθον [5%]
[18] ο εκατονταρχος (εκατονταρχης OC) παρεδωκεν τους δεσμιους **f**[35] (95.3%) HF,RP(OC)TR,CP ¦ --- ℵA,B (4.7%) NU
[19] τω στρατοπεδαρχη **f**[35] (72.2%) RP,OC,TR,CP ¦ 1 στρατοπεδαρχω (22.9%) HF ¦ --- ℵA,B (4.9%) NU
[20] τω δε παυλω επετραπη **f**[35] (95.3%) HF,RP,OC,TR,CP ¦ ~ 413 ℵA,B (4.7%) NU
[21] αυτον *rell* ¦ αυτω [15%]
[22] τον παυλον **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ αυτον ℵA,B [7%] NU
[23] ανδρες αδελφοι εγω **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 312 A,B [5%] NU ¦ λεγων 12 ℵ
[24] εβουλοντο *rell* ¦ ηβουλοντο [15%]
[25] κατηγορησαι **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ κατηγορειν ℵA,B [5%] NU
[26] υμας ιδειν *rell* ¦ ~ 21 CP

καὶ προσλαλῆσαι· ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι.» **21** Οἱ δὲ πρὸς αὐτὸν εἶπον·[1] «Ἡμεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ τῆς Ἰουδαίας, οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλάλησέν τι πονηρὸν περὶ σοῦ.[2] **22** Ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι[3] ἃ φρονεῖς· περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης, γνωστόν ἐστιν ἡμῖν[4] ὅτι πανταχοῦ ἀντιλέγεται.»

23 Ταξάμενοι δὲ αὐτῷ ἡμέραν, ἦκον[5] πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες, οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, πείθων[6] τε αὐτοὺς τὰ[7] περὶ τοῦ Ἰησοῦ, ἀπό τε τοῦ Νόμου Μωϋσέος[8] καὶ τῶν Προφητῶν, ἀπὸ πρωῒ ἕως ἑσπέρας. **24** Καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ ἠπίστουν.

25 Ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους ἀπελύοντο, εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν, ὅτι «Καλῶς τὸ Πνεῦμα τὸ Ἅγιον ἐλάλησεν διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ἡμῶν,[9] **26** λέγον·[10] ‹Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον καὶ εἶπον,[11] «Ἀκοῇ ἀκούσετε,[12] καὶ οὐ μὴ συνῆτε·[13] καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε»· **27** ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν·[14] μήποτε ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσιν καὶ τῇ καρδίᾳ συνῶσιν καὶ ἐπιστρέψωσιν, καὶ ἰάσωμαι[15] αὐτούς.› **28** Γνωστὸν οὖν ἔστω ὑμῖν ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη[16] τὸ σωτήριον τοῦ Θεοῦ· αὐτοὶ καὶ ἀκούσονται.» **29** Καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ Ἰουδαῖοι, πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν.[17,18]

Two tranquil years

30 Ἔμεινεν[19] δὲ ὁ Παῦλος[20] διετίαν ὅλην ἐν ἰδίῳ μισθώματι, καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους πρὸς αὐτόν, **31** κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ καὶ διδάσκων τὰ περὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ,[21] μετὰ πάσης παρρησίας, ἀκωλύτως.[22]

---

[1] ειπον *rell* ¦ ειπαν ℵA,B [15%] NU
[2] πονηρον περι σου **f**[35] [20%] ¦ ~ 231 ℵA,B [80%] HF,RP,OC,TR,CP,NU
[3] παρα σου ακουσαι *rell* ¦ ~ 312 ℵ [13%]
[4] εστιν ημιν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B [5%] NU
[5] ηκον **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ηλθον ℵ(A)B [5%] NU
[6] πειθων *rell* ¦ πειθον [15%] ¦ πιθων ℵ
[7] τα **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [10%] NU
[8] μωυσεος **f**[35] [25%] ¦ μωσεως A [35%] HF,RP,OC,TR,CP ¦ μωυσεως ℵB [40%] NU
[9] ημων **f**[35] [78%] HF,RP,OC,TR,CP ¦ υμων ℵ(A)B [22%] NU
[10] λεγον **f**[35] A [55%] HF,RP,OC,TR,CP ¦ λεγων ℵB [45%] NU
[11] ειπον *rell* ¦ ειπε [5%] TR
[12] ακουσετε *rell* ¦ ακουσητε A [20%] ¦ ακουσεται [6%]
[13] συνητε *rell* ¦ συνειτε [20%]
[14] εκαμμυσαν *rell* ¦ εκαμυσαν [5%] CP
[15] ιασωμαι **f**[35] [40%] TR,CP ¦ ιασομαι ℵA,B [60%] HF,RP,OC,NU
[16] απεσταλη **f**[35] [95%] HF,RP,TR,CP ¦ 1 τουτο ℵA,B [5%] OC,NU (OC is in small print)
[17] whole verse **f**[35] (95.3%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B (4.7%) NU
[18] συζητησιν *rell* ¦ ζητησιν [1%] CP
[19] εμεινεν **f**[35] A [96%] HF,RP,OC,TR,CP ¦ ενεμεινεν B [4%] NU ¦ ενεμειναν ℵ
[20] ο παυλος **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [5%] NU
[21] χριστου *rell* ¦ --- ℵ [12%]
[22] The citation of **f**[35] is based on a complete collation of the following sixty-two representative MSS (not counting the fragments)—18, 35, 141, 149*, 201, 204, 328, 386, 394, 444, 604, 757, 801, 824, 928, 986, 1040*, 1058*, 1072, 1075, 1100, 1140, 1247*, 1248*, 1249, 1482, 1503, 1508*, 1548, 1617, 1619*, 1628, 1636*, 1637, 1652, 1656*, 1723, 1725, 1732, 1740, 1746*, 1749*, 1761, 1855, 1856, 1858[frag], 1864, 1865, 1876, 1892*, 1897, 2080, 2218, 2255*, 2261, 2303[frag], 2352, 2378, 2431*, 2441, 2466, 2554, 2587 and 2723. The MSS marked with an asterisk (*) were collated by Dr. Eduardo Flores; the rest I collated myself. None of them is a 'perfect' representative of **f**[35] in Acts, as it stands [an unreasonable expectation, presumably, for a book this size]. For all that, several come quite close! Of the MSS I have collated [there may be better ones yet to be done], 1864 deviates from the presumed family profile five times, 18 seven times and 2723 eight times. Turning to their exemplars, that of 35 was off by two, that of 18 and 1864 by three, that of 2723 by four, that of 1865 by five, and that of 824, 1503 and 1897 by six. The uniformity is impressive. Since these MSS come from all over the

Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Meteora, Athens, Mt. Athos [seven different monasteries], Grottaferrata, Vatican, Kalavryta, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I used Reuben Swanson's excellent collations (*New Testament Greek Manuscripts: Acts* [Ed. Reuben Swanson, Pasadena, CA: William Carey International University Press, 1998]). For Acts Swanson collated 60 MSS, thirteen being fragmentary (for any given variant set there will usually be at least 45 MSS listed), and I occasionally supplemented from Scrivener and von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±2%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±4%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%—since Swanson collated considerably fewer MSS for Acts than he did for Paul's epistles, and since I find *TuT* to be less trustworthy here than in other books, my guesses as to percentages are more tentative than usual, except that I guarantee the witness of $\mathbf{f}^{35}$. For further information please see the final footnote for Matthew.

ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ

Salutation

1:1 Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ,[1] κλητὸς ἀπόστολος, ἀφωρισμένος[2] εἰς εὐαγγέλιον Θεοῦ, **2** ὃ προεπηγγείλατο[3] διὰ τῶν προφητῶν αὐτοῦ ἐν Γραφαῖς Ἁγίαις· **3** περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα, **4** τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ ἐν δυνάμει (κατὰ Πνεῦμα ἁγιωσύνης) ἐξ ἀναστάσεως νεκρῶν—Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν—**5** δι᾽ οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως ἐν πᾶσιν τοῖς ἔθνεσιν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ **6** (ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ)· **7** πᾶσιν τοῖς οὖσιν ἐν Ῥώμῃ ἀγαπητοῖς Θεοῦ, κλητοῖς ἁγίοις· Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

To Gentiles

Paul has been hindered from visiting Rome

1:8 Πρῶτον μὲν εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ ὑπὲρ[4] πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. **9** Μάρτυς γάρ μού ἐστιν ὁ Θεός, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου ἐν τῷ εὐαγγελίῳ τοῦ Υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι, πάντοτε ἐπὶ τῶν προσευχῶν μου **10** δεόμενος εἴ πως ἤδη, ποτέ, εὐοδωθήσομαι[5] ἐν τῷ θελήματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς. **11** Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικόν, εἰς τὸ στηριχθῆναι ὑμᾶς **12**—τοῦτο δέ ἐστιν, συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ.

13 Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν,[6] ἀδελφοί, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς (καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο), ἵνα τινὰ καρπὸν[7] σχῶ καὶ[8] ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν. **14** Ἕλλησίν τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί. **15** Οὕτως, τὸ κατ᾽ ἐμέ, πρόθυμον καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι.

Faith

16 Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ,[9] δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι (Ἰουδαίῳ τε πρῶτον, καὶ Ἕλληνι)· **17** δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται, ἐκ πίστεως εἰς πίστιν· καθὼς γέγραπται· «Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται.»

Unrighteousness

18 Ἀποκαλύπτεται γὰρ ὀργὴ Θεοῦ ἀπ᾽ οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων, **19** διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς, ὁ γὰρ Θεὸς[10] αὐτοῖς ἐφανέρωσεν. **20** Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασιν νοούμενα, καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους· **21** διότι γνόντες[11] τὸν Θεόν, οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ εὐχαρίστησαν·[12] ἀλλ᾽ ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. **22** Φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν, **23** καὶ ἠλλάξαντο[13] τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ

---

[1] ιησου χριστου **f**[35] ℵA [99.5%] OC,RP,HF,TR,CP ¦ ~ 21 **𝔓**[10]B [0.5%] NU
[2] αφωρισμενος *rell* ¦ αφορισμενος [10%]
[3] προεπηγγειλατο *rell* ¦ προεπαγγειλατο CP ¦ προεπηγγιλατο ℵ
[4] υπερ **f**[35] [84%] OC,RP,HF,TR,CP ¦ περι ℵA,B,C [16%] NU
[5] ευοδωθησομαι *rell* ¦ ευοδοθησομαι [18%]
[6] αγνοειν *rell* ¦ αγνωειν [15%]
[7] τινα καρπον **f**[35] ℵA,B,C [92%] OC,RP,HF,CP,NU ¦ ~ 21 [8%] TR
[8] και *rell* ¦ --- [10%] CP
[9] του χριστου **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ --- ℵA,B,C [3%] NU
[10] γαρ θεος **f**[35] [95%] OC,RP,HF,TR,CP ¦ ~ 21 ℵA,B,C [5%] NU
[11] γνοντες *rell* ¦ γνωντες [25%]
[12] ευχαριστησαν **f**[35] B [80%] OC,RP,HF,TR,CP ¦ ηυχαριστησαν ℵA,C [20%] NU
[13] ηλλαξαντο **f**[35] [26%] CP ¦ ηλλαξαν ℵA,B,C [74%] OC,RP,HF,TR,NU

ἀνθρώπου—καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν.

24 Διὸ καὶ[1] παρέδωκεν αὐτοὺς ὁ Θεός, ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν, τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς[2] **25**—οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει, καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν Κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

Depravity

26 Διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας· αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν· **27** ὁμοίως[3] καὶ οἱ ἄρρενες,[4] ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύθησαν[5] τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρσενες ἐν ἄρσεσιν τὴν ἀσχημοσύνην κατεργαζόμενοι, καὶ τὴν ἀντιμισθίαν ἣν ἔδει τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες.

28 Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα· **29** πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ,[6] πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ· μεστοὺς φθόνου, φόνου, ἔριδος, δόλου, κακοηθείας· **30** ψιθυριστάς, καταλάλους, θεοστυγεῖς, ὑβριστάς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς, **31** ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους,[7] ἀνελεήμονας· **32** οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν ἀλλὰ καὶ συνευδοκοῦσιν τοῖς πράσσουσιν.

Judgment

2:1 Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων, ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις, τὰ γὰρ αὐτὰ πράσσεις, ὁ κρίνων. **2** Οἴδαμεν δὲ ὅτι τὸ κρῖμα τοῦ Θεοῦ ἐστιν κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας. **3** Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ[8] τὸ κρῖμα τοῦ Θεοῦ; **4** Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; **5** Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ[9] δικαιοκρισίας τοῦ Θεοῦ, **6** ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· **7** τοῖς μέν, καθ᾽ ὑπομονὴν ἔργου ἀγαθοῦ, δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσιν[10]—ζωὴν αἰώνιον· **8** τοῖς δέ, ἐξ ἐριθείας, καὶ ἀπειθοῦσιν μὲν[11] τῇ ἀληθείᾳ (πειθομένοις δὲ τῇ ἀδικίᾳ)—θυμὸς καὶ ὀργή,[12] **9** θλῖψις καὶ στενοχωρία, ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν, Ἰουδαίου τε (πρῶτον) καὶ Ἕλληνος· **10** δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε (πρῶτον) καὶ Ἕλληνι.

11 Οὐ γάρ ἐστιν προσωποληψία[13] παρὰ τῷ Θεῷ. **12** Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. **13** Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ[14] νόμου δίκαιοι παρὰ τῷ[15] Θεῷ, ἀλλ᾽ οἱ ποιηταὶ τοῦ[16] νόμου δικαιωθήσονται **14** (ὅταν γὰρ ἔθνη τὰ

---

[1] και **f**[35] [98%] OC,RP,HF,TR,CP ¦ --- ℵA,B,C [2%] NU
[2] εαυτοις **f**[35] [92%] RP,HF,TR,CP ¦ αυτοις 𝔓[40v]ℵA,B,C [5%] OC,NU ¦ εαυτων [3%]
[3] ομοιως **f**[35] C [23%] CP ¦ 1 τε ℵB [70%] RP,HF,TR,NU ¦ 1 δε A [7%] OC
[4] αρρενες **f**[35] ℵA,C [95.5%] RP,HF,TR,CP ¦ αρενες [3%] ¦ αρσενες B [1.5%] OC,NU
[5] εξεκαυθησαν **f**[35] [20%] CP ¦ 1 εν ℵA,B,C [80%] OC,RP,HF,TR,NU
[6] πορνεια **f**[35] [95%] OC,RP,HF,TR,CP ¦ --- (ℵA)B(C) [5%] NU (An easy case of homoioteleuton, or -arcton.)
[7] ασπονδους **f**[35] C [98%] OC,RP,HF,TR,CP ¦ --- ℵA,B [2%] NU (An easy case of homoioteleuton, or -arcton.)
[8] εκφευξη *rell* ¦ εκφευξει [15%]
[9] και **f**[35] [93.5%] OC,RP,HF,CP ¦ --- ℵA,B [1.5%] TR,NU ¦ της [5%] [OC is in small print]
[10] ζητουσιν *rell* ¦ επιζητουσι [2%] CP
[11] μεν **f**[35] A [99%] OC,RP,HF,TR,CP ¦ --- ℵB [1%] NU
[12] θυμος και οργη **f**[35] [97.5%] OC,RP,HF,TR,CP ¦ ~ 321 ℵ(A)B [2.5%] NU
[13] προσωποληψια *rell* ¦ προσωπολημψια ℵA,B [1%] NU ¦ three other spellings
[14] του **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ --- ℵA,B [3%] NU
[15] τω **f**[35] ℵA [98%] OC,RP,HF,TR,CP[NU] ¦ --- B [2%]
[16] του **f**[35] [95%] OC,RP,HF,TR,CP ¦ --- ℵA,B [5%] NU

μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ,[1] οὗτοι, νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσιν νόμος· **15** οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων) **16** ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων, κατὰ τὸ εὐαγγέλιόν μου, διὰ Ἰησοῦ Χριστοῦ.[2]

To Jews

Law

2:17 Ἴδε,[3] σὺ Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ[4] νόμῳ, καὶ καυχᾶσαι[5] ἐν Θεῷ, **18** καὶ γινώσκεις τὸ Θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα, κατηχούμενος ἐκ τοῦ νόμου· **19** πέποιθάς τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, **20** παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων, ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ. **21** Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; Ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις; **22** Ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις; Ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς; **23** Ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις; **24** «Τὸ γὰρ ὄνομα τοῦ Θεοῦ δι᾽ ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν,» καθὼς γέγραπται.

Circumcision

25 Περιτομὴ μὲν γὰρ ὠφελεῖ ἐὰν νόμον πράσσῃς,[6] ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονεν. **26** Ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου φυλάσσῃ,[7] οὐχὶ[8] ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν λογισθήσεται; **27** Καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία τὸν νόμον τελοῦσα, σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς παραβάτην νόμου; **28** Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή· **29** ἀλλ᾽ ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας—ἐν πνεύματι, οὐ γράμματι—οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων ἀλλ᾽ ἐκ τοῦ[9] Θεοῦ.

Advantage

3:1 Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου, ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς; **2** Πολὺ κατὰ πάντα τρόπον· πρῶτον μὲν γὰρ[10] ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ. **3** Τί γὰρ εἰ ἠπίστησάν τινες; Μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσει;[11] **4** Μὴ γένοιτο· γινέσθω δὲ ὁ Θεὸς ἀληθής, πᾶς δὲ ἄνθρωπος ψεύστης· καθὼς γέγραπται· «Ὅπως ἂν δικαιωθῇς[12] ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς[13] ἐν τῷ κρίνεσθαί σε.»

A conundrum

5 Εἰ δὲ ἡ ἀδικία ἡμῶν Θεοῦ δικαιοσύνην συνίστησιν, τί ἐροῦμεν; Μὴ ἄδικος ὁ Θεὸς ὁ[14] ἐπιφέρων τὴν ὀργήν; (Κατὰ ἄνθρωπον λέγω.) **6** Μὴ γένοιτο· ἐπεὶ πῶς κρινεῖ ὁ Θεὸς τὸν κόσμον; **7** Εἰ γὰρ[15] ἡ ἀλήθεια τοῦ Θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι; **8** Καὶ μή (καθὼς βλασφημούμεθα καὶ καθὼς φασίν τινες) ἡμᾶς

---

[1] ποιη **f**[35] [68.5%] OC,RP,HF,TR,CP ¦ ποιει [25%] ¦ ποιωσιν ℵA,B [1.5%] NU ¦ ποιουσιν [5%]
[2] ιησου χριστου **f**[35] A [99%] OC,RP,HF,TR,CP ¦ ~ 21 ℵB [1%] NU
[3] ιδε **f**[35] [85%] OC,RP,HF,TR ¦ ει δε ℵA,B [12%] CP,NU ¦ η δε [3%]
[4] τω **f**[35] [98%] OC,RP,HF,TR,CP ¦ --- ℵA,B [2%] NU
[5] καυχασαι *rell* ¦ καυχαση CP ¦ καυχασε [7%]
[6] πρασσης *rell* ¦ πρασσεις [10%] ¦ four other spellings
[7] φυλασση *rell* ¦ φυλασσει [10%] ¦ two other spellings
[8] ουχι **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ ουχ ℵB [2%] NU ¦ --- A ¦ two other spellings and two long omissions [1%]
[9] του *rell* ¦ --- [2%] CP
[10] γαρ **f**[35] ℵA [95%] OC,RP,HF,TR,CP[NU] ¦ --- B [5%]
[11] καταργησει *rell* ¦ καταργηση [20%] ¦ one other spelling
[12] δικαιωθης *rell* ¦ δικαιωθεις [22%] ¦ δικαιοθης [2%]
[13] νικησης **f**[35] B [88%] RP,HF,TR,CP ¦ νικησεις ℵA [12%] OC,NU
[14] ο *rell* ¦ --- [12%]
[15] γαρ **f**[35] B [98%] OC,RP,HF,TR,CP ¦ δε ℵA [2%] NU

λέγειν ὅτι «Ποιήσωμεν τὰ κακὰ ἵνα ἔλθῃ τὰ ἀγαθά»—ὧν τὸ κρῖμα ἔνδικόν ἐστιν.

All are under sin

9 Τί οὖν; Προεχόμεθα; Οὐ πάντως· προῃτιασάμεθα γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας πάντας ὑφ᾽ ἁμαρτίαν εἶναι. **10** Καθὼς γέγραπται·[1] «Οὐκ ἔστιν δίκαιος, οὐδὲ εἷς· **11** οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν. **12** Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν·[2] οὐκ ἔστιν[3] ποιῶν χρηστότητα, οὐκ ἔστιν[4] ἕως ἑνός.» **13** «Τάφος ἀνεῳγμένος ὁ λάρυγξ[5] αὐτῶν· ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν.» «Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν»· **14** «ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει.» **15** «Ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα· **16** σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, **17** καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν.» **18** «Οὐκ ἔστιν φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν.»

19 Οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ, ἵνα πᾶν στόμα φραγῇ καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ. **20** Διότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ,[6] διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας.

Righteousness by faith

21 Νυνὶ δέ, χωρὶς νόμου, δικαιοσύνη Θεοῦ πεφανέρωται, μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν, **22** δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, εἰς πάντας καὶ ἐπὶ πάντας[7] τοὺς πιστεύοντας. Οὐ γάρ ἐστιν διαστολή· **23** πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, **24** δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ· **25** ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ τῆς πίστεως[8] ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων, ἐν τῇ ἀνοχῇ τοῦ Θεοῦ· **26** πρὸς[9] ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ ἐν τῷ νῦν καιρῷ, εἰς τὸ εἶναι αὐτὸν δίκαιον, καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ.[10]

27 Ποῦ οὖν ἡ καύχησις; Ἐξεκλείσθη. Διὰ ποίου νόμου, τῶν ἔργων; Οὐχί, ἀλλὰ διὰ νόμου πίστεως. **28** Λογιζόμεθα οὖν[11] πίστει δικαιοῦσθαι[12] ἄνθρωπον χωρὶς ἔργων νόμου. **29** Ἢ Ἰουδαίων ὁ Θεὸς μόνον;[13] Οὐχὶ δὲ[14] καὶ ἐθνῶν; Ναί, καὶ ἐθνῶν, **30** ἐπείπερ[15] εἷς ὁ Θεός, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. **31** Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; Μὴ γένοιτο· ἀλλὰ νόμον ἱστῶμεν.[16]

Abraham

4:1 Τί οὖν ἐροῦμεν Ἀβραὰμ[17] τὸν πατέρα ἡμῶν εὑρηκέναι,[18] κατὰ σάρκα; **2** Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα—ἀλλ᾽ οὐ πρὸς τὸν[19] Θεόν. **3** Τί γὰρ ἡ Γραφὴ λέγει; «Ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.» **4** Τῷ δὲ ἐργαζομένῳ ὁ

---

[1] γεγραπται **f**[35] [45%] CP ¦ 1 οτι ℵA,B [55%] OC,RP,HF,TR,NU
[2] ηχρειωθησαν **f**[35] [94%] OC,RP,HF,TR,CP ¦ ηχρεωθησαν ℵA,B [1%] NU ¦ ηχριωθησαν [5%]
[3] εστιν **f**[35] A,B [99%] OC,RP,HF,TR,CP ¦ 1 ο ℵ [1%] NU
[4] ουκ εστιν **f**[35] ℵA (99.1%) OC,RP,HF,TR,CP[NU] ¦ --- B (0.9%)
[5] λαρυγξ *rell* ¦ λαρυξ A [20%]
[6] αυτου *rell* ¦ του θεου [10%]
[7] και επι παντας **f**[35] (93.4%) OC,RP,HF,TR,CP ¦ --- 𝔓[40]ℵA,B,C (6.6%) NU [easy homoioteleuton]
[8] δια της πιστεως **f**[35] B [96%] OC,RP,HF,TR,CP[NU] ¦ 13 ℵC [4%] ¦ --- A
[9] προς **f**[35] [98%] OC,RP,HF,TR,CP ¦ 1 την ℵA,B,C [2%] NU
[10] ιησου *rell* ¦ ιησουν [35%] CP ¦ --- [1%]
[11] ουν **f**[35] B,C [93%] OC,RP,HF,TR,CP ¦ γαρ ℵA [7%] NU
[12] πιστει δικαιουσθαι **f**[35] [98%] OC,RP,HF,TR,CP ¦ ~ 21 ℵA,B,C [2%] NU
[13] μονον *rell* ¦ μονων B [15%]
[14] δε **f**[35] [94%] OC,RP,HF,TR,CP ¦ --- ℵA,B,C [6%] NU
[15] επειπερ **f**[35] [98%] OC,RP,HF,TR,CP ¦ ειπερ ℵ(A)B,C [2%] NU
[16] ιστωμεν **f**[35] [96%] OC,RP,HF,TR,CP ¦ ιστανομεν ℵA,B,C [1.5%] NU ¦ six other variants [2.5%]
[17] ἀβρααμ **f**[35] [50%] ¦ ἀβραμ [50%] OC,RP,HF,TR,CP,NU (This statement will obtain wherever the name occurs.)
[18] αβρααμ τον πατερα ημων ευρηκεναι **f**[35] [96%] OC,RP,HF,TR,CP ¦ ~ 512 προπατορα 4 ℵA,C [3.5%] NU ¦ 12 προπατορα 4 B [0.5%]
[19] τον **f**[35] [98%] OC,RP,HF,TR,CP ¦ --- ℵA,B,C [2%] NU

μισθὸς οὐ λογίζεται κατὰ χάριν ἀλλὰ κατὰ[1] ὀφείλημα. **5** Τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην.

6 Καθάπερ καὶ Δαυὶδ λέγει τὸν μακαρισμὸν τοῦ ἀνθρώπου ᾧ ὁ Θεὸς λογίζεται δικαιοσύνην χωρὶς ἔργων· **7** «Μακάριοι ὧν ἀφέθησαν[2] αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν[3] αἱ ἁμαρτίαι. **8** Μακάριος ἀνὴρ ᾧ[4] οὐ[5] μὴ λογίσηται Κύριος ἁμαρτίαν.»

Before Circumcision

9 Ὁ μακαρισμὸς οὖν οὗτος ἐπὶ τὴν περιτομήν, ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν; Λέγομεν γὰρ ὅτι[6] ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην, **10** πῶς οὖν ἐλογίσθη; Ἐν περιτομῇ ὄντι ἢ ἐν ἀκροβυστίᾳ; Οὐκ ἐν περιτομῇ, ἀλλ᾽ ἐν ἀκροβυστίᾳ· **11** καὶ σημεῖον ἔλαβεν περιτομῆς, σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν τῇ[7] ἀκροβυστίᾳ, εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων δι᾽ ἀκροβυστίας, εἰς τὸ λογισθῆναι καὶ[8] αὐτοῖς τὴν[9] δικαιοσύνην, **12** καὶ πατέρα περιτομῆς—τοῖς οὐκ ἐκ περιτομῆς μόνον, ἀλλὰ καὶ τοῖς στοιχοῦσιν τοῖς ἴχνεσιν τῆς πίστεως τῆς ἐν ἀκροβυστίᾳ[10] τοῦ πατρὸς ἡμῶν Ἀβραάμ.

The promise

13 Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραάμ, ἢ τῷ σπέρματι αὐτοῦ, τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ[11] κόσμου, ἀλλὰ διὰ δικαιοσύνης πίστεως. **14** Εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις καὶ κατήργηται ἡ ἐπαγγελία· **15** ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται, οὗ γὰρ[12] οὐκ ἔστιν νόμος, οὐδὲ παράβασις. **16** Διὰ τοῦτο ἐκ πίστεως ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι—οὐ τῷ ἐκ[13] νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ πίστεως Ἀβραάμ, ὅς ἐστιν πατὴρ πάντων ἡμῶν· **17** καθὼς γέγραπται ὅτι «Πατέρα πολλῶν ἐθνῶν τέθεικά[14] σε»—κατέναντι οὗ ἐπίστευσεν· Θεοῦ, τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα. **18** Ὃς παρ᾽ ἐλπίδα, ἐπ᾽ ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν, κατὰ τὸ εἰρημένον· «Οὕτως ἔσται τὸ σπέρμα σου.» **19** Καὶ μὴ ἀσθενήσας τῇ πίστει, οὐ[15] κατενόησεν τὸ ἑαυτοῦ σῶμα, ἤδη[16] νενεκρωμένον (ἑκατονταέτης που ὑπάρχων), καὶ τὴν νέκρωσιν τῆς[17] μήτρας Σάρρας. **20** Εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ· ἀλλ᾽ ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ, **21** καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται δυνατός ἐστιν καὶ ποιῆσαι **22**—διὸ καὶ[18] ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

23 Οὐκ ἐγράφη δὲ δι᾽ αὐτὸν μόνον ὅτι ἐλογίσθη αὐτῷ, **24** ἀλλὰ καὶ δι᾽ ἡμᾶς, οἷς μέλλει λογίζεσθαι, τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν Κύριον ἡμῶν ἐκ νεκρῶν, **25** ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν, καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν[19] ἡμῶν.

---

[1] κατα **f**[35] ℵA,B,C [97%] OC,RP,HF,CP,NU ¦ 1 το [3%] TR
[2] αφεθησαν *rell* ¦ αφειθησαν [5%] CP ¦ αφηθησαν [3%]
[3] επεκαλυφθησαν *rell* ¦ απεκαλυφθησαν [10%]
[4] ω **f**[35] A,C [97%] OC,RP,HF,TR,CP ¦ ου ℵB [3%] NU
[5] ου *rell* ¦ --- [1%] CP
[6] οτι **f**[35] A,C [98.5%] OC,RP,HF,TR,CP ¦ --- ℵB [1.5%] NU
[7] τη *rell* ¦ --- [15%]
[8] και **f**[35] C [95%] OC,RP,HF,TR,CP[NU] ¦ --- ℵA,B [5%]
[9] την **f**[35] B,C [96%] OC,RP,HF,TR,CP[NU] ¦ --- ℵ [2%] ¦ εις A [2%]
[10] πιστεως της εν ακροβυστια **f**[35] [54%] ¦ 123 τη 4 [40%] RP,HF,CP ¦ ~ 23 τη 41 [3%] OC,TR ¦ ~ 2341 A,B(C) [3%] NU ¦ 234 ℵ
[11] του **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ --- ℵA,B,C [3%] NU
[12] γαρ **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ δε ℵA,B,C [3%] NU
[13] εκ **f**[35] [20%] ¦ 1 του ℵA,B,C [80%] OC,RP,HF,TR,CP,NU [OC is in small print]
[14] τεθεικα *rell* ¦ τεθηκα [20%] ¦ τεθικα ℵ
[15] ου **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ --- ℵA,B,C [3%] NU
[16] ηδη **f**[35] A,C [99%] OC,RP,HF,TR,CP[NU] ¦ --- B [1%]
[17] της *rell* ¦ --- OC
[18] και **f**[35] ℵA,C [99%] OC,RP,HF,TR,CP[NU] ¦ --- B [1%]
[19] δικαιωσιν *rell* ¦ δικαιοσυνην [12%] ¦ δικεωσιν ℵ

To believers

Peace with God

5:1 Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν[1] πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, **2** δι᾽ οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν, τῇ πίστει,[2] εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν, καὶ καυχώμεθα ἐπ᾽ ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ. **3** Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες ὅτι ἡ θλῖψις[3] ὑπομονὴν κατεργάζεται· **4** ἡ δὲ ὑπομονή, δοκιμήν· ἡ δὲ δοκιμή, ἐλπίδα· **5** ἡ δὲ ἐλπὶς οὐ καταισχύνει,[4] ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος Ἁγίου τοῦ δοθέντος ἡμῖν.

Reconciliation

6 Ἔτι γὰρ Χριστός, ὄντων ἡμῶν ἀσθενῶν,[5] κατὰ καιρόν, ὑπὲρ ἀσεβῶν ἀπέθανεν. **7** Μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται (ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν), **8** συνίστησιν δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεὸς ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν. **9** Πολλῷ οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι᾽ αὐτοῦ ἀπὸ τῆς ὀργῆς. **10** Εἰ γάρ, ἐχθροὶ ὄντες, κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον, καταλλαγέντες, σωθησόμεθα[6] ἐν τῇ ζωῇ αὐτοῦ.

11 Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα[7] ἐν τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν.

Death vs Life

12 Διὰ τοῦτο, ὥσπερ δι᾽ ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ᾽ ᾧ πάντες ἥμαρτον **13**—ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν[8] κόσμῳ, ἁμαρτία δὲ οὐκ ἐλλογεῖται μὴ ὄντος νόμου. **14** Ἀλλ᾽[9] ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέος,[10] καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ (ὅς ἐστιν τύπος τοῦ μέλλοντος).

15 Ἀλλ᾽ οὐχ ὡς τὸ παράπτωμα, οὕτως καὶ τὸ χάρισμα. Εἰ γὰρ τῷ[11] τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου, Ἰησοῦ Χριστοῦ, εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν. **16** Καὶ οὐχ ὡς δι᾽ ἑνὸς ἁμαρτήσαντος, τὸ δώρημα· τὸ μὲν γὰρ κρῖμα ἐξ ἑνὸς εἰς κατάκριμα, τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα. **17** Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσεν διὰ τοῦ ἑνός, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης λαμβάνοντες ἐν ζωῇ βασιλεύσουσιν[12] διὰ τοῦ ἑνός, Ἰησοῦ Χριστοῦ.

18 Ἄρα οὖν, ὡς δι᾽ ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα, οὕτως καὶ δι᾽ ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς. **19** Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτως καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί. **20** Νόμος δὲ παρεισῆλθεν ἵνα πλεονάσῃ τὸ παράπτωμα· οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, **21** ἵνα ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτως καὶ ἡ χάρις βασιλεύσῃ[13] διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

---

[1] εχωμεν **f**[35] ℵA,B,C (43%) ¦ εχομεν (57%) OC,RP,HF,TR,CP,NU
[2] τη πιστει **f**[35] (ℵ)C (95.9%) OC,RP,HF,TR,CP[NU] ¦ εν 12 A (2.7%) ¦ --- B,0220 (0.8%) ¦ one other variant (0.5%)
[3] η *rell* ¦ --- CP
[4] καταισχυνει *rell* ¦ καταισχυνη [15%]
[5] ασθενων **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ 1 ετι ℵA,B,C [3%] NU
[6] σωθησομεθα *rell* ¦ σωθησωμεθα [14%]
[7] καυχωμεθα **f**[35] [38%] CP ¦ καυχομεθα [1%] ¦ καυχωμενοι ℵB,C [52%] OC,RP,HF,TR,NU ¦ καυχομενοι [9%]
[8] εν *rell* ¦ 1 τω [10%] CP
[9] αλλ *rell* ¦ αλλα B [0.5%] NU
[10] μωυσεος **f**[35] [30%] CP ¦ μωυσεως ℵ [50%] OC,RP,NU ¦ μωσεως A,B,C [20%] HF,TR
[11] τω *rell* ¦ το [15%] ¦ --- [5%]
[12] βασιλευσουσιν *rell* ¦ βασιλευουσιν [17%]
[13] βασιλευση **f**[35] ℵA,B,C [68%] OC,RP,HF,TR,CP,NU ¦ βασιλευσει [32%]

Newness of life

6:1 Τί οὖν ἐροῦμεν; Ἐπιμενοῦμεν[1] τῇ ἁμαρτίᾳ ἵνα ἡ χάρις πλεονάσῃ; **2** Μὴ γένοιτο. Οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν[2] ἐν αὐτῇ; **3** Ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; **4** Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρός, οὕτως καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν.

5 Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα· **6** τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν[3] ἄνθρωπος συνεσταυρώθη ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ—**7** ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας.

8 Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν[4] αὐτῷ, **9** εἰδότες ὅτι Χριστός, ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει **10**—ὃ γὰρ ἀπέθανεν τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. **11** Οὕτως καὶ ὑμεῖς, λογίζεσθε[5] ἑαυτοὺς νεκροὺς μὲν εἶναι[6] τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.[7]

Down with sin!

12 Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ[8] **13**—μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ Θεῷ ὡς[9] ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ. **14** Ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει, οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ'[10] ὑπὸ χάριν.

Grace, not license

15 Τί οὖν; Ἁμαρτήσομεν[11] ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον ἀλλ'[12] ὑπὸ χάριν; Μὴ γένοιτο. **16** Οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε ᾧ ὑπακούετε—ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην; **17** Χάρις δὲ τῷ Θεῷ ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε[13] δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς. **18** Ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ.

19 Ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν. Ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτως νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν. **20** Ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. **21** Τίνα οὖν καρπὸν εἴχετε τότε ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; Τὸ γὰρ τέλος ἐκείνων θάνατος. **22** Νυνὶ δέ, ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν—τὸ δὲ τέλος ζωὴν αἰώνιον. **23** Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος, τὸ δὲ χάρισμα τοῦ Θεοῦ ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

More about law

7:1 Ἢ ἀγνοεῖτε, ἀδελφοί (γινώσκουσιν γὰρ νόμον λαλῶ), ὅτι ὁ νόμος κυριεύει τοῦ

---

[1] επιμενουμεν **f**^{35} [60%] OC,TR,CP ¦ επιμενομεν ℵ [19%] RP,HF ¦ επιμενωμεν A,B,C [10%] NU ¦ επιμεινωμεν [10%] ¦ επιμεινομεν [1%]

[2] ζησομεν *rell* ¦ ζησωμεν [15%]

[3] ημων *rell* ¦ υμων CP

[4] συζησομεν *rell* ¦ συζησωμεν C [18%] ¦ συνζησομεν ℵA,B [10%]

[5] λογιζεσθε *rell* ¦ λογιζεσθαι A,B [13%]

[6] νεκρους μεν ειναι **f**^{35} [96%] OC,RP,HF,TR,CP ¦ ~ 312 ℵB,C [2%] [NU] ¦ 12 A [2%]

[7] τω κυριω ημων **f**^{35} ℵC (96.5%) OC,RP,HF,TR,CP ¦ --- 𝔓^{46}A,B (3.5%) NU

[8] αυτη εν ταις επιθυμιαις αυτου **f**^{35} (81.7%) OC,RP,HF,TR,CP ¦ 52345 (2.2%) ¦ 1234 αυτης (6.2%) ¦ 1234 αυτων (0.5%) ¦ 1234 (0.5%) ¦ 345 ℵA,B,C (7.9%) NU ¦ 1 𝔓^{46} (1%)

[9] ως **f**^{35} [97%] OC,RP,HF,TR,CP ¦ ωσει ℵA,B,C [3%] NU

[10] αλλ *rell* ¦ αλλα ℵB,C [1%] NU

[11] αμαρτησομεν **f**^{35} [61%] OC,RP,HF,TR,CP ¦ αμαρτησωμεν ℵA,B,C [30%] NU ¦ αμαρτισωμεν [4%] ¦ long omission [5%]

[12] αλλ *rell* ¦ αλλα ℵB,C [1%] NU

[13] υπηκουσατε *rell* ¦ υπακουσετε CP

ἀνθρώπου ἐφ᾽ ὅσον χρόνον ζῇ; **2** Ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ, ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός. **3** Ἄρα οὖν, ζῶντος τοῦ ἀνδρός, μοιχαλὶς χρηματίσει[1] ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα γενομένην ἀνδρὶ ἑτέρῳ.

4 Ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ εἰς τὸ γενέσθαι ὑμᾶς[2] ἑτέρῳ—τῷ ἐκ νεκρῶν ἐγερθέντι—ἵνα καρποφορήσωμεν τῷ Θεῷ. **5** Ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκί, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ. **6** Νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου, ἀποθανόντες ἐν ᾧ κατειχόμεθα,[3] ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι Πνεύματος καὶ οὐ παλαιότητι γράμματος.

Law and sin

7 Τί οὖν ἐροῦμεν;[4] Ὁ νόμος ἁμαρτία; Μὴ γένοιτο· ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ διὰ νόμου· τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν εἰ μὴ ὁ νόμος ἔλεγεν, «Οὐκ ἐπιθυμήσεις.» **8** Ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς, κατειργάσατο[5] ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν.

Χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά. **9** Ἐγὼ δὲ ἔζων, χωρὶς νόμου, ποτέ· ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν,[6] ἐγὼ δὲ ἀπέθανον. **10** Καί, εὑρέθη μοι ἡ ἐντολὴ ἡ[7] εἰς ζωήν, αὕτη εἰς θάνατον. **11** Ἡ γὰρ ἁμαρτία, ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς, ἐξηπάτησέν με, καὶ δι᾽[8] αὐτῆς ἀπέκτεινεν. **12** Ὥστε, ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή.

Indwelling sin

13 Τὸ οὖν ἀγαθὸν ἐμοὶ γέγονεν[9] θάνατος; Μὴ γένοιτο· ἀλλὰ[10] ἡ ἁμαρτία, ἵνα φανῇ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον, ἵνα γένηται καθ᾽ ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς. **14** Οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν, ἐγὼ δὲ σαρκικός[11] εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν **15** —ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω τοῦτο πράσσω,[12] ἀλλ᾽ ὃ μισῶ τοῦτο ποιῶ.[13] **16** Εἰ δὲ ὃ οὐ θέλω τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός. **17** Νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό,[14] ἀλλ᾽[15] ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. **18** Οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τοῦτ᾽ ἔστιν, ἐν τῇ σαρκί μου, ἀγαθόν· τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὐχ εὑρίσκω.[16] **19** Οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν· ἀλλ᾽[17] ὃ οὐ θέλω κακὸν τοῦτο πράσσω. **20** Εἰ δὲ ὃ οὐ θέλω ἐγὼ[18] τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ᾽[19] ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. **21** Εὑρίσκω ἄρα τὸν νόμον, τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλόν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται. **22** Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον, **23** βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσίν μου, ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου καὶ αἰχμαλωτίζοντά με[20] τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσίν μου.

---

[1] χρηματισει *rell* ¦ χρηματιζει [15%] ¦ χρηματησει [8%] ¦ three further spellings
[2] υμας **f**^{35} ℵA,B,C [86%] OC,RP,HF,TR,NU ¦ 1 ανδρι [14%] CP
[3] κατειχομεθα *rell* ¦ κατηχομεθα [15%]
[4] ερουμεν **f**^{35} ℵA,B,C [91%] OC,RP,HF,TR,NU ¦ 1 οτι [9%] CP
[5] κατειργασατο *rell* ¦ κατηργασατο B [20%]
[6] ανεζησεν *rell* ¦ εζησεν CP
[7] η *rell* ¦ --- [25%]
[8] δι *rell* ¦ δια OC
[9] γεγονεν **f**^{35} [97%] OC,RP,HF,TR,CP ¦ εγενετο ℵA,B,C [3%] NU
[10] αλλα *rell* ¦ αλλ **f**^{35pt} C [30%]
[11] σαρκικος **f**^{35} [85%] OC,RP,HF,TR,CP ¦ σαρκινος ℵA,B,C [15%] NU [In the context, ‘fleshly’ (not ‘physical’) is correct.]
[12] πρασσω *rell* ¦ ποιω [13%]
[13] ποιω *rell* ¦ πρασσω [13%]
[14] αυτο *rell* ¦ αυτω [15%]
[15] αλλ *rell* ¦ αλλα B [1%] NU
[16] ουχ ευρισκω **f**^{35} (93.6%) OC,RP,HF,TR,CP ¦ ου γινωσκω (2.5%) ¦ ου ℵA,B,C (2.3%) NU ¦ long omissions (1.5%)
[17] αλλ *rell* ¦ αλλα ℵB [1%] NU
[18] εγω **f**^{35} ℵA [91%] OC,RP,HF,TR,CP[NU] ¦ --- B,C [9%]
[19] αλλ *rell* ¦ αλλα ℵB [1%] NU
[20] με **f**^{35} (A)C [72%] RP,TR ¦ 1 εν ℵB [28%] OC,HF,CP,NU [OC is in small print]

24 Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;
25 Εὐχαριστῶ[1] τῷ Θεῷ—διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἄρα οὖν, αὐτὸς ἐγὼ τῷ μὲν νοῒ
δουλεύω νόμῳ Θεοῦ, τῇ δὲ σαρκί, νόμῳ ἁμαρτίας.

Deliverance

8:1 Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ μὴ κατὰ σάρκα περιπατοῦσιν ἀλλὰ
κατὰ Πνεῦμα,[2] **2** ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέν με[3] ἀπὸ
τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου. **3** Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς
σαρκός, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας·
κατέκρινεν τὴν ἁμαρτίαν ἐν τῇ σαρκί, **4** ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ
σάρκα περιπατοῦσιν ἀλλὰ κατὰ Πνεῦμα.

Spirit vs flesh

5 Οἱ γὰρ κατὰ σάρκα ὄντες τὰ τῆς σαρκὸς φρονοῦσιν, οἱ δὲ κατὰ Πνεῦμα τὰ τοῦ Πνεύματος.
6 Τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος, τὸ δὲ φρόνημα τοῦ Πνεύματος ζωὴ καὶ εἰρήνη· **7** διότι
τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν, τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ
δύναται. **8** Οἱ δὲ ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύνανται. **9** Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ'[4] ἐν
Πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. Εἰ δέ τις Πνεῦμα Χριστοῦ[5] οὐκ ἔχει, οὗτος οὐκ ἔστιν
αὐτοῦ. **10** Εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν δι'[6] ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ
δικαιοσύνην. **11** Εἰ δὲ τὸ Πνεῦμα τοῦ ἐγείραντος[7] Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν
Χριστὸν[8] ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τὸ ἐνοικοῦν αὐτοῦ Πνεῦμα[9] ἐν
ὑμῖν.

Sonship

12 Ἄρα οὖν, ἀδελφοί, ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκί, τοῦ κατὰ σάρκα ζῆν· **13** εἰ γὰρ κατὰ
σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν· εἰ δὲ Πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε.
14 Ὅσοι γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ[10] **15**—οὐ γὰρ ἐλάβετε πνεῦμα
δουλείας πάλιν εἰς φόβον, ἀλλ'[11] ἐλάβετε Πνεῦμα υἱοθεσίας ἐν ᾧ κράζομεν, «Ἀββᾶ, ὁ Πατήρ.»
16 Αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν ὅτι ἐσμὲν τέκνα Θεοῦ **17**—εἰ δὲ τέκνα, καὶ
κληρονόμοι· κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ (εἴπερ συμπάσχομεν ἵνα καὶ
συνδοξασθῶμεν).

Redemption of the body

18 Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν
ἀποκαλυφθῆναι εἰς ἡμᾶς. **19** Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ
Θεοῦ ἀπεκδέχεται· **20** τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα,
ἐπ'[12] ἐλπίδι **21** ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν
ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. **22** Οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ

---

[1] ευχαριστω **f**[35] ℵA [97%] OC,RP,HF,TR,CP ¦ χαρις δε [2%] NU ¦ χαρις B ¦ η χαρις [1%]
[2] μη κατα σαρκα περιπατουσιν αλλα κατα πνευμα **f**[35] (94%) OC,RP,HF,TR,CP ¦ variations on the long form (0.8%) ¦ 1234 A (2.5%) ¦ --- ℵB (2.3%) NU ¦ two other readings (0.3%)
[3] με **f**[35] A,C [98%] OC,RP,HF,TR,CP ¦ σε ℵB [1%] NU ¦ three other variants [1%]
[4] αλλ *rell* ¦ αλλα ℵB [1%] NU
[5] χριστου *rell* ¦ θεου [18%]
[6] δι **f**[35] ℵ [81%] OC,TR ¦ δια A,B,C [17%] RP,HF,CP,NU ¦ δια την [2%]
[7] εγειραντος **f**[35] C [95%] OC,RP,HF,TR,CP ¦ 1 τον ℵA,B [5%] NU
[8] τον χριστον **f**[35] (86.2%) OC,RP,HF,TR,CP ¦ 1 κυριον (3.4%) ¦ 2 B (2.2%) NU ¦ 2 ιησουν (ℵA) (2.5%) ¦ ιησουν 2 (C) (1.7%) ¦ αυτον (0.8%) ¦ four other variants (0.7%) ¦ long omissions (2.5%)
[9] το ενοικουν … πνευμα **f**[35] B (81.7%) OC,RP,HF,TR(CP) ¦ του ενοικουντος … πνευματος ℵA,C (17.6%) NU ¦ two other variants (0.7%)
[10] εισιν υιοι θεου **f**[35] [98%] OC,RP,HF,TR,CP ¦ ~ 231 ℵA,C [1.5%] NU ¦ ~ 213 B [0.5%]
[11] αλλ *rell* ¦ αλλα ℵA,B,C [1%] NU
[12] επ **f**[35] 𝔓[27]A,C [99%] OC,RP,HF,TR,CP ¦ εφ 𝔓[46]ℵB [1%] NU

συνωδίνει ἄχρι τοῦ νῦν. **23** Οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτοὶ[1] τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ[2] ἐν ἑαυτοῖς στενάζομεν,[3] υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν. **24** Τῇ γὰρ ἐλπίδι ἐσώθημεν, ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς—ὃ γὰρ βλέπει τις, τί καὶ[4] ἐλπίζει; **25** Εἰ δὲ ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι᾽ ὑπομονῆς ἀπεκδεχόμεθα.

26 Ὡσαύτως δὲ καὶ τὸ Πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις[5] ἡμῶν, τὸ γὰρ τί προσευξόμεθα[6] καθὸ δεῖ οὐκ οἴδαμεν. Ἀλλ᾽[7] αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν[8] στεναγμοῖς ἀλαλήτοις, **27** ὁ δὲ ἐρευνῶν[9] τὰς καρδίας οἶδεν τί τὸ φρόνημα τοῦ Πνεύματος, ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων.

Glory

28 Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσιν τὸν Θεὸν πάντα συνεργεῖ εἰς[10] ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν. **29** Ὅτι οὓς προέγνω καὶ προώρισεν συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· **30** οὓς δὲ προώρισεν, τούτους καὶ ἐκάλεσεν· καὶ οὓς ἐκάλεσεν, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσεν, τούτους καὶ ἐδόξασεν.

Summary to this point

31 Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ᾽ ἡμῶν; **32** Ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ᾽[11] ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; **33** Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν. **34** Τίς ὁ κατακρίνων; Χριστὸς[12] ὁ ἀποθανών, μᾶλλον δὲ καὶ[13] ἐγερθείς, ὃς καί[14] ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν.

35 Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα; **36** (Καθὼς γέγραπται ὅτι «Ἕνεκά[15] σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.») **37** Ἀλλ᾽ ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. **38** Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωή, οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα οὔτε μέλλοντα,[16] **39** οὔτε ὕψωμα οὔτε βάθος οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Israel

9:1 Ἀλήθειαν λέγω ἐν Χριστῷ—οὐ ψεύδομαι· συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν Πνεύματι Ἁγίῳ—**2** ὅτι λύπη μοί ἐστιν μεγάλη καὶ ἀδιάλειπτος[17] ὀδύνη τῇ καρδίᾳ μου. **3** Εὐχόμην[18]

---

[1] αυτοι *rell* ¦ 1 οι [10%]

[2] και ημεις αυτοι **f**[35] (90%) OC,RP,HF,TR,CP ¦ ~ 213 **𝔓**[46]**א**A,C (3%) NU ¦ ~ 132 (1.3%) ¦ 13 B (2.3%) ¦ 12 (2.5%) ¦ 23 (0.3%) ¦ 3 (0.5%)

[3] στεναζομεν *rell* ¦ συστεναζομεν [1%] CP

[4] τι και **f**[35] A,C [97%] OC,RP,HF,TR,CP ¦ 2 (**א**) [0.5%] ¦ --- **𝔓**[46]B,NU ¦ 1 [2%]

[5] αις ασθενειαις **f**[35] (93.5%) OC,RP,HF,TR,CP ¦ τη ασθενεια **א**A,B,C (5.2%) NU ¦ της 2 (0.8%) ¦ two other variants (0.5%)

[6] προσευξομεθα **f**[35] [97%] OC,RP,HF,CP ¦ προσευξωμεθα **א**A,B,C [3%] TR,NU

[7] αλλ *rell* ¦ αλλα **א** [25%] NU

[8] υπερ ημων **f**[35] C [98%] OC,RP,HF,TR ¦ --- **א**A,B [2%] NU ¦ 1 υμων CP

[9] ερευνων **f**[35] A(C) [99%] OC,RP,HF,TR,CP ¦ εραυνων **𝔓**[46]**א**B [1%] NU

[10] εις **f**[35] **א**A,B,C [73%] OC,RP,HF,TR,NU ¦ 1 το [27%] CP

[11] αλλ *rell* ¦ αλλα **𝔓**[46]**א**B [1%] NU

[12] χριστος **f**[35] B [96%] OC,RP,HF,TR,CP ¦ 1 ιησους **א**A,C [4%] [NU]

[13] και **f**[35] **𝔓**[46] (87.8%) OC,RP,HF,TR,CP ¦ --- **𝔓**[27](**א**A)B(C) (12.2%) NU

[14] και *rell* ¦ --- **א**A,C [25%]

[15] ενεκα **f**[35] C [70%] OC,TR ¦ ενεκεν **א**A,B [30%] RP,HF,CP,NU

[16] δυναμεις ουτε ενεστωτα ουτε μελλοντα **f**[35] [95%] OC,RP,HF,TR,CP ¦ ~ 34521 (δυναμις **𝔓**[46]) (**𝔓**[46])**א**A,B,C [3%] NU ¦ 123 [2%]

[17] αδιαλειπτος *rell* ¦ αδιαληπτος [15%] ¦ three further spellings **𝔓**[46]

[18] ευχομην **f**[35] [78%] RP,HF,CP ¦ ηυχομην **f**[35pt] **𝔓**[46]**א**A,B,C [22%] OC,TR,NU (We are looking at alternate forms, or alternate spellings, of the imperfect of ευχομαι; they are two ways of saying the same thing. Either choice affects neither the meaning nor a translation.)

γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι[1] ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα, **4** οἵτινές εἰσιν Ἰσραηλῖται· ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ αἱ διαθῆκαι καὶ ἡ νομοθεσία καὶ ἡ λατρεία καὶ αἱ ἐπαγγελίαι· **5** ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστός (τὸ κατὰ σάρκα), ὁ ὢν ἐπὶ πάντων, Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

Children of promise

6 Οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ. Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ· **7** οὐδ᾽ ὅτι εἰσὶν σπέρμα Ἀβραάμ, πάντες τέκνα· ἀλλ᾽, «Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα.» **8** Τοῦτ᾽ ἔστιν, οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα τοῦ Θεοῦ, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. **9** Ἐπαγγελίας γὰρ ὁ λόγος οὗτος· «Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός.»

10 Οὐ μόνον δέ, ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα, Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν **11** (μήπω γὰρ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακόν,[2] ἵνα ἡ κατ᾽ ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ[3] μένῃ, οὐκ ἐξ ἔργων ἀλλ᾽ ἐκ τοῦ καλοῦντος), **12** ἐρρέθη[4] αὐτῇ ὅτι «Ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι.» **13** Καθὼς γέγραπται· «Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ[5] ἐμίσησα.»

It is pointless to fight God's Sovereignty!

14 Τί οὖν ἐροῦμεν, μὴ ἀδικία παρὰ τῷ Θεῷ; Μὴ γένοιτο. **15** Τῷ γὰρ Μωϋσῇ[6,7] λέγει· «Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω[8] ὃν ἂν οἰκτείρω.»[9] **16** Ἄρα οὖν, οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος[10] Θεοῦ. **17** Λέγει γὰρ ἡ Γραφὴ τῷ Φαραὼ ὅτι «Εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι[11] ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ[12] τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ.» **18** Ἄρα οὖν, ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει.

19 Ἐρεῖς οὖν μοι,[13] «Τί[14] ἔτι μέμφεται; Τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν;» **20** Μενοῦνγε, ὦ ἄνθρωπε,[15] σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, «Τί με ἐποίησας οὕτως;» **21** Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;

22 Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, **23** καὶ ἵνα γνωρίσῃ[16] τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν, **24** οὓς καὶ ἐκάλεσεν ἡμᾶς, οὐ μόνον ἐξ Ἰουδαίων ἀλλὰ καὶ ἐξ ἐθνῶν; **25** Ὡς καὶ ἐν τῷ Ὡσηὲ[17] λέγει· «Καλέσω τὸν οὐ ‹λαόν μου› λαόν μου, καὶ τὴν οὐκ ἠγαπημένην ‹ἠγαπημένην.› » **26** «Καὶ ἔσται ἐν τῷ τόπῳ οὗ ἐρρέθη[18] αὐτοῖς, ‹Οὐ λαός μου ὑμεῖς,› ἐκεῖ κληθήσονται υἱοὶ Θεοῦ ζῶντος.» **27** Ἡσαΐας[19] δὲ κράζει ὑπὲρ

---

[1] αυτος εγω αναθεμα ειναι **f**[35] C [98%] OC,RP,HF,TR,CP ¦ ~ 3412 **𝔓**[46]A,B [2%] NU ¦ ~ 4312 **א**

[2] κακον **f**[35] **𝔓**[46] [97%] OC,RP,HF,TR,CP ¦ φαυλον **א**A,B [3%] NU

[3] προθεσις του θεου **f**[35] **𝔓**[46]**א**A,B [98%] RP,HF,CP,NU ¦ ~ 231 [2%] OC,TR

[4] ερρεθη **f**[35] **𝔓**[46]**א**A,B [55%] OC,HF,CP,NU ¦ ερρηθη [45%] RP,TR (Alternate spellings = same meaning.)

[5] ήσαυ **f**[35] [25%] ¦ ἠσαυ [75%] OC,RP,HF,TR,CP,NU (**א**A,B,C are presumably ambiguous.)

[6] γαρ μωυση **f**[35] A [98%] OC,RP,HF,TR,CP ¦ ~ 21 **𝔓**[46]**א**B [2%] NU

[7] μωυση **f**[35] [81%] OC,RP,HF ¦ μωυσει **𝔓**[46]**א** [16%] CP,NU ¦ μωση A,B [1%] TR ¦ μωσει [2%]

[8] οικτειρησω *rell* ¦ οικτιρησω **א** [1%] NU ¦ three further spellings [2%]

[9] οικτειρω *rell* ¦ οικτιρω **א**,NU ¦ two further spellings [1%]

[10] ελεουντος **f**[35] [96%] OC,RP,HF,TR,CP ¦ ελεωντος **𝔓**[46]**א**A,B [2%] NU ¦ three other variants [2%]

[11] ενδειξωμαι *rell* ¦ ενδειξομαι [10%]

[12] διαγγελη *rell* ¦ διαγγελει [15%] ¦ three further spellings

[13] ουν μοι **f**[35] [91%] OC,RP,HF,TR,CP ¦ ~ 21 **𝔓**[46]**א**A,B [9%] NU

[14] τι **f**[35] **א**A [99%] OC,RP,HF,TR,CP ¦ 1 ουν **𝔓**[46]B [1%] [NU]

[15] μενουνγε ω ανθρωπε **f**[35] [98%] OC,RP,HF,TR,CP ¦ ~ 231 **א**A [1%] NU ¦ 23 **𝔓**[46] [1%] ¦ ~ 23 μενουν B

[16] γνωριση *rell* ¦ γνωρισει [14%] ¦ four further spellings

[17] ὡσηε **f**[35] [89%] TR ¦ ώσηε [5%] OC,RP,HF,CP,NU ¦ ωσιε [6%]

[18] ερρεθη **f**[35] [47%] OC,HF,CP,NU ¦ ερρηθη **א**A,B,C [50%] RP,TR ¦ ερηθη [3%]

[19] ήσαιας **f**[35] [95%] OC,TR,CP ¦ ἠσαιας [5%] RP,HF,NU (This statement obtains for all subsequent occurrences of the name.)

τοῦ Ἰσραήλ· «Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα[1] σωθήσεται· **28** λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ· ὅτι λόγον συντετμημένον[2] ποιήσει Κύριος ἐπὶ τῆς γῆς.» **29** Καὶ[3] καθὼς προείρηκεν Ἡσαΐας· «Εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν[4] ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν.»[5]

Their present condition

30 Τί οὖν ἐροῦμεν; Ὅτι ἔθνη, τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβεν δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως· **31** Ἰσραὴλ δέ, διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης[6] οὐκ ἔφθασεν. **32** Διὰ τί; Ὅτι οὐκ ἐκ πίστεως, ἀλλ᾽ ὡς ἐξ ἔργων νόμου.[7] Προσέκοψαν γὰρ[8] τῷ λίθῳ τοῦ προσκόμματος· **33** καθὼς γέγραπται· «Ἰδοὺ[9] τίθημι ἐν Σιὼν λίθον προσκόμματος καὶ πέτραν σκανδάλου, καὶ πᾶς[10] ὁ πιστεύων ἐπ᾽ αὐτῷ οὐ καταισχυνθήσεται.»

Israel needs salvation

10:1 Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας καὶ ἡ δέησις ἡ[11] πρὸς τὸν Θεὸν ὑπὲρ τοῦ Ἰσραήλ ἐστιν[12] εἰς σωτηρίαν. **2** Μαρτυρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ᾽ οὐ κατ᾽ ἐπίγνωσιν. **3** Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην[13] ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν.

How to be saved

4 Τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι **5**—Μωσῆς[14] γὰρ γράφει τὴν δικαιοσύνην τὴν ἐκ τοῦ[15] νόμου, ὅτι «Ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς.» **6** Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτως λέγει· «Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, ‹Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν;› » (τοῦτ᾽ ἔστιν, Χριστὸν καταγαγεῖν) **7** «ἢ, ‹Τίς καταβήσεται εἰς τὴν ἄβυσσον;› » (τοῦτ᾽ ἔστιν, Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν). **8** Ἀλλὰ τί λέγει; «Ἐγγύς σου τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου» (τοῦτ᾽ ἔστιν, τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν)· **9** ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου, «Κύριον Ἰησοῦν,» καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν[16] ἐκ νεκρῶν, σωθήσῃ. **10** Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. **11** Λέγει γὰρ ἡ Γραφή·[17] «Πᾶς ὁ πιστεύων ἐπ᾽ αὐτῷ οὐ καταισχυνθήσεται»· **12** οὐ γὰρ ἐστιν διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος, ὁ γὰρ αὐτὸς Κύριος πάντων πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν· **13** «Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται.»

The message is necessary

14 Πῶς οὖν ἐπικαλέσονται[18] εἰς ὃν οὐκ ἐπίστευσαν; Πῶς δὲ πιστεύσουσιν[19] οὗ οὐκ ἤκουσαν;

---

[1] καταλειμμα **f**[35] (**𝔓**[46]) (98%) OC,RP,HF,TR,CP ¦ υπολειμμα (**א**)A(B) (1%) NU ¦ εγκαταλειμμα (1%)
[2] εν δικαιοσυνη οτι λογον συντετμημενον **f**[35] (95.6%) OC,RP,HF,TR,CP ¦ --- **𝔓**[46]**א**A,B (2.7%) NU ¦ three other variants (1.7%)
[3] και *rell* ¦ --- [1%] CP
[4] εγκατελιπεν *rell* ¦ εγκατελειπεν (**𝔓**[46])A [14%] ¦ one other variant
[5] ωμοιωθημεν *rell* ¦ ομοιωθημεν **𝔓**[46]A [14%]
[6] δικαιοσυνης **f**[35] [95%] OC,RP,HF,TR,CP ¦ --- **א**A,B [5%] NU
[7] νομου **f**[35] [98%] OC,RP,HF,TR,CP ¦ --- **א**A,B [2%] NU
[8] γαρ **f**[35] [98%] OC,RP,HF,TR,CP ¦ --- **𝔓**[46]**א**A,B [2%] NU
[9] ιδου *rell* ¦ 1 εγω CP
[10] πας **f**[35] [98%] OC,RP,HF,TR,CP ¦ --- **א**A,B [2%] NU
[11] η **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ --- **𝔓**[46]**א**A,B [3%] NU
[12] του ισραηλ εστιν **f**[35] [95%] OC,RP,HF,TR(CP) ¦ αυτων **𝔓**[46]**א**A,B [3%] NU ¦ αυτων 3 [2%]
[13] δικαιοσυνην **f**[35] **𝔓**[46]**א** (95.3%) OC,RP,HF,TR,CP[NU] ¦ --- A,B (3.7%) ¦ long omissions (1%)
[14] μωσης **f**[35] A [30%] TR ¦ μωυσης **𝔓**[46]**א**B [70%] OC,RP,HF,CP,NU
[15] του **f**[35] **𝔓**[46] [99%] OC,RP,HF,TR,CP[NU] ¦ --- **א**A,B [1%]
[16] αυτον ηγειρεν *rell* ¦ ~ 21 [14%]
[17] γραφη **f**[35] **א**A,B [99%] OC,RP,HF,TR,NU ¦ 1 οτι [1%] CP
[18] επικαλεσονται **f**[35] **𝔓**[46] [98%] OC,RP,HF,TR,CP ¦ επικαλεσωνται **א**A,B [2%] NU
[19] πιστευσουσιν **f**[35] A [88%] OC,RP,HF,TR,CP ¦ πιστευσωσιν **𝔓**[46]**א**B [7%] NU ¦ πιστευουσιν [5%]

Πῶς δὲ ἀκούσουσιν[1] χωρὶς κηρύσσοντος; **15** Πῶς δὲ κηρύξουσιν[2] ἐὰν μὴ ἀποσταλῶσιν; Καθὼς γέγραπται· «Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην,[3] τῶν εὐαγγελιζομένων τὰ[4] ἀγαθά.» **16** (Ἀλλ᾽ οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ· Ἡσαΐας γὰρ λέγει· «Κύριε, τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν;») **17** Ἄρα[5] ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ.[6]

A rebellious people

18 Ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν; Μενοῦνγε· «Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.» **19** Ἀλλὰ λέγω, μὴ οὐκ ἔγνω Ἰσραήλ;[7] Πρῶτος Μωσῆς[8] λέγει· «Ἐγὼ παραζηλώσω[9] ὑμᾶς ἐπ᾽ οὐκ ἔθνει,[10] ἐπὶ[11] ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς.» **20** Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει· «Εὑρέθην[12] τοῖς ἐμὲ μὴ[13] ζητοῦσιν· ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν.» **21** Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει· «Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα.»

The remnant

11:1 Λέγω οὖν, μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; Μὴ γένοιτο. Καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί, ἐκ σπέρματος Ἀβραάμ, φυλῆς Βενιαμίν.[14] **2** Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω. Ἢ οὐκ οἴδατε ἐν Ἠλίᾳ[15] τί λέγει ἡ Γραφή, ὡς ἐντυγχάνει τῷ Θεῷ κατὰ τοῦ Ἰσραὴλ λέγων·[16] **3** «Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν καὶ[17] τὰ θυσιαστήριά σου κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσιν τὴν ψυχήν μου.» **4** Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; «Κατέλιπον[18] ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ.» **5** Οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ, λεῖμμα κατ᾽ ἐκλογὴν χάριτος γέγονεν. **6** Εἰ δὲ χάριτι, οὐκέτι ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκέτι γίνεται χάρις. Εἰ δὲ ἐξ ἔργων, οὐκέτι ἐστὶν χάρις· ἐπεὶ τὸ ἔργον οὐκέτι ἐστὶν ἔργον.[19]

7 Τί οὖν; Ὃ ἐπιζητεῖ Ἰσραήλ, τούτου[20] οὐκ ἐπέτυχεν· ἡ δὲ ἐκλογὴ ἐπέτυχεν, οἱ δὲ λοιποὶ ἐπωρώθησαν. **8** Καθὼς γέγραπται· «Ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν καὶ ὦτα τοῦ μὴ ἀκούειν, ἕως τῆς σήμερον ἡμέρας.» **9** Καὶ Δαυὶδ λέγει· «Γενηθήτω ἡ τράπεζα αὐτῶν εἰς παγίδα καὶ εἰς θήραν, καὶ εἰς σκάνδαλον καὶ εἰς ἀνταπόδομα αὐτοῖς. **10** Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον.»[21]

The restoration

11 Λέγω οὖν, μὴ ἔπταισαν ἵνα πέσωσιν; Μὴ γένοιτο· ἀλλά, τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία[22] τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς. **12** Εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου,

---

[1] ακουσουσιν **f**[35] [75%] OC,RP,HF,TR,CP ¦ ακουσωσιν A,B [20%] NU ¦ ακουσονται **א** [5%] ¦ ακουσωνται **𝔓**[46]

[2] κηρυξουσιν **f**[35] [83%] OC,RP,HF,TR,CP ¦ κηρυξωσιν **𝔓**[46]**א**A,B [17%] NU

[3] των ευαγγελιζομενων ειρηνην **f**[35] (89.5%) OC,RP,HF,TR,CP ¦ --- **𝔓**[46]**א**A,B,C (10.5%) NU [easy homoioteleuton]

[4] τα **f**[35] **𝔓**[46]**א** [96%] OC,RP,HF,TR,CP[NU] ¦ --- A,B,C [4%]

[5] αρα *rell* ¦ 1 ουν [10%]

[6] θεου **f**[35] A [98%] OC,RP,HF,TR,CP ¦ χριστου **𝔓**[46]**א**B,C [2%] NU

[7] ουκ εγνω ισραηλ **f**[35] [96%] OC,RP,HF,TR,CP ¦ ~ 312 **𝔓**[46]**א**A,B,C [4%] NU

[8] μωσης **f**[35] A [20%] TR ¦ μωυσης **𝔓**[46]**א**B,C [80%] OC,RP,HF,CP,NU

[9] παραζηλωσω *rell* ¦ παραζηλω [3%] CP

[10] εθνει *rell* ¦ εθνη [18%] ¦ εθνι **א**

[11] επι **f**[35] [92%] OC,RP,HF,TR,CP ¦ επ **א**A,B,C [8%] NU

[12] ευρεθην **f**[35] **א**A,C [99%] OC,RP,HF,TR,CP ¦ 1 εν **𝔓**[46]B [1%] [NU]

[13] μη *rell* ¦ --- [10%]

[14] βενιαμιν *rell* ¦ βενιαμην [15%] βενιαμειν **𝔓**[46]**א**A,C [2%]

[15] ηλια **f**[35] [80%] OC,RP,HF,CP,NU ¦ ηλια [20%] TR

[16] λεγων **f**[35] **א** [97%] OC,RP,HF,TR,CP ¦ --- A,B,C [3%] NU

[17] και **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ --- **א**A,B,C [3%] NU

[18] κατελιπον **f**[35] **א**B [86%] OC,RP,HF,TR,CP,NU ¦ κατελειπον **𝔓**[46]A,C [14%]

[19] ει δε εξ εργων ουκετι εστιν χαρις επει το εργον ουκετι εστιν εργον **f**[35] (91.4%) OC,RP,HF,TR,CP ¦ 1-5,7-12, 7 B (0.7%) ¦ 1-7 (1%) ¦ 8-13 (2.5%) ¦ 1-6,13 (0.5%) ¦ --- **𝔓**[46]**א**A,C (3.5%) NU ¦ one other variant (0.3%)

[20] τουτου **f**[35] [32%] TR ¦ τουτο (**𝔓**[46])**א**A,B,C [68%] OC,RP,HF,CP,NU (The verb normally takes the genitive.)

[21] συγκαμψον *rell* ¦ συγκαψον [20%] CP ¦ συνκαμψον **𝔓**[46]**א**B [2%]

[22] σωτηρια *rell* ¦ σοτηρια CP

καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν;

13 Ὑμῖν γὰρ[1] λέγω τοῖς ἔθνεσιν (ἐφ᾽ ὅσον[2] μέν[3] εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω), **14** εἴ πως[4] παραζηλώσω μου τὴν σάρκα καὶ σώσω τινὰς ἐξ αὐτῶν. **15** Εἰ[5] γὰρ ἡ ἀποβολὴ αὐτῶν καταλλαγὴ κόσμου, τίς ἡ πρόσληψις[6] εἰ μὴ ζωὴ ἐκ νεκρῶν; **16** Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ εἰ[7] ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι.

Grafted olive branches

17 Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν, σὺ δέ, ἀγριέλαιος ὤν, ἐνεκεντρίσθης ἐν αὐτοῖς, καὶ συγκοινωνὸς τῆς ῥίζης καὶ[8] τῆς πιότητος τῆς ἐλαίας ἐγένου, **18** μὴ κατακαυχῶ τῶν κλάδων (εἰ δὲ κατακαυχᾶσαι—οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ᾽[9] ἡ ῥίζα σέ). **19** Ἐρεῖς οὖν, «Ἐξεκλάσθησαν[10] κλάδοι ἵνα ἐγὼ ἐγκεντρισθῶ.»[11] **20** Καλῶς. Τῇ ἀπιστίᾳ[12] ἐξεκλάσθησαν, σὺ δὲ τῇ πίστει ἕστηκας. Μὴ ὑψηλοφρόνει,[13] ἀλλὰ φοβοῦ. **21** Εἰ γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μή πως[14] οὐδὲ σοῦ φείσεται.[15] **22** Ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ· ἐπὶ μὲν τοὺς πεσόντας, ἀποτομίαν·[16] ἐπὶ δὲ σέ, χρηστότητα,[17] ἐὰν ἐπιμείνῃς[18] τῇ χρηστότητι· ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ. **23** Καὶ ἐκεῖνοι[19] δέ, ἐὰν μὴ ἐπιμείνωσιν[20] τῇ ἀπιστίᾳ,[21] ἐγκεντρισθήσονται, δυνατὸς γὰρ ὁ Θεός ἐστιν[22] πάλιν ἐγκεντρίσαι αὐτούς. **24** Εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου, καὶ παρὰ φύσιν ἐνεκεν-τρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι, οἱ κατὰ φύσιν, ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ;

Hardening

25 Οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, τὸ μυστήριον τοῦτο (ἵνα μὴ ἦτε παρ᾽[23] ἑαυτοῖς φρόνιμοι)·[24] ὅτι πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ. **26** Καὶ οὕτως πᾶς Ἰσραὴλ σωθήσεται, καθὼς γέγραπται· «Ἥξει ἐκ Σιὼν ὁ Ῥυόμενος, καὶ[25] ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ· **27** καὶ αὕτη αὐτοῖς ἡ παρ᾽ ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν.»

28 Κατὰ μὲν τὸ εὐαγγέλιον, ἐχθροὶ δι᾽ ὑμᾶς· κατὰ δὲ τὴν ἐκλογήν, ἀγαπητοὶ διὰ τοὺς πατέρας. **29** Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ. **30** Ὥσπερ γὰρ καὶ[26] ὑμεῖς

---

[1] γαρ **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ δε ℵA,B [3%] NU ¦ ουν C
[2] Εφ᾽ όσον [70%] OC,RP,HF,TR,NU ¦ εφόσον **f**[35] [30%] CP (for the record; the scribes were just saving ink.)
[3] μεν **f**[35] [93%] OC,RP,HF,TR,CP ¦ 1 ουν **𝔓**[46]ℵA,B,C [2%] NU ¦ --- [5%]
[4] ει πως *rell* ¦ ειπω [3%] CP
[5] ει *rell* ¦ η [12%]
[6] προσληψις *rell* ¦ προσλημψις **𝔓**[46]ℵA,B [1%] NU ¦ προληψις C ¦ four further spellings
[7] ει *rell* ¦ --- **𝔓**[46] [10%]
[8] της ριζης και **f**[35] A [95%] OC,RP,HF,TR,CP ¦ 12 ℵB,C [4%] NU ¦ --- **𝔓**[46] [1%]
[9] αλλ *rell* ¦ αλλα ℵB [1%] NU
[10] εξεκλασθησαν **f**[35] **𝔓**[46]ℵA,B,C [87%] RP,HF,CP,NU ¦ 1 οι [13%] OC,TR [OC is in small print]
[11] εγκεντρισθω *rell* ¦ ενκεντρισθω **𝔓**[46]ℵA,B [12%]
[12] απιστια *rell* ¦ απιστεια A [14%]
[13] υψηλοφρονει **f**[35] C [99%] OC,RP,HF,TR,CP ¦ υψηλα φρονει **𝔓**[46]ℵA,B [1%] NU
[14] μη πως **f**[35] **𝔓**[46] [98%] OC,RP,HF,TR,CP[NU] ¦ --- ℵA,B,C [2%]
[15] φεισεται **f**[35] **𝔓**[46](ℵ)A,B,C [95%] OC,RP,HF,CP,NU ¦ φεισηται [5%] TR
[16] αποτομιαν **f**[35] [98%] OC,RP,HF,TR,CP ¦ αποτομια **𝔓**[46]ℵA,B,C [2%] NU
[17] χρηστοτητα **f**[35] [98%] OC,RP,HF,TR,CP ¦ χρηστοτης θεου **𝔓**[46](ℵ)A,B,C [2%] NU
[18] επιμεινης **f**[35] A,C [96%] OC,RP,HF,TR,CP ¦ επιμενης ℵB [3%] NU ¦ επιμινης C ¦ two other spellings [1%]
[19] και εκεινοι **f**[35] [87%] OC,RP,HF,TR,CP ¦ κακεινοι ℵA,B,C [13%] NU
[20] επιμεινωσιν **f**[35] C [97%] OC,RP,HF,TR,CP ¦ επιμενωσιν ℵB [2%] NU ¦ επιμινωσιν A ¦ two other spellings [1%]
[21] απιστια *rell* ¦ απιστεια A [10%]
[22] ο θεος εστιν **f**[35] [65%] OC,RP,CP ¦ ~ 312 ℵA,B,C [35%] HF,TR,NU
[23] παρ **f**[35] ℵC [98%] OC,RP,HF,TR,CP[NU] ¦ εν A,B [0.5%] ¦ --- **𝔓**[46] [1.5%]
[24] φρονιμοι *rell* ¦ φρονημοι [18%]
[25] και **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ --- **𝔓**[46]ℵA,B,C [3%] NU
[26] και **f**[35] [94%] OC,RP,HF,TR,CP ¦ --- **𝔓**[46]A,B,C [6%] NU ¦ omit whole verse ℵ

ποτε[1] ἠπειθήσατε τῷ Θεῷ, νῦν δὲ ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ,[2] **31** οὕτως καὶ οὗτοι νῦν ἠπείθησαν τῷ ὑμετέρῳ ἐλέει ἵνα καὶ αὐτοὶ[3] ἐλεηθῶσιν. **32** Συνέκλεισεν γὰρ ὁ Θεὸς τοὺς πάντας εἰς ἀπείθειαν ἵνα τοὺς πάντας ἐλεήσῃ.

Doxology

33 Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ. Ὡς ἀνεξερεύνητα[4] τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. **34** «Τίς γὰρ ἔγνω νοῦν Κυρίου; Ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;» **35** Ἢ «Τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ;» **36** Ὅτι ἐξ αὐτοῦ καὶ δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

The will of God

12:1 Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ—τὴν λογικὴν λατρείαν ὑμῶν. **2** Καὶ μὴ συσχηματίζεσθε[5] τῷ αἰῶνι τούτῳ· ἀλλά, μεταμορφοῦσθε[6] τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν[7] εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ, τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον.

Be sensible

3 Λέγω γάρ, διὰ τῆς χάριτος[8] τῆς δοθείσης[9] μοι, παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ᾽ ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισεν μέτρον πίστεως. **4** Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ[10] ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν, **5** οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ[11] δὲ καθ᾽ εἷς[12] ἀλλήλων μέλη. **6** Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν[13] ἡμῖν διάφορα· εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως· **7** εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ· εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ· **8** εἴτε ὁ παρακαλῶν, ἐν τῇ παρακλήσει· ὁ μεταδιδούς, ἐν ἁπλότητι· ὁ προϊστάμενος, ἐν σπουδῇ· ὁ ἐλεῶν, ἐν ἱλαρότητι.

Behave!

9 Ἡ ἀγάπη ἀνυπόκριτος· ἀποστυγοῦντες τὸ πονηρόν· κολλώμενοι τῷ ἀγαθῷ· **10** τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι· τῇ τιμῇ ἀλλήλους προηγούμενοι· **11** τῇ σπουδῇ μὴ ὀκνηροί· τῷ πνεύματι ζέοντες τῷ Κυρίῳ[14] δουλεύοντες· **12** τῇ ἐλπίδι χαίροντες· τῇ θλίψει ὑπομένοντες· τῇ προσευχῇ προσκαρτεροῦντες· **13** ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες· τὴν φιλοξενίαν διώκοντες.

14 Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς·[15] εὐλογεῖτε καὶ μὴ καταρᾶσθε. **15** Χαίρειν μετὰ χαιρόντων καὶ[16] κλαίειν μετὰ κλαιόντων. **16** Τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες—μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι· μὴ γίνεσθε φρόνιμοι παρ᾽ ἑαυτοῖς. **17** Μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες. Προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων. **18** Εἰ δυνατόν, τὸ ἐξ

---

[1] υμεις ποτε **f**[35] **𝔓**[46]א**B**,C [95%] OC,RP,HF,TR,NU ¦ ~ 21 A ¦ ~ 2 και 1 [5%] CP
[2] απειθεια *rell* ¦ απειθια B [8%] CP
[3] αυτοι **f**[35] **𝔓**[46]A [98%] OC,RP,HF,TR,CP ¦ 1 νυν א**B** [1%] [NU] ¦ 1 υστερον [1%]
[4] ανεξερευνητα **f**[35] [99%] OC,RP,HF,TR,CP ¦ ανεξεραυνητα א**A**,B [1%] NU
[5] συσχηματιζεσθε **f**[35] (**𝔓**[46]א**B**) [65%] HF,TR,NU ¦ συσχηματιζεσθαι A [35%] OC,RP,CP
[6] μεταμορφουσθε **f**[35] **𝔓**[46]B [65%] HF,TR,NU ¦ μεταμορφουσθαι א**A** [35%] OC,RP,CP
[7] υμων **f**[35] א [98%] OC,RP,HF,TR,CP ¦ --- **𝔓**[46]A,B [2%] NU υμων **f**[35] א [98%] OC,RP,HF,TR,CP ¦ --- **𝔓**[46]A,B [2%] NU
[8] χαριτος **f**[35] **𝔓**[46]א**A**,B,C [75%] OC,RP,HF,TR,CP,NU ¦ 1 του θεου [25%]
[9] δοθεισης *rell* ¦ δοθησης [13%] ¦ six further spellings א [5%]
[10] μελη πολλα **f**[35] A [97%] OC,RP,HF,TR,CP ¦ ~ 21 **𝔓**[46]א**B** [3%] NU
[11] ο **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ το **𝔓**[46]א**A**,B [3%] NU
[12] καθ᾽ εἰς [30%] OC,RP,HF,TR,NU ¦ καθεὶς **f**[35] [70%] CP (Since there is no ambiguity, they were just saving ink.)
[13] δοθεισαν *rell* ¦ δοθησαν [13%] ¦ two further spellings א [1%]
[14] κυριω *rell* ¦ καιρω [1%] TR
[15] υμας **f**[35] א**A** [97%] OC,RP,HF,TR,CP[NU] ¦ --- **𝔓**[46]B [3%]
[16] και **f**[35] A [97%] OC,RP,HF,TR,CP ¦ --- **𝔓**[46]א**B** [3%] NU

ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες.

19 Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί· ἀλλὰ δότε τόπον τῇ ὀργῇ· γέγραπται γάρ· «Ἐμοὶ ἐκδίκησις· ἐγὼ ἀνταποδώσω,» λέγει Κύριος. **20** «Ἐὰν οὖν[1] πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.» **21** Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

Submit

13:1 Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω, οὐ γάρ ἐστιν ἐξουσία εἰ μὴ ὑπὸ[2] Θεοῦ, αἱ δὲ οὖσαι ἐξουσίαι[3] ὑπὸ τοῦ[4] Θεοῦ τεταγμέναι εἰσίν. **2** Ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν, οἱ δὲ ἀνθεστηκότες ἑαυτοῖς κρῖμα λήψονται.[5] **3** Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶν φόβος τῶν ἀγαθῶν ἔργων ἀλλὰ τῶν κακῶν.[6] Θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν, τὸ ἀγαθὸν ποίει καὶ ἔξεις ἔπαινον ἐξ αὐτῆς· **4** Θεοῦ γὰρ διάκονός ἐστίν σοι εἰς τὸ ἀγαθόν. Ἐὰν δὲ τὸ κακὸν ποιῇς,[7] φοβοῦ, οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ· Θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν[8] τῷ τὸ κακὸν πράσσοντι. **5** Διὸ ἀνάγκη ὑποτάσσεσθαι,[9] οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν. **6** Διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε, λειτουργοὶ γὰρ Θεοῦ εἰσιν, εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες. **7** Ἀπόδοτε οὖν[10] πᾶσιν τὰς ὀφειλάς· τῷ τὸν φόρον τὸν φόρον, τῷ τὸ τέλος τὸ τέλος, τῷ τὸν φόβον τὸν φόβον, τῷ τὴν τιμὴν τὴν τιμήν.

Love

8 Μηδενὶ μηδὲν ὀφείλετε εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους,[11] ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον νόμον πεπλήρωκεν. **9** Τὸ γάρ—«Οὐ μοιχεύσεις,» «Οὐ φονεύσεις,» «Οὐ κλέψεις,» «Οὐ ψευδομαρτυρήσεις,»[12] «Οὐκ ἐπιθυμήσεις,» καὶ εἴ τις ἑτέρα ἐντολή—ἐν τούτῳ τῷ λόγῳ[13] ἀνακεφαλαιοῦται, ἐν τῷ·[14] «Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.»[15] **10** Ἡ ἀγάπη τῷ[16] πλησίον κακὸν οὐκ ἐργάζεται·[17] πλήρωμα οὖν νόμου ἡ ἀγάπη.

Put on Christ

11 Καὶ τοῦτο, εἰδότες τὸν καιρόν, ὅτι ὥρα ἡμᾶς ἤδη[18] ἐξ ὕπνου ἐγερθῆναι, νῦν γὰρ[19] ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν. **12** Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν· ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα[20] τὰ ὅπλα τοῦ φωτός. **13** Ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ. **14** Ἀλλ'[21] ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε,[22] εἰς ἐπιθυμίας.

---

[1] εαν ουν **f**[35] (87.4%) OC,RP,HF,TR,CP ¦ 1 **𝔓**[46] (6.2%) ¦ ~ αλλα 1 A,B (1%) NU ¦ ~ αλλ 1 **א** (5.1%) ¦ αλλ 12 (0.3%)

[2] υπο **f**[35] **א**A,B [87%] OC,RP,HF,CP,NU ¦ απο [13%] TR

[3] εξουσιαι **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ --- **א**A,B [3%] NU

[4] του **f**[35] [80%] OC,RP,HF,TR,CP ¦ --- **א**A,B [20%] NU [OC is in small print]

[5] ληψονται *rell* ¦ λημψονται **𝔓**[46]**א**A,B [2%] NU

[6] των αγαθων εργων αλλα των κακων **f**[35] (95.6%) OC,RP,HF,TR,CP ¦ τω αγαθω εργω 4 τω κακω **𝔓**[46]**א**A,B (3.5%) NU ¦ 123 (0.8%)

[7] ποιης *rell* ¦ ποιεις [30%]

[8] εκδικος εις οργην **f**[35] (**𝔓**[46])A,B [63%] RP,HF,TR,CP,NU ¦ ~ 231 **א** [37%] OC

[9] υποτασσεσθαι *rell* ¦ υποτασσεσθε [6%] ¦ υποτασεσθε **𝔓**[46],CP ¦ υποτασεσθαι [3%]

[10] ουν **f**[35] [98%] OC,RP,HF,TR,CP ¦ --- **𝔓**[46]**א**A,B [2%] NU

[11] αγαπαν αλληλους **f**[35] [96%] OC,RP,HF,TR,CP ¦ ~ 21 **𝔓**[46]**א**A,B [4%] NU

[12] ου ψευδομαρτυρησεις **f**[35] (**א**) [67%] TR ¦ --- **𝔓**[46]A,B [33%] OC,RP,HF,CP,NU

[13] τουτω τω λογω **f**[35] A [96%] OC,RP,HF,TR,CP ¦ ~ 231 **𝔓**[46]**א**B [4%] NU

[14] εν τω **f**[35] **א**A [99%] OC,RP,HF,TR,CP[NU] ¦ --- **𝔓**[46]B [1%]

[15] σεαυτον **f**[35] **𝔓**[46]**א**A,B [45%] OC,RP,HF,CP,NU ¦ εαυτον [55%] TR

[16] τω *rell* ¦ του [1%] CP ¦ το [7%]

[17] ουκ εργαζεται **f**[35] **𝔓**[46]**א**A,B,C [81%] OC,RP,HF,TR,NU ¦ ου κατεργαζεται [14%] CP ¦ 1 κατεργαζεται [5%]

[18] ημας ηδη **f**[35] [96%] OC,RP,HF,TR,CP ¦ ~ 2 υμας **א**(A)B,C [2%] NU ¦ ~ 21 **𝔓**[46] [2%]

[19] γαρ *rell* ¦ --- [5%] CP

[20] και ενδυσωμεθα **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ ~ 2 δε A,B,C [2%] [NU] ¦ 2 **א** [0.5%] ¦ ~ 2 ουν **𝔓**[46]

[21] αλλ *rell* ¦ αλλα **𝔓**[46]AB [1%] NU

[22] ποιεισθε *rell* ¦ ποιησθε [1%] CP ¦ ποιεισθαι **א**A [11%] ¦ ποιησθαι [1%]

The law of liberty

14:1 Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν.[1] **2** Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. **3** Ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω, καὶ ὁ μὴ[2] ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω, ὁ Θεὸς γὰρ αὐτὸν[3] προσελάβετο. **4** Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; Τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει. Σταθήσεται δέ, δυνατὸς γάρ ἐστιν[4] ὁ Θεὸς[5] στῆσαι αὐτόν.

5 Ὃς μὲν[6] κρίνει ἡμέραν παρ᾽ ἡμέραν· ὃς δὲ κρίνει πᾶσαν ἡμέραν. Ἕκαστος ἐν τῷ ἰδίῳ νοῒ πληροφορείσθω. **6** Ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ.[7] Καὶ[8] ὁ ἐσθίων, Κυρίῳ ἐσθίει, εὐχαριστεῖ γὰρ τῷ Θεῷ· καὶ ὁ μὴ ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ. **7** Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει. **8** Ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνήσκωμεν,[9] τῷ Κυρίῳ ἀποθνήσκομεν.[10] Ἐάν τε οὖν ζῶμεν ἐάν τε ἀποθνήσκωμεν,[11] τοῦ Κυρίου ἐσμέν. **9** Εἰς τοῦτο γὰρ Χριστὸς καὶ[12] ἀπέθανεν καὶ ἀνέστη,[13] καὶ ἔζησεν,[14] ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ.

The judgment Seat of Christ

10 Σὺ δέ, τί κρίνεις τὸν ἀδελφόν σου; Ἢ καὶ σύ, τί ἐξουθενεῖς τὸν ἀδελφόν σου; Πάντες γὰρ παραστησόμεθα τῷ Βήματι τοῦ Χριστοῦ.[15] **11** Γέγραπται γάρ· « ‹Ζῶ ἐγώ,› λέγει Κύριος, ‹ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ,[16] καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ Θεῷ.› » **12** Ἄρα οὖν,[17] ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ.[18] **13** Μηκέτι οὖν ἀλλήλους κρίνωμεν, ἀλλὰ τοῦτο κρίνατε μᾶλλον· τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ[19] σκάνδαλον.

14 Οἶδα καὶ πέπεισμαι ἐν Κυρίῳ[20] Ἰησοῦ ὅτι οὐδὲν κοινὸν δι᾽ αὐτοῦ[21] (εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν εἶναι, ἐκείνῳ κοινόν), **15** εἰ δὲ[22] διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς. Μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε[23] ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν. **16** Μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν· **17** οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν Πνεύματι Ἁγίῳ. **18** Ὁ γὰρ ἐν τούτοις[24] δουλεύων τῷ Χριστῷ εὐάρεστος τῷ Θεῷ καὶ δόκιμος τοῖς ἀνθρώποις.

19 Ἄρα οὖν, τὰ τῆς εἰρήνης διώκωμεν καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους. **20** Μὴ ἕνεκεν

---

[1] διαλογισμων *rell* ¦ λογισμων [15%]
[2] και ο μη **f**[35] (95.6%) OC,RP,HF,TR,CP ¦ ~ 2 δε 3 **𝔓**[46]ℵA,B,C,048 (2%) NU ¦ 12 (1.2%) ¦ four other variants (1.2%)
[3] αυτον *rell* ¦ αυτων CP
[4] δυνατος γαρ εστιν **f**[35] (92.7%) OC,RP,HF,TR,CP ¦ δυνατει 2 ℵA,B,C (1.2%) NU ¦ 12 **𝔓**[46] (5.7%) ¦ two other variants (0.3%)
[5] θεος **f**[35] 048 [98%] OC,RP,HF,TR,CP ¦ κυριος **𝔓**[46]ℵA,B,C [2%] NU
[6] μεν **f**[35] **𝔓**[46]B [98%] OC,RP,HF,TR,CP ¦ 1 γαρ ℵA [2%] [NU]
[7] και ο μη φρονων την ημεραν κυριω ου φρονει **f**[35] (95.4%) OC,RP,HF,TR,CP ¦ --- **𝔓**[46]ℵA,B,C,048 (4.6%) NU [an easy case of homoioteleuton]
[8] και **f**[35] ℵA,B,C [99%] OC,RP,HF,CP,NU ¦ --- **𝔓**[46] [1%] TR
[9] αποθνησκωμεν **f**[35] ℵB [67%] OC,RP,HF,TR,CP,NU ¦ αποθανωμεν C [30%] ¦ αποθνησκομεν A [3%]
[10] αποθνησκομεν **f**[35] A,B [77%] OC,RP,HF,TR,CP,NU ¦ αποθνησκωμεν ℵC [23%]
[11] αποθνησκωμεν **f**[35] ℵB,C [88%] OC,RP,HF,TR,CP,NU ¦ αποθνησκομεν A [12%]
[12] και **f**[35] [92%] OC,RP,HF,TR,CP ¦ --- ℵB,C [8%] NU
[13] και ανεστη **f**[35] [98%] OC,RP,HF,TR,CP ¦ --- ℵA,B,C [2%] NU
[14] εζησεν **f**[35] ℵA,B,C [98%] OC,RP,HF,CP,NU ¦ ανεζησεν [2%] TR
[15] χριστου **f**[35] 048 (96.5%) OC,RP,HF,TR,CP ¦ θεου ℵA,B,C (2.4%) NU ¦ three other variants (1.2%)
[16] γονυ *rell* ¦ 1 επουρανιων και επιγειων και καταχθονιων CP
[17] ουν **f**[35] ℵA,C [98%] OC,RP,HF,TR,CP[NU] ¦ --- B [2%]
[18] τω θεω **f**[35] ℵA,C [99%] OC,RP,HF,TR,CP[NU] ¦ --- B [1%]
[19] η *rell* ¦ εις [24%] ¦ ει [2%]
[20] κυριω **f**[35] ℵA,B,C [79%] OC,RP,HF,TR,NU ¦ χριστω [21%] CP
[21] αυτου **f**[35] A,C [93%] OC,RP,HF,CP ¦ εαυτου ℵB [7%] TR,NU
[22] δε **f**[35] [96%] OC,RP,HF,TR,CP ¦ γαρ ℵA,B,C [4%] NU
[23] απολλυε *rell* ¦ απολυε [10%]
[24] τουτοις **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ τουτω ℵA,B,C [3%] NU

βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ. Πάντα μὲν καθαρά· ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι. **21** Καλὸν τὸ μὴ φαγεῖν κρέα μηδὲ πιεῖν οἶνον μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ.[1]

22 Σὺ πίστιν[2] ἔχεις; Κατὰ σεαυτὸν[3] ἔχε ἐνώπιον τοῦ Θεοῦ. Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει. **23** Ὁ δὲ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως ἁμαρτία ἐστίν.

Doxology

24 Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου, **25** φανερωθέντος δὲ νῦν, διά τε Γραφῶν προφητικῶν, κατ᾽ ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ, εἰς ὑπακοὴν πίστεως εἰς πάντα τὰ ἔθνη γνωρισθέντος **26**—μόνῳ σοφῷ Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ—ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.[4]

Summary

15:1 Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. **2** Ἕκαστος[5] ἡμῶν[6] τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν. **3** Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν· ἀλλά, καθὼς γέγραπται· «Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον[7] ἐπ᾽ ἐμέ.» **4** Ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη,[8] ἵνα διὰ τῆς ὑπομονῆς καὶ[9] τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν.[10] **5** Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις κατὰ Χριστὸν Ἰησοῦν, **6** ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Glorify

7 Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ἡμᾶς,[11] εἰς δόξαν[12] Θεοῦ. **8** Λέγω δὲ[13] Χριστὸν Ἰησοῦν[14] διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ βεβαι-ῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων· **9** τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν, καθὼς γέγραπται· «Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσιν, Κύριε,[15] καὶ τῷ ὀνόματί σου ψαλῶ.» **10** Καὶ πάλιν λέγει· «Εὐφράνθητε, ἔθνη, μετὰ τοῦ λαοῦ αὐτοῦ.» **11** Καὶ πάλιν· «Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη,[16] καὶ ἐπαινέσατε[17] αὐτόν, πάντες οἱ λαοί.» **12** Καὶ πάλιν, Ἡσαΐας[18] λέγει· «Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσιν.» **13** Ὁ δὲ Θεὸς τῆς ἐλπίδος πληρώσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι ἐν δυνάμει Πνεύματος Ἁγίου.

---

[1] προσκοπτει η σκανδαλιζεται η ασθενει **f**^{35} **𝔓**^{46}B (88.4%) OC,RP,HF,TR,CP ¦ 1 A,C,048 (1.8%) NU ¦ ~ 32145 (8.7%) ¦ five other variants ℵ (1%)

[2] πιστιν **f**^{35} [99%] OC,RP,HF,TR,CP ¦ 1 ην ℵA,B,C [1%] [NU]

[3] σεαυτον *rell* ¦ σαυτον [5%] TR

[4] verses 24-26 **f**^{35} A (94.8%) OC,RP,HF ¦ --- **𝔓**^{46}ℵB,C,048 (5.2%) TR,CP,NU (The MSS that omit here supply the verses later: **𝔓**^{46} after 15:33; ℵA,B,C [NU] after 16:23 [A repeats]; CP,TR after 16:24.)

[5] εκαστος *rell* ¦ 1 γαρ TR

[6] ημων **f**^{35} ℵA,B,C [78%] OC,RP,HF,TR,NU ¦ υμων [22%] CP

[7] επεπεσον *rell* ¦ επεπεσαν ℵA,B,C [12%] NU

[8] προεγραφη **f**^{35} A [98%] OC,RP,HF,TR,CP ¦ εγραφη ℵB,C [2%] NU

[9] και **f**^{35} [56%] OC,TR ¦ 1 δια ℵA,B,C [44%] RP,HF,CP,NU

[10] εχωμεν *rell* ¦ εχομεν [13%]

[11] ημας **f**^{35} B [62%] TR ¦ υμας ℵA,C [38%] OC,RP,HF,CP,NU

[12] δοξαν **f**^{35} [97%] OC,RP,HF,TR,CP ¦ 1 του ℵA,B,C [3%] NU

[13] δε **f**^{35} [85%] OC,RP,HF,TR,CP ¦ γαρ **𝔓**^{46}ℵA,B,C [15%] NU

[14] χριστον ιησουν **f**^{35} [88%] OC,RP,HF,CP ¦ 1 ℵA,B,C [4%] NU ¦ ~ 21 [6%] TR ¦ 2 [2%]

[15] κυριε **f**^{35} [27%] OC,CP ¦ --- ℵA,B,C [73%] RP,HF,TR,NU

[16] τον κυριον παντα τα εθνη **f**^{35} C [95%] OC,RP,HF,TR,CP ¦ ~ 34512 **𝔓**^{46v}ℵA,B [3%] NU ¦ 12 [2%]

[17] επαινεσατε **f**^{35} [97%] OC,RP,HF,TR,CP ¦ επαινεσατωσαν **𝔓**^{46}ℵ(A)B,C [3%] NU

[18] ήσαιας **f**^{35} [90%] OC,TR ¦ ησαιας [10%] RP,HF,CP,NU

Paul's mission

14 Πέπεισμαι δέ, ἀδελφοί μου, καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης,[1] πεπληρωμένοι πάσης[2] γνώσεως, δυνάμενοι καὶ ἄλλους[3] νουθετεῖν. **15** Τολμηρότερον δὲ ἔγραψα ὑμῖν, ἀδελφοί,[4] ἀπὸ μέρους, ὡς ἐπαναμιμνήσκων ὑμᾶς, διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ, **16** εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ[5] εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν Πνεύματι Ἁγίῳ. **17** Ἔχω οὖν[6] καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν[7] Θεόν· **18** οὐ γὰρ τολμήσω λαλεῖν τι[8] ὧν οὐ κατειργάσατο Χριστὸς δι᾽ ἐμοῦ εἰς ὑπακοὴν ἐθνῶν[9]—λόγῳ καὶ ἔργῳ, **19** ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύματος Θεοῦ,[10] ὥστε με ἀπὸ Ἰερουσαλὴμ[11] καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. **20** Οὕτως δὲ φιλοτιμούμενον εὐαγγελίζεσθαι, οὐχ ὅπου ὠνομάσθη[12] Χριστός, ἵνα μὴ ἐπ᾽ ἀλλότριον θεμέλιον οἰκοδομῶ· **21** ἀλλά, καθὼς γέγραπται· «Οἷς οὐκ ἀνηγγέλη[13] περὶ αὐτοῦ ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασιν συνήσουσιν.»

A visit to Rome

22 Διὸ καὶ ἐνεκοπτόμην τὰ πολλὰ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς. **23** Νυνὶ δέ, μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασιν[14] τούτοις, ἐπιποθίαν[15] δὲ ἔχων τοῦ ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν, **24** ὡς ἐὰν[16] πορεύωμαι[17] εἰς τὴν Σπανίαν[18] ἐλεύσομαι πρὸς ὑμᾶς.[19] Ἐλπίζω γὰρ διαπορευόμενος θεάσασθαι ὑμᾶς, καὶ ὑφ᾽ ὑμῶν προπεμφθῆναι ἐκεῖ, ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ.

25 Νυνὶ δέ, πορεύομαι εἰς Ἰερουσαλήμ, διακονῶν τοῖς ἁγίοις. **26** Εὐδόκησαν γὰρ Μακεδονία[20] καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἰερουσαλήμ. **27** Εὐδόκησαν γάρ, καὶ ὀφειλέται αὐτῶν εἰσιν.[21] Εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσιν καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς. **28** Τοῦτο οὖν ἐπιτελέσας καὶ σφραγισάμενος αὐτοῖς τὸν καρπὸν τοῦτον, ἀπελεύσομαι δι᾽ ὑμῶν εἰς τὴν[22] Σπανίαν.[23] **29** Οἶδα δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς, ἐν πληρώματι εὐλογίας τοῦ εὐαγγελίου τοῦ[24] Χριστοῦ ἐλεύσομαι.

30 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί,[25] διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ διὰ τῆς ἀγάπης

---

[1] αγαθωσυνης *rell* ¦ αγαθοσυνης [18%]
[2] πασης **f**^{35} **𝔓**^{46}A,C [94%] OC,RP,HF,TR,CP ¦ 1 της ℵB [6%] [NU]
[3] αλλους **f**^{35} [93%] RP,HF,CP ¦ αλληλους **𝔓**^{46}ℵA,B,C [7%] OC,TR,NU
[4] αδελφοι **f**^{35} (**𝔓**^{46}) (96.3%) OC,RP,HF,TR,CP ¦ --- ℵA,B,C (3.7%) NU
[5] ιησου χριστου **f**^{35} **𝔓**^{46} [97%] OC,RP,HF,TR,CP ¦ ~ 21 ℵA,B,C [3%] NU
[6] ουν **f**^{35} **𝔓**^{46}ℵA [97%] OC,RP,HF,TR,CP ¦ 1 την B,C [3%] [NU]
[7] τον **f**^{35} **𝔓**^{46}ℵA,B(C^{v}) [95%] OC,RP,HF,CP,NU ¦ --- [5%] TR
[8] τολμησω λαλειν τι **f**^{35} [95%] OC,RP,HF,TR,CP ¦ ~ 132 (ℵ)A [3%] NU ¦ ~ 312 **𝔓**^{46} ¦ ~ τολμω 32 B ¦ two other variants [1%]
[9] εθνων *rell* ¦ 1 και CP
[10] θεου **f**^{35} **𝔓**^{46}ℵ [97%] OC,RP,HF,TR,CP[NU] ¦ αγιου A [3%] ¦ --- B
[11] ἱερουσαλημ **f**^{35} [90%] OC,RP,TR ¦ ἱερουσαλημ [10%] HF,CP,NU
[12] ωνομασθη *rell* ¦ ονομασθη [20%]
[13] ανηγγελη *rell* ¦ ανηγγελλη ℵA [12%] ¦ ανηγγελει [10%]
[14] κλιμασιν *rell* ¦ κλημασι [14%]
[15] επιποθιαν *rell* ¦ επιποθειαν **𝔓**^{46}A,B,C [4%] CP
[16] εαν **f**^{35} [92%] OC,RP,HF,TR,CP ¦ αν **𝔓**^{46}ℵA,B [8%] NU
[17] πορευωμαι *rell* ¦ πορευομαι [15%] ¦ πορευσομαι [8%]
[18] σπανιαν **f**^{35} **𝔓**^{46}ℵA,B,C (72.9%) OC,RP,HF,TR,NU ¦ ισπανιαν **f**^{35¼} (26.4%) CP ¦ long omissions (0.7%)
[19] ελευσομαι προς υμας **f**^{35} (93.6%) OC,RP,HF,TR,CP ¦ ελευσωμαι 23 (1.7%) ¦ --- **𝔓**^{46}ℵA,B,C (4.1%) NU ¦ long omissions (0.7%)
[20] μακεδονια *rell* ¦ μακεδωνια CP ¦ μακαιδονια ℵA [1%] ¦ μακεδονιαν [2%]
[21] αυτων εισιν **f**^{35} [98%] OC,RP,HF,TR,CP ¦ ~ 21 **𝔓**^{46}ℵA,B,C [2%] NU
[22] την **f**^{35} [96%] OC,RP,HF,TR,CP ¦ --- **𝔓**^{46}ℵA,B,C [4%] NU
[23] σπανιαν **f**^{35} **𝔓**^{46}ℵA,B,C [80%] OC,RP,HF,TR,NU ¦ ισπανιαν **f**^{35¼} [20%] CP
[24] του ευαγγελιου του **f**^{35} (93.1%) OC,RP,HF,TR,CP ¦ 12 (1%) ¦ 3 (1.3%) ¦ --- **𝔓**^{46}ℵA,B,C (3.7%) NU ¦ three other variants (0.8%)
[25] αδελφοι **f**^{35} ℵA,C [99%] OC,RP,HF,TR,CP[NU] ¦ --- **𝔓**^{46}B

τοῦ Πνεύματος, συναγωνίσασθαί[1] μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεόν, **31** ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ, καὶ ἵνα[2] ἡ διακονία μου ἡ εἰς Ἰερουσαλὴμ εὐπρόσδεκτος γένηται τοῖς ἁγίοις·[3] **32** ἵνα ἐν χαρᾷ ἔλθω[4] πρὸς ὑμᾶς διὰ θελήματος Θεοῦ καὶ συναναπαύσωμαι[5] ὑμῖν.[6] **33** Ὁ δὲ Θεὸς τῆς εἰρήνης μετὰ πάντων ὑμῶν. Ἀμήν.

Closing remarks

Phoebe

16:1 Συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφὴν ἡμῶν, οὖσαν[7] διάκονον τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς,[8] **2** ἵνα αὐτὴν προσδέξησθε ἐν Κυρίῳ ἀξίως τῶν ἁγίων, καὶ παραστῆτε αὐτῇ ἐν ᾧ ἂν ὑμῶν χρῄζῃ πράγματι· καὶ γὰρ αὕτη[9] προστάτις[10] πολλῶν ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ.[11]

Greetings

3 Ἀσπάσασθε[12] Πρίσκαν[13] καὶ Ἀκύλαν, τοὺς συνεργούς μου ἐν Χριστῷ Ἰησοῦ, **4** οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν· οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν. **5** Καὶ τὴν κατ᾽ οἶκον αὐτῶν ἐκκλησίαν.

Ἀσπάσασθε Ἐπαίνετον, τὸν ἀγαπητόν μου,[14] ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας[15] εἰς Χριστόν. **6** Ἀσπάσασθε Μαριάμ,[16] ἥτις πολλὰ ἐκοπίασεν εἰς ὑμᾶς.[17] **7** Ἀσπάσασθε Ἀνδρόνικον καὶ Ἰουνίαν, τοὺς συγγενεῖς μου καὶ συναιχμαλώτους μου, οἵτινές εἰσιν ἐπίσημοι ἐν τοῖς ἀποστόλοις, οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν[18] ἐν Χριστῷ. **8** Ἀσπάσασθε Ἀμπλίαν,[19] τὸν ἀγαπητόν μου ἐν Κυρίῳ. **9** Ἀσπάσασθε Οὐρβανόν, τὸν συνεργὸν ἡμῶν ἐν Χριστῷ, καὶ Στάχυν,[20] τὸν ἀγαπητόν μου. **10** Ἀσπάσασθε Ἀπελλῆν, τὸν δόκιμον ἐν Χριστῷ. Ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβούλου. **11** Ἀσπάσασθε Ἡρῳδίωνα,[21] τὸν συγγενῆ μου. Ἀσπάσασθε τοὺς ἐκ τῶν Ναρκίσσου, τοὺς ὄντας ἐν Κυρίῳ. **12** Ἀσπάσασθε Τρύφαιναν καὶ Τρυφῶσαν, τὰς κοπιώσας ἐν Κυρίῳ. Ἀσπάσασθε Περσίδα, τὴν ἀγαπητήν, ἥτις πολλὰ ἐκοπίασεν ἐν Κυρίῳ. **13** Ἀσπάσασθε Ῥοῦφον, τὸν ἐκλεκτὸν ἐν Κυρίῳ, καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ. **14** Ἀσπάσασθε Ἀσύγκριτον, Φλέγοντα, Ἑρμᾶν, Πατρόβαν, Ἑρμῆν,[22] καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς. **15** Ἀσπάσασθε Φιλόλογον καὶ Ἰουλίαν, Νηρέα[23] καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ Ὀλυμπᾶν καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους. **16** Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι[24] τοῦ Χριστοῦ.[25]

---

[1] συναγωνισασθαι *rell* ¦ συναγωνισασθε [10%]
[2] ινα **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ --- **𝔓**[46]א A,B,C [3%] NU
[3] γενηται τοις αγιοις **f**[35] [90%] OC,RP,HF,TR,CP ¦ ~ 231 א A,B,C [5%] NU ¦ δια των αγιων 1 **𝔓**[46] ¦ 23 [5%]
[4] εν χαρα ελθω **f**[35] **𝔓**[46]B [97%] OC,RP,HF,TR,CP ¦ 12 ελθων A,C [3%] NU ¦ ~ ελθων 12 א
[5] συναναπαυσωμαι *rell* ¦ συναναπαυσομαι [15%]
[6] και συναναπαυσωμαι υμιν **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ 23 א A,C [3%] NU ¦ --- **𝔓**[46]B
[7] ουσαν **f**[35] א A [99%] OC,RP,HF,TR,CP ¦ 1 και **𝔓**[46] B,C [1%] [NU]
[8] κεγχρεαις *rell* ¦ κεχρεαις [15%] ¦ five further spellings **𝔓**[46]א A,B,C
[9] αὐτη **f**[35] [80%] OC,TR ¦ αὐτη [20%] RP,HF,CP,NU ¦ uncials ambiguous
[10] προστατις **f**[35] א A,B,C [75%] OC,RP,HF,TR,CP,NU ¦ προστατης [25%]
[11] αυτου εμου **f**[35] [85%] OC,RP,HF,TR,CP ¦ ~ 21 B [15%] NU ¦ 1 και 2 א ¦ ~ 2 τε 1 A
[12] ασπασασθε *rell* ¦ ασπασασθαι א [12%]
[13] πρισκαν **f**[35] (**𝔓**[46])א A(B)C [70%] RP,HF,NU ¦ πρισκιλλαν [30%] OC,TR,CP
[14] μου *rell* ¦ μοι CP
[15] αχαιας **f**[35] (95.6%) OC,RP,HF,TR,CP ¦ ασιας **𝔓**[46]א A,B,C (4%) NU ¦ long omissions (0.3%)
[16] μαριαμ **f**[35] **𝔓**[46]א [97%] OC,RP,HF,TR,CP ¦ μαριαν A,B,C [3%] NU
[17] υμας **f**[35] **𝔓**[46]א A,B,C (22.8%) CP,NU ¦ ημας **f**[35¼] (76.4%) OC,RP,HF,TR ¦ υμιν (0.5%) ¦ two other variants (0.3%)
[18] γεγονασιν **f**[35] C [98%] OC,RP,HF,TR,CP ¦ γεγοναν א A,B [1%] NU ¦ γεγονεν **𝔓**[46] ¦ --- [1%]
[19] αμπλιαν **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ αμπλιατον **𝔓**[46]א A,B [3%] NU
[20] σταχυν *rell* ¦ σταχην CP
[21] ηρωδιωνα *rell* ¦ ηροδιωνα TR ¦ four further spellings
[22] ερμαν πατροβαν ερμην **f**[35] [97%] OC,RP,HF,TR,CP ¦ ~ 321 א A,B,C [3%] NU ¦ ~ 312 **𝔓**[46]
[23] νηρεα *rell* ¦ νηρεαν A [2%] CP ¦ three further spellings **𝔓**[46] [4%]
[24] εκκλησιαι **f**[35] (84.8%) OC,RP,HF,TR,CP ¦ 1 πασαι **𝔓**[46]א A,B,C (14.3%) NU ¦ long omissions (0.8%)
[25] χριστου **f**[35] **𝔓**[46]א A,B,C (88.9%) OC,RP,HF,TR,CP,NU ¦ θεου (10.3%) ¦ long omissions (0.8%)

Warning

17 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, σκοπεῖν τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχὴν ἣν ὑμεῖς ἐμάθετε ποιοῦντας, καὶ ἐκκλίνατε[1] ἀπ᾽ αὐτῶν. **18** Οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ[2] Χριστῷ οὐ δουλεύουσιν,[3] ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ, καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσιν τὰς καρδίας τῶν ἀκάκων. **19** Ἡ γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο· χαίρω οὖν τὸ ἐφ᾽ ὑμῖν,[4] θέλω δὲ ὑμᾶς σοφοὺς μὲν[5] εἶναι εἰς τὸ ἀγαθόν, ἀκεραίους δὲ εἰς τὸ κακόν. **20** Ὁ δὲ Θεὸς τῆς εἰρήνης συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει.

Sign-off

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[6] μεθ᾽ ὑμῶν. **21** Ἀσπάζονται[7] ὑμᾶς Τιμόθεος, ὁ συνεργός μου, καὶ Λούκιος καὶ Ἰάσων καὶ Σωσίπατρος, οἱ συγγενεῖς μου.

22 Ἀσπάζομαι ὑμᾶς ἐγώ, Τέρτιος, ὁ γράψας τὴν ἐπιστολὴν ἐν Κυρίῳ. **23** Ἀσπάζεται ὑμᾶς Γάϊος, ὁ ξένος μου καὶ τῆς ἐκκλησίας ὅλης.[8] Ἀσπάζεται ὑμᾶς Ἔραστος, ὁ οἰκονόμος τῆς πόλεως, καὶ Κούαρτος, ὁ ἀδελφός.

24 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ἡμῶν.[9] Ἀμήν.[10,11,12]

---

[1] εκκλινατε **f**^{35} (**𝔓**^{46}A) [98%] OC,RP,HF,TR,CP ¦ εκκλινετε א(B)C [2%] NU

[2] ιησου **f**^{35} [87%] OC,RP,HF,TR,CP ¦ --- **𝔓**^{46}אA,B,C [13%] NU [OC is in small print]

[3] δουλευουσιν *rell* ¦ δουλευσουσιν [15%] ¦ two other variants

[4] χαιρω ουν το εφ υμιν **f**^{35} [94%] OC,RP,HF,TR,CP ¦ ~ 4521 אA,B,C [5%] NU ¦ 1245 **𝔓**^{46} [1%]

[5] μεν **f**^{35} אA,C [95%] OC,RP,HF,TR,CP ¦ --- **𝔓**^{46}B [5%] NU

[6] χριστου **f**^{35} A,C (98.3%) OC,RP,HF,TR,CP ¦ --- **𝔓**^{46}אB (1%) NU ¦ long omissions (0.7%)

[7] ασπαζονται **f**^{35} [95%] OC,RP,HF,TR,CP ¦ ασπαζεται **𝔓**^{46}אB,C [4%] NU ¦ ασπαζετε A [1%]

[8] της εκκλησιας ολης **f**^{35} [95%] OC,RP,HF,TR,CP ¦ ~ 312 אA,B,C [5%] NU

[9] ημων **f**^{35} [8%] ¦ υμων **f**^{35pt} [92%] OC,RP,HF,TR,CP,NU (The first person pronoun is the private property of Family 35; almost all MSS outside the family have the second person, which is how Paul ended all his letters, except for Ephesians and 1 Timothy. Romans is the only letter where Paul's secretary (Tertius) adds his own greetings at the end. Tertius certainly wrote verses 22 and 23 on his own, and I see no reason to doubt that he did the same with verse 24. In that event, the first person is especially appropriate, coming from Tertius. But the first person is unexpected, and copyists would write the customary pronoun without thinking. If the original were the second person, who would change it to first person? Is not such a change rather improbable? There is a large subgroup within the family that is responsible for a number of the divisions in Romans, including this one; without it the family would be solid for the first person. In any case, within the context, the choice between the two pronouns makes little or no difference. All in all, it seems to me that the only way to explain the first person is to take it as the archetypal form. The first form, attested by the better family representatives, reproduces the archetype, beyond reasonable doubt.)

[10] The whole verse 24 **f**^{35} (96.8%) OC,RP,HF,TR,CP ¦ --- **𝔓**^{46}אA,B,C (3.2%) NU

[11] אA,B,C (7.2%) CP,TR[NU] place 14:24-26 here as verses 25-27 (recall that **𝔓**^{46}אA,B,C (3.2%) NU omit verse 24)

[12] The citation of **f**^{35} is based on the following thirty-nine MSS—18, 35, 141, 201, 204, 386, 394, 757, 824, 928, 986, 1040, 1072, 1075, 1100, 1249, 1482, 1503, 1548, 1637, 1652, 1704, 1725, 1732, 1733, 1761, 1855, 1856, 1858, 1864, 1865, 1876, 1892, 1897, 2080, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 1482, 2554 and 2723 are 'perfect' representatives of **f**^{35} in Romans, as they stand; 35 is complete; 1249, 1733, 1855, 1865 and 2466 had perfect exemplars (presumed). The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Athens, Mt. Athos [ten different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I used Reuben Swanson's excellent collations (*New Testament Greek Manuscripts: Romans* [Ed. Reuben Swanson, Wheaton: Tyndale House Publishers, 2001]). For Romans Swanson collated 81 MSS, three being fragmentary (for any given variant set there will usually be at least 75 MSS listed), and I occasionally supplemented from Scrivener and von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±2%; where there is some division among

the Byzantine witnesses the margin of error should rarely exceed ±10%—by comparing Swanson with *TuT*, I believe one can make a fairly accurate extrapolation. However, I guarantee the witness of $\mathbf{f}^{35}$. Please see the last footnote for Matthew for further information.

ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α΄

Opening considerations

Greeting

1:1 Παῦλος, κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ[1] διὰ θελήματος Θεοῦ, καὶ Σωσθένης ὁ ἀδελφός, **2** τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ, κλητοῖς ἁγίοις, σὺν πᾶσιν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν παντὶ τόπῳ—αὐτῶν τε[2] καὶ ὑμῶν·[3] **3** Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

A word of thanksgiving

4 Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ· **5** ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει, **6** καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν, **7** ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, **8** ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους, ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν, Ἰησοῦ Χριστοῦ.[4] **9** Πιστὸς ὁ Θεός, δι᾽ οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.[5]

A word of exhortation

10 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ. **11** Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσιν. **12** Λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει· «Ἐγὼ μέν εἰμι Παύλου,» «Ἐγὼ δὲ Ἀπολλώ,» «Ἐγὼ δὲ Κηφᾶ,» «Ἐγὼ δὲ Χριστοῦ.» **13** Μεμέρισται ὁ Χριστός; Μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν,[6] ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε;

A disclaimer about baptism

14 Εὐχαριστῶ τῷ Θεῷ[7] ὅτι οὐδένα ὑμῶν ἐβάπτισα εἰ μὴ Κρίσπον καὶ Γάϊον, **15** ἵνα μή τις εἴπῃ ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα.[8] **16** Ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον· λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα. **17** Οὐ γὰρ ἀπέστειλέν με Χριστὸς βαπτίζειν, ἀλλ᾽[9] εὐαγγελίζεσθαι—οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.

The nature of the Gospel

Foolishness to the lost

1:18 Ὁ[10] λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστίν, τοῖς δὲ σῳζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστιν. **19** Γέγραπται γάρ· «Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω.» **20** Ποῦ σοφός; Ποῦ γραμματεύς; Ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου;[11] **21** Ἐπειδὴ γάρ, ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ, οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας **22**—ἐπειδὴ καὶ[12] Ἰουδαῖοι σημεῖον[13] αἰτοῦσιν καὶ Ἕλληνες σοφίαν ζητοῦσιν,

---

[1] ιησου χριστου **f**[35] א A [98.5%] HF,RP,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]B [1.5%] NU
[2] τε **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B [3%] NU
[3] υμων **f**[35] [25%] ¦ ημων **𝔓**[46]אA,B,C [75%] HF,RP,OC,TR,CP,NU
[4] χριστου **f**[35] אA,C [99.5%] HF,RP,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]B [alone]
[5] ιησου χριστου του κυριου ημων *rell* ¦ ~ 34512 CP
[6] υμων *rell* ¦ ημων [15%]
[7] τω θεω **f**[35] C [97%] HF,RP,OC,TR,CP[NU] ¦ 12 μου A [2%] ¦ --- אB [1%]
[8] εβαπτισα **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ εβαπτισθητε **𝔓**[46]אA,B,C [3%] NU ¦ five further readings [2%]
[9] αλλ *rell* ¦ αλλα **𝔓**[46]אB [1%] NU
[10] ο *rell* ¦ --- CP
[11] τουτου **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [4%] NU
[12] και *rell* ¦ 1 οι [45%] [According to Swanson, but no one else mentions it.]
[13] σημειον **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ σημεια **𝔓**[46](א)A,B,C [8%] NU

23 ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον· Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησιν[1] δὲ μωρίαν. **24** Αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε καὶ Ἕλλησιν, Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν, **25** ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστίν, καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστίν.[2]

God uses 'nothings'

26 Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί· ὅτι οὐ πολλοὶ σοφοί, κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς· **27** ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς ἵνα τοὺς σοφοὺς καταισχύνῃ,[3] καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς ἵνα καταισχύνῃ τὰ ἰσχυρά· **28** καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός—καὶ[4] τὰ μὴ ὄντα—ἵνα τὰ ὄντα καταργήσῃ· **29** ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ Θεοῦ.[5] **30** Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία[6] ἀπὸ Θεοῦ—δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις—**31** ἵνα καθὼς γέγραπται· «Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω.»

Not with human wisdom but with God's power

2:1 Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, ἦλθον οὐ καθ᾽ ὑπεροχὴν λόγου ἢ σοφίας καταγγέλλων[7] ὑμῖν τὸ μαρτύριον[8] τοῦ Θεοῦ. **2** Οὐ γὰρ ἔκρινα τοῦ[9] εἰδέναι τι[10] ἐν ὑμῖν εἰ μὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον. **3** Καί, ἐγὼ[11] ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς. **4** Καί, ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς[12] ἀνθρωπίνης[13] σοφίας λόγοις,[14] ἀλλ᾽ ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως, **5** ἵνα ἡ πίστις ὑμῶν[15] μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ᾽ ἐν δυνάμει Θεοῦ.

Wisdom for the mature

6 Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, τῶν καταργουμένων· **7** ἀλλὰ λαλοῦμεν σοφίαν Θεοῦ[16] ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν, **8** ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν (εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν). **9** Ἀλλὰ καθὼς γέγραπται· «Ἃ ὀφθαλμὸς οὐκ εἶδεν[17] καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.» **10** Ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψεν[18] διὰ τοῦ Πνεύματος αὐτοῦ·[19] τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ,[20] καὶ τὰ βάθη τοῦ Θεοῦ.

11 Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ;

---

[1] ελλησιν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ εθνεσιν ℵA,B,C [4%] NU

[2] εστιν **f**[35] C [93%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [4%] NU ¦ --- **𝔓**[46] [3%] omit the whole clause (A likely case of homoioteleuton—three words in a row.)

[3] τους σοφους καταισχυνη **f**[35] [73%] HF,RP,OC,TR,CP ¦ ~ 312 **𝔓**[46]ℵB,C [12%] NU ¦ --- A [15%] omit a whole line [homoioteleuton]

[4] και **f**[35] B [98%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,C [2%] NU

[5] του θεου **f**[35] **𝔓**[46]ℵA,B [92%] HF,RP,OC,CP,NU ¦ αυτου C [8%] TR

[6] ημιν σοφια **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 21 (**𝔓**[46])ℵA,C [4%] NU ¦ ~ 2 ημων B

[7] καταγγελλων *rell* ¦ καταγγελων [4%] CP

[8] μαρτυριον **f**[35] B (94.1%) HF,RP,OC,TR,CP ¦ μυστηριον **𝔓**[46v]ℵA,C (4.4%) NU ¦ four other readings (1.5%)

[9] του **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [7%] NU

[10] ειδεναι τι **f**[35] ℵA [97%] HF,RP,OC,TR,CP ¦ ~ 21 B,C [3%] NU

[11] και εγω **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ καγω ℵA,B,C [8%] NU

[12] πειθοις **f**[35] **𝔓**[46]B,C (83.7%) HF,RP,OC,TR,CP[NU] ¦ πειθοι (11.9%) ¦ πιθοις ℵA (3.2%) ¦ six other readings (1.2%)

[13] ανθρωπινης **f**[35] A,C (85.2%) HF,RP,OC,TR,CP ¦ ανθρωπινοις (9.8%) ¦ --- **𝔓**[46]ℵB (5%) NU

[14] ανθρωπινης **f**[35] A,C (85.2%) HF,RP,OC,TR,CP ¦ ανθρωπινοις (9.8%) ¦ --- **𝔓**[46]ℵB (5%) NU

[15] υμων **f**[35] **𝔓**[46]ℵA,B,C [95%] HF,RP,OC,TR,NU ¦ ημων [5%] CP

[16] σοφιαν θεου **f**[35] [88%] HF,RP,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]ℵA,B,C [12%] NU

[17] ειδεν *rell* ¦ οιδε [12%]

[18] ο θεος απεκαλυψεν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 312 **𝔓**[46]ℵA,B,C [5%] NU

[19] αυτου **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B,C [2%] NU

[20] ερευνα **f**[35] [99%] HF,RP,OC,TR,CP ¦ εραυνα **𝔓**[46]ℵA,B,C [1%] NU

Οὕτως καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν[1] εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ. **12** Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα[2] τοῦ κόσμου ἐλάβομεν ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἵνα εἰδῶμεν[3] τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν· **13** ἃ καὶ λαλοῦμεν, οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ᾽ ἐν διδακτοῖς Πνεύματος Ἁγίου,[4] πνευματικοῖς πνευματικὰ συγκρίνοντες.

14 Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ, μωρία γὰρ αὐτῷ ἐστιν· καί, οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται. **15** Ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν[5] πάντα, αὐτὸς δὲ ὑπ᾽ οὐδενὸς ἀνακρίνεται. **16** «Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ὃς συμβιβάσει αὐτόν;» Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν.

The nature of the ministry

It is not to be sectarian

3:1 Καὶ ἐγώ,[6] ἀδελφοί, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι[7] ὡς πνευματικοῖς, ἀλλ᾽ ὡς σαρκικοῖς,[8] ὡς νηπίοις ἐν Χριστῷ. **2** Γάλα ὑμᾶς ἐπότισα καὶ[9] οὐ βρῶμα, οὔπω γὰρ ἠδύνασθε.[10] Ἀλλ᾽ οὔτε[11] ἔτι νῦν δύνασθε, **3** ἔτι γὰρ σαρκικοί ἐστε· ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις καὶ διχοστασίαι,[12] οὐχὶ σαρκικοί ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; **4** Ὅταν γὰρ λέγῃ[13] τις, «Ἐγὼ μέν εἰμι Παύλου,» ἕτερος δέ, «Ἐγὼ[14] Ἀπολλώ,» οὐχὶ[15] σαρκικοί[16] ἐστε;

God's coworkers

5 Τίς[17] οὖν ἐστιν Παῦλος,[18] τίς[19] δὲ[20] Ἀπολλώς,[21] ἀλλ᾽ ἢ[22] διάκονοι δι᾽ ὧν ἐπιστεύσατε, καὶ ἑκάστῳ ὡς ὁ Κύριος ἔδωκεν; **6** Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ᾽[23] ὁ Θεὸς ηὔξανεν. **7** Ὥστε οὔτε ὁ φυτεύων ἐστίν τι, οὔτε ὁ ποτίζων, ἀλλ᾽ ὁ αὐξάνων Θεός. **8** Ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἕν εἰσιν, ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψεται[24] κατὰ τὸν ἴδιον κόπον. **9** Θεοῦ γάρ ἐσμεν συνεργοί· Θεοῦ γεώργιον, Θεοῦ οἰκοδομή ἐστε.

---

[1] οιδεν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ εγνωκεν **𝔓**[46]**א**A,B,C [4%] NU ¦ three other readings [1%]
[2] πνευμα *rell* ¦ 1 το [20%]
[3] ειδωμεν **f**[35] **א**A,B,C [74%] HF,RP,OC,TR,NU ¦ ιδωμεν **𝔓**[46] [25%] ¦ οιδωμεν CP ¦ ιδομεν [1%]
[4] αγιου **f**[35] 0185 [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]**א**A,B [4%] NU
[5] αγιου **f**[35] 0185 [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]**א**A,B [4%] NU
[6] και εγω **f**[35] [88%] HF,RP,OC,TR,CP ¦ καγω **𝔓**[46]**א**A,B,C [12%] NU
[7] υμιν λαλησαι **f**[35] [80%] HF,RP,OC,CP ¦ ~ 21 **𝔓**[46]**א**A,B,C [20%] TR,NU
[8] σαρκικοις **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ σαρκινοις **𝔓**[46]**א**A,B,C [2%] NU
[9] και **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]**א**A,B,C [7%] NU
[10] ηδυνασθε **f**[35] [56%] OC,TR ¦ εδυνασθε **f**[35pt] **𝔓**[46]**א**A,B,C [38%] HF,RP,CP,NU ¦ ηδυνασθαι [3%] ¦ εδυνασθαι [3%] (These are alternate spellings of the imperfect middle/passive, and a mere alternate spelling is not a proper variant, since neither the identity nor the meaning of the word is affected. Also, the first form is Attic, and in later years it would naturally be changed to the Koine, but not the reverse.)
[11] ουτε **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ ουδε **𝔓**[46]**א**A,B,C,0185[v] [15%] NU
[12] και διχοστασιαι **f**[35] **𝔓**[46] (91.4%) HF,RP,OC,TR,CP ¦ --- **א**A,B,C,048 (4.8%) NU ¦ 1 διχοστασια (3%) ¦ three other readings (0.8%)
[13] λεγη *rell* ¦ λεγει [30%] CP
[14] ετερος δε εγω **f**[35] **𝔓**[46v]**א**B,C [96%] HF,RP,OC,TR,NU ¦ 1232 [3%] CP ¦ ~ 32 A [1%]
[15] ουχι **f**[35] (96.5%) HF,RP,OC,TR,CP ¦ ουκ **𝔓**[46]**א**A,B,C,048 (2.7%) NU ¦ ου (0.8%)
[16] σαρκικοι **f**[35] (96%) HF,RP,OC,TR,CP ¦ ανθρωποι **𝔓**[46]**א**A,B,C,048 (3.3%) NU ¦ three other readings (0.7%)
[17] τις **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ τι **א**A,B [2%] NU
[18] παυλος **f**[35] (93.8%) HF,RP,OC,TR,CP ¦ απολλως **𝔓**[46]**א**A,B,C,048 (6.2%) NU
[19] τις **f**[35] **𝔓**[46]C (96.7%) HF,RP,OC,TR,CP ¦ τι **א**A,B,048 (3.3%) NU
[20] δε **f**[35] (92.3%) HF,RP,OC,TR,CP ¦ 1 εστιν **א**A,B,C,048 (7.2%) NU ¦ three other readings (0.5%)
[21] απολλως **f**[35] (92%) HF,RP,OC,TR,CP ¦ απολλω (1.8%) ¦ παυλος **𝔓**[46]**א**A,B,C,048 (6.2%) NU
[22] αλλ η **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- **א**A,B,C [2%] NU ¦ three other variants [1%]
[23] αλλ *rell* ¦ αλλα **𝔓**[46]**א**A,B [1.5%] NU ¦ ~ ο δε [2%]
[24] ληψεται *rell* ¦ λημψεται **𝔓**[46]**א**A,B [1%] NU

There will be an accounting

10 Κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι, ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα,[1] ἄλλος δὲ ἐποικοδομεῖ. Ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ· **11** θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι[2] παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός.[3] **12** Εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον[4] χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην, **13** ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται· ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται. Καί, ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστιν τὸ πῦρ[5] δοκιμάσει. **14** Εἴ τινος τὸ ἔργον μενεῖ ὃ ἐπῳκοδόμησεν,[6] μισθὸν λήψεται.[7] **15** Εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται· αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός.

We are a temple of God

16 Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; **17** Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς.

18 Μηδεὶς ἑαυτὸν ἐξαπατάτω. Εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω ἵνα γένηται σοφός. **19** Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστιν. Γέγραπται γάρ· «Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν»· **20** καὶ πάλιν, «Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶν μάταιοι.» **21** Ὥστε, μηδεὶς καυχάσθω ἐν ἀνθρώποις, πάντα γὰρ ὑμῶν ἐστιν· **22** εἴτε Παῦλος εἴτε Ἀπολλὼς εἴτε Κηφᾶς, εἴτε κόσμος εἴτε ζωὴ εἴτε θάνατος, εἴτε ἐνεστῶτα εἴτε μέλλοντα—πάντα ὑμῶν ἐστιν,[8] **23** ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ.

As stewards we must be faithful

4:1 Οὕτως ἡμᾶς[9] λογιζέσθω ἄνθρωπος· ὡς ὑπηρέτας Χριστοῦ καὶ οἰκονόμους μυστηρίων Θεοῦ. **2** Ὧ δὲ[10] λοιπὸν ζητεῖται[11] ἐν τοῖς οἰκονόμοις ἵνα πιστός τις εὑρεθῇ. **3** Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ᾽ ὑμῶν ἀνακριθῶ ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ᾽ οὐδὲ ἐμαυτὸν ἀνακρίνω. **4** Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, ἀλλ᾽ οὐκ ἐν τούτῳ δεδικαίωμαι· ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν. **5** Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ[12] Θεοῦ.

No room for boasting

6 Ταῦτα δέ, ἀδελφοί, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλὼ[13] δι᾽ ὑμᾶς, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ[14] γέγραπται φρονεῖν,[15] ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς μὴ[16] φυσιοῦσθε κατὰ τοῦ ἑτέρου. **7** Τίς γάρ σε διακρίνει; Τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; **8** Ἤδη κεκορεσμένοι ἐστέ, ἤδη ἐπλουτήσατε, χωρὶς ἡμῶν ἐβασιλεύσατε· καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν.

---

[1] τεθεικα **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ εθηκα **𝔓**[46]א A,B,C [2%] NU
[2] θειναι *rell* ¦ θηναι [15%]
[3] ιησους χριστος **f**[35] **𝔓**[46]א A,B [90%] HF,RP,OC,CP,NU ¦ 1 ο 2 [3%] TR ¦ 2 C [7%]
[4] τουτον **f**[35] [99%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C [1%] NU
[5] πυρ **f**[35] **𝔓**[46]א [97%] HF,RP,OC,TR,CP ¦ 1 αυτο A,B,C [3%] [NU]
[6] επωκοδομησεν **f**[35] C [88%] OC,TR ¦ εποικοδομησεν **𝔓**[46]א A,B [10%] HF,RP,CP,NU ¦ two other variants [2%]
[7] ληψεται *rell* ¦ λημψεται **𝔓**[46v]א A,B,C [1.5%] NU
[8] εστιν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C [4%] NU
[9] ημας *rell* ¦ υμας [12%]
[10] ο δε **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ωδε **𝔓**[46]א A,B,C [4%] NU
[11] ζητειται **f**[35] B [70%] HF,RP,OC,TR,CP,NU ¦ ζητειτε **𝔓**[46]א A,C [29%] ¦ four other readings [1%]
[12] του *rell* ¦ --- [15%]
[13] απολλω **f**[35] **𝔓**[46]C [99.5%] HF,RP,OC,TR,CP ¦ απολλων א A,B [0.5%] NU
[14] ο **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ α **𝔓**[46]א A,B,C [6%] NU
[15] φρονειν **f**[35] C[v] [97%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B [3%] NU
[16] μη **f**[35] [50%] HF ¦ --- **f**[35pt] **𝔓**[46]א A,B,C [50%] RP,OC,TR,CP,NU (The negative particle is repeated for emphasis; omitting the repetition does not change the basic meaning, nor the translation. Also, the particle is generally attested by the better representatives.)

The cost of being an apostle

9 Δοκῶ γὰρ ὅτι[1] ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν, ὡς ἐπιθανατίους· ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ, καὶ ἀγγέλοις καὶ ἀνθρώποις. **10** Ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. **11** Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν, καὶ γυμνιτεύομεν[2] καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν, **12** καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσίν. Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, **13** βλασφημούμενοι[3] παρακαλοῦμεν. Ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα, ἕως ἄρτι.

Children imitate fathers

14 Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ᾽ ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ.[4] **15** Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ᾽ οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ, διὰ τοῦ εὐαγγελίου, ἐγὼ ὑμᾶς ἐγέννησα. **16** Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε. **17** Διὰ τοῦτο ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστιν τέκνον μου[5] ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ,[6] καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω.

Not in word but in power

18 Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες. **19** Ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος θελήσῃ,[7] καὶ γνώσομαι, οὐ τὸν λόγον τῶν πεφυσιωμένων,[8] ἀλλὰ τὴν δύναμιν. **20** Οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ ἀλλ᾽ ἐν δυνάμει. **21** Τί θέλετε; Ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πρᾳότητος;[9]

The nature of the Christian life

Immorality must be punished

5:1 Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται[10]—ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. **2** Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ[11] ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας.[12] **3** Ἐγὼ μὲν γάρ, ὡς[13] ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα, ὡς παρών, τὸν οὕτως τοῦτο κατεργασάμενον· **4** ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν[14] Ἰησοῦ Χριστοῦ,[15] συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,[16] **5** παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ.[17]

Down with moral 'yeast'

6 Οὐ καλὸν τὸ καύχημα ὑμῶν. Οὐκ οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ; **7** Ἐκκα-

---

[1] οτι **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [4%] NU
[2] γυμνιτευομεν **f**[35] א(B)C [40%] CP,NU ¦ γυμνητευομεν **𝔓**[46] [60%] HF,RP,OC,TR ¦ --- A
[3] βλασφημουμενοι **f**[35] B [98%] HF,RP,OC,TR,CP ¦ δυσφημουμενοι **𝔓**[46]אA,C [2%] NU
[4] νουθετω **f**[35] B [85%] HF,RP,OC,TR,CP ¦ νουθετων אA,C [15%] [NU] ¦ νουθετη **𝔓**[46]
[5] τεκνον μου **f**[35] **𝔓**[46] [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 אA,B,C [5%] NU
[6] χριστω **f**[35] A,B (87.8%) HF,RP,OC,TR,CP ¦ 1 ιησου **𝔓**[46]אC (11.3%) [NU] ¦ κυριου ιησου (0.5%) ¦ two other readings
[7] θεληση *rell* ¦ θελησει [13%]
[8] πεφυσιωμενων *rell* ¦ πεφυσιωμενον [13%]
[9] πραοτητος **f**[35] א [99%] HF,RP,OC,TR,CP ¦ πραυτητος **𝔓**[46]A,B [1%] NU
[10] ονομαζεται **f**[35] (96.8%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C (3.2%) NU
[11] εξαρθη **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ αρθη **𝔓**[46]אA,B,C [5%] NU
[12] ποιησας **f**[35] **𝔓**[46]B [97%] HF,RP,OC,TR,CP ¦ πραξας אA,C [3%] NU
[13] ως **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [4%] NU
[14] ημων **f**[35] **𝔓**[46]B [97%] HF,RP,OC,TR,CP[NU] ¦ --- אA [3%]
[15] χριστου **f**[35] **𝔓**[46]א [96%] HF,RP,OC,TR,CP ¦ --- A,B [4%] NU
[16] χριστου **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B [5%] NU ¦ longer omissions [1%]
[17] ιησου **f**[35] א [88%] HF,RP,OC,TR ¦ ημων 1 χριστου A [10%] ¦ 1 χριστου [1%] CP ¦ --- **𝔓**[46]B [1%] NU

θάρατε οὖν[1] τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε, ἄζυμοι. Καὶ γὰρ τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν[2] ἐτύθη, Χριστός. **8** Ὥστε ἑορτάζωμεν,[3] μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ᾽ ἐν ἀζύμοις εἰλικρινείας[4] καὶ ἀληθείας.

Avoid contaminators

9 Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ μὴ συναναμίγνυσθαι[5] πόρνοις **10**—καὶ[6] οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου, ἢ τοῖς πλεονέκταις, ἢ[7] ἅρπαξιν, ἢ εἰδωλολάτραις· ἐπεὶ ὀφείλετε[8] ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν. **11** Νυνὶ[9] δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ[10] πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος,[11] ἢ μέθυσος, ἢ ἅρπαξ—τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

12 Τί γάρ μοι καὶ[12] τοὺς ἔξω κρίνειν; Οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε; **13** Τοὺς δὲ ἔξω ὁ Θεὸς κρινεῖ,[13] καὶ[14] ἐξαρεῖτε[15] τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

Down with lawsuits!

6:1 Τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; **2** Οὐκ[16] οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσιν; Καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων; **3** Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν; Μήτι γε βιωτικά; **4** Βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς ἐξουθενημένους ἐν τῇ ἐκκλησίᾳ, τούτους καθίζετε. **5** Πρὸς ἐντροπὴν ὑμῖν[17] λέγω. Οὕτως οὐκ ἔνι[18] ἐν ὑμῖν σοφὸς οὐδὲ εἷς[19] ὃς δυνήσεται διακρῖναι[20] ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ; **6** Ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων; **7** Ἤδη μὲν οὖν[21] ὅλως ἥττημα[22] ὑμῖν ἐστιν ὅτι κρίματα ἔχετε μεθ᾽ ἑαυτῶν. Διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε; Διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; **8** Ἀλλ᾽[23] ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα[24] ἀδελφούς.

How to avoid inheriting the Kingdom

9 Ἢ οὐκ οἴδατε ὅτι ἄδικοι βασιλείαν Θεοῦ[25] οὐ κληρονομήσουσιν; Μὴ πλανᾶσθε· οὔτε

---

[1] ουν **f**[35] C,048 [65%] OC,TR ¦ --- **𝔓**[46]א A,B [35%] HF,RP,CP,NU (OC is in small print.)
[2] υπερ ημων **f**[35] (91.8%) HF,RP,OC,TR,CP ¦ 1 υμων (4.3%) ¦ --- א A,B,C,048 (3.3%) NU ¦ two other readings (0.5%)
[3] εορταζωμεν *rell* ¦ εορταζομεν A [20%]
[4] είλικρινειας **f**[35] [20%] ¦ εἰλικρινειας **𝔓**[46]B [55%] HF,RP,OC,TR,CP,NU ¦ ειλικρινιας אC [23%] ¦ ιλικρινιας [1%] ¦ ηλικρινιας A (Since collators have generally not recorded breathing, one can only guess at percentages.)
[5] συναναμιγνυσθαι *rell* ¦ συναναμιγνυσθε [10%]
[6] και **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C [3%] NU
[7] η **f**[35] **𝔓**[46] [96%] HF,RP,OC,TR,CP ¦ και א A,B,C,048 [4%] NU
[8] οφειλετε **f**[35] [82%] HF,RP,OC,TR,CP ¦ ωφειλετε **𝔓**[46](א)B,C [13%] NU ¦ ωφειλεται (A) [3%] ¦ οφειλεται [2%]
[9] νυνι **f**[35] אC [55%] HF,TR ¦ νυν **𝔓**[46]A,B [45%] RP,OC,CP,NU
[10] ᾖ *rell* ¦ ᾗ [50%]
[11] η πλεονεκτης η ειδωλολατρης η λοιδορος *rell* ¦ ~ 561234 CP ¦ ~ 341256 [1%]
[12] και **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C [5%] NU
[13] κρινεῖ **f**[35] [80%] HF,RP,CP,NU ¦ κρὶνει [20%] OC,TR
[14] και **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C [5%] NU
[15] εξαρειτε **f**[35] [85%] HF,RP,OC,TR ¦ εξαρατε אA,B,C [4%] NU ¦ εξαιρετε **𝔓**[46] [1%] ¦ εξαιρειτε [3%] CP ¦ εξαρειται [6%] ¦ three further spellings [1%]
[16] ουκ **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ η 1 **𝔓**[46]א A,B,C [8%] NU
[17] υμιν *rell* ¦ υμων [15%]
[18] ενι **f**[35] **𝔓**[46]אB,C [96%] HF,RP,OC,CP,NU ¦ εστιν [4%] TR ¦ A omits verses 3-6
[19] σοφος ουδε εις **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ ~ ουδεις 1 **𝔓**[46]אB,C [4%] NU ¦ ~ 231 [2%] ¦ 1 ουδεις [2%] ¦ A omits verses 3-6
[20] διακριναι *rell* ¦ ανακριναι א [20%] ¦ A omits verses 3-6
[21] ουν **f**[35] A,B,C [95%] HF,RP,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]א [5%]
[22] ηττημα *rell* ¦ 1 εν TR
[23] αλλ **f**[35] [35%] ¦ αλλα **𝔓**[46]א A,B,C [65%] HF,RP,OC,TR,CP,NU
[24] ταυτα **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ τουτο **𝔓**[46]א A,B,C [5%] NU ¦ τοτε [2%]
[25] βασιλειαν θεου **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]א A(B)C [3%] NU

πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, **10** οὔτε πλεονέκται, οὔτε κλέπται,[1] οὔτε[2] μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ[3] κληρονομήσουσιν. **11** Καὶ ταῦτά τινες ἦτε· ἀλλὰ ἀπελούσασθε, ἀλλ'[4] ἡγιάσθητε, ἀλλ'[5] ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ[6] καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν.

*Fornication is **bad**!*

12 Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει. Πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος. **13** Τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν, ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει. Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ Κύριος τῷ σώματι. **14** Ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρεν καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ. **15** Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστιν; Ἆρας[7] οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης μέλη; Μὴ γένοιτο. **16** Ἢ[8] οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν; «Ἔσονται» γάρ, φησίν, «οἱ δύο εἰς σάρκα μίαν.» **17** Ὁ δὲ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστιν.

18 Φεύγετε τὴν πορνείαν. Πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ[9] ἄνθρωπος ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. **19** Ἢ οὐκ οἴδατε ὅτι τὸ σῶμα[10] ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ, καὶ οὐκ ἐστὲ ἑαυτῶν; **20** Ἠγοράσθητε γὰρ τιμῆς· δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστιν τοῦ Θεοῦ.[11]

About marriage

7:1 Περὶ δὲ ὧν ἐγράψατέ μοι·[12] καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. **2** Διὰ δὲ τὰς πορνείας, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω. **3** Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν[13] ἀποδιδότω, ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. **4** Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ'[14] ὁ ἀνήρ· ὁμοίως[15] δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ'[16] ἡ γυνή. **5** Μὴ ἀποστερεῖτε ἀλλήλους εἰ μήτι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάζητε[17] τῇ νηστείᾳ καὶ τῇ[18] προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε[19] ἵνα μὴ πειράζῃ[20] ὑμᾶς ὁ Σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν.

6 Τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν **7** (θέλω γὰρ[21] πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν· ἀλλ'[22] ἕκαστος ἴδιον χάρισμα ἔχει[23] ἐκ Θεοῦ, ὃς μὲν οὕτως, ὃς[24] δὲ οὕτως).

---

[1] πλεονεκται ουτε κλεπται **f**[35] [80%] HF,RP,OC,CP ¦ ~ 32 (ουδε **𝔓**[46]) 1 **𝔓**[46]א A,B,C [15%] TR,NU ¦ ~ 31 [5%]
[2] ουτε **f**[35] B [94%] HF,RP,OC,TR,CP ¦ ου א A,C [6%] NU ¦ ουδε **𝔓**[46]
[3] ου **f**[35] (85.9%) HF,RP,OC,TR ¦ --- **𝔓**[46]א A,B,C (13.6%) CP,NU ¦ one other reading (0.5%)
[4] αλλ **f**[35] [35%] ¦ αλλα *rell*
[5] αλλ **f**[35] C [77%] HF,RP,TR,CP ¦ αλλα **𝔓**[46]א A,B [23%] OC,NU
[6] ιησου **f**[35] A [87%] HF,RP,OC,TR,CP ¦ 1 χριστου **𝔓**[46]א [3%] NU ¦ ημων 1 χριστου B [10%]
[7] αρας **f**[35] **𝔓**[46]א A,B,C [70%] HF,RP,OC,TR,CP,NU ¦ αρα [30%]
[8] η **f**[35] א A,B,C [60%] OC,TR[NU] ¦ --- **𝔓**[46] [40%] HF,RP,CP
[9] ποιηση *rell* ¦ ποιησει [13%]
[10] το σωμα **f**[35] **𝔓**[46]א B,C [65%] HF,RP,OC,TR,CP,NU ¦ τα σωματα [35%]
[11] και εν τω πνευματι υμων ατινα εστιν του θεου **f**[35] (96.3%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C (3.7%) NU
[12] μοι **f**[35] A [97%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א B,C [3%] NU
[13] οφειλομενην ευνοιαν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ οφειλην **𝔓**[46v]א A,B,C [4%] NU
[14] αλλ *rell* ¦ αλλα א A,B,C [1%] NU
[15] ομοιως *rell* ¦ ομοιος CP
[16] αλλ *rell* ¦ αλλα **𝔓**[46]א A,B,C [2%] NU
[17] σχολαζητε **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ σχολασητε **𝔓**[46]א A,B,C [4%] NU ¦ σχολασηται [1%] ¦ σχολαζηται [1%]
[18] νηστεια και τη **f**[35] (92.4%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C (6.7%) NU [homoioteleuton] ¦ ~ (0.8%) ('prayer' before 'fasting')
[19] συνερχεσθε **f**[35] **𝔓**[46] [56%] ¦ συνερχησθε [40%] HF,RP,OC,TR,CP ¦ ητε א A,B,C [4%] NU
[20] πειραζη *rell* ¦ πειραζει [15%]
[21] γαρ **f**[35] B [95%] HF,RP,OC,TR,CP ¦ δε **𝔓**[46]א A,C [5%] NU
[22] αλλ *rell* ¦ αλλα **𝔓**[46] B,C [2%] NU
[23] χαρισμα εχει **f**[35] **𝔓**[46] [96%] HF,RP,OC,TR,CP ¦ ~ 21 א A,B [4%] NU ¦ 1 C
[24] ος μεν ουτως ος **f**[35] **𝔓**[46] (95.5%) HF,RP,OC,TR,CP ¦ ο 23 ο א A,B,C (3.9%) NU ¦ four other readings (0.7%)

8 Λέγω δὲ τοῖς[1] ἀγάμοις καὶ ταῖς χήραις· καλὸν αὐτοῖς ἐστιν[2] ἐὰν μείνωσιν ὡς κἀγώ· **9** εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖσσον[3] γάρ ἐστιν γαμῆσαι ἢ πυροῦσθαι.

Mixed marriages

10 Τοῖς δὲ γεγαμηκόσιν παραγγέλλω[4] (οὐκ ἐγὼ ἀλλ'[5] ὁ Κύριος)· γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι **11** (ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω), καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι. **12** Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω[6] (οὐχ ὁ Κύριος)· εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον καὶ αὐτὴ[7] συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν. **13** Καὶ γυνὴ ἥτις[8] ἔχει ἄνδρα ἄπιστον καὶ αὐτὸς[9] συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν.[10] **14** Ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί, καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί·[11] ἐπεὶ ἄρα τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστιν, νῦν δὲ ἅγιά ἐστιν. **15** Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω—οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις, ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς[12] ὁ Θεός. **16** Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; Ἢ τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις;

About other situations

17 Εἰ μή, ἑκάστῳ ὡς ἐμέρισεν ὁ Θεός,[13] ἕκαστον ὡς κέκληκεν ὁ Κύριος,[14] οὕτως περιπατείτω (καὶ οὕτως ἐν ταῖς ἐκκλησίαις πάσαις[15] διατάσσομαι). **18** Περιτετμημένος τις ἐκλήθη; Μὴ ἐπισπάσθω. Ἐν ἀκροβυστίᾳ τις ἐκλήθη;[16] Μὴ περιτεμνέσθω. **19** Ἡ περιτομὴ οὐδέν ἐστιν καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις ἐντολῶν Θεοῦ. **20** Ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω. **21** Δοῦλος ἐκλήθης; Μή σοι μελέτω, ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι. **22** Ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς δοῦλος ἀπελεύθερος Κυρίου ἐστίν. Ὁμοίως καὶ[17] ὁ ἐλεύθερος κληθεὶς δοῦλός ἐστιν Χριστοῦ. **23** Τιμῆς ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. **24** Ἕκαστος ἐν ᾧ ἐκλήθη, ἀδελφοί, ἐν τούτῳ μενέτω παρὰ[18] Θεῷ.

About virgins

25 Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι. **26** Νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην—ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι· **27** Δέδεσαι γυναικί; Μὴ ζήτει λύσιν. Λέλυσαι ἀπὸ γυναικός; Μὴ ζήτει γυναῖκα. **28** Ἐὰν δὲ καὶ γήμῃς,[19] οὐχ ἥμαρτες· καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτεν. Θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι, ἐγὼ δὲ ὑμῶν φείδομαι.

---

[1] τοις *rell* ¦ ταις [15%]
[2] εστιν **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C [6%] NU
[3] κρεισσον **f**[35] A,C [97%] HF,RP,OC,TR,CP ¦ κρειττον (**𝔓**[46]א)B [2%] NU ¦ κρειτγον [1%]
[4] παραγγελλω *rell* ¦ παραγγελω [5%] CP
[5] αλλ *rell* ¦ αλλα אA,B [1%] NU
[6] εγω λεγω **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ ~ 21 אA,B,C [6%] NU
[7] αὐτη *rell* ¦ αὑτη NU
[8] ητις **f**[35] A,B [90%] HF,RP,TR,CP ¦ ει τις **𝔓**[46]א [10%] OC,NU
[9] αυτος **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ουτος **𝔓**[46]אA,B,C [3%] NU
[10] αυτον **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ τον ανδρα **𝔓**[46]A,B,C [3%] NU ¦ 1 ανδρα א
[11] ανδρι **f**[35] (94.9%) HF,RP,OC,TR,CP ¦ αδελφω **𝔓**[46]אA,B,C (3.5%) NU ¦ 1 πιστω (0.8%) ¦ two other readings (0.7%)
[12] ημας **f**[35] **𝔓**[46]B [96%] HF,RP,OC,TR,CP ¦ υμας אA,C [4%] NU
[13] εμερισεν ο θεος **f**[35] (87.6%) HF,RP,OC,TR,CP ¦ ~ 231 A (4.9%) ¦ 12 κυριος **𝔓**[46]C (5.1%) NU ¦ 1 κυριος (1.2%) ¦ μεμερικεν 2 κυριος אB (0.7%) ¦ three other readings (0.5%)
[14] θεος εκαστον ως κεκληκεν ο κυριος **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ ~ 623451 **𝔓**[46]אA,B,C [7%] NU
[15] ταις εκκλησιαις πασαις **f**[35] **𝔓**[46]A,B,C [95%] HF,RP,OC,TR,NU ¦ ~ 312 א [5%] CP
[16] τις εκληθη **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ κεκληται 1 **𝔓**[46]אA,B [4%] NU ¦ 1 κεκληται **𝔓**[15] [1%]
[17] και **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[15(46)]אA,B [3%] NU ¦ δε [1%] ¦ δε 1 [3%]
[18] παρα **f**[35] **𝔓**[46]אB [93%] HF,RP,CP,NU ¦ 1 τω A [7%] OC,TR
[19] γημης **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ γαμησης **𝔓**[46]אB [3%] NU ¦ γαμηση A ¦ λαβης γυναικα [1%]

A sense of urgency

29 Τοῦτο δέ φημι, ἀδελφοί,[1] ὁ καιρὸς συνεσταλμένος· τὸ λοιπόν ἐστιν[2] ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν, **30** καὶ οἱ κλαίοντες ὡς μὴ κλαίοντες, καὶ οἱ χαίροντες ὡς μὴ χαίροντες, καὶ οἱ ἀγοράζοντες ὡς μὴ κατέχοντες, **31** καὶ οἱ χρώμενοι τῷ κόσμῳ[3] τούτῳ[4] ὡς μὴ καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου.

Marriage again

32 Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. Ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου· πῶς ἀρέσει[5] τῷ Κυρίῳ. **33** Ὁ δὲ[6] γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου· πῶς ἀρέσει[7] τῇ γυναικί. **34** Μεμέρισται καὶ[8] ἡ γυνὴ καὶ ἡ παρθένος. Ἡ ἄγαμος[9] μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ[10] σώματι καὶ[11] πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου· πῶς ἀρέσει[12] τῷ ἀνδρί. **35** Τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον[13] λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον, καὶ εὐπρόσεδρον[14] τῷ Κυρίῳ ἀπερισπάστως.

36 Εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἐὰν ᾖ ὑπέρακμος καὶ οὕτως ὀφείλει γίνεσθαι, ὃ θέλει ποιείτω· οὐχ ἁμαρτάνει· γαμείτωσαν. **37** Ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ,[15] μὴ ἔχων ἀνάγκην, ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος, καὶ τοῦτο κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ[16] τοῦ[17] τηρεῖν τὴν ἑαυτοῦ παρθένον, καλῶς ποιεῖ.[18] **38** Ὥστε, καὶ ὁ ἐκγαμίζων[19] καλῶς[20] ποιεῖ,[21] ὁ δὲ[22] μὴ ἐκγαμίζων[23] κρεῖσσον ποιεῖ.[24]

39 Γυνὴ δέδεται νόμῳ[25] ἐφ᾽ ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς, ἐὰν δὲ καὶ[26] κοιμηθῇ ὁ ἀνήρ,[27] ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι—μόνον ἐν Κυρίῳ. **40** Μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτως μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην—δοκῶ δὲ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν.

---

[1] αδελφοι *rell* ¦ 1 οτι [12%]

[2] το λοιπον εστιν **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ ~ 312 **𝔓**[46]א A,B [5%] NU ¦ ~ 32 **𝔓**[15] [1%] ¦ three other readings [1%]

[3] τω κοσμω **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ τον κοσμον **𝔓**[15,46]א A,B [2%] NU

[4] τουτω *rell* ¦ --- **𝔓**[15,46]א A,B [1%] NU ¦ τουτον [1%]

[5] αρεσει **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ αρεση **𝔓**[46]א A,B [4%] NU

[6] δε *rell* ¦ --- [2%] CP

[7] αρεσει **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ αρεση **𝔓**[46]א A,B [4%] NU

[8] μεμερισται και **f**[35] [88%] HF,RP,OC,CP ¦ 212 **𝔓**[15,46]א A,B [7%] NU ¦ 1 [5%] TR (OC is in small print.)

[9] και η παρθενος η αγαμος **f**[35] (93.4%) HF,RP,OC,TR,CP ¦ 4512345 **𝔓**[46]א A (2.4%) ¦ ~ 45123 **𝔓**[15]B (3.7%) NU ¦ three other readings (0.5%)

[10] και **f**[35] **𝔓**[46]A [95%] HF,RP,OC,TR,CP ¦ 1 τω אB [4%] NU ¦ 1 το [1%]

[11] και **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ 1 τω **𝔓**[46]א A,B [6%] NU

[12] αρεσει **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ αρεση **𝔓**[46]א A,B [2%] NU

[13] συμφερον **f**[35] [98.5%] HF,RP,OC,TR,CP ¦ συμφορον **𝔓**[15,46]א A,B

[14] ευπροσεδρον **f**[35] [85%] HF,RP,TR ¦ ευπαρεδρον **𝔓**[46]א A,B [15%] OC,CP,NU

[15] εδραιος εν τη καρδια **f**[35] [91%] HF,RP,OC,TR,CP ¦ ~ 234 αυτου 1 א A,B [4%] NU ¦ ~ 234 αυτου **𝔓**[46v] [1%] ¦ 1234 αυτου [3%]

[16] καρδια αυτου **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ιδια 1 א A,B [3%] NU ¦ 1 [2%]

[17] του **f**[35] [75%] HF,RP,OC,TR,CP ¦ --- (א)A,B [20%] NU ¦ το [5%]

[18] ποιει **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ ποιησει **𝔓**[46]א A,B [2%] NU

[19] εκγαμιζων **f**[35] (72.2%) HF,RP,OC,TR,CP ¦ γαμιζων **𝔓**[(15)46]א(A)B (12.8%) NU ¦ εγγαμιζων (5.6%) ¦ long omissions (9.4%)

[20] καλως **f**[35] (83.1%) HF,RP,OC,TR,CP ¦ την εαυτου παρθενον 1 **𝔓**[15]א A (6.8%) NU ¦ την παρθενον εαυτου 1 B (0.3%) ¦ την παρθενον αυτου 1 **𝔓**[46] (0.3%) ¦ long omissions (9.4%)

[21] ποιει *rell* ¦ ποιη CP ¦ ποιησει **𝔓**[15,46]B [1.5%]

[22] ο δε **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ και ο **𝔓**[46]א A,B [5%] NU

[23] εκγαμιζων **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ γαμιζων **𝔓**[46]א A,B [5%] NU

[24] ποιει **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ποιησει **𝔓**[46]א A,B [3%] NU

[25] νομω **f**[35] (96.8%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**[15,46]א A,B (2.6%) NU ¦ γαμω (0.7%)

[26] νομω **f**[35] (96.8%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**[15,46]א A,B (2.6%) NU ¦ γαμω (0.7%)

[27] ανηρ **f**[35] **𝔓**[46]א A,B [88%] HF,RP,CP,NU ¦ 1 αυτης [12%] OC,TR

About things offered to idols

8:1 Περὶ δὲ τῶν εἰδωλοθύτων· οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν. Ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. **2** Εἰ δέ[1] τις δοκεῖ εἰδέναι[2] τι, οὐδέπω οὐδὲν ἔγνωκεν[3] καθὼς δεῖ γνῶναι. **3** Εἰ δέ τις ἀγαπᾷ τὸν Θεόν, οὗτος ἔγνωσται ὑπ᾽ αὐτοῦ.

Idols are really nothing

4 Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς Θεὸς ἕτερος[4] εἰ μὴ εἷς. **5** Καὶ γὰρ εἴπερ εἰσὶν λεγόμενοι ‹θεοί,› εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ τῆς[5] γῆς (ὥσπερ εἰσὶν ‹θεοὶ› πολλοὶ καὶ ‹κύριοι› πολλοί), **6** ἀλλ᾽ ἡμῖν εἷς Θεός, ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι᾽ οὗ τὰ πάντα καὶ ἡμεῖς δι᾽ αὐτοῦ.

Respect the other's conscience

7 Ἀλλ᾽ οὐκ ἐν πᾶσιν ἡ γνῶσις· τινὲς δέ, τῇ συνειδήσει[6] τοῦ εἰδώλου, ἕως ἄρτι[7] ὡς εἰδωλόθυτον ἐσθίουσιν, καὶ ἡ συνείδησις αὐτῶν, ἀσθενὴς οὖσα, μολύνεται. **8** Βρῶμα δὲ ἡμᾶς[8] οὐ παρίστησιν[9] τῷ Θεῷ· οὔτε γὰρ[10] ἐὰν φάγωμεν περισσεύομεν,[11] οὔτε ἐὰν μὴ φάγωμεν ὑστερούμεθα.[12]

9 Βλέπετε δὲ μή πως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν.[13] **10** Ἐὰν γάρ τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ[14] κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ, ἀσθενοῦς ὄντος, οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; **11** Καὶ ἀπολεῖται[15] ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει,[16] δι᾽ ὃν Χριστὸς ἀπέθανεν. **12** Οὕτως δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. **13** Διόπερ, εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.

The 'rights' of an apostle

9:1 Οὐκ εἰμὶ ἀπόστολος; Οὐκ εἰμὶ ἐλεύθερος;[17] Οὐχὶ Ἰησοῦν Χριστὸν[18] τὸν Κύριον ἡμῶν ἑώρακα;[19] Οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ; **2** Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι, ἡ γὰρ σφραγὶς τῆς ἐμῆς[20] ἀποστολῆς ὑμεῖς ἐστε ἐν Κυρίῳ. **3** Ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ

---

[1] δε **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א,A,B [5%] NU

[2] ειδεναι **f**[35] [86%] HF,RP,OC,TR,CP ¦ εγνωκεναι **𝔓**[46]א,A,B [4%] NU ¦ ειναι [10%]

[3] ουδεπω ουδεν εγνωκεν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ουπω εγνω **𝔓**[46]א,A,B [3%] NU ¦ 1 εγνω [1%] ¦ three other readings [1%]

[4] ετερος **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א,A,B [5%] NU

[5] της **f**[35] [60%] OC,TR,CP ¦ --- **𝔓**[46]א,A,B [40%] HF,RP,NU

[6] συνειδησει **f**[35] (95.5%) HF,RP,OC,TR,CP ¦ συνηθεια (א)A,B (4.5%) NU

[7] του ειδωλου εως αρτι **f**[35] A [94%] HF,RP,OC,TR,CP ¦ ~ 3412 אB [3%] NU ¦ 1 ειδωλοθυτου 34 [3%]

[8] ημας *rell* ¦ υμας א [15%]

[9] παριστησιν **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ παραστησει **𝔓**[46]א,A,B [3%] NU

[10] γαρ **f**[35] (95.4%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א,A,B (3.9%) NU ¦ long omission (0.7%)

[11] περισσευομεν **f**[35] **𝔓**[46]אA (90.4%) HF,RP,OC,TR,NU ¦ περισσευωμεν (4.3%) CP ¦ περισσευομεθα B (3.6%) ¦ --- (1%) ¦ long omission (0.7%)

[12] φαγωμεν περισσευομεν ουτε εαν μη φαγωμεν υστερουμεθα **f**[35] א (94.9%) HF,RP,OC,TR,CP ¦ ~ 5673412 **𝔓**[46]B (2.6%) NU ¦ ~ 5123467 A (0.3%) ¦ omit various words (1.5%) ¦ long omission (0.7%)

[13] ασθενουσιν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ασθενεσιν **𝔓**[46]א,A,B [4%] NU

[14] ειδωλειω *rell* ¦ ειδωλιω (אA)B [15%]

[15] και απολειται **f**[35] (93%) HF,RP,OC,TR,CP ¦ 1 απολλυται (4.5%) ¦ απολλυται γαρ **𝔓**[46]אB (0.9%) NU ¦ απολλυται ουν A (0.3%) ¦ four conflations (1.4%)

[16] αδελφος επι τη ση γνωσει **f**[35] (94.5%) HF,RP,OC,TR,CP ¦ 1 εν 345 (3.9%) ¦ ~ εν 34 (−ση B) 5 ο 1 **𝔓**[46]א(B) (1.5%) NU

[17] αποστολος ουκ ειμι ελευθερος **f**[35] (93.2%) HF,RP,OC,TR,CP ¦ ~ 4231 **𝔓**[46]א,A,B (5.8%) NU ¦ 234 (0.5%) ¦ ~ 231 (0.5%)

[18] χριστον **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א,A,B [5%] NU

[19] εωρακα **f**[35] **𝔓**[46] [98%] HF,RP,OC,TR,CP,UBS ¦ εορακα אB [2%] N-A

[20] της εμης **f**[35] **𝔓**[46] [98.5%] HF,RP,OC,TR,CP ¦ ~ μου 1 אB [1.5%] NU ¦ A omits the whole verse [homoioteleuton]

ἀνακρίνουσιν αὕτη ἐστίν·[1] **4** Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν;[2] **5** Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ Κηφᾶς; **6** Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ[3] μὴ ἐργάζεσθαι; **7** Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; Τίς φυτεύει ἀμπελῶνα καὶ ἐκ τοῦ καρποῦ[4] αὐτοῦ οὐκ ἐσθίει; Ἢ[5] τίς ποιμαίνει ποίμνην καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; **8** Μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ;[6] Ἢ οὐχὶ[7] καὶ ὁ νόμος ταῦτα[8] λέγει; **9** Ἐν γὰρ τῷ Μωσέως[9] νόμῳ[10] γέγραπται· «Οὐ φιμώσεις[11] βοῦν ἀλοῶντα.»[12] Μὴ τῶν βοῶν μέλει[13] τῷ Θεῷ, **10** ἢ δι᾽ ἡμᾶς πάντως λέγει; Δι᾽ ἡμᾶς γὰρ ἐγράφη, ὅτι ἐπ᾽ ἐλπίδι ὀφείλει[14] ὁ[15] ἀροτριῶν ἀροτριᾶν, καὶ ὁ ἀλοῶν[16] τῆς ἐλπίδος αὐτοῦ μετέχειν ἐπ᾽ ἐλπίδι.[17]

To live from the Gospel

11 Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν;[18] **12** Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν[19] μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; Ἀλλ᾽ οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ πάντα στέγομεν ἵνα μὴ ἐγκοπήν τινα[20] δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. **13** Οὐκ οἴδατε ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι[21] ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν, οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες[22] τῷ θυσιαστηρίῳ συμμερίζονται; **14** Οὕτως καὶ ὁ Κύριος διέταξεν τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ εὐαγγελίου ζῆν.

To forego a right

15 Ἐγὼ δὲ οὐδενὶ ἐχρησάμην[23] τούτων, οὐκ ἔγραψα δὲ ταῦτα ἵνα οὕτως γένηται ἐν ἐμοί· καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ[24] **16**—ἐὰν γὰρ εὐαγγελίζωμαι,[25] οὐκ ἔστιν μοι καύχημα, ἀνάγκη γάρ μοι ἐπίκειται· οὐαὶ δὲ[26] μοί ἐστιν ἐὰν μὴ εὐαγγελίζωμαι.[27] **17** (Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι.) **18** Τίς

---

[1] αυτη εστιν **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ~ 21 א A,B [3%] NU
[2] πιειν **f**[35] A [97.5%] HF,RP,OC,TR,CP ¦ πειν **𝔓**[46]B,NU ¦ ποιειν [1%] ¦ πιν א [1%]
[3] του **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B [5%] NU
[4] εκ του καρπου **f**[35] **𝔓**[46] [97%] HF,RP,OC,TR,CP ¦ τον καρπον א A,B,C [3%] NU
[5] η *rell* ¦ --- B [15%]
[6] λαλω **f**[35] א A,B,C [95%] HF,RP,OC,TR,NU ¦ λεγω **𝔓**[46] [5%] CP
[7] ουχι **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C [4%] NU
[8] ταυτα **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ 1 ου **𝔓**[46]א A,B,C [4%] NU
[9] μωσεως **f**[35] [73%] OC ¦ μωυσεως א B,C [20%] HF,RP,TR,CP,NU ¦ μωυσεος [5%] ¦ μωσεος [2%]
[10] μωσεως νομω **f**[35] א A,B,C [90%] HF,RP,OC,TR,NU ¦ ~ 21 [10%] (CP) ¦ 2 **𝔓**[46]
[11] φιμωσεις **f**[35] **𝔓**[46]א A,C [99%] HF,RP,OC,TR,CP ¦ κημωσεις B [1%] NU
[12] ἀλοωντα **f**[35] [30%] ¦ ἀλοωντα *rell* (The noun equivalent is everywhere spelled with rough breathing; since collators have generally not registered aspiration, it is hard to know what the witness of the mass of minuscules may be.)
[13] μελει *rell* ¦ μελλει [22%] ¦ μελη [3%]
[14] επ ελπιδι οφελει **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 312 א A,B,C [5%] NU ¦ οφειλει εφ ελπιζει **𝔓**[46]
[15] ο *rell* ¦ --- CP
[16] ἁλοων **f**[35] [30%] ¦ ἀλοων *rell*
[17] της ελπιδος αυτου μετεχειν επ ελπιδι **f**[35] (93.5%) HF,RP,OC,TR,CP ¦ 1234 (1.7%) ¦ ~ 5 (εφ A) 6 του 4 א(A)B,C (3.7%) NU ¦ four other readings **𝔓**[46] (1%)
[18] θερισομεν *rell* ¦ θερισωμεν [9%] CP
[19] εξουσιας υμων **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]א A,B,C [4%] NU
[20] εγκοπην τινα **f**[35] [67%] HF,RP,OC,TR,CP ¦ εκκοπην 2 [30%] ¦ ~ 21 A(B)C [2%] NU ¦ ~ 2 εκκοπην א [1%] ¦ one other reading
[21] εργαζομενοι **f**[35] **𝔓**[46]A,C [98%] HF,RP,OC,TR,CP ¦ 1 τα א B [2%] [NU]
[22] προσεδρευοντες **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ παρεδρευοντες **𝔓**[46]א A,B,C [4%] NU
[23] ουδενι εχρησαμην **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ου κεχρημαι ουδενι **𝔓**[46]א A,B,C [4%] NU
[24] ινα τις κενωση **f**[35] [89%] HF,RP,OC,TR,CP ¦ 12 κενωσει C [8%] ¦ ουδεις κενωσει **𝔓**[46](א)B [1.5%] NU ¦ ουθεις μη καινωσει A ¦ 12 ου μη 3 [1%]
[25] ευαγγελιζωμαι *rell* ¦ ευαγγελζομαι [20%] ¦ two other readings [1%]
[26] δε **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ γαρ **𝔓**[46]א A,B,C [5%] NU
[27] ευαγγελιζωμαι **f**[35] **𝔓**[46]א A [79%] HF,RP,OC,TR,CP ¦ ευαγγελισωμαι B,C [1%] [NU] ¦ ευαγγελζομαι [20%]

οὖν μοί ἐστιν[1] ὁ μισθός; Ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ,[2] εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ.

All things to all men

19 Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω· **20** καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον,[3] ἵνα τοὺς ὑπὸ νόμον κερδήσω· **21** τοῖς ἀνόμοις ὡς ἄνομος (μὴ ὢν ἄνομος Θεῷ[4] ἀλλ᾽ ἔννομος Χριστῷ),[5] ἵνα κερδήσω ἀνόμους·[6] **22** ἐγενόμην τοῖς ἀσθενέσιν ὡς[7] ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω. Τοῖς πᾶσιν γέγονα τὰ[8] πάντα, ἵνα πάντως τινὰς σώσω. **23** Τοῦτο[9] δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς[10] αὐτοῦ γένωμαι.

Even an apostle can be rejected

24 Οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; Οὕτως τρέχετε ἵνα καταλάβητε. **25** Πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται—ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. **26** Ἐγὼ τοίνυν οὕτως τρέχω, ὡς οὐκ ἀδήλως· οὕτως πυκτεύω, ὡς οὐκ ἀέρα δαίρων.[11] **27** Ἀλλ᾽[12] ὑπωπιάζω[13] μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

Learn from Israel

10:1 Οὐ θέλω δὲ[14] ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον **2**—καὶ πάντες εἰς τὸν Μωϋσῆν[15] ἐβαπτίσαντο[16] ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ—**3** καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον[17] **4** καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον·[18] ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα[19] ἦν ὁ Χριστός. **5** Ἀλλ᾽ οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός—κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ.

Examples

6 Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν, εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν καθὼς κἀκεῖνοι ἐπεθύμησαν. **7** Μηδὲ εἰδωλολάτραι γίνεσθε, καθώς τινες αὐτῶν· ὥσπερ[20] γέγραπται· «Ἐκάθισεν ὁ λαὸς[21] φαγεῖν καὶ πιεῖν,[22] καὶ ἀνέστησαν παίζειν.» **8** Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν

---

[1] μοι εστιν **f**[35] **𝔓**[46]B (80.7%) HF,RP,OC,TR,CP ¦ μου 2 ℵA,C (13.1%) NU ¦ ~ εσται 1 (0.5%) ¦ 2 (2.6%) ¦ 1 (0.3%) ¦ --- (2.7%)

[2] του χριστου **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B,C [4%] NU

[3] νομον **f**[35] (92.2%) HF,RP,OC,TR,CP ¦ 1 μη ων αυτος υπο 1 ℵA,B,C (6.8%) NU ¦ long omissions (1%)

[4] θεω **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ θεου **𝔓**[46]ℵA,B,C [5%] NU

[5] χριστω **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ χριστου **𝔓**[46]ℵA,B,C [10%] NU

[6] κερδησω ανομους **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ ~ 21 [2%] ¦ 1 τους 2 **𝔓**[46] ¦ κερδανω τους 2 ℵA,B,C [3%] NU ¦ κερδανω 2 [1%]

[7] ως **f**[35] C [99%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B [1%] NU

[8] τα **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B,C [3%] NU

[9] τουτο **f**[35] (92.9%) HF,RP,OC,TR,CP ¦ παντα **𝔓**[46]ℵA,B,C (7.1%) NU

[10] συγκοινωνος *rell* ¦ συκοινωνος CP

[11] δαιρων **f**[35] [35%] CP ¦ δερων **𝔓**[46]ℵA,B,C [65%] HF,RP,OC,TR,NU

[12] αλλ *rell* ¦ αλλα **𝔓**[46]B [2%] NU

[13] υπωπιαζω **f**[35] ℵA,B,C [62%] HF,RP,TR,NU ¦ υποπιαζω **𝔓**[46] [34%] OC,CP ¦ υποπιεζω [4%]

[14] δε **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ γαρ **𝔓**[46]ℵA,B,C [4%] NU

[15] μωυσην *rell* ¦ μωσην ℵA [5%] TR ¦ μωυσεα **𝔓**[46]

[16] εβαπτισαντο **f**[35] B [90%] HF,RP,OC,TR,CP ¦ εβαπτιζοντο **𝔓**[46] ¦ εβαπτισθησαν ℵA,C [10%] NU

[17] βρωμα πνευματικον εφαγον **f**[35] ℵC [94%] HF,RP,OC,TR,CP ¦ ~ 213 **𝔓**[46]B [3%] NU ¦ ~ 231 A [1%] ¦ four other readings [2%]

[18] πωμα πνευματικον επιον **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 231 **𝔓**[46]ℵA,B,C [3%] NU ¦ three other readings [1%]

[19] δε πετρα **f**[35] **𝔓**[46]A,C [98.5%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵB [1.5%] NU

[20] ωσπερ **f**[35] **𝔓**[46]ℵA,B [90%] HF,RP,CP,NU ¦ ως C [10%] OC,TR

[21] λαος *rell* ¦ 1 του [1%] CP

[22] πιειν **f**[35] A,C [98%] HF,RP,OC,TR,CP ¦ πειν **𝔓**[46]B [1%] NU ¦ πιν ℵ ¦ ποιειν [1%]

ἐπόρ-νευσαν—καὶ ἔπεσον[1] ἐν[2] μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες. **9** Μηδὲ ἐκπειράζωμεν τὸν Χριστόν,[3] καθὼς καί[4] τινες αὐτῶν ἐπείρασαν—καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο.[5] **10** Μηδὲ γογγύζετε, καθὼς καί[6] τινες αὐτῶν ἐγόγγυσαν—καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ.

11 Ταῦτα δὲ πάντα[7] τύποι συνέβαινον[8] ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν.[9] **12** Ὥστε, ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ. **13** Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος, δυνατὸς[10] δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ὑμᾶς[11] ὑπενεγκεῖν.

Eschew idolatry

14 Διόπερ,[12] ἀγαπητοί μου,[13] φεύγετε ἀπὸ τῆς εἰδωλολατρίας.[14] **15** Ὡς φρονίμοις λέγω· κρίνα-τε ὑμεῖς ὅ φημι. **16** Τὸ ποτήριον τῆς εὐλογίας ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστιν;[15] Τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν; **17** Ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν, οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν. **18** Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα· οὐχὶ[16] οἱ ἐσθίοντες τὰς θυσίας κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσίν;

Idol = demon

19 Τί οὖν φημι; Ὅτι εἴδωλόν τί ἐστιν, ἢ ὅτι εἰδωλόθυτόν[17] τί ἐστιν; **20** Ἀλλ᾽ ὅτι ἃ θύει[18] τὰ ἔθνη[19] δαιμονίοις θύει καὶ οὐ Θεῷ.[20] Οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων γίνεσθαι. **21** Οὐ δύνασθε ποτήριον Κυρίου πίνειν καὶ ποτήριον δαιμονίων· οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν καὶ τραπέζης δαιμονίων. **22** Ἢ παραζηλοῦμεν τὸν Κύριον; Μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν;

About conscience

23 Πάντα μοι[21] ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει. Πάντα μοι[22] ἔξεστιν, ἀλλ᾽ οὐ πάντα οἰκοδομεῖ. **24** Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ[23] τὸ τοῦ ἑτέρου ἕκαστος.[24] **25** Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν· **26** «τοῦ γὰρ Κυρίου[25] ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.» **27** Εἰ δέ[26] τις καλεῖ ὑμᾶς τῶν ἀπίστων καὶ θέλετε[27] πορεύεσθαι, πᾶν τὸ

---

[1] επεσον **f**[35] **𝔓**[46] [90%] HF,RP,OC,TR,CP ¦ επεσαν ℵA,B,C [10%] NU
[2] εν **f**[35] A,C [98.5%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]ℵB [1.5%] NU
[3] χριστον *rell* ¦ κυριον ℵB,C (7.3%) ¦ θεον A (2.7%) ¦ --- (0.9%)
[4] και **f**[35] C [88%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B [12%] NU
[5] απωλοντο **f**[35] C [99%] HF,RP,OC,TR,CP ¦ απωλυντο **𝔓**[46] ¦ απωλλυντο ℵB [1%] NU
[6] καθως και **f**[35] (79.1%) HF,RP,OC,TR,CP ¦ 1 A,C (17.6%) ¦ καθαπερ **𝔓**[46]ℵB (1%) NU ¦ long omissions (2.2%)
[7] ταυτα δε παντα **f**[35] C [96%] HF,RP,OC,TR,CP ¦ ~ 321 ℵ [2%] ¦ 12 A,B [2%] NU
[8] τυποι συνεβαινον **f**[35] (86.8%) HF,RP,OC,TR,CP ¦ τυπικως συνεβαινεν **𝔓**[46]ℵB,C (8.4%) NU ¦ τυπικως 2 A (2.4%) ¦ 1 συνεβαινεν (0.9%) ¦ 2 (0.9%) ¦ three other readings (0.7%)
[9] κατηντησεν **f**[35] A,C [97%] HF,RP,OC,TR,CP ¦ κατηντηκεν **𝔓**[46]ℵB [2%] NU ¦ two other readings [1%]
[10] δυνατος **f**[35] [30%] CP ¦ πιστος **𝔓**[46]ℵA,B,C [70%] HF,RP,OC,TR,NU
[11] υμας **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ ημας [3%] ¦ --- **𝔓**[46]ℵA,B,C [5%] NU (OC is in small print.)
[12] διοπερ *rell* ¦ διο [5%] CP
[13] αγαπητοι μου *rell* ¦ ~ αδελφοι 21 CP
[14] ειδωλολατριας **f**[35] **𝔓**[46](ℵ)B,C [64%] OC,CP ¦ ειδωλολατρειας A [35%] HF,RP,TR,NU ¦ ειδωλολατρεας [1%]
[15] του αιματος του χριστου εστιν **f**[35] ℵC [99%] HF,RP,OC,TR,CP ¦ ~ 51234 **𝔓**[46]A,B [1%] NU
[16] ουχι **f**[35] **𝔓**[46]B [97%] HF,RP,OC,TR,CP ¦ ουχ ℵA,C [3%] NU
[17] ειδωλον τι εστιν η οτι ειδωλοθυτον **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ 12346 [1%] ¦ ~ 623451 B [3%] NU ¦ ~ 612 **𝔓**[46]ℵA,C [2%]
[18] θυει **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ θυουσιν **𝔓**[46]ℵA,B,C [7%] NU
[19] τα εθνη **f**[35] **𝔓**[46]ℵA,C [99%] HF,RP,OC,TR,CP ¦ --- B [1%] NU
[20] θυει και ου θεω **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ θυουσιν 234 [2%] ¦ ~ 234 θυουσιν ℵA,B,C [3%] [NU]
[21] μοι **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B,C [3%] NU
[22] μοι **f**[35] [87%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B,C [3%] NU ¦ long omission [10%] [homoioteleuton]
[23] αλλα *rell* ¦ 1 και [12%]
[24] ετερου εκαστος **f**[35] (89.5%) HF,RP,OC,TR,CP ¦ 1 **𝔓**[46]ℵ(A)B,C (4.6%) NU ¦ πλησιον 2 (5.9%)
[25] γαρ κυριου **f**[35] **𝔓**[46]A [90%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵB,C [3%] NU ¦ long omission [7%]
[26] δε **f**[35] C [88%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B [4%] NU ¦ long omission [8%]
[27] θελετε *rell* ¦ θελεται ℵ [10%]

παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν. **28** Ἐὰν δέ τις ὑμῖν εἴπῃ, «Τοῦτο εἰδωλόθυτόν[1] ἐστιν,» μὴ ἐσθίετε δι᾽ ἐκεῖνον τὸν μηνύσαντα καὶ τὴν συνείδησιν· «τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.»[2] **29** Συνείδησιν, δὲ λέγω, οὐχὶ τὴν ἑαυτοῦ ἀλλὰ τὴν τοῦ ἑτέρου.

Do all to the glory of God

Ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; **30** Εἰ[3] ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῷ; **31** Εἴτε οὖν ἐσθίετε εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. **32** Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις[4] καὶ Ἕλλησιν καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ **33**—καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον[5] ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν.

11:1 Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.

The nature of church life

About women

11:2 Ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοί,[6] ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν, τὰς παραδόσεις[7] κατέχετε. **3** Θέλω δὲ ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστιν, κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ, κεφαλὴ δὲ[8] Χριστοῦ ὁ Θεός. **4** Πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων καταισχύνει τὴν κεφαλὴν αὐτοῦ.[9] **5** Πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ καταισχύνει[10] τὴν κεφαλὴν ἑαυτῆς[11]—ἓν γάρ ἐστιν καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ.[12] **6** Εἰ γὰρ οὐ κατακαλύπτεται γυνή, καὶ κειράσθω. Εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρεσθαι[13] ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω.

7 Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων·[14] γυνὴ δὲ δόξα ἀνδρός ἐστιν. **8** Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός, ἀλλὰ γυνὴ ἐξ ἀνδρός· **9** καὶ γὰρ οὐκ ἐκτίσθη[15] ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα **10**—διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, διὰ τοὺς ἀγγέλους—**11** πλήν, οὔτε ἀνὴρ χωρὶς γυναικὸς οὔτε γυνὴ χωρὶς ἀνδρός,[16] ἐν Κυρίῳ. **12** Ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρός, οὕτως καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός· τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ.

13 Ἐν ὑμῖν αὐτοῖς κρίνατε· πρέπον ἐστὶν γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προσεύχεσθαι; **14** Ἢ[17] οὐδὲ αὐτὴ ἡ φύσις[18] διδάσκει ὑμᾶς ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστιν; **15** Γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν, ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται.[19]

---

[1] ειδωλοθυτον **f**[35] C [99%] HF,RP,OC,TR,CP ¦ ιεροθυτον **𝔓**[46]אA,B [1%] NU

[2] του γαρ κυριου η γη και το πληρωμα αυτης **f**[35] (91.2%) HF,RP,OC,TR,CP ¦ --- אA,B,C (8.4%) NU ¦ --- **𝔓**[46] has a longer omission ¦ one other reading (0.3%)

[3] ει **f**[35] אA,B,C [98%] HF,RP,OC,CP,NU ¦ ει δε **𝔓**[46] [2%] TR

[4] γινεσθε και ιουδαιοις **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ~ 231 **𝔓**[46]אA,B,C [3%] NU

[5] συμφερον **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ συμφορον **𝔓**[46]אA,B,C [1%] NU ¦ συμφερων [4%]

[6] αδελφοι **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [3%] NU

[7] παραδοσεις *rell* ¦ παραδωσεις [9%] CP

[8] δε **f**[35] **𝔓**[46]C [97%] HF,RP,OC,TR,CP ¦ 1 του אA,B [3%] NU

[9] κεφαλην αυτου *rell* ¦ ~ εαυτου 1 CP

[10] καταισχυνει *rell* ¦ καταισχυνη [13%] ¦ κατεσχυνη [2%]

[11] εαυτης **f**[35] B [75%] HF,RP,OC,TR,CP ¦ αυτης **𝔓**[46v]אA,C [25%] NU

[12] εξυρημενη *rell* ¦ ξυρημενη CP

[13] κειρεσθαι **f**[35] [32%] CP ¦ κειρασθαι אA,B,C [64%] HF,RP,OC,TR,NU ¦ κηρασθαι [3%] ¦ three other readings [1%]

[14] υπαρχων **f**[35] **𝔓**[46]אC [97%] HF,RP,OC,TR,CP ¦ 1 η A,B [3%] NU

[15] εκτισθη *rell* ¦ εκκτισθη CP

[16] ανηρ χωρις γυναικος ουτε γυνη χωρις ανδρος **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 5674123 **𝔓**[46]אA,B,C [5%] NU

[17] η **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [4%] NU

[18] αυτη η φυσις **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 231 אA,B,C [4%] NU ¦ η φυσις αυτης **𝔓**[46]

[19] δεδοται **f**[35] **𝔓**[46] [73%] HF,RP,CP ¦ 1 αυτη אA,B [17%] OC,TR[NU] ¦ αυτη 1 C [5%] ¦ δεδωται [3%] ¦ two other readings [2%]

16 Εἰ δέ τις δοκεῖ φιλόνεικος[1] εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ Θεοῦ.

About the Lord's Supper

Some local abuses

17 Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ, ὅτι οὐκ εἰς τὸ κρεῖττον[2] ἀλλ'[3] εἰς τὸ ἧττον[4] συνέρχεσθε. **18** Πρῶτον μὲν γάρ, συνερχομένων ὑμῶν ἐν[5] ἐκκλησίᾳ, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν, καὶ μέρος τι πιστεύω. **19** Δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν[6] εἶναι ἵνα[7] οἱ δόκιμοι φανεροὶ γένωνται[8] ἐν ὑμῖν.

20 Συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτό, οὐκ ἔστιν κυριακὸν δεῖπνον φαγεῖν. **21** Ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει[9] ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. **22** Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; Ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; Τί ὑμῖν εἴπω;[10] Ἐπαινέσω ὑμᾶς ἐν τούτῳ; Οὐκ ἐπαινῶ.

How the Lord inaugurated it

23 Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου ὃ καὶ παρέδωκα ὑμῖν· ὅτι ὁ[11] Κύριος Ἰησοῦς, ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο,[12] ἔλαβεν ἄρτον· **24** καὶ εὐχαριστήσας ἔκλασεν καὶ εἶπεν· «Λάβετε, φάγετε·[13] τοῦτό μού ἐστιν τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον·[14] τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.» **25** Ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι, λέγων· «Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε, ὁσάκις ἂν[15] πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν.» **26** Ὁσάκις γὰρ ἂν[16] ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο[17] πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε ἄχρις οὗ ἂν[18] ἔλθῃ.

Be careful to partake worthily

27 Ὥστε ὃς ἂν ἐσθίῃ[19] τὸν ἄρτον τοῦτον[20] ἢ πίνῃ[21] τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως[22] ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ[23] αἵματος τοῦ Κυρίου. **28** Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω. **29** Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως[24] κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου.[25] **30** Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί.

---

[1] φιλονεικος *rell* ¦ φιλονικος (C) [16%]
[2] κρειττον **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ κρεισσον (א)A,B,C [3%] NU ¦ κρειτγον [12%]
[3] αλλ *rell* ¦ αλλα A,B,C [11%] NU
[4] ηττον **f**[35] [88%] HF,RP,OC,TR,CP ¦ ησσον אA,B,C [2%] NU ¦ ητγον [10%]
[5] εν **f**[35] אA,B,C [78%] HF,RP,OC,CP,NU ¦ 1 τη [22%] TR
[6] αιρεσεις εν υμιν *rell* ¦ ~ 231 [2%] CP
[7] ινα **f**[35] אA,C [97%] HF,RP,OC,TR,CP ¦ 1 και **𝔓**[46]B [3%] [NU]
[8] γενωνται *rell* ¦ γενονται [13%]
[9] προλαμβανει *rell* ¦ προσλαμβανει A [15%]
[10] υμιν ειπω **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]אA,B,C [5%] NU
[11] ο *rell* ¦ --- [10%]
[12] παρεδιδοτο **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ παρεδιδετο **𝔓**[46]אA,B,C [5%] NU ¦ seven other readings [5%]
[13] λαβετε φαγετε **f**[35] (91.4%) HF,RP,OC,TR,CP ¦ --- (**𝔓**[46])אA,B,C (8.3%) NU ¦ two long omissions (0.3%)
[14] κλωμενον **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [2%] NU
[15] αν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ εαν **𝔓**[46v]אB,C [3%] NU ¦ long omission A [2%]
[16] αν **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ εαν אA,B,C [4%] NU ¦ --- [2%]
[17] τουτο **f**[35] **𝔓**[46] [93%] HF,RP,OC,TR,CP ¦ --- אA,B,C [7%] NU
[18] αν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ εαν [1%] ¦ --- **𝔓**[46]אA,B,C [4%] NU
[19] εσθιη *rell* ¦ εσθιει [25%] ¦ three other readings **𝔓**[46] [1%]
[20] τουτον **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [7%] NU
[21] πινη *rell* ¦ πινει [13%] ¦ two other readings [1%]
[22] αναξιως **f**[35] **𝔓**[46]A,B,C [70%] OC,TR,CP,NU ¦ 1 του κυριου א [30%] RP,HF
[23] του **f**[35] **𝔓**[46]אA,B,C [85%] HF,RP,CP,NU ¦ --- [10%] OC,TR ¦ long omission [5%]
[24] αναξιως **f**[35] (98%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C (1.5%) NU ¦ long omission (0.5%)
[25] του κυριου **f**[35] (98%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C (2%) NU

31 Εἰ γὰρ[1] ἑαυτοὺς διεκρίνομεν,[2] οὐκ ἂν ἐκρινόμεθα. **32** Κρινόμενοι δέ, ὑπὸ[3] Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

33 Ὥστε, ἀδελφοί μου, συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε. **34** Εἰ δέ[4] τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρῖμα συνέρχησθε. Τὰ δὲ λοιπὰ ὡς ἂν ἔλθω διατάξομαι.

About spiritual gifts

12:1 Περὶ δὲ τῶν πνευματικῶν, ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν. **2** Οἴδατε ὅτι ὅτε[5] ἔθνη ἦτε πρὸς τὰ εἴδωλα τὰ ἄφωνα ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι. **3** Διὸ γνωρίζω ὑμῖν ὅτι οὐδεὶς ἐν Πνεύματι Θεοῦ λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν,[6] καὶ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν[7] εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ.

4 Διαιρέσεις δὲ χαρισμάτων εἰσίν, τὸ δὲ αὐτὸ Πνεῦμα. **5** Καὶ διαιρέσεις διακονιῶν εἰσιν,[8] καὶ ὁ αὐτὸς Κύριος. **6** Καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτός ἐστιν[9] Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. **7** Ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον.

A list of gifts

8 ὯΙ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας· ἄλλῳ δὲ λόγος γνώσεως, κατὰ τὸ αὐτὸ Πνεῦμα· **9** ἑτέρῳ δὲ[10] πίστις, ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἐν τῷ αὐτῷ[11] Πνεύματι· **10** ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ[12] προφητεία, ἄλλῳ δὲ[13] διακρίσεις πνευμάτων· ἑτέρῳ δὲ[14] γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν. **11** Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.

An analogy from the body

12 Καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστιν καὶ μέλη ἔχει πολλά,[15] πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνός,[16] πολλὰ ὄντα, ἕν ἐστιν σῶμα, οὕτως καὶ ὁ Χριστός. **13** Καὶ γὰρ ἐν ἑνὶ Πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν—εἴτε Ἰουδαῖοι εἴτε Ἕλληνες, εἴτε δοῦλοι εἴτε ἐλεύθεροι—καὶ πάντες εἰς[17] ἓν Πνεῦμα ἐποτίσθημεν.[18] **14** Καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος ἀλλὰ πολλά. **15** Ἐὰν εἴπῃ ὁ πούς, «Ὅτι οὐκ εἰμὶ χείρ, οὐκ εἰμὶ ἐκ τοῦ σώματος,» οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος. **16** Καὶ ἐὰν εἴπῃ τὸ οὖς, «Ὅτι οὐκ εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ ἐκ τοῦ σώματος,» οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος. **17** Εἰ ὅλον τὸ σῶμα ὀφθαλμός, ποῦ ἡ ἀκοή; Εἰ ὅλον ἀκοή, ποῦ ἡ ὄσφρησις; **18** Νυνὶ δὲ ὁ Θεὸς ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν, ἐν τῷ σώματι καθὼς ἠθέλησεν. **19** (Εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; **20** Νῦν δὲ πολλὰ μὲν μέλη ἓν δὲ σῶμα.)

21 Οὐ δύναται δὲ ὁ[19] ὀφθαλμὸς εἰπεῖν τῇ χειρί, «Χρείαν σου οὐκ ἔχω»· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσίν, «Χρείαν ὑμῶν οὐκ ἔχω.» **22** Ἀλλὰ πολλῷ μᾶλλον, τὰ δοκοῦντα μέλη τοῦ σώματος

---

[1] γαρ **f**[35] C [97%] HF,RP,OC,TR,CP ¦ δε **𝔓**[46]א A,B [3%] NU
[2] διεκρινομεν (**𝔓**[46]B) *rell* ¦ εκρινομεν [25%]
[3] υπο **f**[35] **𝔓**[46]A [92%] HF,RP,TR ¦ 1 του אB,C [8%] OC,CP[NU] (Some TRs have του; OC is in small print.)
[4] δε **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [3%] NU
[5] οτε **f**[35] אA,B,C [82%] HF,RP,OC,CP,NU ¦ --- [18%] TR
[6] ιησουν **f**[35] **𝔓**[46] (95.6%) HF,RP,OC,TR,CP ¦ ιησους אA,B,C (3.4%) NU ¦ four other readings (1%)
[7] κυριον ιησουν **f**[35] (93.2%) HF,RP,OC,TR,CP ¦ κυριος ιησους **𝔓**[46]אA,B,C (5.2%) NU ¦ 12 χριστον (0.8%) ¦ long omission (0.7%)
[8] και διαιρεσεις διακονιων εισιν *rell* ¦ --- [14%] [homoioarcton]
[9] εστιν **f**[35] (B) (79.5%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,C (20.5%)
[10] δε **f**[35] **𝔓**[46]A,C [98%] HF,RP,OC,TR,CP ¦ --- אB [2%] NU
[11] αυτω **f**[35] א,0201 [94%] HF,RP,OC,TR,CP ¦ ενι A,B [2%] NU ¦ --- **𝔓**[46] (C) [1%] ¦ long omission [3%]
[12] δε **f**[35] אA,C [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]B,0201 [2%]
[13] δε **f**[35] אA,C [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]B,0201 [2%]
[14] δε **f**[35] A,C [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אB,0201 [4%] NU
[15] μελη εχει πολλα **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 132 אA,B,C [4%] NU ¦ ~ 312 **𝔓**[46]
[16] του ενος **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ --- אA,B,C [7%] NU
[17] εις **f**[35] [91%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [9%] NU
[18] πνευμα εποτισθημεν **f**[35] **𝔓**[46]אB,C [72%] HF,RP,OC,TR,CP,NU ¦ πομα 2 [24%] ¦ 1 εφωτισθημεν [4%] ¦ σωμα εσμεν A
[19] δε ο **f**[35] **𝔓**[46]אB [64%] HF,RP,CP,NU ¦ 2 A,C [18%] ¦ 1 [8%] OC,TR ¦ --- [10%]

ἀσθενέστερα ὑπάρχειν ἀναγκαῖά ἐστιν. **23** Καὶ ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν· καὶ τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέραν ἔχει, **24** τὰ δὲ εὐσχήμονα ἡμῶν οὐ χρείαν ἔχει. Ἀλλ᾽[1] ὁ Θεὸς συνεκέρασεν τὸ σῶμα, τῷ ὑστεροῦντι[2] περισσοτέραν δοὺς τιμήν, **25** ἵνα μὴ ᾖ σχίσμα[3] ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσιν τὰ μέλη· **26** καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχῃ[4] πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν[5] μέλος, συγχαίρῃ[6] πάντα τὰ μέλη.

Functions in the Church

27 Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους. **28** Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ· πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους· ἔπειτα δυνάμεις, εἶτα[7] χαρίσματα ἰαμάτων, ἀντιλήψεις,[8] κυβερνήσεις, γένη γλωσσῶν. **29** Μὴ πάντες ἀπόστολοι; Μὴ πάντες προφῆται; Μὴ πάντες διδάσκαλοι; Μὴ πάντες δυνάμεις; **30** Μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; Μὴ πάντες γλώσσαις λαλοῦσιν; Μὴ πάντες διερμηνεύουσιν; **31** Ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα.[9]

About agape love

Καὶ ἔτι καθ᾽ ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι.

13:1 Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. **2** Καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν,[10] ἀγάπην δὲ μὴ ἔχω, οὐθέν[11] εἰμι. **3** Καὶ ἐὰν[12] ψωμίσω πάντα τὰ ὑπάρχοντά μου καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσομαι,[13] ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.

Love described

4 Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐ ζηλοῖ· ἡ ἀγάπη οὐ περπερεύεται,[14] οὐ φυσιοῦται, **5** οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν· **6** οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· **7** πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει· **8** ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.[15]

Love contrasted

Εἴτε δὲ προφητεῖαι, καταργηθήσονται· εἴτε γλῶσσαι, παύσονται· εἴτε γνῶσις, καταργηθήσεται· **9** ἐκ μέρους δὲ[16] γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν. **10** Ὅταν δὲ ἔλθῃ τὸ τέλειον,

---

[1] αλλ *rell* ¦ αλλα ℵA,B,C [25%] NU

[2] υστερουντι **f**[35] **𝔓**[46] [97%] HF,RP,OC,TR,CP ¦ υστερουμενω ℵA,B,C,048 [3%] NU

[3] σχισμα **f**[35] **𝔓**[46]A,B,C [58%] OC,TR,NU ¦ σχισματα ℵ [40%] HF,RP,CP ¦ two other readings [2%]

[4] συμπασχη **f**[35] [40%] CP ¦ συμπασχει (**𝔓**[46]ℵA,B,C) [60%] HF,RP,OC,TR,NU

[5] εν **f**[35] C [99%] HF,RP,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]ℵA,B [1%]

[6] συγχαιρη **f**[35] [40%] CP ¦ συγχαιρει (**𝔓**[46])ℵ(A,B,C) [60%] HF,RP,OC,TR,NU

[7] ειτα **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ επειτα **𝔓**[46]ℵA,B,C [3%] NU ¦ --- [1%]

[8] αντιληψεις *rell* ¦ αντιλημψεις (**𝔓**[46])ℵA,B [2%] NU

[9] κρειττονα **f**[35] (94.2%) HF,RP,OC,TR,CP ¦ μειζονα **𝔓**[46]ℵA,B,C (5.8%) NU

[10] μεθιστανειν **f**[35] A,C [97%] HF,RP,OC,TR,CP ¦ μεθισταναι **𝔓**[46]B,048 [3%] NU ¦ ℵ omits a whole verse [homoioteleuton]

[11] ουθεν *rell* ¦ ουδεν [5%] OC

[12] και εαν **f**[35] ℵ [97%] HF,RP,OC,TR,CP ¦ καν **𝔓**[46]A,B,C [3%] NU

[13] καυθησομαι **f**[35] (50.6%) OC ¦ καυθησωμαι C (44.7%) HF,RP,TR,CP ¦ καυθησεται (1%) ¦ καυθη (0.8%) ¦ καυχησωμαι **𝔓**[46]ℵA,B (1.5%) NU ¦ καυχησομαι 048 (0.5%) ¦ four further variants (0.8%) (As one of the speakers at the Perry Hall Theological Forum, January, 2005, Maurice Robinson explained that he and Pierpont chose the main minority reading here because to them it was the most difficult [!!]. But people expect the Subjunctive with ινα, so many scribes probably made the change virtually without thinking.)

[14] η αγαπη ου περπερευεται **f**[35] ℵC,048 (83.5%) HF,RP,OC,TR,CP[NU] ¦ 123 περπορευεται A (2.4%) ¦ 123 υπερπερευεται (0.5%) ¦ 34 B (12.9%) ¦ ~ 3412 **𝔓**[46] ¦ long omission (0.7%)

[15] εκπιπτει **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ πιπτει **𝔓**[46]ℵA,B,C,048 [2%] NU

[16] δε **f**[35] [92%] HF,RP,OC,CP ¦ γαρ **𝔓**[46]ℵA,B [8%] TR,NU

τότε[1] τὸ ἐκ μέρους καταργηθήσεται. **11** (Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν,[2] ὡς νήπιος ἐφρόνουν,[3] ὡς νήπιος ἐλογιζόμην·[4] ὅτε δὲ[5] γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου.) **12** Βλέπομεν γὰρ ἄρτι δι᾽ ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. Ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην.

13 Νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη.

Prophecy is better than Tongues

14:1 Διώκετε τὴν ἀγάπην, ζηλοῦτε δὲ τὰ πνευματικά, μᾶλλον δὲ ἵνα προφητεύητε. **2** Ὁ γὰρ λαλῶν γλώσσῃ οὐκ ἀνθρώποις λαλεῖ ἀλλὰ τῷ[6] Θεῷ, οὐδεὶς γὰρ ἀκούει· πνεύματι δὲ λαλεῖ μυστήρια. **3** Ὁ δὲ προφητεύων ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν. **4** Ὁ λαλῶν γλώσσῃ ἑαυτὸν οἰκοδομεῖ, ὁ δὲ προφητεύων ἐκκλησίαν οἰκοδομεῖ. **5** Θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα προφητεύητε· μείζων γὰρ[7] ὁ προφητεύων ἢ ὁ λαλῶν γλώσσαις (ἐκτὸς εἰ μὴ διερμηνεύει),[8] ἵνα ἡ ἐκκλησία οἰκοδομὴν λάβῃ.

Messages need to be intelligible

6 Νυνὶ[9] δέ, ἀδελφοί, ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω, ἐὰν μὴ ὑμῖν λαλήσω ἢ ἐν ἀποκαλύψει, ἢ ἐν γνώσει, ἢ ἐν προφητείᾳ, ἢ ἐν[10] διδαχῇ; **7** Ὅμως τὰ ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλὸς εἴτε κιθάρα· ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ διδῷ,[11] πῶς γνωσθήσεται τὸ αὐλούμενον ἢ τὸ κιθαριζόμενον; **8** Καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ[12] δῷ, τίς παρασκευάσεται εἰς πόλεμον; **9** Οὕτως καὶ ὑμεῖς· διὰ τῆς γλώσσης ἐὰν μὴ εὔσημον λόγον δῶτε, πῶς γνωσθήσεται τὸ λαλούμενον; Ἔσεσθε γὰρ εἰς ἀέρα λαλοῦντες. **10** Τοσαῦτα εἰ τύχοι γένη φωνῶν ἐστιν[13] ἐν κόσμῳ, καὶ οὐδὲν αὐτῶν[14] ἄφωνον. **11** Ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος, καὶ ὁ λαλῶν ἐν ἐμοὶ βάρβαρος.

12 Οὕτως καὶ ὑμεῖς· ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς ἐκκλησίας ζητεῖτε, ἵνα περισσεύητε. **13** Διόπερ[15] ὁ λαλῶν γλώσσῃ προσευχέσθω ἵνα διερμηνεύῃ. **14** Ἐὰν γὰρ[16] προσεύχωμαι[17] γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν. **15** Τί οὖν ἐστιν; Προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ. **16** Ἐπεί, ἐὰν εὐλογήσῃς[18] τῷ[19] πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου, πῶς ἐρεῖ τὸ «Ἀμὴν» ἐπὶ τῇ σῇ εὐχαριστίᾳ, ἐπειδὴ τί λέγεις οὐκ οἶδεν; **17** Σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ᾽ ὁ ἕτερος οὐκ οἰκοδομεῖται.

---

[1] τοτε **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B [6%] NU
[2] ως νηπιος ελαλουν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 312 **𝔓**[46]אA,B [5%] NU
[3] ως νηπιος εφρονουν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 312 אA,B [5%] NU
[4] ως νηπιος ελογιζομην **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 312 אA,B [5%] NU
[5] δε **f**[35] [98.5%] HF,RP,OC,TR,CP ¦ --- אA,B,048 [1.5%] NU
[6] τω **f**[35] A [98%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אB [2%] NU
[7] γαρ **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ δε **𝔓**[46]אA,B [3%] NU
[8] διερμηνευει **f**[35] [85%] HF,RP,OC,CP ¦ διερμηνευη **𝔓**[46]אA,B,048 [14%] TR,NU ¦ διερμηνευων [1%]
[9] νυνι **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ νυν אA,B [10%] NU
[10] εν **f**[35] A,B,048 [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]א [2%]
[11] διδω **f**[35] **𝔓**[46] [85%] HF,RP,OC,CP ¦ δω אA,B [15%] TR,NU
[12] φωνην σαλπιγξ **f**[35] B [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 (**𝔓**[46])א(A)048 [5%] NU
[13] εστιν **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ εισιν **𝔓**[46]אA,B [6%] NU
[14] αυτων **f**[35] (92.6%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,048 (7.4%) NU
[15] διοπερ **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ διο **𝔓**[46]אA,B,048 [3%] NU
[16] γαρ **f**[35] אA,048 [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]B [2%]
[17] προσευχωμαι *rell* ¦ προσευχομαι [15%]
[18] ευλογησης **f**[35] **𝔓**[46]048 [90%] HF,RP,OC,TR,CP ¦ ευλογης אA,B [10%] NU
[19] τω **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ εν B [2%] [NU] ¦ --- **𝔓**[46]אA [2%]

Paul's example

18 Εὐχαριστῶ τῷ Θεῷ μου[1] πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν,[2] **19** ἀλλ'[3] ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ τοῦ νοός[4] μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ μυρίους λόγους[5] ἐν γλώσσῃ.

20 Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν—ἀλλά, τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶν τέλειοι γίνεσθε.[6] **21** Ἐν τῷ νόμῳ γέγραπται ὅτι· «Ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέροις[7] λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ᾽ οὕτως εἰσακούσονταί μου,» λέγει Κύριος. **22** Ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν, οὐ τοῖς πιστεύουσιν ἀλλὰ τοῖς ἀπίστοις· ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις ἀλλὰ τοῖς πιστεύουσιν. **23** Ἐὰν οὖν συνέλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ καὶ πάντες γλώσσαις λαλῶσιν,[8] εἰσέλθωσιν δὲ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν ὅτι μαίνεσθε; **24** Ἐὰν δὲ πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων. **25** Καὶ οὕτως[9] τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται, καὶ οὕτως, πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων ὅτι, «Ὄντως ὁ Θεὸς ἐν ὑμῖν ἐστιν.»[10]

There are limits

26 Τί οὖν ἐστιν, ἀδελφοί; Ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν[11] ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν[12] ἔχει, ἑρμηνείαν ἔχει. Πάντα πρὸς οἰκοδομὴν γινέσθω.[13] **27** Εἴτε γλώσσῃ τις λαλεῖ, κατὰ δύο ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος, καὶ εἷς διερμηνευέτω. **28** Ἐὰν δὲ μὴ ᾖ διερμηνευτής, σιγάτω ἐν ἐκκλησίᾳ· ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ. **29** Προφῆται δὲ[14] δύο ἢ τρεῖς λαλείτωσαν,[15] καὶ οἱ ἄλλοι διακρινέτωσαν. **30** Ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω. **31** Δύνασθε γὰρ καθ᾽ ἕνα[16] πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσιν καὶ πάντες παρακαλῶνται. **32** Καί, πνεύματα προφητῶν προφήταις ὑποτάσσεται. **33** Οὐ γὰρ ἐστιν ἀκαταστασίας ὁ Θεὸς ἀλλ'[17] εἰρήνης.

Wives are not to speak

Ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων, **34** αἱ γυναῖκες ὑμῶν[18] ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν, οὐ γὰρ ἐπιτέτραπται[19] αὐταῖς[20] λαλεῖν, ἀλλ᾽ ὑποτάσσεσθαι,[21] καθὼς καὶ ὁ νόμος λέγει. **35** Εἰ δέ τι μαθεῖν θέλουσιν,[22] ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν, αἰσχρὸν γάρ

---

[1] μου **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ --- (**𝔓**[46])אA,B [6%] NU
[2] λαλων **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ λαλω אB,048 [3%] NU ¦ λαλειν **𝔓**[46] [1%] ¦ --- A
[3] αλλ *rell* ¦ αλλα **𝔓**[46]A,B [1%] NU ¦ --- א
[4] δια του νοος **f**[35] 048 (89.6%) HF,RP,OC,TR,CP ¦ 12 νους (1.9%) ¦ τω νοι אA,B (7.7%) NU ¦ εν τω νοι **𝔓**[46] (0.3%) ¦ two other readings (0.5%)
[5] λογους *rell* ¦ --- **𝔓**[46] [14%]
[6] γινεσθε *rell* ¦ γινεσθαι (A) [30%] some TRs
[7] ετεροις **f**[35] **𝔓**[46] [97%] HF,RP,OC,TR,CP ¦ ετερων אA,B,0201 [3%] NU
[8] γλωσσαις λαλωσιν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 אA,B [4%] NU ¦ ~ λαλησωσιν 1 **𝔓**[46]
[9] και ουτως **f**[35] (75.8%) RP ¦ 1 ουτω (17.3%) HF,OC,TR,CP ¦ 1 (0.8%) ¦ --- **𝔓**[46]אA,B,048,0201 (5.5%) NU ¦ long omission (0.5%)
[10] οντως ο θεος εν υμιν εστιν **f**[35] A,B [23%] CP,NU ¦ ~ 231456 [75%] HF,RP,OC,TR ¦ 23456 [1%] ¦ 13456 א [1%] ¦ ~ 145623 **𝔓**[46]
[11] υμων **f**[35] (96.8%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,0201 (3.2%) NU
[12] γλωσσαν εχει αποκαλυψιν **f**[35] [71%] HF,RP,OC,TR,CP ¦ ~ 321 **𝔓**[46]אA,B [14%] NU ¦ 3 [5%] ¦ --- [10%]
[13] γινεσθω **f**[35] א [95%] HF,RP,OC,CP,NU ¦ γενεσθω [3%] TR ¦ γεινεσθω **𝔓**[46]A,B [2%]
[14] δε *rell* ¦ --- **𝔓**[46] [1%] CP
[15] λαλειτωσαν *rell* ¦ λαλητωσαν [12%]
[16] ενα *rell* ¦ 1 εκαστοι [1%] CP
[17] αλλ **f**[35] (**𝔓**[46]) [70%] TR ¦ αλλα אA,B,C [30%] HF,RP,OC,CP,NU
[18] υμων **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- אA,B [3%] NU
[19] επιτετραπται **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ επιτρεπεται אB [3%] NU ¦ επιτρεπετε A [1%] ¦ επιτετρεπται [2%]
[20] αυταις *rell* ¦ αυτοις [2%] CP
[21] υποτασσεσθαι **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ υποτασσεσθωσαν א(A)B [2%] NU
[22] θελουσιν *rell* ¦ εθελουσιν [2%] CP

ἐστιν γυναιξὶν[1] ἐν ἐκκλησίᾳ[2] λαλεῖν.[3] **36** Ἢ ἀφ᾽ ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν; Ἢ εἰς ὑμᾶς μόνους κατήντησεν;

Paul gets ‘authoritative’

37 Εἴ τις δοκεῖ προφήτης εἶναι ἢ πνευματικός, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν ὅτι[4] Κυρίου εἰσὶν ἐντολαί.[5] **38** Εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω.[6]

39 Ὥστε, ἀδελφοί,[7] ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε.[8] **40** Πάντα[9] εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.

About resurrection

A review

15:1 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε· **2** δι᾽ οὗ καὶ σῴζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε—ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε. **3** Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ παρέλαβον· ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς Γραφάς, **4** καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ[10] κατὰ τὰς Γραφάς, **5** καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα[11] τοῖς δώδεκα. **6** Ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείους[12] μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ[13] ἐκοιμήθησαν. **7** Ἔπειτα ὤφθη Ἰακώβῳ, εἶτα[14] τοῖς ἀποστόλοις πᾶσιν. **8** Ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί. **9** Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ. **10** Χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι, καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη· ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα—οὐκ ἐγὼ δέ, ἀλλ᾽[15] ἡ χάρις τοῦ Θεοῦ ἡ[16] σὺν ἐμοί. **11** Εἴτε οὖν ἐγὼ εἴτε ἐκεῖνοι, οὕτως κηρύσσομεν καὶ οὕτως ἐπιστεύσατε.

Resurrection is a fact

12 Εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσίν τινες ἐν ὑμῖν[17] ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; **13** Εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται. **14** Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα[18] τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ[19] καὶ ἡ πίστις ὑμῶν.[20] **15** Εὑρισκόμεθα δὲ καὶ[21] ψευδομάρτυρες τοῦ Θεοῦ, ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ Θεοῦ ὅτι ἤγειρεν τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται. **16** Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται. **17** Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν· ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν. **18** Ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο. **19** Εἰ ἐν τῇ ζωῇ

---

[1] γυναιξιν **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ γυναικι **𝔓**[46]**א**A,B [7%] NU
[2] γυναιξιν εν εκκλησια *rell* ¦ ~ 231 CP
[3] εν εκκλησια λαλειν **f**[35] [87%] HF,RP,OC,TR,CP ¦ ~ 312 **𝔓**[46]**א**A,B [3%] NU ¦ 1 εκκλησιαις 3 [10%]
[4] οτι **f**[35] **𝔓**[46]**א**A,B [92%] HF,RP,CP,NU ¦ 1 του [8%] OC,TR
[5] εισιν εντολαι **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ εστιν εντολη **𝔓**[46]A,B,048 [2%] NU ¦ ~ 21 [1%] ¦ εστιν [1%] ¦ 1 αι 2 [2%] ¦ εντολη εστιν **א**
[6] αγνοειτω **f**[35] **𝔓**[46]B [89.5%] HF,RP,OC,TR,CP ¦ αγνωειτω [6%] ¦ αγνοειται **א**A,048 [1.5%] NU ¦ five more spellings [3%]
[7] αδελφοι **f**[35] **𝔓**[46] [80%] HF,RP,OC,TR ¦ 1 μου **א**A,B,048 [20%] CP[NU]
[8] γλωσσαις μη κωλυετε **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 231 **א**(A)048 [2%] NU ¦ ~ 23 εν 1 **𝔓**[46](B) ¦ εν 123 [1%]
[9] παντα **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ 1 δε **𝔓**[46]**א**A,B [7%] NU
[10] τη τριτη ημερα **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ~ 1312 **𝔓**[46]**א**A,B [3%] NU
[11] ειτα *rell* ¦ επειτα [10%]
[12] πλειους **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ πλειονες (**א**)A,B [5%] NU
[13] και **f**[35] 048 [98%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]**א**A,B [2%] NU
[14] ειτα **f**[35] B [65%] HF,RP,OC,TR,NU ¦ επειτα **𝔓**[46]**א**A,048 [35%] CP
[15] αλλ *rell* ¦ αλλα **א**A,B [1%] NU
[16] η **f**[35] (**𝔓**[46])A [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- **א**B,0270 [2%]
[17] τινες εν υμιν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ~ 321 (**𝔓**[46])**א**A,B,C [4%] NU
[18] αρα **f**[35] **𝔓**[46]B [70%] HF,RP,OC,TR,CP ¦ 1 και **א**A [30%] [NU]
[19] δε **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]**א**A,B [3%] NU
[20] υμων *rell* ¦ ημων B [25%]
[21] και *rell* ¦ 1 ημεις CP

ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ[1] μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν.

The sequence of events

20 Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν· ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο.[2] **21** Ἐπειδὴ γὰρ δι᾽ ἀνθρώπου ὁ[3] θάνατος, καὶ δι᾽ ἀνθρώπου ἀνάστασις νεκρῶν. **22** Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται. **23** Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι· ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ[4] Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ· **24** εἶτα τὸ τέλος, ὅταν παραδῷ[5] τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν. **25** Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις[6] οὗ ἂν[7] θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. **26** Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. **27** «Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ.» Ὅταν δὲ εἴπῃ ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. **28** Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα,[8] τότε καὶ[9] αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ[10] πάντα ἐν πᾶσιν.

Consequences of denial

29 Ἐπεί, τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν; Εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν;[11] **30** Τί καὶ ἡμεῖς κινδυνεύομεν[12] πᾶσαν ὥραν; **31** Καθ᾽ ἡμέραν ἀποθνήσκω—νὴ τὴν ὑμετέραν[13] καύχησιν[14] ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. **32** Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος; Εἰ νεκροὶ οὐκ ἐγείρονται, «Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν.» **33** Μὴ πλανᾶσθε· φθείρουσιν ἤθη χρηστὰ[15] ὁμιλίαι κακαί. **34** Ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε, ἀγνωσίαν γὰρ Θεοῦ τινες ἔχουσιν. Πρὸς ἐντροπὴν ὑμῖν[16] λέγω.[17]

A philosophical objection

35 Ἀλλ᾽[18] ἐρεῖ τις, «Πῶς ἐγείρονται οἱ νεκροί; Ποίῳ δὲ σώματι ἔρχονται;» **36** Ἄφρον,[19] σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται ἐὰν μὴ ἀποθάνῃ. **37** Καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον (εἰ τύχοι σίτου ἤ τινος τῶν λοιπῶν). **38** Ὁ δὲ Θεὸς αὐτῷ δίδωσιν[20] σῶμα καθὼς ἠθέλησεν, καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ[21] ἴδιον σῶμα. **39** Οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ· ἀλλὰ ἄλλη μὲν[22] ἀνθρώπων,[23] ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πτηνῶν.[24] **40** Καὶ

---

[1] ηλπικοτες εσμεν εν χριστω **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 3412 **𝔓**[46]א A,B [5%] NU
[2] εγενετο **f**[35] (93.7%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B (6.3%) NU
[3] ο **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B [3%] NU
[4] ο **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B [3%] NU
[5] παραδω **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ παραδιδω **𝔓**[46]א A,0270 [3%] NU ¦ παραδιδοι B [1%]
[6] αχρις **f**[35] [98%] HF,OC,TR,CP ¦ αχρι **𝔓**[46]א A,B [2%] RP,NU
[7] αν **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B [3%] NU
[8] οταν δε υποταγη αυτω τα παντα *rell* ¦ --- א [15%] [homoioteleuton]
[9] και **f**[35] א A [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- B [2%]
[10] τα **f**[35] א [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- A,B [2%]
[11] των νεκρων **f**[35] [77%] HF,RP,OC,TR,CP ¦ αυτων **𝔓**[46]א A,B [9%] NU ¦ αυτων 12 [5%] ¦ omit 3 or 4 words [9%]
[12] κινδυνευομεν *rell* ¦ 1 κατα [3%] CP
[13] υμετεραν *rell* ¦ ημετεραν A [15%]
[14] καυχησιν **f**[35] **𝔓**[46] (92.1%) HF,RP,OC,TR,CP ¦ 1 αδελφοι א A,B (7.9%) [NU]
[15] χρηστα **f**[35] **𝔓**[46]א A,B [95%] HF,RP,OC,NU ¦ χρησθ [2%] TR ¦ χριστα [3%] CP
[16] υμιν *rell* ¦ υμων [11%] CP
[17] λεγω **f**[35] A [85%] HF,RP,OC,TR,CP ¦ λαλω **𝔓**[46]א B [15%] NU
[18] αλλ *rell* ¦ αλλα B [1%] NU
[19] αφρον **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ αφρων **𝔓**[46]א A,B [15%] NU
[20] αυτω διδωσιν **f**[35] [81%] HF,RP,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]א A,B [9%] NU ¦ αυτο 2 [10%]
[21] το **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- א A,B,I[v] [5%] NU
[22] μεν *rell* ¦ 1 σαρξ TR
[23] [Human meat is not the same as animal meat!]
[24] ιχθυων αλλη δε πτηνων (πετεινων OC) **f**[35] [96%] HF,RP(OC)TR,CP ¦ ~ 4231 A [1%] ¦ ~ σαρξ 4 (πετηνων **𝔓**[46]) 231 (**𝔓**[46])א B [3%] NU

σώματα ἐπουράνια καὶ σώματα ἐπίγεια· ἀλλ'[1] ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. **41** Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ.

42 Οὕτως καὶ ἡ ἀνάστασις τῶν νεκρῶν· σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· **43** σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· **44** σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν.[2] Ἔστιν σῶμα ψυχικὸν καὶ ἔστιν σῶμα[3] πνευματικόν.

45 Οὕτως καὶ γέγραπται· «Ἐγένετο ὁ πρῶτος ἄνθρωπος, Ἀδάμ, εἰς ψυχὴν ζῶσαν»· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. **46** Ἀλλ᾽ οὐ πρῶτον τὸ πνευματικόν, ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν. **47** Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς, χοϊκός· ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος[4] ἐξ οὐρανοῦ. **48** Οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. **49** Καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν[5] καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.

Our turn is coming

50 Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται·[6] οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. **51** Ἰδού, μυστήριον ὑμῖν λέγω· Πάντες μὲν οὐ κοιμη-θησόμεθα,[7] πάντες δὲ ἀλλαγησόμεθα **52** —ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι—σαλπίσει γὰρ καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα. **53** Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. **54** Ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσε-ται ὁ λόγος ὁ γεγραμμένος· «Κατεπόθη ὁ θάνατος εἰς νῖκος.» **55** «Ποῦ σου, Θάνατε, τὸ κέντρον; Ποῦ σου, Ἅδη, τὸ νῖκος;»[8] **56** Τὸ δὲ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία, ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος.

57 Τῷ δὲ Θεῷ χάρις τῷ διδόντι[9] ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. **58** Ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε, εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστιν κενὸς ἐν Κυρίῳ.

Concluding topics

About a special collection

16:1 Περὶ δὲ τῆς λογίας[10] τῆς εἰς τοὺς ἁγίους, ὥσπερ διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτως καὶ ὑμεῖς ποιήσατε. **2** Κατὰ μίαν σαββάτων,[11] ἕκαστος ὑμῶν παρ᾽ ἑαυτῷ τιθέτω, θησαυρίζων ὅ τι ἂν[12] εὐοδοῦται,[13] ἵνα μὴ ὅταν ἔλθω τότε λογίαι[14] γίνωνται.[15] **3** Ὅταν δὲ παραγένωμαι, οὓς ἐὰν δοκι-μάσητε δι᾽ ἐπιστολῶν, τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς

---

[1] αλλ *rell* ¦ αλλα 𝔓46A,B [1%] NU

[2] πνευματικον **f**35 [96%] HF,RP,OC,TR,CP ¦ 1 ει 𝔓46אA,B,C [4%] NU

[3] και εστιν σωμα **f**35 [82%] HF,RP,OC,TR,CP ¦ ~ 21 𝔓46אA,B,C [4%] NU ¦ omit seven words [14%] [homoioteleuton]

[4] ο κυριος **f**35 A (97.5%) HF,RP,OC,TR,CP ¦ --- אB,C (2.4%) NU ¦ πνευματικος 𝔓46

[5] φορεσωμεν **f**35 (𝔓46)אA,C [82%] HF,RP,CP ¦ φορεσομεν B,I [18%] OC,TR,NU

[6] δυνανται **f**35 A,C [92%] HF,RP,OC,TR,CP ¦ δυναται אB [6%] NU ¦ δυνατε [2%]

[7] μεν ου κοιμηθησομεθα **f**35 (96.4%) HF,RP,OC,TR,CP ¦ 23 B (0.3%) NU ¦ 232 𝔓46 ¦ 13 (0.3%) ¦ ~ 132 אA (0.7%) ¦ ~ 32 C (0.5%) ¦ 1 ουν 3 (0.5%) ¦ ~ 1 ουν 32 (0.3%) ¦ three other readings (0.5%)

[8] κεντρον που σου αδη το νικος **f**35 (95.1%) HF,RP,OC,TR,CP ¦ ~ 623451 (2.9%) ¦ 123 θανατε 56 (0.5%) ¦ ~ 623 θανατε 51 (𝔓46)א(B)C,088 (1.2%) NU ¦ two other readings A (0.3%)

[9] διδοντι *rell* ¦ δοντι 𝔓46 [35%] ¦ two other readings [2%]

[10] λογιας *rell* ¦ λογειας NU ¦ ευλογιας [7%]

[11] σαββατων **f**35 [92%] HF,RP,OC,TR,CP ¦ σαββατω א ¦ σαββατου A,B,C,I [2%] NU ¦ σαββατον [6%]

[12] αν **f**35 אA,C [99.5%] HF,RP,OC,TR ¦ εαν B [0.5%] CP,NU

[13] ευοδουται **f**35 [30%] ¦ ευοδωται אB [61%] HF,RP,OC,TR,CP,NU ¦ ευοδωθη A,C,088 [3%] ¦ ευωδωτε [6%]

[14] λογιαι *rell* ¦ λογειαι 𝔓46 NU

[15] γινωνται *rell* ¦ γινονται (𝔓46) [15%] CP

Ἰερουσαλήμ.[1] **4** Ἐὰν δὲ ᾖ ἄξιον[2] τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται.

Personal plans

5 Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς ὅταν Μακεδονίαν[3] διέλθω (Μακεδονίαν γὰρ διέρχομαι). **6** Πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ καὶ παραχειμάσω, ἵνα ὑμεῖς με προπέμψητε,[4] οὗ ἐὰν πορεύωμαι.[5] **7** Οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν, ἐλπίζω δὲ[6] χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος ἐπιτρέπῃ.[7] **8** Ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς Πεντηκοστῆς, **9** θύρα γάρ μοι ἀνέῳγεν μεγάλη καὶ ἐνεργής, καὶ ἀντικείμενοι πολλοί.

This and that

10 Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς, τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται ὡς καὶ ἐγώ.[8] **11** Μή τις οὖν αὐτὸν ἐξουθενήσῃ·[9] προπέμψατε δὲ αὐτὸν ἐν εἰρήνῃ, ἵνα ἔλθῃ πρός με· ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν.

12 Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ· πολλὰ παρεκάλεσα αὐτὸν ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν, καὶ πάντως οὐκ ἦν θέλημα ἵνα νῦν ἔλθῃ· ἐλεύσεται δὲ ὅταν εὐκαιρήσῃ.

13 Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε. **14** Πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω.

15 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί (οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας, καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς), **16** ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις,[10] καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι. **17** Χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτουνάτου[11] καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν[12] ὑστέρημα οὗτοι ἀνεπλήρωσαν· **18** ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν· ἐπιγινώσκετε οὖν τοὺς τοιούτους.

Final greetings

19 Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας. Ἀσπάζονται[13] ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα,[14] σὺν τῇ κατ᾽ οἶκον αὐτῶν ἐκκλησίᾳ. **20** Ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ.

21 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρί, Παύλου. **22** Εἴ τις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν[15] Ἰησοῦν Χριστόν,[16] ἤτω ἀνάθεμα. Μαραναθά.

23 Ἡ χάρις τοῦ Κυρίου[17] Ἰησοῦ Χριστοῦ[18] μεθ᾽ ὑμῶν. **24** Ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ.

Ἀμήν.[19,20]

---

[1] ιερουσαλημ *rell* ¦ ιερουσαλημ HF,NU
[2] η αξιον **f**[35] א [96%] HF,RP,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]A,B,C,088 [4%] NU
[3] μακεδονιαν *rell* ¦ μακεδωνιαν CP (Also the next occurrence.)
[4] προπεμψητε *rell* ¦ προπεμψηται A [10%]
[5] πορευωμαι *rell* ¦ πορευομαι [11%] ¦ πορευσωμαι [4%]
[6] δε **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ γαρ **𝔓**[46]אA,B,C,088 [4%] NU
[7] επιτρεπη **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ επιτρεψη **𝔓**[46]אA,B,C [3%] NU
[8] και εγω **f**[35] [79%] HF,RP,TR,CP ¦ 2 **𝔓**[46]B [1%] ¦ καγω אA,C [20%] OC,NU
[9] εξουθενηση *rell* ¦ εξουθενησει [12%] CP
[10] τοιουτοις *rell* ¦ τιουτοις CP
[11] φουρτουνατου **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ φορτουνατου **𝔓**[46]אA,B,C [15%] NU
[12] υμων **f**[35] **𝔓**[46]אA [98%] HF,RP,OC,TR,CP ¦ υμετερον B,C [2%] NU
[13] ασπαζονται **f**[35] **𝔓**[46]B [96%] HF,RP,OC,TR,CP ¦ ασπαζεται אC [2%] NU,some TRs ¦ four other readings [2%] ¦ A omits the whole verse [homoioteleuton]
[14] πρισκιλλα **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ πρισκα אB [1.5%] NU ¦ πρεισκας **𝔓**[46] ¦ --- A see above
[15] ημων **f**[35] [58%] ¦ --- אA,B,C [42%] HF,RP,OC,TR,CP,NU
[16] ιησουν χριστον **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ --- אA,B,C [2%] NU
[17] κυριου **f**[35] אB,C [70%] HF,RP,OC,TR,CP,NU ¦ 1 ημων A [30%]
[18] χριστου **f**[35] A,C [97%] HF,RP,OC,TR,CP ¦ --- אB [3%] NU
[19] αμην **f**[35] אA,C [98%] HF,RP,OC,TR,CP ¦ --- B [2%] NU
[20] The citation of **f**[35] is based on thirty-four MSS—18, 35, 141, 201, 204, 386, 394, 444, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1249, 1503, 1548, 1637, 1761, 1855, 1864, 1865, 1892, 1897, 2080, 2352, 2431, 2466, 2554,

2587, 2723 and 2817—all of which I collated myself. 2554 is a 'perfect' representative of **f**[35] in 1 Corinthians, as it stands. 2723 has three variations from the presumed archetype, 35 also has three (but 35's exemplar only had one), 18 has five (but its exemplar only had two); the exemplar of 141 had one, that of 2466 had three, and so on. For a book this size the uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Aegean, Bucharest, Constantinople, Trikala, Meteora, Athens, Mt. Athos [eight different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I used Reuben Swanson's excellent collations (*New Testament Greek Manuscripts: 1 Corinthians* [Ed. Reuben Swanson, Carol Stream, IL: Tyndale House Publishers, 2005]). For 1 Corinthians Swanson collated 83 MSS, six being fragmentary (for any given variant set there will usually be at least 75 MSS listed), and I occasionally supplemented from Scrivener and von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±2%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±10%—by comparing Swanson with *TuT*, I believe one can make a fairly accurate extrapolation. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Β΄

Opening considerations

Greeting

1:1 Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ[1] διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός, τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, σὺν τοῖς ἁγίοις πᾶσιν τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαΐᾳ·[2] **2** Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Praise for deliverance

3 Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως, **4** ὁ παρακαλῶν ἡμᾶς ἐπὶ[3] πάσῃ τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς παρακλήσεως ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ. **5** Ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτως διὰ τοῦ[4] Χριστοῦ περισσεύει[5] καὶ ἡ παράκλησις ἡμῶν. **6** Εἴτε δὲ θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας, τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν[6] παθημάτων ὧν καὶ ἡμεῖς πάσχομεν **7** (καί, ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν)· εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας,[7] εἰδότες ὅτι ὥσπερ[8] κοινωνοί ἐστε τῶν παθημάτων, οὕτως καὶ τῆς παρακλήσεως.

8 Οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν[9] ἐν τῇ Ἀσίᾳ· ὅτι καθ᾽ ὑπερβολὴν ἐβαρήθημεν, ὑπὲρ δύναμιν,[10] ὥστε ἐξαπορηθῆναι ἡμᾶς[11] καὶ τοῦ ζῆν. **9** Ἀλλὰ[12] αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ᾽ ἑαυτοῖς, ἀλλ᾽ ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι[13] τοὺς νεκρούς· **10** ὃς ἐκ τηλικούτου θανάτου ἐρρύσατο ἡμᾶς, καὶ ῥύεται·[14] εἰς ὃν ἠλπίκαμεν ὅτι[15] καὶ ἔτι ῥύσεται, **11** συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει· ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ, ὑπὲρ ὑμῶν.[16]

A change of plans

12 Ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστίν· τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ[17] Θεοῦ,[18] οὐκ ἐν σοφίᾳ σαρκικῇ ἀλλ᾽ ἐν χάριτι Θεοῦ, ἀνεστράφημεν ἐν τῷ κόσμῳ, περισσοτέρως δὲ πρὸς ὑμᾶς. **13** Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν ἀλλ᾽ ἢ ἃ ἀναγινώσκετε ἢ καὶ ἐπιγινώσκετε· ἐλπίζω δὲ ὅτι καὶ[19] ἕως τέλους ἐπιγνώσεσθε **14** (καθὼς καὶ ἐπέγνωτε ἡμᾶς ἀπὸ

---

[1] ιησου χριστου **f**[35] A [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]א B [3%] NU

[2] ["In all Achaia"—Paul obviously intended that his letter have a wide distribution.]

[3] επι *rell* ¦ εν C [20%] OC

[4] του **f**[35] **𝔓**[46]אA,B,C [95%] RP,HF,CP,NU ¦ --- [5%] OC,TR

[5] περισσευει *rell* ¦ περισσευη [1%] CP

[6] αυτων *rell* ¦ αυτου [30%] ¦ αυτω [1%] ¦ --- [1%]

[7] και σωτηριας της ενεργουμενης εν υπομονη των αυτων παθηματων ων και ημεις πασχομεν και η ελπις ημων βεβαια υπερ υμων ειτε παρακαλουμεθα υπερ της υμων παρακλησεως και σωτηριας **f**[35] (90.6%) RP,HF,OC,CP ¦ ~ 1-13,21-28,14-20 (1%) TR ¦ 3-28 B (1.2%) ¦ ~ 1 2,21 26,3-20 אA,C (4.7%) NU ¦ 1-20 (0.5%) ¦ 3-20 (0.8%) ¦ ~ 1-2,21-26,3-9 **𝔓**[46] (0.3%) ¦ four further variations (0.8%)

[8] ωσπερ **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ ως אA,B,C [3.5%] NU ¦ οι [0.5%]

[9] ημιν **f**[35] (90.6%) RP,HF,OC,TR,CP ¦ --- אA,B,C (8.8%) NU ¦ υμιν (0.7%)

[10] εβαρηθημεν υπερ δυναμιν **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 231 אA,B,C [5%] NU

[11] ημας *rell* ¦ υμας [1%] CP

[12] αλλα *rell* ¦ αλλ אA,C [10%] CP

[13] εγειροντι **f**[35] (א)A,B,C [88%] RP,HF,OC,TR,CP,NU ¦ εγειραντι **𝔓**[46] [11.5%] ¦ εγιροντα [0.5%]

[14] και ρυεται **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ 1 ρυσεται **𝔓**[46]אB,C [3%] NU ¦ --- A [1%]

[15] οτι **f**[35] אA,C [93%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]B [7%]

[16] υμων **f**[35] **𝔓**[46]B [75%] RP,HF,CP ¦ ημων אA,C [25%] OC,TR,NU

[17] είλικρινεια **f**[35] [25%] ¦ εἰλικρινεια [60%] RP,HF,OC,TR,CP ¦ ειλικρινια [5%] ¦ 1 του **𝔓**[46]B [7%] NU ¦ ειλικρινια του אA,C [3%]

[18] θεου **f**[35] אA,C [97%] RP,HF,OC,TR,CP ¦ 1 και **𝔓**[46] B [3%] [NU]

[19] και **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [4%] NU

μέρους) ὅτι καύχημα ὑμῶν ἐσμεν, καθάπερ καὶ ὑμεῖς ἡμῶν, ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου[1] Ἰησοῦ.[2]

15 Καὶ ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην πρὸς ὑμᾶς ἐλθεῖν τὸ πρότερον[3] (ἵνα δευτέραν χάριν ἔχητε),[4] **16** καὶ δι᾽ ὑμῶν διελθεῖν[5] εἰς Μακεδονίαν, καὶ πάλιν ἀπὸ Μακεδονίας ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ὑφ᾽[6] ὑμῶν προπεμφθῆναι εἰς τὴν Ἰουδαίαν. **17** Τοῦτο οὖν βουλευόμενος,[7] μήτι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην; Ἢ ἃ βουλεύομαι, κατὰ σάρκα βουλεύομαι, ἵνα ᾖ παρ᾽ ἐμοὶ τὸ ‹ναί, ναὶ› καὶ τὸ ‹οὔ, οὔ›; **18** Πιστὸς δὲ ὁ Θεὸς ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο[8] ‹ναὶ› καὶ ‹οὔ,› **19** ὁ γὰρ τοῦ Θεοῦ[9] Υἱός, Ἰησοῦς Χριστός, ὁ ἐν ὑμῖν δι᾽ ἡμῶν κηρυχθείς—δι᾽ ἐμοῦ καὶ Σιλουανοῦ καὶ Τιμοθέου—οὐκ ἐγένετο ‹ναὶ› καὶ ‹οὔ.› Ἀλλά, ‹ναὶ› ἐν αὐτῷ γέγονεν, **20** ὅσαι γὰρ ἐπαγγελίαι[10] Θεοῦ, ἐν αὐτῷ τὸ[11] ‹ναί·› καὶ ἐν αὐτῷ[12] τὸ[13] ‹ἀμήν›, τῷ Θεῷ πρὸς δόξαν δι᾽[14] ἡμῶν. **21** Ὁ δὲ βεβαι-ῶν ἡμᾶς σὺν ὑμῖν[15] εἰς Χριστόν, καὶ χρίσας ἡμᾶς, Θεός, **22** ὁ[16] καὶ σφραγισάμενος ἡμᾶς καὶ δοὺς τὸν ἀρραβῶνα[17] τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν.

The change explained

23 Ἐγὼ δέ, μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι, ἐπὶ τὴν ἐμὴν ψυχήν, ὅτι φειδόμενος ὑμῶν οὐκέτι ἦλθον εἰς Κόρινθον. **24** (Οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν, τῇ γὰρ πίστει ἑστήκατε.)

2:1 Ἔκρινα δὲ[18] ἐμαυτῷ τοῦτο, τὸ μὴ πάλιν ἐν λύπῃ πρὸς ὑμᾶς ἐλθεῖν.[19] **2** Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν[20] ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; **3** Καὶ ἔγραψα ὑμῖν[21] τοῦτο αὐτὸ ἵνα μή, ἐλθών, λύπην[22] ἔχω[23] ἀφ᾽ ὧν ἔδει με χαίρειν, πεποιθὼς ἐπὶ πάντας ὑμᾶς ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστιν.

---

[1] κυριου **f**[35] **𝔓**[46v]A,C [92%] RP,HF,OC,TR ¦ 1 ημων ℵB [8%] CP[NU]

[2] ιησου *rell* ¦ 1 χριστου [15%] CP

[3] προς υμας ελθειν το προτερον **f**[35] (21.6%) ¦ 1235 (2.3%) OC,TR ¦ 123 ℵ (0.3%) ¦ ~ 31245 (61.1%) RP,HF,CP ¦ ~ 3125 (4%) ¦ ~ 45123 (1.5%) ¦ ~ 5123 A,B,C (7%) NU ¦ ~ 5312 (1.7%) ¦ two further variations (0.3%) (The only real question here is the position of ελθειν, before or after προς υμας—note that all the early MSS agree with **f**[35] about that.)

[4] εχητε **f**[35] A [97%] RP,HF,OC,TR,CP ¦ σχητε ℵB,C [3%] NU

[5] διελθειν **f**[35] (ℵ)B,C [85%] RP,HF,OC,TR,NU ¦ ελθειν [13%] CP ¦ απελθειν A [2%]

[6] υφ *rell* ¦ αφ **𝔓**[46] [12%]

[7] βουλευομενος **f**[35] [80%] RP,HF,TR,CP ¦ βουλομενος **𝔓**[46]ℵA,B,C [20%] OC,NU

[8] εγενετο **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ εστιν **𝔓**[46]ℵA,B,C [3%] NU

[9] γαρ του θεου **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ ~ 231 ℵA,B,C [4%] NU ¦ ~ 213 **𝔓**[46] ¦ 13 [0.5%] ¦ long omission [5%]

[10] επαγγελιαι **f**[35] **𝔓**[46]ℵB,C [80%] RP,HF,OC,TR,NU ¦ 1 του A [20%] CP

[11] το *rell* ¦ τω **f**[35pt] [10%] ¦ --- **𝔓**[46] [0.5%] (This one is complicated. I handle ‘the yes’ and ‘the amen’ as a single variation unit, since almost all the MSS are the same for both. However, there are no fewer than eleven corrections (about evenly divided), and two MSS split their vote. But what happened here? The grammar calls for the nominative, rather than the dative, but the translation will be the same. However, in both cases the immediately preceding pronoun is dative, which would have exerted attraction. Also, if the monk was not paying attention to the meaning, he could make the case agree, as a reflex action. Neither of those observations would explain the nominative, if the original were the dative. Further, the dative is almost the exclusive property of the **f**[35] splinter; all the early MSS (that are extant here) and almost all other MSS have the nominative.)

[12] και εν αυτω **f**[35] (90.8%) RP,HF,OC,TR,CP ¦ και δι αυτου **𝔓**[46] (1.3%) ¦ διο και δι αυτου ℵA,B,C (6.7%) NU ¦ three conflations (0.8%) ¦ three other variants (0.5%)

[13] το *rell* ¦ τω **f**[35pt] [10%] ¦ --- ℵ [0.5%] (See footnote `9` above.)

[14] δι *rell* ¦ --- C [10%]

[15] ημας συν υμιν *rell* ¦ υμας 2 ημιν C [5%] CP ¦ 12 ημιν [4%]

[16] ο *rell* ¦ --- ℵA,C [10%]

[17] αρραβωνα *rell* ¦ αραβωνα ℵA [10%] ¦ αρραβονα [3%]

[18] δε **f**[35] ℵA,C [98%] RP,HF,OC,TR,CP ¦ γαρ **𝔓**[46]B [2%] NU

[19] εν λυπη προς υμας ελθειν **f**[35] ℵA,B,C [95%] RP,HF,CP,NU ¦ ~ 51234 [3.5%] TR ¦ ~ 12534 **𝔓**[46v] [1.5%] OC

[20] εστιν **f**[35] [99%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B,C [1%] NU

[21] υμιν **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B,C [3%] NU

[22] λυπην **f**[35] **𝔓**[46]ℵA,B,C (90.2%) RP,HF,OC,TR,NU ¦ 1 επι 1 (5.5%) ¦ 1 επι λυπη (3.8%) CP? ¦ λψπη (0.5%)

[23] εχω **f**[35] C [95%] RP,HF,OC,TR ¦ σχω **𝔓**[46]ℵA,B [5%] CP,NU

About the first letter

4 Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν, διὰ πολλῶν δακρύων, οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς. **5** Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλὰ[1] ἀπὸ μέρους (ἵνα μὴ ἐπιβαρῶ) πάντας ὑμᾶς. **6** Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων, **7** ὥστε, τοὐναντίον, μᾶλλον ὑμᾶς χαρίσασθαι καὶ παρακαλέσαι, μή πως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. **8** Διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς αὐτὸν ἀγάπην.

9 Εἰς τοῦτο γὰρ καὶ ἔγραψα· ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε. **10** ὯΙ δέ τι χαρίζεσθε, καὶ ἐγώ·[2] καὶ γὰρ ἐγώ, εἴ τι κεχάρισμαι ᾧ,[3] κεχάρισμαι δι᾽ ὑμᾶς ἐν προσώπῳ Χριστοῦ, **11** ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.

An afterthought

12 Ἐλθὼν δὲ εἰς τὴν Τρῳάδα εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ θύρας μοι ἀνεῳγμένης ἐν Κυρίῳ, **13** οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τῷ[4] μὴ εὑρεῖν με Τίτον τὸν ἀδελφόν μου· ἀλλὰ ἀποταξάμενος αὐτοῖς ἐξῆλθον εἰς Μακεδονίαν.

We have a glorious ministry

A fragrance of life

2:14 Τῷ δὲ Θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι᾽ ἡμῶν ἐν παντὶ τόπῳ. **15** Ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ, ἐν τοῖς σῳζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις—**16** οἷς μὲν ὀσμὴ[5] θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν—καὶ πρὸς ταῦτα τίς ἱκανός; **17** Οὐ γάρ ἐσμεν ὡς οἱ λοιποί,[6] καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ· ἀλλ᾽ ὡς ἐξ εἰλικρινείας,[7] ἀλλ᾽ ὡς ἐκ Θεοῦ κατενώπιον τοῦ[8] Θεοῦ, ἐν Χριστῷ λαλοῦμεν.

An aside

3:1 (Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν; Εἰ[9] μὴ χρῄζομεν,[10] ὥς τινες, συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς ἢ ἐξ ὑμῶν συστατικῶν;[11] **2** Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε, ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν, γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων· **3** φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ, διακονηθεῖσα ὑφ᾽ ἡμῶν, ἐγγεγραμμένη οὐ μέλανι ἀλλὰ Πνεύματι Θεοῦ ζῶντος, οὐκ ἐν πλαξὶν λιθίναις ἀλλ᾽[12] ἐν πλαξὶν καρδίαις[13] σαρκίναις.[14])

Competent ministers

4 Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν Θεόν· **5** οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ᾽ ἑαυτῶν λογίσασθαί τι[15] ὡς ἐξ ἑαυτῶν, ἀλλ᾽ ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ—**6** ὃς καὶ ἱκάνωσεν

---

[1] αλλα *rell* ¦ αλλ [15%] TR

[2] και εγω **f**^{35} C [95%] RP,HF,OC,TR,CP ¦ καγω **𝔓**^{46}א A,B [5%] NU

[3] ει τι κεχαρισμαι ω **f**^{35} (83.7%) RP,HF,OC,TR,CP ¦ 123 (9.8%) [this variant also omits the following κεχαρισμαι] ¦ ~ 4312 (1.5%) ¦ ~ ο 312 **𝔓**^{46}אB (1.5%) NU ¦ ~ ο και χορισμαι 12 A,C (1.2%) ¦ 12 και χαρισμαι 4 (0.8%) ¦ three other variants (1.5%)

[4] τω *rell* ¦ το [11%] ¦ του א [1%]

[5] οσμη **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ 1 εκ **𝔓**^{46}אA,B,C [3%] NU (Twice.)

[6] λοιποι **f**^{35} **𝔓**^{46} (53.5%) RP,HF,OC,CP ¦ πολλοι אA,B,C (46.2%) TR,NU ¦ conflation (0.3%)

[7] είλικρινειας **f**^{35} [25%] ¦ είλικρινειας (B) [58%] RP,HF,OC,TR,CP,NU ¦ ειλικρινιας C [15.5%] ¦ ιλικρινιας (**𝔓**^{46})אA [1.5%]

[8] κατενωπιον του **f**^{35} (89.6%) RP,HF,OC,TR,CP ¦ 1 (4.7%) ¦ κατεναντι **𝔓**^{46}אA,B,C (3.4%) NU ¦ κατεναντι 2 (2%) ¦ conflation (0.3%)

[9] ει **f**^{35} A [80%] RP,HF,OC,TR,CP ¦ η **𝔓**^{46}אB,C [20%] NU

[10] χρηζομεν *rell* ¦ χριζομεν [8%] ¦ χρειζομεν [3%] ¦ χριζωμεν [2%] ¦ two other variants [1%]

[11] συστατικων **f**^{35} [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{46}אA,B,C [5%] NU

[12] αλλ *rell* ¦ αλλα OC,some TRs

[13] καρδιαις **f**^{35} אA,B,C [80%] RP,HF,OC,CP,NU ¦ καρδιας [20%] TR

[14] σαρκιναις *rell* ¦ σαρκικαις CP

[15] ικανοι εσμεν αφ εαυτων λογισασθαι τι **f**^{35} [95%] RP,HF,OC,TR,CP ¦ ~ 125634 A [1.5%] ¦ ~ 341256 (**𝔓**^{46})א(B)(C) [3%] NU ¦ two other variants

ἡμᾶς διακόνους καινῆς διαθήκης· οὐ γράμματος, ἀλλὰ Πνεύματος, τὸ γὰρ γράμμα ἀποκτένει,[1] τὸ δὲ Πνεῦμα ζωοποιεῖ.

A greater glory

7 Εἰ δὲ ἡ διακονία τοῦ θανάτου, ἐν γράμμασιν ἐντετυπωμένη ἐν[2] λίθοις, ἐγενήθη ἐν δόξῃ—ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέος[3] διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ (τὴν καταργουμένην)—**8** πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ Πνεύματος ἔσται ἐν δόξῃ; **9** Εἰ γὰρ ἡ[4] διακονία τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλλον περισσεύει[5] ἡ διακονία τῆς δικαιοσύνης ἐν[6] δόξῃ. **10** Καὶ γὰρ οὐ[7] δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, εἵνεκεν[8] τῆς ὑπερβαλλούσης δόξης—**11** εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ.

12 Ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ παρρησίᾳ χρώμεθα—**13** καὶ οὐ καθάπερ Μωϋσῆς,[9] ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ,[10] πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου. **14** Ἀλλ᾽,[11] ἐπωρώθη τὰ νοήματα αὐτῶν, ἄχρι γὰρ τῆς σήμερον[12] τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης μένει μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται. **15** Ἀλλ᾽ ἕως σήμερον, ἡνίκα[13] ἀναγινώσκεται[14] Μωσῆς,[15] κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται. **16** Ἡνίκα δ᾽ ἂν[16] ἐπιστρέψῃ[17] πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα. **17** Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν· οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ[18] ἐλευθερία. **18** Ἡμεῖς δὲ πάντες, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος.

But it is not easy

4:1 Διὰ τοῦτο, ἔχοντες τὴν διακονίαν ταύτην, καθὼς ἠλεήθημεν, οὐκ ἐκκακοῦμεν.[19] **2** Ἀλλά,[20] ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης, μὴ περιπατοῦντες ἐν πανουργίᾳ μηδὲ δολοῦντες τὸν λόγον τοῦ Θεοῦ, ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας συνιστῶντες[21] ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων, ἐνώπιον τοῦ Θεοῦ. **3** Εἰ δὲ καὶ ἔστιν κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶν κεκαλυμμένον, **4** ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσεν τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς[22] τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ.[23]

---

[1] αποκτενει **f**[35] **𝔓**[46]א A,C [60%] RP,HF,CP ¦ αποκτεννει [35%] OC,NU ¦ αποκτεινει B [5%] TR
[2] εν **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C [3%] NU
[3] μωυσεος **f**[35] [35%] CP ¦ μωυσεως **𝔓**[46]א B,C [55%] RP,HF,OC,NU ¦ μωσεως A [10%] TR
[4] η **f**[35] B [95.5%] RP,HF,OC,TR,CP ¦ τη **𝔓**[46]א A,C [3%] NU ¦ --- [1.5%]
[5] περισσευει **f**[35] **𝔓**[46]א A,B,C [96%] RP,HF,OC,TR,NU ¦ περισσευσει [3%] CP ¦ two other variants [1%]
[6] εν **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C [2%] NU
[7] ου **f**[35] **𝔓**[46]א A,B,C [95%] RP,HF,CP,NU ¦ ουδε [5%] OC,TR
[8] εινεκεν **f**[35] **𝔓**[46]א A,B [43%] CP,NU ¦ ενεκεν C [57%] RP,HF,OC,TR
[9] μωυσης **f**[35] א B,C [88%] RP,HF,OC,CP,NU ¦ μωσης A [12%] TR
[10] εαυτου **f**[35] א [90%] RP,HF,OC,TR,CP ¦ αυτου A,B,C [10%] NU
[11] αλλ *rell* ¦ αλλα B,NU ¦ --- **𝔓**[46] has a long lacuna
[12] σημερον **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ 1 ημερας **𝔓**[46]א A,B,C [10%] NU
[13] ηνικα **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ 1 αν א A,B,C [5%] NU ¦ 1 εαν **𝔓**[46]
[14] αναγινωσκεται **f**[35] [88%] RP,HF,OC,TR,CP ¦ αναγινωσκηται A,C [10%] NU ¦ αναγεινωσκηται **𝔓**[46]א B ¦ αναγινωσκητε [1%]
[15] μωσης **f**[35] A [40%] TR ¦ μωυσης **𝔓**[46]א B,C [60%] RP,HF,OC,CP,NU
[16] δ αν **f**[35] B [96%] RP,HF,OC,TR,CP ¦ δε εαν **𝔓**[46]א A [1%] NU ¦ δε C [2%] ¦ δε 2 [1%]
[17] επιστρεψη *rell* ¦ επιστρεψει [18%]
[18] εκει **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C [2%] NU
[19] εκκακουμεν **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ εγκακουμεν א A,B [2%] NU ¦ ενκακουμεν **𝔓**[46] [1%]
[20] αλλα *rell* ¦ αλλ [20%] OC,TR
[21] συνιστωντες **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ συνιστανοντες **𝔓**[46]B [2.5%] NU ¦ συνισταντες אC [3%] ¦ συνιστοντες [0.5%]
[22] αυτοις **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C [3%] NU
[23] θεου **f**[35] **𝔓**[46]א A,B,C [78%] RP,HF,OC,TR,NU ¦ 1 του αορατου [22%] CP

5 Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν[1] Κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν· **6** ὅτι ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι[2] ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ ἐν προσώπῳ Ἰησοῦ[3] Χριστοῦ. **7** Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ καὶ μὴ ἐξ ἡμῶν—**8** ἐν παντὶ θλιβόμενοι, ἀλλ᾽ οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ᾽ οὐκ ἐξαπορούμενοι· **9** διωκόμενοι, ἀλλ᾽ οὐκ ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ᾽ οὐκ ἀπολλύμενοι· **10** πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου[4] Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ. **11** Ἀεὶ γὰρ ἡμεῖς, οἱ ζῶντες, εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. **12** Ὥστε, ὁ μὲν[5] θάνατος ἐν ἡμῖν ἐνεργεῖται, ἡ δὲ ζωὴ ἐν ὑμῖν.

Momentary affliction, eternal glory

13 Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον, «Ἐπίστευσα· διὸ ἐλάλησα,» καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν, **14** εἰδότες ὅτι ὁ ἐγείρας τὸν Κύριον Ἰησοῦν, καὶ ἡμᾶς διὰ[6] Ἰησοῦ ἐγερεῖ[7] καὶ παραστήσει σὺν ὑμῖν.[8] **15** Τὰ γὰρ πάντα δι᾽ ὑμᾶς, ἵνα ἡ χάρις πλεονάσασα διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν[9] περισσεύσῃ[10] εἰς τὴν δόξαν τοῦ Θεοῦ.

16 Διὸ οὐκ ἐκκακοῦμεν[11]—ἀλλ᾽ εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται,[12] ἀλλ᾽ ὁ ἔσωθεν[13] ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ—**17** τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ᾽ ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, **18** μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια.

We live by faith

5:1 Οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν (οἰκίαν ἀχειροποίητον), αἰώνιον ἐν τοῖς οὐρανοῖς. **2** Καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες· **3** εἴ γε καὶ ἐνδυσάμενοι[14] οὐ γυμνοὶ εὑρεθησόμεθα. **4** Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι—ἐφ᾽ ᾧ[15] οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ᾽ ἐπενδύσασθαι· ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς.

5 Ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο Θεός, ὁ καὶ[16] δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ Πνεύματος. **6** Θαρροῦντες οὖν πάντοτε, καὶ εἰδότες ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι ἐκδημοῦμεν ἀπὸ τοῦ Κυρίου **7**—διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους—**8** θαρροῦμεν δὲ καὶ εὐδοκοῦμεν μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος καὶ ἐνδημῆσαι πρὸς τὸν Κύριον. **9** Διὸ καὶ φιλοτιμούμεθα (εἴτε ἐνδημοῦντες εἴτε ἐκδημοῦντες) εὐάρεστοι αὐτῷ εἶναι. **10** Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται[17] ἕκαστος τὰ διὰ[18] τοῦ σώματος,

---

[1] χριστον ιησουν **f**[35] B [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]א A,C [3%] NU
[2] λαμψαι **f**[35] C [98.5%] RP,HF,OC,TR,CP ¦ λαμψει **𝔓**[46]א A,B [1.5%] NU
[3] ιησου **f**[35] **𝔓**[46]א C [98.5%] RP,HF,OC,TR,CP[NU] ¦ --- A,B [0.5%] ¦ ~ χριστου 1 [1%]
[4] κυριου **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C [5%] NU
[5] μεν **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46](א)A,B,C [4%] NU
[6] δια **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ συν **𝔓**[46]א B,C [4%] NU
[7] εγερει **f**[35] **𝔓**[46]א B,C [87%] RP,HF,OC,TR,NU ¦ εξεγερει [13%] CP
[8] υμιν *rell* ¦ ημιν [15%]
[9] ευχαριστιαν *rell* ¦ ευχαριστειαν [13%]
[10] περισσευση *rell* ¦ περισσευη [9%] ¦ περισσευσει [10%] ¦ περισσευει [2%]
[11] εκκακουμεν **f**[35] C [98%] RP,HF,OC,TR,CP ¦ εγκακουμεν (**𝔓**[46])א B [2%] NU
[12] διαφθειρεται **f**[35] **𝔓**[46]א B(C) [78%] RP,HF,OC,TR,CP,NU ¦ φθειρεται [22%]
[13] εσωθεν **f**[35] [85%] RP,HF,OC,TR ¦ εσω [10%] CP ¦ εσω ημων **𝔓**[46]א B,C [4%] NU ¦ 1 ημων [1%]
[14] ενδυσαμενοι **f**[35] **𝔓**[46]א B,C [99%] RP,HF,OC,TR,CP ¦ εκδυσαμενοι D,NU ¦ εκλυσαμενοι [0.5%]
[15] εφ ω **f**[35] א B,C [95%] RP,HF,OC,CP,NU ¦ επειδη [5%] TR (Just for the record, **f**[35] has ῶ [no aspiration]—since the εφ indicates that the following vowel is aspirated, they were just saving ink, avoiding the redundancy.)
[16] και **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]א B,C [3%] NU
[17] κομισηται *rell* ¦ κομισητε [7%] CP ¦ εκομισηται א ¦ κομησηται [15%]
[18] δια *rell* ¦ ιδια **𝔓**[46] CP

πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε κακόν.[1] **11** Εἰδότες οὖν τὸν φόβον τοῦ Κυρίου, ἀνθρώπους πείθομεν.

Why Christ died

Θεῷ δὲ πεφανερώμεθα· ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν πεφανερῶσθαι. **12** Οὐ γὰρ[2] πάλιν ἑαυτοὺς συνιστάνομεν ὑμῖν, ἀλλὰ[3] ἀφορμὴν διδόντες ὑμῖν καυχήματος[4] ὑπὲρ ἡμῶν, ἵνα ἔχητε πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους[5] καὶ οὐ[6] καρδίᾳ.

13 Εἴτε γὰρ ἐξέστημεν, Θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν. **14** Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς, κρίναντας τοῦτο· ὅτι εἰ[7] εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον· **15** καὶ ὑπὲρ πάντων ἀπέθανεν ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ πάντων[8] ἀποθανόντι καὶ ἐγερθέντι.

We are Christ's ambassadors

16 Ὥστε, ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα—εἰ δὲ[9] καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ[10] νῦν οὐκέτι γινώσκομεν—**17** ὥστε, εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν· ἰδού, γέγονεν καινὰ τὰ πάντα.[11] **18** Τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ Ἰησοῦ[12] Χριστοῦ καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς, **19** ὡς ὅτι Θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων[13] ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν, καὶ θέμενος[14] ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς.

20 Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι᾽ ἡμῶν. Δεόμεθα ὑπὲρ Χριστοῦ· Καταλλάγητε τῷ Θεῷ. **21** Τὸν γὰρ[15] μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα[16] δικαιοσύνη Θεοῦ[17] ἐν αὐτῷ.

6:1 Συνεργοῦντες δὲ καὶ[18] παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς, **2** λέγει γάρ· «Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι.» Ἰδού, νῦν καιρὸς εὐπρόσδεκτος· ἰδού, νῦν ἡμέρα σωτηρίας.

What it costs to be Christ's ambassadors

3 (Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία· **4** ἀλλ᾽ ἐν παντὶ συνιστῶντες[19] ἑαυτοὺς ὡς Θεοῦ διάκονοι ἐν ὑπομονῇ πολλῇ—ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, **5** ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις· **6** ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν Πνεύματι Ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, **7** ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει Θεοῦ, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν· **8** διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας· ὡς πλάνοι καὶ ἀληθεῖς, **9** ὡς

---

[1] κακον **f**[35] **𝔓**[46] B (94.2%) RP,HF,OC,TR,CP ¦ φαυλον **א**C,048 (4.7%) NU ¦ four other variants (1.2%)
[2] γαρ **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]**א**B,C [3%] NU
[3] αλλα *rell* ¦ αλλ [15%] CP
[4] καυχηματος *rell* ¦ καυχησεως CP
[5] καυχωμενους *rell* ¦ καυχομενους [17%]
[6] ου **f**[35] C [95%] RP,HF,OC,TR,CP ¦ ουκ [1%] ¦ μη εν **𝔓**[46]**א**B [4%] NU
[7] ει **f**[35] C [50%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]**א**B [50%] NU (OC has small print.)
[8] παντων **f**[35] [35%] ¦ αυτων **𝔓**[46]**א**B,C [55%] RP,HF,OC,TR,CP,NU ¦ αυτων 1 [10%]
[9] δε **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]**א**B [2%] NU
[10] αλλα *rell* ¦ 1 και CP
[11] καινα τα παντα **f**[35] (56.3%) RP,HF,OC,TR ¦ ~ 231 (40.6%) CP ¦ 1 **𝔓**[46]**א**B,C,048 (2.3%) NU ¦ five other readings (0.8%)
[12] ιησου **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]**א**B,C [3%] NU
[13] καταλλασσων *rell* ¦ καταλασσων **א** [20%] ¦ καταλασων [1%] ¦ καταλλασσον [1%] ¦ καταλασον [1%]
[14] θεμενος **f**[35] [45%] CP ¦ 1 εν **𝔓**[46]**א**B,C [55%] RP,HF,OC,TR,NU
[15] γαρ **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]**א**B,C [3%] NU
[16] γενωμεθα **f**[35] **𝔓**[46]**א**B,C [85%] RP,HF,OC,CP,NU ¦ γινωμεθα [5%] TR ¦ γενομεθα [10%]
[17] δικαιοσυνη θεου *rell* ¦ ~ 21 [11%]
[18] και *rell* ¦ --- [16%]
[19] συνιστωντες **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ συνισταντες **𝔓**[46]**א**C [2%] NU ¦ συνιστανοντες B [2%] ¦ συνιστοντες [1%]

ἀγνοούμενοι καὶ ἐπιγινωσκόμενοι, ὡς ἀποθνήσκοντες καὶ ἰδοὺ ζῶμεν, ὡς παιδευόμενοι καὶ μὴ θανατούμενοι· **10** ὡς λυπούμενοι ἀεὶ δὲ χαίροντες, ὡς πτωχοὶ πολλοὺς δὲ πλουτίζοντες, ὡς μηδὲν ἔχοντες καὶ πάντα κατέχοντες.)

An aside

11 Τὸ στόμα ἡμῶν ἀνέῳγεν πρὸς ὑμᾶς, Κορίνθιοι, ἡ καρδία ἡμῶν πεπλάτυνται. **12** Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν. **13** Τὴν δὲ αὐτὴν ἀντιμισθίαν (ὡς τέκνοις λέγω), πλατύνθητε καὶ ὑμεῖς.

Separation is a 'must'

14 Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις· τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; Τίς δὲ[1] κοινωνία φωτὶ πρὸς σκότος; **15** Τίς δὲ συμφώνησις Χριστῷ[2] πρὸς Βελίαρ;[3] Ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; **16** Τίς δὲ συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; Ὑμεῖς[4] γὰρ ναὸς Θεοῦ ἐστε[5] ζῶντος, καθὼς εἶπεν ὁ Θεὸς ὅτι· «Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω· καὶ ἔσομαι αὐτῶν Θεὸς καὶ αὐτοὶ ἔσονταί μοι[6] λαός.» **17** Διὸ «Ἐξέλθετε[7] ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε,» λέγει Κύριος, «καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς.» **18** Καί, «Ἔσομαι ὑμῖν εἰς Πατέρα, καὶ ὑμεῖς ἔσεσθέ[8] μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος Παντοκράτωρ.»

7:1 Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοί, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην[9] ἐν φόβῳ Θεοῦ.

Titus, and the first letter

Introduction

7:2 Χωρήσατε ἡμᾶς· οὐδένα ἠδικήσαμεν, οὐδένα ἐφθείραμεν, οὐδένα ἐπλεονεκτήσαμεν. **3** Οὐ πρὸς κατάκρισιν[10] λέγω, προείρηκα γὰρ ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐστε, εἰς τὸ συναποθανεῖν καὶ συζῆν. **4** Πολλή μοι παρρησία πρὸς ὑμᾶς· πολλή μοι καύχησις ὑπὲρ ὑμῶν. Πεπλήρωμαι τῇ παρακλήσει, ὑπερπερισσεύομαι τῇ χαρᾷ ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν.

Enter Titus

5 Καὶ γάρ, ἐλθόντων ἡμῶν εἰς Μακεδονίαν οὐδεμίαν ἔσχηκεν ἄνεσιν ἡ σὰρξ ἡμῶν, ἀλλ' ἐν παντὶ θλιβόμενοι—ἔξωθεν μάχαι, ἔσωθεν φόβοι. **6** Ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς παρεκάλεσεν ἡμᾶς, ὁ Θεός,[11] ἐν τῇ παρουσίᾳ Τίτου· **7** οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ, ἀλλὰ καὶ ἐν τῇ παρακλήσει ᾗ παρεκλήθη ἐφ' ὑμῖν, ἀναγγέλλων[12] ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμόν, τὸν ὑμῶν ζῆλον ὑπὲρ ἐμοῦ, ὥστε με[13] μᾶλλον χαρῆναι.

The effect of the first letter

8 Ὅτι εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ, οὐ μεταμέλομαι (εἰ καὶ μετεμελόμην), βλέπω γὰρ[14] ὅτι ἡ ἐπιστολὴ ἐκείνη, εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν ὑμᾶς. **9** Νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν. Ἐλυπήθητε γὰρ κατὰ Θεόν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν.

---

[1] τις δε **f**[35] [93%] RP,HF,OC,TR,CP ¦ ~ η 1 **𝔓**[46]**א**B,C [7%] NU
[2] χριστω **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ χριστου **𝔓**[46]**א**B,C [2%] NU
[3] χριστω **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ χριστου **𝔓**[46]**א**B,C [2%] NU
[4] χριστω **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ χριστου **𝔓**[46]**א**B,C [2%] NU
[5] εστε **f**[35] **𝔓**[46] C [93%] RP,HF,OC,TR,CP ¦ εσμεν **א**B [4%] NU ¦ εσται [3%]
[6] μοι **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ μου **𝔓**[46]**א**B,C [2%] NU
[7] εξελθετε **f**[35] [95%] RP,HF,TR,CP ¦ εξελθατε **𝔓**[46]B,C [5%] OC,NU ¦ εξελθαται **א**
[8] εσεσθε *rell* ¦ εσεσθαι [11%]
[9] αγιωσυνην *rell* ¦ αγιοσυνην [11%] ¦ αγιωσυνης **𝔓**[46]
[10] ου προς κατακρισιν **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ~ 231 **𝔓**[46]**א**B,C [3%] NU
[11] ο θεος *rell* ¦ --- CP
[12] αναγγελλων *rell* ¦ αναγγελων [6%] CP
[13] με *rell* ¦ --- [12%]
[14] γαρ **f**[35] **א**C [99.5%] RP,HF,OC,TR,CP[NU] ¦ --- (**𝔓**[46])B [0.5%]

10 Ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται,[1] ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται.[2]

11 Ἰδοὺ γὰρ αὐτὸ τοῦτο, τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς,[3] πόσην κατειργάσατο[4] ὑμῖν σπουδήν —ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλ'[5] ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλ'[6] ἐκδίκησιν. Ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν[7] τῷ πράγματι. **12** Ἄρα εἰ καὶ ἔγραψα ὑμῖν, οὐχ εἵνεκεν[8] τοῦ ἀδικήσαντος, οὐδὲ εἵνεκεν[9] τοῦ ἀδικηθέντος, ἀλλ᾽ εἵνεκεν[10] τοῦ φανερωθῆναι τὴν σπουδὴν ὑμῶν τὴν ὑπὲρ ἡμῶν[11] πρὸς ὑμᾶς, ἐνώπιον τοῦ Θεοῦ. **13** Διὰ τοῦτο παρακεκλήμεθα.

Titus again

Ἐπὶ τῇ παρακλήσει ὑμῶν, περισσοτέρως δὲ[12] μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου, ὅτι ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων ὑμῶν. **14** Ὅτι εἴ τι αὐτῷ ὑπὲρ ὑμῶν κεκαύχημαι, οὐ κατησχύνθην, ἀλλ᾽ ὡς πάντα ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν, οὕτως καὶ ἡ καύχησις ἡμῶν ἡ ἐπὶ Τίτου ἀλήθεια ἐγενήθη. **15** Καί, τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως εἰς ὑμᾶς ἐστιν, ἀναμιμνησκομένου τὴν πάντων ὑμῶν ὑπακοήν, ὡς μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν. **16** Χαίρω ὅτι ἐν παντὶ θαρρῶ ἐν ὑμῖν.

The collection for the church in Jerusalem

The Macedonian example

8:1 Γνωρίζομεν[13] δὲ ὑμῖν, ἀδελφοί, τὴν χάριν τοῦ Θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας, **2** ὅτι ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν καὶ ἡ κατὰ βάθους πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον[14] τῆς ἁπλότητος αὐτῶν. **3** Ὅτι κατὰ δύναμιν, μαρτυρῶ, καὶ ὑπὲρ[15] δύναμιν, αὐθαίρετοι, **4** μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους δέξασθαι ἡμᾶς[16] **5**—καὶ οὐ καθὼς ἠλπίσαμεν, ἀλλ᾽ ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ Κυρίῳ (καὶ ἡμῖν, διὰ θελήματος Θεοῦ), **6** εἰς τὸ παρακαλέσαι ἡμᾶς Τίτον, ἵνα καθὼς προενήρξατο, οὕτως καὶ ἐπιτελέσῃ[17] εἰς ὑμᾶς καὶ τὴν χάριν ταύτην. **7** Ἀλλ᾽ ὥσπερ ἐν παντὶ περισσεύετε—πίστει καὶ λόγῳ καὶ γνώσει καὶ πάσῃ σπουδῇ καὶ τῇ ἐξ ὑμῶν ἐν ἡμῖν[18] ἀγάπῃ—ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε.

Christ's example

8 Οὐ κατ᾽ ἐπιταγὴν λέγω, ἀλλὰ διὰ τῆς ἑτέρων σπουδῆς καὶ τὸ τῆς ὑμετέρας ἀγάπης γνήσιον δοκιμάζων. **9** Γινώσκετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι᾽ ἡμᾶς[19]

---

[1] κατεργαζεται **f**[35] [98.5%] RP,HF,OC,TR,CP ¦ εργαζεται **𝔓**[46]**א**B,C [1.5%] NU

[2] η δε του κοσμου λυπη θανατον κατεργαζεται *rell* ¦ --- [14%] CP (A clear case of homoioteleuton.)

[3] υμας **f**[35] [86%] RP,HF,OC,TR,CP ¦ ημας [12%] ¦ --- **𝔓**[46]**א**B,C [2%] NU

[4] κατειργασατο *rell* ¦ 1 εν C [18%] CP

[5] αλλ **f**[35] [27%] ¦ αλλα **𝔓**[46]**א**A,B,C [73%] RP,HF,OC,TR,CP,NU

[6] αλλ **f**[35] [50%] TR ¦ αλλα **𝔓**[46]**א**A,B,C [50%] RP,HF,OC,CP,NU

[7] εν **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ --- **א**B,C [4%] NU

[8] εινεκεν **f**[35] [65%] RP,HF,OC,TR,CP ¦ ενεκεν **א**B,C [35%] NU

[9] εινεκεν **f**[35] [65%] RP,HF,OC,TR,CP ¦ ενεκεν **א**B,C [35%] NU

[10] εινεκεν **f**[35] [65%] RP,HF,OC,TR ¦ ενεκεν **𝔓**[46]**א**B,C [35%] CP,NU

[11] ημων *rell* ¦ υμων **א** [14%]

[12] τη παρακλησει υμων περισσοτερως δε **f**[35] [75%] TR ¦ 1234 [2%] ¦ ~ 12534 [2%] ¦ ~ 51234 [17%] RP,HF,OC,CP ¦ ~ 512 ημων 4 **א**B(C) [3%] NU ¦ 12 ημων 4 **𝔓**[46]

[13] γνωριζομεν *rell* ¦ γνωριζω [23%] OC ¦ γνωριζωμεν [2%]

[14] τον πλουτον **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ το πλουτος **𝔓**[46]**א**B,C [2%] NU

[15] υπερ **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ παρα **א**B,C [2%] NU

[16] δεξασθαι ημας **f**[35] [30%] CP,TR ¦ --- **𝔓**[46]**א**B,C [70%] RP,HF,OC,NU

[17] επιτελεση *rell* ¦ επιτελεσει [24%]

[18] υμων εν ημιν **f**[35] **א**C [90%] RP,HF,OC,TR,CP ¦ ημων εν υμιν (**𝔓**[46])B [7%] NU ¦ 12 υμιν [1.5%] ¦ two other variants

[19] ημας **f**[35] C [40%] ¦ υμας **f**[35pt] **𝔓**[46]**א**B [60%] RP,HF,OC,TR,CP,NU ('For your sakes' agrees with the complement; "for our sakes" is more inclusive; both are true. Since the second person agrees with the complement, it is expected, so if the second person were original, why would anyone change it to the first person? So where did the

ἐπτώχευσεν, πλούσιος ὤν, ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε. **10** Καὶ γνώμην ἐν τούτῳ δίδωμι (τοῦτο γὰρ ὑμῖν συμφέρει, οἵτινες οὐ μόνον τὸ ποιῆσαι ἀλλὰ καὶ τὸ θέλειν προενήρξασθε ἀπὸ πέρυσι)· **11** νυνὶ δὲ καὶ τὸ ποιῆσαι ἐπιτελέσατε—ὅπως καθάπερ ἡ προθυμία τοῦ θέλειν, οὕτως καὶ τὸ ἐπιτελέσαι—ἐκ τοῦ ἔχειν **12** (εἰ γὰρ ἡ προθυμία πρόκειται, καθὸ ἐὰν[1] ἔχῃ[2] τις,[3] εὐπρόσδεκτος, οὐ καθὸ[4] οὐκ ἔχει). **13** Οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ[5] θλῖψις, **14** ἀλλ᾽ ἐξ ἰσότητος—ἐν τῷ νῦν καιρῷ τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα, ἵνα καὶ τὸ ἐκείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα—ὅπως γένηται ἰσότης· **15** καθὼς γέγραπται· «Ὁ[6] τὸ πολὺ οὐκ ἐπλεόνασεν, καὶ ὁ[7] τὸ ὀλίγον οὐκ ἠλαττόνησεν.»

When handling money, avoid criticism

16 Χάρις δὲ τῷ Θεῷ τῷ διδόντι[8] τὴν αὐτὴν σπουδὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ Τίτου· **17** ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο, σπουδαιότερος δὲ ὑπάρχων, αὐθαίρετος ἐξῆλθεν πρὸς ὑμᾶς. **18** Συνεπέμψαμεν δὲ μετ᾽ αὐτοῦ τὸν ἀδελφὸν οὗ ὁ[9] ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν· **19** οὐ μόνον δέ—ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν συνέκδημος ἡμῶν σὺν τῇ χάριτι ταύτῃ, τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν πρὸς τὴν αὐτοῦ[10] τοῦ Κυρίου δόξαν, καὶ προθυμίαν ἡμῶν,[11] **20** στελλόμενοι τοῦτο, μή τις ἡμᾶς[12] μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν· **21** προνοούμενοι[13] καλά, οὐ μόνον ἐνώπιον Κυρίου ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. **22** Συνεπέμψαμεν δὲ αὐτοῖς τὸν ἀδελφὸν ἡμῶν ὃν ἐδοκιμάσαμεν ἐν πολλοῖς πολλάκις σπουδαῖον ὄντα, νυνὶ δὲ πολὺ σπουδαιότερον, πεποιθήσει πολλῇ τῇ εἰς ὑμᾶς.[14] **23** Εἴτε ὑπὲρ Τίτου, κοινωνὸς ἐμὸς καὶ εἰς ὑμᾶς συνεργός· εἴτε ἀδελφοὶ ἡμῶν, ἀπόστολοι ἐκκλησιῶν, δόξα Χριστοῦ. **24** Τὴν οὖν ἔνδειξιν τῆς ἀγάπης ὑμῶν (καὶ ἡμῶν καυχήσεως ὑπὲρ ὑμῶν) εἰς αὐτοὺς ἐνδείξασθε[15] εἰς[16] πρόσωπον τῶν ἐκκλησιῶν.

A little precaution

9:1 Περὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους, περισσόν μοί ἐστιν τὸ γράφειν ὑμῖν· **2** οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν, ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι Ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι, καὶ ὁ[17] ἐξ[18] ὑμῶν ζῆλος ἠρέθισεν τοὺς πλείονας. **3** Ἔπεμψα δὲ τοὺς ἀδελφοὺς ἵνα μὴ τὸ καύχημα ἡμῶν τὸ ὑπὲρ ὑμῶν κενωθῇ ἐν τῷ μέρει τούτῳ, ἵνα καθὼς ἔλεγον, παρεσκευασμένοι[19] ἦτε **4**—μή πως, ἐὰν ἔλθωσιν σὺν ἐμοὶ Μακεδόνες καὶ εὕρωσιν ὑμᾶς ἀπαρασκεύαστους,

---

first person come from? The better representatives generally have the first person. Furthermore, we have a curious circumstance: 28 of the MSS having the second person form the second subgroup identified in 1 Peter, and about half of them come from a single monastery, M. Lavras. The difference is slight, but the first person includes the other, but not vice versa. Although there is doubt, I consider that the first form reproduces the archetype.)

[1] καθὸ εαν **f**[35] B,C [30%] RP,HF,OC,TR,CP,NU ¦ καθὸ αν **א** [3%] ¦ καθ ὃ εαν [58%] ¦ καθ ὃ αν [9%]

[2] εχη *rell* ¦ εχει [13%]

[3] τις **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ --- **א**B,C [10%] NU

[4] καθὸ *rell* ¦ καθ ὃ [58%] [The meaning would appear to be virtually the same.]

[5] δε **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ --- **א**B,C [2%] NU

[6] ο *rell* ¦ ω [1%] CP

[7] ο *rell* ¦ ω [1%] CP ¦ --- [39%]

[8] διδοντι **f**[35] **א**B(C)I [65%] RP,HF,OC,TR,CP ¦ δοντι **𝔓**[46] [34%] NU ¦ διδουντι [1%]

[9] ο *rell* ¦ --- [1%] CP

[10] αυτου **f**[35] **א** [92%] RP,HF,OC,TR,CP[NU] ¦ --- B,C [5%] ¦ αυτην [3%] ¦ --- **𝔓**[46] has a long omission

[11] ημων **f**[35] **א**B,C [94%] RP,HF,OC,NU ¦ υμων [6%] CP,TR ¦ --- **𝔓**[46] has a long omission

[12] ημας *rell* ¦ υμας [15%]

[13] προνοουμενοι **f**[35] (85.1%) RP,HF,OC,TR,CP ¦ 1 γαρ C (5.5%) ¦ προνοουμεν γαρ **𝔓**[46]**א**B (8.7%) NU ¦ προνοουμεν (0.7%)

[14] υμας *rell* ¦ ημας [14%]

[15] ενδειξασθε **f**[35] C [97.5%] RP,HF,OC,TR,CP ¦ ενδεικνυμενοι B [1%] NU ¦ ενδειξασθαι (**א**) [1.5%]

[16] εις **f**[35] **א**B,C [95%] RP,HF,OC,CP,NU ¦ και 1 [5%] TR

[17] ο **f**[35] C [99%] RP,HF,OC,TR,CP ¦ το **𝔓**[46]**א**B [1%] NU

[18] εξ **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]**א**B,C [3%] NU

[19] παρεσκευασμενοι *rell* ¦ παρασκευασμενοι [20%] ¦ παρασκευασαμενοι [3%]

καταισχυνθῶμεν ἡμεῖς (ἵνα μὴ λέγωμεν[1] ὑμεῖς) ἐν τῇ ὑποστάσει ταύτῃ τῆς καυχήσεως.[2] **5** Ἀναγκαῖον οὖν ἡγησάμην παρακαλέσαι τοὺς ἀδελφούς, ἵνα προέλθωσιν εἰς ὑμᾶς καὶ προκαταρτίσωσιν τὴν προκατηγγελμένην[3] εὐλογίαν ὑμῶν, ταύτην ἑτοίμην εἶναι, οὕτως ὡς εὐλογίαν καὶ μὴ ὡς[4] πλεονεξίαν.

Kingdom economics

6 Τοῦτο δέ, ὁ σπείρων φειδομένως φειδομένως καὶ θερίσει, καὶ ὁ σπείρων ἐπ᾽ εὐλογίαις ἐπ᾽ εὐλογίαις καὶ θερίσει. **7** Ἕκαστος καθὼς προαιρεῖται[5] τῇ καρδίᾳ, μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης, ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. **8** Δυνατὸς[6] δὲ ὁ Θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς, ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν—**9** καθὼς γέγραπται· «Ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα»—**10** ὁ δὲ ἐπιχορηγῶν σπέρμα[7] τῷ σπείροντι καὶ ἄρτον εἰς βρῶσιν χορηγῆσαι,[8] καὶ πληθῦναι[9] τὸν σπόρον ὑμῶν καὶ αὐξῆσαι[10] τὰ γενήματα[11] τῆς δικαιοσύνης ὑμῶν· **11** ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι᾽ ἡμῶν εὐχαριστίαν τῷ Θεῷ. **12** Ὅτι ἡ διακονία τῆς λειτουργίας[12] ταύτης οὐ μόνον ἐστὶν προσαναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ Θεῷ **13**—διὰ τῆς δοκιμῆς τῆς διακονίας ταύτης, δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτοὺς καὶ εἰς πάντας—**14** καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν, ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ Θεοῦ ἐφ᾽ ὑμῖν.

15 Χάρις δὲ[13] τῷ Θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ.

Paul's defense of his apostolic authority

Weapons of spiritual warfare

10:1 Αὐτὸς δὲ ἐγώ, Παῦλος, παρακαλῶ ὑμᾶς διὰ τῆς πραΰτητος[14] καὶ ἐπιεικείας τοῦ Χριστοῦ (ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαρρῶ εἰς ὑμᾶς). **2** Δέομαι δέ, τὸ μὴ παρὼν θαρρῆσαι τῇ πεποιθήσει ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦντας. **3** Ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα, **4** τὰ γὰρ ὅπλα τῆς στρατείας[15] ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων· **5** λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ· καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ· **6** καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή.

Paul is criticized

7 Τὰ κατὰ πρόσωπον βλέπετε; Εἴ τις πέποιθεν ἑαυτῷ Χριστοῦ εἶναι, τοῦτο λογιζέσθω πάλιν

---

[1] λεγωμεν **f**[35] ℵB [93%] RP,HF,OC,TR,CP ¦ λεγω **𝔓**[46]C [1%] NU ¦ λεγομεν [2%] ¦ omit whole clause [4%] [homoioteleuton]

[2] της καυχησεως **f**[35] (96.3%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵB,C (3.7%) NU

[3] προκατηγγελμενην **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ προεπηγγελμενην **𝔓**[46]ℵB,C [3%] NU ¦ κατηγγελμενην [1%]

[4] ως **f**[35] **𝔓**[46]ℵB,C [95%] RP,HF,OC,CP,NU ¦ ωσπερ [4%] TR ¦ --- [1%]

[5] προαιρειται **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ προηρηται ℵB,C [1%] NU ¦ προειρηται [2%] ¦ four other variants [2%]

[6] δυνατος **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ δυνατει **𝔓**[46]ℵB,C [2%] NU

[7] σπερμα **f**[35] ℵC [99%] RP,HF,OC,TR,CP ¦ σπορον **𝔓**[46]B [1%] NU

[8] χορηγησαι **f**[35] (95%) RP,HF,OC,TR,CP ¦ χορηγησει **𝔓**[46]ℵB,C,048 (5%) NU (This form, and the next two, have usually been taken as Optative, but I understand them to be Aorist Infinitive.)

[9] πληθυναι **f**[35] (95.5%) RP,HF,OC,TR,CP ¦ πληθυνει **𝔓**[46]ℵB,048 (4.5%) NU ¦ πληθυνη C

[10] αυξησαι **f**[35] **𝔓**[46] (95.8%) RP,HF,OC,TR,CP ¦ αυξησει ℵB,C,048 (4.2%) NU

[11] γενηματα **f**[35] **𝔓**[46]ℵB,C [94%] RP,HF,OC,CP,NU ¦ γεννηματα [6%] TR

[12] λειτουργιας *rell* ¦ λειτουργειας C [2%] CP

[13] δε **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵB,C [2%] NU

[14] πραοτητος **f**[35] C [98%] RP,HF,OC,TR,CP ¦ πραυτητος ℵB [2%] NU

[15] στρατειας **f**[35] **𝔓**[46] [77%] RP,HF,OC,TR,CP,NU ¦ στρατιας ℵB,C [23%]

ἀφ'[1] ἑαυτοῦ, ὅτι καθὼς αὐτὸς Χριστοῦ, οὕτως καὶ ἡμεῖς Χριστοῦ.[2] **8** Ἐάν τε[3] γὰρ καὶ[4] περισσότερόν τι καυχήσωμαι[5] περὶ τῆς ἐξουσίας ἡμῶν (ἧς ἔδωκεν ὁ Κύριος ἡμῖν[6] εἰς οἰκοδομήν, καὶ οὐκ εἰς καθαίρεσιν ὑμῶν), οὐκ αἰσχυνθήσομαι, **9** ἵνα[7] μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς διὰ τῶν ἐπιστολῶν. **10** Ὅτι, «Αἱ μὲν ἐπιστολαί,»[8] φησίν, «βαρεῖαι καὶ ἰσχυραί, ἡ δὲ παρουσία[9] τοῦ σώματος ἀσθενής, καὶ ὁ λόγος ἐξουθενημένος.» **11** Τοῦτο λογιζέσθω ὁ τοιοῦτος, ὅτι οἷοί ἐσμεν τῷ λόγῳ δι᾽ ἐπιστολῶν ἀπόντες, τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ.

Proper limits for boasting

12 Οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς τισιν τῶν ἑαυτοὺς συνιστανόντων· ἀλλὰ[10] αὐτοί, ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες καὶ συγκρίνοντες ἑαυτοὺς ἑαυτοῖς, οὐ συνιοῦσιν.[11] **13** Ἡμεῖς δὲ οὐχὶ[12] εἰς τὰ ἄμετρα καυχησόμεθα, ἀλλὰ κατὰ τὸ μέτρον τοῦ κανόνος οὗ ἐμέρισεν ἡμῖν ὁ Θεὸς μέτρου, ἐφικέσθαι ἄχρι καὶ ὑμῶν. **14** Οὐ γὰρ ὡς μὴ ἐφικνούμενοι εἰς ὑμᾶς ὑπερεκτείνομεν ἑαυτούς, ἄχρι γὰρ καὶ ὑμῶν ἐφθάσαμεν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ· **15** οὐκ εἰς τὰ ἄμετρα καυχώμενοι ἐν ἀλλοτρίοις κόποις, ἐλπίδα δὲ[13] ἔχοντες, αὐξανομένης τῆς πίστεως ὑμῶν, ἐν ὑμῖν μεγαλυνθῆναι κατὰ τὸν κανόνα ἡμῶν εἰς περισσείαν, **16** εἰς τὰ ὑπερέκεινα[14] ὑμῶν εὐαγγελίσασθαι (οὐκ ἐν ἀλλοτρίῳ κανόνι εἰς τὰ ἕτοιμα καυχήσασθαι).

17 «Ὁ δὲ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω.» **18** Οὐ γὰρ ὁ ἑαυτὸν συνιστῶν,[15] ἐκεῖνός ἐστιν δόκιμος, ἀλλ'[16] ὃν ὁ Κύριος συνίστησιν.

A godly jealousy

11:1 Ὄφελον[17] ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ·[18] ἀλλὰ καὶ ἀνέχεσθέ μου. **2** Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ,[19] ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. **3** Φοβοῦμαι δὲ μή πως, ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν[20] ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτως φθαρῇ[21] τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος[22] τῆς εἰς τὸν Χριστόν. **4** Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει ὃν οὐκ ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε ὃ οὐκ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον ὃ οὐκ ἐδέξασθε, καλῶς ἠνείχεσθε.[23]

---

[1] αφ **f**[35] C [93%] RP,HF,OC,TR,CP ¦ εφ **𝔓**[46]**א**B [7%] NU
[2] χριστου **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46](**א**)B,C [5%] NU
[3] τε **f**[35] **א** [96%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]B,C [4%]
[4] και **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]**א**B,C [4%] NU
[5] καυχησωμαι *rell* ¦ καυχησομαι [15%]
[6] ημιν **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ ημων [2%] ¦ --- **𝔓**[46]**א**B,C [2%] NU
[7] ινα *rell* ¦ 1 δε [7%] CP
[8] μεν επιστολαι **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[46v]**א**B [2%] NU
[9] παρουσια *rell* ¦ παρρησια CP
[10] αλλα *rell* ¦ αλλ [17%]
[11] συνιουσιν **f**[35] (92.3%) RP,HF,OC,TR,CP ¦ συνιωσιν (1.8%) ¦ συνιασιν **𝔓**[46] (4.7%) NU ¦ συνισασιν **א** (0.5%) ¦ συνειασιν B ¦ --- (0.5%)
[12] ουχι **f**[35] [85%] RP,HF,OC,TR,CP ¦ ουκ **𝔓**[46]**א**B [15%] NU
[13] δε *rell* ¦ --- [25%]
[14] υπερεκεινα *rell* ¦ υπερεπεκεινα [5%] CP
[15] συνιστων **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ συνιστανων **𝔓**[46]**א**B [5%] NU
[16] αλλ *rell* ¦ αλλα **𝔓**[46]B,NU
[17] οφελον *rell* ¦ ωφελον [25%]
[18] τη αφροσυνη **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ τι αφροσυνης **𝔓**[46]**א**B [2%] NU ¦ τι 2 [3%] ¦ three other variants [1%]
[19] θεου ζηλω **f**[35] **א**B [95%] RP,HF,OC,TR,NU ¦ ~ 21 [5%] CP
[20] ευαν εξηπατησεν **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ ~ 21 (**א**)B [6%] NU
[21] ουτως φθαρη **f**[35pt] (62.8%) RP,CP ¦ ουτω 2 **f**[35pt] (24.2%) HF,OC,TR ¦ 1 φθαρει (8.9%) ¦ ουτω φθαρει (2.2%) ¦ 2 **𝔓**[46]**א**B (2%) NU (Note that the final *sigma* was by no means always dropped before a consonant.)
[22] απλοτητος **f**[35] (95%) RP,HF,OC,TR,CP ¦ 1 και της αγνοτητος **𝔓**[46]**א**B (5%) [NU]
[23] ηνειχεσθε **f**[35] [53%] RP,TR ¦ ανειχεσθε **א** [41%] HF,OC,CP ¦ ανεχεσθε **𝔓**[46]B [1%] NU ¦ ανειχεσθαι [4%] ¦ five other variants [1%]

Paul ministered without charge

5 Λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπερλίαν ἀποστόλων. **6** Εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ᾽ οὐ τῇ γνώσει—ἀλλ᾽ ἐν παντὶ φανερωθέντες[1] ἐν πᾶσιν εἰς ὑμᾶς. **7** Ἢ ἁμαρτίαν ἐποίησα ἑαυτὸν[2] ταπεινῶν ἵνα ὑμεῖς ὑψωθῆτε, ὅτι δωρεὰν τὸ τοῦ Θεοῦ εὐαγγέλιον εὐηγγελισάμην ὑμῖν; **8** Ἄλλας ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνιον πρὸς τὴν ὑμῶν διακονίαν, **9** καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθείς, οὐ κατενάρκησα οὐδενός·[3] τὸ γὰρ ὑστέρημά μου προσανεπλήρωσαν[4] οἱ ἀδελφοί, ἐλθόντες ἀπὸ Μακεδονίας. Καὶ ἐν παντὶ ἀβαρῆ ὑμῖν ἐμαυτὸν[5] ἐτήρησα, καὶ τηρήσω.

Exposing deceivers

10 Ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοί· ὅτι ἡ καύχησις αὕτη οὐ φραγήσεται εἰς ἐμὲ ἐν τοῖς κλίμασιν τῆς Ἀχαΐας. **11** Διὰ τί; Ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; Ὁ Θεὸς οἶδεν. **12** Ὃ δὲ ποιῶ, καὶ ποιήσω, ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμήν, ἵνα ἐν ᾧ καυχῶνται εὑρεθῶσιν καθὼς καὶ ἡμεῖς. **13** Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ. **14** Καὶ οὐ θαυμαστόν,[6] αὐτὸς γὰρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. **15** Οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης, ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν.

A little ‘necessary’ boasting

16 Πάλιν λέγω, μὴ τίς με δόξῃ ἄφρονα εἶναι. Εἰ δὲ μή γε, κἂν ὡς ἄφρονα δέξασθέ με, ἵνα κἀγὼ μικρόν τι[7] καυχήσωμαι. **17** Ὃ λαλῶ, οὐ λαλῶ κατὰ Κύριον,[8] ἀλλ᾽ ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. **18** Ἐπεὶ πολλοὶ καυχῶνται κατὰ τὴν[9] σάρκα, κἀγὼ καυχήσομαι **19** (ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων, φρόνιμοι ὄντες.). **20** Ἀνέχεσθε γὰρ εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις ὑμᾶς εἰς πρόσωπον[10] δαίρει.[11] **21** Κατὰ ἀτιμίαν λέγω, ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν.[12]

Ἐν ᾧ δ᾽ ἄν τις τολμᾷ (ἐν ἀφροσύνῃ λέγω), τολμῶ κἀγώ. **22** Ἑβραῖοί εἰσιν; Κἀγώ. Ἰσραηλῖταί εἰσιν; Κἀγώ. Σπέρμα Ἀβραάμ[13] εἰσιν; Κἀγώ. **23** Διάκονοι Χριστοῦ εἰσιν; (παραφρονῶν λαλῶ) Ὑπὲρ ἐγώ· ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως,[14] ἐν θανάτοις πολλάκις **24**—ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα[15] παρὰ μίαν ἔλαβον· **25** τρὶς ἐρραβδίσθην·[16] ἅπαξ ἐλιθάσθην· τρὶς ἐναυάγησα (νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα)—**26** ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις· **27** ἐν[17] κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις

---

[1] φανερωθεντες **f**[35] (95.5%) RP,HF,OC,TR,CP ¦ φανερωσαντες **א**B (3.9%) NU ¦ two other variants (0.5%) ¦ part of a longer omission **𝔓**[46]

[2] εαυτον **f**[35] [22%] CP ¦ εμαυτον **𝔓**[46]**א**B,C [78%] RP,HF,OC,TR,NU

[3] ουδενος **f**[35] **𝔓**[46] [97%] RP,HF,OC,TR,CP ¦ ουθενος **א**B [3%] NU

[4] προσανεπληρωσαν *rell* ¦ πρωσανεπληρωσαν CP

[5] υμιν εμαυτον **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ ~ 21 (**𝔓**[46])**א**B [3%] NU ¦ 2 [1%]

[6] θαυμαστον **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ θαυμα **𝔓**[46]**א**B [4%] NU

[7] καγω μικρον τι **f**[35] **𝔓**[46]**א**B [90%] RP,HF,OC,CP,NU ¦ ~ 231 [7%] TR ¦ ~ 132 [3%]

[8] λαλω κατα κυριον **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ ~ 231 **𝔓**[46]**א**B [6%] NU

[9] την **f**[35] B [82%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]**א** [18%] NU

[10] υμας εις προσωπον **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ ~ 231 **𝔓**[46]**א**B,I [6%] NU

[11] δαιρει **f**[35] [40%] CP ¦ δερει **𝔓**[46](**א**)B [60%] RP,HF,OC,TR,NU

[12] ησθενησαμεν **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ ησθενηκαμεν **𝔓**[46]**א**B [2%] NU

[13] ἁβρααμ **f**[35] [40%] ¦ ἀβρααμ [60%] RP,HF,OC,TR,CP,NU

[14] εν πληγαις υπερβαλλοντως εν φυλακαις περισσοτερως **f**[35] (95.7%) RP,HF,OC,TR,CP ¦ ~ 456123 **𝔓**[46]B (2.2%) NU ¦ ~ 126453 **א** (0.5%) ¦ long omissions (1.5%) ¦ one other variant

[15] τεσσαρακοντα **f**[35] [99%] RP,HF,OC,TR,CP ¦ τεσσερακοντα **𝔓**[46]**א**B [1%] NU

[16] ερραβδισθην **f**[35] [45%] OC ¦ εραβδισθην [55%] RP,HF,TR,CP,NU

[17] εν **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]**א**B [2%] NU

πολλάκις, ἐν ψύχει καὶ γυμνότητι—**28** χωρὶς τῶν παρεκτός, ἡ ἐπισύστασίς[1] μου[2] ἡ καθ᾽ ἡμέραν,[3] ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. **29** Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;

When I am weak, then I am strong

30 Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. **31** Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου[4] Ἰησοῦ Χριστοῦ[5] οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι. **32** Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα[6] τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν,[7] πιάσαι με θέλων·[8] **33** καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ.

A visit to the third heaven

12:1 Καυχᾶσθαι δὴ[9] οὐ συμφέρει μοι.[10] Ἐλεύσομαι γὰρ[11] εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου. **2** Οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων—εἴτε ἐν σώματι οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα, ὁ Θεὸς οἶδεν—ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ. **3** Καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον—εἴτε ἐν σώματι, εἴτε ἐκτὸς[12] τοῦ σώματος οὐκ οἶδα, ὁ Θεὸς οἶδεν—**4** ὅτι ἡρπάγη εἰς τὸν Παράδεισον καὶ ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. **5** Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι, ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι, εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου.[13] **6** Ἐὰν γὰρ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων, ἀλήθειαν γὰρ ἐρῶ· φείδομαι δέ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με ἢ ἀκούει τι[14] ἐξ ἐμοῦ.

The ‘thorn in the flesh’

7 Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων,[15] ἵνα μὴ ὑπεραίρωμαι,[16] ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν[17] ἵνα με κολαφίζῃ—ἵνα μὴ ὑπεραίρωμαι. **8** Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα ἵνα ἀποστῇ ἀπ᾽ ἐμοῦ. **9** Καὶ εἴρηκέν μοι, «Ἀρκεῖ σοι ἡ χάρις μου, ἡ γὰρ δύναμίς μου[18] ἐν ἀσθενείᾳ τελειοῦται.»[19] Ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ[20] ἐπ᾽ ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. **10** Διό, εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν[21] στενοχωρίαις, ὑπὲρ Χριστοῦ. Ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι.

Apostolic signs were produced

11 Γέγονα ἄφρων καυχώμενος·[22] ὑμεῖς με ἠναγκάσατε· ἐγὼ γὰρ ὤφειλον ὑφ᾽ ὑμῶν

---

[1] επισυστασις **f**[35] [87%] RP,HF,OC,TR,CP ¦ επιστασις **𝔓**[46]**א**B [3%] NU ¦ υποστασις [10%]
[2] μου **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ μοι **𝔓**[46]**א**B [2%] NU
[3] καθ᾽ ἡμεραν *rell* ¦ καθημέραν **f**[35] [20%] (I include this for the record, and so as not to lose sight of it, but since there is evidently no difference in meaning, I stay with the conventional pointing.)
[4] κυριου **f**[35] **𝔓**[46v]**א**B [60%] RP,HF,CP,NU ¦ 1 ημων [40%] OC,TR
[5] χριστου **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ --- **א**B [4%] NU
[6] ἀρετα *rell* ¦ ἁρετα NU
[7] δαμασκηνων πολιν **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 **א**B [3%] NU
[8] θελων **f**[35] **א** [99.5%] RP,HF,OC,TR,CP ¦ --- B [0.5%] NU
[9] δη **f**[35] [62%] RP,HF,OC,TR,CP ¦ δει **𝔓**[46]B [37%] NU ¦ δε **א** [1%]
[10] συμφερει μοι **f**[35] (96.5%) RP,HF,OC,TR,CP ¦ συμφερον μεν **𝔓**[46]**א**B (2.3%) NU ¦ συμφερον 2 (0.5%) ¦ three other variants (0.7%)
[11] γαρ **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ δε **𝔓**[46]**א** [2%] NU ¦ δε και B
[12] εκτος **f**[35] **א** [99.5%] RP,HF,OC,TR,CP ¦ χωρις **𝔓**[46]B [0.5%] NU
[13] μου **f**[35] **א** [98.5%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]B [1.5%] NU
[14] τι **f**[35] **𝔓**[46] [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- **א**B,I [2%]
[15] αποκαλυψεων **f**[35] **𝔓**[46] [98%] RP,HF,OC,TR,CP ¦ 1 διο **א**A,B [2%] NU
[16] υπεραιρωμαι **f**[35] **א** [50%] RP,HF,OC,TR,CP,NU ¦ υπεραιρομεν **𝔓**[46] [44%] ¦ υπεραιρομαι [4%] ¦ υπερερωμαι A,B [2%] ¦ two other variants
[17] σαταν **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ σατανα **𝔓**[46]**א**A,B [2%] NU
[18] μου **f**[35] [98.5%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46v]**א**A,B [1.5%] NU
[19] τελειουται **f**[35] [98.5%] RP,HF,OC,TR,CP ¦ τελειται **א**B [1%] NU ¦ τελειτε A [0.5%]
[20] επισκηνωση *rell* ¦ επισκηνωσει [18%] ¦ two other variants
[21] εν **f**[35] A [98%] RP,HF,OC,TR,CP ¦ και **𝔓**[46]**א**B [1.5%] NU ¦ και 1 [0.5%]
[22] καυχωμενος **f**[35] (83.9%) RP,HF,OC,TR,CP ¦ καυχομενος (5.7%) ¦ --- **𝔓**[46]**א**A,B (10.4%) NU

συνίστασθαι, οὐδὲν γὰρ ὑστέρησα τῶν ὑπερλίαν ἀποστόλων, εἰ καὶ οὐδέν εἰμι. **12** Τὰ μὲν σημεῖα τοῦ ἀποστόλου κατειργάσθη[1] ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ, ἐν σημείοις[2] καὶ τέρασιν καὶ δυνάμεσιν. **13** Τί γάρ ἐστιν ὃ ἡττήθητε,[3] ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας, εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν; Χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην.

Still not burdening

14 Ἰδού, τρίτον[4] ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ οὐ καταναρκήσω[5] ὑμῶν.[6] Οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ'[7] ὑμᾶς—οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσιν θησαυρίζειν, ἀλλ'[8] οἱ γονεῖς τοῖς τέκνοις. **15** Ἐγὼ δὲ ἥδιστα δαπανήσω καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν, εἰ καὶ[9] περισσοτέρως ὑμᾶς ἀγαπῶν,[10] ἧττον[11] ἀγαπῶμαι. **16** ‹Ἔστω δέ, ἐγὼ οὐ κατεβάρησα ὑμᾶς, ἀλλ'[12] ὑπάρχων πανοῦργος, δόλῳ ὑμᾶς ἔλαβον.› **17** Μή τινα ὧν ἀπέσταλκα πρὸς ὑμᾶς, δι᾽ αὐτοῦ ἐπλεονέκτησα ὑμᾶς; **18** Παρεκάλεσα Τίτον καὶ συναπέστειλα τὸν ἀδελφόν—μήτι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; Οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσαμεν, οὐ τοῖς αὐτοῖς ἴχνεσιν;

A little veiled threatening

19 Πάλιν[13] δοκεῖτε ὅτι ὑμῖν ἀπολογούμεθα; Κατενώπιον τοῦ[14] Θεοῦ, ἐν Χριστῷ, λαλοῦμεν· τὰ δὲ πάντα, ἀγαπητοί, ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς. **20** Φοβοῦμαι γὰρ μή πως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς, κἀγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε—μή πως ἔρις,[15] ζῆλοι,[16] θυμοί, ἐριθεῖαι, καταλαλιαί, ψιθυρισμοί, φυσιώσεις, ἀκαταστασίαι—**21** μὴ πάλιν ἐλθόντα με[17] ταπεινώσῃ[18] ὁ Θεός μου πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ πορνείᾳ καὶ ἀσελγείᾳ ᾗ ἔπραξαν.

I will not spare

13:1 Τρίτον[19] τοῦτο ἔρχομαι πρὸς ὑμᾶς. «Ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα.» **2** Προείρηκα καὶ προλέγω, ὡς παρὼν τὸ δεύτερον, καὶ ἀπὼν νῦν γράφω[20] τοῖς προημαρτηκόσιν καὶ τοῖς λοιποῖς πᾶσιν· ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι, **3** ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ—ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ, ἀλλὰ δυνατεῖ[21] ἐν ὑμῖν **4** (καὶ γὰρ εἰ[22] ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ). Καὶ γὰρ ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ, ἀλλὰ ζησόμεθα[23] σὺν αὐτῷ ἐκ δυνάμεως Θεοῦ εἰς ὑμᾶς.

---

[1] κατειργασθη *rell* ¦ κατειργασται CP
[2] εν σημειοις **f**[35] (92%) RP,HF,OC,TR,CP ¦ 2 τε **𝔓**[46]א(B) (4.5%) NU ¦ 2 A (2.3%) ¦ και 12 (0.5%) ¦ και 2 (0.5%) ¦ one other variant
[3] ηττηθητε **f**[35] A [85%] RP,HF,OC,TR,CP ¦ ητγηθητε [13%] ¦ ησσωθητε **𝔓**[46]אB [1%] NU ¦ four other variants [1%]
[4] τριτον **f**[35] [75%] RP,HF,OC,TR ¦ 1 τουτου **𝔓**[46]אA,B [25%] CP,NU
[5] καταναρκησω *rell* ¦ κατεναρκησα CP
[6] υμων **f**[35] [87%] RP,HF,OC,TR,CP ¦ υμιν [7%] ¦ υμας [3.5%] ¦ --- **𝔓**[46]אA,B [2.5%] NU
[7] αλλ **f**[35] [45%] TR ¦ αλλα **𝔓**[46]אA,B,C [55%] RP,HF,OC,CP,NU
[8] αλλ *rell* ¦ αλλα **𝔓**[46]אA [3%] NU
[9] και **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B [1.5%] NU ¦ two other variants
[10] αγαπων **f**[35] **𝔓**[46] B [95%] RP,HF,OC,TR,CP[NU] ¦ αγαπω אA [5%]
[11] ηττον **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ησσον **𝔓**[46]אA,B [3%] NU
[12] αλλ *rell* ¦ αλλα **𝔓**[46]אA,B [10%] NU
[13] παλιν **f**[35] (96%) RP,HF,OC,TR,CP ¦ παλαι א(A)B (3.8%) NU ¦ ου παλαι **𝔓**[46] (alone)
[14] κατενωπιον του **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ κατεναντι **𝔓**[46]אA,B [3%] NU
[15] ερις **f**[35] **𝔓**[46]אA [45%] CP,NU ¦ ερεις B [55%] RP,HF,OC,TR
[16] ζηλοι **f**[35] א [98%] RP,HF,OC,TR,CP ¦ ζηλος **𝔓**[46]A,B [2%] NU
[17] ελθοντα με **f**[35] (97.8%) RP,HF,OC,TR,CP ¦ ελθοντος μου **𝔓**[46]אA,B (2.2%) NU
[18] ταπεινωση **f**[35] (46.5%) OC,TR ¦ ταπεινωσει (49.2%) RP,HF,CP ¦ 1 με אA (0.5%) ¦ ταπεινωσει με **𝔓**[46]B (3.8%) NU
[19] τριτον **f**[35] **𝔓**[46]אB [85%] RP,HF,OC,TR,NU ¦ ιδου 1 A [15%] CP
[20] γραφω **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,I [3%] NU
[21] δυνατει *rell* ¦ δυναται [1%] CP ¦ αδυνατει [5%] ¦ δυνατοι [2%] ¦ two other variants
[22] ει **f**[35] A [92%] RP,HF,OC,TR,CP ¦ --- אB [8%] NU
[23] ζησομεθα **f**[35] [92%] RP,HF,OC,TR,CP ¦ ζησομεν אA,B [4%] NU ¦ ζησωμεν [2%] ¦ ζησωμεθα [2%] ¦ ζων **𝔓**[46]

Examine yourselves

5 Ἑαυτοὺς πειράζετε εἰ ἐστὲ ἐν τῇ πίστει· ἑαυτοὺς δοκιμάζετε. Ἢ οὐκ ἐπιγινώσκετε ἑαυτοὺς ὅτι Ἰησοῦς Χριστὸς ἐν ὑμῖν ἐστιν;[1]—εἰ μήτι[2] ἀδόκιμοί ἐστε. **6** Ἐλπίζω δὲ ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι.

7 Εὔχομαι[3] δὲ πρὸς τὸν Θεὸν μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδέν·[4] οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ᾽ ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε[5] (ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν). **8** Οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας, ἀλλ᾽[6] ὑπὲρ τῆς ἀληθείας. **9** Χαίρομεν γὰρ[7] ὅταν ἡμεῖς ἀσθενῶμεν, ὑμεῖς δὲ δυνατοὶ ἦτε. Τοῦτο δὲ[8] καὶ εὐχόμεθα, τὴν ὑμῶν κατάρτισιν.[9] **10** Διὰ τοῦτο ταῦτα ἀπὼν γράφω, ἵνα παρὼν μὴ ἀποτόμως χρήσωμαι,[10] κατὰ τὴν ἐξουσίαν ἣν ἔδωκέν μοι ὁ Κύριος,[11] εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν.

Conclusion

13:11 Λοιπόν, ἀδελφοί, χαίρετε· καταρτίζεσθε· παρακαλεῖσθε· τὸ αὐτὸ φρονεῖτε· εἰρηνεύετε· καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ τῆς[12] εἰρήνης ἔσται μεθ᾽ ὑμῶν. **12** Ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι.[13] **13** Ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες. **14** Ἡ χάρις τοῦ Κυρίου ἡμῶν[14] Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν. Ἀμήν.[15,16]

---

[1] εστιν **f**^{35} ℵA [99%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{46}B [1%] NU

[2] μητι **f**^{35} **𝔓**^{46}ℵA,B [95%] RP,HF,OC,TR,NU ¦ 1 αρα [5%] CP

[3] ευχομαι **f**^{35} [91%] RP,HF,OC,TR,CP ¦ ευχωμεθα **𝔓**^{46}ℵA,B [9%] NU

[4] κακον μηδεν *rell* ¦ ~ 21 [18%]

[5] ποιητε *rell* ¦ ποιειτε ℵ [11%] ¦ ποιειται [2%] ¦ ποιηται [1%]

[6] αλλ *rell* ¦ αλλα **𝔓**^{46}ℵ [1%] NU ¦ omit clause [8%]

[7] γαρ *rell* ¦ --- [15%]

[8] δε **f**^{35} [94%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{46}ℵA,B [6%] NU

[9] καταρτισιν *rell* ¦ καταρτησιν [30%] CP

[10] χρησωμαι *rell* ¦ χρησομαι [15%]

[11] εδωκεν μοι ο κυριος **f**^{35} [94%] RP,HF,OC,TR,CP ¦ ~ 3412 **𝔓**^{46}ℵA,B [6%] NU

[12] της **f**^{35} [30%] CP ¦ --- **𝔓**^{46}ℵA,B [70%] RP,HF,OC,TR,NU

[13] αγιω φιληματι **f**^{35} ℵB [80%] RP,HF,OC,TR,NU ¦ ~ 21 **𝔓**^{46}A [20%] CP

[14] ημων **f**^{35} [40%] ¦ --- **𝔓**^{46}ℵA,B [60%] RP,HF,OC,TR,CP,NU

[15] αμην **f**^{35} [92%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{46}ℵA,B [8%] NU

[16] The citation of **f**^{35} is based on the following thirty-six MSS—18, 35, 141, 201, 204, 328, 386, 432, 444, 757, 824, 928, 986, 1072, 1075, 1100, 1249, 1482, 1503, 1548, 1617, 1637, 1652, 1725, 1740, 1855, 1864, 1865, 1892, 1897, 2352, 2431, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 2554 is a 'perfect' representative of **f**^{35} in 2 Corinthians, as it stands, as were the exemplars of 1865 and 2723; 35 is complete. For a book this size the uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Aegean, Patmos, Constantinople, Bucharest, Trikala, Meteora, Athens, Mt. Athos [seven different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I used Reuben Swanson's excellent collations (*New Testament Greek Manuscripts: 2 Corinthians* [Ed. Reuben Swanson, Carol Stream, IL: Tyndale House Publishers, 2005]). For 2 Corinthians Swanson collated 83 MSS, five being fragmentary (for any given variant set there will usually be at least 75 MSS listed), and I occasionally supplemented from Scrivener and von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±2%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±10%—by comparing Swanson with *TuT*, I believe one can make a fairly accurate extrapolation. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

ΠΡΟΣ ΓΑΛΑΤΑΣ

Introduction

Salutation

1:1 Παῦλος, ἀπόστολος—οὐκ ἀπ᾽ ἀνθρώπων οὐδὲ δι᾽ ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ Πατρός, τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν—**2** καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοί, ταῖς ἐκκλησίαις τῆς Γαλατίας· **3** Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου ἡμῶν[1] Ἰησοῦ Χριστοῦ, **4** τοῦ δόντος ἑαυτὸν περὶ[2] τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος[3] πονηροῦ, κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν, **5** ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Paul is disappointed

6 Θαυμάζω ὅτι οὕτως[4] ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ,[5] εἰς ἕτερον εὐαγγέλιον **7**—ὃ οὐκ ἔστιν ἄλλο, εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς καὶ θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. **8** Ἀλλὰ καὶ ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ, εὐαγγελίζηται ὑμῖν[6] παρ᾽ ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. **9** Ὡς προειρήκαμεν,[7] καὶ ἄρτι πάλιν λέγω· Εἴ τις ὑμᾶς[8] εὐαγγελίζεται παρ᾽ ὃ παρελάβετε, ἀνάθεμα ἔστω.

10 Ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν Θεόν; Ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; Εἰ γὰρ[9] ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.

Paul's credentials

1:11 Γνωρίζω δὲ[10] ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ᾽ ἐμοῦ ὅτι οὐκ ἔστιν κατὰ ἄνθρωπον· **12** οὐδὲ γὰρ ἐγὼ παρὰ[11] ἀνθρώπου παρέλαβον αὐτό, οὔτε ἐδιδάχθην· ἀλλὰ δι᾽ ἀποκαλύψεως[12] Χριστοῦ.

How he was before

13 Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ᾽ ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ καὶ ἐπόρθουν αὐτήν· **14** καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας[13] ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων.

Then he was re-cycled

15 Ὅτε δὲ εὐδόκησεν ὁ Θεός[14]—ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου καὶ καλέσας διὰ τῆς

---

[1] και κυριου ημων **f**^{35} **𝔓**^{46,51}B [75%] RP,HF,OC,TR,CP ¦ ~ 312 **א**A [9%] NU ¦ 12 [16%]

[2] περι **f**^{35} **𝔓**^{46}**א**A [55%] RP,HF,CP ¦ υπερ **𝔓**^{51}B [45%] OC,TR,NU

[3] ενεστωτος αιωνος **f**^{35} [98%] RP,HF,OC,TR,CP ¦ ~ 2 του 1 **𝔓**^{46,51}**א**A,B [2%] NU

[4] ουτως **f**^{35⅓} **𝔓**^{51}**א**A,B [65%] RP,HF,CP,NU ¦ ουτω **f**^{35⅔} **𝔓**^{46} [34%] OC,TR ¦ --- [1%] (I include this for the record, to show that the dropping of final *sigma* before a consonant was by no means automatic, and thus to 'justify' my use of the full form at all points. The percentage at 4:3 and 4:29 is even higher.)

[5] χριστου **f**^{35} **𝔓**^{51}**א**A,B [97%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**^{46} [0.5%] ¦ three other variants [2.5%]

[6] ευαγγελιζηται υμιν **f**^{35} (A) (53.7%) RP,OC,TR,CP[NU] ¦ ~ 21 **𝔓**^{51}B (1.5%) ¦ ευαγγελιζεται 2 (43.7%) HF ¦ 1 **א** (1.2%) (Scattered among the variants, 1.5% of the MSS have ημιν, 4.4% have υμας, 1.3% and A have ευαγγελισηται, 0.3% have ευαγγελισεται, 1% have ευαγγελιζητε, 0.5% have ευαγγελιζετε.)

[7] προειρηκαμεν *rell* ¦ προειρηκα **א** [8%] ¦ --- [4%]

[8] υμας *rell* ¦ υμιν [6%] CP

[9] γαρ **f**^{35} [96%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{46}**א**A,B [4%] NU

[10] δε **f**^{35} **𝔓**^{46}**א**A [97%] RP,HF,OC,TR,CP ¦ γαρ B [1%] NU ¦ --- [2%] ¦ one other variant

[11] παρα *rell* ¦ παρ **𝔓**^{46} CP

[12] αποκαλυψεως **f**^{35} [30%] ¦ 1 ιησου **𝔓**^{46}0261,**א**A,B [70%] RP,HF,OC,TR,CP,NU

[13] συνηλικιωτας *rell* ¦ 1 μου CP

[14] ο θεος **f**^{35} **א**A [98.5%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**^{46}B [1.5%]

χάριτος αὐτοῦ—**16** ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοὶ ἵνα εὐαγγελίζωμαι[1] αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι, **17** οὐδὲ ἀνῆλθον εἰς Ἰεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους· ἀλλὰ[2] ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν.

A new life and ministry

18 Ἔπειτα, μετὰ ἔτη τρία,[3] ἀνῆλθον εἰς Ἰεροσόλυμα ἱστορῆσαι Πέτρον,[4] καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε. **19** (Ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον, τὸν ἀδελφὸν τοῦ Κυρίου. **20** Ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ Θεοῦ ὅτι οὐ ψεύδομαι.) **21** Ἔπειτα ἦλθον εἰς τὰ κλίματα[5] τῆς Συρίας καὶ τῆς Κιλικίας. **22** Ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας (ταῖς ἐν Χριστῷ) **23**—μόνον δὲ ἀκούοντες ἦσαν ὅτι «Ὁ διώκων ἡμᾶς ποτε νῦν εὐαγγελίζεται τὴν πίστιν ἥν ποτε ἐπόρθει.» **24** Καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν Θεόν.

How he was recognized by the apostolate

2:1 Ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν πάλιν ἀνέβην εἰς Ἰεροσόλυμα, μετὰ Βαρνάβα, συμπαραλαβὼν καὶ Τίτον. **2** Ἀνέβην δὲ κατὰ ἀποκάλυψιν καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον ὃ κηρύσσω ἐν τοῖς ἔθνεσιν. Κατ᾽ ἰδίαν δὲ τοῖς δοκοῦσιν, μή πως εἰς κενὸν τρέχω, ἢ ἔδραμον. **3** Ἀλλ᾽ οὐδὲ Τίτος, ὁ σὺν ἐμοί, Ἕλλην ὤν, ἠναγκάσθη περιτμηθῆναι· **4** διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους (οἵτινες παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν, ἣν ἔχομεν[6] ἐν Χριστῷ Ἰησοῦ, ἵνα ἡμᾶς καταδουλώσωνται[7]), **5** οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν[8] τῇ ὑποταγῇ, ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς.—**6** Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι (ὁποῖοί ποτε[9] ἦσαν οὐδέν μοι διαφέρει· πρόσωπον[10] Θεὸς ἀνθρώπου οὐ λαμβάνει[11])—ἐμοὶ γὰρ οἱ δοκοῦντες οὐδὲν προσανέθεντο, **7** ἀλλὰ τοὐναντίον, ἰδόντες ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς Πέτρος τῆς περιτομῆς **8** (ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς ἐνήργησεν καὶ ἐμοὶ[12] εἰς τὰ ἔθνη), **9** καὶ γνόντες[13] τὴν χάριν τὴν δοθεῖσάν[14] μοι, Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ δοκοῦντες στῦλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς μὲν[15] εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν· **10** μόνον[16] τῶν πτωχῶν ἵνα μνημονεύωμεν,[17] ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι.

Paul has to rebuke Peter

11 Ὅτε δὲ ἦλθεν Πέτρος[18] εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. **12** Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου, μετὰ τῶν ἐθνῶν συνήσθιεν·[19] ὅτε δὲ ἦλθον

---

[1] ευαγγελιζωμαι **f**[35] ℵA,B [73%] RP,HF,OC,TR,CP,NU ¦ ευαγγελιζομαι [25%] ¦ ευαγγελισωμαι **𝔓**[46] [1%] ¦ two other variants [1%]
[2] αλλα *rell* ¦ αλλ [8%] TR
[3] ετη τρια *rell* ¦ ~ 21 ℵA [10%]
[4] πετρον **f**[35] (97.8%) RP,HF,OC,TR,CP ¦ κηφαν **𝔓**[46,51]ℵA,B (2.2%) NU
[5] κλιματα *rell* ¦ κληματα A [14%]
[6] εχομεν *rell* ¦ εχωμεν [12%]
[7] καταδουλωσωνται **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ καταδουλωσουσιν ℵA,B,C [1.5%] NU ¦ καταδουλωσωσιν **𝔓**[46] [1%] ¦ three other variants
[8] ειξαμεν *rell* ¦ ηξαμεν [12%]
[9] ποτε *rell* ¦ τε [1%] CP
[10] προσωπον **f**[35] B,C [92%] RP,HF,OC,TR ¦ 1 ο **𝔓**[46]ℵA [8%] CP[NU]
[11] λαμβανει *rell* ¦ συλλαμβανει CP
[12] και εμοι **f**[35] ℵA,B [90%] RP,HF,OC,TR,CP,NU ¦ καμοι **𝔓**[46]A,C [8%] ¦ 1 εν 2 [2%]
[13] γνοντες *rell* ¦ γνωντες [15%]
[14] δοθεισαν *rell* ¦ δοθησαν [11%]
[15] μεν **f**[35] A,C [45%] RP ¦ --- ℵB [55%] HF,OC,TR,CP,NU
[16] μονον *rell* ¦ 1 δε [3%] CP
[17] μνημονευωμεν *rell* ¦ μνημονευομεν [15%]
[18] πετρος **f**[35] (92.8%) RP,HF,OC,TR,CP ¦ κηφας ℵA,B,C (6.2%) NU ¦ a long omission (1%)
[19] συνησθιεν *rell* ¦ συνισθιεν [4.5%] CP ¦ συνησθειον **𝔓**[46] [0.5%] ¦ two other variants

ὑπέστελλεν καὶ ἀφώριζεν[1] ἑαυτόν, φοβούμενος τοὺς ἐκ περιτομῆς. **13** Καὶ συνυπεκρίθησαν[2] αὐτῷ καὶ[3] οἱ λοιποὶ Ἰουδαῖοι, ὥστε καὶ[4] Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει.[5] **14** Ἀλλ᾽ ὅτε εἶδον[6] ὅτι οὐκ ὀρθοποδοῦσιν πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῷ Πέτρῳ[7] ἔμπροσθεν πάντων· «Εἰ σύ, Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς καὶ οὐκ Ἰουδαϊκῶς,[8] τί[9] τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν; **15** Ἡμεῖς φύσει Ἰουδαῖοι (καὶ οὐκ ἐξ ‹ἐθνῶν ἁμαρτωλοί›), **16** εἰδότες[10] ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ καὶ οὐκ ἐξ ἔργων νόμου· διότι[11] οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου[12] πᾶσα σάρξ. **17** Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί, ἆρα Χριστὸς ἁμαρτίας διάκονος; Μὴ γένοιτο.

18 »Εἰ γὰρ ἃ κατέλυσα ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι.[13] **19** Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον ἵνα Θεῷ ζήσω. **20** Χριστῷ συνεσταύρωμαι, ζῶ δὲ οὐκέτι ἐγὼ ζῇ δὲ ἐν ἐμοὶ Χριστός· ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ ἐν πίστει ζῶ τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. **21** Οὐκ ἀθετῶ τὴν χάριν τοῦ Θεοῦ· εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανεν.»

Law or faith

3:1 Ὦ ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκηνεν[14] τῇ ἀληθείᾳ μὴ πείθεσθαι,[15] οἷς κατ᾽ ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν[16] ἐσταυρωμένος; **2** Τοῦτο μόνον θέλω μαθεῖν ἀφ᾽ ὑμῶν· ἐξ ἔργων νόμου τὸ Πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως; **3** Οὕτως ἀνόητοί ἐστε; Ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε; **4** Τοσαῦτα ἐπάθετε εἰκῇ—εἴ γε καὶ[17] εἰκῇ; **5** Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ Πνεῦμα καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων νόμου, ἢ ἐξ ἀκοῆς πίστεως;—**6** καθὼς Ἀβραὰμ[18] ‹ἐπίστευσεν τῷ Θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.›

7 Γινώσκετε ἄρα ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοὶ[19] Ἀβραάμ. **8** Προϊδοῦσα δὲ ἡ Γραφὴ ὅτι

---

[1] αφωριζεν *rell* ¦ αφοριζεν [17%]

[2] συνυπεκριθησαν *rell* ¦ συνυποκριθησαν CP ¦ two other spellings [3%]

[3] και **f**^{35} ℵA,C [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**^{46}B [1%]

[4] και *rell* ¦ --- CP

[5] αυτων τη υποκρισει *rell* ¦ ~ 312 [10%]

[6] ειδον *rell* ¦ ιδον A [13%]

[7] πετρω **f**^{35} (94.5%) RP,HF,OC,TR,CP ¦ κηφα **𝔓**^{46}ℵA,B,C (4.6%) NU ¦ a long omission (0.8%)

[8] ζης και ουκ (ουχ 4.3%, ουχι 4.3%) ιουδαικως **f**^{35} (86.9%) RP,HF,OC,TR(CP) ¦ 124 (5%) ¦ ~ 2 ουχι 41 B (1.7%) NU ¦ ~ 2 ουχ (ουκ 1.7%) 41 ℵA,C (3.7%) ¦ 1 **𝔓**^{46} (0.7%) ¦ ~ 341 (0.7%) ¦ ~ 241 (0.3%) ¦ 134 (0.3%) ¦ a long omission (0.8%)

[9] τι **f**^{35} [93.5%] RP,HF,OC,TR,CP ¦ πως **𝔓**^{46}ℵA,B,C [6.5%] NU

[10] ειδοτες **f**^{35} **𝔓**^{46}A [80%] RP,HF,TR,CP ¦ 1 δε ℵB,C [10%] OC[NU] ¦ 1 ουν [10%] (OC has small print.)

[11] διοτι **f**^{35} C [88%] RP,HF,OC,TR,CP ¦ οτι **𝔓**^{46}ℵA,B,I [4%] NU ¦ --- [8%]

[12] ου δικαιωθησεται εξ εργων νομου **f**^{35} [95%] RP,HF,OC,TR,CP ¦ ~ 34512 **𝔓**^{46}ℵA,C,I [4%] NU ¦ ~ 3452 B ¦ three other variants

[13] συνιστημι **f**^{35} [90%] RP,HF,OC,TR,CP ¦ συνιστανω **𝔓**^{46}ℵA,B,C [3%] NU ¦ seven other variants, based on the two main ones [7%]

[14] εβασκηνεν **f**^{35} [50%] CP ¦ εβασκανεν ℵA,B,C [50%] RP,HF,OC,TR,NU (Why would medieval monks revive a classical spelling?)

[15] τη (−τη CP) αληθεια μη πειθεσθαι (πειθεσθε 3.6%) **f**^{35} C (97%) RP,HF,OC,TR(CP) ¦ --- ℵA,B (3%) NU

[16] εν υμιν (ημιν 1%) **f**^{35} (90.5%) RP,HF,OC,TR,CP ¦ --- ℵA,B,C (9.5%) NU

[17] και *rell* ¦ --- **𝔓**^{46} CP

[18] ἁβρααμ **f**^{35} [40%] ¦ ἀβρααμ [60%] RP,HF,OC,TR,CP,NU (Since collators down through the years have generally not bothered to record breathing marks, the percentages are guesses, but the testimony of **f**^{35} is guaranteed. Unless an uncial consistently marks breathing, the absence of a mark cannot be trusted.) [When Jehovah changed Abram's name to Abraham (Genesis 17:5) the intervocalic aspiration in Hebrew is adequately represented in English by 'h'; but so far as I know, there is no way in Greek to indicate intervocalic aspiration within a word—the only alternative to losing the aspiration altogether would be to place it at the beginning of the word, as **f**^{35} does.]

[19] εισιν υιοι **f**^{35} A,C [90%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**^{46}ℵB [1.5%] NU ¦ 1 οι 2 [8.5%]

ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ Θεός, προευηγγελίσατο τῷ Ἀβραὰμ ὅτι «Ἐνευλογηθήσονται[1] ἐν σοὶ πάντα τὰ ἔθνη.» **9** Ὥστε, οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ.

The curse of the law

10 Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσίν, ὑπὸ κατάραν εἰσίν· γέγραπται γάρ,[2] «Ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν[3] πᾶσιν τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά.» **11** Ὅτι δὲ ἐν[4] νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ Θεῷ δῆλον, ὅτι «Ὁ δίκαιος ἐκ πίστεως ζήσεται.» **12** Ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως, ἀλλ᾽ «Ὁ ποιήσας αὐτὰ ἄνθρωπος[5] ζήσεται ἐν αὐτοῖς.»

13 Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος[6] ὑπὲρ ἡμῶν κατάρα—γέγραπται γάρ,[7] «Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου»—**14** ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται[8] ἐν Χριστῷ Ἰησοῦ· ἵνα τὴν ἐπαγγελίαν τοῦ Πνεύματος λάβωμεν διὰ τῆς πίστεως.

The covenant with Abraham

15 Ἀδελφοί·[9] κατὰ ἄνθρωπον λέγω· ὅμως ἀνθρώπου, κεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ ἢ ἐπιδιατάσσεται. **16** Τῷ δὲ Ἀβραὰμ ἐρρέθησαν[10] αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ. Οὐ λέγει «καὶ[11] τοῖς σπέρμασιν,» ὡς ἐπὶ πολλῶν, ἀλλ᾽ ὡς ἐφ᾽ ἑνός, «καὶ τῷ σπέρματί σου,»[12] ὅς ἐστιν Χριστός. **17** Τοῦτο δὲ λέγω· διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ Θεοῦ εἰς Χριστὸν[13] ὁ μετὰ ἔτη τετρακόσια καὶ τριάκοντα[14] γεγονὼς νόμος οὐκ ἀκυροῖ, εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν. **18** Εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκέτι ἐξ ἐπαγγελίας, τῷ δὲ Ἀβραὰμ δι᾽ ἐπαγγελίας κεχάρισται ὁ Θεός.

The law was a guardian

19 Τί οὖν ὁ νόμος; Τῶν παραβάσεων χάριν προσετέθη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ[15] ἐπήγγελται· διαταγεὶς[16] δι᾽ ἀγγέλων ἐν χειρὶ μεσίτου. **20** (Ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν, ὁ δὲ Θεὸς εἷς ἐστιν.) **21** Ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ;[17] Μὴ γένοιτο. Εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆσαι, ὄντως ἂν ἐκ νόμου ἦν[18] ἡ δικαιοσύνη. **22** Ἀλλὰ συνέκλεισεν ἡ Γραφὴ τὰ[19] πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύουσιν.

23 Πρὸ τοῦ δὲ[20] ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι[21] εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. **24** Ὥστε, ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. **25** Ἐλθούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν.

---

[1] ενευλογηθησονται **f**[35] **𝔓**[46]א A,B,C [90%] RP,HF,OC,TR,CP,NU ¦ ευλογηθησονται [10%] some TRs
[2] γαρ **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ 1 οτι אA,B,C [4%] NU ¦ 1 τι **𝔓**[46]
[3] εν **f**[35] A,C [93%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אB [4%] NU ¦ επι [3%]
[4] εν *rell* ¦ 1 τω [1%] CP
[5] ανθρωπος **f**[35] (93.1%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C (6.6%) NU ¦ long omissions (0.3%)
[6] γενομενος *rell* ¦ γινομενος CP
[7] γεγραπται γαρ **f**[35] א [98%] RP,HF,OC,TR,CP ¦ ~ οτι 1 **𝔓**[46]A,B,C [2%] NU
[8] γενηται *rell* ¦ γενησεται C [10%] ¦ γενητε [2%]
[9] αδελφοι *rell* ¦ --- [1%] CP
[10] ερρεθησαν **f**[35] אA,B,C,I [40%] OC,CP,NU ¦ ερεθησαν [4%] ¦ ερρηθησαν [55%] RP,HF,TR ¦ ερηθησαν [1%]
[11] και *rell* ¦ --- [6%] CP
[12] σου *rell* ¦ --- CP
[13] εις χριστον **f**[35] I,0176 [97.5%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [2.5%] NU
[14] ετη τετρακοσια και τριακοντα **f**[35] 0176 [93%] RP,HF,OC,TR,CP ¦ ~ 2341 **𝔓**[46]אA,B,C [7%] NU
[15] ω **f**[35] **𝔓**[46]אA,B,C [75%] RP,HF,OC,TR,CP,NU ¦ ο [25%]
[16] διαταγεις *rell* ¦ διαταγεισα CP ¦ διαταγης [8%] ¦ διαταγις [0.5%]
[17] του θεου **f**[35] אA,C [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]B [alone] ¦ 2 [0.5%]
[18] αν εκ νομου ην **f**[35] 0176[v] (86.4%) RP,HF,OC,TR ¦ 12 του 34 (1.5%) ¦ ~ 2314 A,C (1.5%) NU ¦ ~ 2341 א (4%) ¦ 234 (3.1%) CP ¦ 123 (0.7%) ¦ ~ 231 (1.5%) ¦ ~ εν 314 B (alone) ¦ ~ εν 341 **𝔓**[46] (alone) ¦ four other readings (1%)
[19] τα *rell* ¦ --- [3%] CP
[20] δε *rell* ¦ --- [9%] CP ¦ γαρ [3%] ¦ ~ δε του OC
[21] συγκεκλεισμενοι **f**[35] C,0176 [97%] RP,HF,OC,TR,CP ¦ συνκλειομενοι **𝔓**[46]A,B [1%] ¦ συνκλιομενοι א [1%] ¦ συγκλειομενοι [1%] NU

26 Πάντες γὰρ[1] υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ. **27** Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε Χριστὸν ἐνεδύσασθε **28**—οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ[2] ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ—**29** εἰ δὲ ὑμεῖς[3] Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ καὶ[4] κατ᾽ ἐπαγγελίαν κληρονόμοι.

Sons or slaves

4:1 Λέγω δέ, ἐφ᾽ ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν, **2** ἀλλ᾽[5] ὑπὸ ἐπιτρόπους ἐστὶν καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. **3** Οὕτως καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν[6] δεδουλωμένοι. **4** Ὅτε δὲ ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον[7] ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον,[8] **5** ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. **6** Ὅτι[9] δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν[10] κρᾶζον,[11] «Ἀββᾶ, ὁ Πατήρ.» **7** Ὥστε οὐκέτι εἶ δοῦλος ἀλλ᾽[12] υἱός, εἰ δὲ υἱός, καὶ κληρονόμος Θεοῦ διὰ Χριστοῦ.[13]

Paul's concern

8 Ἀλλὰ τότε μέν, οὐκ εἰδότες Θεόν, ἐδουλεύσατε τοῖς μὴ φύσει[14] οὖσιν θεοῖς. **9** Νῦν δὲ γνόντες[15] Θεόν—μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ—πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ, καὶ πτωχά, στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε; **10** Ἡμέρας παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς. **11** Φοβοῦμαι ὑμᾶς, μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς.

12 Γίνεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς, ἀδελφοί, δέομαι ὑμῶν. Οὐδέν με ἠδικήσατε. **13** Οἴδατε δὲ ὅτι δι᾽ ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν τὸ πρότερον. **14** Καὶ τὸν πειρασμόν μου[16] τὸν[17] ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε οὐδὲ ἐξεπτύσατε, ἀλλ᾽[18] ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με, ὡς Χριστὸν Ἰησοῦν. **15** Τίς[19] οὖν ἦν[20] ὁ μακαρισμὸς ὑμῶν; Μαρτυρῶ γὰρ ὑμῖν ὅτι εἰ δυνατὸν τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν[21] ἐδώκατέ μοι. **16** Ὥστε ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν;

17 Ζηλοῦσιν ὑμᾶς—οὐ καλῶς ἀλλὰ[22] ἐκκλεῖσαι[23] ὑμᾶς θέλουσιν, ἵνα αὐτοὺς ζηλοῦτε.[24]

---

[1] γαρ *rell* ¦ --- [1%] CP
[2] ουδε *rell* ¦ ουδ CP ¦ ουτε [7%]
[3] υμεις *rell* ¦ του CP
[4] και **f**[35] [94%] RP,HF,OC,TR ¦ --- ℵA,B,C [6%] CP,NU
[5] αλλ **f**[35] [40%] ¦ αλλα ℵA,B,C [60%] RP,HF,OC,TR,CP,NU
[6] ημεν **f**[35] A,B,C [98.5%] RP,HF,OC,TR,CP ¦ ημεθα **𝔓**[46]ℵ [1.5%] NU
[7] γενομενον **f**[35] **𝔓**[46]ℵA,B,C [71%] RP,HF,OC,TR,NU ¦ γεννωμενον [12%] CP ¦ γεννομενον [16%] ¦ γενωμενον [1%]
[8] νομον *rell* ¦ νομου [1%] CP
[9] οτι *rell* ¦ οτε [4%] CP
[10] υμων **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ ημων **𝔓**[46]ℵA,B,C [6%] NU ¦ one other variant
[11] κραζον *rell* ¦ κραζων [15%]
[12] αλλ **f**[35] [60%] RP,HF,OC,TR ¦ αλλα **𝔓**[46]ℵA,B,C [40%] CP,NU
[13] θεου δια χριστου **f**[35] (74%) RP,HF,OC,TR,CP ¦ 23 (1.3%) ¦ 12 ιησου 3 (14.4%) ¦ 2 ιησου 3 (0.7%) ¦ ~ 21 **𝔓**[46]ℵA,B,C (1.5%) NU ¦ --- (0.7%) ¦ μεν 1 συγκληρονομος δε 3 (6.4%) ¦ four other readings (1%)
[14] μη φυσει **f**[35] [93%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]ℵ(A,B)C [5%] NU ¦ 2 [2%]
[15] γνοντες *rell* ¦ γνωντες [10%]
[16] μου **f**[35] **𝔓**[46]C (86.9%) RP,HF,OC,TR,CP ¦ --- (11.4%) ¦ υμων ℵA,B (1.7%) NU
[17] τον **f**[35] C (97.8%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B (2.2%) NU
[18] αλλ *rell* ¦ αλλα **𝔓**[46]B [1%] NU
[19] τις **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ που **𝔓**[46]ℵA,B,C [4%] NU
[20] ην **f**[35] [86%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B,C [14%] NU
[21] αν **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B,C [2%] NU ¦ two other variants [1%]
[22] αλλα *rell* ¦ αλλ C [18%]
[23] εκκλεισαι *rell* ¦ εκκλησαι [13%] ¦ four other spellings ℵA [3%]
[24] ζηλουτε **f**[35] ℵA,B,C (85.5%) RP,HF,OC,TR,NU ¦ ζηλουται (8.3%) ¦ ζηλωτε (4.5%) ¦ ζηλωται (0.7%) ¦ five other readings (1.2%) ¦ ζηλουσθε CP

18 Καλὸν δὲ τὸ[1] ζηλοῦσθαι ἐν καλῷ πάντοτε, καὶ μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς.

19 Τεκνία[2] μου, οὓς πάλιν ὠδίνω ἄχρις[3] οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν **20**—ἤθελον δὲ παρεῖναι πρὸς ὑμᾶς ἄρτι καὶ ἀλλάξαι τὴν φωνήν μου· ὅτι ἀποροῦμαι ἐν ὑμῖν.

'Hagar' vs 'Sarah'

21 Λέγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε; **22** Γέγραπται γὰρ ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν· ἕνα ἐκ τῆς παιδίσκης καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. **23** Ἀλλ'[4] ὁ μὲν ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς ἐλευθέρας διὰ τῆς[5] ἐπαγγελίας, **24** ἅτινά ἐστιν ἀλληγορούμενα. Αὗται γάρ εἰσιν[6] δύο διαθῆκαι· μία μὲν ἀπὸ ὄρους Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ[7] **25** (τὸ γὰρ Ἄγαρ[8] Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ[9] δὲ τῇ νῦν Ἰερουσαλήμ,[10] δουλεύει δὲ[11] μετὰ τῶν τέκνων αὐτῆς)· **26** ἡ δὲ ἄνω Ἰερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶν μήτηρ πάντων[12] ἡμῶν. **27** Γέγραπται γάρ· «Εὐφράνθητι, στεῖρα, ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.» **28** Ἡμεῖς[13] δέ, ἀδελφοί, κατὰ Ἰσαάκ, ἐπαγγελίας τέκνα ἐσμέν.[14] **29** Ἀλλ' ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς ἐδίωκεν τὸν κατὰ Πνεῦμα, οὕτως καὶ νῦν. **30** Ἀλλὰ τί λέγει ἡ Γραφή; «Ἔκβαλε[15] τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς, οὐ γὰρ μὴ[16] κληρονομήσῃ[17] ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας.» **31** Ἄρα,[18] ἀδελφοί, οὐκ ἐσμὲν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας.

Freedom in Christ

5:1 Τῇ ἐλευθερίᾳ οὖν ᾗ[19] Χριστὸς ἡμᾶς[20] ἠλευθέρωσεν στήκετε,[21] καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε.[22] **2** Ἴδε, ἐγώ, Παῦλος, λέγω ὑμῖν ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει.[23] **3** Μαρτύρομαι[24] δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι.[25] **4** Κατηργήθητε ἀπὸ τοῦ[26] Χριστοῦ, οἵτινες ἐν νόμῳ δικαιοῦσθε· τῆς χάριτος ἐξεπέσετε.[27] **5** Ἡμεῖς γὰρ Πνεύματι ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα. **6** Ἐν γὰρ

---

[1] το **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B,C [3%] NU

[2] τεκνια **f**[35] (A)C [99%] RP,HF,OC,TR,CP ¦ τεκνα ℵB [1%] NU

[3] αχρις **f**[35] A,C [97.5%] HF,OC,TR,CP ¦ μεχρις ℵB [1.5%] NU ¦ αχρι [1%] RP

[4] αλλ *rell* ¦ και CP ¦ αλλα B

[5] δια της **f**[35] B [88%] RP,HF,OC,TR,CP ¦ δι 𝔓[46]ℵA,C [6%] NU ¦ κατ [6%]

[6] εισιν **f**[35] 𝔓[46]A,B,C [92%] RP,HF,OC,CP,NU ¦ 1 αι ℵ [8%] TR

[7] ἀγαρ **f**[35] OC,TR,CP ¦ ἁγαρ RP,HF,NU

[8] γαρ αγαρ **f**[35] (90.4%) RP,HF,OC,TR,CP ¦ 1 ℵC (2.5%) ¦ 2 (0.3%) ¦ δε 2 A,B (5%) NU ¦ δε 𝔓[46] (alone) ¦ three long omissions [homoioteleuton] (1.7%)

[9] συστοιχει *rell* ¦ συστυχει [20%] ¦ συνστοιχει 𝔓[46]B [0.5%] ¦ six further spellings [3%]

[10] ιερουσαλημ **f**[35] [80%] RP,OC,TR,CP ¦ ιερουσαλημ [20%] HF,NU (Unless an uncial consistently marks breathing, the absence of a mark cannot be trusted.)

[11] δε **f**[35] [61%] RP,HF,OC,TR,CP ¦ γαρ 𝔓[46]ℵA,B,C [4%] NU ¦ νυν [35%]

[12] παντων **f**[35] A [97%] RP,HF,OC,TR,CP ¦ --- 𝔓[46]ℵB,C [3%] NU

[13] ημεις **f**[35] ℵA,C [92%] RP,HF,OC,TR,CP ¦ υμεις 𝔓[46]B [8%] NU

[14] εσμεν **f**[35] ℵA,C [94%] RP,HF,OC,TR,CP ¦ εστε 𝔓[46]B [6%] NU

[15] εκβαλε *rell* ¦ εκβαλλε [1%] CP ¦ εκβαλαι [1%]

[16] γαρ μη *rell* ¦ ~ 21 [2%] OC ¦ 1 𝔓[46] [2%]

[17] κληρονομηση **f**[35] A,C [80%] RP,HF,TR ¦ κληρονομησει 𝔓[46]ℵB [20%] OC,CP,NU

[18] αρα **f**[35] 𝔓[46] [95%] RP,HF,OC,TR,CP ¦ διο ℵB [2%] NU ¦ ημεις δε A,C [1%] ¦ --- [1%] ¦ one other variant

[19] ουν η **f**[35] (80%) RP,HF,OC,TR ¦ 1 (5.4%) ¦ 2 (3.5%) ¦ --- ℵA,B,C (6.3%) NU ¦ 12 ὁ (2.3%) CP ¦ 1 ὁ (2.1%) ¦ 2 ὁ (0.3%)

[20] χριστος ημας **f**[35] C (89.6%) RP,HF,OC,TR,CP ¦ ~ 21 ℵA,B (2.3%) NU ¦ 1 υμας (7.6%) ¦ 1 (0.5%)

[21] στηκετε **f**[35] (91.9%) RP,HF,OC,TR,CP ¦ 1 ουν ℵA,B,C (6.9%) NU ¦ στητε (0.2%) ¦ στητε ουν (0.3%) ¦ στηκεται ουν (0.7%)

[22] ενεχεσθε *rell* ¦ ανεχεσθε [10%] ¦ ενεχεσθαι A [4.5%] ¦ ανεχεσθαι [0.3%]

[23] ωφελησει *rell* ¦ οφελησει [4%] CP ¦ ωφεληση [4%]

[24] μαρτυρομαι *rell* ¦ μαρτυρωμαι [11%]

[25] ποιησαι *rell* ¦ ποιησας CP ¦ πληρωσαι [5%]

[26] του **f**[35] A [97.5%] RP,HF,OC,TR,CP ¦ --- 𝔓[46]ℵB,C [2.5%] NU

[27] εξεπεσετε **f**[35] [45%] HF ¦ εξεπεσατε 𝔓[46]ℵA,B,C [54%] RP,OC,TR,CP,NU ¦ two other variants [1%]

Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι᾽ ἀγάπης ἐνεργουμένη.

7 Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐνέκοψεν[1] τῇ[2] ἀληθείᾳ μὴ πείθεσθαι; **8** Ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς. **9** Μικρὰ ζύμη[3] ὅλον τὸ φύραμα ζυμοῖ. **10** Ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ ὅτι οὐδὲν ἄλλο φρονήσετε· ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρῖμα, ὅστις ἂν[4] ᾖ.

11 Ἐγὼ δέ, ἀδελφοί, εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι διώκομαι; Ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ. **12** Ὄφελον[5] καὶ ἀποκόψονται[6] οἱ ἀναστατοῦντες ὑμᾶς.

13 Ὑμεῖς γὰρ ἐπ᾽ ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί· μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί, ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις. **14** Ὁ γὰρ πᾶς νόμος[7] ἐν ἑνὶ λόγῳ πληροῦται,[8] ἐν τῷ «ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.»[9] **15** Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ[10] ὑπὸ[11] ἀλλήλων ἀναλωθῆτε.

Spirit vs flesh

16 Λέγω δέ· Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. **17** Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ Πνεύματος, τὸ δὲ Πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ[12] ἀντίκειται[13] ἀλλήλοις,[14] ἵνα μὴ ἃ ἂν[15] θέλητε, ταῦτα ποιῆτε. **18** Εἰ δὲ Πνεύματι ἄγεσθε οὐκ ἐστὲ ὑπὸ νόμον.[16]

19 Φανερὰ δέ ἐστιν τὰ ἔργα τῆς σαρκός, ἅτινά ἐστιν· μοιχεία, πορνεία,[17] ἀκαθαρσία, ἀσέλγεια, **20** εἰδωλολατρία,[18] φαρμακεία,[19] ἔχθραι,[20] ἔρις,[21] ζῆλοι,[22] θυμοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, **21** φθόνοι, φόνοι,[23] μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις· ἃ προλέγω[24] ὑμῖν, καθὼς καὶ[25] προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν.

22 Ὁ δὲ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη,[26] πίστις, **23** πρᾳότης,[27] ἐγκράτεια—κατὰ τῶν τοιούτων οὐκ ἔστιν νόμος. **24** Οἱ δὲ τοῦ Χριστοῦ[28] τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασιν καὶ ταῖς ἐπιθυμίαις.

25 Εἰ ζῶμεν Πνεύματι, Πνεύματι καὶ στοιχῶμεν.[29] **26** Μὴ γινώμεθα[30] κενόδοξοι, ἀλλήλους

---

[1] ενεκοψεν *rell* ¦ ανεκοψεν TR
[2] τη **f**[35] **𝔓**[46]C [99.5%] RP,HF,OC,TR,CP[NU] ¦ --- ℵA,B [alone]
[3] ζυμη *rell* ¦ ζημοι CP
[4] αν **f**[35] C [94%] RP,HF,OC,TR,CP ¦ εαν **𝔓**[46]ℵA,B [6%] NU
[5] οφελον *rell* ¦ ωφελον [20%] ¦ αρα **𝔓**[46]
[6] αποκοψονται *rell* ¦ αποκοψωνται **𝔓**[46] [1%] CP
[7] νομος **f**[35] **𝔓**[46]ℵA,B,C [82%] RP,HF,OC,TR,CP,NU ¦ λογος [18%]
[8] πληρουται **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ πεπληρωται **𝔓**[46]ℵA,B,C [2.5%] NU ¦ three other readings [0.5%]
[9] σεαυτον **f**[35] ℵA,B,C [55%] HF,OC,NU ¦ εαυτον **𝔓**[46] [45%] RP,TR,CP (It would be easy to drop a C—ΩCCEAYTON
[10] μη *rell* ¦ μηπω CP
[11] υπο **f**[35] A,C [84%] RP,HF,TR ¦ ύπ **𝔓**[46]ℵB [16%] OC,CP,NU
[12] δε **f**[35] A,C [98.5%] RP,HF,OC,TR,CP ¦ γαρ **𝔓**[46v]ℵB [1.5%] NU
[13] αντικειται *rell* ¦ αντικεινται [28%] CP
[14] αντικειται αλληλοις **f**[35] **𝔓**[46v]ℵ [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 (A)B,C [3%] NU
[15] αν **f**[35] B [96%] RP,HF,OC,TR,CP ¦ εαν ℵA [3.5%] NU ¦ --- C [0.5%]
[16] υπο νομον *rell* ¦ απο νομου CP
[17] μοιχεια πορνεια **f**[35] [92%] RP,HF,OC,TR(CP) ¦ ~ 21 [3%] ¦ 2 (ℵ)A,B,C [2%] NU ¦ --- [3%]
[18] ειδωλολατρια **f**[35] C [70%] OC,CP,NU ¦ ειδωλολατρεια ℵA,B [27%] RP,HF,TR ¦ ειδωλωλατρια [2%] ¦ three other spellings [1%]
[19] φαρμακεια *rell* ¦ φαρμακια ℵA [15%] CP
[20] εχθραι *rell* ¦ εχθρα [10%]
[21] ερις **f**[35] ℵA,B [60%] NU ¦ ερεις C [40%] RP,HF,OC,TR,CP
[22] ζηλοι **f**[35] ℵC [98.5%] RP,HF,OC,TR,CP ¦ ζηλος B [1%] NU ¦ two other readings [0.5%]
[23] φονοι **f**[35] A,C [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵB [5%] NU (An easy case of homoioteleuton.)
[24] α προλεγω *rell* ¦ απερ λεγω CP
[25] και **f**[35] A,C [98.5%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵB [1.5%] NU
[26] αγαθωσυνη *rell* ¦ αγαθοσυνη [25%]
[27] πραοτης **f**[35] [98.5%] RP,HF,OC,TR,CP ¦ πραυτης **𝔓**[46]ℵA,B,C [1.5%] NU
[28] χριστου **f**[35] **𝔓**[46] [97.5%] RP,HF,OC,TR,CP ¦ 1 ιησου ℵA,B,C [2.5%] [NU]
[29] στοιχωμεν *rell* ¦ στιχουμεν [13%] CP
[30] γινωμεθα **f**[35] ℵA,C [61%] RP,HF,OC,TR,NU ¦ γινομεθα [9%] ¦ γενωμεθα [20%] CP ¦ γενομεθα [9%] ¦ γεινωμεθα

προκαλούμενοι,[1] ἀλλήλοις[2] φθονοῦντες.

Practical instructions

6:1 Ἀδελφοί, ἐὰν καὶ προληφθῇ[3] ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς, οἱ πνευματικοί, καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος,[4] σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πειρασθῇς.[5] **2** Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε[6] τὸν νόμον τοῦ[7] Χριστοῦ. **3** Εἰ γὰρ δοκεῖ τις εἶναί τι, μηδὲν ὤν, ἑαυτὸν φρεναπατᾷ.[8] **4** Τὸ δὲ ἔργον ἑαυτοῦ[9] δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον. **5** Ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει.

6 Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς. **7** Μὴ πλανᾶσθε, Θεὸς οὐ μυκτηρίζεται· ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει **8**—ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ ἐκ τῆς σαρκὸς θερίσει φθοράν· ὁ δὲ σπείρων εἰς τὸ Πνεῦμα ἐκ τοῦ Πνεύματος θερίσει ζωὴν αἰώνιον.

9 Τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν,[10] καιρῷ γὰρ ἰδίῳ θερίσομεν,[11] μὴ ἐκλυόμενοι. **10** Ἄρα οὖν, ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα[12] τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως.

Boast in the cross

11 Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί. **12** Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα μὴ τῷ σταυρῷ τοῦ Χριστοῦ[13] διώκωνται.[14] **13** Οὐδὲ γὰρ οἱ περιτετμημένοι[15] αὐτοὶ νόμον φυλάσσουσιν, ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι ἵνα ἐν τῇ ὑμετέρᾳ[16] σαρκὶ καυχήσωνται.[17] **14** Ἐμοὶ δέ, μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ[18] κόσμῳ. **15** Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε[19] περιτομή τι ἰσχύει[20] οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις. **16** Καὶ ὅσοι τῷ κανόνι[21] τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ᾽ αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ.

17 Τοῦ λοιποῦ, κόπους μοι μηδεὶς παρεχέτω, ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ[22] ἐν

𝔓[46]B [1%]

[1] προκαλουμενοι **f**[35] 𝔓[46]אA,B,C [75%] RP,HF,OC,TR,NU ¦ προσκαλουμενοι [25%] CP

[2] αλληλοις **f**[35] אA,C [60%] RP,HF,OC,TR,CP,NU ¦ αλληλους 𝔓[46]B [40%]

[3] προληφθη **f**[35] C [91.5%] RP,HF,OC,TR ¦ προσληφθη [5%] CP ¦ προλημφθη 𝔓[46]אA,B [1.5%] NU ¦ three other spellings [2%]

[4] πραοτητος **f**[35] A,C [98.5%] RP,HF,OC,TR,CP ¦ πραυτητος 𝔓[46]אB [1.5%] NU

[5] πειρασθης *rell* ¦ πειρασθεις [18%]

[6] αναπληρωσατε **f**[35] אA,C [97.5%] RP,HF,OC,TR,CP ¦ αναπληρωσετε B [2%] NU ¦ αποπληρωσετε 𝔓[46] ¦ one other variant

[7] του *rell* ¦ --- CP

[8] εαυτον φρεναπατα **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 𝔓[46]אA,B,C [3%] NU

[9] εαυτου *rell* ¦ αυτου [10%]

[10] εκκακωμεν **f**[35] C [98.5%] RP,HF,OC,TR,CP ¦ εγκακωμεν אA(B) [1.5%] NU

[11] θερισομεν **f**[35] A,B [71%] RP,HF,OC,TR,CP,NU ¦ θερισωμεν אC [29%]

[12] εργαζωμεθα **f**[35] אB,C [65%] RP,HF,OC,TR,CP,NU ¦ εργαζομεθα A [28%] ¦ εργασωμεθα 𝔓[46] [6%] ¦ εργασομεθα [1%]

[13] μη τω σταυρω του χριστου **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ~ 23451 אA,C [1.5%] NU ¦ ~ 2345 ιησου 1 𝔓[46]B [0.5%] ¦ three other variants [1%]

[14] διωκωνται **f**[35] אB [65%] RP,HF,OC,TR,CP,NU ¦ διωκονται 𝔓[46]A,C [32%] ¦ διωκοντε [3%]

[15] περιτετμημενοι **f**[35] 𝔓[46]B [66%] RP,HF,OC,CP ¦ περιτεμνομενοι אA,C [32%] TR,NU ¦ four other spellings [2%]

[16] υμετερα *rell* ¦ ημετερα [13%]

[17] καυχησωνται *rell* ¦ καυχησονται [18%]

[18] τω **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ --- 𝔓[46]אA,B,C [2%] NU

[19] εν γαρ χριστου ιησου ουτε **f**[35] אA,C (96.5%) RP,HF,OC,TR,CP ¦ ουτε γαρ 𝔓[46]B (3%) NU ¦ two other readings (0.5%)

[20] ισχυει **f**[35] [97.5%] RP,HF,OC,TR,CP ¦ εστιν 𝔓[46]אA,B,C [2.5%] NU

[21] κανονι *rell* ¦ κανωνι [10%]

[22] κυριου ιησου **f**[35] [95.5%] RP,HF,OC,TR,CP ¦ 2 𝔓[46]A,B,C [1%] NU ¦ 12 χριστου א [1%] ¦ χριστου [1.5%] ¦ 1

τῷ σώματί μου βαστάζω.

Sign-off

18 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί. Ἀμήν.[1]

ημων 2 χριστου [0.5%] ¦ three other variants [0.5%]

[1] The citation of $\mathbf{f}^{35}$ is based on thirty-seven MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1617, 1637, 1725, 1732, 1761, 1855, 1864, 1865, 1892, 2080, 2352, 2431, 2466, 2554, 2587, 2723 and 2817—all of which I collated myself. 204, 1100, 1637, 1865, 2554 and 2587 are 'perfect' representatives of $\mathbf{f}^{35}$ in Galatians, as they stand, as were the exemplars of another five. The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Meteora, Athens, Mt. Athos [eight different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I used Reuben Swanson's excellent collations (*New Testament Greek Manuscripts: Galatians* [Ed. Reuben Swanson, Wheaton: Tyndale House Publishers, 1999]). For Galatians Swanson collated 78 MSS, six being fragmentary (for any given variant set there will usually be at least 70 MSS listed), and I occasionally supplemented from Scrivener and von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±2%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±10%—by comparing Swanson with *TuT*, I believe one can make a fairly accurate extrapolation. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ

Salutation

1:1 Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ[1] διὰ θελήματος Θεοῦ, τοῖς ἁγίοις τοῖς οὖσιν ἐν Ἐφέσῳ,[2] καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ· **2** Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Some concentrated theology

A paean of doctrinal praise

1:3 Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ· **4** καθὼς[3] ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ, ἐν ἀγάπῃ, **5** προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ, εἰς αὐτόν, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ, **6** εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ[4] ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ· **7** ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων, κατὰ τὸν πλοῦτον[5] τῆς χάριτος αὐτοῦ, **8** ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει, **9** γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ, κατὰ τὴν εὐδοκίαν αὐτοῦ ἣν προέθετο ἐν αὐτῷ, **10** εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ—τὰ ἐπὶ[6] τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς—ἐν αὐτῷ, **11** ἐν ᾧ καὶ ἐκληρώθημεν, προορισθέντες κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ, **12** εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον τῆς[7] δόξης αὐτοῦ, τοὺς προηλπικότας ἐν τῷ Χριστῷ· **13** ἐν ᾧ καί, ἡμεῖς[8] ἀκούσαντες τὸν λόγον τῆς ἀληθείας—τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν· ἐν ᾧ, καὶ πιστεύσαντες, ἐσφραγίσθητε τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ Ἁγίῳ, **14** ὅς[9] ἐστιν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν εἰς ἀπολύτρωσιν τῆς περιποιήσεως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ.

Some doctrinal praying

15 Διὰ τοῦτο κἀγώ, ἀκούσας τὴν καθ᾽ ὑμᾶς πίστιν ἐν τῷ Κυρίῳ Ἰησοῦ καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους,[10] **16** οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν, μνείαν ὑμῶν[11] ποιούμενος ἐπὶ τῶν προσευχῶν μου· **17** ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν, Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης, δῴη ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ, **18** πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας[12] ὑμῶν,[13] εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ[14] τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, **19** καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας, κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ **20** ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ ἐγείρας αὐτὸν ἐκ τῶν[15] νεκρῶν καὶ ἐκάθισεν[16] ἐν δεξιᾷ αὐτοῦ, ἐν τοῖς

---

[1] ιησου χριστου **f**^{35} ℵA [98%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**^{46}B [2%] NU

[2] εν εφεσω **f**^{35} (A) (99.2%) RP,HF,OC,TR,CP[NU] ¦ --- (**𝔓**^{46})ℵB (0.8%)

[3] καθως *rell* ¦ 1 και OC

[4] εν η **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ ης **𝔓**^{46}ℵA,B [3%] NU

[5] τον πλουτον **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ το πλουτος **𝔓**^{46}ℵA,B [3%] NU ¦ one other reading

[6] επι **f**^{35} **𝔓**^{46}ℵB [70%] RP,HF,OC,NU ¦ εν A [28%] CP ¦ τε εν [2%] TR

[7] της **f**^{35} A [30%] TR ¦ --- ℵB [70%] RP,HF,OC,CP,NU

[8] ημεις **f**^{35} A [60%] ¦ υμεις **𝔓**^{46}ℵB [40%] RP,HF,OC,TR,CP,NU

[9] ος **f**^{35} ℵ [90%] RP,HF,OC,TR,CP ¦ ο **𝔓**^{46}A,B [10%] NU

[10] αγαπην την εις παντας τους αγιους **f**^{35} (94.4%) RP,HF,OC,TR,CP,NU ¦ 3456 **𝔓**^{46}ℵA,B (1.3%) ¦ ~ 34561 (3.8%) ¦ three other variants (0.5%) (The ‘Alexandrian’ variant is an easy case of homoioteleuton.)

[11] υμων **f**^{35} (94%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{46}ℵA,B (5%) NU ¦ two other readings (1%)

[12] καρδιας *rell* ¦ διανοιας [5%] TR

[13] υμων **f**^{35} ℵA [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**^{46}B [2%]

[14] και **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{46}ℵA,B [3%] NU

[15] των **f**^{35} **𝔓**^{46} [80%] RP,HF,CP ¦ --- ℵA,B [20%] OC,TR,NU

[16] εκαθισεν **f**^{35} (86%) RP,HF,OC,TR,CP ¦ εκαθησεν (4.3%) ¦ καθισας **𝔓**^{92}B (5.1%) NU ¦ καθησας (1.3%) ¦ καθισας αυτον ℵA (2.5%) ¦ two other variants (0.6%)

ἐπουρανίοις, **21** ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος—καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. **22** Καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ αὐτὸν ἔδωκεν κεφαλὴν ὑπὲρ πάντα τῇ Ἐκκλησίᾳ, **23** ἥτις ἐστὶν τὸ σῶμα αὐτοῦ, τὸ πλήρωμα τοῦ τὰ[1] πάντα ἐν πᾶσιν πληρουμένου.

Our position in Christ

2:1 Καὶ ὑμᾶς,[2] ὄντας νεκροὺς τοῖς παραπτώμασιν καὶ ταῖς ἁμαρτίαις,[3] **2** ἐν αἷς ποτε περιεπατήσατε, κατὰ τὸν Αἰῶνα τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας· **3** ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν, καὶ ἦμεν[4] τέκνα φύσει[5] ὀργῆς, ὡς καὶ οἱ λοιποί. **4** Ὁ δὲ Θεός—πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς, **5** καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασιν—συνεζωοποίησεν τῷ Χριστῷ (χάριτί ἐστε σεσωσμένοι) **6** καὶ συνήγειρεν καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ, **7** ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσιν τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον[6] τῆς χάριτος αὐτοῦ, ἐν χρηστότητι ἐφ᾽ ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ. **8** Τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι, διὰ τῆς[7] πίστεως—καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον—**9** οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται. **10** Αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ[8] ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεὸς ἵνα ἐν αὐτοῖς περιπατήσωμεν.

Once far, now near in Christ

11 Διό, μνημονεύετε ὅτι ὑμεῖς ποτε[9] τὰ ἔθνη ἐν σαρκί—οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης περιτομῆς (ἐν σαρκὶ χειροποιήτου)—**12** ὅτι ἦτε ἐν[10] τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ. **13** Νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς οἱ ποτὲ ὄντες μακρὰν ἐγγὺς ἐγενήθητε[11] ἐν τῷ αἵματι τοῦ Χριστοῦ.

Two into one

14 Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον[12] τοῦ φραγμοῦ λύσας, **15** τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασιν καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ[13] εἰς ἕνα καινὸν ἄνθρωπον (ποιῶν εἰρήνην), **16** καὶ ἀποκαταλλάξῃ[14] τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ σταυροῦ (ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ). **17** Καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ἡμῖν,[15] τοῖς μακρὰν καὶ[16] τοῖς ἐγγύς, **18** ὅτι δι᾽ αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ Πνεύματι πρὸς τὸν Πατέρα.

19 Ἄρα οὖν, οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ[17] συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ

---

[1] τα *rell* ¦ --- [5%] TR
[2] υμας *rell* ¦ ημας [10%]
[3] αμαρτιαις **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ 1 υμων **𝔓**[46]א**B** [5%] NU ¦ 1 εαυτων A
[4] ημεν **f**[35] A [98%] RP,HF,OC,TR,CP ¦ ημεθα **𝔓**[46]א**B** [2%] NU ¦ one other reading
[5] τεκνα φυσει *rell* ¦ ~ 21 A [9%] ¦ 1 [1%]
[6] τον υπερβαλλοντα πλουτον **f**[35] (95.8%) RP,HF,OC,TR,CP ¦ το υπερβαλλον πλουτος **𝔓**[46]A,B (2.7%) NU ¦ omit whole verse or more א (1.5%)
[7] της **f**[35] A [96%] RP,HF,OC,TR,CP ¦ --- א**B** [4%] NU
[8] επι *rell* ¦ επ [30%]
[9] υμεις ποτε **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]אA,B [4%] NU ¦ two other readings
[10] εν **f**[35] **𝔓**[46] [98%] RP,HF,OC,TR,CP ¦ --- אA,B [2%] NU
[11] εγγυς εγενηθητε **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ ~ 21 (**𝔓**[46])אA,B [4%] NU
[12] μεσοτοιχον *rell* ¦ μεσοτυχον [10%]
[13] εαυτω **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ αυτω **𝔓**[46]אA,B [4%] NU
[14] αποκαταλλαξη *rell* ¦ αποκαταλλαξει [10%]
[15] ημιν **f**[35] [40%] ¦ υμιν **𝔓**[46]אA,B [60%] RP,HF,OC,TR,CP,NU
[16] και **f**[35] (93.4%) RP,HF,OC,TR,CP ¦ 1 ειρηνην **𝔓**[46]אA,B (6.3%) NU ¦ --- (0.3%)
[17] και **f**[35] (93.4%) RP,HF,OC,TR,CP ¦ 1 ειρηνην **𝔓**[46]אA,B (6.3%) NU ¦ --- (0.3%)

Θεοῦ, **20** ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος[1] ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ·[2] **21** ἐν ᾧ πᾶσα[3] οἰκοδομή, συναρμολογουμένη, αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ· **22** ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν πνεύματι.

The 'secret' revealed to Paul

3:1 Τούτου χάριν ἐγώ, Παῦλος, ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ[4] ὑπὲρ ὑμῶν τῶν ἐθνῶν[5]—**2** εἴ γε[6] ἠκούσατε τὴν οἰκονομίαν τῆς χάριτος τοῦ Θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς, **3** ὅτι[7] κατὰ ἀποκάλυψιν ἐγνώρισέν[8] μοι τὸ μυστήριον (καθὼς προέγραψα ἐν ὀλίγῳ, **4** πρὸς ὃ δύνασθε, ἀναγινώσκοντες, νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ), **5** ὃ[9] ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν[10] Πνεύματι·[11] **6** εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσσωμα καὶ συμμέτοχα τῆς ἐπαγγελίας αὐτοῦ[12] ἐν τῷ Χριστῷ[13] διὰ τοῦ εὐαγγελίου, **7** οὗ ἐγενόμην[14] διάκονος κατὰ τὴν δωρεὰν τῆς χάριτος τοῦ Θεοῦ, τὴν δοθεῖσάν[15] μοι κατὰ τὴν ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ.

8 Ἐμοί, τῷ ἐλαχιστοτέρῳ πάντων[16] ἁγίων, ἐδόθη ἡ χάρις αὕτη, ἐν[17] τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον[18] τοῦ Χριστοῦ, **9** καὶ φωτίσαι πάντας[19] τίς ἡ οἰκονομία[20] τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ·[21] **10** ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις, διὰ τῆς Ἐκκλησίας, ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ, **11** κατὰ πρόθεσιν τῶν αἰώνων ἣν ἐποίησεν ἐν[22] Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, **12** ἐν ᾧ ἔχομεν τὴν παρρησίαν καὶ τὴν[23] προσαγωγὴν ἐν πεποιθήσει διὰ τῆς πίστεως αὐτοῦ. **13** Διὸ αἰτοῦμαι μὴ ἐκκακεῖν[24] ἐν ταῖς θλίψεσίν μου ὑπὲρ ὑμῶν, ἥτις ἐστὶν δόξα ὑμῶν.

Prayer

14 Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,[25] **15** ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται, **16** ἵνα δῴη[26] ὑμῖν, κατὰ τὸν πλοῦτον[27] τῆς δόξης αὐτοῦ· δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον· **17** κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν, ἐν ἀγάπῃ

---

[1] οντος *rell* ¦ οντως [10%]
[2] αυτου ιησου χριστου **f**[35] C [96%] RP,HF,OC,TR,CP ¦ ~ 132 A,B [3%] NU ¦ του 3 א [1%]
[3] πασα **f**[35] אB [95%] RP,HF,OC,CP,NU ¦ 1 η A,C [5%] TR
[4] ιησου **f**[35] **𝔓**[46]A,B(C) [97%] RP,HF,OC,TR,CP[NU] ¦ --- א [3%]
[5] των εθνων *rell* ¦ --- CP
[6] ειγε *rell* ¦ 1 και CP
[7] οτι **f**[35] אA,C [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]B [1%]
[8] εγνωρισεν **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ εγνωρισθη **𝔓**[46]אA,B,C [5%] NU
[9] ο **f**[35] **𝔓**[46]אA,B,C [95%] RP,HF,OC,NU ¦ 1 εν [5%] TR,CP
[10] εν *rell* ¦ --- CP
[11] πνευματι **f**[35] **𝔓**[46]אA,B,C [85%] RP,HF,OC,TR,NU ¦ 1 αγιω [15%] CP
[12] αυτου **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [3%] NU
[13] τω χριστω **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ 2 ιησου **𝔓**[46]אA,B,C [4%] NU
[14] εγενομην **f**[35] C [96%] RP,HF,OC,TR,CP ¦ εγενηθην **𝔓**[46]אA,B [4%] NU
[15] την δοθεισαν **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ της δοθεισης **𝔓**[46]אA,B,C,I [5%] NU
[16] παντων **f**[35] **𝔓**[46]אA,B,C [95%] RP,HF(CP)NU ¦ 1 των [5%] OC,TR (CP omits αγιων.)
[17] εν **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [2%] NU
[18] τον ανεξιχνιαστον πλουτον **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ το ανεξιχνιαστον πλουτος **𝔓**[46]אA,B,C [2%] NU
[19] παντας **f**[35] **𝔓**[46]B,C [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- אA [1%]
[20] οικονομια **f**[35] **𝔓**[46]אA,B,C [90%] RP,HF,OC,TR,CP ¦ κοινωνια [10%] TR
[21] δια ιησου χριστου **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [4%] NU
[22] εν **f**[35] א [98%] RP,HF,OC,TR,CP ¦ 1 τω **𝔓**[46]A,B,C [2%] NU
[23] την **f**[35] C [98%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B [2%] NU
[24] εκκακειν **f**[35] C [98%] RP,HF,OC,TR,CP ¦ εγκακειν (**𝔓**[46])א(A,B) [2%] NU
[25] του κυριου ημων ιησου χριστου **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [3%] NU
[26] δωη **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ δω **𝔓**[46]אA,B,C [3%] NU
[27] τον πλουτον **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ το πλουτος **𝔓**[46]אA,B,C [3%] NU

ἐρριζωμένοι καὶ τεθεμελιωμένοι **18** ἵνα ἐξισχύσητε καταλαβέσθαι (σὺν πᾶσιν τοῖς ἁγίοις) τί τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος·[1] **19** γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ—ἵνα πληρωθῆτε εἰς πᾶν τὸ Πλήρωμα τοῦ Θεοῦ.

20 Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν, κατὰ τὴν δύναμιν τὴν ἐνεργουμένην ἐν ἡμῖν, **21** αὐτῷ ἡ δόξα ἐν τῇ Ἐκκλησίᾳ[2] ἐν Χριστῷ Ἰησοῦ, εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων. Ἀμήν.

Putting the theology into practice

Unity

4:1 Παρακαλῶ οὖν ὑμᾶς ἐγώ, ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε, **2** μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος,[3] μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, **3** σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ Πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης. **4** Ἓν σῶμα καὶ ἓν Πνεῦμα (καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν),[4] **5** εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, **6** εἷς Θεὸς καὶ Πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν ἡμῖν.[5]

Building up the body

7 Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. **8** Διὸ λέγει, «Ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ[6] ἔδωκεν δόματα τοῖς ἀνθρώποις.» **9** (Τὸ δὲ ‹ἀνέβη› τί ἐστιν εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον[7] εἰς τὰ κατώτερα μέρη[8] τῆς γῆς; **10** Ὁ καταβὰς αὐτός ἐστιν καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα.) **11** Καὶ αὐτὸς ἔδωκεν τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, **12** πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, **13** μέχρι καταντήσομεν[9] οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· **14** ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν[10] τῆς πλάνης· **15** ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, αὐξήσω-μεν εἰς αὐτὸν τὰ πάντα ὅς ἐστιν ἡ κεφαλή, ὁ Χριστός·[11] **16** ἐξ οὗ πᾶν τὸ σῶμα, συναρμολογού-μενον καὶ συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας, κατ᾽ ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους, τὴν αὔξησιν τοῦ σώματος ποιεῖται[12] εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ.

Put away the old, put on the new

17 Τοῦτο οὖν, λέγω καὶ μαρτύρομαι ἐν Κυρίῳ· μηκέτι ὑμᾶς περιπατεῖν καθὼς καὶ τὰ λοιπὰ[13] ἔθνη περιπατεῖ, ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, **18** ἐσκοτισμένοι[14] τῇ διανοίᾳ, ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ, διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν, **19** οἵτινες, ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ, εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ. **20** Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστόν—**21** εἴγε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε (καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ)· **22** ἀποθέσθαι ὑμᾶς, κατὰ

---

[1] βαθος και υψος **f**[35] ℵA (93.9%) RP,HF,OC,TR,CP ¦ ~ 321 **𝔓**[46]B,C,I (5.8%) NU ¦ two other variants (0.3%)
[2] εκκλησια **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ 1 και **𝔓**[46]ℵA,B,C [5%] NU
[3] πραοτητος **f**[35] A [98%] RP,HF,OC,TR,CP ¦ πραυτητος ℵB,C [2%] NU
[4] υμων *rell* ¦ ημων CP
[5] ημιν **f**[35] [90%] RP,HF,OC,CP ¦ υμιν [5%] TR ¦ --- **𝔓**[46]ℵA,B,C [5%] NU
[6] και **f**[35] B,C [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA [3%] NU
[7] πρωτον **f**[35] B (96.3%) RP,HF,OC,TR,CP ¦ πρωτερον (0.7%) ¦ --- (**𝔓**[46])ℵA,C,I (3%) NU
[8] μερη **f**[35] ℵA,B,C [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[46] [1%]
[9] καταντησομεν **f**[35] [50%] CP ¦ καταντησωμεν **𝔓**[46]ℵA,B,C [50%] RP,HF,OC,TR,NU
[10] μεθοδειαν **f**[35] C [80%] RP,HF,OC,TR,NU ¦ μεθοδιαν ℵB [20%] CP ¦ μεθοδιας A ¦ one other reading
[11] ο χριστος **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ 2 ℵA,B,C [3%] NU ¦ του χριστου **𝔓**[46]
[12] ποιειται *rell* ¦ ποιηται CP
[13] λοιπα **f**[35] (91.8%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B,I (5.3%) NU ¦ part of a long omission (2.8%)
[14] εσκοτισμενοι **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ εσκοτωμενοι **𝔓**[46,49]ℵA,B,I [2%] NU

τὴν προτέραν ἀναστροφήν, τὸν παλαιὸν ἄνθρωπον (τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης), **23** ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, **24** καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον, τὸν κατὰ Θεὸν κτισθέντα, ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας.

Practical instruction

25 Διό, ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε[1] ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη. **26** Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ[2] παροργισμῷ ὑμῶν, **27** μηδὲ[3] δίδοτε τόπον τῷ διαβόλῳ. **28** Ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς χερσίν,[4] ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. **29** Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλ'[5] εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν, τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσιν. **30** Καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. **31** Πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν, σὺν πάσῃ κακίᾳ. **32** Γίνεσθε δὲ[6] εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ[7] ἐχαρίσατο ὑμῖν.[8]

Walk in love

5:1 Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ ὡς τέκνα ἀγαπητά, **2** καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας. **3** Πορνεία δὲ καὶ πᾶσα ἀκαθαρσία[9] ἢ[10] πλεονεξία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν (καθὼς πρέπει ἁγίοις)· **4** καὶ αἰσχρότης καὶ μωρολογία ἢ εὐτραπελία (τὰ οὐκ ἀνήκοντα),[11] ἀλλὰ μᾶλλον εὐχαριστία. **5** Τοῦτο γάρ ἴστε[12] γινώσκοντες ὅτι· πᾶς πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης (ὅς[13] ἐστιν εἰδωλολάτρης), οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ. **6** Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις, διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. **7** Μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν **8**—ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ.

Walk in light

Ὡς τέκνα φωτὸς περιπατεῖτε **9** (ὁ γὰρ καρπὸς τοῦ Πνεύματος[14] ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ), **10** δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ. **11** Καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε. **12** (Τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν αἰσχρόν ἐστιν καὶ λέγειν.) **13** Τὰ δὲ πάντα, ἐλεγχόμενα, ὑπὸ τοῦ φωτὸς φανεροῦται, πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστιν. **14** Διὸ λέγει· «Ἔγειραι,[15] ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός.»

Walk in wisdom

15 Βλέπετε οὖν πῶς ἀκριβῶς[16] περιπατεῖτε, μὴ ὡς ἄσοφοι ἀλλ' ὡς σοφοί, **16** ἐξαγοραζόμενοι

---

[1] λαλειτε *rell* ¦ 1 την [10%]
[2] τω **f**[35] [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[49]א**A,B** [1%]
[3] μηδε **f**[35] **𝔓**[46]א**A,B** [85%] RP,HF,OC,CP,NU ¦ μητε [15%] TR
[4] το αγαθον ταις χερσιν **f**[35] (71.7%) RP,HF,OC,TR ¦ 123 ιδιαις 4 (16%) CP ¦ 12 εν 34 (2%) ¦ ~ 3412 **𝔓**[46,49]**B,I** (1.5%) ¦ ~ 3 ιδιαις 412 א**A** (7%) [NU] ¦ 12 (0.8%) ¦ four other variants (1%)
[5] αλλ *rell* ¦ αλλα **B** [1%] NU
[6] δε **f**[35] **𝔓**[49]א**A** [96%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]**B** [3%] ¦ ουν [1%]
[7] θεος εν χριστω *rell* ¦ χριστος [2%] CP
[8] υμιν **f**[35] **𝔓**[46]א**A** [35%] TR,NU ¦ ημιν **𝔓**[49]**B** [65%] RP,HF,OC,CP
[9] πασα ακαθαρσια **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]א**A,B** [3%] NU ¦ 1 [1%]
[10] η *rell* ¦ και [10%]
[11] τα ουκ ανηκοντα **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ α 2 ανηκεν **𝔓**[46]א**A,B** [3%] NU
[12] ιστε **f**[35] **𝔓**[46]א**A,B** [30%] NU ¦ εστε [70%] RP,HF,OC,TR,CP
[13] ος **f**[35] **A** [96%] RP,HF,OC,TR,CP ¦ ο **𝔓**[46]א**B** [4%] NU
[14] πνευματος **f**[35] **𝔓**[46] (94.2%) RP,HF,OC,TR,CP ¦ φωτος **𝔓**[49]א**A,B,I** (5.3%) NU ¦ three other variants (0.5%)
[15] εγειραι **f**[35] [80%] TR,CP ¦ εγειρε **𝔓**[46]א**A,B** [20%] RP,HF,OC,NU
[16] πως ακριβως **f**[35] (**A**) [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]א**B** [3%] NU

τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν. **17** Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες[1] τί τὸ θέλημα τοῦ Κυρίου. **18** Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία· ἀλλὰ πληροῦσθε ἐν Πνεύματι, **19** λαλοῦντες ἑαυτοῖς[2] ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ[3] ὑμῶν τῷ Κυρίῳ· **20** εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν, Ἰησοῦ Χριστοῦ, τῷ Θεῷ καὶ Πατρί, **21** ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Θεοῦ.[4]

Relationships within the home

About wives

5:22 Αἱ γυναῖκες, τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε,[5] ὡς τῷ Κυρίῳ, **23** ὅτι[6] ἀνήρ ἐστιν κεφαλὴ τῆς γυναικὸς ὡς καὶ ὁ Χριστὸς Κεφαλὴ τῆς Ἐκκλησίας—καὶ αὐτός ἐστιν[7] Σωτὴρ τοῦ σώματος. **24** Ἀλλ'[8] ὥσπερ[9] ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτως καὶ αἱ γυναῖκες τοῖς ἰδίοις[10] ἀνδράσιν ἐν παντί.

About husbands

25 Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν[11] καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν τὴν Ἐκκλησίαν καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, **26** ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος· ἐν ῥήματι, **27** ἵνα παραστήσῃ αὐτὴν[12] ἑαυτῷ—ἔνδοξον τὴν ἐκκλησίαν—μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος. **28** Οὕτως ὀφείλουσιν οἱ ἄνδρες[13] ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα· ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα ἑαυτὸν ἀγαπᾷ. **29** Οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν· ἀλλὰ[14] ἐκτρέφει καὶ θάλπει αὐτήν, καθὼς καὶ ὁ Κύριος[15] τὴν Ἐκκλησίαν **30**—ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ.[16] **31** «Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν[17] πατέρα αὐτοῦ[18] καὶ τὴν[19] μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.» **32** Τὸ μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς[20] τὴν Ἐκκλησίαν.

33 Πλὴν καὶ ὑμεῖς οἱ καθ' ἕνα·[21] ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω ὡς ἑαυτόν, ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα.

---

[1] συνιεντες **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ συνιετε **𝔓**[46]א A,B [3%] NU ¦ συνιοντες [1%]

[2] εαυτοις **f**[35] א A [98%] RP,HF,OC,TR,CP ¦ 1 εν **𝔓**[46]B [2%] [NU]

[3] ψαλλοντες εν τη καρδια **f**[35] (86.5%) RP,HF,OC,TR,CP ¦ 234 (7.8%) ¦ 134 **𝔓**[46]אB (0.8%) NU ¦ 12 ταις καρδιαις A (4.5%) ¦ two other variants (0.3%)

[4] θεου **f**[35] [70%] TR ¦ χριστου **𝔓**[46]אA,B [30%] RP,HF,OC,CP,NU ¦ ιησου χριστου [0.5%] ¦ one other reading

[5] υποτασσεσθε **f**[35] (86.2%) RP,HF,OC,TR,CP ¦ υποτασσεσθαι (3.5%) ¦ υποτασσεσθωσαν אA,I (9.1%) ¦ υποτασσεσθω (0.7%) ¦ --- **𝔓**[46]B (alone) NU ¦ one other variant (0.2%)

[6] οτι **f**[35] **𝔓**[46]אA,B [85%] RP,HF,CP,NU ¦ 1 ο [15%] OC,TR (OC is in small print.)

[7] και αυτος εστιν **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ 2 **𝔓**[46]אA,B,I[v],048 [3%] NU

[8] αλλ *rell* ¦ αλλα B [1%] NU

[9] ωσπερ **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ως אA [3%] NU ¦ οτι **𝔓**[46] [1%] ¦ --- B [1%]

[10] ιδιοις **f**[35] A [98%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אB [2%] NU

[11] εαυτων **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ --- אA,B,048 [2%] NU ¦ one other reading

[12] αυτην **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ αυτος **𝔓**[46]אA,B [3%] NU

[13] οφειλουσιν οι ανδρες **f**[35] א [95%] RP,HF,OC,TR,CP ¦ 1 και 23 **𝔓**[46]B [3%] [NU] ¦ ~ και 231 A,048[v] [2%]

[14] αλλα **f**[35] A,B [60%] CP,NU ¦ αλλ א [40%] RP,HF,OC,TR

[15] κυριος **f**[35] [80%] RP,HF,OC,TR,CP ¦ χριστος **𝔓**[46]אA,B,048 [20%] NU

[16] εκ της σαρκος αυτου και εκ των οστεων αυτου **f**[35] (93.3%) RP,HF,OC,TR,CP ¦ 12345789 (2.5%) ¦ 56789 (0.5%) ¦ --- **𝔓**[46]אA,B,048 (2.3%) NU ¦ six other variants (1.3%) (The omission is a not very difficult case of homoioteleuton.)

[17] τον **f**[35] **𝔓**[46]אA,048 [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- B [1%]

[18] αυτου **f**[35] A [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אB [3%] NU

[19] την **f**[35] **𝔓**[46]אA,048 [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- B [1%]

[20] εις **f**[35] **𝔓**[46]אA [85%] RP,HF,OC,TR,CP,NU ¦ --- B [15%]

[21] καθ' ἑνα *rell* ¦ καθένα **f**[35] (I include this for the record and so as not to lose sight of it, but since there is evidently no difference in meaning I stay with the conventional spelling. Since the shift from τ to θ is caused by aspiration, there is no ambiguity).

About children

6:1 Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ,[1] τοῦτο γάρ ἐστιν δίκαιον. **2** «Τίμα
τὸν πατέρα σου καὶ τὴν μητέρα»—ἥτις ἐστὶν ἐντολὴ πρώτη[2] ἐν ἐπαγγελίᾳ—**3** «ἵνα εὖ σοι γένηται
καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς.» **4** Καὶ οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ'[3]
ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου.

About slaves and masters

5 Οἱ δοῦλοι, ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα[4] μετὰ φόβου καὶ τρόμου, ἐν ἁπλότητι τῆς[5]
καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ· **6** μὴ κατ' ὀφθαλμοδουλίαν,[6] ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι
τοῦ[7] Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς, **7** μετ' εὐνοίας δουλεύοντες,[8] τῷ Κυρίῳ
καὶ οὐκ ἀνθρώποις, **8** εἰδότες ὅτι ὃ ἐάν τι ἕκαστος[9] ποιήσῃ ἀγαθόν, τοῦτο κομιεῖται[10] παρὰ τοῦ[11]
Κυρίου, εἴτε δοῦλος εἴτε ἐλεύθερος.

9 Καὶ οἱ κύριοι, τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτούς, ἀνιέντες τὴν ἀπειλήν, εἰδότες ὅτι καὶ ὑμῶν
αὐτῶν[12] ὁ Κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ προσωποληψία[13] οὐκ ἔστιν παρ'[14] αὐτῷ.

Spiritual warfare

6:10 Τὸ λοιπόν,[15] ἀδελφοί μου,[16] ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ.
11 Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ
διαβόλου. **12** Ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς
ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος[17] τούτου, πρὸς τὰ πνευματικὰ τῆς
πονηρίας ἐν τοῖς ἐπουρανίοις. **13** Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε
ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα κατεργασάμενοι, στῆναι.

14 Στῆτε οὖν, περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς
δικαιοσύνης, **15** καὶ ὑποδησάμενοι[18] τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης·
16 ἐπὶ[19] πᾶσιν, ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ
τὰ[20] πεπυρωμένα σβέσαι· **17** καί, τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθαι[21] καὶ τὴν μάχαιραν
τοῦ Πνεύματος, ὅ ἐστιν ῥῆμα Θεοῦ· **18** διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν
παντὶ καιρῷ ἐν Πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο[22] ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει
περὶ πάντων τῶν ἁγίων—**19** καὶ ὑπὲρ ἐμοῦ, ἵνα μοι δοθῇ[23] λόγος, ἐν ἀνοίξει τοῦ στόματός μου,
ἐν παρρησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου, **20** ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει· ἵνα ἐν αὐτῷ

---

[1] εν κυριω **f**[35] **𝔓**[46]א,A,I[v] [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- B [1%]
[2] εντολη πρωτη *rell* ¦ ~ 21 CP
[3] αλλ *rell* ¦ αλλα אA,B [2%] NU
[4] κυριοις κατα σαρκα **f**[35] **𝔓**[46] [95%] RP,HF,OC,TR,CP ¦ ~ 231 אA,B [5%] NU
[5] της **f**[35] **𝔓**[46]A,B [80%] RP,HF,OC,TR,NU ¦ --- א [20%] CP
[6] οφθαλμοδουλιαν **f**[35] [40%] OC,NU ¦ οφθαλμοδουλειαν אA,B [60%] RP,HF,TR,CP
[7] του **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- אA,B [5%] NU
[8] δουλευοντες **f**[35] [70%] TR ¦ 1 ως אA,B [30%] RP,HF,OC,CP,NU
[9] ο εαν τι εκαστος **f**[35] [91%] RP,OC,TR,CP ¦ 234 [4%] HF ¦ ~ 412 A [4%] ¦ ~ 423 B,NU ¦ two other readings א
[10] κομιειται **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ κομισεται **𝔓**[46]אA,B [3%] NU
[11] του **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B [10%] NU
[12] υμων αυτων **f**[35] [95%] RP,HF,OC,TR ¦ ~ 2 και 1 **𝔓**[46]A,B [4%] NU ¦ ~ εαυτων και 1 א [1%] ¦ 1 και 2 CP
[13] προσωποληψια *rell* ¦ προσωπολημψια אA,B [2%] NU
[14] παρ *rell* ¦ εν [10%]
[15] το λοιπον **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ του λοιπου **𝔓**[46]אA,B,I [3%] NU
[16] αδελφοι μου **f**[35] (88.8%) RP,HF,OC,TR,CP ¦ 1 (A) (7.9%) ¦ --- **𝔓**[46]אB,I (3.3%) NU
[17] του αιωνος **f**[35] (97.2%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B (2.8%) NU
[18] υποδησαμενοι *rell* ¦ υποδυσαμενοι [25%]
[19] επι **f**[35] A [97%] RP,HF,OC,TR,CP ¦ εν **𝔓**[46]אB [3%] NU
[20] τα **f**[35] אA [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]B [1%]
[21] δεξασθαι **f**[35] A [94%] RP,HF ¦ δεξασθε **𝔓**[46]אB [5%] OC,TR,CP,NU ¦ --- [1%]
[22] τουτο **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- אA,B [3%] NU
[23] μοι δοθη **f**[35] A,B [95%] RP,HF,OC,CP,NU ¦ ~ 21 א ¦ 1 δοθειη [5%] TR

παρρησιάσωμαι, ὡς δεῖ με λαλῆσαι.

Closing greetings

6:21 Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς[1] τὰ κατ᾽ ἐμέ, τί πράσσω, πάντα ὑμῖν γνωρίσει[2] Τυχικός, ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν Κυρίῳ· **22** ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο· ἵνα γνῶτε τὰ περὶ ἡμῶν καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν.

23 Εἰρήνη τοῖς ἀδελφοῖς, καὶ ἀγάπη μετὰ πίστεως, ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

24 Ἡ χάρις μετὰ πάντων τῶν ἀγαπώντων τὸν Κύριον ἡμῶν, Ἰησοῦν Χριστόν, ἐν ἀφθαρσίᾳ. Ἀμήν.[3,4]

---

[1] ειδητε και υμεις **f**[35] B (83.4%) RP,HF,OC,TR,CP,NU ¦ ιδητε 23 (4%) ¦ ~ 231 I (9.3%) ¦ ~ 23 ιδητε ℵA (1.7%) ¦ 1 **𝔓**[46] (0.8%) ¦ five variants with ημεις (0.8%)

[2] υμιν γνωρισει **f**[35] A [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]ℵB [5%] NU

[3] αμην **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B [3%] NU

[4] The citation of **f**[35] is based on thirty-seven MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1617, 1637, 1725, 1732, 1761, 1855, 1864, 1865, 1892, 1897, 2080, 2352, 2431, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 928, 1864, 2554 and 2723 are 'perfect' representatives of **f**[35] in Ephesians, as they stand, as were the exemplars of another ten. The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Meteora, Athens, Mt. Athos [eight different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A[27], supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ

Salutation

1:1 Παῦλος καὶ Τιμόθεος, δοῦλοι Ἰησοῦ Χριστοῦ,[1] πᾶσιν τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ τοῖς οὖσιν ἐν Φιλίπποις, σὺν ἐπισκόποις καὶ διακόνοις· **2** Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

How Paul prays for them

3 Εὐχαριστῶ τῷ Θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν· **4** πάντοτε ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος, **5** ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ εὐαγγέλιον ἀπὸ[2] πρώτης ἡμέρας ἄχρι τοῦ νῦν, **6** πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει ἄχρις[3] ἡμέρας Ἰησοῦ Χριστοῦ·[4] **7** καθώς ἐστιν δίκαιον ἐμοὶ τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου καὶ ἐν[5] τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ εὐαγγελίου συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας. **8** Μάρτυς γάρ μού ἐστιν[6] ὁ Θεὸς ὡς ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ.[7]

9 Καὶ τοῦτο προσεύχομαι· ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει, **10** εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, ἵνα ἦτε εἰλικρινεῖς[8] καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ, **11** πεπληρωμένοι καρπῶν[9] δικαιοσύνης τῶν[10] διὰ Ἰησοῦ Χριστοῦ, εἰς δόξαν καὶ ἔπαινον Θεοῦ.

News and instructions

By whatever means, Christ is preached

1:12 Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί, ὅτι τὰ κατ᾽ ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου, ἐλήλυθεν· **13** ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοῖς λοιποῖς πᾶσιν· **14** καί, τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾶν, ἀφόβως τὸν λόγον λαλεῖν.[11] **15** Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι᾽ εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσιν· **16** οἱ μὲν ἐξ ἐριθείας τὸν Χριστὸν καταγγέλλουσιν, οὐχ ἁγνῶς, οἰόμενοι θλῖψιν ἐπιφέρειν[12] τοῖς δεσμοῖς μου, **17** οἱ δὲ ἐξ ἀγάπης, εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι.[13] **18** Τί γάρ; Πλὴν[14] παντὶ τρόπῳ, εἴτε προφάσει εἴτε ἀληθείᾳ, Χριστὸς καταγγέλλεται, καὶ ἐν τούτῳ χαίρω—ἀλλὰ καὶ χαρήσομαι.

---

[1] ιησου χριστου **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 אB [3%] NU

[2] απο **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ 1 της **𝔓**[46]אA,B [3%] NU

[3] αχρις **f**[35] [97%] HF,OC,TR,CP ¦ αχρι א(A)B [3%] RP,NU

[4] ιησου χριστου **f**[35] אA [65%] OC,TR ¦ ~ 21 **𝔓**[46]B [35%] RP,HF,CP,NU

[5] εν **f**[35] **𝔓**[46]אB [95%] RP,HF,OC,CP,NU ¦ --- A [5%] TR

[6] εστιν **f**[35] A [98%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]אB [2%] NU

[7] ιησου χριστου **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]אA,B [4%] NU

[8] είλικρινεις **f**[35] [30%] ¦ εἰλικρινεις *rell* (If the first half of the word is presumed to derive from ‘sunlight’ or ‘sun’, the aspiration follows naturally.)

[9] καρπων **f**[35] (66%) RP,HF,OC,TR,CP ¦ καρπον **𝔓**[46]אA,B,I,048 (33.2%) NU ¦ part of a large omission (0.8%) [homoioteleuton]

[10] των **f**[35] (70%) RP,HF,OC,TR,CP ¦ τον **𝔓**[46]אA,I,048 (28%) NU ¦ --- B (0.8%) ¦ two other readings (0.3%) ¦ part of a large omission (0.8%) [homoioteleuton]

[11] τον λογον λαλειν **f**[35] **𝔓**[46] (73.7%) RP,HF,OC,TR,NU ¦ ~ 312 (5%) ¦ 12 του θεου 3 אA,B (15.8%) ¦ 1 του θεου 23 (4%) (CP) ¦ 123 του θεου (0.3%) ¦ 12 κυριου 3 (0.3%) ¦ four other readings (0.8%)

[12] επιφερειν **f**[35] (92.7%) RP,HF,OC,TR,CP ¦ εγειρειν אA,B (4.8%) NU ¦ επεγειρειν (1.5%) ¦ three other readings (0.5%) ¦ part of a large omission (0.5%) [homoioteleuton]

[13] εξ εριθειας τον χριστον καταγγελλουσιν ουχ αγνως οιομενοι θλιψιν επιφερειν τοις δεσμοις μου οι δε εξ αγαπης ειδοτες οτι εις απολογιαν του ευαγγελιου κειμαι **f**[35] (88.9%) RP,HF,OC,TR,CP ¦ ~ 16-24,14-15,1-13 **𝔓**[46]אA,B,048 (9.6%) NU ¦ two other readings (0.3%) ¦ part of a large omission (1.2%) [homoioteleuton]

[14] πλην **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ 1 οτι **𝔓**[46]אA,048 [4%] NU ¦ οτι B

To live is Christ, to die is gain

19 Οἶδα γὰρ ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν (διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ) **20** κατὰ τὴν καραδοκίαν[1] καὶ ἐλπίδα μου ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι ἀλλ᾽ ἐν πάσῃ παρρησίᾳ, ὡς πάντοτε καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς εἴτε διὰ θανάτου **21**—ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος. **22** Εἰ δὲ τὸ ζῆν ἐν σαρκὶ τοῦτό μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι οὐ γνωρίζω. **23** Συνέχομαι δὲ[2] ἐκ τῶν δύο· τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι (πολλῷ[3] μᾶλλον κρεῖ-σσον) **24** τὸ δὲ ἐπιμένειν ἐν[4] τῇ σαρκὶ ἀναγκαιότερον, δι᾽ ὑμᾶς. **25** Καὶ τοῦτο πεποιθώς, οἶδα ὅτι μενῶ καὶ συμπαραμενῶ[5] πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν τῆς πίστεως, **26** ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοί, διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς.

27 Μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε, ἵνα εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς εἴτε ἀπὼν ἀκούσω[6] τὰ περὶ ὑμῶν ὅτι στήκετε ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου, **28** καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων· ἥτις αὐτοῖς μέν ἐστιν[7] ἔνδειξις ἀπωλείας, ὑμῖν[8] δὲ σωτηρίας, καὶ τοῦτο ἀπὸ Θεοῦ. **29** Ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν, **30** τὸν αὐτὸν ἀγῶνα ἔχοντες οἷον εἴδετε[9] ἐν ἐμοὶ καὶ νῦν ἀκούετε ἐν ἐμοί.

About having the mind of Christ

2:1 Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία Πνεύματος, εἴ τι[10] σπλάγχνα καὶ οἰκτιρμοί, **2** πληρώσατέ μου τὴν χαρὰν ἵνα τὸ αὐτὸ φρονῆτε,[11] τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες. **3** Μηδὲν κατὰ[12] ἐριθείαν ἢ[13] κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν. **4** Μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε,[14] ἀλλὰ καὶ[15] τὸ[16] ἑτέρων ἕκαστος.[17]

5 Τοῦτο γὰρ[18] φρονείσθω[19] ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, **6** ὅς, ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, **7** ἀλλ᾽ ἑαυτὸν ἐκένωσεν, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος. **8** Καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου—θανάτου δὲ σταυροῦ. **9** Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν καὶ ἐχαρίσατο αὐτῷ[20] ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, **10** ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ—

---

[1] καραδοκιαν **f**[35] [25%] ¦ αποκαραδοκιαν ℵA,B [74%] RP,HF,OC,TR,CP,NU ¦ παραδοσιν [1%] (The longer form is so far found only in Romans 8:19, not in pre-NT literature, whereas the shorter form occurs in earlier Greek. If the longer form were original, would medieval monks [Soden's hypothesis] be likely to introduce an earlier form?)

[2] δε **f**[35] **𝔓**[46]ℵA,B [95%] RP,HF,OC,CP,NU ¦ γαρ [5%] TR

[3] πολλω **f**[35] ℵ [95%] RP,HF,TR,CP ¦ 1 γαρ (**𝔓**[46])A,B,C [4%] OC[NU] ¦ ποσω [1%] (OC is in small print.)

[4] εν **f**[35] **𝔓**[46]B [90%] RP,HF,OC,TR,CP[NU] ¦ --- ℵA,C [10%]

[5] συμπαραμενω **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ παραμενω **𝔓**[46]ℵA,B,C [3%] NU

[6] ακουσω **f**[35] A,C [97%] RP,HF,OC,TR,CP ¦ ακουω **𝔓**[46](ℵ)B [3%] NU

[7] αυτοις μεν εστιν **f**[35] (82.8%) RP,HF,OC,TR,CP ¦ ~ 312 (9.6%) ¦ ~ 31 ℵA,B,C (6.8%) NU ¦ ~ 213 (0.3%) ¦ two other readings (0.5%)

[8] υμιν **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ υμων ℵA,B [5%] NU ¦ ημιν C [5%]

[9] ειδετε **f**[35] **𝔓**[46]ℵA,B,C [90%] RP,HF,OC,CP,NU ¦ ιδετε [10%] TR

[10] τι **f**[35] [35%] ¦ τις **𝔓**[46]ℵA,B,C [60%] RP,HF,OC,CP,NU ¦ τινα [5%] TR

[11] φρονητε *rell* ¦ φρονειτε [10%]

[12] κατα **f**[35] **𝔓**[46]A [90%] RP,HF,OC,TR,CP ¦ κατ ℵB,C [10%] NU

[13] η **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ μηδε κατα ℵA,B,C [3%] NU ¦ μηδε **𝔓**[46] [1%] ¦ 1 κατα [1%] ¦ one other reading

[14] σκοπειτε **f**[35] [93%] RP,HF,OC,TR,CP ¦ σκοπουντες **𝔓**[46]ℵA,B,C [5%] NU ¦ σκοπειτω [2%]

[15] και **f**[35] **𝔓**[46]ℵA,B,C [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- D [1%]

[16] το **f**[35] [40%] CP ¦ τα **𝔓**[46]ℵA,B,C [45%] RP,HF,OC,TR,NU ¦ των [15%]

[17] εκαστος **f**[35] C [95%] RP,HF,OC,TR,CP ¦ εκαστοι **𝔓**[46]ℵA,B [4%] NU ¦ --- [1%]

[18] γαρ **f**[35] **𝔓**[46] [97%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B,C [2%] NU ¦ ουν [1%]

[19] φρονεισθω **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ φρονειτε **𝔓**[46]ℵA,B,C [3%] NU

[20] αυτω **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ 1 το **𝔓**[46]ℵA,B,C [2%] NU

ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων—**11** καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται[1] ὅτι Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός.

Act like children of God

12 Ὥστε, ἀγαπητοί μου, καθὼς πάντοτε ὑπηκούσατε[2] (μὴ ὡς[3] ἐν τῇ παρουσίᾳ μου μόνον ἀλλὰ[4] νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου), μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε, **13** ὁ[5] Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν, καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν, ὑπὲρ τῆς εὐδοκίας.

14 Πάντα ποιεῖτε χωρὶς γογγυσμῶν[6] καὶ διαλογισμῶν, **15** ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμητα[7] ἐν μέσῳ[8] γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, **16** λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ ὅτι οὐκ εἰς κενὸν ἔδραμον οὐδὲ εἰς κενὸν ἐκοπίασα. **17** Ἀλλ'[9] εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν. **18** Τὸ δ'[10] αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι.

About Timothy

19 Ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰησοῦ Τιμόθεον ταχέως πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ γνοὺς τὰ περὶ ὑμῶν. **20** Οὐδένα γὰρ ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει **21** (οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ[11] Χριστοῦ Ἰησοῦ).[12] **22** Τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον. **23** Τοῦτον μὲν οὖν ἐλπίζω πέμψαι, ὡς ἂν ἀπίδω[13] τὰ περὶ ἐμὲ ἐξαυτῆς. **24** Πέποιθα δὲ ἐν Κυρίῳ ὅτι καὶ αὐτὸς ταχέως ἐλεύσομαι.

About Epaphroditus

25 Ἀναγκαῖον δὲ ἡγησάμην Ἐπαφρόδιτον, τὸν ἀδελφὸν καὶ συνεργὸν καὶ συστρατιώτην μου, ὑμῶν δὲ ἀπόστολον καὶ λειτουργὸν τῆς χρείας μου, πέμψαι πρὸς ὑμᾶς· **26** ἐπειδὴ ἐπιποθῶν ἦν πάντας ὑμᾶς,[14] καὶ ἀδημονῶν διότι ἠκούσατε ὅτι ἠσθένησεν. **27** Καὶ γὰρ ἠσθένησεν, παραπλήσιον θανάτῳ,[15] ἀλλ'[16] ὁ Θεὸς αὐτὸν ἠλέησεν,[17] οὐκ αὐτὸν δὲ μόνον ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην ἐπὶ λύπην[18] σχῶ. **28** Σπουδαιοτέρως οὖν ἔπεμψα αὐτόν, ἵνα ἰδόντες αὐτὸν πάλιν χαρῆτε, κἀγὼ ἀλυπότερος[19] ὦ. **29** Προσδέχεσθε οὖν αὐτὸν ἐν Κυρίῳ μετὰ πάσης χαρᾶς, καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε, **30** ὅτι διὰ τὸ ἔργον τοῦ Χριστοῦ[20] μέχρι θανάτου ἤγγισεν, παραβουλευσάμενος[21] τῇ ψυχῇ, ἵνα πληρώσῃ[22] τὸ ὑμῶν ὑστέρημα τῆς πρός με[23] λειτουργίας.

---

[1] εξομολογησηται **f**[35] **𝔓**[46]ℵB [80%] RP,HF,OC,TR,CP,NU ¦ εξομολογησεται A,C [20%]
[2] υπηκουσατε *rell* ¦ 1 μου CP
[3] ως **f**[35] **𝔓**[46]ℵA,C [90%] RP,HF,OC,TR,NU ¦ --- B [10%] CP
[4] αλλα *rell* ¦ 1 και CP
[5] ο **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B,C [5%] NU
[6] γογγυσμων **f**[35] **𝔓**[46v]ℵA,B,C [90%] RP,HF,OC,TR,NU ¦ οργης [10%] CP
[7] αμωμητα **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ αμωμα **𝔓**[46]ℵA,B,C [3%] NU
[8] εν μεσω **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ μεσον **𝔓**[46]ℵA,B,C [4%] NU
[9] αλλ *rell* ¦ αλλα A[v],B [1%] NU
[10] δ **f**[35] A,C [97%] RP,HF,OC,TR ¦ δε **𝔓**[46]ℵB [3%] CP,NU
[11] τα **f**[35] **𝔓**[46]ℵA,B,C [60%] RP,HF,OC,CP,NU ¦ 1 του [40%] TR
[12] χριστου ιησου **f**[35] B [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]ℵA,C [3%] NU
[13] απιδω **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ αφιδω **𝔓**[46]ℵA,B [3%] NU
[14] υμας **f**[35] (**𝔓**[46])(B) [75%] RP,HF,OC,TR,CP,NU ¦ 1 ιδειν ℵA,C,I[v] [25%]
[15] θανατω *rell* ¦ θανατου B [10%] OC
[16] αλλ **f**[35] [80%] HF,OC,TR ¦ αλλα ℵA,B,C [20%] RP,CP,NU
[17] αυτον ηλεησεν **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 ℵA,B,C [5%] NU
[18] λυπην **f**[35] ℵA,B,C [90%] RP,HF,OC,CP,NU ¦ λυπη [10%] TR
[19] αλυποτερος *rell* ¦ αλυπωτερος [15%]
[20] του χριστου **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ 2 **𝔓**[46]B [5%] NU ¦ κυριου ℵA [4%] ¦ --- C [1%] ¦ one other reading
[21] παραβουλευσαμενος **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ παραβολευσαμενος **𝔓**[46]ℵA,B [3%] NU
[22] πληρωση **f**[35] B [40%] CP ¦ αναπληρωση **𝔓**[46]A,C [55%] RP,HF,OC,TR,NU ¦ αναπληρωσει ℵ [5%]
[23] με *rell* ¦ εμε ℵ [10%]

Paul's example

3:1 Τὸ λοιπόν, ἀδελφοί μου, χαίρετε ἐν Κυρίῳ. Τὰ αὐτὰ γράφειν ὑμῖν ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ τὸ[1] ἀσφαλές. **2** Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν· **3** ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή, οἱ Πνεύματι Θεοῦ[2] λατρεύοντες καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες **4** (καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ[3] ἐν σαρκί).

About Paul

Εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκί, ἐγὼ μᾶλλον· **5** περιτομῇ ὀκταήμερος, ἐκ γένους Ἰσραήλ, φυλῆς Βενιαμίν,[4] Ἑβραῖος ἐξ Ἑβραίων· κατὰ νόμον, Φαρισαῖος· **6** κατὰ ζῆλον,[5] διώκων τὴν ἐκκλησίαν· κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος, ἄμεμπτος.

7 Ἀλλ'[6] ἅτινα ἦν μοι[7] κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. **8** Ἀλλὰ μὲν οὖν[8] καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ[9] τοῦ Κυρίου μου—δι' ὃν τὰ πάντα ἐζημιώθην (καὶ ἡγοῦμαι σκύβαλα εἶναι),[10] ἵνα Χριστὸν κερδήσω **9** καὶ εὑρεθῶ ἐν αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει· **10** τοῦ γνῶναι αὐτὸν καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν[11] κοινωνίαν τῶν[12] παθημάτων αὐτοῦ, συμμορφούμενος[13] τῷ θανάτῳ αὐτοῦ, **11** εἴ πως καταντήσω εἰς τὴν ἐξανάστασιν τῶν[14] νεκρῶν **12**—οὐχ ὅτι ἤδη ἔλαβον ἢ ἤδη τετελείωμαι· διώκω δὲ εἰ καὶ καταλάβω ἐφ' ᾧ καὶ κατελήφθην[15] ὑπὸ τοῦ[16] Χριστοῦ Ἰησοῦ.[17]

13 Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὔπω[18] λογίζομαι κατειληφέναι, ἓν δέ· τὰ μὲν ὀπίσω[19] ἐπιλανθανόμενος τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, **14** κατὰ σκοπὸν διώκω ἐπὶ[20] τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ.

Our citizenship is in Heaven

15 Ὅσοι οὖν τέλειοι τοῦτο φρονῶμεν, καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ Θεὸς ὑμῖν ἀποκα-λύψει. **16** Πλήν, εἰς ὃ ἐφθάσαμεν, τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν.[21]

17 Συμμιμηταί μου γίνεσθε, ἀδελφοί, καὶ σκοπεῖτε τοὺς οὕτως περιπατοῦντας καθὼς ἔχετε τύπον ἡμᾶς. **18** Πολλοὶ γὰρ περιπατοῦσιν—οὓς πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω—τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ, **19** ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ[22] θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν· οἱ τὰ ἐπίγεια φρονοῦντες. **20** Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει,

---

[1] το **f**[35] A[v] [40%] HF ¦ --- **𝔓**[46]ℵB,C [60%] RP,OC,TR,CP,NU
[2] θεου **f**[35] ℵA,B,C [95%] RP,HF,OC,CP,NU ¦ θεω [5%] TR ¦ --- **𝔓**[46]
[3] και *rell* ¦ --- [10%]
[4] βενιαμιν *rell* ¦ βενιαμην C [10%] ¦ βενιαμειν ℵA,B [5%]
[5] ζηλον **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ζηλος **𝔓**[46]ℵA,B,I [3%] NU
[6] αλλ **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ αλλα B [2%] [NU] ¦ --- **𝔓**[46]ℵA [3%]
[7] ην μοι *rell* ¦ ~ 21 B [10%]
[8] ουν **f**[35] B [90%] RP,HF,CP ¦ ουνγε **𝔓**[46]ℵA [10%] OC,TR,NU
[9] χριστου ιησου **f**[35] **𝔓**[46]ℵ(B) [80%] RP,HF,OC,TR,CP,NU ¦ ~ 21 A [20%]
[10] ειναι **f**[35] A [97%] RP,HF,OC,TR,CP ¦ --- ℵB [3%] NU
[11] την **f**[35] [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]ℵA,B [2%]
[12] των **f**[35] A [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]ℵB [1%]
[13] συμμορφουμενος **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ συμμορφιζομενος (ℵ)A [2%] NU ¦ συμορφιζομενος B ¦ συνφορτειζομενος [1%] ¦ --- **𝔓**[46] omits whole phrase
[14] των **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ την εκ **𝔓**[46]ℵA,B [3%] NU ¦ 1 εκ [1%]
[15] κατεληφθην *rell* ¦ κατελημφθην ℵA,B [2%] NU
[16] του **f**[35] [80%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B,C [20%] NU
[17] χριστου ιησου **f**[35] **𝔓**[46]ℵA [97%] RP,HF,OC,TR[NU] ¦ ~ 21 [1%] ¦ 1 B [2%] ¦ ~ κυριου 21 CP
[18] χριστου ιησου **f**[35] **𝔓**[46]ℵA [97%] RP,HF,OC,TR[NU] ¦ ~ 21 [1%] ¦ 1 B [2%] ¦ ~ κυριου 21 CP
[19] οπισω *rell* ¦ οπισθεν [10%]
[20] επι **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ εις **𝔓**[16,46]ℵA,B,I [4%] NU
[21] κανονι το αυτο φρονειν **f**[35] (91%) RP,HF,OC,TR,CP ¦ ~ 2314 (6.3%) ¦ 234 (1%) ¦ --- **𝔓**[16,46]ℵA,B,I[v] (1.7%) NU (Some 7% invert the order of στοιχειν and φρονειν.)
[22] ο rell ¦ --- CP

ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα, Κύριον Ἰησοῦν Χριστόν· **21** ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ[1] σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ[2] τὰ πάντα.

4:1 Ὥστε, ἀδελφοί μου, ἀγαπητοὶ καὶ ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου, οὕτως στήκετε ἐν Κυρίῳ, ἀγαπητοί.

Concluding considerations

To individuals

4:2 Εὐοδίαν[3] παρακαλῶ καὶ Συντύχην παρακαλῶ τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ. **3** Ναί,[4] ἐρωτῶ καὶ σέ, σύζυγε γνήσιε,[5] συλλαμβάνου αὐταῖς, αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι, μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν Βίβλῳ Ζωῆς.

Filling the mind with good things

4 Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε. **5** Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις· ὁ Κύριος ἐγγύς. **6** Μηδὲν μεριμνᾶτε, ἀλλ᾽ ἐν παντί, τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας,[6] τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν· **7** καὶ ἡ εἰρήνη τοῦ Θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ.

8 Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα εὔφημα—εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος—ταῦτα λογίζεσθε. **9** Ἃ καὶ ἐμάθετε καὶ παρελάβετε καὶ ἠκούσατε καὶ εἴδετε[7] ἐν ἐμοί, ταῦτα πράσσετε, καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ᾽ ὑμῶν.

Thanks for material support

10 Ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως ὅτι ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· ἐφ᾽ ᾧ καὶ ἐφρονεῖτε,[8] ἠκαιρεῖσθε δέ. **11** Οὐχ ὅτι καθ᾽ ὑστέρησιν λέγω, ἐγὼ γὰρ ἔμαθον ἐν οἷς εἰμι αὐτάρκης εἶναι. **12** Οἶδα καὶ[9] ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν· ἐν παντὶ καὶ ἐν πᾶσιν μεμύημαι καὶ χορτάζεσθαι καὶ πεινᾶν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι. **13** Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ.[10] **14** Πλὴν[11] καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλίψει.

15 Οἴδατε δὲ[12] καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας, οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως[13] εἰ μὴ ὑμεῖς μόνοι. **16** Ὅτι καὶ ἐν Θεσσαλονίκῃ, καὶ ἅπαξ καὶ δίς, εἰς τὴν χρείαν μοι ἐπέμψατε. **17** Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, ἀλλ᾽[14] ἐπιζητῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν. **18** Ἀπέχω δὲ πάντα καὶ περισσεύω· πεπλήρωμαι, δεξάμενος παρὰ Ἐπαφροδίτου τὰ παρ᾽ ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν δεκτήν, εὐάρεστον τῷ Θεῷ. **19** Ὁ δὲ Θεός μου πληρώσει[15] πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν πλοῦτον[16] αὐτοῦ ἐν δόξῃ ἐν Χριστῷ Ἰησοῦ.

20 Τῷ δὲ Θεῷ καὶ Πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

[1] εις το γενεσθαι αυτο **f**^{35} (90.2%) RP,HF,OC,TR,CP ¦ 123 αυτω (3.2%) ¦ 123 αυτον (3.2%) ¦ 123 (0.8%) ¦ --- ℵA,B (2.5%) NU ¦ one other reading (0.2%)

[2] εαυτω **f**^{35} [80%] RP,HF,TR,CP ¦ αυτω ℵA,B [20%] OC,NU

[3] ευοδιαν **f**^{35} ℵA,B [90%] RP,HF,OC,CP,NU ¦ ευωδιαν [10%] TR

[4] ναι **f**^{35} 𝔓^{46}ℵA,B [95%] RP,HF,OC,CP,NU ¦ και [5%] TR

[5] συζυγε γνησιε **f**^{35} [90%] RP,HF,OC,TR,CP ¦ ~ 21 (𝔓^{46})ℵ(A)B [10%] NU

[6] ευχαριστιας *rell* ¦ ευχαριστειας [20%]

[7] ειδετε **f**^{35} ℵA,B [70%] RP,HF,OC,TR,CP,NU ¦ ιδετε [30%]

[8] εφρονειτε *rell* ¦ φρονειτε CP

[9] και **f**^{35} 𝔓^{46}ℵA,B [85%] RP,HF,OC,CP,NU ¦ δε [15%] TR

[10] χριστω **f**^{35} [98%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B,I [2%] NU

[11] πλην **f**^{35} ℵA,B [90%] RP,HF,OC,TR,CP,NU ¦ 1 και υμεις [10%]

[12] δε *rell* ¦ --- 𝔓^{46} [2%] CP

[13] ληψεως *rell* ¦ λημψεως ℵA,B [2%] NU

[14] αλλ rell ¦ αλλα A,B [1%] NU

[15] πληρωσει rell ¦ πληρωσαι [15%]

[16] τον πλουτον **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ το πλουτος 𝔓^{46}ℵA,B [2%] NU ¦ του πλουτος [1%]

Sign-off

21 Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριστῷ Ἰησοῦ. Ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί. **22** Ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας.

23 Ἡ χάρις τοῦ Κυρίου,[1] Ἰησοῦ Χριστοῦ, μετὰ πάντων[2] ὑμῶν. Ἀμήν.[3,4]

---

[1] κυριου **f**^{35} ℵA,B [85%] RP,HF,OC,CP,NU ¦ 1 ημων 𝔓^{46} [15%] TR

[2] παντων **f**^{35} (90.9%) RP,HF,OC,TR,CP ¦ του πνευματος 𝔓^{46}ℵA,B (9.1%) NU

[3] αμην **f**^{35} 𝔓^{46}ℵA [98%] RP,HF,OC,TR,CP ¦ --- B [2%] NU

[4] The citation of **f**^{35} is based on thirty-seven MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897, 2080, 2352, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 35, 1072, 1864, 1865 and 2554 are 'perfect' representatives of **f**^{35} in Philippians, as they stand, as were the exemplars of another ten. The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Meteora, Athens, Mt. Athos [seven different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from TuT, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A27, supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ

Salutation

1:1 Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ[1] διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός, **2** τοῖς ἐν Κολοσσαῖς[2] ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.[3]

Building rapport

3 Εὐχαριστοῦμεν τῷ Θεῷ καὶ[4] Πατρὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντοτε περὶ ὑμῶν προσευχόμενοι **4** (ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ καὶ τὴν ἀγάπην τὴν[5] εἰς πάντας τοὺς ἁγίους), **5** διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς, ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας **6** (τοῦ εὐαγγελίου τοῦ παρόντος εἰς ὑμᾶς καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ, καὶ[6] ἔστιν καρποφορούμενον καὶ αὐξανόμενον[7] καθὼς καὶ ἐν ὑμῖν, ἀφ᾽ ἧς ἡμέρας ἠκούσατε καὶ ἐπέγνωτε τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ), **7** καθὼς καὶ[8] ἐμάθετε ἀπὸ Ἐπαφρᾶ, τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν, ὅς ἐστιν πιστὸς ὑπὲρ ὑμῶν[9] διάκονος τοῦ Χριστοῦ, **8** ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι.

Christ preeminent

Walk worthily of the Lord

1:9 Διὰ τοῦτο καὶ ἡμεῖς, ἀφ᾽ ἧς ἡμέρας ἠκούσαμεν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι καὶ αἰτούμενοι ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ, **10** περιπατῆσαι ὑμᾶς[10] ἀξίως τοῦ Κυρίου εἰς πᾶσαν ἀρέσκειαν,[11] ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες καὶ αὐξανόμενοι εἰς τὴν ἐπίγνωσιν[12] τοῦ Θεοῦ· **11** ἐν πάσῃ δυνάμει δυναμούμενοι κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ, εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν· **12** μετὰ χαρᾶς εὐχαριστοῦντες τῷ[13] Πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς[14] εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί· **13** ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ, **14** ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ,[15] τὴν ἄφεσιν τῶν ἁμαρτιῶν.

---

[1] ιησου χριστου **f**^{35} [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**^{46}א A,B [5%] NU

[2] κολοσσαις **f**^{35} אB [60%] CP,NU ¦ κολασσαις **f**^{35pt} (**𝔓**^{46}A)I [40%] RP,HF,OC,TR (We have alternate spellings of a proper name, which is not a proper variant, since neither the identity nor the meaning is affected. Both spellings are early, and the Byzantine bulk is also divided. Either vowel will work, but to print a text a choice must be made. So far as I know, all printed Bibles have the ‘o’, and I see no reason to create confusion. Most of the better family representatives have the ‘o’.)

[3] και κυριου ιησου χριστου **f**^{35} אA,C,I [80%] RP,HF,OC,TR,CP ¦ --- B [20%] NU

[4] και **f**^{35} אA,I [98%] RP,HF,OC,TR,CP ¦ --- B,C [2%] NU

[5] την **f**^{35} (86.7%) RP,HF,OC,TR,CP ¦ ην εχετε אA,C (11.4%) NU ¦ ην εχεται (1.2%) ¦ --- B (0.7%)

[6] και **f**^{35} [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{46}אA,B,C [5%] NU

[7] και αυξανομενον **f**^{35} אA,B,C (48%) RP,HF,OC,CP,NU ¦ --- (52%) TR (The omission could be an easy case of homoioteleuton.)

[8] και **f**^{35} [95%] RP,HF,OC,TR ¦ --- **𝔓**^{46}אA,B,C [5%] CP,NU

[9] υμων **f**^{35} C [90%] RP,HF,OC,TR,CP,NU ¦ ημων **𝔓**^{46}אA,B [10%]

[10] υμας **f**^{35} [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{46}אA,B,C [5%] NU

[11] αρεσκειαν *rell* ¦ αρεσκιαν אA,C [15%]

[12] εις την επιγνωσιν **f**^{35} (90.5%) RP,HF,OC,TR,CP ¦ τη επιγνωσει **𝔓**^{46}אA,B,C,I (4.6%) NU ¦ εν τη επιγνωσει (4.1%) ¦ three other readings (0.7%)

[13] τω **f**^{35} **𝔓**^{46}A,B,C [65%] RP,HF,TR,NU ¦ 1 θεω και [30%] OC,CP ¦ 1 θεω א [5%] (OC has small print.)

[14] ημας **f**^{35} A,C [97%] RP,HF,OC,TR,CP ¦ υμας אB [3%] NU (The context is inclusive—first person.)

[15] δια του αιματος αυτου **f**^{35} [60%] TR ¦ --- אA,B,C [40%] RP,HF,OC,CP,NU (The omission was presumably deliberate—one wonders why.)

The supremacy of Christ described

15 Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης[1] κτίσεως, **16** ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα—τὰ[2] ἐν τοῖς οὐρανοῖς καὶ τὰ[3] ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι—τὰ πάντα δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· **17** καὶ αὐτός ἐστιν πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν. **18** Καί, αὐτός ἐστιν ἡ[4] κεφαλὴ τοῦ σώματος, τῆς ἐκκλησίας· ὅς ἐστιν ἀρχή, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων, **19** ὅτι ἐν αὐτῷ εὐδόκησεν[5] πᾶν τὸ πλήρωμα κατοικῆσαι **20** καὶ δι᾽ αὐτοῦ ἀποκαταλλάξαι τὰ[6] πάντα εἰς αὐτόν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ—δι᾽ αὐτοῦ,[7] εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐπὶ[8] τοῖς οὐρανοῖς.

The truth applied

21 Καὶ ὑμᾶς (ποτὲ ὄντας ἀπηλλοτριωμένους καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς) **22** νυνὶ δὲ ἀποκατήλλαξεν ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου αὐτοῦ,[9] παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ—**23** εἴ γε ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι, καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου, οὗ ἠκούσατε τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ[10] κτίσει τῇ ὑπὸ τὸν οὐρανόν, οὗ ἐγενόμην ἐγώ, Παῦλος, διάκονος.

What Paul does and why he does it

Present everyone perfect in Christ

1:24 Νῦν χαίρω ἐν τοῖς παθήμασίν μου[11] ὑπὲρ ὑμῶν καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου, ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ[12] ἐστιν ἡ ἐκκλησία, **25** ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς, πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ, **26** τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ[13] δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ· **27** οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι τίς ὁ[14] πλοῦτος τῆς δόξης τοῦ[15] μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν, ὅς[16] ἐστιν Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης· **28** ὃν ἡμεῖς καταγγέλλομεν, νουθετοῦντες πάντα ἄνθρωπον καὶ διδάσκοντες πάντα ἄνθρωπον[17] ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον[18] τέλειον[19] ἐν Χριστῷ·[20] **29** εἰς ὃ καὶ κοπιῶ, ἀγωνιζόμενος κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει.

---

[1] πασης *rell* ¦ 1 της [10%]
[2] τα **f**[35] A,C [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]א B [3%] NU
[3] τα **f**[35] A,C [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]א B [3%] NU
[4] η *rell* ¦ --- [2%] CP
[5] ευδοκησεν *rell* ¦ ηυδοκησεν A [15%]
[6] τα *rell* ¦ --- CP
[7] δι αυτου **f**[35] **𝔓**[46]א A,C,048 [80%] RP,HF,OC,TR,CP[NU] ¦ --- B,I [20%] (The omission of the emphatic repetition is surely inferior.)
[8] επι **f**[35] [50%] RP,HF,CP ¦ εν א A,B,C [50%] OC,TR,NU (The change to ‘in’ may have been unthinking, but is clearly inferior—beings and things that are an inherent part of Heaven don’t need ‘reconciling’.)
[9] αυτου **f**[35] א A [40%] ¦ --- **𝔓**[46v]B,C,I[v] [60%] RP,HF,OC,TR,CP,NU
[10] τη **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C [5%] NU
[11] μου **f**[35] [55%] OC,TR ¦ --- א A,B,C [45%] RP,HF,CP,NU (OC has small print.)
[12] ο *rell* ¦ ος C [10%]
[13] νυνι **f**[35] A [90%] RP,HF,OC,TR,CP ¦ νυν א B,C [10%] NU
[14] τις ο **f**[35] א C [40%] OC,TR ¦ τι το **𝔓**[46] A,B [60%] RP,HF,CP,NU (In the context the masculine gender is correct—**𝔓**[46] A,B [4%] NU are consistent in that they go on to read ὅ εστιν Χριστος, but not the [56%] RP,HF,CP.)
[15] του *rell* ¦ --- CP
[16] ος **f**[35] א C,I [96%] RP,HF,OC,TR,CP ¦ ο **𝔓**[46] A,B [4%] NU
[17] παντα ανθρωπον *rell* ¦ --- [10%] CP
[18] παντα ανθρωπον **f**[35] א A,B,C [90%] RP,HF,OC,TR,CP,NU ¦ --- [10%]
[19] τελειον *rell* ¦ --- CP
[20] χριστω **f**[35] **𝔓**[46]א A,B,C [40%] NU ¦ 1 ιησου [60%] RP,HF,OC,TR,CP

A wealth of confident understanding

2:1 Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω περὶ[1] ὑμῶν καὶ τῶν ἐν Λαοδικείᾳ,[2] καὶ ὅσοι οὐχ ἑωράκασιν[3] τὸ πρόσωπόν μου ἐν σαρκί, **2** ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντων[4] ἐν ἀγάπῃ καὶ εἰς πάντα πλοῦτον[5] τῆς πληροφορίας τῆς συνέσεως, εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ καὶ Πατρὸς καὶ τοῦ[6] Χριστοῦ, **3** ἐν ᾧ εἰσιν πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς[7] γνώσεως ἀπόκρυφοι.

4 Τοῦτο δὲ[8] λέγω ἵνα μή τις[9] ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ.[10] **5** Εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι, χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν.

Christian responsibility

2:6 Ὡς οὖν παρελάβετε τὸν Χριστόν, Ἰησοῦν τὸν Κύριον, ἐν αὐτῷ περιπατεῖτε, **7** ἐρριζωμένοι καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ καὶ βεβαιούμενοι ἐν τῇ[11] πίστει, καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν αὐτῇ[12] ἐν εὐχαριστίᾳ.

Christ vs 'the world'

8 Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου καὶ οὐ κατὰ Χριστόν. **9** Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ Πλήρωμα τῆς Θεότητος σωματικῶς, **10** καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας· **11** ἐν ᾧ καὶ περιετμήθητε, περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν[13] τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, **12** συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι·[14] ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν[15] νεκρῶν.

13 Καὶ ὑμᾶς, νεκροὺς ὄντας[16] τοῖς παραπτώμασιν καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν— συνεζωοποίησεν ὑμᾶς[17] σὺν αὐτῷ· χαρισάμενος ἡμῖν[18] πάντα τὰ παραπτώματα· **14** ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον (τοῖς δόγμασιν) ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν[19] ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ· **15** ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν ἐν παρρησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ.

---

[1] περι **f**[35] [93%] RP,HF,OC,TR,CP ¦ υπερ **𝔓**[46]**א**A,B,C [7%] NU

[2] λαοδικεια *rell* ¦ λαοδικια **א**A,B,C [10%]

[3] εωρακασιν **f**[35] [85%] RP,HF,OC,TR,CP ¦ εορακασιν [10%] ¦ εωρακαν A,B [2%] ¦ εορακαν **𝔓**[46]**א**C [3%] NU

[4] συμβιβασθεντων **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ συμβιβασθεντες (**𝔓**[46])**א**A,B(C) [4%] NU ¦ συμβιβασθωσιν [1%]

[5] παντα πλουτον **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ παν πλουτος **𝔓**[46]**א**B [3%] NU ¦ παν το πλουτος A,C [2%]

[6] και πατρος και του **f**[35] (79.6%) RP,HF,OC,TR,CP ¦ 124 (12.9%) ¦ 234 (1.8%) ¦ 123 (0.7%) ¦ 24 A,C (0.7%) ¦ 23 (0.2%) ¦ 2 **א**,048 (0.3%) ¦ --- **𝔓**[46]B (3%) NU ¦ five other readings (0.8%)

[7] της **f**[35] A [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]**א**B,C [5%] NU

[8] δε **f**[35] C,048 [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]**א**A,B [5%] NU

[9] μη τις **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ μηδεις **א**A,B,C,048 [5%] NU

[10] πιθανολογια *rell* ¦ πειθανολογια [2%] CP

[11] εν τη **f**[35] **א** [95%] RP,HF,OC,TR,CP ¦ 1 A,C,I [2%] ¦ 2 B [3%] NU

[12] εν αυτη **f**[35] B,048[v] [95%] RP,HF,OC,TR,CP ¦ --- **א**A,C,I[v] [4%] NU ¦ 1 αυτω D [1%]

[13] των αμαρτιων **f**[35] (92.5%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]**א**A,B,C (7%) NU ¦ omit longer stretches (0.5%) (Would not 'the body of the flesh', the reading of NU, be something of a tautology?)

[14] βαπτισματι **f**[35] **א**A,C [95%] RP,HF,OC,TR,CP ¦ βαπτισμω **𝔓**[46]B [2%] NU

[15] των **f**[35] B [70%] RP,HF,OC,TR ¦ --- **𝔓**[46]**א**A,C [30%] CP,NU

[16] οντας **f**[35] **א**B [45%] ¦ 1 εν **𝔓**[46]A,C,048 [55%] RP,HF,OC,TR,CP[NU] (OC is in small print.)

[17] υμας **f**[35] **א**A,C [65%] RP,HF,OC,CP,NU ¦ ημας **𝔓**[46]B [20%] ¦ --- [15%] TR

[18] ημιν **f**[35] **א**A,B,C [70%] RP,HF,OC,TR,CP,NU ¦ υμιν [30%] (some TRs)

[19] ηρκεν **f**[35] **𝔓**[46]**א**A,B,C [60%] RP,HF,TR,NU ¦ ηρεν [40%] OC,CP

Don't be disqualified!

16 Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ[1] ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς ἢ νουμηνίας[2] ἢ σαββάτων, **17** ἅ ἐστιν σκιὰ τῶν μελλόντων, τὸ δὲ σῶμα[3] Χριστοῦ. **18** Μηδεὶς ὑμᾶς καταβραβευέτω, θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν[4] ἐμβατεύων, εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ, **19** καὶ οὐ κρατῶν τὴν κεφαλήν, ἐξ οὗ πᾶν τὸ σῶμα, διὰ τῶν ἁφῶν[5] καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ.

20 Εἰ οὖν ἀπεθάνετε[6] σὺν[7] Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί, ὡς ζῶντες ἐν κόσμῳ, δογματίζεσθε **21**—«Μὴ ἅψῃ, μηδὲ[8] γεύσῃ, μηδὲ θίγῃς» **22** (ἅ ἐστιν πάντα εἰς φθορὰν τῇ ἀποχρήσει) κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων; **23** Ἅτινά ἐστιν λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ[9] καὶ ταπεινοφροσύνῃ καὶ[10] ἀφειδίᾳ[11] σώματος, οὐκ ἐν τιμῇ τινὶ πρὸς πλησμονὴν τῆς σαρκός.

Things above vs things below

3:1 Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν, ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος· **2** τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς, **3** ἀπεθάνετε γὰρ καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ[12] Θεῷ. **4** Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν,[13] τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.

5 Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν[14] τὰ ἐπὶ τῆς γῆς· πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν ἥτις ἐστὶν εἰδωλολατρία·[15] **6** δι᾽ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας,[16] **7** ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε ὅτε ἐζῆτε ἐν αὐτοῖς.[17] **8** Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα—ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν—ἐκ τοῦ στόματος ὑμῶν. **9** Μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ **10** καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτόν, **11** ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος· ἀλλὰ τὰ[18] πάντα καὶ ἐν πᾶσιν Χριστός.

Relationships among believers

12 Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ, ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμοῦ,[19] χρησ-τότητα, ταπεινοφροσύνην, πρᾳότητα,[20] μακροθυμίαν· **13** ἀνεχόμενοι ἀλλήλων καὶ

---

[1] η **f**[35] ℵA,C,I [98%] RP,HF,OC,TR,CP ¦ και **𝔓**[46]B [2%] NU
[2] νουμηνιας *rell* ¦ νεομηνιας B [2%] NU
[3] σωμα **f**[35] **𝔓**[46] [95%] RP,HF,OC,CP ¦ 1 του ℵA,B,C [5%] TR,NU
[4] μη εωρακεν **f**[35] (83.5%) RP,HF,OC,TR,CP ¦ 1 εορακεν C (12.3%) ¦ 1 εωρακαμεν (1.7%) ¦ 1 εωρακως (0.5%) ¦ 1 εωρακατε (0.2%) ¦ ουκ 2 (0.3%) ¦ 2 **𝔓**[46]A (0.5%) ¦ εορακεν ℵB,I (1%) NU
[5] ἁφων *rell* ¦ ἀφων [25%]
[6] ουν απεθανετε **f**[35] [80%] OC,TR ¦ ~ 21 (ℵ) [5%] ¦ 2 A,B,C [15%] RP,HF,CP,NU
[7] συν **f**[35] ℵA,B,C [95%] RP,HF,CP,NU ¦ 1 τω [5%] OC,TR
[8] μηδε **f**[35] ℵA,B,C [90%] RP,HF,OC,TR,NU ¦ μη [10%] CP (Twice.)
[9] εθελοθρησκεια *rell* ¦ εθελοθρησκια ℵC [10%] OC,NU
[10] και **f**[35] ℵA,C [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]B [2%]
[11] αφειδια *rell* ¦ αφειδεια [10%]
[12] τω **f**[35] **𝔓**[46]ℵA,B,C [80%] RP,HF,OC,TR,CP,NU ¦ --- [20%]
[13] ημων **f**[35] B [90%] RP,HF,OC,TR,CP ¦ υμων **𝔓**[46]ℵC [10%] NU
[14] υμων **f**[35] A [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵB,C [5%] NU
[15] ειδωλολατρια **f**[35] (C) [55%] OC,NU ¦ ειδωλολατρεια ℵA,B [45%] RP,HF,TR,CP
[16] επι τους υιους της απειθειας **f**[35] ℵA(C)I [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]B [1%]
[17] αυτοις **f**[35] 048 [97%] RP,HF,OC,TR,CP ¦ τουτοις **𝔓**[46]ℵA,B,C,I [3%] NU
[18] τα **f**[35] B [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- ℵA,C [2%]
[19] οικτιρμου **f**[35] ℵA,B,C [80%] RP,HF,OC,CP,NU ¦ οικτιρμων [20%] TR
[20] πραοτητα **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ πραυτητα ℵA,B,C [3%] NU

χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ[1] μομφήν—καθὼς καὶ ὁ Χριστὸς[2] ἐχαρίσατο ὑμῖν,[3] οὕτως καὶ ὑμεῖς· **14** ἐπὶ πᾶσιν δὲ τούτοις τὴν ἀγάπην, ἥτις[4] ἐστὶν σύνδεσμος τῆς τελειότητος.

15 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ[5] βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι· καὶ εὐχάριστοι γίνεσθε.

16 Ὁ λόγος τοῦ Χριστοῦ[6] ἐνοικείτω ἐν ὑμῖν πλουσίως ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτούς, ψαλμοῖς καὶ[7] ὕμνοις καὶ[8] ᾠδαῖς πνευματικαῖς ἐν[9] χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ[10] ὑμῶν τῷ Κυρίῳ.[11]

17 Καὶ πᾶν ὅ τι[12] ἂν[13] ποιῆτε ἐν λόγῳ ἢ ἐν[14] ἔργῳ, πάντα ἐν ὀνόματι[15] Κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ[16] Πατρὶ δι᾽ αὐτοῦ.

Household relationships

18 Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἰδίοις[17] ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ.

19 Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς.

20 Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν κατὰ πάντα, τοῦτο γάρ ἐστιν εὐάρεστον[18] ἐν[19] Κυρίῳ.

21 Οἱ πατέρες, μὴ ἐρεθίζετε[20] τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν.

22 Οἱ δοῦλοι, ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλίαις[21] ὡς ἀνθρωπάρεσκοι, ἀλλ᾽ ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν.[22] **23** Καὶ πᾶν ὅ τι[23] ἐὰν[24] ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις, **24** εἰδότες ὅτι[25]ἀπὸ Κυρίου λήψεσθε[26] τὴν ἀνταπόδοσιν τῆς κληρονομίας· τῷ γὰρ[27] Κυρίῳ Χριστῷ δουλεύετε. **25** (Ὁ δὲ[28] ἀδικῶν κομιεῖται[29] ὃ ἠδίκησεν, καὶ οὐκ ἔστιν προσωποληψία.)[30]

4:1 Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε,[31] εἰδότες ὅτι καὶ ὑμεῖς

---

[1] εχη *rell* ¦ εχει [10%] CP ¦ εχητε [2%]
[2] χριστος **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ κυριος **𝔓**[46]A,B,I [2%] NU ¦ θεος ℵ [1%]
[3] υμιν **f**[35] ℵA,B [90%] RP,HF,OC,TR,NU ¦ ημιν [10%] CP ¦ ημας C
[4] ητις **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ο A,B,C,048 [2%] NU ¦ ος ℵ [1%]
[5] θεου **f**[35] (95.2%) RP,HF,OC,TR,CP ¦ χριστου ℵA,B,C,I (4.8%) NU
[6] χριστου *rell* ¦ θεου A,C [9%] ¦ κυριου ℵ,I [1%]
[7] και **f**[35] A[v],I[v] [97%] RP,HF,OC,TR,CP ¦ --- ℵB,C [3%] NU
[8] και **f**[35] A,I[v] [97%] RP,HF,OC,TR,CP ¦ --- ℵB,C [3%] NU
[9] εν **f**[35] ℵA,C [95%] RP,HF,OC,TR,CP ¦ 1 τη **𝔓**[46]B [3%] [NU] ¦ --- [2%]
[10] τη καρδια **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ταις καρδιαις **𝔓**[46]ℵA,B,C [5%] NU
[11] κυριω **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ θεω **𝔓**[46v]ℵA,B,C [4%] NU
[12] ὃ τι **f**[35] ℵA,B,C [80%] RP,HF,OC,TR,NU ¦ ότι [20%] CP
[13] αν **f**[35] ℵA,C [97%] RP,HF,OC,TR,CP ¦ εαν **𝔓**[46]B [3%] NU
[14] εν *rell* ¦ --- [10%]
[15] ονοματι *rell* ¦ 1 του [10%]
[16] και **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46v]ℵA,B,C [2%] NU
[17] ιδιοις **f**[35] [80%] RP,HF,TR ¦ --- ℵA,B,C [19%] OC,CP,NU ¦ υμων after ανδρασιν [1%]
[18] εστιν ευαρεστον **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 ℵA,B,C [5%] NU
[19] εν **f**[35] ℵA,B,C [79%] RP,HF,CP,NU ¦ τω [20%] OC,TR ¦ --- [1%]
[20] ερεθιζετε **f**[35] **𝔓**[46]B (79.5%) RP,HF,OC,TR,CP,NU ¦ παροργιζετε (ℵ)A(C) (19.8%) ¦ four other readings (0.7%)
[21] οφθαλμοδουλιαις **f**[35] ℵC [40%] OC ¦ οφθαλμοδουλειαις [43%] RP,HF,TR,CP ¦ οφθαλμοδουλια [10%] NU ¦ οφθαλμοδουλεια **𝔓**[46]A,B [5%] ¦ οφθαλμοδουλειαι [2%]
[22] θεον **f**[35] **𝔓**[46] [90%] RP,HF,OC,TR,CP ¦ κυριον ℵA,B,C,048 [10%] NU
[23] και παν ὃ τι **f**[35] (79.3%) RP,HF,OC,TR,CP ¦ 123 (10.4%) ¦ 234 (1.3%) ¦ 134 (0.5%) ¦ 23 (2.2%) ¦ 12 οτε (0.8%) ¦ 3 **𝔓**[46]ℵA,B,C (4.7%) NU ¦ four other readings (0.8%) (Perhaps some 20% evidently have ότι instead of ὃ τι.)
[24] εαν **f**[35] ℵA,B,C (79.9%) RP,HF,OC,TR,CP,NU ¦ αν **𝔓**[46] (19.1%) ¦ --- (1%)
[25] οτι *rell* ¦ --- CP
[26] ληψεσθε **f**[35] **𝔓**[46](A) [80%] RP,HF ¦ απολημψεσθε (ℵB,C[v]) [20%] OC,TR(NU) ¦ απολημψεσθαι CP ¦ one other variant
[27] γαρ **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B,C [5%] NU
[28] δε **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ γαρ ℵA,B,C [5%] NU
[29] κομιειται **f**[35] ℵA,C [95%] RP,HF,OC,TR,CP ¦ κομισεται B [5%] NU
[30] προσωπολημψια *rell* ¦ προσωπολημψια ℵA,B,C [5%] NU
[31] παρεχεσθε **f**[35] ℵA,B [80%] RP,HF,OC,TR,NU ¦ παρεχετε C [18%] CP ¦ παρεσχεσθε [2%]

ἔχετε Κύριον ἐν οὐρανοῖς.[1]

Redeem the time

2 Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ, **3** προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ Θεὸς ἀνοίξῃ[2] ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ (δι᾽ ὃ[3] καὶ δέδεμαι), **4** ἵνα φανερώσω αὐτό, ὡς δεῖ με λαλῆσαι. **5** Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι. **6** Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

Concluding remarks

4:7 Τὰ κατ᾽ ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικός, ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν Κυρίῳ, **8** ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῷ[4] τὰ περὶ ὑμῶν[5] καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν, **9** σὺν Ὀνησίμῳ, τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν· πάντα ὑμῖν γνωριοῦσιν[6] τὰ ὧδε.[7]

10 Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος, ὁ συναιχμάλωτός μου, καὶ Μᾶρκος ὁ ἀνεψιὸς Βαρνάβα (περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς δέξασθε αὐτόν), **11** καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος, οἱ ὄντες ἐκ περιτομῆς οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· οἵτινες ἐγενήθησάν μοι παρηγορία.

12 Ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς, ὁ ἐξ ὑμῶν, δοῦλος Χριστοῦ,[8] πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα στῆτε[9] τέλειοι καὶ πεπληρωμένοι[10] ἐν παντὶ θελήματι τοῦ Θεοῦ. **13** Μαρτυρῶ γὰρ αὐτῷ ὅτι ἔχει ζῆλον πολὺν[11] ὑπὲρ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ καὶ τῶν ἐν Ἱεραπόλει.

14 Ἀσπάζεται ὑμᾶς Λουκᾶς, ὁ ἰατρὸς ὁ ἀγαπητός, καὶ Δημᾶς. **15** Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ[12] ἀδελφούς, καὶ Νυμφᾶν καὶ τὴν κατ᾽ οἶκον αὐτοῦ[13] ἐκκλησίαν.

16 Καὶ ὅταν ἀναγνωσθῇ παρ᾽ ὑμῖν ἡ ἐπιστολή, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων[14] ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε.

17 Καὶ εἴπατε Ἀρχίππῳ, «Βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς.»

Sign-off

18 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρί· Παύλου. Μνημονεύετέ μου τῶν δεσμῶν. Ἡ χάρις μεθ᾽ ὑμῶν. Ἀμήν.[15,16]

---

[1] ουρανοις **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ουρανω ℵA,B,C,I [3%] NU

[2] ανοιξη *rell* ¦ 1 και CP

[3] δι ὃ *rell* ¦ διο [20%]

[4] γνω **f**[35] **𝔓**[46]C (87.6%) RP,HF,OC,TR,CP ¦ γνωτε ℵA,B,048 (10.9%) NU ¦ γνωται (1%) ¦ --- (0.5%)

[5] υμων **f**[35] **𝔓**[46]ℵC (88.1%) RP,HF,OC,TR,CP ¦ ημων A,B,048 (11.4%) NU ¦ --- (0.5%)

[6] γνωριουσιν **f**[35] ℵA,C [97%] RP,HF,OC,TR,CP ¦ γνωρισουσιν **𝔓**[46]B [3%] NU

[7] ὧδε *rell* ¦ ὧδε **f**[35] [40%] (I include this information for the record, and so as not to lose sight of it; since there is no contrast in meaning here, and I am not aware that the Autographs contained 'breathing' marks, I stay with the conventional spelling. However, it may be noted that the difference between ᾧ δε and ὧδε would be indistinct in most MSS; the simple expedient reflected in **f**[35] resolves the ambiguity.)

[8] χριστου **f**[35] **𝔓**[46] [95%] RP,HF,OC,TR,CP ¦ 1 ιησου ℵA,B,I [4%] [NU] ¦ ιησου 1 C [1%]

[9] στητε **f**[35] A,C [97%] RP,HF,OC,TR,CP ¦ σταθητε ℵB [1%] NU ¦ ητε I [2%]

[10] πεπληρωμενοι **f**[35] **𝔓**[46] [97%] RP,HF,OC,TR,CP ¦ πεπληροφορημενοι ℵA,B,C [3%] NU

[11] ζηλον πολυν **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 2 πονον ℵA,B,C [4%] NU ¦ four other readings [1%]

[12] λαοδικεια *rell* ¦ λαοδικια ℵA,C [10%]

[13] αυτου **f**[35] [92%] RP,HF,OC,TR,CP ¦ αυτων ℵA,C [6%] ¦ αυτης B [1%] NU ¦ --- [1%]

[14] λαοδικεων **f**[35] B [85%] HF,OC,TR,NU ¦ λαοδικαιων ℵA,C [15%] RP,CP

[15] αμην **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B,C,048 [5%] NU

[16] The citation of **f**[35] is based on thirty-seven MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897, 2080, 2352, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 18, 444, 1732, 1864, 2554 and 2723 are 'perfect' representatives of **f**[35] in Colossians, as they stand, as were the exemplars of another eight. The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem,

Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Meteora, Athens, Mt. Athos [seven different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A^{27}, supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α΄

Opening considerations

Greeting

1:1 Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ Πατρὶ καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ· Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.[1]

The Thessalonians are praised

2 Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων ὑμῶν, μνείαν ὑμῶν[2] ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν, **3** ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως καὶ τοῦ κόπου τῆς ἀγάπης καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν, **4** εἰδότες, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ[3] Θεοῦ, τὴν ἐκλογὴν ὑμῶν.

They became examples

5 Ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει καὶ ἐν[4] Πνεύματι Ἁγίῳ καὶ ἐν[5] πληροφορίᾳ πολλῇ (καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν[6] ὑμῖν δι᾽ ὑμᾶς). **6** Καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυρίου, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ μετὰ χαρᾶς Πνεύματος Ἁγίου, **7** ὥστε γενέσθαι ὑμᾶς τύπους[7] πᾶσιν τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ[8] Ἀχαΐᾳ. **8** Ἀφ᾽ ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Κυρίου, οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ[9] Ἀχαΐᾳ ἀλλὰ καὶ[10] ἐν παντὶ τόπῳ—ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθεν, ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν[11] λαλεῖν τι.

Their hope

9 Αὐτοὶ γὰρ περὶ ὑμῶν[12] ἀπαγγέλλουσιν[13] ὁποίαν εἴσοδον ἔσχομεν[14] πρὸς ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ, **10** καὶ ἀναμένειν τὸν Υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν (ὃν ἤγειρεν ἐκ τῶν[15] νεκρῶν)—Ἰησοῦν, τὸν ῥυόμενον ἡμᾶς ἀπὸ[16] τῆς ὀργῆς τῆς ἐρχομένης.

Paul's ministry in Thessalonica

2:1 Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς ὅτι οὐ κενὴ γέγονεν. **2** Ἀλλά,[17] προπαθόντες καὶ ὑβρισθέντες, καθὼς οἴδατε, ἐν Φιλίπποις, ἐπαρρησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἐν πολλῷ ἀγῶνι. **3** Ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης οὐδὲ ἐξ ἀκαθαρσίας, οὔτε[18] ἐν δόλῳ, **4** ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ

---

[1] απο θεου πατρος ημων και κυριου ιησου χριστου **f**^{35} ℵA,I (85.6%) RP,HF,OC,TR,CP ¦ 1235678 (3.9%) ¦ 123 υμων 5678 (1.3%) ¦ ~ 12356478 (1.2%) ¦ --- B (7.5%) NU ¦ two other readings (0.5%)

[2] υμων **f**^{35} C [95%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B,I [5%] NU

[3] υπο **f**^{35} B [80%] RP,HF,OC,TR,CP ¦ 1 του ℵA,C [20%] [NU]

[4] εν *rell* ¦ --- [20%] CP

[5] εν **f**^{35} A,C [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- ℵB [2%]

[6] εν **f**^{35} B [95%] RP,HF,OC,TR,CP[NU] ¦ --- ℵA,C,048 [5%]

[7] τυπους **f**^{35} ℵA,C [95%] RP,HF,OC,TR,CP ¦ τυπον B [5%] NU

[8] και **f**^{35} [40%] CP ¦ 1 τη [30%] RP,HF,TR ¦ 1 εν τη ℵA,B,C [30%] OC,NU (OC has εν in small print.)

[9] εν τη **f**^{35} ℵC [80%] RP,HF,OC,CP[NU] ¦ 2 [5%] ¦ --- B [15%] TR ¦ A omits whole clause

[10] αλλα και **f**^{35} [90%] RP,HF,OC,TR,CP ¦ αλλ (ℵ)A,B,C [10%] NU

[11] ημας εχειν **f**^{35} [85%] RP,HF,OC,TR ¦ ~ 21 ℵA,C [15%] CP,NU ¦ ~ 2 υμας B

[12] υμων **f**^{35} B [40%] ¦ ημων ℵA,C [60%] RP,HF,OC,TR,CP,NU

[13] απαγγελλουσιν *rell* ¦ απαγγελουσιν [15%]

[14] εσχομεν **f**^{35} ℵA,B,C [95%] RP,HF,OC,CP,NU ¦ εχομεν [5%] TR

[15] των **f**^{35} ℵB,I [95%] RP,HF,OC[NU] ¦ --- 𝔓^{46vid}A,C [5%] TR,CP

[16] απο **f**^{35} C [96%] RP,HF,OC,TR,CP ¦ εκ ℵA,B [4%] NU

[17] αλλα **f**^{35} ℵA,B,C [95%] RP,HF,OC,CP,NU ¦ 1 και [5%] TR

[18] ουτε **f**^{35} [95%] RP,HF,OC,TR,CP ¦ ουδε ℵA,B,C [5%] NU

πιστευθῆναι τὸ εὐαγγέλιον οὕτως λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες ἀλλὰ τῷ[1] Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν. **5** Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν καθὼς οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας (Θεὸς μάρτυς), **6** οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν (οὔτε ἀφ᾽ ὑμῶν οὔτε ἀπὸ[2] ἄλλων)—δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι, **7** ἀλλ᾽[3] ἐγενήθημεν ἤπιοι[4] ἐν μέσῳ ὑμῶν, ὡς ἂν[5] τροφὸς θάλπῃ[6] τὰ ἑαυτῆς τέκνα.

Paul's devotion to them

8 Οὕτως ἱμειρόμενοι[7] ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς, διότι ἀγαπητοὶ ἡμῖν[8] γεγένησθε.[9] **9** Μνημονεύετε γάρ, ἀδελφοί, τὸν κόπον[10] ἡμῶν καὶ τὸν μόχθον,[11] νυκτὸς γὰρ[12] καὶ ἡμέρας ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ.

10 Ὑμεῖς μάρτυρες, καὶ ὁ Θεός, ὡς ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν· **11** καθάπερ οἴδατε ὡς ἕνα ἕκαστον ὑμῶν ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς καὶ παραμυθούμενοι, **12** καὶ μαρτυρόμενοι[13] εἰς τὸ περιπατῆσαι[14] ὑμᾶς ἀξίως τοῦ Θεοῦ τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν.

Their conversion

13 Διὰ[15] τοῦτο καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ Θεῷ ἀδιαλείπτως ὅτι παραλαβόντες λόγον ἀκοῆς παρ᾽ ἡμῶν τοῦ Θεοῦ, ἐδέξασθε οὐ λόγον ἀνθρώπων ἀλλά, καθώς ἐστιν ἀληθῶς, λόγον Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν. **14** Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε, ἀδελφοί, τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ ἐν Χριστῷ Ἰησοῦ, ὅτι τὰ αὐτὰ[16] ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων **15** (τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς ἰδίους[17] προφήτας, καὶ ἡμᾶς[18] ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων καὶ πᾶσιν ἀνθρώποις ἐναντίων, **16** κωλυόντων ἡμᾶς τοῖς ἔθνεσιν λαλῆσαι ἵνα σωθῶσιν—εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε. Ἔφθασεν δὲ ἐπ᾽ αὐτοὺς ἡ ὀργὴ εἰς τέλος).

Paul's concern for the Thessalonians

A sense of bereavement

2:17 Ἡμεῖς δέ, ἀδελφοί, ἀπορφανισθέντες ἀφ᾽ ὑμῶν πρὸς καιρὸν ὥρας (προσώπῳ, οὐ καρδίᾳ) περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν, ἐν πολλῇ ἐπιθυμίᾳ. **18** (Διὸ[19] ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς—ἐγὼ μέν, Παῦλος, καὶ ἅπαξ καὶ δίς—καὶ ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς.) **19** Τίς γὰρ ἡμῶν ἐλπὶς ἢ χαρὰ ἢ στέφανος καυχήσεως; Ἢ οὐχὶ καὶ ὑμεῖς, ἔμπροσθεν τοῦ Κυρίου ἡμῶν

---

[1] τω **f**[35] A [96%] RP,HF,OC,TR,CP ¦ --- ℵB,C [4%] NU
[2] απο **f**[35] [95%] RP,HF,OC,CP ¦ απ ℵA,B,C [5%] TR,NU
[3] αλλ *rell* ¦ αλλα ℵB [1%] NU ¦ --- [4%]
[4] ηπιοι **f**[35] A (87.5%) RP,HF,OC,TR,CP ¦ ως 1 (1%) ¦ νηπιοι 𝔓[65]ℵB,C,I (10.8%) NU ¦ four other readings (0.7%)
[5] αν **f**[35] ℵA [90%] RP,HF,OC,TR,CP ¦ εαν B,C [10%] NU
[6] θαλπη *rell* ¦ θαλπει [15%]
[7] ιμειρομενοι **f**[35] [60%] TR,CP ¦ ομειρομενοι ℵA,B,C [30%] RP,HF,OC,NU ¦ ομηρομενοι [5%] ¦ ομηρωμενοι [5%] (ἱμειρω was apparently much more widely used in classical times than ὁμειρομαι; why would medieval monks revert to a classical form?)
[8] ημιν *rell* ¦ ημων [10%] CP
[9] γεγενησθε **f**[35] [70%] RP,HF,OC,TR,CP ¦ εγενηθητε ℵA,B,C,I[v] [25%] NU ¦ εγενεσθε [5%]
[10] τον κοπον *rell* ¦ των κοπων [10%]
[11] τον μοχθον *rell* ¦ των μοχθων [10%]
[12] γαρ **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B [10%] NU
[13] και μαρτυρομενοι **f**[35] ℵB [70%] RP,HF,OC,CP,NU ¦ 1 μαρτυρουμενοι [30%] TR ¦ --- A
[14] περιπατησαι **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ περιπατειν ℵA,B [5%] NU
[15] δια **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ και 1 ℵA,B [4%] NU
[16] τα αυτα **f**[35] ℵB [97%] RP,HF,OC,CP,NU ¦ ταυτα A [3%] TR
[17] ιδιους **f**[35] (94.3%) RP,HF,OC,TR,CP ¦ --- ℵA,B,I (5.2%) NU ¦ three other variants (0.5%)
[18] ημας **f**[35] ℵA,B [95%] RP,HF,OC,CP,NU ¦ υμας [5%] TR (Not all TRs have the 2nd person.)
[19] διο **f**[35] [93%] RP,HF,OC,TR,CP ¦ διοτι ℵA,B [7%] NU

Ἰησοῦ[1] ἐν τῇ αὐτοῦ παρουσίᾳ; **20** Ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ[2] χαρά.

Concern leads to action

3:1 Διὸ μηκέτι στέγοντες, εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι **2** καὶ ἐπέμψαμεν Τιμόθεον, τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον τοῦ Θεοῦ, καὶ συνεργὸν ἡμῶν[3] ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑμᾶς[4] περὶ[5] τῆς πίστεως ὑμῶν, **3** τὸ[6] μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσιν ταύταις· αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα. **4** Καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν προελέγομεν ὑμῖν ὅτι μέλλομεν θλίβεσθαι· καθὼς καὶ ἐγένετο, καὶ οἴδατε. **5** Διὰ τοῦτο κἀγώ, μηκέτι στέγων, ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν, μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν.

6 Ἄρτι δὲ ἐλθόντος Τιμοθέου πρὸς ἡμᾶς ἀφ᾽ ὑμῶν καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι ἔχετε μνείαν ἡμῶν ἀγαθὴν πάντοτε, ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν, καθάπερ καὶ ἡμεῖς ὑμᾶς **7**—διὰ τοῦτο παρεκλήθημεν, ἀδελφοί, ἐφ᾽ ὑμῖν ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ[7] ἡμῶν διὰ τῆς ὑμῶν[8] πίστεως· **8** ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε[9] ἐν Κυρίῳ.

Paul's desire to go to them

9 Τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ Θεῷ ἀνταποδοῦναι περὶ ὑμῶν, ἐπὶ πάσῃ τῇ χαρᾷ ᾗ χαίρομεν δι᾽ ὑμᾶς ἔμπροσθεν τοῦ Θεοῦ ἡμῶν· **10** νυκτὸς καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι, εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν;

11 Αὐτὸς δὲ ὁ Θεὸς καὶ Πατὴρ ἡμῶν καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς[10] κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς. **12** Ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς, **13** εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους[11] ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[12] μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.[13]

Holiness pleases God

4:1 Τὸ[14] λοιπὸν οὖν,[15] ἀδελφοί, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ·[16] καθὼς παρελάβετε παρ᾽ ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν καὶ ἀρέσκειν Θεῷ,[17] ἵνα περισσεύητε μᾶλλον **2**—οἴδατε γὰρ τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου Ἰησοῦ.

Sanctified sex

3 Τοῦτο γάρ ἐστιν θέλημα τοῦ[18] Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν· ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας· **4** εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, **5** μὴ ἐν πάθει ἐπιθυμίας (καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν)· **6** τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ

---

[1] ιησου **f**[35] ℵA,B [50%] RP,HF,NU ¦ 1 χριστου [50%] OC,TR,CP (OC has small print.)
[2] η *rell* ¦ --- ℵ [10%] OC,CP
[3] διακονον του θεου και συνεργον ημων **f**[35] (94.6%) RP,HF,OC,TR,CP ¦ 12345 υμων (0.7%) ¦ 123 ℵA (3.1%) ¦ ~ 523 (0.3%) NU ¦ 5 B (0.3%) ¦ five other readings (1%)
[4] υμας **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B,I [10%] NU
[5] περι **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ υπερ ℵA,B [10%] NU
[6] το **f**[35] ℵA,B [85%] RP,HF,OC,CP,NU ¦ τω [10%] TR ¦ του [5%]
[7] θλιψει και αναγκη **f**[35] [92%] RP,HF,OC,TR,CP ¦ ~ 321 ℵA,B [8%] NU
[8] υμων *rell* ¦ ημων CP
[9] στηκητε **f**[35] ℵ [40%] OC,TR,CP ¦ στηκετε A,B [60%] RP,HF,NU
[10] χριστος **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B [4%] NU
[11] αμεμπτους *rell* ¦ αμεμπτως B [10%]
[12] χριστου **f**[35] [80%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B [20%] NU (Soden lists **K**[r] for the omission, but is in error.)
[13] αυτου **f**[35] B [96%] RP,HF,OC,TR,CP ¦ 1 αμην ℵA [4%] [NU]
[14] το **f**[35] [50%] OC,TR,CP ¦ --- ℵA,B [50%] RP,HF,NU
[15] ουν *rell* ¦ --- B [20%]
[16] ιησου **f**[35] ℵA [94%] RP,HF,OC,TR,CP ¦ 1 ινα B [6%] NU
[17] θεω **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ 1 καθως και περιπατειτε ℵA,B [10%] NU
[18] του *rell* ¦ --- [10%]

πράγματι τὸν ἀδελφὸν αὐτοῦ, διότι ἔκδικος ὁ[1] Κύριος περὶ πάντων τούτων, καθὼς καὶ προείπομεν[2] ὑμῖν[3] καὶ διεμαρτυράμεθα.[4] **7** Οὐ γὰρ ἐκάλεσεν ἡμᾶς[5] ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ᾽ ἐν ἁγιασμῷ. **8** Τοιγαροῦν, ὁ ἀθετῶν οὐκ ἄνθρωπον ἀθετεῖ ἀλλὰ τὸν Θεόν, τὸν καὶ[6] δόντα[7] τὸ Πνεῦμα αὐτοῦ τὸ Ἅγιον εἰς ὑμᾶς.[8]

An impressive life style

9 Περὶ δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχετε[9] γράφειν ὑμῖν, αὐτοὶ γὰρ[10] θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους, **10** καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς τοὺς[11] ἐν ὅλῃ τῇ Μακεδονίᾳ. Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, περισσεύειν μᾶλλον, **11** καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν καὶ πράσσειν τὰ ἴδια, καὶ ἐργάζεσθαι ταῖς ἰδίαις[12] χερσὶν ὑμῶν (καθὼς ὑμῖν παρηγγείλαμεν), **12** ἵνα περιπατῆτε[13] εὐσχημόνως πρὸς τοὺς ἔξω, καὶ μηδενὸς χρείαν ἔχητε.

Christ's second coming

The Rapture

4:13 Οὐ θέλομεν[14] δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων,[15] ἵνα μὴ λυπῆσθε καθὼς καὶ οἱ λοιποί, οἱ μὴ ἔχοντες ἐλπίδα. **14** Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανεν καὶ ἀνέστη, οὕτως καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. **15** Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· **16** ὅτι αὐτὸς ὁ Κύριος—ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ—καταβήσεται ἀπ᾽ οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον· **17** ἔπειτα ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα. Καὶ οὕτως πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. **18** Ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις.

The Day of the Lord

5:1 Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοί, οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι· **2** αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε ὅτι ἡ[16] ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτὶ οὕτως ἔρχεται. **3** Ὅταν γὰρ[17] λέγωσιν, «Εἰρήνη καὶ ἀσφάλεια,» τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσιν.

Live as sons of light

4 Ὑμεῖς δέ, ἀδελφοί, οὐκ ἐστὲ ἐν σκότει ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ. **5** Πάντες[18] ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας· οὐκ ἐσμὲν νυκτός, οὐδὲ σκότους. **6** Ἄρα οὖν, μὴ καθεύ-

---

[1] ο **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B [2%] NU
[2] προειπομεν **f**[35] [75%] RP,OC,CP ¦ προειπαμεν ℵA,B [25%] HF,TR,NU
[3] υμιν *rell* ¦ ημιν CP
[4] διεμαρτυραμεθα *rell* ¦ διεμαρτυρομεθα [40%]
[5] ημας **f**[35] ℵA,B [90%] RP,HF,OC,TR,CP,NU ¦ υμας [10%]
[6] και **f**[35] ℵ [85%] RP,HF,OC,TR,CP[NU] ¦ --- A,B,I [15%]
[7] δοντα **f**[35] A [97%] RP,HF,OC,TR,CP ¦ διδοντα ℵB,I [3%] NU
[8] υμας **f**[35] ℵB [96%] RP,HF,OC,NU ¦ ημας A [4%] TR,CP
[9] εχετε **f**[35] ℵA [90%] RP,HF,OC,TR,CP,NU ¦ εχομεν [10%] ¦ ειχομεν B,I
[10] γαρ **f**[35] [30%] ¦ 1 υμεις ℵA,B [70%] RP,HF,OC,TR,CP,N
[11] τους **f**[35] B [97%] RP,HF,OC,TR,CP[NU] ¦ --- ℵA [3%]
[12] ιδιαις **f**[35] ℵA [93%] RP,HF,OC,TR,CP[NU] ¦ --- B [7%]
[13] περιπατητε *rell* ¦ περιπατειτε [10%] CP
[14] θελομεν **f**[35] ℵA,B [95%] RP,HF,OC,CP,NU ¦ θελω [5%] TR
[15] κεκοιμημενων **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ κοιμωμενων ℵA,B [3%] NU
[16] η **f**[35] A [97%] RP,HF,OC,TR,CP ¦ --- ℵB [3%] NU
[17] γαρ **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- ℵA [2%] NU ¦ δε B [3%]
[18] παντες **f**[35] [70%] RP,HF,OC,TR,CP ¦ 1 γαρ ℵA,B [30%] NU

δωμεν,[1] ὡς καὶ[2] οἱ λοιποί, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν· **7** οἱ γὰρ καθεύδοντες νυκτὸς καθεύδουσιν, καὶ οἱ μεθυσκόμενοι νυκτὸς μεθύουσιν· **8** ἡμεῖς[3] δὲ ἡμέρας ὄντες[4] νήφωμεν, ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης, καὶ περικεφαλαίαν ἐλπίδα σωτηρίας. **9** Ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργὴν ἀλλ'[5] εἰς περιποίησιν σωτηρίας διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, **10** τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν ἵνα εἴτε γρηγοροῦμεν[6] εἴτε καθεύδομεν[7] ἅμα σὺν αὐτῷ ζήσωμεν. **11** Διὸ παρακαλεῖτε ἀλλήλους καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε.

Concluding instructions

Esteem spiritual leaders

5:12 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ καὶ νουθετοῦντας ὑμᾶς, **13** καὶ ἡγεῖσθαι[8] αὐτοὺς ὑπερεκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν. Εἰρηνεύετε ἐν ἑαυτοῖς.[9]

A variety of instructions

14 Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί· νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. **15** Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε, καὶ[10] εἰς ἀλλήλους καὶ εἰς πάντας. **16** Πάντοτε χαίρετε· **17** ἀδιαλείπτως προσεύχεσθε· **18** ἐν παντὶ εὐχαριστεῖτε, τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς. **19** Τὸ Πνεῦμα μὴ σβέννυτε· **20** προφητείας μὴ ἐξουθενεῖτε, **21** πάντα δὲ[11] δοκιμάζετε·[12] τὸ καλὸν κατέχετε. **22** Ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.

Complete sanctification

23 Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη. **24** Πιστὸς ὁ καλῶν ὑμᾶς, ὃς καὶ ποιήσει.[13]

Farewell

25 Ἀδελφοί, προσεύχεσθε[14] περὶ ἡμῶν. **26** Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν φιλήματι ἁγίῳ. **27** Ὁρκίζω[15] ὑμᾶς τὸν Κύριον ἀναγνωσθῆναι τὴν ἐπιστολὴν πᾶσιν τοῖς ἁγίοις ἀδελφοῖς.[16] **28** Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. Ἀμήν.[17,18]

---

[1] καθευδωμεν *rell* ¦ καθευδομεν [10%]
[2] και **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B [3%] NU
[3] ημεις *rell* ¦ υμεις [1%] OC
[4] οντες **f**^{35} ℵA,B [88%] RP,HF,OC,TR,NU ¦ 1 υιοι [12%] CP
[5] αλλ *rell* ¦ αλλα ℵB [3%] NU
[6] γρηγορουμεν **f**^{35} [55%] ¦ γρηγορωμεν ℵA,B [45%] RP,HF,OC,TR,CP,NU
[7] καθευδομεν **f**^{35} [70%] ¦ καθευδωμεν ℵA,B [30%] RP,HF,OC,TR,CP,NU
[8] ηγεισθαι **f**^{35} ℵA [65%] RP,HF,OC,TR,CP,NU ¦ ηγεισθε B [35%]
[9] εαυτοις **f**^{35} A,B [70%] RP,HF,OC,TR,CP,NU ¦ αυτοις 𝔓^{30}ℵ [30%]
[10] και **f**^{35} 𝔓^{30}B [95%] RP,HF,OC,TR,CP[NU] ¦ --- ℵA [5%]
[11] δε **f**^{35} B [70%] RP,HF,OC,NU ¦ --- ℵA [30%] TR,CP
[12] δοκιμαζετε **f**^{35} ℵA,B [60%] RP,HF,OC,TR,NU ¦ δοκιμαζοντες [40%] CP
[13] ποιησει **f**^{35} ℵA,B [85%] RP,HF,OC,TR,NU ¦ 1 την ελπιδα υμων βεβαιαν [15%] CP
[14] προσευχεσθε **f**^{35} ℵA,I^{v} [95%] RP,HF,OC,TR,CP ¦ 1 και 𝔓^{30}B [5%] [NU]
[15] ὁρκιζω **f**^{35} ℵ [85%] RP,HF,OC,TR,CP ¦ ορκιζω [10%] ¦ ενορκιζω 𝔓^{46}A,B [5%] NU
[16] αγιοις αδελφοις **f**^{35} 𝔓^{46}A (89.6%) RP,HF,OC,TR,CP ¦ 1 (4.9%) ¦ 2 ℵB (5.5%) NU (One variant could be an easy case of homoioteleuton, and the other a not very difficult case of homoioarcton.)
[17] αμην **f**^{35} ℵA [97%] RP,HF,OC,TR,CP ¦ --- B [3%] NU
[18] The citation of **f**^{35} is based on thirty-nine MSS—18, 35, 149, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 959, 986, 1072, 1075, 1100, 1248, 1249, 1250, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897, 2080, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 18, 824, 928, 1855, 1864 and 2723 are 'perfect' representatives of **f**^{35} in 1 Thessalonians, as they stand, as were the exemplars of another eleven. The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Athens, Mt. Athos [seven different monasteries],

Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A^{27}, supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β΄

Opening Considerations

Greeting

1:1 Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ Πατρὶ ἡμῶν καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ· **2** Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν[1] καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Commendation and encouragement

3 Εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοί, καθὼς ἄξιόν ἐστιν, ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν, καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους· **4** ὥστε ἡμᾶς αὐτοὺς[2] ἐν ὑμῖν καυχᾶσθαι[3] ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ, ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως ἐν πᾶσιν τοῖς διωγμοῖς ὑμῶν, καὶ ταῖς θλίψεσιν αἷς ἀνέχεσθε **5**—ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ Θεοῦ, εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ Θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε· **6** εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν, **7** καὶ ὑμῖν τοῖς θλιβομένοις, ἄνεσιν (μεθ᾽ ἡμῶν) ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ[4] ἀπ᾽ οὐρανοῦ μετ᾽ ἀγγέλων δυνάμεως αὐτοῦ ἐν πυρὶ φλογός, **8** διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσιν[5] Θεὸν καὶ τοῖς μὴ ὑπακούουσιν τῷ εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,[6] **9** οἵτινες δίκην τίσουσιν· ὄλεθρον αἰώνιον, ἀπὸ προσώπου τοῦ[7] Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, **10** ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυμασθῆναι ἐν πᾶσιν τοῖς πιστεύσασιν[8] (ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ᾽ ὑμᾶς)· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

A model prayer

11 Εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ Θεὸς ἡμῶν καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης[9] καὶ ἔργον πίστεως ἐν δυνάμει, **12** ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[10] ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ, κατὰ τὴν χάριν τοῦ Θεοῦ ἡμῶν καὶ Κυρίου, Ἰησοῦ Χριστοῦ.

The Day of Christ

2:1 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ᾽ αὐτόν, **2** εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς μήτε[11] θροεῖσθαι,[12] μήτε διὰ[13] πνεύματος μήτε διὰ λόγου μήτε δι᾽ ἐπιστολῆς ὡς δι᾽ ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Χριστοῦ.[14]

The man of sin

3 Μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον· ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ

---

[1] ημων **f**^{35} ℵA,I [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- B [2%]
[2] ημας αυτους **f**^{35} A [96%] RP,HF,OC,TR,CP ¦ ~ 21 ℵB [3%] NU ¦ 1 [1%]
[3] καυχασθαι **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ εγκαυχασθαι ℵ(A,B) [3%] NU
[4] ιησου *rell* ¦ 1 χριστου [10%] CP
[5] ειδοσιν **f**^{35} ℵA,B [70%] RP,HF,OC,TR,CP,NU ¦ 1 τον [30%]
[6] χριστου **f**^{35} ℵA [60%] HF,OC,TR,CP ¦ --- B [40%] RP,NU (OC uses small print.)
[7] του *rell* ¦ --- [10%] CP
[8] πιστευσασιν **f**^{35} ℵA,B [93%] RP,HF,OC,CP,NU ¦ πιστευουσιν [7%] TR
[9] αγαθωσυνης *rell* ¦ αγαθοσυνης [30%]
[10] χριστου **f**^{35} A [45%] OC,TR,CP ¦ --- ℵB [55%] RP,HF,NU (OC uses small print.)
[11] μητε **f**^{35} [94%] RP,HF,OC,TR,CP ¦ μηδε ℵA,B [5%] NU ¦ μηποτε [1%]
[12] θροεισθαι *rell* ¦ θροεισθε [10%]
[13] δια *rell* ¦ 1 του [10%] OC (The addition of the article presumably makes the reference be to the Holy Spirit, which is clearly wrong here.)
[14] χριστου **f**^{35} [85%] RP,HF,OC,TR,CP ¦ κυριου ℵA,B [15%] NU (Might this be a doctrinally motivated variant?)

ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας,[1] ὁ υἱὸς τῆς ἀπωλείας, **4** ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ ὡς Θεὸν καθίσαι,[2] ἀποδεικνύντα[3] ἑαυτὸν ὅτι ἐστὶν Θεός. **5** (Οὐ μνημονεύετε ὅτι ἔτι ὢν πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν;)

The Restrainer

6 Καὶ νῦν τὸ κατέχον οἴδατε, εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ[4] καιρῷ. **7** Τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας· μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται. **8** Καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ Κύριος[5] ἀναλώσει[6] τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ· **9** οὗ ἐστιν ἡ παρουσία κατ᾽ ἐνέργειαν τοῦ Σατανᾶ ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασιν ψεύδους, **10** καὶ ἐν πάσῃ ἀπάτῃ τῆς[7] ἀδικίας ἐν[8] τοῖς ἀπολλυμένοις, ἀνθ᾽ ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς.

Believing 'the lie'

11 Καί, διὰ τοῦτο πέμψει[9] αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει, **12** ἵνα κριθῶσιν πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ ἀλλ᾽ εὐδοκήσαντες ἐν[10] τῇ ἀδικίᾳ.

To be Saved is Different

2:13 Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Κυρίου, ὅτι εἵλετο[11] ὑμᾶς ὁ Θεὸς ἀπ᾽ ἀρχῆς,[12] εἰς σωτηρίαν, ἐν ἁγιασμῷ πνεύματος καὶ πίστει ἀληθείας, **14** εἰς ὃ[13] ἐκάλεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν, εἰς περιποίησιν δόξης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

15 Ἄρα οὖν, ἀδελφοί, στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου εἴτε δι᾽ ἐπιστολῆς ἡμῶν.

Another model prayer

16 Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, καὶ ὁ[14] Θεὸς καὶ[15] Πατὴρ ἡμῶν, ὁ ἀγαπήσας ἡμᾶς[16] καὶ δοὺς[17] παράκλησιν αἰωνίαν καὶ ἐλπίδα ἀγαθήν, ἐν χάριτι, **17** παρακαλέσαι ὑμῶν τὰς καρδίας καὶ στηρίξαι ὑμᾶς[18] ἐν παντὶ λόγῳ καὶ ἔργῳ[19] ἀγαθῷ.

A request for prayer

3:1 Τὸ λοιπὸν προσεύχεσθε, ἀδελφοί, περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ Κυρίου τρέχῃ καὶ δοξάζηται, καθὼς καὶ πρὸς ὑμᾶς, **2** καὶ ἵνα ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων· οὐ γὰρ

---

[1] αμαρτιας **f**[35] A (93.8%) RP,HF,OC,TR,CP ¦ ανομιας ℵB (5.4%) NU ¦ long omissions (0.8%)
[2] ως θεον καθισαι **f**[35] (82.3%) RP,HF,OC,TR,CP ¦ ~ 312 (8.2%) ¦ 3 ℵA,B (9.2%) NU ¦ two other variants (0.3%) (Scattered around the variants, 4.9% have καθησαι.)
[3] αποδεικνυντα **f**[35] ℵB [88%] RP,HF,OC,TR,NU ¦ αποδεικνυοντα (A) [12%] CP
[4] εαυτου **f**[35] B [80%] RP,HF,OC,TR,CP,NU ¦ αυτου ℵA,I [20%]
[5] κυριος **f**[35] B (86.6%) RP,HF,OC,TR,CP ¦ 1 ιησους ℵA (13.4%) [NU]
[6] αναλωσει **f**[35] (92.9%) RP,HF,OC,TR,CP ¦ ανελει B (6.1%) NU ¦ ανελοι (0.7%) ¦ αναλοι ℵ ¦ αναιλει A
[7] της **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B [5%] NU
[8] εν **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B [4%] NU
[9] πεμψει **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ πεμπει ℵA,B [3%] NU
[10] εν **f**[35] A [90%] RP,HF,OC,TR,CP ¦ --- ℵB [10%] NU
[11] ειλετο **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ειλατο ℵA,B [5%] NU
[12] απ αρχης **f**[35] ℵ [94%] RP,HF,OC,TR,CP ¦ απαρχην B [6%] NU ('Firstfruits' when and where? Is not the reading of NU inferior?)
[13] ο **f**[35] A,B [94%] RP,HF,OC,TR,CP ¦ 1 και ℵ [6%] [NU]
[14] ο **f**[35] ℵA,I [94%] RP,HF,OC,TR,CP[NU] ¦ --- B [6%]
[15] και **f**[35] A,I [97%] RP,HF,OC,TR,CP ¦ ο ℵB [2%] NU ¦ και ο [1%]
[16] ημας *rell* ¦ υμας [5%] CP
[17] δους **f**[35] ℵA,B [90%] RP,HF,OC,TR,NU ¦ διδους [10%] CP
[18] υμας **f**[35] [92%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B [8%] NU
[19] λογω και εργω **f**[35] [89%] RP,HF,OC,TR,CP ¦ ~ 321 ℵA,B [10%] NU ¦ two other readings [1%]

πάντων ἡ πίστις.

3 Πιστὸς δέ ἐστιν ὁ Κύριος, ὃς στηρίξει ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ. **4** Πεποίθαμεν δὲ ἐν Κυρίῳ ἐφ᾽ ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν[1] ὑμῖν[2] καὶ[3] ποιεῖτε καὶ ποιήσετε. **5** Ὁ δὲ Κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ εἰς τὴν[4] ὑπομονὴν τοῦ Χριστοῦ.

Instructions

Don't be irresponsible or lazy

3:6 Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν[5] Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρέλαβον[6] παρ᾽ ἡμῶν. **7** Αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν· **8** οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν[7] παρά τινος· ἀλλ᾽ ἐν κόπῳ καὶ μόχθῳ, νύκτα καὶ ἡμέραν,[8] ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν· **9** οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ᾽ ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς. **10** Καὶ γάρ, ὅτε ἦμεν πρὸς ὑμᾶς τοῦτο παρηγγέλλομεν ὑμῖν· ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι μηδὲ ἐσθιέτω. **11** Ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως· μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους. **12** Τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακαλοῦμεν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[9] ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν.

Isolate the disobedient

13 Ὑμεῖς δέ, ἀδελφοί, μὴ ἐκκακήσητε[10] καλοποιοῦντες. **14** Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε καὶ[11] μὴ συναναμίγνυσθε[12] αὐτῷ, ἵνα ἐντραπῇ· **15** καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν.

Conclusion

Benediction

3:16 Αὐτὸς δὲ ὁ Κύριος[13] τῆς εἰρήνης δώῃ ὑμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ. Ὁ Κύριος μετὰ πάντων ὑμῶν.

Sign-off

17 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρί, Παύλου, ὅ ἐστιν σημεῖον ἐν πάσῃ ἐπιστολῇ, οὕτως γράφω. **18** Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.[14,15]

---

[1] παραγγελλομεν *rell* ¦ παραγγελομεν CP

[2] υμιν **f**[35] A [97%] RP,HF,OC,TR,CP ¦ --- ℵB [3%] NU

[3] και **f**[35] B (96.2%) RP,HF,OC,TR,CP[NU] ¦ --- ℵA (3.8%) (There are four variations on ποιειτε that together garner (8.2%); codex B conflates.)

[4] την *rell* ¦ --- [5%] TR

[5] ημων **f**[35] ℵA [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- B [1%]

[6] παρελαβον **f**[35] [92%] RP,HF,OC,CP ¦ παρελαβοσαν ℵA [2%] NU ¦ παρελαβετε B [3%] ¦ παρελαβεν [3%] TR

[7] εφαγομεν **f**[35] ℵA,B [80%] RP,HF,OC,TR,CP,NU ¦ ελαβομεν [20%]

[8] νυκτα και ημεραν **f**[35] A,I [96%] RP,HF,OC,TR,CP ¦ νυκτος 2 ημερας ℵB [4%] NU

[9] δια του κυριου ημων ιησου χριστου **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ εν κυριω 56 ℵA,B [4%] NU

[10] εκκακησητε **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ εγκακησητε ℵA(B) [2%] NU ¦ two other variants [1%]

[11] και **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B [3%] NU

[12] συναναμιγνυσθε **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ συναναμιγνυσθαι ℵA,B [4%] NU

[13] κυριος **f**[35] ℵA,B [90%] RP,HF,OC,TR,CP,NU ¦ θεος [10%]

[14] αμην **f**[35] A [98%] RP,HF,OC,TR,CP ¦ --- ℵB [2%] NU

[15] The citation of **f**[35] is based on thirty-eight MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 959, 986, 1072, 1075, 1100, 1248, 1249, 1250, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897, 2080, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 18, 35, 204, 394, 928, 1072, 1075, 1249, 1503, 1637, 1768, 1864, 1865, 2554 and 2723 are 'perfect' representatives of **f**[35] in 2 Thessalonians, as they stand, as were the exemplars of another fifteen. The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Athens, Mt. Athos [seven different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the

family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A[27], supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α΄

Greeting

1:1 Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ[1] κατ᾽ ἐπιταγὴν Θεοῦ[2] Σωτῆρος ἡμῶν καὶ[3] Κυρίου Ἰησοῦ Χριστοῦ[4] τῆς ἐλπίδος ἡμῶν, **2** Τιμοθέῳ, γνησίῳ τέκνῳ ἐν πίστει· Χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν[5] καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

Opening considerations

Paul refers to their last conversation

1:3 Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ, πορευόμενος εἰς Μακεδονίαν, ἵνα παραγγείλῃς τισὶν μὴ ἑτεροδιδασκαλεῖν **4** μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις, αἵτινες ζητήσεις[6] παρέχουσιν μᾶλλον ἢ οἰκονομίαν[7] Θεοῦ τὴν ἐν πίστει. **5** Τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη, ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς καὶ πίστεως ἀνυποκρίτου· **6** ὧν τινες ἀστοχήσαντες ἐξετράπησαν εἰς ματαιολογίαν, **7** θέλοντες εἶναι νομοδιδάσκαλοι, μὴ νοοῦντες μήτε ἃ λέγουσιν μήτε περὶ τίνων διαβεβαιοῦνται.

What law is for

8 Οἴδαμεν δὲ ὅτι καλὸς ὁ νόμος ἐάν τις αὐτῷ νομίμως χρῆται, **9** εἰδὼς[8] τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις, ἀσεβέσι[9] καὶ ἁμαρτωλοῖς, ἀνοσίοις καὶ βεβήλοις, πατραλοίαις[10] καὶ μητραλοιαίς,[11] ἀνδροφόνοις, **10** πόρνοις, ἀρσενοκοίταις, ἀνδραποδισταῖς, ψεύσταις, ἐπιόρκοις, καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται **11** κατὰ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ μακαρίου Θεοῦ, ὃ ἐπιστεύθην ἐγώ.

The grace of God

12 Καὶ[12] χάριν ἔχω τῷ ἐνδυναμώσαντί[13] με Χριστῷ Ἰησοῦ,[14] τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν· **13** τὸν[15] πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλὰ[16] ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ· **14** ὑπερεπλεόνασεν δὲ ἡ χάρις τοῦ Κυρίου ἡμῶν, μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ. **15** Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος· ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι—ὧν πρῶτός εἰμι ἐγώ· **16** ἀλλὰ διὰ

---

[1] ιησου χριστου **f**[35] A [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 א [2%] NU ¦ --- [1%]
[2] θεου **f**[35] אA [90%] RP,HF,OC,TR,NU ¦ 1 πατρος και [10%] CP
[3] και **f**[35] אA [90%] RP,HF,OC,TR,NU ¦ --- [10%] CP
[4] κυριου ιησου χριστου **f**[35] א [90%] RP,HF,OC,TR ¦ 23 [2%] CP ¦ ~ 32 A [8%] NU
[5] ημων **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ --- אA,I [4%] NU
[6] ζητησεις **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ εκζητησεις אA [3%] NU
[7] οικονομιαν *rell* ¦ οικοδομιαν [1%] TBS
[8] ειδως *rell* ¦ οιδως CP
[9] ειδως *rell* ¦ οιδως CP
[10] πατραλοιαις **f**[35] [45%] ¦ πατραλωαις [10%] TR ¦ πατραλοιας [5%] ¦ πατρολωαις **f**[35pt] אA [34%] RP,HF,OC,CP,NU ¦ πατρολοαις [5%] ¦ πατριλοιαις [1%] (Liddell & Scott consider πατραλοιας and μητραλοιας to be the earlier and basic forms, and that the variants are alternate spellings of the same words. Alternate spellings are not proper variants, since the identity and meaning of the words are not affected. Why would medieval monks resurrect classical forms, if their exemplar had the current Koine spellings? The pressure would be in the opposite direction. The better representatives generally have the first form. Liddell & Scott further consider that the semantic area includes both a ‘striker’ and a ‘killer’; in the context ‘striker’ makes better sense, since the very next crime listed is ‘murder’. Why cite ‘murder’ three times? A normal list does not repeat items.)
[11] μητραλοιαις **f**[35] [45%] ¦ μητραλωαις [5%] TR ¦ μητρολωαις **f**[35pt] אA [40%] RP,HF,OC,CP,NU ¦ μητρολοιαις [5%] ¦ μητρολοαις [5%] (See the discussion above.)
[12] και **f**[35] [92%] RP,HF,OC,TR,CP ¦ --- אA,I [8%] NU
[13] ενδυναμωσαντι **f**[35] A,I [90%] RP,HF,OC,TR,NU ¦ ενδυναμουντι א [10%] CP
[14] ιησου *rell* ¦ --- CP
[15] τον **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ το אA,I [5%] NU
[16] αλλα *rell* ¦ αλλ [5%] OC,TR

τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοί, πρώτῳ,[1] ἐνδείξηται Ἰησοῦς Χριστὸς[2] τὴν πᾶσαν[3] μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ᾽ αὐτῷ εἰς ζωὴν αἰώνιον. **17** Τῷ δὲ Βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ[4] Θεῷ, τιμὴ καὶ[5] δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A charge to Timothy

Wage the good warfare

1:18 Ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας, ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν, **19** ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν (ἣν τινες ἀπωσάμενοι περὶ τὴν πίστιν ἐναυάγησαν· **20** ὧν ἐστιν Ὑμέναιος[6] καὶ Ἀλέξανδρος—οὓς παρέδωκα τῷ Σατανᾷ ἵνα παιδευθῶσιν μὴ βλασφημεῖν).

About prayer

2:1 Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας,[7] ὑπὲρ πάντων ἀνθρώπων **2**—ὑπὲρ βασιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον[8] καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. **3** Τοῦτο γὰρ[9] καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, **4** ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. **5** Εἷς γὰρ Θεός, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων—ἄνθρωπος—Χριστὸς Ἰησοῦς,[10] **6** ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων (τὸ μαρτύριον καιροῖς ἰδίοις), **7** εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος—ἀλήθειαν λέγω ἐν Χριστῷ,[11] οὐ ψεύδομαι—διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ.

8 Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ.[12] **9** Ὡσαύτως καὶ τὰς[13] γυναῖκας, ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς· μὴ ἐν πλέγμασιν ἢ[14] χρυσῷ[15] ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ, **10** ἀλλ᾽, ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, δι᾽ ἔργων ἀγαθῶν.

About women

11 Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω, ἐν πάσῃ ὑποταγῇ. **12** Γυναικὶ δὲ διδάσκειν[16] οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός, ἀλλ᾽ εἶναι ἐν ἡσυχίᾳ. **13** Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα. **14** Καὶ Ἀδὰμ οὐκ ἠπατήθη· ἡ δὲ γυνή, ἀπατηθεῖσα,[17] ἐν παραβάσει γέγονεν. **15** Σωθήσεται δὲ διὰ τῆς Τεκνογονίας—ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ, μετὰ σωφροσύνης.

Qualifications

Of overseers

3:1 Πιστὸς ὁ λόγος· εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. **2** Δεῖ οὖν τὸν ἐπίσκοπον

---

[1] πρωτω *rell* ¦ πρωτον [15%] CP
[2] ιησους χριστος **f**[35] ℵ [93%] RP,HF,OC,TR,CP ¦ ~ 21 A [5%] NU ¦ 1 [1%] ¦ 2 [0.5%] ¦ 1 o 2 [0.5%]
[3] πασαν **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ απασαν ℵA [5%] NU ¦ --- [1%]
[4] σοφω **f**[35] (98%) RP,HF,OC,TR,CP ¦ --- ℵA (1.7%) NU ¦ part of a larger omission (0.3%) (The omission is unfortunate.)
[5] και **f**[35] ℵA [50%] RP,HF,OC,TR,NU ¦ --- [50%] CP
[6] υμεναιος *rell* ¦ υμενεος A [10%]
[7] ευχαριστιας *rell* ¦ ευχαριστειας [15%]
[8] ἠρεμον *rell* ¦ ἤρεμον [20%]
[9] γαρ **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- ℵA [3%] NU
[10] χριστος ιησους *rell* ¦ ~ 21 [10%] CP
[11] εν χριστω **f**[35] ℵ [85%] RP,HF,OC,TR,CP ¦ --- A [15%] NU (OC has small print.)
[12] διαλογισμου *rell* ¦ διαλογισμων [10%]
[13] και τας **f**[35] (94.7%) RP,HF,OC,TR,CP ¦ 1 (3.4%) [NU] ¦ --- ℵA (1.5%) ¦ two other variants (0.3%) (τας γυναικας is parallel to τους ανδρας, so the majority variant is correct.)
[14] η **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ και ℵA [4%] NU ¦ --- [1%]
[15] χρυσω **f**[35] ℵ [85%] RP,HF,OC,TR ¦ χρυσιω A,I [5%] NU ¦ αργυριω και χρυσιω [10%] (CP)
[16] γυναικι δε διδασκειν **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ ~ 321 ℵA [10%] NU
[17] απατηθεισα **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ εξαπατηθεισα ℵA [6%] NU

ἀνεπίληπτον[1] εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον,[2] σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν, **3** μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ,[3] ἀλλ'[4] ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον· **4** τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος **5** (εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδεν, πῶς ἐκκλησίας Θεοῦ ἐπιμελήσεται;)· **6** μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρῖμα ἐμπέσῃ τοῦ διαβόλου. **7** Δεῖ δὲ αὐτὸν[5] καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου.

Of deacons

8 Διακόνους ὡσαύτως σεμνούς, μὴ διλόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς· **9** ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει. **10** Καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον· εἶτα, διακονείτωσαν, ἀνέγκλητοι ὄντες.

Of 'deaconesses'

11 Γυναῖκας ὡσαύτως σεμνάς, μὴ διαβόλους, νηφαλίους,[6] πιστὰς ἐν πᾶσιν.

Of deacons, again

12 Διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων καλῶς προϊστάμενοι καὶ τῶν ἰδίων οἴκων. **13** Οἱ γὰρ καλῶς διακονήσαντες βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται καὶ πολλὴν παρρησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ.

God in flesh

14 Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρός σε τάχιον,[7] **15** ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία Θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα[8] τῆς ἀληθείας. **16** Καί, ὁμολογουμένως μέγα ἐστὶν τὸ τῆς εὐσεβείας μυστήριον· Θεὸς[9] ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη[10] ἐν δόξῃ.

About doctrine

Things taught by demons

4:1 Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασιν πλάνοις[11] καὶ διδασκαλίαις δαιμονίων **2**—ἐν ὑποκρίσει ψευδολόγων κεκαυτηριασμένων[12] τὴν ἰδίαν συνείδησιν, **3** κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων ἃ ὁ Θεὸς ἔκτισεν

---

[1] ανεπιληπτον **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ ανεπιλημπτον ℵA [3%] NU

[2] νηφαλιον **f**^{35} ℵA [40%] OC,CP,NU ¦ νηφαλεον [50%] RP,HF,TR ¦ νηφαλαιον [8%] ¦ νηφαλειον [2%]

[3] μη αισχροκερδη **f**^{35} (69.9%) RP,HF,OC,TR,CP ¦ --- ℵA (30.1%) NU (Who wants to offend those with the means to make substantial contributions to the church coffers? So why talk about shady dealings? The omission is surely inferior.)

[4] αλλ **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ αλλα ℵA [3%] NU

[5] αυτον **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ --- ℵA,I [3%] NU

[6] νηφαλιους **f**^{35} ℵA,C [40%] OC,CP,NU ¦ νηφαλεους [50%] RP,HF,TR ¦ νηφαλαιους [8%] ¦ νηφαλεας [2%]

[7] ταχιον **f**^{35} ℵ (92.5%) RP,HF,OC,TR,CP ¦ ταχειον (5.4%) ¦ εν ταχει A,C (2%) NU

[8] ἑδραιωμα *rell* ¦ εδραιωμα [15%]

[9] θεος **f**^{35} A,C^{v} [98.5%] RP,HF,OC,TR,CP ¦ ος ℵ [1%] NU ¦ ο D ¦ ω 061 ¦ ος θεος 256 (For an explanation of this statement of evidence, and a discussion of the implications, please see my book, *'The Identity of the New Testament Text VI*, footnote 2, on pages 195-197') [The variant chosen by NU is a grammatical impossibility (no antecedent for the pronoun), besides being a stupidity. What is a 'mystery' about any human male being manifested in flesh? All human beings have bodies. In the absence of concrete evidence, the claim that this is a quote lifted from a known hymn or poem becomes no more than a desperate attempt to 'save' a choice that besides being stupid is also perverse (because of the theological consequences).]

[10] ανεληφθη **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ ανελημφθη ℵA,C [3%] NU

[11] πλανοις **f**^{35} ℵA,C [70%] RP,HF,OC,TR,NU ¦ πλανης **f**^{35pt} [30%] CP (Is it an adjective, or a noun? Is it 'deceiving spirits', or 'spirits of deception'? They are two ways of saying the same thing. The better representatives generally have the adjective.)

[12] κεκαυτηριασμενων **f**^{35} C,I [85%] RP,HF,TR,CP ¦ κεκαυστηριασμενων ℵA [10%] OC,NU ¦ και

εἰς μετάληψιν[1] μετὰ εὐχαριστίας[2] τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι[3] τὴν ἀλήθειαν. **4** Ὅτι πᾶν κτίσμα Θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον, **5** ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.

A good servant of Jesus Christ

6 Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς καλὸς ἔσῃ διάκονος Ἰησοῦ Χριστοῦ,[4] ἐντρεφόμενος[5] τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας ᾗ παρηκολούθηκας. **7** Τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ· γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν. **8** Ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος, ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίας[6] ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης.

A trustworthy word

9 Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος **10** (εἰς τοῦτο γὰρ καὶ[7] κοπιῶμεν καὶ ὀνειδιζόμεθα)·[8] ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστιν Σωτὴρ πάντων ἀνθρώπων, μάλιστα[9] πιστῶν.

Watch your life and doctrine

11 Παράγγελλε[10] ταῦτα καὶ δίδασκε. **12** Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου[11] τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι,[12] ἐν πίστει, ἐν ἁγνείᾳ. **13** Ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. **14** Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου. **15** Ταῦτα μελέτα· ἐν τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν[13] πᾶσιν. **16** Ἔπεχε σεαυτῷ καὶ τῇ διδασκαλίᾳ· ἐπίμενε αὐτοῖς, τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου.

Relationships

5:1 Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει ὡς πατέρα, νεωτέρους ὡς ἀδελφούς, **2** πρεσβυτέρας ὡς μητέρας, νεωτέρας ὡς ἀδελφάς, ἐν πάσῃ ἁγνείᾳ.

Honor true widows

3 Χήρας τίμα τὰς ὄντως χήρας. **4** Εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα[14] ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις, τοῦτο γάρ ἐστιν[15] ἀπόδεκτον ἐνώπιον τοῦ Θεοῦ. **5** Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν[16] Θεόν, καὶ προσμένει ταῖς δεήσεσιν καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας. **6** Ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκεν.

καυ(σ)τηριασμενων [5%]

[1] μεταληψιν **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ μεταλημψιν ℵA [3%] NU

[2] ευχαριστιας **f**[35] ℵC [90%] RP,HF,OC,TR,CP,NU ¦ ευχαριστειας A [10%] (Also in verse 4.)

[3] επεγνωκοσι **f**[35] ℵC [80%] HF,OC,CP,NU ¦ επεγνωκοσιν A [20%] RP,TR (Some TRs have the shorter form.)

[4] ιησου χριστου **f**[35] [80%] RP,HF,OC,TR ¦ ~ 21 ℵA,C [20%] CP,NU

[5] εντρεφομενος *rell* ¦ εκτρεφομενος [2%] CP

[6] επαγγελιας **f**[35] [60%] OC ¦ επαγγελιαν ℵA [40%] RP,HF,TR,CP,NU (The form being ambiguous between genitive singular or accusative plural, copyists who took the form to be genitive would naturally change it to accusative, leaving it singular. In the context the accusative plural makes excellent sense, there being many promises.)

[7] και **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- ℵA,C [5%] NU

[8] ονειδιζομεθα **f**[35] [93%] RP,HF,OC,TR,CP ¦ αγωνιζομεθα ℵA,C [7%] NU (Is not the variant chosen by NU inferior?)

[9] μαλιστα *rell* ¦ 1 δε [10%]

[10] παραγγελλε *rell* ¦ παραγγελε [10%] CP (Also in 5:7 and 6:17.)

[11] γινου **f**[35] ℵA,C [90%] RP,HF,OC,TR,NU ¦ γενου [10%] CP

[12] εν πνευματι **f**[35] (90.9%) RP,HF,OC,TR,CP ¦ --- ℵA,C,I (9.1%) NU (The omission could be a not very difficult case of homoioarcton.)

[13] εν **f**[35] (97.4%) RP,HF,OC,TR,CP ¦ --- ℵA,C (2.4%) NU ¦ one other variant (0.2%)

[14] εκγονα *rell* ¦ εγγονα [10%]

[15] εστιν **f**[35] ℵA,C [85%] RP,HF,NU ¦ 1 καλον και [5%] OC,TR,CP ¦ καλον και 1 [10%]

[16] τον **f**[35] A [97%] RP,HF,OC,TR,CP ¦ --- ℵC [3%] NU

7 Καὶ ταῦτα παράγγελλε, ἵνα ἀνεπίληπτοι[1] ὦσιν. **8** Εἰ δέ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν[2] οἰκείων, οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται καὶ ἔστιν ἀπίστου χείρων.

9 Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα, ἑνὸς ἀνδρὸς γυνή, **10** ἐν ἔργοις καλοῖς μαρτυρουμένη—εἰ ἐτεκνοτρόφησεν, εἰ[3] ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν.

About younger widows

11 Νεωτέρας δὲ[4] χήρας παραιτοῦ· ὅταν γὰρ καταστρηνιάσωσιν τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν, **12** ἔχουσαι κρῖμα ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. **13** Ἅμα δὲ καί, ἀργαὶ μανθάνουσιν, περιερχόμεναι τὰς οἰκίας· οὐ μόνον δὲ ἀργαί, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα. **14** Βούλομαι οὖν νεωτέρας[5] γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας χάριν. **15** (Ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ.)

16 Εἴ τις πιστὸς ἢ[6] πιστὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ.

Honor elders

17 Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. **18** Λέγει γὰρ ἡ Γραφή· «Βοῦν ἀλοῶντα[7] οὐ φιμώσεις,» καὶ «Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ.»

19 Κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων. **20** Τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν.

Watch your step

21 Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ[8] καὶ τῶν ἐκλεκτῶν ἀγγέλων ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλισιν.[9] **22** Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. Σεαυτὸν ἁγνὸν τήρει.

23 Μηκέτι ὑδροπότει, ἀλλ'[10] οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου[11] καὶ τὰς πυκνάς σου ἀσθενείας.

24 Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσιν, προάγουσαι εἰς κρίσιν, τισὶν δὲ καὶ ἐπακολουθοῦσιν. **25** Ὡσαύτως καὶ τὰ καλὰ ἔργα[12] πρόδηλά ἐστιν·[13] καὶ τὰ ἄλλως ἔχοντα κρυβῆναι οὐ

---

[1] ανεπιληπτοι **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ανεπιλημπτοι ℵA,C [3%] NU

[2] των **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ --- ℵA,I,048 [3%] NU

[3] ει *rell* ¦ η [2%] CP

[4] δε *rell* ¦ --- [10%]

[5] νεωτερας **f**[35] ℵA,C [85%] RP,HF,OC,TR,NU ¦ 1 χηρας [15%] CP

[6] πιστος η **f**[35] (97.6%) RP,HF,OC,TR,CP ¦ --- ℵA,C,048 (2.2%) NU ¦ one other variant (0.2%) (Might the 'Alexandrian' variant be the result of homoioarcton?)

[7] ἁλοωντα **f**[35] [30%] ¦ ἀλοωντα *rell* ¦ αλοουντα [5%] (The noun equivalent is everywhere spelled with rough breathing; since collators have generally not registered aspiration, it is hard to know what the witness of the mass of minuscules may be.)

[8] κυριου ιησου χριστου **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ 23 [2%] ¦ ~ 32 ℵA [3%] NU (Is not the full form more appropriate for a solemn charge?)

[9] προσκλισιν **f**[35] ℵ [25%] TR,CP,NU ¦ προσκλησιν **f**[35pt] A [75%] RP,HF,OC (Here we have an even division. They are different nouns, but each occurs only here in the NT, so we do not have different contexts to help us. The basic meaning of the second form was 'a judicial summons', which simply does not fit in this context. However, precisely for this context, the two forms apparently were regarded as synonyms meaning 'partiality' (the two vowels were pronounced the same way). According to my presuppositions, both the Holy Spirit and the apostle Paul were good at Greek, so if they meant to say 'partiality', they would use the word with that basic meaning. So then, in spite of the division, I consider that the first form reproduces the archetype.)

[10] αλλ **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ αλλα ℵA [3%] NU

[11] σου **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ --- ℵA [4%] NU

[12] καλα εργα **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 2 τα 1 ℵA [5%] NU

[13] εστιν **f**[35] [80%] RP,HF,OC,TR,CP ¦ εισιν [10%] ¦ --- ℵA [10%] NU

δύνανται.[1]

Slaves honor owners

6:1 Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται. **2** Οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν ὅτι ἀδελφοί εἰσιν· ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσιν καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι.

Conclusion to 'Relationships'

Ταῦτα δίδασκε καὶ παρακάλει. **3** Εἴ τις ἑτεροδιδασκαλεῖ καὶ μὴ προσέρχεται ὑγιαίνουσιν λόγοις, τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ᾽ εὐσέβειαν διδασκαλίᾳ, **4** τετύφωται, μηδὲν ἐπιστάμενος· ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνεται φθόνος, ἔρις,[2] βλασφημίαι, ὑπόνοιαι πονηραί, **5** διαπαρατριβαὶ[3] διεφθαρμένων ἀνθρώπων τὸν νοῦν καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. Ἀφίστασο ἀπὸ τῶν τοιούτων.[4]

Concluding considerations

Godliness with contentment

6:6 Ἔστιν δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας. **7** Οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον[5] ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. **8** Ἔχοντες δὲ διατροφὰς[6] καὶ σκεπάσματα τούτοις ἀρκεσθησόμεθα.[7] **9** Οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους[8] καὶ βλαβεράς, αἵτινες βυθίζουσιν τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν· **10** ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία· ἧς τινες ὀρεγόμενοι ἀπεπλανήθησαν[9] ἀπὸ τῆς πίστεως καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς.

Lay hold on eternal life

11 Σὺ δέ, ὦ ἄνθρωπε τοῦ[10] Θεοῦ, ταῦτα φεῦγε· δίωκε δὲ δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονήν, πραότητα.[11] **12** Ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως· ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς εἰς ἣν καὶ[12] ἐκλήθης—καὶ ὡμολόγησας[13] τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων. **13** Παραγγέλλω σοι[14] ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος[15] τὰ πάντα, καὶ Χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν, **14** τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον[16] μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, **15** ἣν καιροῖς ἰδίοις δείξει[17]—ὁ μακάριος καὶ μόνος Δυνάστης, ὁ Βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευ-όντων· **16** ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ[18] κράτος αἰώνιον. Ἀμήν.

---

[1] δυνανται **f**[35] A [70%] RP,HF,OC,NU ¦ δυναται ℵ [30%] TR,CP
[2] ερις **f**[35] ℵA,048 [90%] RP,HF,OC,TR,CP,NU ¦ ερεις [10%]
[3] διαπαρατριβαι **f**[35] ℵA [90%] RP,HF,CP,NU ¦ παραδιατριβαι [5%] OC,TR ¦ διατριβαι [3%] ¦ παρατριβαι [2%]
[4] αφιστασο (-σω 3.6%) απο των τοιουτων **f**[35] (96.9%) RP,HF,OC,TR,CP ¦ --- ℵA,048 (2.8%) NU ¦ two other variants (0.3%) (How could a gloss dominate the stream of transmission to the tune of 97%?)
[5] δηλον **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ --- ℵA,048 [2%] NU
[6] διατροφας **f**[35] ℵA [90%] RP,HF,OC,TR,CP,NU ¦ διατροφην 048[v] [10%]
[7] αρκεσθησομεθα *rell* ¦ αρκεσθησωμεθα [5%] CP
[8] ανοητους *rell* ¦ ανονητους [3%] CP
[9] απεπλανηθησαν *rell* ¦ αποπλανηθησαν CP
[10] του **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ --- ℵA,I [2%] NU
[11] πραοτητα **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ πραυτητα [2%] ¦ πραυπαθιαν ℵA [3%] NU
[12] και **f**[35] [40%] OC,TR ¦ --- ℵA [60%] RP,HF,CP,NU (OC has small type.)
[13] ωμολογησας *rell* ¦ ομολογησας [10%]
[14] σοι **f**[35] A [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- ℵ [2%]
[15] ζωοποιουντος **f**[35] ℵ [95%] RP,HF,OC,TR,CP ¦ ζωογονουντος A [5%] NU
[16] ανεπιληπτον **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ανεπιλημπτον ℵ [3%] NU
[17] δειξει *rell* ¦ δειξη [2%] CP ¦ δειξαι [1%]
[18] και **f**[35] ℵA [85%] RP,HF,OC,TR,NU ¦ --- [15%] CP

To the rich

17 Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι[1] ἐπὶ πλούτου ἀδηλότητι ἀλλ᾽ ἐν[2] τῷ[3] Θεῷ τῷ ζῶντι,[4] τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως[5] εἰς ἀπόλαυσιν· **18** ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι κοινωνικούς **19**—ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου[6] ζωῆς.

A closing exhortation

20 Ὦ Τιμόθεε, τὴν παραθήκην[7] φύλαξον, ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως **21**—ἣν τινες ἐπαγγελλόμενοι περὶ τὴν πίστιν ἠστόχησαν.

Ἡ χάρις μετὰ σοῦ.[8] Ἀμήν.[9,10]

---

[1] ηλπικεναι *rell* ¦ ελπικεναι [10%] ¦ ελπιζειν [2%]

[2] εν **f**^{35} (78.6%) RP,HF,OC,TR,CP ¦ επι ℵA,I (19.8%) NU ¦ --- (0.3%) ¦ three other variants (1.2%) (This and the following two sets are all handled together in *TuT* as a single set, but with thirteen variants; I separated them so as to highlight the basic choices.)

[3] τω **f**^{35} A,I (91.7%) RP,HF,OC,TR,CP ¦ --- ℵ (7.1%) NU ¦ three other variants (1.2%)

[4] τω ζωντι **f**^{35} (88.4%) RP,HF,OC,TR,CP ¦ 2 (3.6%) ¦ --- ℵA,I (6.8%) NU ¦ three other variants (1.2%) (If the original form were επι θεω, as in NU, who would change it to the longer, more complex form? The choice of NU is surely inferior.)

[5] παντα πλουσιως **f**^{35} ℵ [92%] RP,HF,OC,CP,NU ¦ 2 [1%] ¦ ~ 21 [5%] TR ¦ τα 12 A [2%]

[6] αιωνιου **f**^{35} [92%] RP,OC,TR,CP ¦ αινωιου HF ¦ οντως ℵA [6%] NU ¦ οντως 1 [2%]

[7] παραθηκην **f**^{35} ℵA [80%] RP,HF,NU ¦ παρακαταθηκην [20%] OC,TR,CP

[8] μετα σου **f**^{35} 048 [97%] RP,HF,OC,TR,CP ¦ μεθ υμων ℵA [3%] NU (The letter is addressed to a single individual, and in case anyone should forget, the previous verse begins with "O Timothy". The Alexandrian variant is clearly in error. To trot out the 'harder reading' canon in a case like this I consider to be irresponsible.)

[9] αμην **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ --- ℵA [3%] NU

[10] The citation of **f**^{35} is based on thirty-seven MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 959, 986, 1072, 1075, 1100, 1247, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897 [1:1-3:16], 2080, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 1761 and 2554 are 'perfect' representatives of **f**^{35} in 1 Timothy, as they stand, and the exemplars of 444 and 2466 probably were. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Athens, Mt. Athos [eight different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A^{27}, supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. But I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β΄

Greeting

1:1 Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ[1] διὰ θελήματος Θεοῦ, κατ᾽ ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ, **2** Τιμοθέῳ, ἀγαπητῷ τέκνῳ· Χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

Paul addresses Timothy's spiritual crisis

Paul encourages Timothy

1:3 Χάριν ἔχω τῷ Θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσίν μου, νυκτὸς καὶ ἡμέρας, **4** ἐπιποθῶν σε ἰδεῖν (μεμνημένος σου τῶν δακρύων), ἵνα χαρᾶς πληρωθῶ·[2] **5** ὑπόμνησιν λαμβάνων[3] τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως—ἥτις ἐνῴκησεν πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι[4] καὶ τῇ μητρί σου Εὐνείκῃ,[5] πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. **6** Δι᾽ ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου. **7** Οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ Θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ.

Don't be ashamed to suffer for Christ

8 Μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ, ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ κατὰ δύναμιν Θεοῦ **9**—τοῦ σώσαντος ἡμᾶς καὶ καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν ἀλλὰ κατ᾽[6] ἰδίαν πρόθεσιν καὶ χάριν, τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων, **10** φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ,[7] καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου· **11** εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν.[8] **12** Δι᾽ ἣν αἰτίαν καὶ ταῦτα πάσχω, ἀλλ᾽ οὐκ ἐπαισχύνομαι, οἶδα γὰρ ᾧ πεπίστευκα καὶ πέπεισμαι ὅτι δυνατός ἐστιν τὴν παραθήκην[9] μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν.

Be loyal—the example of Onesiphorus

13 Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων ὧν παρ᾽ ἐμοῦ ἤκουσας, ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ. **14** Τὴν καλὴν παραθήκην[10] φύλαξον διὰ Πνεύματος Ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν.

15 Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ, ὧν ἐστιν Φύγελλος[11] καὶ Ἑρμογένης. **16** Δώῃ ἔλεος ὁ Κύριος τῷ Ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξεν καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη·[12] **17** ἀλλὰ γενόμενος ἐν Ῥώμῃ σπουδαιότερον[13] ἐζήτησέν με καὶ εὗρεν **18** (δώῃ αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ)· καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησεν βέλτιον σὺ γινώσκεις.

---

[1] ιησου χριστου **f**[35] A [60%] RP,TR ¦ ~ 21 ℵ [40%] HF,OC,NU ¦ --- CP[?]

[2] πληρωθω **f**[35] ℵA,C [90%] RP,HF,OC,TR,NU ¦ πλησθω [10%] CP

[3] λαμβανων **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ λαβων ℵA,C [4%] NU

[4] λωιδι *rell* ¦ λοιδι [3%] ¦ λωιδη [2%] CP

[5] ευνεικη **f**[35] [50%] TR ¦ ευνικη ℵA,C [45%] RP,HF,OC,CP,NU ¦ ευνηκη [5%]

[6] κατ **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ κατα ℵA,C [5%] NU

[7] ιησου χριστου **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 ℵA [3%] NU

[8] εθνων **f**[35] C (99%) RP,HF,OC,TR,CP ¦ --- ℵA,I (1%) NU (It is improbable that NU could be correct here; even the Coptic abandons them.)

[9] παραθηκην **f**[35] ℵA,C [85%] RP,HF,OC,TR,NU ¦ παρακαταθηκην [15%] CP

[10] παραθηκην **f**[35] ℵA,C [90%] RP,HF,OC,CP,NU ¦ παρακαταθηκην [10%] TR

[11] φυγελλος **f**[35] A [60%] OC,TR ¦ φυγελος ℵC [35%] RP,HF,CP,NU ¦ φρυγελλος [5%]

[12] επησχυνθη **f**[35] ℵ [50%] TR ¦ επαισχυνθη A,C [49%] RP,HF,OC,CP,NU ¦ καταισχυνθη [1%] (Apparently we have alternate forms of the aorist passive indicative, so the meaning is the same.)

[13] σπουδαιοτερον **f**[35] (94.3%) RP,HF,OC,TR,CP ¦ σπουδαιοτερως A (1.7%) ¦ σπουδαιως ℵ(C) (3.8%) NU ¦ one other variant (0.2%)

Be strengthened

2:1 Σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ. **2** Καί, ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι.

3 Σὺ οὖν κακοπάθησον[1] ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ.[2] **4** Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις,[3] ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. **5** Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται ἐὰν μὴ νομίμως ἀθλήσῃ **6**—τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. **7** Νόει ἃ[4] λέγω· δῴη[5] γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσιν.

Encouragement by example

8 Μνημόνευε Ἰησοῦν Χριστόν, ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυίδ· κατὰ τὸ εὐαγγέλιόν μου, **9** ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος, ἀλλ᾽[6] ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. **10** Διὰ τοῦτο πάντα ὑπομένω· διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσιν τῆς ἐν Χριστῷ Ἰησοῦ, μετὰ δόξης αἰωνίου. **11** Πιστὸς ὁ λόγος· Εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν· **12** εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· εἰ ἀρνούμεθα,[7] κἀκεῖνος ἀρνήσεται ἡμᾶς· **13** εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει—ἀρνήσασθαι[8] ἑαυτὸν οὐ δύναται.

14 Ταῦτα ὑπομίμνησκε, διαμαρτυρόμενος ἐνώπιον τοῦ Κυρίου[9] μὴ λογομαχεῖν εἰς[10] οὐδὲν χρήσιμον—ἐπὶ καταστροφῇ τῶν ἀκουόντων.

Approved and disapproved

15 Σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ Θεῷ, ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. **16** Τὰς δὲ βεβήλους κενοφωνίας περιΐστασο, ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας, **17** καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει—ὧν ἐστιν Ὑμέναιος καὶ Φιλητός, **18** οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν[11] ἀνάστασιν ἤδη γεγονέναι· καὶ ἀνατρέπουσιν τήν τινων πίστιν.

19 Ὁ μέντοι στερεὸς θεμέλιος τοῦ Θεοῦ ἕστηκεν, ἔχων τὴν σφραγῖδα ταύτην· «Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ,» καὶ ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου.[12] **20** Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστιν μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα· καὶ ἃ μὲν εἰς τιμήν, ἃ δὲ εἰς ἀτιμίαν. **21** Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμήν, ἡγιασμένον καὶ[13] εὔχρηστον τῷ Δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.

The true source of opposition

22 Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε· δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην, μετὰ τῶν ἐπικαλουμένων τὸν Κύριον ἐκ καθαρᾶς καρδίας. **23** Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς ὅτι γεννῶσιν μάχας. **24** Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι ἀλλ᾽[14] ἤπιον εἶναι

---

[1] συ ουν κακοπαθησον **f**^{35} (94.1%) RP,HF,OC,TR,CP ¦ συγκακοπαθησον ℵ(A,C)I (3.8%) NU ¦ conflation (1.6%) ¦ three other variants (0.5%) (The Alexandrians missed the point, creating an inferior reading. The joint suffering was handled in 1:8.)

[2] ιησου χριστου **f**^{35} [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 ℵA,C [5%] NU

[3] πραγματειαις **f**^{35} [90%] RP,HF,OC,TR,CP,NU ¦ πραγματιαις ℵA,C [10%]

[4] α **f**^{35} [98%] RP,HF,OC,TR,CP ¦ ο ℵA,C [2%] NU

[5] δωη **f**^{35} [95%] RP,HF,OC,TR,CP ¦ δωσει ℵA,C [5%] NU (The immediately following γαρ presumably motivated the Alexandrian alteration.)

[6] αλλ *rell* ¦ αλλα ℵA,C [2%] NU

[7] αρνουμεθα **f**^{35} [95%] RP,HF,OC,TR,CP ¦ αρνησομεθα ℵA,C,048 [5%] NU (A little assimilation by attraction to the following future?)

[8] αρνησασθαι **f**^{35} [85%] RP,HF,OC,TR,CP ¦ 1 γαρ ℵA^{v},C,048^{v} [15%] NU

[9] κυριου **f**^{35} A,048 [87%] RP,HF,OC,TR,CP ¦ θεου ℵC,I [10%] NU ¦ χριστου [3%]

[10] εις **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ επ ℵA,C,I,048 [3%] NU

[11] την **f**^{35} A,C [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- ℵ048 [2%]

[12] κυριου **f**^{35} ℵA,C [90%] RP,HF,OC,CP,NU ¦ χριστου [10%] TR

[13] και **f**^{35} C [97%] RP,HF,OC,TR,CP ¦ --- ℵA,048 [3%] NU

[14] αλλ *rell* ¦ αλλα ℵA [2%] NU

πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον, **25** ἐν πρᾳότητι[1] παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δῷ[2] αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας **26** καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος (ἐζωγρημένοι ὑπ᾽ αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα).

Paul addresses Timothy's future ministry

What relativistic humanism produces

3:1 Τοῦτο δὲ γίνωσκε· ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί· **2** ἔσονται γὰρ οἱ[3] ἄνθρωποι φίλαυτοι, φιλάργυροι,[4] ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, **3** ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, **4** προδόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ Φιλόθεοι· **5** ἔχοντες μόρφωσιν εὐσεβείας τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι.

Καὶ τούτους ἀποτρέπου· **6** ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύοντες[5] εἰς τὰς οἰκίας καὶ αἰχμαλωτίζοντες[6] γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις, **7** πάντοτε μανθάνοντα καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα. **8** Ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσῇ,[7] οὕτως καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ—ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν, ἀδόκιμοι περὶ τὴν πίστιν—**9** ἀλλ᾽ οὐ προκόψουσιν ἐπὶ πλεῖον,[8] ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο.

"Continue in the things you have learned"

10 Σὺ δὲ παρηκολούθηκάς[9] μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ· **11** τοῖς διωγμοῖς, τοῖς παθήμασιν οἷά μοι ἐγένετο[10] ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις—οἵους διωγμοὺς ὑπήνεγκα· καὶ ἐκ πάντων με ἐρρύσατο ὁ Κύριος. **12** Καί, πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται· **13** πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι.

14 Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ οἷς[11] ἐπιστώθης,[12] εἰδὼς παρὰ τίνος[13] ἔμαθες, **15** καὶ ὅτι ἀπὸ βρέφους τὰ[14] Ἱερὰ Γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ. **16** Πᾶσα Γραφὴ Θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον,[15] πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, **17** ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.[16]

---

[1] πραοτητι **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ πραυτητι ℵA,C [5%] NU

[2] δω **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ δωη ℵA,C [3%] NU

[3] οι *rell* ¦ --- ℵ [5%] CP

[4] φιλαργυροι *rell* ¦ φυλαργυροι CP

[5] ενδυοντες **f**[35] [20%] ¦ ενδυνοντες ℵA,C [77%] RP,HF,OC,TR,CP,NU ¦ εισδυνοντες [3%] (ενδυνω or ενδυω? The basic meaning of ενδυω is 'to enter', which over time was obscured by the statistically predominant use with reference to entering clothes (in English we speak of 'putting on' clothes), except that for this use the verb is normally in the middle voice, not the active, as here. But in the context the description of such persons, given in verses 2-5, does not agree with 'sneaking' or 'worming'—they enter openly, exuding confidence and competence. ενδυω is probably correct.)

[6] αιχμαλωτιζοντες **f**[35] ℵA,C [50%] OC,CP,NU ¦ αιχμαλωτευοντες [45%] RP,HF,TR ¦ αιχμαλωτευον [5%]

[7] γυναικαρια **f**[35] ℵA,C [85%] RP,HF,OC,CP,NU ¦ τα 1 [15%] TR

[8] πλειον **f**[35] ℵA,C [90%] RP,HF,OC,TR,NU ¦ πλειστον [10%] CP

[9] παρηκολουθηκας **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ παρηκολουθησας ℵA,C [3%] NU

[10] εγενετο *rell* ¦ εγενοντο A [5%] OC,CP

[11] οις **f**[35] [20%] ¦ --- ℵA,C [80%] RP,HF,OC,TR,CP,NU

[12] επιστωθης **f**[35] ℵA,C [87%] RP,HF,OC,TR,CP,NU ¦ επιστευθης [10%] ¦ επιστοθης [3%]

[13] τινος **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ τινων ℵA,C [4%] NU

[14] τα **f**[35] A,C [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- ℵ [2%]

[15] ελεγχον **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ ελεγμον ℵA,C,I [4%] NU

[16] εξηρτισμενος *rell* ¦ εξηρτημενος [10%] ¦ εξηρτιμενος [5%] ¦ εξηρτυμενος CP[?]

Proclaim the Word!

4:1 Διαμαρτύρομαι οὖν ἐγώ,[1] ἐνώπιον τοῦ Θεοῦ καὶ τοῦ Κυρίου[2] Ἰησοῦ Χριστοῦ,[3] τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς, κατὰ[4] τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ· **2** Κήρυξον τὸν Λόγον· ἐπίστηθι εὐκαίρως ἀκαίρως· ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον, ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ. **3** Ἔσται γὰρ καιρὸς ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται· ἀλλὰ κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας[5] ἑαυτοῖς ἐπισωρεύσουσιν διδασκάλους κνηθόμενοι τὴν ἀκοήν **4**—καί, ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται. **5** Σὺ δὲ νῆφε ἐν πᾶσιν, κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον.

Timothy will no longer have Paul to help him

6 Ἐγὼ γὰρ ἤδη σπένδομαι καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως[6] ἐφέστηκεν. **7** Τὸν ἀγῶνα τὸν καλὸν[7] ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα. **8** Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος Κριτής· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσιν τοῖς ἠγαπηκόσιν τὴν ἐπιφάνειαν αὐτοῦ.

Concluding remarks

"Please come quickly"

4:9 Σπούδασον ἐλθεῖν πρός με ταχέως· **10** Δημᾶς γάρ με ἐγκατέλιπεν,[8] ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην—Κρίσκης[9] εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν.[10] **11** Λουκᾶς ἐστιν μόνος μετ᾽ ἐμοῦ. Μᾶρκον ἀναλαβὼν ἄγε[11] μετὰ σεαυτοῦ, ἔστιν γάρ μοι εὔχρηστος εἰς διακονίαν. **12** Τυχικὸν δὲ ἀπέστειλα εἰς Ἔφεσον. **13** Τὸν φελόνην[12] ὃν ἀπέλιπον[13] ἐν Τρῳάδι παρὰ Κάρπῳ ἐρχόμενος φέρε—καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας. **14** Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο· ἀποδῴη[14] αὐτῷ ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ· **15** ὃν καὶ σὺ φυλάσσου, λίαν γὰρ ἀνθέστηκεν[15] τοῖς ἡμετέροις λόγοις.

People will disappoint you

16 Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο,[16] ἀλλὰ πάντες με ἐγκατέλιπον.[17] Μὴ αὐτοῖς λογισθείη. **17** Ὁ δὲ Κύριός μοι παρέστη καὶ ἐνεδυνάμωσέν με, ἵνα δι᾽ ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ καὶ ἀκούσῃ[18] πάντα τὰ ἔθνη. Καὶ ἐρρύσθην ἐκ στόματος λέοντος· **18** καὶ[19] ῥύσεταί με ὁ Κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

[1] ουν εγω **f**[35] (85.9%) RP,HF,OC,TR,CP ¦ 1 (4%) ¦ 2 (1%) ¦ --- ℵA,C,I (9.1%) NU
[2] του κυριου **f**[35] [90%] RP,HF,OC,TR ¦ 2 [3%] ¦ --- ℵA,C [5%] NU ¦ 12 ημων [2%] CP
[3] ιησου χριστου **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 ℵA,C [5%] NU
[4] κατα **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ και ℵA,C [3%] NU
[5] επιθυμιας τας ιδιας **f**[35] (69.8%) RP,HF,OC,TR,CP ¦ ~ 31 ℵA,C (30.1%) NU ¦ one other reading (0.2%)
[6] εμης αναλυσεως **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 2 μου ℵA,C [5%] NU
[7] αγωνα τον καλον **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ ~ 31 ℵA,C [4%] NU
[8] εγκατελιπεν *rell* ¦ εγκατελειπεν A,C [15%]
[9] κρισκης **f**[35] [60%] CP ¦ κρησκης ℵA,C [40%] RP,HF,OC,TR,NU
[10] δαλματιαν *rell* ¦ δελματιαν C [8%] ¦ δερματιαν A [2%]
[11] αγε **f**[35] ℵC [85%] RP,HF,OC,TR,NU ¦ αγαγε A [15%] CP
[12] φελονην **f**[35] ℵA,C [65%] RP,CP ¦ φαιλονην [29%] HF,OC,TR,NU ¦ φελωνην [5%] ¦ φαιλωνην [1%]
[13] απελιπον *rell* ¦ απελειπον A,C [15%] ¦ απεστειλα [2%]
[14] αποδωη **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ αποδωσει ℵA,C [10%] NU
[15] ανθεστηκεν **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ αντεστη ℵA,C [3%] NU
[16] συμπαρεγενετο **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ παρεγενετο ℵA,C [4%] NU
[17] εγκατελιπον *rell* ¦ εγκατελειπον A,C [15%]
[18] ακουση **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ ακουσωσιν ℵA,C [10%] NU
[19] και **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ --- ℵA,C [4%] NU

Farewell

19 Ἄσπασαι Πρίσκαν[1] καὶ Ἀκύλαν, καὶ τὸν Ὀνησιφόρου οἶκον. **20** Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ, Τρόφιμον δὲ ἀπέλιπον[2] ἐν Μιλήτῳ ἀσθενοῦντα. **21** Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν. Ἀσπάζεταί σε Εὔβουλος, καὶ Πούδης καὶ Λίνος καὶ Κλαυδία καὶ οἱ ἀδελφοὶ πάντες. **22** Ὁ Κύριος Ἰησοῦς Χριστὸς[3] μετὰ τοῦ πνεύματός σου. Ἡ χάρις μεθ᾽ ὑμῶν. Ἀμήν.[4,5]

---

[1] πρισκαν **f**^{35} ℵA,C [85%] RP,HF,OC,TR,NU ¦ πρισκιλλαν [15%] CP

[2] απελιπον *rell* ¦ απελειπον C [15%]

[3] κυριος ιησους χριστος **f**^{35} C [94%] RP,HF,OC,TR,CP ¦ 12 A [3%] ¦ 1 ℵ [3%] NU

[4] αμην **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ --- ℵA,C [3%] NU

[5] The citation of **f**^{35} is based on thirty-six MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 959, 986, 1072, 1075, 1100, 1247, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 2080, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 824, 1072 and 1864 are 'perfect' representative of **f**^{35} in 2 Timothy, as they stand, as were the exemplars of 1503, 1075, 1865 and 2723. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Athens, Mt. Athos [seven different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A^{27}, supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. But I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

ΠΡΟΣ ΤΙΤΟΝ

Greeting

1:1 Παῦλος, δοῦλος Θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ᾽ εὐσέβειαν, **2** ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου—ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων, **3** ἐφανέρωσεν δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι, ὃ ἐπιστεύθην ἐγὼ κατ᾽ ἐπιταγὴν τοῦ Σωτῆρος ἡμῶν Θεοῦ· **4** Τίτῳ, γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν· χάρις, ἔλεος,[1] εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ,[2] τοῦ Σωτῆρος ἡμῶν.

Qualifications for elders

1:5 Τούτου χάριν κατέλιπόν[3] σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους ὡς ἐγώ σοι διεταξάμην **6**—εἴ τίς ἐστιν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ, τέκνα ἔχων πιστά, μὴ ἐν κατηγορίᾳ ἀσωτίας[4] ἢ ἀνυπότακτα. **7** Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς Θεοῦ οἰκονόμον· μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ· **8** ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ· **9** ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.

They must face opposition

10 Εἰσὶν γὰρ πολλοὶ καὶ[5] ἀνυπότακτοι,[6] ματαιολόγοι καὶ φρεναπάται, μάλιστα οἱ ἐκ[7] περιτομῆς, **11** οὓς δεῖ ἐπιστομίζειν—οἵτινες ὅλους οἴκους[8] ἀνατρέπουσιν, διδάσκοντες ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους χάριν. **12** Εἶπέν τις ἐξ αὐτῶν, ἴδιος αὐτῶν προφήτης, «Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.» **13** Ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής. Δι᾽ ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει, **14** μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις καὶ ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν. **15** Πάντα μὲν[9] καθαρὰ τοῖς καθαροῖς· τοῖς δὲ μεμιασμένοις[10] καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. **16** Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

Qualities to be taught

2:1 Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ· **2** πρεσβύτας νηφαλίους[11] εἶναι, σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ· **3** πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους **4**—ἵνα σωφρονίζωσιν τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους, **5** σώφρονας, ἁγνάς, οἰκουροὺς[12] ἀγαθάς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται.[13]

6 Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν, **7** περὶ πάντα σεαυτὸν παρεχόμενος

---

[1] χαρις ελεος **f**^{35} A (91.3%) RP,HF,OC,TR,CP ¦ 12 και (2.1%) ¦ ~ 21 και (1.7%) ¦ 1 και ℵC,088 (4.2%) NU ¦ 1 (0.5%) ¦1 υμιν και (0.2%) (Three nouns in a row without a conjunction was too much for the Alexandrians.)

[2] κυριου ιησου χριστου **f**^{35} [95%] RP,HF,OC,TR,CP ¦ ~ 32 ℵA,C,088 [5%] NU

[3] κατελιπον **f**^{35} [70%] RP,HF,OC,TR,CP ¦ απελιπον ℵ [9%] NU ¦ απελειπον A,C,088,0240 [20%] ¦ καταλειποντα [1%]

[4] ασωτιας *rell* ¦ ασωτειας [10%] CP

[5] και **f**^{35} I [80%] RP,HF,OC,TR,CP[NU] ¦ --- ℵA,C,088 [20%] (OC has small print.)

[6] ανυποτακτοι *rell* ¦ 1 και [10%]

[7] εκ **f**^{35} A [95%] RP,HF,OC,TR,CP ¦ 1 της ℵC,I,088 [5%] NU

[8] ολους οικους *rell* ¦ ~ 21 CP

[9] μεν **f**^{35} [96%] RP,HF,OC,TR,CP ¦ --- ℵA,C [4%] NU (OC has small print.)

[10] μεμιασμενοις **f**^{35} [90%] RP,HF,TR ¦ μεμιαμμενοις ℵA,C [8%] OC,NU ¦ μεμιαμενοις [2%] CP (Did the Alexandrians get their spelling from the LXX?)

[11] νηφαλιους **f**^{35} ℵA,C [40%] OC,TR,CP,NU ¦ νηφαλεους [40%] RP,HF ¦ νηφαλαιους [20%]

[12] οικουρους **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ οικουργους ℵA,C,I [3%] NU (Who knows where the Alexandrians got their spelling, but the mystery doesn't make it correct.)

[13] βλασφημηται *rell* ¦ βλασφημειται [5%] CP

τύπον καλῶν ἔργων· ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν,[1] σεμνότητα, ἀφθαρσίαν[2] **8**—λόγον ὑγιῆ, ἀκατάγνωστον—ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν ἔχων περὶ ἡμῶν[3] λέγειν[4] φαῦλον. **9** Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι ἐν πᾶσιν, εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, **10** μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν[5] ἐνδεικνυμένους ἀγαθήν, ἵνα τὴν διδασκαλίαν[6] τοῦ Σωτῆρος ἡμῶν[7] Θεοῦ κοσμῶσιν ἐν πᾶσιν.

Saving grace

11 Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ[8] σωτήριος πᾶσιν ἀνθρώποις, **12** παιδεύουσα ἡμᾶς ἵνα, ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, **13** προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, **14** ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων. **15** Ταῦτα λάλει καὶ παρακάλει καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς. Μηδείς σου περιφρονείτω.

The difference the Gospel makes

3:1 Ὑπομίμνῃσκε αὐτοὺς ἀρχαῖς καὶ[9] ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, **2** μηδένα βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πρᾳότητα[10] πρὸς πάντας ἀνθρώπους. **3** Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους.

What a marvelous salvation!

4 Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ **5**—οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν[11] ἐποιήσαμεν ἡμεῖς ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον[12]—ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος Ἁγίου, **6** οὗ ἐξέχεεν ἐφ᾽ ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν, **7** ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι κληρονόμοι γενώμεθα[13] κατ᾽ ἐλπίδα ζωῆς αἰωνίου.

So let's do good

8 Πιστὸς ὁ λόγος, καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσιν καλῶν

---

[1] αδιαφθοριαν **f**[35] (83.2%) RP,HF,OC,TR,CP ¦ αδιαφοριαν **f**[35pt] (8%) ¦ αφθοριαν ℵA(C) (6.9%) NU ¦ αφθονιαν 𝔓[32] (1.4%) ¦ two other readings (0.5%) (αδιαφορια, 'indifference/ carelessness', was a common word in classical Greek, while αδιαφθορια, 'integrity', apparently did not exist in classical Greek, and some scribes may have written the more common word without thinking. Also, φθ → φ would be an easier alteration than the reverse, being a predictable phonetic simplification; also, the double consonant is more difficult to pronounce. 91.9% of all extant Greek manuscripts have the double consonant, although 8.3% do so in a shorter form of the word. In any case, it is scarcely credible that Paul would tell Titus to teach with indifference or carelessness, so those who read the shorter form would presumably give it a derived meaning of impartiality. According to my presuppositions, both the Holy Spirit and the apostle Paul were good at Greek, so if they meant to say 'integrity', they would use the word with that basic meaning.)

[2] αφθαρσιαν **f**[35] (82.8%) RP,HF,OC,TR,CP ¦ --- 𝔓[32v]ℵA,C (17.2%) NU (The idea of 'immortality' didn't seem to fit, so the Alexandrians omitted it.)

[3] ημων **f**[35] ℵC [80%] RP,HF,OC,CP,NU ¦ υμων A [20%] TR

[4] περι ημων λεγειν **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 312 ℵA,C [5%] NU

[5] πιστιν πασαν **f**[35] (89.6%) RP,HF,OC,TR,CP ¦ ~ 21 A,C (9.7%) NU ¦ 2 ℵ (0.5%) ¦ --- (0.2%)

[6] διδασκαλιαν **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ 1 την ℵA,C [5%] NU (Why add the article?)

[7] ημων *rell* ¦ υμων some TRs

[8] η **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ --- (ℵ)A,C [4%] NU

[9] και **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- ℵA,C [5%] NU (OC has small print.)

[10] πραοτητα **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ πραυτητα A,C [3%] NU ¦ σπουδην τα ℵ (Aleph really got lost.)

[11] ων **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ α ℵA,C [3%] NU (The Alexandrians confused the referent.)

[12] τον αυτου ελεον **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ το αυτου ελεος ℵA [4%] NU ¦ το ελεος αυτου [1%] (Liddell & Scott give the masculine as the original form, with the neuter appearing later.)

[13] γενωμεθα **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ γενηθωμεν ℵA,C [4%] NU (The middle voice is presumably correct.)

ἔργων προϊστασθαι οἱ πεπιστευκότες τῷ[1] Θεῷ. Ταῦτά ἐστιν τὰ[2] καλὰ καὶ ὠφέλιμα[3] τοῖς ἀνθρώποις. **9** Μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας καὶ ἔρις[4] καὶ μάχας νομικὰς περιΐστασο, εἰσὶν γὰρ ἀνωφελεῖς καὶ μάταιοι.

10 Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, **11** εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος.

Farewell

12 Ὅταν πέμψω Ἀρτεμᾶν πρός σε ἢ Τυχικόν, σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν, ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι. **13** Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ[5] σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ. **14** Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι, εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι.

15 Ἀσπάζονταί σε οἱ μετ᾽ ἐμοῦ πάντες. Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.[6,7]

---

[1] τω **f**[35] [50%] OC,TR ¦ --- ℵA,C [50%] RP,HF,CP,NU

[2] τα **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ --- ℵA,C,I [10%] NU

[3] ωφελιμα *rell* ¦ ωφελημα [30%]

[4] ερις **f**[35] [20%] ¦ εριν ℵ [1%] ¦ ερεις A,C [75%] RP,HF,OC,TR,CP,NU ¦ ερειν [2%] ¦ εριδας [2%]

[5] απολλω **f**[35] C [95%] RP,HF,OC,TR,CP ¦ απολλων ℵ [4%] NU ¦ απολλωνα [1%]

[6] αμην **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- ℵA,C,048 [5%] NU

[7] The citation of **f**[35] is based on thirty-six MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 959, 986, 1072, 1075, 1100, 1247, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 2080, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 35, 1072, 1503, 1855, 1864, 1892, 2080, 2587 and 2723 are 'perfect' representatives of **f**[35] in Titus, as they stand, and the exemplars of another four probably were too. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Athens, Mt. Athos [seven different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A[27], supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. But I guarantee the witness of Family 35.

ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ

Greeting

1 Παῦλος, δέσμιος Ἰησοῦ Χριστοῦ,[1] καὶ Τιμόθεος ὁ ἀδελφός, Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ
ἡμῶν, **2** καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ[2] καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν, καὶ τῇ κατ᾽ οἶκόν σου ἐκκλη-
σίᾳ· **3** Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Paul commends Philemon

4 Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, **5** ἀκούων
σου τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν Κύριον Ἰησοῦν, καὶ εἰς πάντας τοὺς ἁγίους,
6 ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς[3] ἀγαθοῦ τοῦ ἐν ὑμῖν[4]
εἰς Χριστὸν Ἰησοῦν·[5] **7** χάριν[6] γὰρ[7] ἔχομεν[8] πολλὴν[9] καὶ παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ
σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ.

Paul intercedes for Onesimus

8 Διό, πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον, **9** διὰ τὴν ἀγάπην
μᾶλλον παρακαλῶ—τοιοῦτος ὢν ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος Ἰησοῦ Χριστοῦ.[10]
10 Παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου,[11] Ὀνήσιμον **11**—τὸν
ποτέ σοι ἄχρηστον, νυνὶ δὲ[12] σοὶ καὶ ἐμοὶ εὔχρηστον—ὃν ἀνέπεμψα.

12 Σὺ δὲ[13] αὐτόν, τοῦτ᾽ ἔστιν τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ[14] **13**—ὃν ἐγὼ ἐβουλόμην πρὸς
ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ διακονῇ μοι,[15] ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου, **14** χωρὶς δὲ τῆς
σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι, ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ ἑκού-
σιον. **15** Τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς **16**—οὐκέτι ὡς
δοῦλον, ἀλλ᾽ ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητόν, μάλιστα ἐμοί, πόσῳ δὲ μᾶλλον σοί, καὶ ἐν σαρκὶ
καὶ ἐν Κυρίῳ.

Paul asks for obedience

17 Εἰ οὖν με[16] ἔχεις κοινωνόν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ. **18** Εἰ δέ τι ἠδίκησέν σε ἢ ὀφείλει,
τοῦτο ἐμοὶ ἐλλόγει.[17] **19** Ἐγώ, Παῦλος, ἔγραψα τῇ ἐμῇ χειρί, «Ἐγὼ ἀποτίσω» (ἵνα μὴ λέγω σοι
ὅτι καὶ σεαυτόν μοι προσοφείλεις.). **20** Ναὶ ἀδελφέ, ἐγώ σου ὀναίμην ἐν Κυρίῳ· ἀνάπαυσόν μου
τὰ σπλάγχνα ἐν Κυρίῳ.[18]

---

[1] ιησου χριστου **f**[35] [40%] ¦ ~ 21 ℵA [60%] RP,HF,OC,TR,CP,NU (Though Paul uses the sequence ‘Christ Jesus’ in verses 6 and 23, I take it that here and in verse 9 it is properly ‘Jesus Christ’—he alternates them.)

[2] αγαπητη **f**[35] (94.8%) RP,HF,OC,TR,CP ¦ αδελφη ℵA,I,048 (4.9%) NU ¦ conflations (0.3%)

[3] παντος **f**[35] ℵA,C [80%] RP,HF,OC,TR,NU ¦ 1 εργου [20%] CP

[4] υμιν **f**[35] ℵ [45%] TR ¦ ημιν A,C,048[v] [55%] RP,HF,OC,CP,NU (The 3rd person is correct. It is as Philemon understands the resources available in his local congregation that the sharing of his faith will become more powerful.)

[5] ιησουν **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ --- ℵA,C [2%] NU

[6] χαριν **f**[35] (88.1%) RP,HF,OC,TR ¦ χαραν ℵA,C,048 (11.9%) CP,NU (The first four words of verse seven offer four variant sets—observe how the attestation fluctuates, word by word.)

[7] γαρ **f**[35] ℵA,C,048 (86.3%) RP,HF,OC,TR,CP,NU ¦ δε (0.5%) ¦ --- (13.2%)

[8] εχομεν **f**[35] (84.7%) RP,HF,OC,TR,CP ¦ εχωμεν (4.2%) ¦ εσχον ℵA,C,048 (7.4%) NU ¦ εχω (2.5%) ¦ five other variants (1.3%)

[9] εχομεν πολλην **f**[35] (88.4%) RP,HF,OC,TR,CP ¦ ~ 21 ℵA,C,048 (10.5%) NU ¦ five other variants (1.1%)

[10] ιησου χριστου **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 ℵA,C [5%] NU

[11] μου **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ --- ℵA [3%] NU

[12] δε **f**[35] A,C [98%] RP,HF,OC,TR,CP ¦ 1 και ℵ [2%] [NU]

[13] συ δε **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ σοι ℵA,C [2%] NU ¦ σοι 12 [1%]

[14] προσλαβου **f**[35] C(048) (98.7%) RP,HF,OC,TR,CP ¦ --- ℵA (1.3%) NU

[15] διακονη μοι **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 ℵA,C [5%] NU

[16] με **f**[35] ℵA,C [90%] RP,HF,OC,CP,NU ¦ εμε [10%] TR

[17] ελλογει **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ελλογα ℵA,C,048 [5%] NU

[18] κυριω **f**[35] (74.3%) RP,HF,OC,TR,CP ¦ χριστω ℵA,C (20.3%) NU ¦ --- (3.3%) ¦ part of a larger omission (2.2%)

21 Πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ[1] λέγω ποιήσεις. **22** Ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν, ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν.

Farewell

23 Ἀσπάζονταί[2] σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ,[3] **24** Μᾶρκος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.

25 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν[4] Ἰησοῦ[5] μετὰ τοῦ πνεύματος ὑμῶν. Ἀμήν.[6,7]

[homoioteleuton] (The repetition of εν κυριω so soon bothered the Alexandrians' sense of style.)

[1] ο **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ α ℵA,C [3%] NU

[2] ασπαζονται **f**[35] [85%] RP,HF,TR,CP ¦ ασπαζεται ℵA,C [15%] OC,NU

[3] ιησου *rell* ¦ --- CP

[4] ημων **f**[35] A,C [98%] RP,HF,OC,TR,CP ¦ --- ℵ [2%] NU

[5] ιησου **f**[35] [20%] ¦ 1 χριστου ℵA,C [80%] RP,HF,OC,TR,CP,NU (Being a very personal letter, Paul is less formal.)

[6] αμην **f**[35] ℵC [98%] RP,HF,OC,TR,CP ¦ --- (𝔓[87])A,048[v] [2%] NU

[7] The citation of **f**[35] is based on thirty-six MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 959, 986, 1072, 1075, 1100, 1247, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 2080, 2466, 2554, 2587 and 2723—all of which I collated myself. All except 328, 394, 959, 986, 1892 and 2080 are 'perfect' representatives of **f**[35] in Philemon, as they stand, the others having a single variant each. The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Athens, Mt. Athos [seven different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A[27], supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ

The supremacy of the Son

1:1 Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, **2** ἐπ᾽ ἐσχάτου[1] τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκεν κληρονόμον πάντων, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν·[2] **3** ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι᾽ ἑαυτοῦ[3] καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν[4] ἡμῶν[5] ἐκάθισεν ἐν δεξιᾷ[6] τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, **4** τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων ὅσῳ διαφορώτερον παρ᾽ αὐτοὺς κεκληρονόμηκεν ὄνομα.

He is superior to angels

5 Τίνι γὰρ εἶπέν ποτε τῶν ἀγγέλων, «Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε,» καὶ πάλιν, «Ἐγὼ ἔσομαι αὐτῷ εἰς Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς Υἱόν»; **6** Ὅταν δέ, πάλιν, εἰσαγάγῃ τὸν Πρωτότοκον εἰς τὴν οἰκουμένην λέγει, «Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.» **7** Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, «Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα»· **8** πρὸς δὲ τὸν Υἱόν· «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·[7] ‹Ῥάβδος Εὐθύτητος› ἡ ῥάβδος[8] τῆς βασιλείας σου. **9** Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέν σε,[9] ὁ Θεός, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.» **10** Καί· «Σὺ κατ᾽ ἀρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί· **11** αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις—καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται· **12** καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς[10] καὶ ἀλλαγήσονται, σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.»

13 Πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέν ποτε, «Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου»; **14** Οὐχὶ πάντες εἰσὶν λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;

Do not neglect the great salvation

2:1 Διὰ τοῦτο, δεῖ περισσοτέρως ἡμᾶς προσέχειν[11] τοῖς ἀκουσθεῖσιν, μήποτε παραρρυῶμεν.[12] **2** Εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, **3** πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας;—ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, **4** συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις[13] καὶ τέρασιν καὶ ποικίλαις δυνάμεσιν καὶ Πνεύματος Ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν.

---

[1] εσχατου **f**[35] **𝔓**[46]א,B [95%] RP,HF,OC,CP,NU ¦ εσχατων [5%] TR

[2] τους αιωνας εποιησεν **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ~ 312 **𝔓**[46]א,B,I [3%] NU

[3] αυτου δι εαυτου **f**[35] (89.3%) RP,HF,OC,TR,CP ¦ 1 א,B (5.2%) NU ¦ 23 (1%) ¦ 121 (3.4%) ¦ ~ 21 **𝔓**[46] (0.3%) ¦ part of a larger omission [homoioteleuton] (0.7%)

[4] ποιησαμενος των αμαρτιων **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 231 **𝔓**[46]א,B [5%] NU

[5] ημων **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]א,B [3%] NU

[6] δεξια **f**[35] **𝔓**[46]א,B [90%] RP,HF,OC,TR,NU ¦ 1 του θρονου [10%] CP

[7] αιωνος **f**[35] (98.6%) RP,HF,OC,TR,CP ¦ 1 και η **𝔓**[46]א,B (1.4%) NU

[8] ευθυτητος η ραβδος **f**[35] (98.3%) RP,HF,OC,TR,CP ¦ της 13 **𝔓**[46]A,B (1.2%) NU ¦ 13 (0.3%) ¦ --- א (I take it that ‘Scepter of Uprightness’ is a proper name, like ‘Excalibur’; the Alexandrians missed it.)

[9] [Our earliest MS that is extant here, **𝔓**[46], does not have punctuation marks, and this is true of the earliest MSS in general. If they reflect the Autographs, then the noun phrase here is ambiguous between Vocative and Nominative. The Vocative has already occurred in verse 8.]

[10] αυτους **f**[35] (98.8%) RP,HF,OC,TR,CP ¦ 1 ως ιματιον **𝔓**[46]א,B (1.2%) NU

[11] ημας προσεχειν **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]א,B [5%] NU

[12] παραρρυωμεν **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ παραρυωμεν **𝔓**[46]א,B [10%] NU

[13] σημειοις **f**[35] [35%] ¦ 1 τε **𝔓**[46]א,B [65%] RP,HF,OC,TR,CP,NU

Temporarily lower than angels

5 Οὐ γὰρ ἀγγέλοις ὑπέταξεν τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν· **6** διεμαρτύρατο δέ πού τις λέγων· «Τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν; **7** Ἠλάττωσας αὐτὸν βραχύ τι παρ᾽ ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν,[1] **8** πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ.» Ἐν γὰρ τῷ[2] ὑποτάξαι αὐτῷ[3] τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα.

9 Τὸν δὲ ‹βραχύ τι παρ᾽ ἀγγέλους ἠλαττωμένον› βλέπομεν, Ἰησοῦν (διὰ τὸ πάθημα τοῦ θανάτου), ‹δόξῃ καὶ τιμῇ ἐστεφανωμένον›—ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου.

"Bringing many sons into glory"

10 Ἔπρεπεν γὰρ αὐτῷ, δι᾽ ὃν τὰ πάντα καὶ δι᾽ οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν Ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι. **11** Ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγια-ζόμενοι ἐξ ἑνὸς πάντες· δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, **12** λέγων, «Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου· ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε»· **13** καὶ πάλιν, «Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ᾽ αὐτῷ»· καὶ πάλιν, «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός.»

14 Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν σαρκὸς καὶ αἵματος,[4] καὶ αὐτὸς παραπλησίως μετέσχεν τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου—τοῦτ᾽ ἔστιν τὸν διάβολον—**15** καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. **16** (Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ[5] ἐπιλαμβάνεται.) **17** Ὅθεν ὤφειλεν κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεύς, τὰ πρὸς τὸν Θεόν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. **18** Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

The Apostle and High Priest of our confession

3:1 Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν Ἀπόστολον καὶ Ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν, Ἰησοῦν Χριστόν,[6] **2** πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν, ὡς καὶ Μωϋσῆς[7] ἐν ὅλῳ[8] τῷ οἴκῳ αὐτοῦ. **3** Πλείονος γὰρ δόξης οὗτος[9] παρὰ Μωϋσῆν ἠξίωται, καθ᾽ ὅσον[10] πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν **4**—πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος, ὁ δὲ τὰ[11] πάντα κατασκευάσας Θεός—**5** καί, Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων, εἰς μαρτύριον τῶν λαληθησομένων, **6** Χριστὸς δὲ ὡς Υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐάνπερ[12] τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν[13] κατάσχωμεν.

---

[1] αυτον **f**^{35} **𝔓**^{46}B (74.7%) RP,HF,OC,NU ¦ 1 και κατεστησας 1 επι τα εργα των χειρων σου ℵA,C (25.3%) TR,CP

[2] γαρ τω **f**^{35} **𝔓**^{46}A,C [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 ℵB [3%] NU

[3] αυτω **f**^{35} ℵA,C [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**^{46}B [2%]

[4] σαρκος και αιματος **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ ~ 321 **𝔓**^{46}ℵA,B,C [3%] NU

[5] ἁβρααμ **f**^{35} [40%] ¦ ἀβρααμ *rell* (This name is aspirated throughout the book, and the statement of evidence also obtains throughout the book.) [When Jehovah changed Abram's name to Abraham (Genesis 17:5) the intervocalic aspiration in Hebrew is adequately represented in English by 'h'; but so far as I know, there is no way in Greek to indicate intervocalic aspiration within a word—the only alternative to losing the aspiration altogether would be to place it at the beginning of the word.]

[6] ιησουν χριστον **f**^{35} [97%] RP,HF,OC,CP ¦ 1 **𝔓**^{46}ℵA,B,C [3%] NU ¦ ~ 21 TR

[7] μωυσης *rell* ¦ μωσης ℵA,B [10%] TR (TR has the short form of the name throughout the book; the attestation varies, but does not exceed 25%.)

[8] ολω **f**^{35} ℵA,C [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**^{13,46v}B [2%]

[9] δοξης ουτος **f**^{35} **𝔓**^{13} [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**^{46v}ℵA,B,C [3%] NU

[10] καθ᾽ ὁσον *rell* ¦ καθόσον **f**^{35} [30%] (I include this for the record, and so as not to lose sight of it, but since there is evidently no difference in meaning I stay with the conventional pointing. Because of the *theta* there is no ambiguity.)

[11] τα **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{13,46}ℵA,B,C [3%] NU

[12] εανπερ **f**^{35} **𝔓**^{46}A,C [97%] RP,HF,OC,TR,CP[NU] ¦ εαν **𝔓**^{13}B [3%] ¦ καν ℵ

[13] μεχρι τελους βεβαιαν **f**^{35} ℵA,C (98%) RP,HF,OC,TR,CP ¦ 3 (1.2%) ¦ --- **𝔓**^{13,46}B (0.8%) NU

The Holy Spirit's warning

7 Διό—καθὼς λέγει τὸ Πνεῦμα τὸ Ἅγιον· «Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, **8** μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, **9** οὗ ἐπείρασάν με[1] οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με[2] καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα[3] ἔτη. **10** Διὸ προσώχθισα[4] τῇ γενεᾷ ἐκείνῃ[5] καὶ εἶπον,[6] ‹Ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου›· **11** ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, ‹Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου› »—**12** βλέπετε, ἀδελφοί, μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος· **13** ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ ‹Σήμερον› καλεῖται, ἵνα μὴ σκληρυνθῇ ἐξ ὑμῶν τις[7] ἀπάτῃ τῆς ἁμαρτίας. **14** Μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ,[8] ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν, **15** ἐν τῷ λέγεσθαι, «Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ.» **16** Τίνες γὰρ ἀκούσαντες παρεπίκραναν; Ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωϋσέος;[9] **17** Τίσιν δὲ προσώχθισεν τεσσαράκοντα[10] ἔτη; Οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσεν[11] ἐν τῇ ἐρήμῳ; **18** Τίσιν δὲ ὤμοσεν μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασιν; **19** Καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν διὰ[12] ἀπιστίαν. **4:1** Φοβηθῶμεν οὖν, μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ[13] τις ἐξ ὑμῶν ὑστερηκέναι.

There is still a promised rest

2 Καί, γάρ ἐσμεν εὐηγγελισμένοι καθάπερ κἀκεῖνοι,[14] ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ συγκεκραμένους[15] τῇ πίστει τοῖς ἀκούσασιν. **3** Εἰσερχόμεθα γὰρ εἰς τὴν[16] κατάπαυσιν οἱ πιστεύσαντες, καθὼς εἴρηκεν, «Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, ‹Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου› »—καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων, **4** εἴρηκεν γάρ που περὶ τῆς ἑβδόμης οὕτως, «Καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ»· **5** καὶ ἐν τούτῳ, πάλιν, «Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.» **6** Ἐπεὶ οὖν ἀπολείπεται τινὰς εἰσελθεῖν εἰς αὐτήν, καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι' ἀπείθειαν, **7** πάλιν τινὰ ὁρίζει ἡμέραν, «Σήμερον,» ἐν Δαυὶδ λέγων, μετὰ τοσοῦτον χρόνον (καθὼς εἴρηται),[17] «Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.» **8** Εἰ γὰρ αὐτοὺς[18] Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας. **9** Ἄρα, ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. **10** Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.

We must give an account

11 Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις

---

[1] με **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[13,46]א A,B,C [3%] NU
[2] εδοκιμασαν με **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ εν δοκιμασια **𝔓**[13,46]א A,B,C [3%] NU
[3] τεσσαρακοντα **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ τεσσερακοντα (**𝔓**[13])**𝔓**[46]א A,B,C [3%] NU
[4] προσωχθισα *rell* ¦ προσωχθησα [15%]
[5] εκεινη **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ ταυτη **𝔓**[13,46]א A,B [3%] NU
[6] ειπον *rell* ¦ ειπα CP
[7] εξ υμων τις **f**[35] B [90%] RP,HF,OC,CP ¦ ~ 312 **𝔓**[13]א A,C [10%] TR,NU
[8] γεγοναμεν του χριστου **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 231 (**𝔓**[13])**𝔓**[46]א A,B,C [5%] NU
[9] μωυσεος **f**[35] [40%] CP ¦ μωυσεως א B,C [45%] RP,HF,OC,NU ¦ μωσεως A [15%] TR
[10] τεσσαρακοντα **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ τεσσερακοντα **𝔓**[46]א A,B,C [2%] NU
[11] επεσεν *rell* ¦ επεσον [18%] ¦ επεσαν [2%]
[12] δια **f**[35] C [40%] ¦ δι *rell*
[13] δοκη *rell* ¦ δοκει [25%]
[14] κακεινοι **f**[35] **𝔓**[46]א A,B,C [90%] RP,HF,OC,TR,NU ¦ εκεινοι [10%] CP
[15] συγκεκραμενους **f**[35] [83%] RP,HF,OC,CP [συγκεκραμμενους 10%] ¦ συγκεκραμενος TR ¦ συγκεκερασμενους (**𝔓**[46]A,B)C [7%] NU ¦ συνκεκερασμενος א
[16] την **f**[35] א A,C [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[13v,46]B [1%]
[17] ειρηται **f**[35] [92%] RP,HF,OC,TR,CP ¦ προειρηται **𝔓**[46]א A,C [5%] NU ¦ προειρηκεν B [3%]
[18] αυτους **f**[35] **𝔓**[46]א A,B,C [85%] RP,HF,OC,TR,NU ¦ 1 ο [5%] ¦ αυτος [10%] CP

ὑποδείγματι πέσῃ τῆς ἀπειθείας. **12** Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργής, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε[1] καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν· καί, κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. **13** Καὶ οὐκ ἔστιν κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος.

We have a Great High Priest

4:14 Ἔχοντες οὖν Ἀρχιερέα Μέγαν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. **15** Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον[2] δὲ κατὰ πάντα, καθ᾽ ὁμοιότητα, χωρὶς ἁμαρτίας. **16** Προσερχώμεθα[3] οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον[4] καὶ χάριν εὕρωμεν, εἰς εὔκαιρον βοήθειαν.

Qualifications for high priesthood

5:1 Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, **2** μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσιν καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν. **3** Καὶ διὰ ταύτην[5] ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτως καὶ περὶ ἑαυτοῦ[6] προσφέρειν ὑπὲρ[7] ἁμαρτιῶν. **4** Καί, οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλὰ[8] καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ[9] καὶ[10] Ἀαρών.

Christ meets the qualifications

5 Οὕτως καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασεν γενηθῆναι ἀρχιερέα, ἀλλ᾽ ὁ λαλήσας πρὸς αὐτόν, «Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε»· **6** καθὼς καὶ ἐν ἑτέρῳ λέγει, «Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ»· **7** ὅς, ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σῴζειν αὐτὸν ἐκ θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων, προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, **8** καίπερ ὢν Υἱός, ἔμαθεν ἀφ᾽ ὧν ἔπαθεν τὴν ὑπακοήν. **9** Καὶ τελειωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν[11] αἴτιος σωτηρίας αἰωνίου, **10** προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ Ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ· **11** περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος λέγειν, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς.

"Let's move on toward perfection"

12 Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τινὰ τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ, καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος, καὶ[12] οὐ στερεᾶς τροφῆς. **13** Πᾶς γὰρ ὁ μετέχων γάλακτος ἄπειρος λόγου δικαιοσύνης, νήπιος γάρ ἐστιν. **14** Τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

6:1 Διό, ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα,[13] μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων καὶ πίστεως ἐπὶ Θεόν, **2** βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου. **3** Καὶ τοῦτο ποιήσομεν[14]

---

[1] τε **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]א A,B,C [10%] NU
[2] πεπειραμενον **f**[35] C [98%] RP,HF,OC,TR,CP ¦ πεπειρασμενον **𝔓**[46v]א A,B [2%] NU
[3] προσερχωμεθα *rell* ¦ προσερχομεθα [25%]
[4] ελεον **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ ελεος **𝔓**[46]א A,B,C [4%] NU
[5] δια ταυτην **f**[35] (90.7%) RP,HF,OC,TR,CP ¦ δι αυτην **𝔓**[46]א A,B,C (6.2%) NU ¦ 1 ταυτης (1.9%) ¦ 1 ταυτα (1.2%)
[6] εαυτου **f**[35] א A,C [98%] RP,HF,OC,TR,CP ¦ αυτου **𝔓**[46]B [2%] NU
[7] υπερ **f**[35] (93.1%) RP,HF,OC,TR,CP ¦ περι **𝔓**[46]א A,B,C (6.4%) NU ¦ --- (0.5%)
[8] αλλα **f**[35] **𝔓**[46]א A,B,C [70%] RP,OC,CP,NU ¦ αλλ ο [30%] HF,TR
[9] καθαπερ **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ καθωσπερ **𝔓**[46]א A,B [3%] NU ¦ καθως C
[10] και **f**[35] **𝔓**[46]א A,B,C [95%] RP,HF,OC,CP,NU ¦ 1 ο [5%] TR
[11] τοις υπακουουσιν αυτω πασιν **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 4123 **𝔓**[46]א A,B,C [5%] NU
[12] και **f**[35] A,B [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]א C [2%]
[13] φερωμεθα *rell* ¦ φερομεθα [15%]
[14] ποιησομεν **f**[35] **𝔓**[46]א B,I[v] [40%] OC,TR,CP,NU ¦ ποιησωμεν A,C [59%] RP,HF ¦ ποιησαντες [1%]

ἐάνπερ ἐπιτρέπῃ[1] ὁ Θεός.

No one kills Jesus twice

4 Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου καὶ μετόχους γενηθέντας Πνεύματος Ἁγίου, **5** καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος, **6** καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν—ἀνασταυροῦντας ἑαυτοῖς τὸν Υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας.

7 Γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ᾽ αὐτῆς πολλάκις ἐρχόμενον[2] ὑετὸν καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι᾽ οὓς καὶ γεωργεῖται μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ· **8** ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος, καὶ κατάρας ἐγγύς, ἧς τὸ τέλος εἰς καῦσιν.

A word of encouragement

9 Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοί, τὰ κρείσσονα[3]—καὶ ἐχόμενα σωτηρίας—εἰ καὶ οὕτως λαλοῦμεν. **10** Οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κόπου[4] τῆς ἀγάπης ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες. **11** Ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδήν, πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος, ἄχρι τέλους· **12** ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας.

Our secure anchor

13 Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεός, ἐπεὶ κατ᾽ οὐδενὸς εἶχεν μείζονος ὀμόσαι, ὤμοσεν καθ᾽ ἑαυτοῦ, **14** λέγων, «Ἦ μὴν[5] εὐλογῶν εὐλογήσω σε καὶ πληθύνων πληθυνῶ σε.» **15** Καὶ οὕτως, μακροθυμήσας, ἐπέτυχεν τῆς ἐπαγγελίας.

16 Ἄνθρωποι μὲν[6] γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσιν, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος, **17** ἐν ᾧ περισσότερον βουλόμενος ὁ Θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ, **18** ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι[7] Θεόν, ἰσχυρὰν παράκλησιν ἔχωμεν,[8] οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος· **19** ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς, ἀσφαλῆ τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, **20** ὅπου Πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κατὰ τὴν τάξιν Μελχισεδὲκ Ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.

Melchizedek, priest and king

7:1 Οὗτος γὰρ ὁ Μελχισεδέκ—βασιλεὺς Σαλήμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ[9] ὑψίστου, ὁ[10] συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων καὶ εὐλογήσας αὐτόν, **2** ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραάμ (πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς Σαλήμ, ὅ ἐστιν βασιλεὺς εἰρήνης), **3** ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος· μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων, ἀφωμοιωμένος δὲ τῷ Υἱῷ τοῦ Θεοῦ—μένει ἱερεὺς εἰς τὸ διηνεκές.[11]

Melchizedek greater than Abraham

4 Θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ καὶ[12] δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρ-

---

[1] επιτρεπη *rell* ¦ επιτρεπει [15%]
[2] πολλακις ερχομενον **f**[35] A,C [92%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]**א**B [5%] NU ¦ 2 [1%] ¦ one other variant [2%]
[3] κρεισσονα **f**[35] **𝔓**[46]**א**A,B,C [85%] RP,HF,CP,NU ¦ κρειττονα [15%] OC,TR
[4] του κοπου **f**[35] (87.8%) RP,HF,OC,TR,CP ¦ 12 και (1%) ¦ 1 σκοπου (1.9%) ¦ --- **𝔓**[46]**א**A,B,C (9.3%) NU
[5] η μην **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ ει 2 **𝔓**[46]**א**A,B [8%] NU ¦ ει μη C ¦ two other readings [2%] (If η is the older form, how could the change, ει→η, come about in the middle ages?)
[6] μεν **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]**א**A,B [3%] NU
[7] ψευσασθαι **f**[35] B [95%] RP,HF,OC,TR,CP ¦ 1 τον **𝔓**[46]**א**A,C [5%] [NU]
[8] εχωμεν **f**[35] **𝔓**[46]**א**A,B,C [70%] RP,HF,OC,TR,CP,NU ¦ εχομεν [30%]
[9] του *rell* ¦ --- CP
[10] ο **f**[35] **𝔓**[46v]C [92%] RP,HF,OC,TR,NU ¦ ος **א**A,B,I [8%] ¦ ω CP
[11] διηνεκες *rell* ¦ 1 εν ω οτι και του αβρααμ προετιμηθη CP
[12] και **f**[35] **א**A,C [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]B [2%]

χης· **5** Καί, οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερατείαν λαμβάνοντες ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαόν, κατὰ τὸν νόμον—τοῦτ᾽ ἔστιν, τοὺς ἀδελφοὺς αὐτῶν—καίπερ ἐξεληλυθότας[1] ἐκ τῆς ὀσφύος Ἀβραάμ· **6** ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν δεδεκάτωκεν τὸν[2] Ἀβραὰμ καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγηκεν. **7** Χωρὶς δὲ πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. **8** Καί, ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν, ἐκεῖ δὲ μαρτυρούμενος ὅτι ζῇ **9**—καὶ ὡς ἔπος εἰπεῖν, διὰ[3] Ἀβραὰμ καὶ Λευΐ, ὁ δεκάτας λαμβάνων, δεδεκάτωται, **10** ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν ὅτε συνήντησεν αὐτῷ ὁ[4] Μελχισεδέκ.

Melchizedek greater than Aaron

11 Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν (ὁ λαὸς γὰρ ἐπ᾽ αὐτῇ[5] νενομοθέτητο),[6] τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; **12** (Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται.) **13** Ἐφ᾽ ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ᾽ ἧς οὐδεὶς προσέσχηκεν τῷ θυσιαστηρίῳ. **14** Πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης[7] Μωϋσῆς[8,9] ἐλάλησεν. **15** Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος, **16** ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκινῆς[10] γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. **17** Μαρτυρεῖ[11] γὰρ ὅτι «Σὺ[12] ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.»

18 Ἀθέτησις μὲν γὰρ γίνεται προαγούσης ἐντολῆς διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές **19** (οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος), ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι᾽ ἧς ἐγγίζομεν τῷ Θεῷ.

Our eternal High Priest represents us eternally

20 Καί, καθ᾽ ὅσον οὐ χωρὶς ὁρκωμοσίας **21**—οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες, ὁ δὲ μετὰ ὁρκωμοσίας διὰ τοῦ λέγοντος πρὸς αὐτόν· «Ὤμοσεν Κύριος καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ»[13]—**22** κατὰ τοσοῦτον[14] κρείττονος[15] διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς. **23** Καί, οἱ μὲν πλείονές εἰσιν γεγονότες ἱερεῖς διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν· **24** ὁ δέ, διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην. **25** Ὅθεν καὶ σῴζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι᾽ αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ[16] αὐτῶν.

26 Τοιοῦτος γὰρ ἡμῖν[17] ἔπρεπεν ἀρχιερεύς—ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος—**27** ὃς οὐκ ἔχει καθ᾽ ἡμέραν[18]

---

[1] εξεληλυθοτας *rell* ¦ εξεληλυθοτες CP

[2] τον **f**[35] A [96%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]א**B**,C [4%] NU

[3] δια **f**[35] A,C [92%] RP,HF,OC,TR,CP ¦ δι **𝔓**[46]א**B** [8%] NU

[4] ο **f**[35] A [92%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]א**B**,C [8%] NU

[5] αυτη **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ αυτης **𝔓**[46]א**A**,B,C [5%] NU ¦ αυτην [5%]

[6] νενομοθετητο **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ νενομοθετηται **𝔓**[46]א**A**,B,C [6%] NU

[7] ιερωσυνης **f**[35] (90.4%) RP,HF,OC,TR,CP ¦ ιεροσυνης (6.4%) ¦ ιερεων **𝔓**[46]א**A**,B,C (3.1%) NU (Wherever ιερωσυνης occurs, the alternate spelling also occurs, its attestation not exceeding 10%.)

[8] μωυσης **f**[35] **𝔓**[46]א**A**,B,C (75.3%) RP,HF,OC,CP,NU ¦ μωσης (24.7%) TR

[9] ουδεν περι ιερωσυνης μωυσης **f**[35] (95.1%) RP,HF,OC,TR,CP ¦ ~ 2314 A,B,C (1.7%) NU ¦ ~ 2341 **𝔓**[46]א (1.9%) ¦ ~ 1423 (1.2%)

[10] σαρκινης **f**[35] **𝔓**[46]א**A**,B,C [50%] NU ¦ σαρκικης [50%] RP,HF,OC,TR,CP

[11] μαρτυρει **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ μαρτυρειται **𝔓**[46]א**A**,B [3%] NU

[12] συ **f**[35] א**A**,B,C [70%] RP,HF,OC,TR,CP,NU ¦ 1 ει **𝔓**[46] [29%] ¦ --- [1%]

[13] κατα την ταξιν μελχισεδεκ **f**[35] A (97.9%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]**B**,C (1.9%) NU ¦ א omits whole quote

[14] τοσουτον **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ τοσουτο **𝔓**[46]א**A**,B,C [5%] NU ¦ τοσουτω [1%]

[15] κρειττονος **f**[35] **𝔓**[46]A [96%] RP,HF,OC,TR,CP ¦ και 1 א**B**,C [3%] [NU] ¦ --- [1%]

[16] εντυγχανειν υπερ *rell* ¦ ~ 21 CP

[17] ημιν **f**[35] א**C** [98%] RP,HF,OC,TR,CP ¦ 1 και **𝔓**[46]A,B [2%] NU

[18] καθ᾽ ἡμεραν *rell* ¦ καθημέραν **f**[35] [30%] (I include this for the record, and so as not to lose sight of it, but since there is evidently no difference in meaning I stay with the conventional pointing. Because of the *theta* there is no ambiguity.)

ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. **28** Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας, τῆς μετὰ τὸν νόμον, Υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.

Priest and Mediator of a better covenant

8:1 Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις· Τοιοῦτον ἔχομεν Ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς Μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, **2** τῶν ἁγίων Λειτουργός, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ[1] οὐκ ἄνθρωπος. **3** Πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται (ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκοι)[2] **4**—εἰ μὲν γὰρ[3] ἦν ἐπὶ γῆς, οὐδ᾽ ἂν ἦν ἱερεύς, ὄντων τῶν ἱερέων[4] τῶν προσφερόντων κατὰ τὸν[5] νόμον τὰ δῶρα· **5** οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσιν τῶν ἐπουρανίων (καθὼς κεχρημάτισται Μωϋσῆς μέλλων ἐπιτελεῖν τὴν σκηνήν· «Ὅρα γάρ,» φησιν, «ποιήσεις[6] πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει»)—**6** νυνὶ[7] δὲ διαφορωτέρας τέτευχεν[8] λειτουργίας, ὅσῳ καὶ[9] κρείττονός ἐστιν διαθήκης Μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται.

A new covenant

7 Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος· **8** μεμφόμενος γὰρ αὐτοῖς[10] λέγει·

> «Ἰδού, ἡμέραι ἔρχονται,» λέγει Κύριος, «καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν—**9** οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν,» λέγει Κύριος.
>
> **10** «Ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας,» λέγει Κύριος, «διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς· καὶ ἔσομαι αὐτοῖς εἰς Θεὸν καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. **11** Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον[11] αὐτοῦ καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων, ‹Γνῶθι τὸν Κύριον›· ὅτι πάντες εἰδήσουσίν με, ἀπὸ μικροῦ αὐτῶν[12] ἕως μεγάλου αὐτῶν. **12** Ὅτι ἵλεως[13] ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν[14] οὐ μὴ μνησθῶ ἔτι.»

13 Ἐν τῷ λέγειν ‹καινὴν› πεπαλαίωκεν τὴν πρώτην· τὸ δὲ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ.

---

[1] και **f**[35] A [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵB [3%] NU

[2] προσενεγκοι **f**[35] [20%] ¦ προσενεγκη *rell* (Optative or Subjunctive?)

[3] γαρ **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ ουν **𝔓**[46]ℵA,B [4%] NU

[4] των ιερεων **f**[35] (93.8%) RP,HF,OC,TR,CP ¦ 2 (1.7%) ¦ --- **𝔓**[46]ℵA,B (4.5%) NU

[5] τον **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B [5%] NU

[6] ποιησεις **f**[35] ℵA,B [95%] RP,HF,OC,CP,NU ¦ ποιησης [5%] TR ¦ --- **𝔓**[46]

[7] νυνι **f**[35] ℵA [98%] RP,HF,OC,TR,CP[NU] ¦ νυν **𝔓**[46]B [2%]

[8] τετευχεν **f**[35] B [40%] OC,TR ¦ τετυχεν **𝔓**[46]ℵA [50%] RP,HF,NU ¦ τετυχηκεν [10%] CP (These are alternate forms of the perfect [apparently], so the meaning remains the same; τετυχεν appears to be a simplification of the older form.)

[9] και *rell* ¦ --- [10%] CP

[10] αυτοις **f**[35] **𝔓**[46]B [90%] RP,HF,OC,TR,CP ¦ αυτους ℵA,I [10%] NU

[11] πλησιον **f**[35] [35%] TR ¦ πολιτην **𝔓**[46]ℵA,B [65%] RP,HF,OC,CP,NU

[12] αυτων **f**[35] [85%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B [15%] NU

[13] ιλεως *rell* ¦ ιλεος [15%]

[14] και των ανομιων αυτων **f**[35] A (94.4%) RP,HF,OC,TR,CP ¦ 123 (1.8%) ¦ --- **𝔓**[46]ℵB (3.5%) NU ¦ 12 αδικιων 4 (0.4%)

The earthly sanctuary

9:1 Εἶχεν μὲν οὖν καὶ[1] ἡ πρώτη[2] δικαιώματα λατρείας τό τε ἅγιον κοσμικόν. **2** Σκηνὴ γὰρ κατεσκευάσθη· ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται Ἅγια· **3** μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη Ἅγια Ἁγίων, **4** χρυσοῦν ἔχουσα θυμιατήριον καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα καὶ αἱ πλάκες τῆς διαθήκης· **5** ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ[3] δόξης κατασκιάζοντα τὸ ἱλαστήριον (περὶ ὧν οὐκ ἔστιν νῦν λέγειν κατὰ μέρος).

The service of that sanctuary

6 Τούτων δὲ οὕτως κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς εἰσίασιν οἱ ἱερεῖς, τὰς λατρείας ἐπιτελοῦντες, **7** εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· **8** τοῦτο δηλοῦντος τοῦ Πνεύματος τοῦ Ἁγίου μήπω πεφανερῶσθαι[4] τὴν τῶν Ἁγίων ὁδὸν ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν· **9** ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν[5] ἐνεστηκότα, καθ᾽ ὃν[6] δῶρά τε καὶ θυσίαι προσφέρονται μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα—**10** μόνον ἐπὶ βρώμασιν καὶ πόμασιν καὶ διαφόροις βαπτισμοῖς καὶ[7] δικαιώμασιν[8] σαρκός, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα.

Christ serves in the heavenly sanctuary

11 Χριστὸς δὲ παραγενόμενος Ἀρχιερεὺς τῶν μελλόντων[9] ἀγαθῶν διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς οὐ χειροποιήτου, τοῦτ᾽ ἔστιν, οὐ ταύτης τῆς κτίσεως, **12** οὐδὲ δι᾽ αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος, εἰσῆλθεν ἐφάπαξ εἰς τὰ Ἅγια, αἰωνίαν λύτρωσιν εὑρόμενος.[10] **13** Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων,[11] καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, **14** πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος Ἁγίου[12] ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν[13] ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι; **15** Καὶ διὰ τοῦτο διαθήκης καινῆς Μεσίτης ἐστίν, ὅπως—θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων—τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας.

---

[1] και **f**[35] ℵA [97%] RP,HF,OC,TR,CP[NU] ¦ --- 𝔓[46v]B [3%]

[2] πρωτη **f**[35] 𝔓[46]ℵA,B [70%] RP,HF,CP,NU ¦ 1 σκηνη **f**[35pt] [30%] OC,TR (All of chapter 8 is about a new and better covenant, compared to the first one, and the last verse (13) has "the first". This is repeated at the beginning of 9:1, and 'covenant' is to be understood in both places; two MSS actually supply the word. However, since verse 2 refers to the 'Holy Place' as the first tabernacle, somewhere along the line someone misunderstood verse 1 and officiously added 'tabernacle' (not to be found in any early MS, nor in a considerable majority of the Byzantine MSS). Here we have evidence that the copyists faithfully reproduced the exemplar they were copying; few of them would be analyzing the text as they went along. However, to put 'tabernacle' in verse 1 is clearly inaccurate, since the first tent, the Holy Place, did not contain the Holy of Holies; they were separated by a heavy curtain. The 'earthly sanctuary', end of verse 1, did indeed contain both places, and was itself part of the first covenant. So then, although the first form is attested by a minority of MSS within the family, I consider that it reproduces the archetype, beyond reasonable doubt.)

[3] χερουβιμ **f**[35] (A) [98%] RP,HF,OC,TR,CP ¦ χερουβιν 𝔓[46]ℵ (B) [2%] NU

[4] πεφανερωσθαι *rell* ¦ πεφανωσθαι CP

[5] τον *rell* ¦ τουτον CP

[6] ον **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ην ℵA,B [5%] NU ον **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ην ℵA,B [5%] NU

[7] και **f**[35] B (95.4%) RP,HF,OC,TR,CP ¦ --- 𝔓[46]ℵA (4.6%) NU

[8] δικαιωμασιν **f**[35] (94.2%) RP,HF,OC,TR,CP ¦ δικαιωματα 𝔓[46]ℵA,B (5.5%) NU ¦ two other readings (0.4%)

[9] μελλοντων **f**[35] ℵA (97.5%) RP,HF,OC,TR,CP ¦ 1 των (1.4%) ¦ γενομενων (𝔓[46])B (1.1%) NU

[10] ευρομενος **f**[35] [20%] ¦ ευραμενος **f**[35pt] *rell* (2nd aorist or 1st aorist? These are alternate spellings of the same form, so it is not a proper variant; they are two ways of saying the same thing. The Byzantine MSS massively attest the 'a', which presumably influenced some copyists; the better family representatives have the 'o'.)

[11] ταυρων και τραγων **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ~ 321 𝔓[46]ℵA,B [3%] NU

[12] αγιου **f**[35] [29%] ¦ 1 αιωνιου [1%] ¦ αιωνιου *rell* (The majority reading is certainly inviting.)

[13] υμων **f**[35] ℵ [85%] RP,HF,OC,TR ¦ ημων A [15%] CP,NU (Codex B is no longer available from here to the end.)

The earthly sanctuary inaugurated with blood

16 Ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου·[1] **17** διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία, ἐπεὶ μήποτε ἰσχύει ὅτε ζῇ ὁ διαθέμενος. **18** Ὅθεν οὐδὲ[2] ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται· **19** λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ[3] νόμον ὑπὸ Μωϋσέος[4] παντὶ τῷ[5] λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τράγων,[6] μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐρράντισεν,[7] **20** λέγων, «Τοῦτο τὸ αἷμα τῆς διαθήκης ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός.» **21** Καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας τῷ αἵματι ὁμοίως ἐρράντισεν. **22** Καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις.

The heavenly sanctuary inaugurated with Christ's blood

23 Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς τούτοις καθαρίζεσθαι, αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσιν θυσίαις παρὰ ταύτας.[8] **24** Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν[9] ὁ[10] Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ᾽ εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν· **25** οὐδ᾽ ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ Ἅγια κατ᾽ ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ **26**—ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου· νῦν[11] δέ, ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν[12] ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται. **27** Καί, καθ᾽ ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις, **28** οὕτως καὶ[13] ὁ Χριστός, ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας—ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.

Animal blood is insufficient

10:1 Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ᾽ ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς οὐδέποτε δύναται[14] τοὺς προσερχομένους τελειῶσαι. **2** Ἐπεὶ οὐκ[15] ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ κεκαθαρμένους;[16] **3** Ἀλλ᾽ ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ᾽ ἐνιαυτόν, **4** ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας.

"I have come to do your will, O God"

5 Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει· «Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· **6** ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας.[17] **7** Τότε εἶπον, ‹Ἰδοὺ ἥκω—ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ—τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου.› » **8** Ἀνώτερον λέγων ὅτι «Θυσίαν καὶ προσφορὰν[18] καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ

---

[1] διαθεμενου **f**[35] ℵA,B [88%] RP,HF,OC,TR,NU ¦ διατιθεμενου [12%] CP
[2] ουδε **f**[35] A,C [55%] NU ¦ ουδ ℵ [45%] RP,HF,OC,TR,CP ¦ ουθ **𝔓**[46]
[3] κατα **f**[35] ℵ [85%] RP,HF,TR,CP ¦ 1 τον **𝔓**[46]A,C [15%] OC,NU
[4] μωυσεος **f**[35] [35%] CP ¦ μωυσεως ℵC [45%] RP,HF,OC,NU ¦ μωσεως A [20%] TR
[5] τω *rell* ¦ --- CP
[6] και τραγων **f**[35] (78%) RP,HF,OC,TR,CP ¦ 1 των 2 ℵA,C (5.1%) [NU] ¦ --- **𝔓**[46] (16.2%) ¦ two other readings (0.7%)
[7] ερραντισεν **f**[35] [85%] RP,HF,OC,TR,CP,N-A ¦ εραντισεν **𝔓**[46]ℵA,C [15%] UBS (Also in verse 21.)
[8] ταυτας *rell* ¦ ταυταις CP
[9] αγια εισηλθεν **f**[35] C [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]ℵA [5%] NU
[10] ο **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,C [5%] NU
[11] νυν **f**[35] [92%] RP,HF,OC,TR,CP ¦ νυνι ℵA,C [8%] NU
[12] αθετησιν **f**[35] **𝔓**[46]C [98%] RP,HF,OC,TR,CP ¦ 1 της ℵA,I [2%] [NU]
[13] και **f**[35] **𝔓**[46]ℵA,C [95%] RP,HF,OC,CP,NU ¦ --- [5%] TR
[14] δυναται **f**[35] **𝔓**[46] [40%] OC,TR,CP,NU ¦ δυνανται ℵA,C [59%] RP,HF ¦ --- [1%] (The subject of the verb is 'the law' [sg], not 'the sacrifices' [pl]; **𝔓**[46] preserves the correct reading.)
[15] ουκ *rell* ¦ --- [5%] CP
[16] κεκαθαρμενους **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ κεκαθαρισμενους **𝔓**[46]ℵ [4%] NU ¦ κεκαθερισμενους A,C [1%]
[17] ευδοκησας *rell* ¦ ηυδοκησας C [15%] (This statement obtains in verse 8 below as well.)
[18] θυσιαν και προσφοραν **f**[35] I [96%] RP,HF,OC,TR,CP ¦ θυσιας 2 προσφορας ℵA,C [4%] NU

εὐδόκησας» (αἵτινες κατὰ τὸν[1] νόμον προσφέρονται), **9** τότε εἴρηκεν, «Ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου.»[2] Ἀναιρεῖ τὸ πρῶτον ἵνα τὸ δεύτερον στήσῃ. **10** Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν οἱ[3] διὰ τῆς προσφορᾶς τοῦ σώματος[4] Ἰησοῦ Χριστοῦ ἐφάπαξ.

Christ perfects forever

11 Καὶ πᾶς μὲν ἱερεὺς[5] ἕστηκε καθ᾽ ἡμέραν λειτουργῶν καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵτινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας· **12** αὐτὸς[6] δέ, μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν εἰς τὸ διηνεκές, ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ· **13** τὸ λοιπὸν ἐκδεχόμενος ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ, **14** μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους.

15 Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, μετὰ γὰρ τὸ προειρηκέναι·[7] **16** « ‹Αὕτη ἡ διαθήκη ἣν διαθήσομαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας,› λέγει Κύριος, ‹διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν καὶ ἐπὶ τῶν διανοιῶν[8] αὐτῶν ἐπιγράψω αὐτούς,[9] **17** καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ[10] ἔτι.› » **18** Ὅπου δὲ ἄφεσις τούτων,[11] οὐκέτι προσφορὰ περὶ ἁμαρτίας.

Hold fast the confession of hope

19 Ἔχοντες οὖν, ἀδελφοί, παρρησίαν εἰς τὴν εἴσοδον τῶν Ἁγίων ἐν τῷ αἵματι[12] Ἰησοῦ, **20** ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ καταπετάσματος, τοῦτ᾽ ἔστιν, τῆς σαρκὸς αὐτοῦ, **21** καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ, **22** προσερχώμεθα[13] μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐρραντισμένοι[14] τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς καὶ λελουμένοι[15] τὸ σῶμα[16] ὕδατι καθαρῷ. **23** Κατέχωμεν[17] τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ, πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος. **24** Καὶ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων, **25** μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν (καθὼς ἔθος τισίν), ἀλλὰ παρακαλοῦντες, καὶ τοσούτῳ μᾶλλον ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν.

A severe warning

26 Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, **27** φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους. **28** Ἀθετήσας τις νόμον Μωϋσέος[18] χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶν[19] μάρτυσιν ἀποθνήσκει. **29** Πόσῳ, δοκεῖτε, χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος ἐν ᾧ ἡγιάσθη, καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας; **30** Οἴδαμεν γὰρ τὸν εἰπόντα, «Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει

---

[1] τον **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]א A,C [10%] NU

[2] ο θεος το θελημα σου **f**[35] (71.6%) RP,HF,OC,TR ¦ 12 μου 345 (2.6%) ¦ ~ 34512 (5.4%) ¦ ~ 34512 μου (4.5%) CP ¦ 345 **𝔓**[46]א A,C (15.1%) NU ¦ three other variants (0.9%)

[3] οι **f**[35] [90%] RP,HF,TR,CP ¦ --- **𝔓**[46]א A,C [9%] OC,NU ¦ ημεις [1%]

[4] σωματος **f**[35] **𝔓**[46]א A,C [95%] RP,HF,CP,NU ¦ 1 του [5%] OC,TR

[5] ιερευς **f**[35] **𝔓**[46,79v]א [80%] RP,HF,OC,TR,NU ¦ αρχιερευς A,C [20%] CP

[6] αυτος **f**[35] [92%] RP,HF,OC,TR,CP ¦ ουτος **𝔓**[13,46,79v]א A,C [8%] NU

[7] προειρηκεναι **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ειρηκεναι **𝔓**[13,46]א A,C [5%] NU

[8] επι των διανοιων **f**[35] (91.6%) RP,HF,OC,TR,CP ¦ 1 την διανοιαν **𝔓**[13,46]א A,B,C,I (4.2%) NU ¦ εις την διανοιαν (3.5%) ¦ --- [homoioteleuton] (0.7%)

[9] αυτους *rell* ¦ 1 υστερον λεγει [15%] ¦ 1 τοτε ειρηκεν [1%]

[10] μνησθω **f**[35] **𝔓**[46] [97%] RP,HF,OC,TR,CP ¦ μνησθησομαι **𝔓**[13]א A,C,I [3%] NU

[11] τουτων **f**[35] **𝔓**[46] A,C [95%] RP,HF,OC,TR,NU ¦ αυτων [5%] CP ¦ --- א

[12] αιματι *rell* ¦ 1 του OC

[13] προσερχωμεθα **f**[35] **𝔓**[13]א A,C [60%] RP,HF,OC,TR,CP,NU ¦ προσερχομεθα (**𝔓**[46]) [40%]

[14] ερραντισμενοι **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ρεραντισμενοι **𝔓**[46]א A,C [3%] NU

[15] λελουμενοι **f**[35] **𝔓**[46] A,C [95%] HF,OC,TR,CP ¦ λελουσμενοι א [5%] RP,NU

[16] το σωμα *rell* ¦ τω σωματι [15%]

[17] κατεχωμεν *rell* ¦ κατεχομεν [20%]

[18] μωυσεος **f**[35] [30%] CP ¦ μωυσεως אC [55%] RP,HF,OC,NU ¦ μωσεως A [15%] TR

[19] τρισιν *rell* ¦ τρισι OC

Κύριος».[1] καὶ πάλιν, «Κύριος κρινεῖ[2] τὸν λαὸν αὐτοῦ.» **31** Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος.

A word of encouragement

32 Ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας ἐν αἷς, φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων· **33** τοῦτο μὲν ὀνειδισμοῖς τε καὶ θλίψεσιν θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων[3] γενηθέντες. **34** Καὶ γὰρ τοῖς δεσμοῖς μου[4] συνεπαθήσατε· καί, τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν ἑαυτοῖς[5] κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς[6] καὶ μένουσαν.

35 Μὴ ἀποβάλητε οὖν τὴν παρρησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην.[7] **36** Ὑπομονῆς γὰρ ἔχετε χρείαν ἵνα, τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν. **37** «Ἔτι γὰρ μικρὸν ὅσον ὅσον,[8] ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ.[9] **38** Ὁ δὲ δίκαιος[10] ἐκ πίστεως ζήσεται, καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ.» **39** Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.[11]

About faith

11:1 Ἔστιν δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων. **2** Ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι. **3** Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα[12] γεγονέναι.

Abel, Enoch, Noah

4 Πίστει πλείονα θυσίαν Ἄβελ[13] παρὰ Κάϊν προσήνεγκεν τῷ Θεῷ, δι᾽ ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ· καὶ δι᾽ αὐτῆς, ἀποθανών, ἔτι λαλεῖται.[14] **5** Πίστει Ἐνὼχ[15] μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον, καὶ οὐχ εὑρίσκετο[16] διότι μετέθηκεν[17] αὐτὸν ὁ Θεός· πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ[18] μεμαρτύρηται εὐηρεστηκέναι[19] τῷ Θεῷ.

6 Χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι, πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ ὅτι ἔστιν καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται. **7** Πίστει, χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθείς, κατεσκεύασεν κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, δι᾽ ἧς κατέκρινεν τὸν κόσμον καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος.

---

[1] λεγει κυριος **f**[35] A (96%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**[13v,46]**א** (4%) NU
[2] κυριος κρινει **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 **א**A [4%] NU ¦ 2 [1%]
[3] αναστρεφομενων *rell* ¦ αναστρεφωμενων CP
[4] δεσμοις μου **f**[35] **א** (92.1%) RP,HF,OC,TR,CP ¦ 1 **𝔓**[46] (1.6%) ¦ δεσμιοις A (6.3%) NU
[5] εαυτοις **f**[35] [91%] CP,RP,HF ¦ εν 1 [4%] OC,TR ¦ εαυτους **𝔓**[13,46]**א**A [4%] NU ¦ --- [1%]
[6] εν ουρανοις **f**[35] (97%) RP,HF,OC,TR,CP ¦ 1 τοις 2 (0.9%) ¦ --- **𝔓**[13,46]**א**A (1.7%) NU ¦ two other variants (0.3%)
[7] μισθαποδοσιαν μεγαλην **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]**א**A [5%] NU
[8] οσον *rell* ¦ --- [15%] ¦ οθεν [1%]
[9] χρονιει **f**[35] A [98%] RP,HF,OC,TR,CP ¦ χρονισει **𝔓**[46]**א** [2%] NU
[10] δικαιος **f**[35] **𝔓**[13] [97%] RP,HF,OC,TR,CP ¦ 1 μου **𝔓**[46]**א**A [3%] NU
[11] ψυχης *rell* ¦ --- CP
[12] τα βλεπομενα **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ το βλεπομενον **𝔓**[13]**א**A [4%] NU
[13] ἀβελ **f**[35] [80%] RP,OC,TR,CP ¦ ἁβελ **א**A [20%] HF,NU
[14] λαλειται **f**[35] [91%] RP,HF,OC,TR,CP ¦ λαλει **𝔓**[13,46]**א**A [8%] NU ¦ μαρτυρειται [1%]
[15] ἐνωχ **f**[35] [80%] OC,TR,CP ¦ ἑνωχ **א**A [20%] RP,HF,NU
[16] ἐνωχ **f**[35] [80%] OC,TR,CP ¦ ἑνωχ **א**A [20%] RP,HF,NU
[17] μετεθηκεν *rell* ¦ μετετεθηκεν **א** [10%] ¦ μετατεθηκεν [2%] CP
[18] αυτου **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[13,46]**א**A [4%] NU
[19] ευηρεστηκεναι **f**[35] **𝔓**[46]**א** [75%] RP,HF,OC,TR,CP ¦ ευαρεστηκεναι A [25%] NU (Soden here mentions **K**[r] specifically for the second time and assigns it to the minority reading, but he is certainly in error.)

Abraham and Sarah

8 Πίστει, καλούμενος Ἀβραάμ, ὑπήκουσεν ἐξελθεῖν[1] εἰς τὸν[2] τόπον ὃν ἤμελλεν[3] λαμβάνειν εἰς κληρονομίαν καὶ ἐξῆλθεν, μὴ ἐπιστάμενος ποῦ ἔρχεται. **9** Πίστει παρῴκησεν[4] εἰς[5] γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας, μετὰ Ἰσαὰκ καὶ Ἰακώβ, τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς· **10** ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός.

11 Πίστει καὶ αὐτὴ Σάρρα[6] δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβεν, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκεν,[7] ἐπεὶ πιστὸν ἡγήσατο τὸν ἐπαγγειλάμενον. **12** Διὸ καὶ ἀφ᾽ ἑνὸς ἐγεννήθησαν,[8] καὶ ταῦτα νενεκρωμένου, καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡς ἡ[9] ἄμμος[10] ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος.

Seeking a heavenly homeland

13 Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες—μὴ λαβόντες[11] τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες[12] καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς. **14** Οἱ γὰρ τοιαῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσιν. **15** Καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον ἀφ᾽ ἧς ἐξῆλθον,[13] εἶχον ἂν καιρὸν ἀνακάμψαι. **16** Νῦν[14] δὲ κρείττονος ὀρέγονται, τοῦτ᾽ ἔστιν, ἐπουρανίου. Διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεὸς Θεὸς ἐπικαλεῖσθαι αὐτῶν· ἡτοίμασεν γὰρ αὐτοῖς πόλιν.

Patriarchs

17 Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαάκ, πειραζόμενος· καί, τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος, **18** πρὸς ὃν ἐλαλήθη ὅτι «Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα,» **19** λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός· ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο.

20 Πίστει[15] περὶ μελλόντων εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἠσαῦ.[16] **21** Πίστει Ἰακώβ, ἀποθνήσκων, ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησεν, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. **22** Πίστει Ἰωσήφ, τελευτῶν, περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσεν καὶ περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο.

Moses

23 Πίστει Μωϋσῆς, γεννηθείς, ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ, διότι εἶδον ἀστεῖον τὸ παιδίον, καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως. **24** Πίστει Μωϋσῆς, μέγας γενόμενος, ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ, **25** μᾶλλον ἐλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, **26** μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰγύπτου[17] θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπεν γὰρ εἰς τὴν μισθαποδοσίαν.

---

[1] εξελθειν *rell* ¦ εξελθων CP
[2] τον **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{46}א A [3%] NU
[3] ημελλεν **f**^{35} **𝔓**^{46}א A [75%] RP,HF,TR,NU ¦ εμελλεν [25%] OC,CP
[4] παρωκησεν **f**^{35} **𝔓**^{46}א A [90%] RP,HF,OC,TR,NU ¦ 1 αβρααμ [10%] CP
[5] εις **f**^{35} **𝔓**^{46}א A [80%] RP,HF,CP,NU ¦ 1 την [20%] OC,TR (Soden here mentions **K**^{r} specifically for the third time and assigns it to the minority reading, but he is certainly in error.)
[6] σαρρα **f**^{35} **𝔓**^{13v}א A [84%] RP,HF,OC,TR ¦ 1 στειρα **𝔓**^{46} [2%] NU ¦ 1 η στειρα [4%] ¦ 1 στειρα ουσα [10%] CP
[7] ετεκεν **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{13v,46}א A [3%] NU
[8] εγεννηθησαν **f**^{35} א [90%] RP,HF,OC,TR,CP,NU ¦ εγενηθησαν **𝔓**^{46}A [10%] Nestle^{24}
[9] ως η **f**^{35} **𝔓**^{46}א A [95%] RP,HF,OC,TR,CP ¦ ωσει [5%] TR
[10] αμμος *rell* ¦ αμος CP
[11] αμμος *rell* ¦ αμος CP
[12] ιδοντες **f**^{35} **𝔓**^{46}א A [98%] RP,HF,OC,CP,NU ¦ 1 και πεισθεντες [2%] TR
[13] εξηλθον **f**^{35} (96.8%) RP,HF,OC,TR,CP ¦ εξεβησαν **𝔓**^{46v}א A (2.8%) NU ¦ two other variants (0.4%)
[14] νυν **f**^{35} **𝔓**^{46}א A [95%] RP,HF,OC,CP,NU ¦ νυνι [5%] TR
[15] πιστει **f**^{35} א [92%] RP,HF,OC,TR,CP ¦ 1 και **𝔓**^{46}A [8%] NU
[16] ήσαυ **f**^{35} [30%] ¦ ησαυ א A [70%] RP,HF,OC,TR,CP,NU
[17] αιγυπτου **f**^{35} א [84%] RP,HF,OC,CP,NU ¦ εν 1 A ¦ εν αιγυπτω [15%] TR ¦ αιγυπτιων [1%]

27 Πίστει κατέ-λιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως, τὸν γὰρ Ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησεν. **28** Πίστει πεποίηκεν τὸ Πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα θίγῃ αὐτῶν. **29** Πίστει διέβησαν τὴν Ἐρυθρὰν Θάλασσαν ὡς διὰ ξηρᾶς,[1] ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν.

30 Πίστει τὰ τείχη Ἰεριχὼ[2] ἔπεσεν,[3] κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας. **31** Πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασιν, δεξαμένη τοὺς κατασκόπους μετ᾽ εἰρήνης.

Exploits achieved through faith

32 Καὶ τί ἔτι λέγω; Ἐπιλείψει γάρ με[4] διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαράκ τε καὶ[5] Σαμψὼν καὶ[6] Ἰεφθάε, Δαυίδ τε καὶ Σαμουὴλ καὶ τῶν προφητῶν, **33** οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, **34** ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας,[7] ἐνεδυναμώθησαν[8] ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων. **35** Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν. **36** Ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς. **37** Ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν,[9] ἐν φόνῳ μαχαίρας[10] ἀπέθανον. Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν· ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι[11] **38**—ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος—ἐν[12] ἐρημίαις πλανώμενοι καὶ ὄρεσιν καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.

39 Καὶ οὗτοι πάντες, μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, **40** τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν.

"Let us run with endurance"

12:1 Τοιγαροῦν καὶ ἡμεῖς, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον[13] ἁμαρτίαν, δι᾽ ὑπομονῆς τρέχωμεν[14] τὸν προκείμενον ἡμῖν ἀγῶνα, **2** ἀφορῶντες εἰς τὸν τῆς πίστεως Ἀρχηγὸν καὶ Τελειωτήν, Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινεν σταυρόν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν.[15]

All legitimate children receive discipline

3 Ἀναλογίσασθε γὰρ[16] τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν[17] ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι. **4** Οὔπω μέχρις αἵματος ἀντικατέστητε[18] πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. **5** Καὶ ἐκλέλησθε τῆς παρακλήσεως ἥτις ὑμῖν ὡς υἱοῖς

---

[1] ξηρας **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ 1 γης **𝔓**[13,46]**א**A,0227 [5%] NU
[2] ιεριχω **f**[35] [80%] OC,TR,CP ¦ ιεριχω **א**A [20%] RP,HF,NU
[3] επεσεν **f**[35] **𝔓**[46] [94%] RP,HF,OC,TR,CP ¦ επεσαν **א**A [3%] NU ¦ κατεπεσεν [2%] ¦ επεσον [1%]
[4] γαρ με **f**[35] **𝔓**[13,46] I [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 **א**A [3%] NU ¦ 2 [2%]
[5] τε και **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[13,46]**א**A,I [4%] NU
[6] και **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[13,46]**א**A,I [5%] NU
[7] μαχαιρας **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ μαχαιρης **𝔓**[46]**א**A [3%] NU
[8] ενεδυναμωθησαν **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ εδυναμωθησαν **𝔓**[13,46]**א**A [3%] NU
[9] επρισθησαν επειρασθησαν **f**[35] **𝔓**[13] A (88.4%) RP,HF,OC,TR,CP ¦ ~ 21 (**א**048) (3.4%) ¦ 1 **𝔓**[46] (7.5%) NU ¦ two other variants (0.7%)
[10] μαχαιρας **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ μαχαιρης **𝔓**[46]**א**A [3%] NU
[11] κακουχουμενοι *rell* ¦ κακοχουμενοι [20%]
[12] εν **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ επι **𝔓**[13,46]**א**A [3%] NU ¦ επ [3%]
[13] ευπεριστατον *rell* ¦ απεριστατον CP
[14] τρεχωμεν *rell* ¦ τρεχομεν [20%]
[15] κεκαθικεν **f**[35] **א**A [95%] RP,HF,OC,CP,NU ¦ εκαθισεν **𝔓**[46] [5%] TR
[16] γαρ **f**[35] **𝔓**[46]**א**A [90%] RP,HF,OC,TR,NU ¦ ουν [10%] CP
[17] αυτον **f**[35] (91.8%) RP,HF,OC,TR,CP ¦ αυτους **𝔓**[13,46] (3.6%) ¦ εαυτον A (2.7%) NU ¦ εαυτους **א** (1.1%) ¦ four other readings 048 (0.9%)
[18] αντικατεστητε **f**[35] **א**A [83%] RP,HF,OC,TR,CP,NU ¦ αντεκατεστητε [15%] ¦ αντικατεστηκεν **𝔓**[46] ¦ αντεστητε [2%]

διαλέγεται· «Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ᾽ αὐτοῦ ἐλεγχόμενος· **6** ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.»

7 Εἰ[1] παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν[2] υἱὸς ὃν οὐ παιδεύει πατήρ; **8** Εἰ δὲ χωρίς ἐστε παιδείας (ἧς μέτοχοι γεγόνασιν πάντες), ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί.[3] **9** Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς καὶ ἐνετρεπόμεθα. Οὐ πολλῷ[4] μᾶλλον[5] ὑποταγησόμεθα τῷ Πατρὶ τῶν πνευμάτων καὶ ζήσομεν; **10** Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον, ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. **11** Πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι᾽ αὐτῆς γεγυμνασμένοις ἀποδίδωσιν δικαιοσύνης.

Watch your step!

12 Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε, **13** καὶ τροχιὰς[6] ὀρθὰς ποιήσατε[7] τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.

14 Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον· **15** ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ, μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ καὶ διὰ ταύτης[8] μιανθῶσιν πολλοί, **16** μή τις πόρνος, ἢ βέβηλος ὡς Ἠσαῦ,[9] ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο[10] τὰ πρωτοτόκια αὐτοῦ.[11] **17** Ἴστε γὰρ ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν ἀπεδοκιμάσθη· μετανοίας γὰρ τόπον οὐχ εὗρεν, καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν.

Sinai vs Zion

18 Οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει καὶ[12] κεκαυμένῳ πυρὶ καὶ γνόφῳ καὶ σκότῳ[13] καὶ θυέλλῃ· **19** καὶ σάλπιγγος ἤχῳ καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον **20** (οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον· «Κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθή-σεται»·[14] **21** καὶ οὕτως[15] φοβερὸν ἦν τὸ φανταζόμενον, Μωϋσῆς εἶπεν, «Ἔκφοβός εἰμι καὶ ἔντρομος») **22** ἀλλὰ προσεληλύθατε Σιὼν Ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἰερουσαλὴμ[16] ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύρει, **23** καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων,[17] καὶ Κριτῇ Θεῷ πάντων, καὶ πνεύμασιν δικαίων τετελειωμένων, **24** καὶ διαθήκης νέας Μεσίτῃ, Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ κρεῖττον[18] λαλοῦντι παρὰ τὸ[19] Ἄβελ.[20]

---

[1] ει **f**[35] [35%] OC,TR,CP ¦ εις ℵA [65%] RP,HF,NU
[2] εστιν **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[13]ℵA,I [3%] NU
[3] εστε και ουχ υιοι **f**[35] [97%] RP,HF,OC,TR(CP) ¦ ~ 2341 **𝔓**[46]ℵA [3%] NU
[4] πολλω **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ πολυ **𝔓**[46]ℵA [2%] NU ¦ --- [1%]
[5] μαλλον **f**[35] ℵA,I,048 [98%] RP,HF,OC,TR,CP ¦ δε 1 **𝔓**[13,46] [2%] NU
[6] τροχιας *rell* ¦ πραχιας CP
[7] ποιησατε **f**[35] A [96%] RP,HF,OC,TR,CP ¦ ποιειτε **𝔓**[46]ℵC [3%] NU ¦ ποιησετε 048 [1%]
[8] δια ταυτης **f**[35] ℵ (84.3%) RP,HF,OC,TR,CP ¦ δι αυτης **𝔓**[46]A,048 (15.7%) NU
[9] ήσαυ **f**[35] [30%] ¦ ἠσαυ ℵA [70%] RP,HF,OC,TR,CP,NU
[10] απεδοτο **f**[35] ℵ [97%] RP,HF,OC,TR,CP ¦ απεδετο **𝔓**[46]A,C [3%] NU
[11] αυτου **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ εαυτου ℵA,C [3%] NU ¦ --- **𝔓**[46]
[12] ψηλαφωμενω ορει και **f**[35] (94%) RP,HF,OC,TR,CP ¦ ~ 213 (2.3%) ¦ 12 (1.6%) ¦ 13 **𝔓**[46]ℵA,C,048 (2.1%) NU ¦ scattered among the variants (1%) have ψηλαφομενω
[13] και σκοτω **f**[35] (93.3%) RP,HF,OC,TR,CP ¦ 1 σκοτει **𝔓**[46] (0.5%) ¦ 1 ζοφω ℵA,C,048 (4.8%) NU ¦ --- (1.4%)
[14] λιθοβοληθησεται *rell* ¦ 1 η βολιδι κατατοξευθησεται [1%] TR
[15] ουτως C [70%] RP,TR,CP ¦ ουτω **f**[35] ℵA [30%] HF,OC,NU (I include this to illustrate that many MSS do not drop the final ς before a consonant, even in the minuscule period; which reinforces my suspicion that the practice did not obtain in the Autographs.)
[16] ιερουσαλημ **f**[35] [80%] RP,OC,TR,CP ¦ ιερουσαλημ ℵA [20%] HF,NU
[17] εν ουρανοις απογεγραμμενων **f**[35] 0228 [85%] RP,HF,OC,TR,CP ¦ ~ 312 **𝔓**[46]ℵA,C,048 [15%] NU
[18] κρειττον **f**[35] ℵA,C [95%] RP,HF,OC,CP,NU ¦ κρειττονα **𝔓**[46] [5%] TR
[19] το **f**[35] **𝔓**[46] [30%] HF ¦ τον ℵA [70%] RP,OC,TR,CP,NU
[20] ἀβελ **f**[35] [80%] OC,TR,CP ¦ ἀβελ ℵA [20%] RP,HF,NU

Warning: "Our God is a consuming fire"

25 Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα. Εἰ γὰρ ἐκεῖνοι οὐκ ἔφυγον,[1] τὸν ἐπὶ[2] γῆς παραιτη-σάμενοι[3] χρηματίζοντα, πολλῷ[4] μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ᾽ οὐρανοῦ[5] ἀποστρεφόμενοι· **26** οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσεν τότε, νῦν δὲ ἐπήγγελται λέγων, «Ἔτι ἅπαξ ἐγὼ σείω[6] οὐ μόνον τὴν γῆν ἀλλὰ καὶ τὸν οὐρανόν.» **27** Τὸ δὲ ‹ἔτι ἅπαξ› δηλοῖ τῶν σαλευομένων τὴν[7] μετάθεσιν (ὡς πεποιημένων), ἵνα μείνῃ τὰ μὴ σαλευόμενα.

28 Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχωμεν[8] χάριν δι᾽ ἧς λατρεύομεν[9] εὐαρέστως τῷ Θεῷ, μετὰ αἰδοῦς καὶ εὐλαβείας·[10] **29** καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον.

Practical instructions

13:1 Ἡ φιλαδελφία μενέτω. **2** Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε, διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. **3** Μιμνήσκεσθε τῶν δεσμίων ὡς συνδεδεμένοι, τῶν κακουχουμένων[11] ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι. **4** Τίμιος ὁ γάμος ἐν πᾶσιν καὶ ἡ κοίτη ἀμίαντος, πόρνους δὲ[12] καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. **5** Ἀφιλάργυρος ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν, αὐτὸς γὰρ εἴρηκεν, «Οὐ μή σε ἀνῶ, οὐδ᾽ οὐ μή σε ἐγκαταλίπω.»[13] **6** Ὥστε θαρροῦντας ἡμᾶς λέγειν· «Κύριος ἐμοὶ βοηθός, καὶ[14] οὐ φοβηθήσομαι. Τί ποιήσει μοι ἄνθρωπος;»

7 Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. **8** Ἰησοῦς Χριστὸς χθὲς[15] καὶ σήμερον, ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας. **9** Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε,[16] καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες.[17]

Join Jesus outside the camp

10 Ἔχομεν θυσιαστήριον ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες.

11 Ὧν γὰρ εἰσφέρεται ζῴων τὸ αἷμα, περὶ ἁμαρτίας, εἰς τὰ Ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς, **12** διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθεν. **13** Τοίνυν ἐξερχώμεθα[18] πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες· **14** οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν[19] ἐπιζητοῦμεν.

15 Δι᾽ αὐτοῦ οὖν[20] ἀναφέρωμεν[21] θυσίαν αἰνέσεως διὰ παντὸς τῷ Θεῷ, τοῦτ᾽ ἔστιν, καρπὸν

---

[1] εφυγον **f**[35] **𝔓**[46] [97%] RP,HF,OC,TR,CP ¦ εξεφυγον ℵA,C,I,048 [3%] NU
[2] επι *rell* ¦ 1 της (1.2%) OC,TR
[3] τον επι (+της OC) γης παραιτησαμενοι **f**[35] **𝔓**[46] (91.8%) RP,HF(OC)TR,CP ¦ ~ 4123 (4.1%) ¦ 123 (1.2%) ¦ ~ 2341 ℵA,C,I,048 (2.3%) NU ¦ three other variants (0.5%)
[4] πολλω **f**[35] **𝔓**[46] [96%] RP,HF,OC,TR,CP ¦ πολυ ℵA,C [3%] NU ¦ ποσω [1%]
[5] ουρανου **f**[35] ℵ [40%] CP ¦ ουρανων **𝔓**[46]A,C [60%] RP,HF,OC,TR,NU
[6] σειω **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ σεισω **𝔓**[46]ℵA,C,I,048 [3%] NU
[7] των σαλευομενων την **f**[35] (94%) RP,HF,OC,TR,CP ¦ 12 **𝔓**[46]048 (2.1%) ¦ ~ 312 ℵA,C (3.4%) [NU] ¦ one other variant (0.5%)
[8] εχωμεν **f**[35] A,C [75%] RP,HF,OC,TR,CP,NU ¦ εχομεν **𝔓**[46]ℵ [25%]
[9] λατρευομεν **f**[35] ℵ [85%] CP,RP,HF ¦ λατρευωμεν A,C,048 [15%] OC,TR,NU ¦ λατρευσωμεν **𝔓**[46]
[10] αιδους και ευλαβειας **f**[35] (90.4%) RP,HF,OC,TR,CP ¦ ~ 321 (3.2%) ¦ ~ 32 δεους (**𝔓**[46]) ℵA,C(048) (3.4%) NU ¦ δεους 23 (1.2%) ¦ ~ 32 φοβου (1.4%) ¦ 12 ευσεβιας (0.4%)
[11] κακουχουμενων *rell* ¦ κακοχουμενον (C) [30%]
[12] δε **f**[35] C [96%] RP,HF,OC,TR,CP ¦ γαρ **𝔓**[46]ℵA [3%] NU ¦ --- [1%]
[13] εγκαταλιπω **f**[35] [50%] OC,TR,CP,NU ¦ εγκαταλειπω **𝔓**[46]ℵA,C [50%] RP,HF
[14] και **f**[35] **𝔓**[46]A [97%] RP,HF,OC,TR,CP[NU] ¦ --- ℵC [3%]
[15] χθες **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ εχθες **𝔓**[46]ℵA,C [5%] NU
[16] παραφερεσθε **f**[35] **𝔓**[46]ℵA,C [85%] RP,HF,OC,CP,NU ¦ περιφερεσθε [15%] TR
[17] περιπατησαντες **f**[35] C [98%] RP,HF,OC,TR,CP ¦ περιπατουντες **𝔓**[46]ℵA [2%] NU
[18] εξερχωμεθα *rell* ¦ εξερχομεθα [20%]
[19] μελλουσαν *rell* ¦ μενουσαν CP
[20] ουν **f**[35] A,C [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[46]ℵ [2%]
[21] αναφερωμεν *rell* ¦ αναφερομεν [20%]

χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. **16** (Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε, τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.)

Concluding requests

17 Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσιν καὶ μὴ στενάζοντες (ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο).

18 Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν[1] γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσιν καλῶς θέλοντες ἀναστρέφεσθαι· **19** περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν.

Benediction

20 Ὁ δὲ Θεὸς τῆς εἰρήνης—ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν Ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν[2]—**21** καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ[3] ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν[4] τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ, διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.[5] Ἀμήν.

Sign-off

22 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως, καὶ γὰρ διὰ βραχέων ἐπέστειλα ὑμῖν. **23** Γινώσκετε τὸν ἀδελφὸν[6] Τιμόθεον ἀπολελυμένον, μεθ᾽ οὗ ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς.

24 Ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν καὶ πάντας τοὺς ἁγίους. Ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας.

25 Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.[7,8]

---

[1] πεποιθαμεν **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ πειθομεθα **𝔓**[46]A,C [3%] NU ¦ πειθομαι [2%] ¦ οτι καλην θα **א** (Aleph really got lost.)

[2] ιησουν **f**[35] **𝔓**[46]**א**A,C [90%] RP,HF,OC,TR,NU ¦ 1 χριστον [10%] CP

[3] εργω **f**[35] C (96.9%) RP,HF,OC,TR,CP ¦ 1 και λογω A (1.4%) ¦ --- **א** (1.4%) NU ¦ τω **𝔓**[46]

[4] υμιν **f**[35] A,C [70%] RP,HF,OC,TR,CP ¦ ημιν **𝔓**[46]**א** [30%] NU

[5] των αιωνων **f**[35] **א**A(C) [85%] RP,HF,OC,TR[NU] ¦ --- **𝔓**[46] [15%] CP

[6] αδελφον **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ 1 ημων **𝔓**[46]**א**A,C [5%] NU

[7] αμην **f**[35] A,C [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]**א**I[v] [3%] NU

[8] The citation of **f**[35] is based on thirty-seven MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 959, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1704, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1892, 2080, 2466, 2554, 2587, 2723 and 2817—all of which I collated myself. 2554 is a 'perfect' representative of **f**[35] in Hebrews, as it stands, and the exemplars of 35, 1637, 2080 and 2723 may have been, while several others were off by only one variant. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Aegean, Constantinople, Bucharest, Trikala, Mt. Athos [six different monasteries], Athens, Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A[27], supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. However, I guarantee the witness of **f**[35]. Please see the last footnote for Matthew for further information.

ΙΑΚΩΒΟΥ ΕΠΙΣΤΟΛΗ

1:1 Ἰάκωβος, Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος, ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ Διασπορᾷ· χαίρειν.

Various exhortations

1:2 Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, **3** γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν· **4** ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι.

About wisdom

5 Εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος Θεοῦ πᾶσιν ἁπλῶς καὶ οὐκ[1] ὀνειδίζοντος, καὶ δοθήσεται αὐτῷ. **6** Αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος, ὁ γὰρ διακρινόμενος ἔοικεν κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ—**7** μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος ὅτι λήψεταί[2] τι παρὰ τοῦ[3] Κυρίου, **8** ἀνὴρ δίψυχος ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.

9 Καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ, **10** ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ, ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται. **11** Ἀνέτειλεν γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι καὶ ἐξήρανεν τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσεν καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο. Οὕτως καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται.

About testing

12 Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενόμενος λήψεται[4] τὸν στέφανον τῆς ζωῆς ὃν ἐπηγγείλατο ὁ Κύριος[5] τοῖς ἀγαπῶσιν αὐτόν. **13** Μηδεὶς πειραζόμενος λεγέτω ὅτι «Ἀπὸ[6] Θεοῦ πειράζομαι,» ὁ γὰρ Θεὸς ἀπείραστός ἐστιν κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα. **14** Ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας, ἐξελκόμενος καὶ δελεαζόμενος. **15** Εἶτα ἡ ἐπιθυμία, συλλαβοῦσα, τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα, ἀποκύει θάνατον.

16 Μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί· **17** πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον Ἄνωθέν ἐστιν, καταβαῖνον ἀπὸ τοῦ Πατρὸς τῶν φώτων, παρ᾽ ᾧ οὐκ ἔνι[7] παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα. **18** Βουληθείς, ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων.

19 Ὥστε,[8] ἀδελφοί μου ἀγαπητοί, ἔστω[9] πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν· **20** ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται.[10]

About obeying the Word

21 Διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ περισσείαν κακίας, ἐν πραΰτητι[11] δέξασθε τὸν ἔμφυτον λόγον τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν.[12] **22** Γίνεσθε δὲ ποιηταὶ λόγου[13] καὶ μὴ

---

[1] ουκ **f**^{35} (70.3%) RP,HF,OC,CP ¦ μη ℵA,B,C (29.7%) TR,NU (James is stating a fact; God doesn't reproach.)

[2] ληψεται **f**^{35} [98.5%] RP,HF,OC,TR,CP ¦ λημψεται (ℵ)A,B(C) [1.5%] NU

[3] του *rell* ¦ --- [15%]

[4] ληψεται **f**^{35} C [98.5%] RP,HF,OC,TR,CP ¦ λημψεται 𝔓^{23}ℵA,B [1.5%] NU

[5] ο κυριος **f**^{35} (89%) RP,HF,OC,TR,CP ¦ 2 C (4.8%) ¦ 1 θεος (3.6%) ¦ --- 𝔓^{23}ℵA,B (2%) NU ¦ 1 αψευδης θεος (0.6%) (The Alexandrian omission of the subject of the verb produces an inferior text; to use the 'harder reading' canon to foist the inferior reading on James I consider to be unfair and illegitimate.)

[6] απο **f**^{35} A,B,C [93%] RP,HF,OC,CP,NU ¦ υπο ℵ [2.5%] ¦ 1 του [4%] TR ¦ παρα [0.5%]

[7] ενι *rell* ¦ εστιν ℵ [10%]

[8] ωστε **f**^{35} [95%] RP,HF,OC,TR,CP ¦ ιστε ℵB,C [3%] NU ¦ ιστε δε A [1%] ¦ --- [1%] (Another Alexandrian infelicity that should not be imputed to James.)

[9] εστω **f**^{35} [97%] RP,HF,OC,TR,CP ¦ 1 δε ℵB,C [2%] NU ¦ και 1 A [1%]

[10] ου κατεργαζεται **f**^{35} C (82.9%) RP,HF,OC,TR,CP,N-A^{28} ¦ ουκ εργαζεται ℵA,B (16.3%) NU ¦ 2 (0.8%)

[11] πραυτητι **f**^{35} ℵA,B,C [92%] RP,HF,OC,TR,NU ¦ πραοτητι [8%] CP

[12] υμων *rell* ¦ ημων [25%]

[13] λογου **f**^{35} ℵA,B,C [89%] RP,HF,OC,TR,CP,NU ¦ νομου [6%] ¦ λογων [4%] ¦ two other variants [1%]

μόνον ἀκροαταί,[1] παραλογιζόμενοι ἑαυτούς. **23** Ὅτι εἴ τις ἀκροατὴς νόμου[2] ἐστὶν καὶ οὐ ποιητής, οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ· **24** κατενόησεν γὰρ ἑαυτὸν καὶ ἀπελήλυθεν καὶ εὐθέως ἐπελάθετο ὁποῖος ἦν. **25** Ὁ δὲ παρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερίας καὶ παραμείνας, οὗτος[3]—οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμενος ἀλλὰ ποιητὴς ἔργου—οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται.

26 Εἴ τις δοκεῖ θρῆσκος εἶναι ἐν ὑμῖν,[4] μὴ χαλιναγωγῶν γλῶσσαν αὐτοῦ ἀλλ'[5] ἀπατῶν καρδίαν αὐτοῦ, τούτου μάταιος ἡ θρησκεία. **27** Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ[6] Θεῷ καὶ Πατρὶ αὕτη ἐστίν· ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.

About partiality

2:1 Ἀδελφοί μου, μὴ ἐν προσωποληψίαις[7] ἔχετε τὴν πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς Δόξης. **2** Ἐὰν γὰρ εἰσέλθῃ εἰς τὴν[8] συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος, ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι, **3** καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν λαμπρὰν ἐσθῆτα[9] καὶ εἴπητε αὐτῷ,[10] «Σὺ κάθου ὧδε[11] καλῶς,» καὶ τῷ πτωχῷ εἴπητε, «Σὺ στῆθι ἐκεῖ,» ἢ «Κάθου[12] ὧδε[13] ὑπὸ τὸ ὑποπόδιόν μου,» **4** οὐ[14] διεκρίθητε ἐν ἑαυτοῖς καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν;

5 Ἀκούσατε, ἀδελφοί μου ἀγαπητοί. Οὐχ ὁ Θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τοῦ κόσμου[15] πλουσίους ἐν πίστει καὶ κληρονόμους τῆς βασιλείας ἧς ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν; **6** Ὑμεῖς δὲ ἠτιμάσατε τὸν πτωχόν. Οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν, καὶ αὐτοὶ ἕλκουσιν ὑμᾶς εἰς κριτήρια; **7** Οὐκ αὐτοὶ βλασφημοῦσιν τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ' ὑμᾶς; **8** Εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν κατὰ τὴν Γραφήν, «Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν,»[16] καλῶς ποιεῖτε· **9** εἰ δὲ προσωποληπτεῖτε,[17] ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου ὡς

---

[1] μονον ακροαται **f**[35] ℵA,C (94%) RP,HF,OC,TR,CP,NU ¦ ~ 21 B (4.4%) *ECM* ¦ 2 (1.2%) ¦ two other variants

[2] νομου **f**[35] [30%] ¦ λογου ℵA,B,C [69%] RP,HF,OC,TR,CP,NU ¦ λογων [1%] (Comparing verse 23 with verse 25, James is now talking about 'law', but copyists, having already written 'word' twice, could make the change, of 'law' to 'word', almost without thinking. If the original were 'word' there would be no pressure to change it to 'law'.)

[3] ουτος **f**[35] (87.6%) RP,HF,OC,TR,CP ¦ ουτως (6.8%) ¦ --- ℵA,B,C,0173 (5.2%) NU ¦ και (0.4%) (The Alexandrians didn't like the repetition of the emphatic pronoun.)

[4] ειναι εν υμιν **f**[35] (80.3%) RP,HF,OC,TR [12 ημιν (1.6%)] ¦ ~ 231 (8.2%) CP [~ 2 ημιν 1 (0.4%)] ¦ 1 ℵA,B,C,0173 (9.4%) NU

[5] αλλ **f**[35] [35%] OC,TR ¦ αλλα ℵA,B,C,0173 [65%] RP,HF,CP,NU (The MSS supporting the shorter form come from a considerable number of rivulets within the transmission spectrum, many of them non-Byzantine.)

[6] παρα **f**[35] ℵ [80%] RP,HF,CP ¦ 1 τω A,B,C [20%] OC,TR,NU (OC is in small print.) (The phrase 'God and Father' works like a proper noun; being its first occurrence the article isn't called for.)

[7] προσωποληψιαις **f**[35] [99%] RP,HF,OC,TR,CP ¦ προσωπολημψιαις ℵA,B,C [1%] NU

[8] την **f**[35] A [96.5%] RP,HF,OC,TR,CP ¦ --- ℵB,C [3.5%] NU

[9] και επιβλεψητε **f**[35] ℵA [93%] RP,HF,OC,TR,CP ¦ ~ 2 δε B,C [7%] NU

[10] αυτω **f**[35] [91%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B,C [9%] NU (Would not James, a Jew, write 'to him'?)

[11] ὦδε *rell* ¦ ὧδε **f**[35] [40%] (Since there appears to be no difference in meaning, I follow the usual spelling, but wish to record the variant for possible future reference; a similar statement will obtain wherever the word occurs.)

[12] εκει η καθου **f**[35] ℵA (97%) RP,HF,OC,TR,CP,NU ¦ ~ 231 B (2%) *ECM*,N-A[28] ¦ 1 και 3 C (0.6%) ¦ two other variants

[13] ωδε **f**[35] ℵ (93.2%) RP,HF,OC,TR,CP ¦ --- A,B,C (6.8%) NU

[14] ου **f**[35] ℵA,C (26.8%) NU ¦ και 1 (72.2%) RP,HF,OC,TR,CP,N-A[28] ¦ και (0.6%) ¦ --- B (0.4%) (The protasis occupies verses 2 and 3; the και looks to me like an infelicitous gloss introduced by copyists who lost the flow of the argument.)

[15] του κοσμου **f**[35] (90.7%) RP,HF,OC,CP ¦ 12 τουτου (5.6%) TR ¦ τω κοσμω ℵA,B,C (2.4%) NU ¦ εν τω κοσμω (0.4%) ¦ και τω κοσμω (0.2%) ¦ εν κοσμω (0.8%)

[16] σεαυτον **f**[35] ℵA(B)C [50%] RP,HF,OC,TR,NU ¦ εαυτον [50%] CP (It would be easy to drop one of the two sigmas—Ω<u>CC</u>EAYTON)

[17] προσωποληπτειτε **f**[35] [98.5%] RP,HF,OC,TR,CP ¦ προσωπολημπτειτε ℵA,B,C [1.5%] NU

παραβάται. **10** Ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσει,[1] πταίσει[2] δὲ ἐν ἑνί, γέγονεν πάντων ἔνοχος. **11** Ὁ γὰρ εἰπών, «Μὴ μοιχεύσῃς,» εἶπεν καί, «Μὴ φονεύσῃς.»[3] Εἰ δὲ οὐ μοιχεύσεις, φονεύσεις[4] δέ, γέγονας παραβάτης νόμου.

12 Οὕτως λαλεῖτε καὶ οὕτως ποιεῖτε ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι **13** (ἡ γὰρ κρίσις ἀνήλεος[5] τῷ μὴ ποιήσαντι ἔλεος). Κατακαυχᾶται[6] ἔλεον[7] κρίσεως.

Faith and works

2:14 Τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις[8] ἔχειν, ἔργα δὲ μὴ ἔχει;[9] Μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν; **15** Ἐὰν δὲ[10] ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσιν, καὶ λειπόμενοι ὦσιν[11] τῆς ἐφημέρου τροφῆς, **16** εἴπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν, «Ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε καὶ χορτάζεσθε,» μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος, τί τὸ ὄφελος; **17** Οὕτως καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ,[12] νεκρά ἐστιν, καθ᾽ ἑαυτήν. **18** (Ἀλλ᾽ ἐρεῖ τις· «Σὺ πίστιν ἔχεις κἀγὼ ἔργα ἔχω. Δεῖξόν μοι τὴν πίστιν σου ἐκ[13] τῶν ἔργων σου,[14] κἀγὼ δείξω σοι[15] ἐκ τῶν ἔργων μου τὴν πίστιν μου.»[16] **19** Σὺ πιστεύεις ὅτι ὁ Θεὸς εἷς ἐστιν.[17] Καλῶς ποιεῖς. Καὶ τὰ δαιμόνια πιστεύουσιν—καὶ φρίσσουσιν.)

---

[1] τηρησει **f**[35] [89.5%] RP,HF,TR,CP ¦ τηρηση ℵB,C [1.5%] OC,NU ¦ τελεσει [3%] ¦ πληρωσει A [5%] ¦ three other variants (Since the apodosis is indicative, the protasis is too; James isn't being hypothetical.)

[2] πταισει **f**[35] [96.5%] RP,HF,TR,CP ¦ πταιση ℵA,B,C [3%] OC,NU ¦ two other variants

[3] μη μοιχευσης … μη φονευσης **f**[35] A,B [74%] OC,TR,CP,NU ¦ μη μοιχευσεις … μη φονευσεις [7%] RP,HF [ECM says that ℵ [3%] are ambiguous as to these first two variants—in uncial script they are very similar] ¦ μη μοιχευσης … ου φονευσεις [1%] ¦ μη μοιχευσεις … ου φονευσεις [5%] ¦ μη φονευσης … μη μοιχευσης C [4%] ¦ μη φονευσης … ου μοιχευσεις [3%] ¦ μη φονευσεις … μη μοιχευσεις [0.5%] ¦ μη φονευσης … ου μοιχευσης [1.5%] (There are two other variants plus another ambiguity that account for [1%].)

[4] μοιχευσεις φονευσεις **f**[35] [74%] RP,HF,OC,TR,CP ¦ μοιχευεις φονευεις ℵA,B,C [5%] NU ¦ μοιχευσης φονευσης [8%] ¦ μοιχευσης φονευσεις [4%] ¦ μοιχευσεις φονευσης [1%] ¦ μοιχευεις φονευσεις [1%] ¦ μοιχευσεις φονευεις [1.5%] ¦ φονευσεις μοιχευσεις [4%] ¦ φονευεις μοιχευεις [1%] ¦ two other variants

[5] ανηλεος **f**[35] [20%] ¦ ανελεος ℵA,B,C [30%] RP,HF,OC,NU ¦ ανιλεως [50%] CP,TR (That someone would have introduced an Attic form in the middle ages is scarcely credible, so **f**[35] is early.)

[6] κατακαυχαται **f**[35] ℵB,C [85%] RP,HF,OC,CP,NU ¦ 1 δε [10%] ¦ και 1 [3%] TR ¦ κατακαυχασθω [1%] ¦ κατακαυχασθω δε A [1%] ¦ two other variants

[7] ελεον **f**[35] C [80%] RP,HF,CP ¦ ελεος ℵA,B [20%] OC,TR,NU (I take 'the law of liberty' to be the subject of the verb, κατακαυχαται, and 'mercy' its direct object—"*That law* exalts mercy over judgment". But that subject is in a prior sentence, and one has to stop and think.)

[8] λεγη τις **f**[35] ℵB [70%] RP,HF,OC,TR,CP,NU ¦ ~ 21 A,C [1%] ¦ λεγει 2 [28%] ¦ three other variants

[9] εχει **f**[35] [46%] ¦ εχη **f**[35pt] ℵA,B,C [47%] RP,HF,OC,TR,CP,NU ¦ εχειν [4.5%] ¦ σχη [2.5%] (15 of the 38 **f**[35] MSS that have the variant are part of a subgroup (with several more on its fringe), which could reduce its percentage considerably. Indicative, or Subjunctive? In the context, "if someone says" is properly Subjunctive, while "but does not have works" is properly Indicative. It is the <u>fact</u> of no works that makes the claim spurious. James is stating a fact; the person doesn't have works.)

[10] δε **f**[35] A,C [84%] RP,HF,OC,TR,CP ¦ --- ℵB [15%] NU ¦ two other variants

[11] ωσιν **f**[35] A [95%] RP,HF,OC,TR,CP,N-A[28] ¦ --- ℵB,C [5%] NU

[12] εργα εχη **f**[35] [75%] RP,HF,OC,TR,CP ¦ ~ 21 ℵA,B,C [24%] NU ¦ three other variants

[13] εκ **f**[35] (88.2%) RP,HF,OC,TR,CP ¦ χωρις ℵA,B,C (10.8%) some TRs,NU ¦ two other variants (This delightful verse is generally misunderstood to this day. [At least three of the four Alexandrian variants in this verse derive from misunderstanding.] The translations that close the quote after the first 'works' don't make sense. The hypothetical objector has disclaimed faith, so for James to say, "Show me your faith," doesn't follow. James clearly teaches salvation by faith, a faith that is alive [if you're alive you do things]. But an orthodox Jew believes in salvation by works, so here James [who had once been one] anticipates an objection from that quarter. The salvation-by-works person has a different faith.)

[14] σου **f**[35] C [92%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B [8%] NU

[15] δειξω σοι **f**[35] A,C [92%] RP,HF,OC,TR,CP ¦ ~ 21 ℵB [8%] NU

[16] μου **f**[35] A [93%] RP,HF,OC,TR,CP ¦ --- ℵB,C [7%] NU ¦ one other variant

[17] ο θεος εις εστιν **f**[35] (80.4%) RP,HF,OC,TR,CP ¦ 234 (9.9%) ¦ ~ 324 B (4.2%) ¦ ~ 3124 C (1.6%) ¦ ~ 3412 ℵA (1.8%) NU ¦ ~ 342 (0.8%) ¦ 124 (0.6%) ¦ 24 (0.6%) ¦ ~ 42 (0.2%) (In his retort James cites a central tenet in Judaism. Since the demons believe the same thing, and it doesn't do them any good, something more or different is needed.)

20 Θέλεις δὲ γνῶναι, ὦ ἄνθρωπε κενέ, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά[1] ἐστιν!

Examples

21 Ἀβραὰμ[2] ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαιώθη ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον; **22** Βλέπεις ὅτι ἡ πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ, καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη. **23** Καὶ ἐπληρώθη ἡ Γραφὴ ἡ λέγουσα, «Ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.» Καὶ ‹φίλος Θεοῦ› ἐκλήθη. **24** Ὁρᾶτε τοίνυν ὅτι[3] ἐξ ἔργων δικαιοῦται ἄνθρωπος, καὶ οὐκ ἐκ πίστεως μόνον. **25** Ὁμοίως δὲ καὶ Ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων ἐδικαιώθη ὑποδεξαμένη τοὺς ἀγγέλους[4] καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα; **26** Ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτως καὶ ἡ πίστις χωρὶς τῶν[5] ἔργων νεκρά ἐστιν!

Careful with your tongue!

3:1 Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες ὅτι μεῖζον κρῖμα ληψόμεθα.[6] **2** Πολλὰ γὰρ πταίομεν ἅπαντες. Εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνήρ, δυνάμενος[7] χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα. **3** Ἴδε,[8] τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα βάλλομεν πρὸς τὸ[9] πείθεσθαι αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ σῶμα αὐτῶν μετάγομεν. **4** Ἰδοὺ καὶ τὰ πλοῖα· τηλικαῦτα ὄντα καὶ ὑπὸ ἀνέμων σκληρῶν[10] ἐλαυνόμενα, μετάγεται ὑπὸ ἐλαχίστου πηδαλίου ὅπου ἂν[11] ἡ ὁρμὴ τοῦ ἰθύνοντος[12] βούληται.[13] **5** Οὕτως καὶ ἡ γλῶσσα μικρὸν μέλος ἐστὶν καὶ μεγαλαυχεῖ.[14]

Ἰδού, ὀλίγον[15] πῦρ ἡλίκην ὕλην ἀνάπτει. **6** Καὶ ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας, οὕτως[16] ἡ γλῶσσα καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ σπιλοῦσα ὅλον τὸ σῶμα καὶ φλογίζουσα τὸν τροχὸν τῆς γενέσεως, καὶ φλογιζομένη ὑπὸ τῆς Γεέννης. **7** Πᾶσα γὰρ φύσις θηρίων τε καὶ πετεινῶν, ἑρπετῶν τε καὶ ἐναλίων, δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ. **8** Τὴν δὲ γλῶσσαν οὐδεὶς δύναται ἀνθρώπων δαμάσαι[17]—ἀκατάσχετον[18] κακόν, μεστὴ ἰοῦ θανατηφόρου. **9** Ἐν αὐτῇ εὐλογοῦμεν τὸν Θεὸν[19] καὶ Πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους τοὺς καθ᾽ ὁμοίωσιν

---

[1] νεκρα **f**[35] ℵA (98.2%) RP,HF,OC,TR,CP ¦ αργη B,C (1.6%) NU ¦ κενη (0.2%)

[2] ἁβρααμ **f**[35] [50%] ¦ ἀβρααμ ℵA,B,C [50%] RP,HF,OC,TR,CP,NU (This statement of evidence obtains in verse 23 as well.) [When Jehovah changed Abram's name to Abraham (Genesis 17:5) the intervocalic aspiration in Hebrew is adequately represented in English by 'h'; but so far as I know, there is no way in Greek to indicate intervocalic aspiration within a word—the only alternative to losing the aspiration altogether would be to place it at the beginning of the word.]

[3] τοινυν οτι **f**[35] (87.5%) RP,HF,OC,TR,CP ¦ 2 ℵA,B,C (11.3%) NU ¦ ~ 2 ουτως (1.2%)

[4] αγγελους *rell* ¦ κατασκοπους C [10%]

[5] των **f**[35] A,C [92%] RP,HF,OC,TR,CP ¦ --- 𝔓[20]ℵB [8%] NU

[6] ληψομεθα **f**[35] [97.5%] RP,HF,OC,TR,CP ¦ λημψομεθα ℵA,B,C [1%] NU ¦ ληψεσθε [1.5%]

[7] δυναμενος **f**[35] ℵ [23%] ¦ δυνατος A,B [76.5%] RP,HF,OC,TR,CP,NU (two other variants, and *ECM* lists codex C as ambiguous.) (Is it not more likely that the present participle [unexpected] would be changed to the adjective than vice versa?—but it makes great sense, 'being able to bridle'.)

[8] ιδε **f**[35] [60%] RP,HF,OC,CP ¦ ει δε [38.5%] NU ¦ ιδου [0.5%] TR (*ECM* lists six uncials as ambiguous, including ℵA,B,C. The variant chosen by NU scarcely makes sense. The και at the beginning of verse 4 presupposes an imperative at the beginning of verse 3.)

[9] προς το **f**[35] A (97%) RP,HF,OC,TR,CP ¦ εις 2 ℵB,C (2.4%) NU ¦ τω (0.6%)

[10] ανεμων σκληρων **f**[35] ℵB,C [44%] NU ¦ ~ 21 A [56%] RP,HF,OC,TR,CP

[11] αν **f**[35] A,C [99.5%] RP,HF,OC,TR,CP ¦ --- ℵB [0.5%] NU

[12] ιθυνοντος **f**[35] [21%] ¦ ευθυνοντος ℵA,B,C [79%] RP,HF,OC,TR,CP,NU (At issue is a mere question of spelling, the first variant being classical Greek. It seems to me more probable that the unfamiliar classical form would be changed to the familiar *koine* than vice versa [most lexicons don't even list the classical form].)

[13] βουληται **f**[35] A,C [89%] RP,HF,OC,TR,CP ¦ βουλεται ℵB [10%] NU ¦ βουλοιτο [1%]

[14] μεγαλαυχει **f**[35] 𝔓[20]ℵ [95%] RP,HF,OC,TR,CP ¦ μεγαλα αυχει A,B,C [5%] NU

[15] ολιγον **f**[35] A[v],C [95%] RP,HF,OC,TR,CP ¦ ηλικον ℵB [3%] NU ¦ ολιγων [2%] (The Alexandrian variant goes against James' argument.)

[16] ουτως **f**[35] [83%] RP,HF,OC,TR,CP ¦ 1 και [8%] ¦ --- 𝔓[20]ℵA,B,C [9%] NU

[17] δυναται ανθρωπων δαμασαι **f**[35] (84.1%) RP,HF,OC,TR,CP ¦ ~ 132 ℵA (11.9%) ¦ ~ 312 B,C (1%) NU ¦ 13 (1.4%) ¦ 1 (0.8%) ¦ three other variants plus an ambiguity

[18] ακατασχετον **f**[35] C (97.4%) RP,HF,OC,TR,CP ¦ ακαταστατον ℵA,B (2.6%) NU

[19] θεον **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ κυριον 𝔓[20]ℵA,B,C [4%] NU (The title used in 1:27 is repeated, and being a

Θεοῦ γεγονότας. **10** Ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα. Οὐ χρή, ἀδελφοί μου,[1] ταῦτα οὕτως γίνεσθαι. **11** Μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν;[2] **12** Μὴ δύναται, ἀδελφοί μου, συκῆ ἐλαίας ποιῆσαι, ἢ ἄμπελος σῦκα; Οὕτως[3] οὐδεμία πηγὴ ἁλυκὸν καὶ[4] γλυκὺ ποιῆσαι ὕδωρ.

True wisdom

True contrasted with demonic

3:13 Τίς[5] σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν; Δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραΰτητι σοφίας. **14** Εἰ δὲ ζῆλον πικρὸν ἔχετε καὶ ἐριθείαν ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε[6] καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας—**15** οὐκ ἔστιν αὕτη ἡ σοφία[7] Ἄνωθεν κατερχομένη, ἀλλ'[8] ἐπίγειος, ψυχική, δαιμονιώδης. **16** Ὅπου γὰρ ζῆλος καὶ ἐριθεία, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα. **17** Ἡ δὲ Ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνική, ἐπιεικής, εὐπειθής, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, ἀδιάκριτος καὶ[9] ἀνυπόκριτος. **18** Καρπὸς δὲ[10] δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην.

Is not worldliness

4:1 Πόθεν πόλεμοι καὶ[11] μάχαι ἐν ὑμῖν; Οὐκ ἐντεῦθεν, ἐκ τῶν ἡδονῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν; **2** Ἐπιθυμεῖτε καὶ οὐκ ἔχετε· φονεύετε καὶ ζηλοῦτε καὶ οὐ δύνασθε ἐπιτυχεῖν· μάχεσθε καὶ πολεμεῖτε. Οὐκ ἔχετε[12] διὰ τὸ μὴ αἰτεῖσθαι ὑμᾶς. **3** Αἰτεῖτε καὶ οὐ λαμβάνετε διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε. **4** Μοιχοὶ καὶ[13] μοιχαλίδες, οὐκ οἴδατε ὅτι ἡ φιλία τοῦ κόσμου ἔχθρα τοῦ Θεοῦ ἐστιν; Ὃς ἂν[14] οὖν[15] βουληθῇ φίλος εἶναι τοῦ κόσμου ἐχθρὸς τοῦ Θεοῦ καθίσταται. **5** Ἢ δοκεῖτε ὅτι κενῶς ἡ Γραφὴ λέγει, πρὸς φθόνον ἐπιποθεῖ τὸ Πνεῦμα ὃ κατῴκησεν[16] ἐν ἡμῖν; **6** Μείζονα δὲ δίδωσιν χάριν· διὸ λέγει, «Ὁ Θεὸς[17] ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσιν χάριν.»

Is *submitting to God*

7 Ὑποτάγητε οὖν τῷ Θεῷ· ἀντίστητε[18] τῷ διαβόλῳ καὶ φεύξεται ἀφ' ὑμῶν. **8** Ἐγγίσατε τῷ

---

repetition it comes with the article.)

[1] μου **f**[35] ℵA,B,C [84%] RP,HF,OC,TR,NU ¦ 1 αγαπητοι [16%] CP

[2] γλυκυ και το πικρον **f**[35] ℵA,B,C [85%] RP,HF,OC,TR,CP,NU ¦ 124 [4%] ¦ 1234 υδωρ [3%] ¦ ~ 4231 [8%]

[3] ουτως **f**[35] ℵ [97%] RP,HF,OC,TR,CP ¦ --- A,B,C [3%] NU

[4] ουδεμια πηγη αλυκον και **f**[35] [96%] RP,HF,OC,TR(CP) ¦ ουδε αλυκον ℵ [1.6%] ¦ ουτε αλυκον A,B,C [1.8%] NU ¦ three other variants (Who knows what got into the Alexandrians here.)

[5] τις **f**[35] ℵA,B,C [90%] RP,HF,OC,TR,NU ¦ ει 1 [4%] CP ¦ --- [6%]

[6] κατακαυχασθε *rell* ¦ καυχασθε A [15%]

[7] αυτη η σοφια **f**[35] ℵA,B [84%] RP,HF,OC,TR,CP,NU ¦ ~ 231 C [10%] ¦ 23 [6%]

[8] αλλ **f**[35] 𝔓[100]A,C [99.4%] RP,HF,OC,TR,CP ¦ αλλα ℵB [0.6%] NU

[9] και **f**[35] 𝔓[100] [90%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B,C [10%] NU

[10] δε **f**[35] A,B,C [56.6%] NU ¦ δε της [42%] RP,HF,OC,TR,CP ¦ δε ο ℵ [0.4%] ¦ --- [1%] (The article is inappropriate here. Who knows what motivated whoever added it, but it is a mistake.)

[11] και **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ και ποθεν ℵ(A)B(C) [10%] NU (The unnecessary repetition of the adverb is not characteristic of the Alexandrians, but that doesn't make it right.)

[12] ουκ εχετε **f**[35] 𝔓[100]A,B [64%] RP,HF,NU ¦ και 12 ℵ [35%] OC,CP ¦ 12 δε [1%] TR ¦ one other variant (OC is in small print.) (I suppose the conjunction was added in an effort to make a parallel to "you murder and covet and are not able to obtain.")

[13] μοιχοι και **f**[35] (97.6%) RP,HF,OC,TR,CP ¦ --- 𝔓[100]ℵA,B (2%) NU ¦ 1 (0.4%) (The Alexandrian variant is an easy case of homoioarcton: MOIX … MOIX.)

[14] αν **f**[35] A [93%] RP,HF,OC,TR,CP ¦ εαν ℵB [7%] NU

[15] ουν **f**[35] ℵA,B [58%] RP,HF,OC,TR,CP,NU ¦ --- [42%] (The omission would be an easy case of homoioteleuton.)

[16] κατωκησεν **f**[35] [88%] RP,HF,OC,TR,CP ¦ κατωκισεν ℵB [10%] NU ¦ κατωκεισεν A [2%]

[17] ο θεος **f**[35] ℵA,B [94%] RP,HF,OC,TR,NU ¦ κυριος [6%] CP

[18] αντιστητε **f**[35] [47.5%] OC,TR,CP ¦ 1 δε ℵA,B [50%] RP,HF,NU ¦ 1 ουν [2.5%] (The conjunction looks to me like an infelicitous gloss. The conjunction at the beginning of the verse links it to the prior context, but the string of imperatives—'submit', 'resist', 'draw near', 'cleanse and purify', 'lament and mourn and weep'—are not linked

Θεῷ καὶ ἐγγιεῖ ὑμῖν. Καθαρίσατε χεῖρας, ἁμαρτωλοί, καὶ ἁγνίσατε καρδίας, δίψυχοι. **9** Ταλαιπωρήσατε καὶ πενθήσατε καὶ κλαύσατε· ὁ γέλως ὑμῶν εἰς πένθος μεταστραφήτω[1] καὶ ἡ χαρὰ εἰς κατήφειαν. **10** Ταπεινώθητε ἐνώπιον τοῦ Κυρίου[2] καὶ ὑψώσει ὑμᾶς.

Does not judge the different brother

11 Μὴ καταλαλεῖτε ἀλλήλων, ἀδελφοί. Ὁ γὰρ[3] καταλαλῶν ἀδελφοῦ καὶ[4] κρίνων τὸν ἀδελφὸν αὐτοῦ καταλαλεῖ νόμου καὶ κρίνει νόμον. Εἰ δὲ νόμον κρίνεις, οὐκ εἶ ποιητὴς νόμου ἀλλὰ κριτής. **12** Εἷς ἐστιν ὁ[5] Νομοθέτης καὶ Κριτής,[6] ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι. Σὺ δὲ[7] τίς εἶ ὃς κρίνεις[8] τὸν ἕτερον;[9]

Does not boast about tomorrow

13 Ἄγε νῦν, οἱ λέγοντες, «Σήμερον καὶ[10] αὔριον πορευσώμεθα[11] εἰς τήνδε τὴν πόλιν καὶ ποιήσωμεν[12] ἐκεῖ ἐνιαυτὸν ἕνα[13] καὶ ἐμπορευσώμεθα[14] καὶ κερδήσωμεν».[15] **14** οἵτινες οὐκ ἐπίστασθε τὸ τῆς αὔριον. Ποία γὰρ[16] ἡ ζωὴ ἡμῶν;[17] Ἀτμὶς γάρ ἐστιν[18] ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα[19] ἀφανιζομένη. **15** Ἀντὶ τοῦ λέγειν ὑμᾶς, «Ἐὰν ὁ Κύριος θελήσῃ,[20] καὶ ζήσωμεν[21] καὶ ποιήσωμεν[22] τοῦτο ἢ ἐκεῖνο.» **16** Νῦν δὲ καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν. Πᾶσα καύχησις τοιαύτη πονηρά ἐστιν. **17** Εἰδότι οὖν καλὸν ποιεῖν καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστιν.

The coming of the Lord

Rich oppressors will be judged

5:1 Ἄγε νῦν, οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέναις. **2** Ὁ πλοῦτος ὑμῶν σέσηπεν καὶ τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονεν. **3** Ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος κατίωται, καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῖν ἔσται καὶ φάγεται τὰς σάρκας ὑμῶν ὡς

---

by conjunctions.)

[1] μεταστραφητω **f**[35] ℵA [93.5%] RP,HF,OC,TR,CP ¦ μετατραπητω **𝔓**[100]B [6%] NU ¦ two other variants

[2] του κυριου **f**[35] **𝔓**[100] [82%] RP,HF,OC,TR,CP,N-A[28] ¦ 2 ℵA,B [16%] NU ¦ 1 θεου [2%] (The article is correct.)

[3] γαρ **f**[35] [26%] ¦ --- ℵA,B [74%] RP,HF,OC,TR,CP,NU (The conjunction makes the reason for the exhortation overt; without it that semantic connection is not clear.)

[4] και **f**[35] (84.3%) RP,HF,OC,TR,CP ¦ η **𝔓**[100]ℵA,B (15.3%) NU ¦ --- (0.4%)

[5] ο **f**[35] ℵA [96.5%] RP,HF,OC,TR,CP[NU] ¦ --- **𝔓**[100]B [3.5%]

[6] και κριτης **f**[35] ℵA,B [62%] OC,NU ¦ --- [38%] RP,HF,TR,CP (The omission could be the result of homoioteleuton: -THC … -THC.)

[7] δε **f**[35] **𝔓**[100]ℵA,B [94%] RP,HF,OC,CP,NU ¦ --- [6%] TR

[8] ος κρινεις **f**[35] [85%] RP,HF,OC,TR,CP ¦ ο κρινων **𝔓**[100]ℵA,B [15%] NU

[9] ετερον **f**[35] [88%] RP,HF,OC,TR,CP ¦ πλησιον ℵA,B [12%] NU [The Alexandrian variant destroys the point of the paragraph. Each person is different (background, experiences, personality, training) and we must recognize that God can and will deal differently with different people. He uses one 'law' with me, another 'law' with you, and so on. A law is a set of rules or demands, so when I judge a brother I am questioning the way ('law') that God is working on him. As He is both Lawgiver and Judge, I will have to answer to Him for how I judged my 'brothers'.]

[10] και **f**[35] A [95%] RP,HF,OC,TR,CP ¦ η ℵB [5%] NU

[11] πορευσωμεθα **f**[35] A [76%] RP,HF,TR,CP ¦ πορευσομεθα **𝔓**[100v]ℵB [24%] OC,NU ¦ one other variant

[12] ποιησωμεν **f**[35] ℵA [89%] RP,HF,TR,CP ¦ ποιησομεν **𝔓**[100]B [11%] OC,NU

[13] ενα **f**[35] A [96%] RP,HF,OC,TR,CP ¦ --- ℵB [4%] NU

[14] εμπορευσωμεθα **f**[35] [84%] RP,HF,TR,CP ¦ εμπορευσομεθα **𝔓**[100v]ℵA,B [16%] OC,NU

[15] κερδησωμεν **f**[35] [88%] RP,HF,TR,CP ¦ κερδησομεν ℵA,B [12%] OC,NU ¦ one other variant

[16] γαρ **f**[35] **𝔓**[100]A [97.4%] RP,HF,OC,TR,CP ¦ --- ℵB [2.6%] NU

[17] ημων **f**[35] [26%] ¦ υμων (**𝔓**[100])ℵA(B) [74%] RP,HF,OC,TR,CP,NU (The question is properly inclusive, 1st person.)

[18] εστιν **f**[35] [52%] TR ¦ εσται (A) [41%] RP,HF,OC,CP ¦ εστε B [7%] NU ¦ --- ℵ (James answers the question with a statement of fact, not a prophecy.)

[19] επειτα **f**[35] [29.5%] ¦ 1 δε και [46%] RP,HF,OC,CP ¦ 1 δε [15%] TR ¦ 1 και ℵA,B [9.5%] NU (OC has δε in small print.)

[20] θεληση **f**[35] **𝔓**[100v]ℵA [81%] RP,HF,OC,TR,CP,NU ¦ θελησει [12%] ¦ θελη B [7%]

[21] ζησωμεν **f**[35] [90%] RP,HF,TR,CP ¦ ζησομεν ℵA,B [10%] OC,NU

[22] ποιησωμεν **f**[35] [89%] RP,HF,TR,CP ¦ ποιησομεν **𝔓**[100v]ℵA,B [11%] OC,NU ¦ one other variant

πῦρ—ἐθησαυρίσατε ἐν ἐσχάταις ἡμέραις. **4** Ἰδού, ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρας ὑμῶν, ὁ ἀπεστερημένος ἀφ'[1] ὑμῶν, κράζει, καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα Κυρίου Σαβαὼθ εἰσεληλύθασιν. **5** Ἐτρυφήσατε ἐπὶ τῆς γῆς καὶ ἐσπαταλήσατε, ἐθρέψατε τὰς καρδίας ὑμῶν ὡς[2] ἐν ἡμέρᾳ σφαγῆς. **6** Κατεδικάσατε, ἐφονεύσατε τὸν δίκαιον—οὐκ ἀντιτάσσεται ὑμῖν.

Patience and perseverance

7 Μακροθυμήσατε οὖν, ἀδελφοί, ἕως τῆς παρουσίας τοῦ Κυρίου. Ἰδού, ὁ γεωργὸς ἐκδέχεται τὸν τίμιον καρπὸν τῆς γῆς, μακροθυμῶν ἐπ' αὐτὸν[3] ἕως ἂν[4] λάβῃ ὑετὸν[5] πρώϊμον[6] καὶ ὄψιμον. **8** Μακροθυμήσατε καὶ ὑμεῖς. Στηρίξατε τὰς καρδίας ὑμῶν, ὅτι ἡ παρουσία τοῦ Κυρίου ἤγγικεν. **9** Μὴ στενάζετε κατ' ἀλλήλων, ἀδελφοί,[7] ἵνα μὴ κριθῆτε.[8] Ἰδού, ὁ Κριτὴς πρὸ τῶν θυρῶν ἕστηκεν. **10** Ὑπόδειγμα λάβετε, ἀδελφοί,[9] τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας τοὺς προφήτας οἳ ἐλάλησαν ἐν τῷ[10] ὀνόματι Κυρίου. **11** Ἰδού, μακαρίζομεν τοὺς ὑπομένοντας[11]—τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος Κυρίου εἴδετε,[12] ὅτι πολύσπλαγχνός[13] ἐστιν[14] καὶ οἰκτίρμων.

12 Πρὸ πάντων δέ, ἀδελφοί μου, μὴ ὀμνύετε, μήτε τὸν οὐρανὸν μήτε τὴν γῆν μήτε ἄλλον τινὰ ὅρκον. Ἤτω δὲ ὑμῶν τὸ Ναὶ ναὶ καὶ τὸ Οὒ οὔ, ἵνα μὴ εἰς ὑπόκρισιν[15] πέσητε.

Righteous prayer is powerful

13 Κακοπαθεῖ τις ἐν ὑμῖν; Προσευχέσθω. Εὐθυμεῖ τις; Ψαλλέτω. **14** Ἀσθενεῖ τις ἐν ὑμῖν; Προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτόν, ἀλείψαντες αὐτὸν[16] ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου. **15** Καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ. **16** Ἐξομολογεῖσθε[17] ἀλλήλοις τὰ παραπτώματα[18] καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε. Πολὺ ἰσχύει δέησις δικαίου, ἐνεργουμένη. **17** Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ προσευχῇ προσηύξατο τοῦ μὴ βρέξαι· καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ. **18** Καὶ πάλιν προσηύξατο καὶ ὁ οὐρανὸς ὑετὸν ἔδωκεν καὶ ἡ γῆ ἐβλάστησεν τὸν καρπὸν αὐτῆς.

---

[1] αφ **f**[35] ℵA,B [95%] RP,HF,OC,TR,NU ¦ υφ [5%] CP

[2] ως **f**[35] 048[v] [98.5%] RP,HF,OC,TR,CP ¦ --- ℵ(A)B [1.5%] NU

[3] αυτον **f**[35] [80%] RP,HF,CP ¦ αυτω ℵA,B,048 [20%] OC,TR,NU

[4] αν **f**[35] ℵ [53%] TR,CP ¦ --- A,B,048 [45.5%] RP,HF,OC,NU ¦ ου [1.5%] (The farmer doesn't really know if it's going to rain, or not.)

[5] λαβη υετον **f**[35] A (96.8%) RP,HF,OC,TR,CP ¦ 1 B,048 (1.8%) NU ¦ 1 καρπον (1%) ¦ 1 καρπον τον ℵ ¦ one other variant

[6] πρωιμον **f**[35] (92.7%) RP,HF,OC,TR,CP ¦ προιμον ℵA,B (7.3%) NU

[7] κατ αλληλων αδελφοι **f**[35] (ℵ) (79.6%) RP,HF,OC,TR,CP ¦ ~ 312 B (7.6%) NU ¦ ~ 3 μου 12 A (4.6%) ¦ 12 (7.4%) ¦ μετ 23 (0.8%)

[8] κριθητε **f**[35] ℵA,B [98%] RP,HF,OC,CP,NU ¦ κατακριθητε [1%] TR ¦ two other variants

[9] αδελφοι **f**[35] (A)B [35%] NU ¦ 1 μου (ℵ) [62%] RP,HF,OC(TR)CP ¦ --- [3%] (The possessive pronoun would be a natural addition.)

[10] εν τω **f**[35] B [40%] NU ¦ 2 A [58%] RP,HF,OC,TR,CP ¦ 1 ℵ [0.6%] ¦ επι 2 [1.4%] (The preposition makes the semantic connection overt, which we would expect of a Jewish author.)

[11] υπομενοντας **f**[35] [86%] RP,HF,OC,TR,CP ¦ υπομειναντας ℵA,B [14%] NU

[12] ειδετε **f**[35] ℵB [53%] HF,OC,TR,CP,NU ¦ ιδετε A [45%] RP (One other variant, and *ECM* lists four MSS as ambiguous.) (The indicative is correct. The imperative does not fit the context, probably arising from haplography.)

[13] πολυσπλαγχνος **f**[35] ℵA,B [65%] RP,HF,OC,TR,NU ¦ πολυευσπλαγχνος [35%] CP

[14] εστιν **f**[35] (88.2%) RP,HF,CP ¦ 1 ο κυριος ℵA(B) (11.8%) OC,TR,NU εστιν **f**[35] (88.2%) RP,HF,CP ¦ 1 ο κυριος ℵA(B) (11.8%) OC,TR,NU

[15] εις υποκρισιν **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ υπο κρισιν ℵA,B [5%] NU (The more one talks, the more he pretends; the Alexandrian variant is inferior.)

[16] αυτον **f**[35] ℵA [95.5%] RP,HF,OC,TR,CP[NU] ¦ --- B [4.5%]

[17] εξομολογεισθε **f**[35] [89%] RP,HF,OC,TR,CP ¦ 1 ουν ℵA,B,048[v] [11%] NU

[18] τα παραπτωματα **f**[35] (90.4%) RP,HF,OC,TR,CP ¦ τας αμαρτιας ℵA,B,048[v] (9.6%) NU

Help the wanderer

19 Ἀδελφοί,[1] ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ[2] τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτόν, **20** γινωσκέτω ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ σώσει ψυχὴν ἐκ θανάτου[3] καὶ καλύψει πλῆθος ἁμαρτιῶν.[4]

---

[1] αδελφοι **f**^{35} [72%] RP,HF,OC,TR,CP ¦ 1 μου ℵA,B,048 [28%] NU (Again, a natural addition.)

[2] απο *rell* ¦ 1 της οδου ℵ [18%]

[3] εκ θανατου **f**^{35} (92.2%) RP,HF,OC,TR,CP ¦ αυτου 12 ℵ(A)048^{v} (6.4%) NU ¦ 12 αυτου B (1.4%) (The Alexandrian addition is unwarranted.)

[4] The citation of **f**^{35} is based on forty-five MSS—18, 35, 141, 149, 201, 204, 328, 386, 394, 432, 604, 664, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1754, 1761, 1768, 1855, 1858, 1864, 1865, 1876, 1892, 1897, 2221, 2303, 2352, 2431, 2466, 2554, 2587, 2626 and 2723—all of which I collated myself. 18, 1864, 2554 and 2723 are 'perfect' representatives of **f**^{35} in James as they stand, as were the exemplars of 35, 1503, 1858, 1865, 2221 and 2303. For 18, 1864, 2554 and 2723 to have no variants after all the centuries of transmission is surely an eloquent demonstration of the faithfulness and accuracy of that transmission. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Meteora, Athens, Sparta, Ochrida, Mt. Athos [nine different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

ECM collated 162 continuous text manuscripts (MSS) for James, including some fragments, which number represents a full 25% of the extant (known) MSS. By a careful comparison of *TuT* and *ECM* I believe we can arrive at some reasonably close extrapolations. Thus I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error will hardly exceed ±2%; where there is some division among the Byzantine witnesses the margin of error will rarely exceed ±5%. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

ΠΕΤΡΟΥ Α΄

To elect pilgrims

1:1 Πέτρος, ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, Ἀσίας καὶ Βιθυνίας,[1] **2** κατὰ πρόγνωσιν Θεοῦ Πατρός, ἐν ἁγιασμῷ Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ· Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη.

Don't take your inheritance for granted

Begotten into an incorruptible inheritance

1:3 Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ[2] ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν δι᾽ ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν, **4** εἰς κληρονο-μίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς εἰς ὑμᾶς,[3] **5** τοὺς ἐν δυνά-μει Θεοῦ φρουρουμένους διὰ πίστεως εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ.

Genuineness of faith proved by testing

6 Ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλίγον ἄρτι, εἰ δέον ἐστίν,[4] λυπηθέντες[5] ἐν ποικίλοις πειρασμοῖς, **7** ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως (πολὺ τιμιώτερον[6] χρυσίου τοῦ ἀπολλυμένου, διὰ πυρὸς δὲ δοκιμα-ζομένου) εὑρεθῇ εἰς ἔπαινον καὶ δόξαν καὶ τιμὴν[7] ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ **8**—ὃν οὐκ εἰδότες[8] ἀγαπᾶτε, εἰς ὃν (ἄρτι μὴ ὁρῶντες) πιστεύοντες δὲ ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ, **9** κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν,[9] σωτηρίαν ψυχῶν.

Salvation foretold by prophets

10 Περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν[10] προφῆται οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες, **11** ἐρευνῶντες[11] εἰς τίνα, ἢ ποῖον καιρόν, ἐδήλου τὸ ἐν αὐτοῖς Πνεῦμα Χριστοῦ προμαρτυρόμενον τὰ εἰς Χριστὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας· **12** οἷς ἀπεκαλύφθη ὅτι οὐχ ἑαυτοῖς, ὑμῖν[12] δέ, διηκόνουν αὐτά, ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς, ἐν[13] Πνεύματι Ἁγίῳ ἀποσταλέντι ἀπ᾽ οὐρανοῦ—εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι.

Be serious, be holy, be fearful

13 Διὸ ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ **14**—ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματι-ζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις, **15** ἀλλὰ κατὰ τὸν καλέσαντα ὑμᾶς ἅγιον, καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε, **16** διότι γέγραπται,[14] «Ἅγιοι γίνεσθε,[15] ὅτι ἐγὼ

---

[1] [Peter evidently expected his letter to have a rather wide distribution!]

[2] ελεος αυτου **f**^{35} **𝔓**^{72} 048 [38%] ¦ ~ 21 **א**A,B,C [60%] RP,HF,OC,TR,CP,NU ¦ 1 [2%] (**f**^{35} [K^{r}] is independent of K^{x} and has the earliest attestation. 'His great mercy' or 'His great mercy', which?)

[3] υμας **f**^{35} **א**A,B,C [95%] RP,HF,OC,CP,NU ¦ ημας **𝔓**^{72v} [5%] TR (Some TRs, including the one underlying the AV, have υμας.)

[4] εστιν **f**^{35} **𝔓**^{72}A,C [98.6%] RP,HF,OC,TR,CP [NU]*ECM* ¦ --- **א**B [1.4%]

[5] λυπηθεντες **f**^{35} **𝔓**^{72}A,B,C [75%] RP,HF,OC,TR,CP,NU ¦ λυπηθεντας **א** [23.5%] *ECM*,N-A^{28} ¦ two other variants

[6] πολυ τιμιωτερον **f**^{35} [80%] RP,HF,TR,CP ¦ πολυτιμοτερον **𝔓**^{72}**א**A,B,C [20%] OC,NU

[7] δοξαν και τιμην **f**^{35} **𝔓**^{72}**א**A,B,C [35%] NU ¦ ~ 321 [28%] OC,TR,CP ¦ ~ 32 εις 1 [37%] RP,HF (K^{x} is divided over whether to add the preposition, but is agreed as to the word order. Again **f**^{35} [K^{r}] is independent of K^{x} and has the earliest attestation.)

[8] ειδοτες **f**^{35} A [93%] RP,HF,OC,TR,CP ¦ ιδοντες **𝔓**^{72}**א**B,C [7%] NU

[9] υμων **f**^{35} **א**A,C [96%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ ημων [3%] ¦ --- B [1%]

[10] εξηρευνησαν **f**^{35} C [99%] RP,HF,OC,TR,CP ¦ εξηραυνησαν **𝔓**^{72}**א**A,B [1%] NU

[11] ερευνωντες **f**^{35} A,C [93.2%] RP,HF,OC,TR,CP ¦ εξερευνωντες [5%] ¦ εραυνωντες **𝔓**^{72}**א**B [0.8%] NU ¦ --- [1%]

[12] υμιν **f**^{35} **𝔓**^{72}**א**A,B,C [86%] RP,HF,OC,CP,NU ¦ ημιν [14%] TR

[13] εν **f**^{35} **א**C [96%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ --- **𝔓**^{72}A,B [4%]

[14] γεγραπται **f**^{35} **𝔓**^{72}**א**A,C [98%] RP,HF,OC,TR,CP,*ECM*,N-A^{28} ¦ 1 οτι B [2%] [NU]

[15] γινεσθε **f**^{35} [52%] RP,HF,OC ¦ γενεσθε [36%] TR,CP ¦ εσεσθε **𝔓**^{72}**א**A,B,C [12%] NU ¦ two other variants (The

ἅγιός εἰμι.»[1]

17 Καί, εἰ Πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως[2] κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε, **18** εἰδότες ὅτι οὐ φθαρτοῖς (ἀργυρίῳ ἢ χρυσίῳ) ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου,[3] **19** ἀλλὰ τιμίῳ αἵματι, ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου, Χριστοῦ· **20** προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ ἐπ᾽ ἐσχάτων[4] τῶν χρόνων δι᾽ ὑμᾶς, **21** τοὺς δι᾽ αὐτοῦ πιστεύοντας[5] εἰς Θεόν, τὸν ἐγείραντα αὐτὸν ἐκ νεκρῶν καὶ δόξαν αὐτῷ δόντα, ὥστε τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα εἶναι εἰς Θεόν.

Born again through an eternal Word

22 Τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας διὰ Πνεύματος,[6] εἰς φιλαδελφίαν ἀνυπόκριτον, ἐκ καθαρᾶς[7] καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς, **23** ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς ἀλλ᾽[8] ἀφθάρτου, διὰ λόγου ζῶντος Θεοῦ καὶ μένοντος εἰς τὸν αἰῶνα.[9] **24** Διότι· «Πᾶσα σὰρξ ὡς[10] χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου[11] ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ[12] ἐξέπεσεν, τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα.» **25** Τοῦτο δέ ἐστιν τὸ ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς.

To grow you must eat

2:1 Ἀποθέμενοι οὖν πᾶσαν κακίαν—καὶ πάντα δόλον καὶ ὑποκρίσεις καὶ φθόνους, καὶ πάσας καταλαλιάς—**2** ὡς ἀρτιγέννητα βρέφη τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε εἰς σωτηρίαν,[13] **3** εἴπερ[14] ἐγεύσασθε ὅτι χρηστὸς[15] ὁ Κύριος. **4** Πρὸς ὃν προσερχόμενοι, λίθον ζῶντα—ὑπὸ ἀνθρώπων μὲν ἀποδεδοκιμασμένον παρὰ δὲ Θεῷ ἐκλεκτόν, ἔντιμον—**5** καὶ αὐτοί, ὡς λίθοι ζῶντες, οἰκοδομεῖσθε[16] οἶκος πνευματικός, ἱεράτευμα[17] ἅγιον, ἀνενέγκαι πνευματικὰς θυσίας εὐπροσδέκτους τῷ[18] Θεῷ διὰ Ἰησοῦ Χριστοῦ.

The Chief Cornerstone

6 Διότι[19] περιέχει ἡ[20] Γραφῇ· «Ἰδού, τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτόν, ἔντιμον,

---

early uncials presumably assimilated to the LXX; I take Peter's point to be that since God is holy all the time, we are to be also [present tense—we have to work at it].)

[1] ειμι **f**[35] **𝔓**[72]C [99.2%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B [0.8%] [NU]*ECM*,N-A[28]

[2] απροσωποληπτως **f**[35] [98.5%] RP,HF,OC,TR,CP ¦ απροσωπολημπτως **𝔓**[72]ℵA,B,C [1.5%] NU ¦ two other variants (Liddell & Scott don't mention the longer spelling.)

[3] υμων αναστροφης πατροπαραδοτου *rell* ¦ ~ 132 C [12%] ¦ four further variants

[4] εσχατων **f**[35] (**𝔓**[72]) [91%] RP,HF,OC,TR,CP ¦ εσχατου (ℵ)A,B,C [9%] NU

[5] πιστευοντας **f**[35] **𝔓**[72]ℵC [94.2%] RP,HF,OC,TR,CP ¦ πιστευσαντας [5%] ¦ πιστους A,B [0.8%] NU

[6] δια πνευματος **f**[35] (92.4%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**[72]ℵA,B,C (7.6%) NU

[7] καθαρας **f**[35] **𝔓**[72]ℵC (99.4%) RP,HF,OC,TR,CP[NU]*ECM* ¦ --- A,B (0.6%)

[8] αλλ **f**[35] C [40%] ¦ αλλα **f**[35pt] **𝔓**[72]ℵA,B [60%] RP,HF,OC,TR,CP,NU (The following word begins with an *alpha*, and it is normal phonology for two identical vowels to reduce to one when juxtaposed. In this case we have alternate spellings that do not affect the meaning. However, 27 of the 36 **f**[35] representatives that have the variant are part of a subgroup, which could reduce its percentage considerably.)

[9] εις τον αιωνα **f**[35] (90.2%) RP,HF,OC,TR,CP ¦ 13 (2.6%) ¦ 1 τους αιωνας (1.2%) ¦ --- **𝔓**[72]ℵA,B,C (6%) NU

[10] ως *rell* ¦ ωσει ℵ ¦ --- A [9%]

[11] ανθρωπου **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ αυτης **𝔓**[72]A,B,C [9%] NU ¦ αυτου ℵ ¦ one other variant

[12] αυτου **f**[35] C [90%] RP,HF,OC,TR,CP ¦ αυτης [1%] ¦ --- **𝔓**[72]ℵA,B [9%] NU

[13] εις σωτηριαν **f**[35] (**𝔓**[72])ℵA,B,C [65%] OC,NU ¦ --- [35%] RP,HF,TR,CP (OC is in small print.)

[14] ειπερ **f**[35] C [99%] RP,HF,OC,TR,CP ¦ ει (**𝔓**[72])ℵA,B [1%] NU

[15] χρηστος **f**[35] ℵA,B,C [48%] RP,HF,OC,TR,CP,NU ¦ χριστος **𝔓**[72] [52%] (The change from 'gracious' to 'Christ' is so obvious as to be almost involuntary; if 'Christ' were original it is scarcely credible that anyone would change it to 'gracious'.)

[16] οικοδομεισθε **f**[35] **𝔓**[72]A,B [75%] RP,HF,OC,TR,CP,NU ¦ εποικοδομεισθε ℵC [25%]

[17] ιερατευμα **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ εις 1 **𝔓**[72]ℵA,B,C [10%] NU

[18] τω **f**[35] **𝔓**[72] [96.5%] RP,HF,OC,TR,CP[NU]*ECM*,N-A[28] ¦ --- ℵA,B,C [3.5%]

[19] διοτι **f**[35] **𝔓**[72]ℵA,B,C [98%] RP,HF,OC,CP,NU ¦ διο και [1%] TR ¦ διο [1%]

[20] ἡ **f**[35] C [35%] ¦ εν τη [59%] RP,HF,OC,TR,CP ¦ εν **𝔓**[72]ℵA,B [6%] NU (η γραφη is the subject of the verb, περιεχει, active voice; the change to the familiar 'in the' would be almost unthinking.)

καὶ ὁ πιστεύων ἐπ᾽ αὐτῷ οὐ μὴ καταισχυνθῇ.» **7** Ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν, ἀπειθοῦσιν[1] δέ, «λίθον[2] ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας,» **8** καὶ «λίθος προσκόμματος καὶ πέτρα σκανδάλου»· οἳ προσκόπτουσιν τῷ λόγῳ ἀπειθοῦντες, εἰς ὅ, καί, ἐτέθησαν.[3]

A royal priesthood

9 Ὑμεῖς δὲ γένος ἐκλεκτόν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε[4] τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς· **10** οἵ ποτε οὐ λαὸς νῦν δὲ λαὸς Θεοῦ, οἱ οὐκ ἠλεημένοι νῦν δὲ ἐλεηθέντες.

Your practice should be consistent with your standing

2:11 Ἀγαπητοί, παρακαλῶ (ὡς παροίκους καὶ παρεπιδήμους) ἀπέχεσθαι[5] τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς, **12** τὴν ἀναστροφὴν ὑμῶν ἔχοντες καλὴν ἐν τοῖς ἔθνεσιν,[6] ἵνα, ἐν ᾧ καταλαλοῦσιν[7] ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες[8] δοξάσωσιν τὸν Θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς.

Respect civil authority

13 Ὑποτάγητε οὖν[9] πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, εἴτε βασιλεῖ ὡς ὑπερέχοντι, **14** εἴτε ἡγεμόσιν ὡς δι᾽ αὐτοῦ πεμπομένοις, εἰς ἐκδίκησιν μὲν[10] κακοποιῶν ἔπαινον δὲ ἀγαθοποιῶν. **15** Ὅτι οὕτως ἐστὶν τὸ θέλημα τοῦ Θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν· **16** ὡς ἐλεύθεροι (καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν), ἀλλ᾽ ὡς δοῦλοι Θεοῦ.[11] **17** Πάντας τιμήσατε· τὴν ἀδελφότητα ἀγαπήσατε·[12] τὸν Θεὸν φοβεῖσθε· τὸν βασιλέα τιμᾶτε.

A word to servants

18 Οἱ οἰκέται, ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν ἀλλὰ καὶ τοῖς σκολιοῖς. **19** Τοῦτο γὰρ χάρις,[13] εἰ διὰ συνείδησιν Θεοῦ[14] ὑποφέρει τις λύπας, πάσχων ἀδίκως. **20** Ποῖον γὰρ κλέος εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε;[15] Ἀλλ᾽ εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες ὑπομενεῖτε, τοῦτο χάρις παρὰ τῷ[16] Θεῷ.

---

[1] απειθουσιν **f**[35] A [92%] RP,HF,OC,TR,CP ¦ απιστευσιν **𝔓**[72]**א**B,C [8%] NU

[2] λιθον **f**[35] **א** [95%] RP,HF,OC,TR,CP ¦ λιθος **𝔓**[72]A,B,C [5%] NU

[3] [What is the antecedent of ὅ, the finite verb or the participle? Being higher in rank the finite form presumably takes precedence.]

[4] εξαγγειλητε *rell* ¦ εξαγγελλητε [14%]

[5] απεχεσθαι **f**[35] **א**B [75%] RP,HF,TR,CP,NU ¦ απεχεσθε **𝔓**[72]A,C [25%] OC (Direct, or indirect, speech?)

[6] εχοντες καλην εν τοις εθνεσιν **f**[35] [86%] RP,HF,OC,CP ¦ ~ 34512 (**א**)A,C [9%] TR,NU ¦ ~ 34521 **𝔓**[72] [1.4%] ¦ ~ 21345 [1%] ¦ ~ 3452 B ¦ three further variants

[7] καταλαλουσιν **f**[35] **𝔓**[72]**א**A,B,C [52%] RP,HF,OC,TR,CP,NU ¦ καταλαλωσιν [48%]

[8] εποπτευσαντες **f**[35] A [83%] RP,HF,OC,TR,CP ¦ υποπτευσαντες [5%] ¦ εποπτευοντες **𝔓**[72]**א**B,C [12%] NU (The critics have already observed the good deeds—they know their criticism is false.)

[9] ουν **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[72]**א**A,B,C [5%] NU

[10] μεν **f**[35] C [52%] OC,TR,CP ¦ --- **𝔓**[72]**א**A,B [48%] RP,HF,NU (OC is in small print.)

[11] δουλοι Θεου **f**[35] A [90%] RP,HF,OC,TR(CP) ¦ ~ 21 (**𝔓**[72])**א**B,C [10%] NU

[12] αγαπησατε **f**[35] [71%] RP,HF ¦ αγαπατε **𝔓**[72]**א**A,B,C [24%] OC,TR,CP,NU ¦ --- [5%]

[13] χαρις **f**[35] **𝔓**[72]**א**A,B [81.6%] RP,HF,OC,TR,CP,NU ¦ 1 παρα τω Θεω C [9%] ¦ 1 παρα Θεω [8%] ¦ 1 Θεω [0.8%] ¦ 1 θεου [0.6%]

[14] Θεου **f**[35] **א**B [84%] RP,HF,OC,TR,CP,NU ¦ αγαθην C [14%] ¦ αγαθη 1 **𝔓**[72] [0.4%] ¦ 1 αγαθην A [0.6%] ¦ --- [1%]

[15] υπομενειτε *rell* ¦ υπομενετε **𝔓**[72] [14%]

[16] τω **f**[35] A [47%] ¦ --- **𝔓**[72.81v]**א**B,C [53%] RP,HF,OC,TR,CP,NU

Christ gave the example

21 Εἰς τοῦτο γὰρ καὶ[1] ἐκλήθητε, ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν,[2] ὑμῖν[3] ὑπολιμπάνων ὑπογραμμὸν ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ· **22** ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· **23** ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει παρεδίδου δὲ τῷ κρίνοντι δικαίως· **24** ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον, ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι τῇ δικαιοσύνῃ ζήσωμεν· οὗ τῷ μώλωπι αὐτοῦ[4] ἰάθητε. **25** ἦτε γὰρ ὡς πρόβατα πλανώμενα,[5] ἀλλ'[6] ἐπεστράφητε[7] νῦν ἐπὶ τὸν Ποιμένα καὶ Ἐπίσκοπον τῶν ψυχῶν ἡμῶν.[8]

A word to wives

3:1 Ὁμοίως, αἱ[9] γυναῖκες, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ἵνα καὶ εἴ τινες[10] ἀπειθοῦσιν τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς, ἄνευ λόγου, κερδηθήσονται[11] **2** (ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν), **3** ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς[12] τριχῶν καὶ περιθέσεως χρυσίων, ἢ ἐνδύσεως ἱματίων κόσμος, **4** ἀλλ᾽ ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος, ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου[13] πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ[14] Θεοῦ πολυτελές. **5** Οὕτως γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες αἱ ἐλπίζουσαι ἐπὶ τὸν[15] Θεὸν ἐκόσμουν ἑαυτάς, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, **6** ὡς Σάρρα ὑπήκουσεν τῷ Ἀβραάμ,[16] κύριον αὐτὸν καλοῦσα, ἧς ἐγενήθητε[17] τέκνα ἀγαθοποιοῦσαι καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν.

A word to husbands

7 Οἱ ἄνδρες, ὁμοίως, συνοικοῦντες κατὰ γνῶσιν ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ,

---

[1] και **f**^{35} **𝔓**^{72} [23%] CP ¦ --- **𝔓**^{81}א A,B,C [77%] RP,HF,OC,TR,NU (**f**^{35} [K^{r}] is independent of K^{x} and has the earliest attestation; the και is emphatic.)

[2] ημων **f**^{35} (85.3%) RP,HF,OC,TR,CP ¦ υμων (**𝔓**^{72,81v})(אA)B,C^{v} (14.7%) NU

[3] υμιν **f**^{35} (**𝔓**^{72,81v}אA,B,C^{v}) (85%) RP,HF,OC,CP,NU ¦ ημιν (15%) TR (For the four word sequence, επαθεν υπερ ημων υμιν, there are at least sixteen variations. Taking these last two sets together, NU has both pronouns in the 2nd person, while TR has both in the 1st person.)

[4] αυτου **f**^{35} א [71%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{72,81v}A,B,C [29%] NU [Note that μωλωπι is singular ('wound'), not plural ('stripes').]

[5] πλανωμενα **f**^{35} **𝔓**^{72}C [96.5%] RP,HF,OC,TR,CP ¦ πλανωμενοι אA,B [3.5%] NU

[6] αλλ **f**^{35} **𝔓**^{72}אA,C [99.8%] RP,HF,OC,TR,CP,*ECM* ¦ αλλα B [alone] NU

[7] επεστραφητε **f**^{35} **𝔓**^{72}A,B [75%] RP,HF,OC,TR,CP,NU ¦ επιστραφητε א [20%] ¦ επεστρεψατε C [2.5%] ¦ επιστρεψατε [2.5%] (Indicative or imperative? With this verb the aorist passive is commonly used with active sense.)

[8] ημων **f**^{35} [50%] CP ¦ υμων **𝔓**^{72}אA,B,C [50%] RP,HF,OC,TR,NU (Both make good sense; to be, or not to be, inclusive.)

[9] αι **f**^{35} **𝔓**^{72}C [94%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ και 1 [3%] ¦ δε και 1 [2%] ¦ --- **𝔓**^{81}אA,B [1%] ¦ two other variants

[10] και ει τινες **f**^{35} **𝔓**^{72}אA [80%] RP,HF,OC,TR,CP,NU ¦ ~ 213 C [10%] ¦ 23 **𝔓**^{81v}B [3%] ¦ 1 οιτινες [6%] ¦ οιτινες [1%]

[11] κερδηθησονται **f**^{35} **𝔓**^{72}אA,B,C [98%] RP,HF,OC,CP,NU ¦ κερδησονται [1%] ¦ κερδηθησωνται [1%] TR

[12] εμπλοκης **f**^{35} **𝔓**^{72}אA,B [81%] RP,HF,OC,TR,CP,NU ¦ εν πλοκης C [8%] ¦ εκ πλοκης [10%] ¦ two further variants

[13] πραεος και ησυχιου **f**^{35} A,C [74%] RP,HF,OC,TR,CP ¦ 13 א [0.4%] ¦ πραεως 23 **𝔓**^{72} [25%] NU ¦ ~ 32 πραεως B [0.2%] ¦ two more variants

[14] του *rell* ¦ --- [20%]

[15] επι τον **f**^{35} א [81%] OC,TR,CP ¦ εις 2 [7%] ¦ 1 [3%] RP,HF ¦ εις **𝔓**^{72}A,B,C [9%] NU

[16] ἁβρααμ **f**^{35} [50%] ¦ ἀβρααμ אA,B,C 50%] RP,HF,OC,TR,CP,NU (When Jehovah changed Abram's name to Abraham [Genesis 17:5] the intervocalic aspiration in Hebrew is adequately represented in English by 'h'; but so far as I know, there is no way in Greek to indicate intervocalic aspiration within a word—the only alternative to losing the aspiration altogether would be to place it at the beginning of the word.)

[17] εγενηθητε **f**^{35} **𝔓**^{81v}אA,B,C [63%] RP,HF,OC,TR,NU ¦ εγεννηθητε **𝔓**^{72} [35%] CP ¦ εγεννηθη [2%] (The extra *nu* is presumably a mistake.)

ἀπονέμοντες τιμὴν ὡς καὶ συγκληρονόμοι[1] χάριτος ζωῆς,[2] εἰς τὸ μὴ ἐγκόπτεσθαι[3] τὰς προσευχὰς ὑμῶν.

The golden rule

8 Τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες,[4] **9** μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ ἢ λοιδορίαν ἀντὶ λοιδορίας, τοὐναντίον δὲ εὐλογοῦντες, εἰδότες[5] ὅτι εἰς τοῦτο ἐκλήθητε ἵνα εὐλογίαν κληρονομήσητε. **10** «Ὁ γὰρ θέλων ζωὴν ἀγαπᾶν καὶ ἡμέρας ἰδεῖν[6] ἀγαθὰς παυσάτω τὴν γλῶσσαν αὐτοῦ[7] ἀπὸ κακοῦ καὶ χείλη αὐτοῦ[8] τοῦ μὴ λαλῆσαι δόλον· **11** ἐκκλινάτω ἀπὸ[9] κακοῦ καὶ ποιησάτω ἀγαθόν· ζητησάτω εἰρήνην, καὶ διωξάτω αὐτήν. **12** Ὅτι[10] ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν· πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά.»[11]

Better to suffer than to sin

13 Καὶ τίς ὁ κακώσων ὑμᾶς ἐὰν τοῦ ἀγαθοῦ μιμηταὶ[12] γένησθε; **14** Ἀλλ᾽ εἰ καὶ πάσχοιτε[13] διὰ δικαιοσύνην, μακάριοι. «Τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε, μηδὲ ταραχθῆτε.» **15** Κύριον δὲ τὸν Θεὸν[14] ἁγιάσατε ἐν ταῖς καρδίαις ὑμῶν, ἕτοιμοι δὲ[15] ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος,[16] μετὰ πραΰτητος[17] καὶ φόβου· **16** συνείδησιν ἔχοντες ἀγαθήν, ἵνα ἐν ᾧ καταλαλοῦσιν[18] ὑμῶν ὡς κακοποιῶν,[19] καταισχυνθῶσιν οἱ ἐπηρεάζοντες ὑμῶν τῇ ἀγαθῇ ἐν Χριστῷ ἀναστροφῇ.[20] **17** Κρεῖττον γὰρ ἀγαθοποιοῦντας, εἰ θέλοι[21] τὸ θέλημα τοῦ Θεοῦ, πάσχειν ἢ κακοποιοῦντας.

Follow Christ's example to victory

18 Ὅτι καὶ Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ἔπαθεν,[22] δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς[23] προσαγάγῃ τῷ Θεῷ· θανατωθεὶς μὲν σαρκὶ ζωοποιηθεὶς δὲ[24] πνεύματι· **19** ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ

---

[1] συγκληρονομοι **f**[35] (A,C) [90%] RP,HF,OC,TR,CP ¦ συγκληρονομοις **𝔓**[81] (**𝔓**[72]B) [9%] NU ¦ συνκληρονομους **א** ¦ two other readings

[2] χαριτος ζωης **f**[35] **𝔓**[81v]B,C [58%] RP,HF,OC,TR,CP,NU ¦ 1 ζωσης [35%] ¦ ποικιλης 12 **א**A [7%] ¦ 12 αιωνιου **𝔓**[72]

[3] εγκοπτεσθαι **f**[35] **𝔓**[81](**א**)A,B [70%] RP,HF,OC,CP,NU ¦ εκκοπτεσθαι **𝔓**[72]C [30%] TR

[4] φιλοφρονες **f**[35] (73.3%) RP,HF,OC,TR,CP ¦ ταπεινοφρονες **𝔓**[72,81v]**א**A,B,C (22.3%) NU ¦ several conflations that garner (4.4%)

[5] ειδοτες **f**[35] (90.3%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**[72,81]**א**A,B,C (9.7%) NU

[6] ημερας ιδειν **f**[35] C [26%] ¦ ~ 21 **𝔓**[72,81v]**א**A,B [74%] RP,HF,OC,TR,CP,NU (**f**[35] [K[r]] is independent of K[x].)

[7] αυτου **f**[35] **א** [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[72,81]A,B,C [5%] NU

[8] αυτου **f**[35] [89%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[72,81v]**א**A,B,C [11%] NU

[9] απο **f**[35] **א** [93%] RP,HF,OC,TR,CP ¦ δε 1 **𝔓**[72]A,B,C [7%] NU

[10] οτι **f**[35] **𝔓**[72,81]**א**A,B,C [98%] RP,HF,OC,CP,NU ¦ 1 οι [2%] TR

[11] κακα **f**[35] **𝔓**[72]**א**A,B,C [93%] RP,HF,OC,TR,NU ¦ 1 του εξολοθρευσαι αυτους εκ γης [7%] CP

[12] μιμηται **f**[35] [75%] RP,HF,OC,TR,CP ¦ ζηλωται (**𝔓**[72]**א**)A(B)C [25%] NU

[13] ει και πασχοιτε **f**[35] **𝔓**[72](**א**)B,C [82%] RP,HF,OC,TR,NU ¦ ~ 213 [8%] ¦ 12 πασχετε [5.5%] CP ¦ 1 δε 23 A [4.5%]

[14] θεον **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ χριστον **𝔓**[72]**א**A,B,C [6%] NU

[15] δε **f**[35] [83%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[72]**א**A,B,C [17%] NU

[16] ελπιδος **f**[35] [81%] RP,HF,OC,TR,CP ¦ 1 αλλα **𝔓**[72]**א**A,B,C [19%] NU

[17] πραυτητος *rell* ¦ πραοτητος [15%]

[18] καταλαλουσιν **f**[35] **א**A,C (44.4%) RP,OC,CP ¦ καταλαλωσιν (50%) HF,TR ¦ καταλαλεισθε **𝔓**[72]B (5%) NU ¦ two other readings

[19] υμων ως κακοποιων **f**[35] **א**A,C (92.4%) RP,HF,OC,TR,CP ¦ υμας 23 (2.4%) ¦ --- **𝔓**[72]B (5.2%) NU

[20] τη αγαθη εν χριστω αναστροφη **f**[35] [20%] ¦ την αγαθην 34 αναστροφην (**א**)A,B [50%] RP,HF,OC,TR,CP,NU ¦ ~ την 34 αγαθην αναστροφην **𝔓**[72] [24%] ¦ την 34 αγνην αναστροφην C [1%] ¦ την καλην 34 αναστροφην [4%] ¦ --- [1%] (The dative is correct for the object of επηρεαζω, but if copyists were not familiar with the verb they would naturally 'correct' to the accusative. *ECM* lists 15 variations for the 6-word phrase.)

[21] θελοι **f**[35] **𝔓**[72]**א**A,B,C [92%] RP,HF,OC,CP,NU ¦ θελει [3%] TR ¦ --- [5%]

[22] επαθεν **f**[35] B [78%] RP,HF,OC,TR,CP,NU ¦ υπερ ημων 1 [6%] ¦ απεθανεν C [3%] ¦ υπερ ημων απεθανεν (**א**) [10%] ¦ υπερ υμων απεθανεν **𝔓**[72]A [3%]

[23] ημας **f**[35] A,C [64%] OC,TR,CP ¦ υμας **𝔓**[72]B [36%] RP,HF,NU ¦ --- **א**

[24] δε **f**[35] **א**A,B,C [96%] RP,HF,OC,CP,NU ¦ 1 τω [4%] TR ¦ 1 εν **𝔓**[72]

πνεύμασιν πορευθεὶς ἐκήρυξεν, **20** ἀπειθήσασίν ποτε, ὅτε ἀπεξεδέχετο[1] ἡ τοῦ Θεοῦ μακροθυμία ἐν ἡμέραις Νῶε, κατασκευαζομένης κιβωτοῦ, εἰς ἣν ὀλίγαι,[2] τοῦτ᾽ ἔστιν ὀκτώ, ψυχαὶ διεσώθησαν δι᾽ ὕδατος· **21** ὃ[3] ἀντίτυπον, νῦν καὶ ἡμᾶς[4] σῴζει, βάπτισμα (οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς Θεόν) δι᾽ ἀναστάσεως Ἰησοῦ Χριστοῦ, **22** ὅς ἐστιν ἐν δεξιᾷ τοῦ[5] Θεοῦ, πορευθεὶς εἰς οὐρανόν, ὑποταγέντων αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων.

Some concluding instructions

Pursue the will of God

4:1 Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν[6] σαρκί, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε (ὅτι ὁ παθὼν σαρκὶ[7] πέπαυται ἁμαρτίας) **2** εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις ἀλλὰ θελήματι τοῦ[8] Θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον. **3** Ἀρκετὸς γὰρ ὑμῖν[9] ὁ παρεληλυθὼς χρόνος[10] τὸ θέλημα[11] τῶν ἐθνῶν κατεργάσασθαι[12]—πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις[13] εἰδωλολατρίαις[14]—**4** ἐν ᾧ ξενίζονται, μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν, βλασφημοῦντες· **5** οἳ ἀποδώσουσιν λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς **6** (εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκί, ζῶσι δὲ κατὰ Θεὸν πνεύματι).[15]

Redeem the time

7 Πάντων δὲ τὸ τέλος ἤγγικεν· σωφρονήσατε οὖν καὶ νήψατε εἰς τὰς[16] προσευχάς. **8** Πρὸ πάντων δὲ[17] τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες, ὅτι ἡ[18] ἀγάπη καλύπτει[19] πλῆθος ἁμαρτιῶν· **9** φιλόξενοι εἰς ἀλλήλους ἄνευ γογγυσμῶν·[20] **10** ἕκαστος καθὼς ἔλαβεν χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ[21] διακονοῦντες ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ. **11** Εἴ τις λαλεῖ, ὡς λόγια Θεοῦ.

---

[1] απεξεδεχετο **f**^{35} **𝔓**^{72}א A,B,C [88%] RP,HF,OC,CP,NU ¦ απαξ εδεχετο [11%] ¦ απαξ εξεδεχετο TR ¦ three other readings

[2] ολιγαι **f**^{35} C [87%] RP,HF,OC,TR,CP ¦ ολιγοι **𝔓**^{72}א A,B [12%] NU ¦ ο λογος [1%]

[3] ο **f**^{35} A,B,C [84%] RP,HF,OC,TR,NU ¦ ω [12%] CP ¦ ου [1.5%] ¦ --- **𝔓**^{72}א [2.5%]

[4] αντιτυπον νυν και ημας **f**^{35} [74%] RP,HF,OC(CP) ¦ 123 υμας [2%] ¦ ~ 3412 C [8%] TR ¦ ~ 3 υμας 12 **𝔓**^{72}A,B [12%] NU ¦ ~ 3 υμας 21 א (There are seven further variants that together garner 4%; ημας has about 85%.)

[5] του **f**^{35} **𝔓**^{72}A,C [99.4%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ --- אB [0.6%]

[6] υπερ ημων **f**^{35} A (88.4%) RP,HF,OC,TR,CP ¦ 1 υμων (א) (7.2%) ¦ --- **𝔓**^{72}B,C (4.4%) NU

[7] σαρκι **f**^{35} **𝔓**^{72}אA,B,C [76%] NU ¦ εν 1 [24%] RP,HF,OC,TR,CP (OC is in small print.)

[8] του **f**^{35} [22%] ¦ --- **f**^{35pt} **𝔓**^{72}אA,B,C [78%] RP,HF,OC,TR,CP,NU (The genitive case defines: 'God's will' = 'the will of God', so the translation will be the same with either variant. The massive attestation for the variant outside the family probably influenced a number of copyists. However, 28 of the 42 **f**^{35} representatives that have the variant are part of a subgroup, which could reduce its percentage considerably.)

[9] υμιν **f**^{35} א (41.7%) HF,OC,CP ¦ ημιν C (47.1%) RP,TR ¦ --- **𝔓**^{72}A,B (11.2%) NU

[10] χρονος **f**^{35} **𝔓**^{72}אA,B,C [26%] NU ¦ 1 του βιου [74%] RP,HF,OC,TR,CP

[11] θελημα **f**^{35} [87%] RP,HF,OC,TR,CP ¦ βουλημα **𝔓**^{72}אA,B,C [13%] NU

[12] κατεργασασθαι **f**^{35} [89%] RP,HF,OC,TR,CP ¦ κατειργασασθε C^{v} [3%] ¦ κατειργασθαι **𝔓**^{72}(א)A,B [6%] NU ¦ three further variants [2%]

[13] και αθεμιτοις *rell* ¦ --- [1%] CP

[14] ειδωλολατριαις **f**^{35} אA,C [70%] OC,CP,NU ¦ ειδωλολατρειαις B [30%] RP,HF,TR

[15] [This delightful verse has given commentators no end of exercise. Verse 5 ends with "judge living and dead", but anyone who is dead was once alive, obviously, and the judgment will be based on what they did while alive, which is why everyone needs to be evangelized while in this life. There is no definite article with 'dead', either in verse 5 or 6, so Peter is referring to the ones who were evangelized in this life—he is not saying that <u>every</u>one has been or will be evangelized. Everyone will be judged, but to 'live according to God in spirit' one must respond adequately to the Gospel.]

[16] τας **f**^{35} [70%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{72}אA,B [30%] NU

[17] δε **f**^{35} [98%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{72}אA^{v},B [2%] NU

[18] η **f**^{35} [49%] OC ¦ --- **𝔓**^{72}אA,B [51%] RP,HF,TR,CP,NU (OC is in small print.)

[19] καλυπτει **f**^{35} A,B [60%] NU ¦ καλυψει **𝔓**^{72}א [40%] RP,HF,OC,TR,CP

[20] γογγυσμων **f**^{35} [83%] RP,HF,OC,TR,CP ¦ γογγυσμου אA,B [17%] NU ¦ γογυζμου **𝔓**^{72} ¦ one other variant

[21] αυτο *rell* ¦ αυτω [12%]

Εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος ὡς[1] χορηγεῖ ὁ Θεός, ἵνα ἐν πᾶσιν δοξάζηται Θεὸς[2] διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἐστιν[3] ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας.[4] Ἀμήν.

Suffering in the will of God

12 Ἀγαπητοί, μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει πρὸς πειρασμὸν[5] ὑμῖν γινομένῃ, ὡς ξένου ὑμῖν συμβαίνοντος, **13** ἀλλὰ καθὸ κοινωνεῖτε τοῖς τοῦ Χριστοῦ παθήμασιν, χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι. **14** Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι, ὅτι τὸ τῆς δόξης[6] καὶ τὸ τοῦ Θεοῦ Πνεῦμα ἐφ᾽ ὑμᾶς ἀναπέπαυται.[7] Κατὰ μὲν αὐτοὺς βλασφημεῖται, κατὰ δὲ ὑμᾶς δοξάζεται.[8] **15** Μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεὺς ἢ κλέπτης ἢ κακοποιὸς ἢ ὡς ἀλλοτριοεπίσκοπος·[9] **16** εἰ δὲ ὡς Χριστιανός, μὴ αἰσχυνέσθω, δοξαζέτω δὲ τὸν Θεὸν ἐν τῷ μέρει[10] τούτῳ. **17** Ὅτι ὁ[11] καιρὸς τοῦ ἄρξασθαι τὸ κρῖμα ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ· εἰ δὲ πρῶτον ἀφ᾽ ἡμῶν,[12] τί τὸ τέλος τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ εὐαγγελίῳ; **18** Καί, ‹Εἰ ὁ δίκαιος μόλις σῴζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς[13] ποῦ φανεῖται;› **19** Ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ Θεοῦ, ὡς[14] πιστῷ Κτίστῃ, παρατιθέσθωσαν τὰς ψυχὰς αὐτῶν[15] ἐν ἀγαθοποιΐᾳ.[16]

How to be a shepherd

5:1 Πρεσβυτέρους τοὺς[17] ἐν ὑμῖν παρακαλῶ, ὁ[18] συμπρεσβύτερος καὶ μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης ἀποκαλύπτεσθαι δόξης κοινωνός· **2** ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ, ἐπισκοποῦντες[19] μὴ ἀναγκαστῶς ἀλλ᾽[20] ἑκουσίως·[21] μηδὲ αἰσχροκερδῶς ἀλλὰ προθύμως· **3** μηδὲ[22] ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι[23] τοῦ ποιμνίου. **4** Καὶ φανερωθέντος τοῦ Ἀρχιποίμενος κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον.

Humility is a must

5 Ὁμοίως,[24] νεώτεροι, ὑποτάγητε πρεσβυτέροις. Πάντες δὲ ἀλλήλοις ὑποτασσόμενοι,[25] τὴν

---

[1] ως **f**[35] [69%] RP,HF,OC,CP ¦ ης **𝔓**[72]**א**A,B [28%] TR,NU ¦ --- [3%]

[2] δοξαζηται Θεος **f**[35] [20%] ¦ 1 ο 2 **𝔓**[72]**א**A,B [73%] RP,HF,OC,TR,CP,NU ¦ ~ ο 21 [6%] ¦ three other readings (The lack of the article emphasizes the inherent quality of the noun.)

[3] εστιν *rell* ¦ --- A [13%]

[4] αιωνας **f**[35] **𝔓**[72] [27%] ¦ 1 των αιωνων **א**A,B [73%] RP,HF,OC,TR,CP,NU (The reading of **f**[35] [K^{r}] is independent of K^{x} and has the earliest attestation.)

[5] πειρασμον *rell* ¦ πειρασμων [4%] CP

[6] δοξης **f**[35] **𝔓**[72]B (75.7%) RP,HF,TR,CP,NU ¦ 1 και δυναμεως (**א**)A (24.3%) OC

[7] αναπεπαυται **f**[35] [39%] CP ¦ επαναπαυεται A [6%] ¦ επαναπεπαυται **𝔓**[72] [2%] ¦ αναπαυεται **א**B [52%] RP,HF,OC,TR,NU ¦ αναπεμπεται [1%]

[8] κατα μεν αυτους βλασφημειται κατα δε υμας δοξαζεται **f**[35] [83%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[72]**א**A,B [17%] NU

[9] αλλοτριοεπισκοπος **f**[35] [89%] RP,HF,OC,TR,CP ¦ αλλοτριος επισκοπος A [4%] ¦ αλλοτριοις επισκοπος **𝔓**[72] ¦ αλλοτριεπισκοπος **א**B [7%] NU

[10] μερει **f**[35] [88%] RP,HF,OC,TR,CP,*ECM*,N-A[28] ¦ ονοματι **𝔓**[72]**א**A,B [11%] NU ¦ conflation [1%]

[11] ο **f**[35] **𝔓**[72]B [80%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ --- **א**A [20%]

[12] ημων *rell* ¦ υμων **א** [13%]

[13] ασεβης και αμαρτωλος **f**[35] B [87%] RP,HF,OC,TR,CP,NU ¦ ~ 321 **𝔓**[72] [3%] ¦ 12 ο 3 **א**A [10%]

[14] ως **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[72]**א**A,B [6%] NU

[15] αυτων **f**[35] **𝔓**[72]**א**A [95%] RP,HF,OC,CP,NU ¦ εαυτων [5%] TR ¦ --- B (Four of TRs five percent actually have εαυτων ψυχας.)

[16] αγαθοποια *rell* ¦ αγαθοποιαις **𝔓**[72]A [13%] ¦ one other reading

[17] τους **f**[35] [78%] RP,HF,OC,TR,CP ¦ ουν 1 **א** [17%] ¦ ουν **𝔓**[72]A,B [4%] NU,*ECM* ¦ --- [1%]

[18] ο **f**[35] **𝔓**[72]**א**A,B [89%] RP,HF,OC,TR,NU ¦ ως [11%] CP ¦ two other readings

[19] επισκοπουντες **f**[35] **𝔓**[72]A (99.2%) RP,HF,OC,TR,CP[NU]*ECM* ¦ --- **א**B (0.8%)

[20] αλλ **f**[35] A [97%] RP,HF,OC,TR,CP,NU ¦ αλλα **𝔓**[72]**א**B [3%] *ECM*

[21] εκουσιως **f**[35] B [86%] RP,HF,OC,TR,CP ¦ 1 κατα Θεον **𝔓**[72]**א**A [14%] NU

[22] μηδε **f**[35] **𝔓**[72] [49%] RP,HF,CP ¦ μηδ **א**A [50%] OC,TR,NU (B omits v. 3; two other readings.)

[23] γινομενοι *rell* ¦ γενομενοι [20%]

[24] ομοιως **f**[35] **𝔓**[72]A,B [74%] RP,HF,OC,TR,CP,NU ¦ 1 δε **א** [1%] ¦ 1 οι [5%] ¦ 1 δε και [1%] ¦ 1 δε οι [7%] ¦ 1 και οι [5%] ¦ 1 δε και οι [7%] ¦ one other reading

[25] υποτασσομενοι **f**[35] (94%) RP,HF,OC,TR,CP ¦ υποταγωμεν (1.4%) ¦ --- (**𝔓**[72])**א**A,B (4.2%) NU ¦ two other readings

ταπεινοφροσύνην ἐγκομβώσασθε, ὅτι «Ὁ[1] Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσιν χάριν.» **6** Ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ, ἵνα ὑμᾶς ὑψώσῃ[2] ἐν καιρῷ·[3] **7** πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιρρίψαντες[4] ἐπ᾽ αὐτόν, ὅτι αὐτῷ μέλει[5] ὑπὲρ[6] ὑμῶν.

Guard against the devil

8 Νήψατε, γρηγορήσατε· ὅτι[7] ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος, περιέρχεται,[8] ζητῶν τίνα[9] καταπιεῖν·[10] **9** ᾧ ἀντίστητε, στερεοὶ τῇ πίστει, εἰδότες τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν[11] κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτελεῖσθαι.[12]

Benediction

5:10 Ὁ δὲ Θεὸς πάσης χάριτος, ὁ καλέσας ὑμᾶς[13] εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ἰησοῦ,[14] ὀλίγον παθόντας, αὐτὸς καταρτίσαι[15] ὑμᾶς[16]—στηρίξαι,[17] σθενώσαι,[18] θεμελιώσαι.[19] **11** Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος[20] εἰς τοὺς αἰῶνας τῶν αἰώνων.[21] Ἀμήν.

Sign-off

12 Διὰ Σιλουανοῦ ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ, ὡς λογίζομαι, δι᾽ ὀλίγων ἔγραψα, παρακαλῶν καὶ ἐπιμαρτυρῶν ταύτην εἶναι ἀληθῆ χάριν τοῦ Θεοῦ εἰς ἣν ἑστήκατε.[22] **13** Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτή· καὶ Μᾶρκος, ὁ υἱός μου. **14** Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἀγάπης.

Εἰρήνη ὑμῖν, πᾶσιν τοῖς ἐν Χριστῷ Ἰησοῦ.[23] Ἀμήν.[24,25]

---

[1] ο **f**^{35} ℵA [99%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ --- **𝔓**^{72}B [1%]

[2] υμας υψωση **f**^{35} **𝔓**^{72}ℵA,B [79%] RP,HF,OC,TR,CP,NU ¦ ~ 21 [4%] ¦ 1 υψωσει [14%] ¦ ~ υψωσει 1 [3%]

[3] καιρω **f**^{35} **𝔓**^{72}ℵB [85%] RP,HF,OC,TR,CP,NU ¦ 1 επισκοπης A [14%] ¦ 1 εν τω μελλοντι αιωνι [1%]

[4] επιρριψαντες **f**^{35} [93%] RP,HF,OC,TR,CP ¦ επιριψαντες ℵA,B [4%] NU ¦ αποριψαντες **𝔓**^{72} ¦ επιρριψατε [3%]

[5] μελει *rell* ¦ μελλει [20%]

[6] υπερ **f**^{35} [35%] ¦ περι **𝔓**^{72}ℵA,B [65%] RP,HF,OC,TR,CP,NU (God does the caring for them, in their place.)

[7] οτι **f**^{35} **𝔓**^{72} [50%] TR ¦ --- ℵA,B [50%] RP,HF,OC,CP,NU

[8] εριερχεται **f**^{35} [24%] ¦ περιπατει **𝔓**^{72}ℵA,B [76%] RP,HF,OC,TR,CP,NU (The lion isn't ambling aimlessly; he is circling the prey, looking for an opening.)

[9] τινα **f**^{35} **𝔓**^{72}ℵA [99%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ --- B [1%]

[10] καταπιειν **f**^{35} (ℵ)B [53%] CP,NU ¦ καταπιει [25%] ¦ καταπιη **𝔓**^{72}A [22%] RP,HF,OC,TR

[11] εν **f**^{35} A [99.4%] RP,HF,OC,TR,CP,*ECM*,N-A^{28} ¦ 1 τω **𝔓**^{72}(ℵ)B [0.6%] [NU]

[12] επιτελεισθαι *rell* ¦ επιτελεισθε ℵA,B [12%] ¦ επιτελειται **𝔓**^{72}

[13] υμας **f**^{35} **𝔓**^{72}ℵA,B [92%] RP,HF,OC,CP,NU ¦ ημας [8%] TR

[14] ιησου **f**^{35} **𝔓**^{72}A [97%] RP,HF,OC,TR,CP[NU] ¦ --- ℵ(B) [3%] *ECM*,N-A^{28}

[15] καταρτισαι **f**^{35} [88%] RP,HF,TR,CP ¦ καταρτισει **𝔓**^{72}ℵA,B [12%] OC,NU ¦ two other readings

[16] υμας **f**^{35} [88%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{72}ℵA,B [12%] NU

[17] στηριξαι **f**^{35} [33%] TR,CP ¦ στηριξει **𝔓**^{72}ℵA,B [66%] RP,HF,OC,NU ¦ στηριξοι [1%] (Future indicative or aorist optative?)

[18] σθενωσαι **f**^{35} [30%] TR,CP ¦ σθενωσει ℵA,B [66%] RP,HF,OC,NU ¦ σθενωσοι [1%] ¦ --- **𝔓**^{72} [3%] ¦ one other variant

[19] θεμελιωσαι **f**^{35} [30%] TR,CP ¦ θεμελιωσει **𝔓**^{72}ℵ [66%] RP,HF,OC,NU ¦ θεμελιωσοι [1%] ¦ --- A,B [3%]

[20] η δοξα και το κρατος **f**^{35} ℵ (59.6%) RP,HF,OC,TR,CP ¦ 125 (31.3%) ¦ ~ 45312 (7%) ¦ το (−το **𝔓**^{72}) κρατος **𝔓**^{72}A,B (0.8%) NU (Three other readings; the evidence for η δοξα is massive.)

[21] των αιωνων **f**^{35} ℵA [91%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{72}B [9%] NU

[22] εστηκατε **f**^{35} [92%] RP,HF,OC,TR,CP ¦ στητε **𝔓**^{72}ℵA,B [8%] NU ¦ two other readings

[23] ιησου **f**^{35} ℵ [95%] RP,HF,OC,TR,CP ¦ --- A,B [5%] NU

[24] αμην **f**^{35} ℵ [97%] RP,HF,OC,TR,CP ¦ --- A,B [3%] NU (**𝔓**^{72} omits the whole last sentence.)

[25] The citation of **f**^{35} is based on forty-four MSS—18, 35, 141, 149, 201, 204, 328, 386, 394, 432, 604, 664, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1754, 1761, 1768, 1855, 1858, 1864, 1865, 1876, 1892, 1897, 2221, 2352, 2431, 2466, 2554, 2587, 2626 and 2723—all of which I collated myself. 1865, 2554 and 2723 are very pure representatives of **f**^{35} in 1 Peter, with not a single variant, as were the exemplars of 35, 824 and 1858. For 1865, 2554 and 2723 to have no variants after all the centuries of transmission is surely an eloquent demonstration of the faithfulness and accuracy of that transmission. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Athens, Meteora, Sparta, Ochrida, Mt. Athos [nine different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in

the Text without exception.

ECM collated 127 continuous text manuscripts (MSS) for 1 Peter, apart from a few fragments, which number represents about 20% of the extant (known) MSS. By a careful comparison of *TuT* and *ECM* I believe we can arrive at some reasonably close extrapolations. Thus I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error will hardly exceed ±2%; where there is some division among the Byzantine witnesses the margin of error will rarely exceed ±10%. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

ΠΕΤΡΟΥ Β΄

To fellow believers

1:1 Συμεὼν[1] Πέτρος, δοῦλος καὶ ἀπόστολος Ἰησοῦ Χριστοῦ, τοῖς ἰσότιμον ἡμῖν λαχοῦσιν πίστιν ἐν δικαιοσύνῃ τοῦ Θεοῦ ἡμῶν καὶ Σωτῆρος, Ἰησοῦ Χριστοῦ· **2** Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη ἐν ἐπιγνώσει τοῦ Θεοῦ καὶ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν,[2] **3** ὡς[3] πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημένης, διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς,[4] **4** δι᾽ ὧν τὰ τίμια ἡμῖν καὶ μέγιστα ἐπαγγέλματα[5] δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως, ἀποφυγόντες τῆς ἐν κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς.[6]

Take the Truth seriously!

Our 'entrance' depends on us

1:5 Καὶ αὐτὸ δὲ τοῦτο,[7] σπουδὴν πᾶσαν παρεισενέγκαντες, ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, **6** ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν, **7** ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην. **8** Ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα καὶ πλεονάζοντα, οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιγνωσιν. **9** ὯΙ γὰρ μὴ πάρεστιν ταῦτα τυφλός ἐστιν, μυωπάζων, λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν.[8]

10 Διὸ μᾶλλον, ἀδελφοί, σπουδάσατε[9] βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι,[10] ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε. **11** Οὕτως γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος[11] εἰς τὴν αἰώνιον[12] βασιλείαν τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ.[13]

Peter's death imminent

12 Διὸ οὐκ ἀμελήσω[14] ἀεὶ ὑμᾶς ὑπομιμνήσκειν περὶ τούτων,[15] καίπερ εἰδότας καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. **13** Δίκαιον δὲ ἡγοῦμαι, ἐφ᾽ ὅσον[16] εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει, **14** εἰδὼς ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσέν μοι. **15** Σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς,

---

[1] συμεων **f**[35] ℵA [75%] RP,HF,OC,TR,NU ¦ σιμων **𝔓**[72]B [25%] CP

[2] ιησου του κυριου ημων **f**[35] (**𝔓**[72])B,C [68%] RP,HF,OC,TR,NU ¦ 234 [1.4%] ¦ 1 χριστου 234 ℵA [15%] (CP) ¦ χριστου 1234 [8%] ¦ σωτηρος 1 χριστου 234 [1.2%] ¦ ~ 2341 χριστου [6%] ¦ one other reading [0.4%]

[3] ως *rell* ¦ 1 τα ℵA [8%]

[4] δια δοξης και αρετης **f**[35] **𝔓**[72]B [81%] RP,HF,OC,TR,CP ¦ ιδια δοξη και αρετη ℵA,C [19%] NU

[5] τιμια ημιν (υμιν 3.4%) και μεγιστα επαγγελματα **f**[35] ℵ (81.6%) RP,HF,OC,CP ¦ ~ 13425 B (6.6%) NU ¦ ~ 13452 **𝔓**[72] (0.4%) ¦ 1345 (0.6%) ¦ ~ 43125 (A)C (8.6%) ¦ ~ 42315 (1.2%) TR ¦ three further variations (1%)

[6] κοσμω εν (−εν 5%) επιθυμια φθορας **f**[35] [87%] RP,HF,OC,TR,CP ¦ τω 1234 A,B [alone] NU ¦ τω 1 επιθυμιαν 4 (φθοραν **𝔓**[72]) **𝔓**[72]ℵ [alone] ¦ 1 επιθυμιας και 4 C [5.6%] ¦ 1 επιθυμιας 4 [2%] ¦ τω 1 επιθυμιας και 4 [4%] ¦ three other variants [0.6%]

[7] δε τουτο **f**[35] ℵ [66%] ¦ ~ 21 **𝔓**[72]B,C [32%] RP,HF,OC,TR(CP)NU ¦ ~ αυτοι 1 A [1%] ¦ 2 [0.8%] ¦ one other reading [0.2%] (Curiously, this early majority reading is apparently not to be found in any other printed edition.)

[8] αμαρτιων *rell* ¦ αμαρτηματων ℵA [21%]

[9] σπουδασατε *rell* ¦ 1 ινα δια των καλων εργων ℵ(A) [14%]

[10] ποιεισθαι *rell* ¦ ποιησθε ℵA [13%] ¦ ποιεισθε [6.6%] ¦ ποιησεσθε [0.4%]

[11] εισοδος *rell* ¦ 1 η **𝔓**[72] [25%]

[12] αιωνιον **f**[35] **𝔓**[72]ℵA,B [98%] RP,HF,OC,TR,NU ¦ αιωνιαν C [2%] CP

[13] ημων και σωτηρος ιησου χριστου **f**[35] **𝔓**[72]ℵB,C [85%] RP,HF,OC,TR,NU ¦ ~ 23145 A [7%] ¦ 145 [8%] CP ¦ one other reading

[14] ουκ αμελησω **f**[35] (95.8%) RP,HF,OC,TR,CP ¦ ου μελλησω (**𝔓**[72]) (1%) ¦ μελλησω ℵA,B,C (2.8%) NU ¦ two other readings (0.4%) (Since Peter goes on to predict his imminent death, the majority reading seems to be at odds with that prediction, so the early uncials took evasive action.)

[15] αει υμας υπομιμνησκειν περι τουτων **f**[35] **𝔓**[72]B,C [90%] RP,HF,OC,CP,NU ¦ ~ 21345 A [3%] TR ¦ ~ 32145 [3.2%] ¦ ~ 14532 ℵ [alone] ¦ ~ 13245 [1.4%] ¦ 2345 [1.4%] ¦ two other readings [0.8%]

[16] εφ᾽ όσον *rell* ¦ εφόσον **f**[35] (I include this for the record, and so as not to lose sight of it. But since there is evidently no difference in meaning, I stay with the conventional pointing.)

μετὰ τὴν ἐμὴν ἔξοδον, τὴν τούτων μνήμην ποιεῖσθαι.

The prophetic Word is trustworthy

16 Οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν· ἀλλ᾽ ἐπόπται γενηθέντες τῆς ἐκείνου μεγαλειότητος **17**—λαβὼν γὰρ παρὰ Θεοῦ Πατρὸς τιμὴν καὶ δόξαν φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης, «Οὗτός ἐστιν ὁ Υἱός μου, ὁ ἀγαπητός,[1] εἰς ὃν ἐγὼ εὐδόκησα»[2]—**18** καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ.[3]

19 Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν· **20** τοῦτο πρῶτον γινώσκοντες, ὅτι πᾶσα προφητεία Γραφῆς ἰδίας ἐπιλύσεως οὐ γίνεται· **21** οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία,[4] ἀλλ᾽[5] ὑπὸ Πνεύματος Ἁγίου φερόμενοι ἐλάλησαν ἅγιοι Θεοῦ[6] ἄνθρωποι.

Watch out for false teachers!

Their teachings are destructive

2:1 Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσαντα αὐτοὺς Δεσπότην ἀρνούμενοι (ἐπάγοντες ἑαυτοῖς ταχινὴν ἀπώλειαν). **2** Καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς ἀσελγείαις,[7] δι᾽ ἃς[8] ἡ ὁδὸς τῆς ἀληθείας βλασφημηθήσεται. **3** Καὶ ἐν πλεονεξίᾳ πλαστοῖς λόγοις ὑμᾶς ἐμπορεύσονται· οἷς τὸ κρῖμα ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάξει.[9]

Their doom is sure

4 Εἰ γὰρ ὁ Θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας παρέδωκεν εἰς κρίσιν τηρουμένους,[10] **5** καὶ ἀρχαίου κόσμου οὐκ ἐφείσατο ἀλλ᾽[11] ὄγδοον Νῶε δικαιοσύνης κήρυκα ἐφύλαξεν, κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας, **6** καὶ πόλεις Σοδόμων καὶ Γομόρρας τεφρώσας καταστροφῇ[12] κατέκρινεν (ὑπόδειγμα μελλόντων ἀσεβεῖν[13] τεθεικώς), **7** καὶ δίκαιον Λώτ, καταπονούμενον ὑπὸ τῆς τῶν ἀθέσμων ἐν ἀσελγείᾳ ἀναστροφῆς, ἐρρύσατο **8** (βλέμματι γὰρ καὶ ἀκοῇ ὁ δίκαιος, ἐγκατοικῶν ἐν αὐτοῖς, ἡμέραν ἐξ ἡμέρας ψυχὴν δικαίαν ἀνόμοις ἔργοις ἐβασάνιζεν) **9**—οἶδεν Κύριος εὐσεβεῖς ἐκ πειρασμῶν[14] ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν, **10** μάλιστα δὲ τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυμίᾳ[15] μιασμοῦ πορευομένους, καὶ κυριότητος καταφρονοῦντας.

---

[1] ουτος εστιν ο υιος μου ο αγαπητος **f**^{35} ℵA,C^{c} (98.8%) RP,HF,OC,TR,CP ¦ ~ 3456712 **𝔓**^{72}B (alone) NU ¦ three other readings C (0.8%)

[2] ευδοκησα *rell* ¦ ηυδοκησα A [12%]

[3] ορει τω αγιω **f**^{35} ℵA (97.6%) RP,HF,OC,TR,CP ¦ ~ 31 **𝔓**^{72}B,C (2.4%) NU

[4] ποτε προφητεια **f**^{35} ℵA [84%] RP,HF,OC,TR,CP ¦ ~ 21 B,C [15%] NU ¦ ~ η 21 **𝔓**^{72} [1%] ¦ two other readings

[5] ποτε προφητεια **f**^{35} ℵA [84%] RP,HF,OC,TR,CP ¦ ~ 21 B,C [15%] NU ¦ ~ η 21 **𝔓**^{72} [1%] ¦ two other readings

[6] αγιοι θεου **f**^{35} ℵ (84.8%) RP,HF,OC,CP ¦ οι 12 (4.2%) TR ¦ 1 του 2 A (2.6%) ¦ απο 2 **𝔓**^{72}B (5.6%) NU ¦ ~ απο 21 C (1.2%) ¦ 1 (0.8%) ¦ 12 προφηται (0.8%)

[7] ασελγειαις *rell* ¦ απωλειαις TR

[8] ας **f**^{35} [20%] ¦ ους **𝔓**^{72}ℵA,B,C [80%] RP,HF,OC,TR,CP,NU (The people, or the licentious conduct? Is it not really the bad conduct that sullies the reputation of the Way?)

[9] νυσταξει **f**^{35} [79%] RP,HF,OC,CP ¦ νυσταζει **𝔓**^{72}ℵA,B,C [21%] TR,NU

[10] τηρουμενους **f**^{35} **𝔓**^{72}B,C [89%] RP,HF,OC,CP,NU ¦ τετηρημενους [2%] TR ¦ κολαζομενους τηρειν ℵA [8%] ¦ four other readings [1%]

[11] αλλ **f**^{35} [82%] HF,TR ¦ αλλα **𝔓**^{72}ℵA,B,C [18%] RP,OC,CP,NU

[12] καταστροφη **f**^{35} ℵA [97%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ --- **𝔓**^{72}B,C [3%]

[13] ασεβειν **f**^{35} ℵA,C [92%] RP,HF,OC,TR,CP,*ECM*,N-A^{28} ¦ ασεβεσιν **𝔓**^{72}B [4%] [NU] ¦ --- [3%] ¦ three other readings [1%]

[14] πειρασμων **f**^{35} ℵ [33%] CP ¦ πειρασμου (**𝔓**^{72})A,B,C [67%] RP,HF,OC,TR,NU ¦ one other reading (I take the plural to be clearly superior in the context.)

[15] επιθυμια *rell* ¦ επιθυμιαις (**𝔓**^{72})ℵC [12%]

Their depravity is 'unreal'

Τολμηταί, αὐθάδεις, δόξας οὐ τρέμουσιν βλασφημοῦντες, **11** ὅπου ἄγγελοι, ἰσχύϊ καὶ δυνάμει μείζονες ὄντες, οὐ φέρουσιν κατ᾽ αὐτῶν παρὰ Κυρίῳ[1] βλάσφημον κρίσιν. **12** Οὗτοι δέ, ὡς ἄλογα ζῷα, γεγενημένα φυσικὰ[2] εἰς ἅλωσιν καὶ φθοράν, ἐν οἷς ἀγνοοῦσιν βλασφημοῦντες, ἐν τῇ φθορᾷ αὐτῶν καταφθαρήσονται,[3] **13** κομιούμενοι[4] μισθὸν ἀδικίας. Ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ τρυφήν, σπίλοι καὶ μῶμοι, ἐντρυφῶντες ἐν ταῖς ἀπάταις αὐτῶν συνευωχούμενοι ὑμῖν, **14** ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος καὶ ἀκαταπαύστους[5] ἁμαρτίας, δελεάζοντες ψυχὰς ἀστηρίκτους· καρδίαν γεγυμνασμένην πλεονεξίας[6] ἔχοντες, κατάρας τέκνα· **15** καταλιπόντες[7] εὐθεῖαν[8] ὁδὸν ἐπλανήθησαν, ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ Βαλαὰμ τοῦ Βοσόρ, ὃς μισθὸν ἀδικίας ἠγάπησεν· **16** ἔλεγξιν δὲ ἔσχεν ἰδίας παρανομίας—ὑποζύγιον ἄφωνον ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον ἐκώλυσεν τὴν τοῦ προφήτου παραφρονίαν. **17** Οὗτοί εἰσιν πηγαὶ ἄνυδροι,[9] νεφέλαι[10] ὑπὸ λαίλαπος ἐλαυνόμεναι, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνας[11] τετήρηται.

Their victims lose out

18 Ὑπέρογκα γὰρ ματαιότητος φθεγγόμενοι δελεάζουσιν ἐν ἐπιθυμίαις σαρκός, ἀσελγείας,[12] τοὺς ὄντως[13] ἀποφυγόντας[14] τοὺς ἐν πλάνῃ ἀναστρεφομένους, **19** ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμενοι, αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς φθορᾶς· ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ[15] δεδούλωται. **20** Εἰ[16] γάρ, ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου ἐν ἐπιγνώσει τοῦ Κυρίου καὶ Σωτῆρος[17] Ἰησοῦ Χριστοῦ, τούτοις δὲ πάλιν ἐμπλακέντες ἡττῶνται, γέγονεν αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων. **21** Κρεῖττον[18] γὰρ ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνοῦσιν ἐπιστρέψαι ἐκ[19] τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς. **22** Συμβέβηκεν δὲ[20] αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας· κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα[21] καὶ ὗς λουσαμένη εἰς κύλισμα[22] βορβόρου.

So take the Truth seriously!!

3:1 Ταύτην ἤδη, ἀγαπητοί, δευτέραν ὑμῖν γράφω ἐπιστολήν (ἐν αἷς διεγείρω ὑμῶν ἐν ὑπομνήσει

---

[1] παρα κυριω **f**[35] ℵB,C [81%] RP,HF,OC,TR,CP,*ECM*,N-A[28] ¦ 1 κυριου **𝔓**[72] [8%] NU ¦ --- A [11%]

[2] γεγενημενα φυσικα **f**[35] ℵ [26%] CP ¦ ~ 21 [54%] RP,HF,OC,TR ¦ γεγεννημενα 2 A,B,C [3%] NU ¦ ~ 2 γεγεννημενα [12%] ¦ 1 [4.2%] ¦ 2 **𝔓**[72] [0.4%] ¦ two other readings [0.4%] (The majority variant, by putting the adjective next to the noun, seems to make a more natural construction, but I take it that φυσικα is acting like a noun in apposition to ζωα, and to help us see this Peter places it after the participle: render, "as unreasoning animals, creatures of instinct made to be caught and destroyed".)

[3] καταφθαρησονται **f**[35] [95%] RP,OC,TR,CP ¦ και φθαρησονται (**𝔓**[72])ℵA,B,C [4%] NU ¦ --- [1%] ¦ και 1 HF

[4] κομιουμενοι **f**[35] A,C (97.6%) RP,HF,OC,TR,CP ¦ αδικουμενοι **𝔓**[72]ℵB (2%) NU ¦ one other variant (0.4%) (Is the Alexandrian variant not inferior?)

[5] ακαταπαυστους *rell* ¦ ακαταπαυστου [15%]

[6] πλεονεξιας **f**[35] **𝔓**[72]ℵA,B,C [95%] RP,HF,OC,CP,NU ¦ πλεονεξιαις [2%] TR ¦ πλεονεξιαν [2%] ¦ πλεονεξια [1%]

[7] καταλιποντες **f**[35] **𝔓**[72]C [90%] RP,HF,OC,TR,*ECM*,N-A[28] ¦ καταλειποντες ℵA,B [9%] CP,NU ¦ two other readings

[8] ευθειαν **f**[35] **𝔓**[72]ℵA,B,C [98%] RP,HF,OC,CP,NU ¦ την 1 [2%] TR

[9] ανυδροι **f**[35] (87%) RP,HF,OC,TR,CP ¦ 1 και **𝔓**[72]ℵA,B,C (13%) NU

[10] νεφελαι **f**[35] (87.4%) RP,HF,OC,TR,CP ¦ ομιχλαι **𝔓**[72]ℵA,B,C (11.4%) NU ¦ conflation (1.2%)

[11] εις αιωνας **f**[35] (25.1%) ¦ 1 αιωνα A,C (70.3%) RP,HF,OC,TR,CP ¦ 1 τον αιωνα (2.4%) ¦ --- **𝔓**[72]ℵB (2.2%) NU

[12] ασελγειας **f**[35] [40%] ¦ ασελγειαις **𝔓**[72]ℵA,B,C [60%] RP,HF,OC,TR,CP,NU

[13] οντως **f**[35] ℵC [93%] RP,HF,OC,TR,N-A[28] ¦ ολιγως **𝔓**[72]A,B [3%] NU ¦ ολιγον [3%] CP ¦ οντως ολιγον [1%]

[14] αποφυγοντας **f**[35] [93%] RP,HF,OC,TR,CP ¦ αποφευγοντας (**𝔓**[72])ℵA,B,C [7%] NU

[15] και **f**[35] A,C,048 [99.4%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[72]ℵB [0.6%] NU

[16] ει **f**[35] **𝔓**[72]ℵA,B,C [94%] RP,HF,OC,TR,NU ¦ οι [6%] CP

[17] και σωτηρος **f**[35] B (75%) RP,HF,OC,TR,CP,N-A[28] ¦ ημων 12 **𝔓**[72]ℵA,C,048 (14.6%) [NU]*ECM* ¦ 12 ημων (7.8%) ¦ ημων (1.6%) ¦ --- (1%)

[18] κρειττον *rell* ¦ κρεισσον ℵA [10%]

[19] επιστρεψαι εκ **f**[35] (83.7%) RP,HF,OC,TR,CP ¦ εις τα οπισω 12 (4.6%) ¦ 1 εις τα οπισω 2 (1.4%) ¦ υποστρεψαι 2 (**𝔓**[72])B,C (4.8%) NU ¦ υποστρεψαι εις τα οπισω 2 (1%) ¦ 2 (0.4%) ¦ εις τα οπισω ανακαμψαι απο ℵA,048 (4.2%)

[20] δε **f**[35] C [96%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[72]ℵA,B,048[v] [3%] NU ¦ γαρ [1%]

[21] εξεραμα *rell* ¦ εξερασμα [13%] ¦ εμετον [7%]

[22] κυλισμα **f**[35] ℵA,048 [95%] RP,HF,OC,TR,CP ¦ κυλισμον **𝔓**[72]B,C [5%] NU

τὴν εἰλικρινῆ[1] διάνοιαν), **2** μνησθῆναι τῶν προειρημένων ῥημάτων ὑπὸ τῶν ἁγίων προφητῶν, καὶ τῆς τῶν ἀποστόλων ὑμῶν[2] ἐντολῆς τοῦ Κυρίου καὶ Σωτῆρος.

Scoffers will come

3 Τοῦτο πρῶτον γινώσκοντες· ὅτι ἐλεύσονται ἐπ᾽ ἐσχάτου[3] τῶν ἡμερῶν[4] ἐμπαῖκται, κατὰ τὰς ἰδίας ἐπιθυμίας αὐτῶν[5] πορευόμενοι **4** καὶ λέγοντες· «Ποῦ ἐστιν ἡ ἐπαγγελία τῆς παρουσίας αὐτοῦ;» Ἀφ᾽ ἧς γὰρ οἱ πατέρες ἐκοιμήθησαν πάντα οὕτως διαμένει ἀπ᾽ ἀρχῆς κτίσεως. **5** Λανθάνει γὰρ αὐτοὺς τοῦτο θέλοντας, ὅτι οὐρανοὶ ἦσαν ἔκπαλαι καὶ γῆ (ἐξ ὕδατος καὶ δι᾽ ὕδατος) συνεστῶτα[6] τῷ τοῦ Θεοῦ λόγῳ, **6** δι᾽ ὧν[7] ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς ἀπώλετο.

This world will be destroyed

7 Οἱ δὲ νῦν οὐρανοί, καὶ ἡ γῆ, τῷ αὐτοῦ[8] λόγῳ τεθησαυρισμένοι εἰσὶν πυρί, τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας τῶν ἀσεβῶν ἀνθρώπων.

The Lord is longsuffering

8 Ἓν δὲ τοῦτο[9] μὴ λανθανέτω ὑμᾶς, ἀγαπητοί, ὅτι μία ἡμέρα παρὰ Κυρίῳ ὡς χίλια ἔτη, καὶ χίλια ἔτη ὡς ἡμέρα μία.[10] **9** Οὐ βραδύνει ὁ[11] Κύριος τῆς ἐπαγγελίας, ὥς τινες βραδυτῆτα ἡγοῦνται, ἀλλὰ μακροθυμεῖ εἰς ἡμᾶς,[12] μὴ βουλόμενός τινας ἀπολέσθαι ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι.

Hasten the day of God

10 Ἥξει δὲ ἡ[13] ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτί,[14] ἐν ᾗ[15] οὐρανοὶ[16] ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται[17]—καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται.[18] **11** Τούτων οὖν[19] πάντων λυομένων, ποταποὺς δεῖ ὑπάρχειν ὑμᾶς[20] ἐν ἁγίαις ἀναστροφαῖς καὶ

---

[1] εἰλικρινη **f**^{35} [20%] ¦ εἰλικρινη *rell*

[2] υμων **f**^{35} **𝔓**^{72}א A,B,C [70%] RP,HF,OC,CP,NU ¦ ημων [28.8%] TR ¦ --- [1.2%]

[3] εσχατου **f**^{35} [87%] RP,HF,TR,CP ¦ εσχατων **𝔓**^{72}א A,B,048^{v} [13%] OC,NU ¦ εσχατω C

[4] ημερων **f**^{35} [88%] RP,HF,OC,TR,CP ¦ 1 εν εμπαιγμονη א A,B,048^{v} [5.6%] NU ¦ 1 εμπαιγμωνη (**𝔓**^{72})C [5%] ¦ 1 εμπαιγμωνης [1.2%] ¦ one other reading [0.2%]

[5] επιθυμιας αυτων **f**^{35} B,C(048) [79%] RP,HF,OC,CP,NU ¦ ~ 21 א A [20%] TR ¦ 1 **𝔓**^{72} [1%] ¦ one other reading

[6] συνεστωτα **f**^{35} א [23%] ¦ συνεστωσα **𝔓**^{72}A,C(048) [76%] RP,HF,OC,TR,CP,NU ¦ συνεστωσαι [1%] ¦ συνεστωσης B (The nominative plural neuter perfect active participle works with ησαν as a periphrastic construction whose subject includes both ‘heavens’ [m] and ‘earth’ [f]. Peter’s syntax is almost as convoluted as Paul’s, at times. **f**^{35} [K^{r}] is early and independent of K^{x}.)

[7] ων **f**^{35} **𝔓**^{72}א A,B,C,048 [97%] RP,HF,OC,TR,CP,NU ¦ ον [2%] *ECM*,N-A^{28} ¦ ο [1%]

[8] τω αυτου **f**^{35} אC [90%] RP,HF,OC,CP ¦ 1 αυτω **𝔓**^{72}A,B [9%] NU ¦ 2 TR ¦ two other variants

[9] τουτο *rell* ¦ τουτω **𝔓**^{72} [22%]

[10] ημερα μια **f**^{35} **𝔓**^{72}א A,B,C [98%] RP,HF,OC,TR,NU ¦ ~ 21 [2%] CP

[11] ο **f**^{35} [81%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{72}א A,B,C,048 [19%] NU

[12] εις ημας **f**^{35} [80%] RP,HF,OC,TR,CP ¦ 1 υμας **𝔓**^{72}B,C,048^{v} [13%] NU ¦ δι υμας אA [4%] ¦ δι 2 [2%] ¦ εφ υμας [1%] (Some copyists assimilated to the 2nd person in verse 8, but here in verse 9 Peter is making a general statement that is properly inclusive.)

[13] η **f**^{35} אA [82%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{72}B,C,048 [18%] NU

[14] εν νυκτι **f**^{35} C (88%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**^{72}א A,B,048 (12%) NU

[15] η **f**^{35} א,048 [67%] OC ¦ 1 οι **𝔓**^{72}A,B,C [33%] RP,HF,TR,CP,NU (Just as in verse 5 ‘heavens’ occurs without the article, so here.)

[16] ουρανοι *rell* ¦ 1 μεν א [11%]

[17] λυθησονται **f**^{35} A [94%] RP,HF,OC,TR,CP ¦ λυθησεται **𝔓**^{72}אB,C,048^{v} [6%] NU

[18] κατακαησεται **f**^{35} A,048 (90.2%) RP,HF,OC,TR,CP ¦ κατακαησονται (3.4%) ¦ ευρεθησεται אB (3.2%) NU [ευρεθησεται λουμενα **𝔓**^{72} (alone)] ¦ αφανισθησονται C (alone) ¦ --- [part of a larger omission] (2.8%) ¦ ουχ ευρεθησεται [0%] *ECM* (*ECM* follows essentially the Sahidic version.) (The reading of NU is inferior to the point of being almost nonsensical.)

[19] ουν **f**^{35} אA,048 (87.6%) RP,HF,OC,TR,CP ¦ ουτως (**𝔓**^{72})B (6.2%) NU ¦ δε ουτως C (3%) ¦ δε (2%) ¦ 1 ουτως (1.2%)

[20] υμας **f**^{35} A,C,048^{v} [90%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ ημας א [8.6%] ¦ --- **𝔓**^{72}B [1%] ¦ εαυτους [0.4%]

εὐσεβείαις, **12** προσδοκῶντας καὶ σπεύδοντας τὴν παρουσίαν τῆς τοῦ Θεοῦ ἡμέρας, δι᾽ ἣν[1] οὐρανοί, πυρούμενοι, λυθήσονται, καὶ στοιχεῖα καυσούμενα τήκεται;[2]

A better world is coming

13 Καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν[3] κατὰ τὸ ἐπάγγελμα αὐτοῦ[4] προσδοκῶμεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ.

So be serious!

14 Διό, ἀγαπητοί, ταῦτα προσδοκῶντες, σπουδάσατε ἄσπιλοι καὶ ἀμώμητοι[5] αὐτῷ εὑρεθῆναι ἐν εἰρήνῃ· **15** καὶ τὴν τοῦ Κυρίου ἡμῶν μακροθυμίαν σωτηρίαν ἡγεῖσθε—καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος, κατὰ τὴν αὐτῷ δοθεῖσαν[6] σοφίαν, ἔγραψεν ὑμῖν, **16** ὡς καὶ ἐν πάσαις ταῖς[7] ἐπιστολαῖς (λαλῶν ἐν αὐταῖς περὶ τούτων, ἐν οἷς[8] εἰσιν[9] δυσνόητά τινα), ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν,[10] ὡς καὶ τὰς λοιπὰς Γραφάς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν. **17** Ὑμεῖς οὖν, ἀγαπητοί, προγινώσκοντες φυλάσσεσθε, ἵνα μή, τῇ τῶν ἀθέσμων πλάνῃ συναπαχθέντες, ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ. **18** Αὐξάνητε[11] δὲ ἐν χάριτι καὶ γνώσει τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ.

Αὐτῷ ἡ δόξα καὶ νῦν καὶ εἰς ἡμέραν αἰῶνος. Ἀμήν.[12,13]

---

[1] ην *rell* ¦ 1 οι [20%]

[2] τηκεται **f**[35] **𝔓**[72]אA,B,048[v] [91%] RP,HF,OC,TR,NU ¦ τακησεται C [7%] CP ¦ τακησονται [1.4%] ¦ two other readings [0.6%]

[3] γην καινην *rell* ¦ ~ 21 אA,048 [17%]

[4] επαγγελμα αυτου *rell* ¦ ~ 21 CP

[5] αμωμητοι *rell* ¦ αμωμοι A [13%]

[6] αυτω δοθεισαν **f**[35] [60%] RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[72](א)A,B,C,048 [40%] NU

[7] ταις **f**[35] א (96.8%) RP,HF,OC,TR,CP,*ECM*,N-A[28] ¦ --- **𝔓**[72]A,B,C (3.2%) NU (A not very difficult case of homoioteleuton, 3 x -αις; *ECM* is certainly correct in abandoning NU here.)

[8] οις **f**[35] C [83%] RP,HF,OC,TR,CP ¦ αις **𝔓**[72]אA,B [17%] NU

[9] εισιν **f**[35] A [33%] ¦ εστιν **𝔓**[72]אB,C [67%] RP,HF,OC,TR,CP,NU ¦ one other reading

[10] στρεβλουσιν **f**[35] אA,B [95%] RP,HF,OC,TR,CP,NU ¦ στρεβλωσουσιν **𝔓**[72]C[v] [5%] *ECM*,N-A[28]

[11] αυξανητε **f**[35] [27%] ¦ αυξανετε אA,B [60%] RP,HF,OC,TR,CP,NU ¦ αυξανεσθε **𝔓**[72]C [5%] ¦ αυξανησθε [3%] ¦ αυξανοιτε [5%] (Imperative or Subjunctive? I take it that Peter is offering a gentler alternative to falling from their steadfastness; render "rather, may you grow in grace …")

[12] αμην **f**[35] **𝔓**[72]אA,C (97.4%) RP,HF,OC,TR,CP[NU] ¦ --- B (2.6%) *ECM*,N-A[28]

[13] The citation of **f**[35] is based on forty-four MSS—18, 35, 141, 149, 201, 204, 328, 386, 394, 432, 604, 664, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1754, 1761, 1768, 1855, 1858, 1864, 1865, 1876, 1892, 1897, 2221, 2352, 2431, 2466, 2554, 2587, 2626 and 2723—all of which I collated myself. 35, 1725, 1864, 2554 and 2723 are very pure representatives of **f**[35] in 2 Peter, with not a single variant, and so for the exemplars of 18, 141, 824, 1072, 1075, 1503, 1858, 1865 and 1897. For 35, 1725, 1864, 2554 and 2723 to have no variants after all the centuries of transmission is surely an eloquent demonstration of the faithfulness and accuracy of that transmission. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Athens, Meteora, Sparta, Ochrida, Mt. Athos [nine different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

ECM collated 127 continuous text manuscripts (MSS) for 2 Peter, apart from a few fragments, which number represents about 20% of the extant (known) MSS. By a careful comparison of *TuT* and *ECM* I believe we can arrive at some reasonably close extrapolations. Thus I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error will hardly exceed ±2%; where there is some division among the Byzantine witnesses the margin of error will rarely exceed ±10%. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

ΙΩΑΝΝΟΥ Α΄

Prologue

1:1 Ὃ ἦν ἀπ᾽ ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς Ζωῆς—**2** καὶ ἡ Ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν Ζωὴν τὴν αἰώνιον ἥτις ἦν πρὸς τὸν Πατέρα καὶ ἐφανερώθη ἡμῖν—**3** ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν ἀπαγγέλλομεν ὑμῖν,[1] ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ᾽ ἡμῶν· καὶ ἡ κοινωνία δὲ[2] ἡ ἡμετέρα μετὰ τοῦ Πατρὸς καὶ μετὰ τοῦ Υἱοῦ αὐτοῦ, Ἰησοῦ Χριστοῦ. **4** Καί, ταῦτα γράφομεν ὑμῖν[3] ἵνα ἡ χαρὰ ἡμῶν[4] ᾖ πεπληρωμένη.

The conditions of fellowship

God is light

1:5 Καὶ ἔστιν αὕτη[5] ἡ ἀγγελία[6] ἣν ἀκηκόαμεν ἀπ᾽ αὐτοῦ καὶ ἀναγγέλλομεν[7] ὑμῖν, ὅτι ὁ Θεὸς φῶς ἐστιν καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία. **6** Ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν[8] μετ᾽ αὐτοῦ καὶ ἐν τῷ σκότει περιπατοῦμεν,[9] ψευδόμεθα καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν. **7** Ἐὰν δὲ[10] ἐν τῷ φωτὶ περιπατῶμεν ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινωνίαν ἔχομεν μετ᾽ ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ[11] τοῦ Υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.

God forgives confessed sin

8 Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν καὶ ἡ Ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν.[12] **9** Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστιν καὶ δίκαιος ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας καὶ καθαρίσῃ[13] ἡμᾶς ἀπὸ πάσης ἀδικίας. **10** Ἐὰν εἴπωμεν ὅτι οὐχ ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτὸν καὶ ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

Jesus Christ is our Advocate

2:1 Τεκνία μου, ταῦτα γράφω ὑμῖν ἵνα μὴ ἁμάρτητε· καὶ ἐάν τις ἁμάρτῃ, Παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον **2**—καὶ αὐτὸς ἱλασμός ἐστιν περὶ τῶν ἁμαρτιῶν ἡμῶν· οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον[14] ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου.

We must keep His commandments

3 Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτόν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. **4** Ὁ λέγων,[15] «Ἔγνωκα αὐτόν,» καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστίν, καὶ ἐν τούτῳ ἡ

---

[1] υμιν **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ και 1 (א)A,B,C [6%] NU

[2] δε *rell* ¦ --- C [10%]

[3] υμιν **f**[35] C [98.8%] RP,HF,OC,TR,CP ¦ ημεις אA^{v}B [1.2%] NU

[4] ημων **f**[35] אB [59%] RP,HF,OC,TR,CP,NU ¦ υμων A,C [41%] (Some TRs read 'your'. Either pronoun makes sense, and the difference is in only one letter, but 'our' has the better attestation, as well as making better sense.)

[5] εστιν αυτη **f**[35] אB,C [78%] RP,HF,CP,NU ¦ ~ 21 A [22%] OC,TR

[6] αγγελια **f**[35] A,B [79%] RP,HF,CP,NU ¦ επαγγελια C [21%] OC,TR ¦ απαγγελια א ¦ one other reading

[7] αναγγελλομεν **f**[35] אA,B,C [85%] RP,HF,OC,TR,CP,NU ¦ απαγγελλομεν [15%]

[8] εχομεν *rell* ¦ εχωμεν [14%]

[9] περιπατουμεν **f**[35] [29%] ¦ περιπατωμεν **f**[35pt] אA,B,C [71%] RP,HF,OC,TR,CP,NU (The roster of **f**[35] MSS that reads the Subjunctive is basically made up of the two subgroups that were clearly identified in 1 and 2 Peter, no fewer than 44 of them (out of 53). Further, 18 of them come from a single monastery: M Lavras. The Indicative has a better geographical distribution. The verb 'say' is properly Subjunctive, being controlled by εαν, but the verbs 'have' and 'walk' are part of a statement and are properly Indicative: only if we are in fact walking in darkness do we become liars for claiming to be in fellowship. So περιπατουμεν is correct.)

[10] δε *rell* ¦ --- [1.6%] *ECM*,N-A[28] [!?]

[11] χριστου **f**[35] A [95%] RP,HF,OC,TR,CP ¦ --- אB,C [5%] NU

[12] ουκ εστιν εν ημιν *rell* ¦ ~ 3412 A,C [19%]

[13] καθαριση *rell* ¦ καθαρισει A [12%]

[14] μονον *rell* ¦ μονων B [13%]

[15] λεγων **f**[35] C [80%] RP,HF,OC,TR,CP ¦ 1 οτι אA,B [20%] NU

ἀλήθεια οὐκ ἔστιν. **5** Ὃς δ᾽ ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ Θεοῦ τετελείωται· ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ ἐσμεν. **6** Ὁ λέγων ἐν αὐτῷ μένειν ὀφείλει καθὼς ἐκεῖνος περιεπάτησεν καὶ αὐτὸς οὕτως[1] περιπατεῖν.

An old/new commandment

7 Ἀδελφοί,[2] οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλ᾽ ἐντολὴν παλαιὰν ἣν εἴχετε ἀπ᾽ ἀρχῆς· ἡ ἐντολὴ ἡ παλαιά ἐστιν ὁ λόγος ὃν ἠκούσατε ἀπ᾽ ἀρχῆς.[3] **8** Πάλιν, ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ ἐστιν ἀληθὲς ἐν αὐτῷ καὶ ἐν ὑμῖν, ὅτι ἡ σκοτία παράγεται καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει. **9** Ὁ λέγων ἐν τῷ φωτὶ εἶναι καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι. **10** Ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ φωτὶ μένει, καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ ἔστιν. **11** Ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν τῇ σκοτίᾳ ἐστὶν καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ· καὶ οὐκ οἶδεν[4] ποῦ ὑπάγει ὅτι ἡ σκοτία ἐτύφλωσεν τοὺς ὀφθαλμοὺς αὐτοῦ.

Look out for the enemy!

A bit of poetry

2:12 Γράφω ὑμῖν τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ **13**—γράφω ὑμῖν πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ᾽ ἀρχῆς· γράφω ὑμῖν νεανίσκοι, ὅτι νενικήκατε τὸν πονηρόν· γράφω[5] ὑμῖν παιδία, ὅτι ἐγνώκατε τὸν Πατέρα—**14** ἔγραψα ὑμῖν πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ᾽ ἀρχῆς· ἔγραψα ὑμῖν νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ λόγος τοῦ Θεοῦ ἐν ὑμῖν μένει καὶ νενικήκατε τὸν πονηρόν.

We must not love the 'world'

15 Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ· ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ Πατρὸς ἐν αὐτῷ. **16** Ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ—ἡ ἐπιθυμία τῆς σαρκὸς καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν καὶ ἡ ἀλαζονεία[6] τοῦ βίου—οὐκ ἔστιν ἐκ τοῦ Πατρὸς ἀλλ᾽ ἐκ τοῦ κόσμου ἐστίν. **17** Καὶ ὁ κόσμος παράγεται, καὶ ἡ ἐπιθυμία αὐτοῦ, ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ μένει εἰς τὸν αἰῶνα.

A bunch of little antichrists

18 Παιδία, ἐσχάτη ὥρα ἐστίν, καὶ καθὼς ἠκούσατε ὅτι ὁ[7] Ἀντίχριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν, ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν. **19** Ἐξ ἡμῶν ἐξῆλθον[8] ἀλλ᾽ οὐκ ἦσαν ἐξ ἡμῶν, εἰ γὰρ ἦσαν ἐξ ἡμῶν,[9] μεμενήκεισαν ἂν μεθ᾽ ἡμῶν—ἀλλ᾽ ἵνα φανερωθῶσιν, ὅτι οὐκ εἰσὶν πάντες ἐξ ἡμῶν.

20 Καὶ ὑμεῖς Χρῖσμα ἔχετε ἀπὸ τοῦ Ἁγίου καὶ οἴδατε πάντα.[10] **21** Οὐκ ἔγραψα ὑμῖν ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν, ἀλλ᾽ ὅτι οἴδατε αὐτήν, καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς Ἀληθείας οὐκ ἔστιν.

We must abide in the Truth

22 Τίς ἐστιν ὁ ψεύστης εἰ μὴ ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός; Οὗτός ἐστιν ὁ Ἀντίχριστος, ὁ ἀρνούμενος τὸν Πατέρα καὶ τὸν Υἱόν. **23** Πᾶς ὁ ἀρνούμενος τὸν Υἱὸν οὐδὲ τὸν

---

[1] ουτως **f**^{35} ℵC [95%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ --- A,B [5%]
[2] αδελφοι **f**^{35} (83.7%) RP,HF,OC,TR,CP ¦ 1 μου (1%) ¦ αγαπητοι ℵA,B,C (14.9%) NU ¦ two other variants (0.4%)
[3] απ αρχης **f**^{35} (87.5%) RP,HF,OC,TR,CP ¦ --- ℵA,B,C (8.1%) NU ¦ omit whole sentence (4.3%) [homoioteleuton]
[4] οιδεν *rell* ¦ ειδεν [12%]
[5] γραφω **f**^{35} (80.8%) RP,HF,TR,CP ¦ εγραψα ℵA,B,C (18.2%) OC,NU ¦ omit whole verse (1%) [homoioteleuton] (Verse 12 is an introductory cover statement; in verse 13 John divides the cover group into three sub-categories; in verse 14 he returns to the first two categories.)
[6] αλαζονεια *rell* ¦ αλαζονια ℵA,B [28%]
[7] ο **f**^{35} (A) [97%] RP,HF,OC,TR,CP ¦ --- ℵB,C [3%] NU
[8] εξηλθον **f**^{35} ℵ [97.4%] RP,HF,OC,TR,CP ¦ ηλθον [2%] ¦ εξηλθαν A,B,C [alone] NU
[9] ησαν εξ ημων **f**^{35} ℵA (92.7%) RP,HF,OC,TR,CP ¦ ~ 231 B,C (5.3%) NU ¦ --- (2%) [homoioteleuton]
[10] παντα **f**^{35} A,C (97.2%) RP,HF,OC,TR,CP ¦ παντες ℵB (2.4%) NU ¦ --- (0.4%) [homoioteleuton]

Πατέρα ἔχει.[1] **24** Ὑμεῖς οὖν,[2] ὃ ἠκούσατε ἀπ᾽ ἀρχῆς ἐν ὑμῖν μενέτω· ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ᾽ ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ Πατρὶ καὶ ἐν τῷ Υἱῷ[3] μενεῖτε.

25 Καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν αὐτὸς ἐπηγγείλατο ἡμῖν· τὴν ζωὴν τὴν αἰώνιον. **26** Ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς· **27** καὶ ὑμεῖς, τὸ Χρῖσμα ὃ ἐλάβετε ἀπ᾽ αὐτοῦ ἐν ὑμῖν μένει,[4] καὶ οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ[5] ὑμᾶς· ἀλλ᾽ ὡς τὸ αὐτὸ[6] Χρῖσμα διδάσκει ὑμᾶς περὶ πάντων, καὶ ἀληθές ἐστιν καὶ οὐκ ἔστιν ψεῦδος—καὶ καθὼς ἐδίδαξεν ὑμᾶς, μενεῖτε[7] ἐν αὐτῷ.

Remember the accounting at our Lord's return

2:28 Καὶ νῦν, τεκνία, μένετε ἐν αὐτῷ,[8] ἵνα ὅταν[9] φανερωθῇ ἔχωμεν[10] παρρησίαν καὶ μὴ αἰσχυνθῶμεν ἀπ᾽ αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ. **29** Ἐὰν εἰδῆτε[11] ὅτι δίκαιός ἐστιν, γινώσκετε ὅτι[12] πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην ἐξ αὐτοῦ γεγέννηται.[13]

"We are children of God"

3:1 Ἴδετε ποταπὴν ἀγάπην δέδωκεν[14] ἡμῖν ὁ Πατήρ, ἵνα τέκνα Θεοῦ κληθῶμεν.[15] Διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ἡμᾶς,[16] ὅτι οὐκ ἔγνω αὐτόν.

2 Ἀγαπητοί, νῦν τέκνα Θεοῦ ἐσμεν καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα, οἴδαμεν δὲ[17] ὅτι ἐάν φανερωθῇ ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστιν **3**—καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ᾽ αὐτῷ ἁγνίζει ἑαυτόν, καθὼς ἐκεῖνος ἁγνός ἐστιν.

"Whoever abides in Him does not sin"

4 Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν ποιεῖ· καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία. **5** Καὶ οἴδατε ὅτι ἐκεῖνος ἐφανερώθη ἵνα τὰς ἁμαρτίας ἡμῶν[18] ἄρῃ—καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστιν. **6** Πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει· καί,[19] πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτὸν οὐδὲ ἔγνωκεν αὐτόν.

7 Τεκνία, μηδεὶς πλανάτω ὑμᾶς· ὁ ποιῶν τὴν δικαιοσύνην δίκαιός ἐστιν, καθὼς ἐκεῖνος δίκαιός ἐστιν. **8** Ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν, ὅτι ἀπ᾽ ἀρχῆς ὁ διάβολος ἁμαρ-

---

[1] εχει **f**[35] (79.2%) RP,HF,OC,TR,CP ¦ 1 ο ομολογων τον υιον και τον πατερα 1 ℵA,B,C (20.8%) NU (Some TRs have the addition. John is making the point that to deny either the Father or the Son is to deny them both—the addition is unnecessary, if not distracting.)

[2] υμεις ουν **f**[35] [92.4%] RP,HF,OC,TR,CP ¦ 1 ℵA,B,C [7%] NU ¦ ~ και 1 [0.6%]

[3] πατρι και εν τω υιω **f**[35] ℵ [35%] CP ¦ ~ 52341 A(B)C [65%] RP,HF,OC,TR,NU (John returns to the order in verse 22, a 'sandwich'.)

[4] εν υμιν μενει **f**[35] [87.2%] RP,HF,OC,TR,CP ¦ ~ 312 ℵA,B,C [1.2%] NU ¦ ~ μενετω 12 [8.4%] ¦ 12 μενετω [3.2%]

[5] διδασκη **f**[35] ℵA,B [71%] RP,HF,OC,TR,CP,NU ¦ διδασκει C [28%] ¦ two other variants [1%]

[6] αυτο **f**[35] A [82%] RP,HF,OC,TR,CP ¦ αυτου ℵB,C [18%] NU

[7] μενειτε **f**[35] [87.4%] RP,HF,OC,TR,CP ¦ μενετε ℵA,B,C [12%] NU ¦ μεινατε [0.6%]

[8] και νυν τεκνια μενετε εν αυτω **f**[35] A,B,C [85%] RP,HF,OC,TR,CP,NU ¦ --- ℵ [15%]

[9] οταν **f**[35] (92.6%) RP,HF,OC,TR,CP ¦ εαν ℵA,B,C (6.2%) NU ¦ οτε (1.2%)

[10] εχωμεν **f**[35] ℵ (80.4%) RP,HF,OC,TR,CP ¦ σχωμεν A,B,C (8.5%) NU ¦ εχομεν (11.1%)

[11] ειδητε **f**[35] ℵB,C [37%] RP,HF,OC,TR,NU ¦ ιδητε A [59%] CP ¦ οιδατε [4%] (An itacism? The trouble is, it changes the verb. The third variant is based on οιδα, so it's 41:59. There appears to be a consensus that the minority reading is correct.)

[12] ειδητε **f**[35] ℵB,C [37%] RP,HF,OC,TR,NU ¦ ιδητε A [59%] CP ¦ οιδατε [4%] (An itacism? The trouble is, it changes the verb. The third variant is based on οιδα, so it is 41:59. There appears to be a consensus that the minority reading is correct.)

[13] γεγεννηται *rell* ¦ γεγενηται [30%]

[14] δεδωκεν *rell* ¦ εδωκεν A [14%]

[15] κληθωμεν **f**[35] (85.4%) RP,HF,OC,TR,CP ¦ 1 και εσμεν ℵA,B,C (14.6%) NU (The addition is out of place here, since John takes up that point in verse two.)

[16] ημας **f**[35] A,B [36%] TR,NU ¦ υμας ℵC [63.5%] RP,HF,OC,CP ¦ --- [0.5%] (John is making a general statement, so it is properly inclusive—first person.)

[17] οιδαμεν δε **f**[35] [90.4%] RP,HF,OC,TR,CP ¦ 1 ℵA,B,C [5.6%] NU ¦ --- [4%]

[18] ημων **f**[35] ℵ,C [95.8%] RP,HF,OC,TR,CP ¦ --- A,B [4.2%] NU

[19] και **f**[35] [20%] CP ¦ --- ℵA,B,C [80%] RP,HF,OC,TR,NU (I take the conjunction to be emphatic, 'indeed'.)

τάνει. Εἰς τοῦτο ἐφανερώθη ὁ Υἱὸς τοῦ Θεοῦ· ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου. **9** Πᾶς ὁ γεγεννημένος[1] ἐκ τοῦ Θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει· καί, οὐ δύναται ἁμαρτάνειν ὅτι ἐκ τοῦ Θεοῦ γεγέννηται.[2]

Children of God vs children of the devil

10 Ἐν τούτῳ φανερά ἐστιν τὰ τέκνα τοῦ Θεοῦ καὶ τὰ τέκνα τοῦ διαβόλου· πᾶς ὁ μὴ ποιῶν[3] δικαιοσύνην οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ. **11** Ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία[4] ἣν ἠκούσατε ἀπ᾽ ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους **12**—οὐ καθὼς Κάϊν, ἐκ τοῦ πονηροῦ ἦν καὶ ἔσφαξεν τὸν ἀδελφὸν αὐτοῦ. Καὶ χάριν τίνος ἔσφαξεν αὐτόν; Ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια.

13 Μὴ[5] θαυμάζετε, ἀδελφοί μου,[6] εἰ μισεῖ ὑμᾶς ὁ κόσμος. **14** Ἡμεῖς οἴδαμεν ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς· ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν[7] μένει ἐν τῷ θανάτῳ. **15** Πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστίν, καὶ οἴδατε ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν ἑαυτῷ[8] μένουσαν.

Love in deed and truth

16 Ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην· ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκεν· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς τιθέναι.[9] **17** Ὃς δ᾽ ἂν ἔχῃ[10] τὸν βίον τοῦ κόσμου καὶ θεωρῇ[11] τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα, καὶ κλείσῃ[12] τὰ σπλάγχνα αὐτοῦ ἀπ᾽ αὐτοῦ—πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει[13] ἐν αὐτῷ;

18 Τεκνία μου,[14] μὴ ἀγαπῶμεν λόγῳ μηδὲ τῇ[15] γλώσσῃ, ἀλλ᾽[16] ἐν[17] ἔργῳ καὶ ἀληθείᾳ **19**—καί,[18] ἐν τούτῳ γινώσκομεν[19] ὅτι ἐκ τῆς Ἀληθείας ἐσμὲν καὶ ἔμπροσθεν αὐτοῦ πείσωμεν[20] τὰς καρδίας[21] ἡμῶν· **20** ὅτι ἐὰν καταγινώσκῃ[22] ἡμῶν ἡ καρδία, ὅτι μείζων ἐστὶν ὁ Θεὸς τῆς καρδίας ἡμῶν καὶ γινώσκει πάντα.

---

[1] γεγεννημενος *rell* ¦ γεγενημενος [15%]
[2] γεγεννηται *rell* ¦ γεγενηται [16%]
[3] ποιων *rell* ¦ 1 την A,C [18%]
[4] αγγελια *rell* ¦ επαγγελια ℵC [10%]
[5] μη **f**[35] A,B [93%] RP,HF,OC,TR,CP ¦ και 1 ℵC [7%] [NU]*ECM*
[6] μου **f**[35] [88%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B,C [12%] NU
[7] τον αδελφον **f**[35] C (80.5%) RP,HF,OC,TR,CP ¦ 12 αυτου (14.7%) ¦ --- ℵA,B (3.8%) NU ¦ three other variants (1%)
[8] εαυτω **f**[35] ℵA,C [70%] RP,HF,OC,CP ¦ αυτω B [30%] TR,NU
[9] τιθεναι **f**[35] [92%] RP,HF,OC,TR,CP ¦ θειναι ℵA,B,C [8%] NU
[10] εχη *rell* ¦ εχει [15%]
[11] θεωρη **f**[35] ℵA,B,C [47%] RP,HF,OC,TR,CP,NU ¦ θεωρει [53%] (An itacism? Θεωρη is parallel to εχη and κλειση; all are in the Subjunctive because of αν.)
[12] κλειση *rell* ¦ κλεισει [14%]
[13] μένει **f**[35] [80%] RP,HF,OC,TR,CP,NU ¦ μενεῖ [17%] ¦ ambiguous ℵA,B,C [1%] ¦ μενη [2%]
[14] μου **f**[35] [87%] RP,HF,OC,TR,CP ¦ --- ℵA,B,C [13%] NU
[15] τη **f**[35] A,B,C [85%] RP,HF,OC,CP,NU ¦ --- (ℵ) [15%] TR
[16] αλλ **f**[35] B,C [97.5%] RP,HF,OC,TR,CP ¦ αλλα ℵA [2.5%] NU
[17] εν **f**[35] ℵA,B,C [65%] RP,HF,OC,CP,NU ¦ --- [35%] TR
[18] και **f**[35] ℵC [93.6%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ --- A,B [6%] ¦ αλλ [0.4%]
[19] γινωσκομεν **f**[35] [80%] RP,HF,OC,TR,CP ¦ γνωσομεθα ℵA,B,C [17%] NU ¦ γινωσκομεθα [1%] ¦ three other variants [2%]
[20] πεισωμεν **f**[35] [43%] ¦ πεισομεν ℵA,B,C [56%] RP,HF,OC,TR,CP,NU ¦ two other variants [1%] (The assuring is not automatic and is up to us—the Subjunctive is correct.)
[21] τας καρδιας **f**[35] ℵC [97.8%] RP,HF,OC,TR,CP ¦ την καρδιαν A,B [2.2%] NU
[22] καταγινωσκη *rell* ¦ καταγινωσκει [24%]

Confidence toward God

21 Ἀγαπητοί, ἐὰν ἡ καρδία ἡμῶν[1] μὴ καταγινώσκῃ[2] ἡμῶν,[3] παρρησίαν ἔχομεν πρὸς τὸν Θεόν, **22** καὶ ὃ ἐὰν αἰτῶμεν λαμβάνομεν[4] παρ'[5] αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν[6] καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν. **23** Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν[7] τῷ ὀνόματι τοῦ Υἱοῦ αὐτοῦ, Ἰησοῦ Χριστοῦ, καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς ἔδωκεν ἐντολήν.[8] **24** Καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ. Ἐν[9] τούτῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν· ἐκ τοῦ Πνεύματος οὗ ἡμῖν ἔδωκεν.[10]

Various instructions

Test the spirits

4:1 Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐστιν, ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν κόσμον. **2** Ἐν τούτῳ γινώσκεται[11] τὸ Πνεῦμα τοῦ Θεοῦ· πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα ἐκ τοῦ Θεοῦ ἐστιν, **3** καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ[12] Ἰησοῦν Χριστὸν[13] ἐν σαρκὶ ἐληλυθότα[14] ἐκ[15] τοῦ Θεοῦ οὐκ ἔστιν· καί, τοῦτό ἐστιν τὸ τοῦ Ἀντιχρίστου, ὃ ἀκηκόατε ὅτι ἔρχεται—καί, νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη.

4 Ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐστε, τεκνία, καὶ νενικήκατε αὐτούς, ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν ἢ ὁ ἐν τῷ κόσμῳ. **5** Αὐτοὶ ἐκ τοῦ κόσμου εἰσίν· διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσιν, καὶ ὁ κόσμος αὐτῶν ἀκούει. **6** Ἡμεῖς ἐκ τοῦ Θεοῦ ἐσμεν· ὁ γινώσκων τὸν Θεὸν ἀκούει ἡμῶν· ὃς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ οὐκ ἀκούει ἡμῶν—ἐκ τούτου γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης.

Love one another

7 Ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστιν καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ Θεοῦ γεγέννηται καὶ γινώσκει τὸν Θεόν. **8** Ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν Θεόν, ὅτι ὁ Θεὸς ἀγάπη ἐστίν. **9** Ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ Θεοῦ ἐν ἡμῖν· ὅτι τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέσταλκεν ὁ Θεὸς[16] εἰς τὸν κόσμον ἵνα ζήσωμεν δι' αὐτοῦ. **10** Ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν[17] τὸν Θεὸν ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς—καὶ ἀπέστειλεν τὸν Υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν. **11** Ἀγαπητοί, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν.

---

[1] ημων **f**[35] ℵ[v]C [97%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ --- A,B [3%]
[2] καταγινωσκη *rell* ¦ καταγινωσκει A [29%]
[3] ημων **f**[35] ℵ[v]A [97.8%] RP,HF,OC,TR,CP ¦ --- B,C [2.2%] NU
[4] λαμβανομεν *rell* ¦ λαμβανωμεν A [16%]
[5] παρ **f**[35] [91.5%] RP,HF,OC,TR,CP ¦ απ ℵA,B,C [8.5%] NU
[6] τηρουμεν *rell* ¦ τηρωμεν ℵA [10%]
[7] πιστευσωμεν **f**[35] B (66.9%) RP,HF,OC,TR,CP,NU ¦ πιστευωμεν ℵA,C (26.5%) ¦ πιστευομεν (5.4%) ¦ πιστευσομεν (1.2%)
[8] εντολην **f**[35] [80%] RP,HF,OC,CP ¦ 1 ημιν ℵA,B,C [20%] TR,NU
[9] εν **f**[35] ℵ [30%] CP ¦ και 1 A,B,C[v] [70%] RP,HF,OC,TR,NU (Given John's fondness for the conjunction, scribes could add it almost without thinking.)
[10] ημιν εδωκεν **f**[35] A,B [75%] RP,HF,OC,TR,NU ¦ ~ 21 ℵ [25%] CP
[11] γινωσκεται **f**[35] [67%] RP,HF,CP ¦ γινωσκετε A,B,C [25%] OC,TR,NU ¦ γινωσκομεν ℵ [8%] (Since most versions are based on TR or NU, we are used to the 2nd person, which may have contributed to the use of this passage as a 'litmus' test for demonization.)
[12] ομολογει **f**[35] ℵ (73.5%) RP,HF,CP ¦ 1 τον A,B (24.2%) OC,TR,NU ¦ omit sentence [homoioteleuton] (2%) ¦ one other variant (0.2%)
[13] χριστον **f**[35] (91.4%) RP,HF,OC,TR,CP ¦ --- A,B (6%) NU ¦ κυριον ℵ (alone) ¦ omit sentence [homoioteleuton] (2%) ¦ two other variants (0.4%)
[14] εν σαρκι εληλυθοτα **f**[35] ℵ (94.8%) RP,HF,OC,TR,CP ¦ --- A,B (2.6%) NU ¦ omit sentence [homoioteleuton] (2%) ¦ three other variants (0.6%)
[15] εκ *rell* ¦ --- [30%]
[16] ο θεος *rell* ¦ --- [15%]
[17] ηγαπησαμεν **f**[35] A [98.2%] RP,HF,OC,TR,CP ¦ ηγαπηκαμεν B [1.6%] NU ¦ ηγαπησεν ℵ

As He is so are we in this world

12 Θεὸν οὐδεὶς πώποτε τεθέαται. Ἐὰν ἀγαπῶμεν ἀλλήλους ὁ Θεὸς ἐν ἡμῖν μένει καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν.[1] **13** Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. **14** Καί, ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν ὅτι ὁ Πατὴρ ἀπέσταλκεν τὸν Υἱὸν Σωτῆρα τοῦ κόσμου. **15** Ὃς ἂν[2] ὁμολογήσῃ[3] ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν τῷ Θεῷ. **16** Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστίν, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ.[4] **17** Ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθ᾽ ἡμῶν· ἵνα παρρησίαν ἔχωμεν[5] ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι καθὼς ἐκεῖνός ἐστιν καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ.

There is no fear in love

18 Φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ· ἀλλ᾽ ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλασιν ἔχει· ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ. **19** Ἡμεῖς ἀγαπῶμεν αὐτὸν[6] ὅτι αὐτὸς πρῶτος[7] ἠγάπησεν ἡμᾶς.

20 Ἐάν τις εἴπῃ ὅτι «Ἀγαπῶ τὸν Θεόν,» καὶ τὸν ἀδελφὸν αὐτοῦ μισεῖ,[8] ψεύστης ἐστίν. Ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ[9] ὃν ἑώρακεν, τὸν Θεὸν ὃν οὐχ ἑώρακεν πῶς[10] δύναται ἀγαπᾶν; **21** Καί, ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ᾽ αὐτοῦ· ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.

Our faith overcomes the world

5:1 Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ἐκ τοῦ Θεοῦ γεγέννηται· καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα ἀγαπᾷ καὶ[11] τὸν γεγεννημένον ἐξ αὐτοῦ. **2** Ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ Θεοῦ, ὅταν τὸν Θεὸν ἀγαπῶμεν καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν.[12] **3** Αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν, **4** ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον· καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον· ἡ πίστις ἡμῶν.[13] **5** Τίς ἐστιν[14] ὁ νικῶν τὸν κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ;

Receive the witness of God

6 Οὗτός ἐστιν ὁ ἐλθὼν δι᾽ ὕδατος καὶ αἵματος,[15] Ἰησοῦς[16] Χριστός—οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ᾽ ἐν τῷ ὕδατι καὶ[17] τῷ αἵματι. Καὶ τὸ Πνεῦμά ἐστιν τὸ μαρτυροῦν, ὅτι τὸ Πνεῦμά ἐστιν ἡ

---

[1] τετελειωμενη εστιν εν ημιν **f**[35] (90.7%) RP,HF,OC,TR,CP ¦ ~ 3412 A (7.9%) NU ¦ ~ 1342 ℵB (0.8%) ¦ three other variants (0.6%)

[2] αν **f**[35] ℵ,A [92.5%] RP,HF,OC,TR,CP ¦ εαν B [7.5%] NU

[3] ομολογηση *rell* ¦ ομολογησει [16%] ¦ ολολογη A [1%] ¦ ομολογει [1%]

[4] αυτω **f**[35] A [37%] OC,TR ¦ 1 μενει ℵB [63%] RP,HF,CP,NU (Since the repetition of the verb is unnecessary, does it become the harder reading?)

[5] εχωμεν *rell* ¦ εχομεν ℵ [12%] ¦ σχωμεν [1%]

[6] αυτον **f**[35] [84%] RP,HF,OC,TR,CP ¦ --- A,B [2.6%] NU ¦ τον θεον ℵ048 [13.4%]

[7] πρωτος *rell* ¦ πρωτον [15%]

[8] μισει **f**[35] 048 [74%] ¦ μιση ℵA,B [26%] RP,HF,OC,TR,CP,NU (The point of the argument hinges on the hating being fact, so the Indicative is correct.)

[9] αυτου *rell* ¦ --- [1%] OC

[10] πως **f**[35] A,048 (95.8%) RP,HF,OC,TR,CP ¦ ου ℵB (4.2%) NU

[11] και **f**[35] (ℵ)A,048 [98%] RP,HF,OC,TR,CP[NU]*ECM* ¦ --- B [2%]

[12] τηρωμεν **f**[35] ℵA [88%] RP,HF,OC,TR,CP ¦ ποιωμεν B [11%] NU ¦ τηρουμεν 048 [1%]

[13] ημων **f**[35] ℵ,A,B (56.4%) RP,OC,TR,NU ¦ υμων 048 (43.2%) HF,CP ¦ --- (0.4%) (John is making a general statement, that is properly inclusive—first person.)

[14] εστιν **f**[35] A,048 [88%] RP,HF,OC,TR,CP ¦ δε 1 ℵ [12%] [NU]*ECM* ¦ 1 δε B

[15] αιματος **f**[35] B (77.2%) RP,HF,OC,TR,CP,NU ¦ 1 και πνευματος ℵA (14.2%) ¦ πνευματος και 1 (4.8%) ¦ πνευματος (3.2%) ¦ two other variants (0.6%)

[16] ιησους **f**[35] ℵA,B [97%] RP,HF,OC,CP,NU ¦ 1 ο [3%] TR

[17] και **f**[35] ℵ [70%] RP,HF,OC,TR,CP ¦ 1 εν (A)B [30%] NU

ἀλήθεια· **7** ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες[1]—**8** τὸ Πνεῦμά καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα—καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν. **9** Εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρία τοῦ Θεοῦ μείζων ἐστίν· ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Θεοῦ ἣν[2] μεμαρτύρηκεν περὶ τοῦ Υἱοῦ αὐτοῦ. **10** Ὁ πιστεύων εἰς τὸν Υἱὸν τοῦ Θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷ·[3] ὁ μὴ πιστεύων τῷ Θεῷ[4] ψεύστην πεποίηκεν αὐτόν, ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν ἣν μεμαρτύρηκεν ὁ Θεὸς περὶ τοῦ Υἱοῦ αὐτοῦ. **11** Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία· ὅτι ζωὴν αἰώνιον ἔδωκεν ὁ Θεὸς ἡμῖν,[5] καὶ αὕτη ἡ ζωὴ ἐν τῷ Υἱῷ αὐτοῦ ἐστιν. **12** Ὁ ἔχων τὸν Υἱὸν ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων τὸν Υἱὸν τοῦ Θεοῦ τὴν ζωὴν οὐκ ἔχει.

13 Ταῦτα ἔγραψα ὑμῖν τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ ἵνα εἰδῆτε ὅτι ζωὴν αἰώνιον ἔχετε,[6] καὶ ἵνα πιστεύητε εἰς τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ.[7]

Our confidence

14 Καὶ αὕτη ἐστὶν ἡ παρρησία ἣν ἔχομεν πρὸς αὐτόν· ὅτι ἐάν τι αἰτώμεθα κατὰ τὸ θέλημα αὐτοῦ, ἀκούει ἡμῶν. **15** Καὶ ἐὰν οἴδαμεν ὅτι ἀκούει ἡμῶν, ὃ ἐὰν[8] αἰτώμεθα, οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα ἃ ᾐτήκαμεν παρ᾽[9] αὐτοῦ.

Sins not leading to death

16 Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωὴν τοῖς ἁμαρτάνουσιν μὴ πρὸς θάνατον. Ἔστιν ἁμαρτία πρὸς θάνατον· οὐ περὶ ἐκείνης λέγω ἵνα ἐρωτήσῃ.[10] **17** Πᾶσα ἀδικία ἁμαρτία ἐστίν, καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον.

18 Οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ οὐχ ἁμαρτάνει· ἀλλ᾽ ὁ γεννηθεὶς ἐκ τοῦ Θεοῦ τηρεῖ ἑαυτόν,[11] καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ.

19 Οἴδαμεν ὅτι ἐκ τοῦ Θεοῦ ἐσμεν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται.

Conclusion

5:20 Οἴδαμεν δὲ[12] ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει καὶ δέδωκεν[13] ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν[14] τὸν Ἀληθινόν·[15] καί ἐσμεν ἐν τῷ Ἀληθινῷ, ἐν τῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. Οὗτός ἐστιν ὁ ἀληθινὸς

---

[1] μαρτυρουντες **f**[35] ℵ,A,B (99%) RP,HF,CP,NU ¦ 1 εν τω ουρανω ο πατηρ ο λογος και το αγιον πνευμα και ουτοι οι τρεις εν εισεν και τρεις εισιν οι 1 εν τη γη (1%) OC,TR—the (1%) breaks down like this: (61) [16th], (629) [14th], (918) [16th], 2318 [18th], 2473 [17th], wherein the cursives in ( ) all differ from each other; the two that agree verbatim with TR were probably copied from it. The only one that is clearly early enough to have served as TRs exemplar, 629, is far too different—it lacks the seven last words in TR, omits another five, changes five and adds two—19 out of 40 words is too much. (OC is in very small print.)

[2] ην **f**[35] [91%] RP,HF,OC,TR,CP ¦ οτι ℵA,B [9%] NU

[3] εαυτω **f**[35] ℵ [48%] TR,CP,NU ¦ αυτω A,B [52%] RP,HF,OC,N-A[28]

[4] θεω *rell* ¦ υιω A [11%]

[5] ο θεος ημιν **f**[35] B [24%] CP ¦ ~ 312 ℵA [76%] RP,HF,OC,TR,NU

[6] τοις πιστευουσιν εις το ονομα του υιου (−του υιου 2.5%) του θεου ινα ειδητε (ιδητε 7%) οτι ζωην αιωνιον εχετε (εχητε 7%) (εχετε αιωνιον 2.5% TR) **f**[35] (89.9%) RP,HF,OC(TR)CP ¦ ινα ειδητε οτι ζωην εχετε αιωνιον (αιωνιον εχετε ℵ) οι πιστευοντες (τοις πιστευουσιν ℵB 1% NU) εις το ονομα του υιου του θεου ℵA,B (3.8%) (NU) ¦ τοις πιστευουσιν εις το ονομα του υιου του θεου (4.7%) ¦ ινα ειδητε οτι ζωην εχετε αιωνιον (1.6%)

[7] και ινα πιστευητε (πιστευσητε 10.2%, πιστευετε 2.4%) εις το ονομα του υιου του θεου **f**[35] (90.3%) RP,HF,OC,TR,CP ¦ --- ℵA,B (4.4%) NU ¦ part of a larger lacuna (5.2%) (The longer form does seem to be awkward—more than sufficient stimulus for Alexandrian editors to delete.)

[8] εαν **f**[35] ℵ [86%] RP,HF,CP,NU ¦ αν A,B [13%] OC,TR ¦ --- [1%]

[9] παρ **f**[35] A [95%] RP,HF,OC,TR,CP ¦ απ ℵB [4%] NU ¦ --- [1%]

[10] ερωτηση *rell* ¦ ερωτησει [13%] ¦ ερωτησητε [1%]

[11] εαυτον **f**[35] ℵ [92%] RP,HF,OC,TR,CP,*ECM*,N-A[28] ¦ αυτον A,B [8%] NU

[12] οιδαμεν δε *rell* ¦ ~ και 1 A [15%] ¦ 1 [11%]

[13] δεδωκεν *rell* ¦ εδωκεν A [15%]

[14] γινωσκωμεν **f**[35] [66%] RP,HF,OC,TR,CP,NU ¦ γινωσκομεν ℵA,B [34%]

[15] αληθινον *rell* ¦ 1 θεον A [24%]

Θεός, καὶ ἡ ζωὴ ἡ[1] αἰώνιος. **21** Τεκνία, φυλάξατε ἑαυτοὺς[2] ἀπὸ τῶν εἰδώλων. Ἀμήν.[3,4]

[1] η ζωη η **f**[35] [60%] HF ¦ 2 ℵA,B [26%] RP,OC,CP,NU ¦ 12 [6%] TR ¦ 23 [4%] ¦ --- [4%] (The omission of the second article could be an easy case of homoioteleuton. Why the 'Alexandrians' omitted the first article is hard to say, but that doesn't make them right.)

[2] εαυτους **f**[35] A,048 [75%] HF,OC,TR,CP ¦ εαυτα ℵB [25%] RP,NU

[3] αμην **f**[35] (82%) RP,HF,OC,TR,CP ¦ --- ℵA,B (18%) NU

[4] The citation of f35 is based on forty-four MSS—18, 35, 141, 149, 201, 204, 328, 386, 394, 432, 604, 664, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1754, 1761, 1768, 1855, 1858, 1864, 1865, 1876, 1892, 1897, 2221, 2352, 2431, 2466, 2554, 2587, 2626 and 2723—all of which I collated myself. 204, 824, 1100, 1858 and 2554 are very pure representatives of f35 in 1 John, with not a single variant, and so for the exemplars of 35, 1503, 1637, 1725, 1732, 1864, 1865, 1897 and 2723. For 204, 824, 1100, 1858 and 2554 to have no variants after all the centuries of transmission is surely an eloquent demonstration of the faithfulness and accuracy of that transmission. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Athens, Meteora, Sparta, Ochrida, Mt. Athos [nine different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

ECM collated 132 continuous text manuscripts (MSS) for 1 John, including some fragments, which number represents about 20% of the extant (known) MSS. By a careful comparison of *TuT* and *ECM* I believe we can arrive at some reasonably close extrapolations. Thus I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error will hardly exceed ±2%; where there is some division among the Byzantine witnesses the margin of error will rarely exceed ±10%. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

ΙΩΑΝΝΟΥ Β΄

Salutation

1 Ὁ πρεσβύτερος, ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ—καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν—**2** διὰ τὴν ἀλήθειαν,[1] τὴν μένουσαν ἐν ἡμῖν καὶ μεθ᾽ ἡμῶν ἔσται εἰς τὸν αἰῶνα· **3** Ἔσται μεθ᾽ ὑμῶν[2] χάρις, ἔλεος, εἰρήνη παρὰ[3] Θεοῦ Πατρὸς καὶ παρὰ Κυρίου Ἰησοῦ Χριστοῦ,[4] τοῦ Υἱοῦ τοῦ Πατρός, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ.

Walk in Christ's commandments

4 Ἐχάρην λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας[5] ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ Πατρός. **5** Καὶ νῦν ἐρωτῶ σε, κυρία (οὐχ ὡς ἐντολὴν γράφων σοι καινήν,[6] ἀλλ᾽[7] ἣν ἔχομεν[8] ἀπ᾽ ἀρχῆς)· ἵνα ἀγαπῶμεν ἀλλήλους. **6** Καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ—αὕτη ἐστὶν ἡ ἐντολή,[9] καθὼς ἠκούσατε ἀπ᾽ ἀρχῆς, ἵνα[10] ἐν αὐτῇ περιπατῆτε.[11]

Beware of deceivers

7 Ὅτι πολλοὶ πλάνοι εἰσῆλθον[12] εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί—οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος. **8** Βλέπετε ἑαυτούς, ἵνα μὴ ἀπολέσωμεν[13] ἃ εἰργασάμεθα,[14] ἀλλὰ μισθὸν πλήρη[15] ἀπολάβωμεν.[16]

9 Πᾶς ὁ παραβαίνων[17] καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ Θεὸν οὐκ ἔχει· ὁ δὲ[18] μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ,[19] οὗτος καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν ἔχει. **10** Εἴ τις ἔρχεται πρὸς ὑμᾶς καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν· καὶ «Χαίρειν» αὐτῷ μὴ λέγετε·

---

[1] δια την αληθειαν *rell* ¦ --- [10%] [homoioteleuton]

[2] εσται μεθ υμων **f**^{35} [48.5%] OC,CP(AV's TR) ¦ 12 ημων ℵB,0232 [48%] RP,HF,TR,NU ¦ ~ υμιν [1.5%] ¦ --- A [2%] (I imagine that the difficulty arose from the use of the future indicative with the verb 'to be', when the optative or subjunctive would be expected. We expect "may mercy … be with you," not the affirmation that it will be. If "in truth and love" is understood as modifying the pronoun, then the use of the indicative is explained. Anyone who is in truth and love will have grace, mercy and peace. The 2nd person is presumably correct.)

[3] παρα **f**^{35} A,B,048,0232 [80%] RP,HF,OC,TR,NU ¦ απο ℵ [20%] CP

[4] κυριου ιησου χριστου **f**^{35} ℵ (91.6%) RP,HF,OC,TR,CP ¦ 23 A,B,048,0232 (6.2%) NU ¦ ~ 32 (1.2%) ¦ --- (0.8%) (part of a larger omission—homoioteleuton) ¦ one other reading (Is not the reading of the eclectic text inferior?)

[5] περιπατουντας *rell* ¦ περιπατουντα [15%]

[6] γραφων σοι καινην **f**^{35} B (73.8%) RP,HF,OC,CP,N-A^{28} ¦ γραφω 23 (12.9%) TR ¦ ~ 312 ℵA,048 (8.9%) NU ¦ ~ 3 γραφω 2 (3.6%) ¦ four other variants (0.8%)

[7] αλλ **f**^{35} A,048 [85%] ¦ αλλα ℵB [15%] RP,HF,OC,TR,CP,NU

[8] εχομεν **f**^{35} [32%] ¦ ειχομεν (ℵA)B,048 [68%] RP,HF,OC,TR,CP,NU [Understood as part of a parenthetical aside, the present makes good sense; render "(not as though writing a new commandment to you, but one that we have from the beginning)".]

[9] εστιν η εντολη **f**^{35} (ℵ)048 [85%] RP,HF,OC,TR,CP ¦ ~ 231 A,B,0232 [15%] NU

[10] καθως ηκουσατε απ αρχης ινα *rell* ¦ ~ 51234 [20%] ¦ 123451 ℵA,048^{v},0232 [2%]

[11] περιπατητε *rell* ¦ περιπατειτε [15%] ¦ περιπατησητε ℵ

[12] εισηλθον **f**^{35} [82%] RP,HF,OC,TR,CP ¦ εξηλθον (ℵA)B,048,0232 [18%] NU ¦ one other variant

[13] απολεσωμεν **f**^{35} (75.5%) RP,HF,OC,TR,CP ¦ απολεσομεν (5.2%) ¦ απολεσαμεν (0.4%) ¦ απολεσητε A,B,048^{v},0232^{v} (17.1%) NU ¦ απολεσεται (0.4%) ¦ απολητε (0.6%) ¦ απολησθε ℵ (alone) ¦ three other variants (0.6%)

[14] ειργασαμεθα **f**^{35} (B) [82%] RP,HF,OC,TR,NU ¦ 1 καλα [3%] CP ¦ ειργασασθε ℵA,048^{v},0232^{v} [15%]

[15] πληρη *rell* ¦ πληρης [10%]

[16] απολαβωμεν **f**^{35} (76.1%) RP,HF,OC,TR,CP ¦ απολαβομεν (5.2%) ¦ απολαβητε ℵA,B,0232^{v} (17.9%) NU ¦ απολαβετε (0.6%) ¦ one other variant (0.2%)

[17] παραβαινων **f**^{35} (99%) RP,HF,OC,TR,CP ¦ προαγων ℵA,B,048,0232 (1%) NU (Is not the 'Alexandrian' reading inferior?)

[18] δε **f**^{35} [20%] ¦ --- ℵA,B [80%] RP,HF,OC,TR,CP,NU (Would not John, a Jew, be more likely to write the conjunction?)

[19] του χριστου **f**^{35} (89.6%) RP,HF,OC,TR,CP ¦ --- ℵA,B,048 (4.4%) NU ¦ part of a larger omission—homoioteleuton (6%) (The 'Alexandrian' omission agrees nicely with their notions of style.)

11 ὁ γὰρ λέγων[1] αὐτῷ[2] «Χαίρειν» κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

Farewell

12 Πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἐβουλήθην[3] διὰ χάρτου καὶ μέλανος, ἀλλ᾽[4] ἐλπίζω ἐλθεῖν[5] πρὸς ὑμᾶς καὶ στόμα πρὸς στόμα λαλῆσαι, ἵνα ἡ χαρὰ ἡμῶν[6] ᾖ πεπληρωμένη.[7]

13 Ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς. Ἀμήν.[8]

---

[1] γαρ λεγων **f**[35] [93%] RP,HF,OC,TR,CP ¦ ~ 21 ℵA,B,048[v] [5%] NU ¦ 2 [2%]
[2] αυτω *rell* ¦ --- [30%]
[3] εβουληθην **f**[35] ℵA,B,048 [70%] RP,HF,CP,NU ¦ ηβουληθην [30%] OC,TR
[4] αλλ **f**[35] [45%] ¦ αλλα ℵB [45%] RP,HF,OC,TR,CP,NU ¦ ~ γαρ A,048 [9%] ¦ ~ δε [1%]
[5] ελθειν **f**[35] (87.8%) RP,HF,OC,TR,CP ¦ γενεσθαι ℵA,B,048 (12.2%) NU
[6] ημων *rell* ¦ υμων A,B [20%]
[7] η πεπληρωμενη **f**[35] A,048[v] [98.5%] RP,HF,OC,TR,CP,N-A[28] ¦ ~ 21 B [1.5%] NU ¦ ~ 1 ην ℵ
[8] αμην **f**[35] (89.4%) RP,HF,OC,TR,CP ¦ --- ℵA,B,048 (8.8%) NU ¦ η χαρις μετα σου (0.4%) ¦ η χαρις μετα σου 1 (1.4%) [For the list of collated MSS, please see the last footnote in Jude.]

ΙΩΑΝΝΟΥ Γ΄

Salutation

1 Ὁ πρεσβύτερος, Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ.

2 Ἀγαπητέ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ ὑγιαίνειν, καθὼς εὐοδοῦταί σου ἡ ψυχή. **3** Ἐχάρην γὰρ λίαν, ἐρχομένων ἀδελφῶν καὶ μαρτυρούντων σου τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς. **4** Μειζοτέραν τούτων[1] οὐκ ἔχω χαράν, ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν[2] ἀληθείᾳ περιπατοῦντα.

Gaius is commended

5 Ἀγαπητέ, πιστὸν ποιεῖς ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφούς, καὶ εἰς τοὺς[3] ξένους **6** οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας—οὓς καλῶς ποιήσεις προπέμψας ἀξίως τοῦ Θεοῦ, **7** ὑπὲρ γὰρ τοῦ Ὀνόματος[4] ἐξῆλθον, μηδὲν λαμβάνοντες ἀπὸ τῶν ἐθνῶν.[5] **8** Ἡμεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν[6] τοὺς τοιούτους, ἵνα συνεργοὶ γινώμεθα[7] τῇ ἀληθείᾳ.

Diotrephes is criticized

9 Ἔγραψα[8] τῇ ἐκκλησίᾳ, ἀλλ᾽ ὁ φιλοπρωτεύων αὐτῶν Διοτρεφὴς οὐκ ἐπιδέχεται ἡμᾶς. **10** Διὰ τοῦτο, ἐὰν ἔλθω, ὑπομνήσω[9] αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ, λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς. Καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις, οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφούς, καὶ τοὺς βουλομένους κωλύει, καὶ ἐκ[10] τῆς ἐκκλησίας ἐκβάλλει.

Demetrius is commended

11 Ἀγαπητέ, μὴ μιμοῦ τὸ κακόν, ἀλλὰ τὸ ἀγαθόν. Ὁ ἀγαθοποιῶν ἐκ τοῦ Θεοῦ ἐστιν· ὁ δὲ[11] κακοποιῶν οὐχ ἑώρακεν τὸν Θεόν. **12** Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων—καὶ ὑπ᾽[12] αὐτῆς τῆς ἀληθείας. Καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ οἴδαμεν[13] ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστιν.

Farewell

13 Πολλὰ εἶχον γράφειν,[14] ἀλλ᾽ οὐ θέλω διὰ μέλανος καὶ καλάμου σοι γράψαι·[15] **14** ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε,[16] καὶ στόμα πρὸς στόμα λαλήσομεν.[17]

---

[1] τουτων *rell* ¦ ταυτης [10%]

[2] εν **f**^{35} ℵ048^{v} [97%] RP,HF,OC,TR,CP,N-A^{28} ¦ 1 τη A,B,C^{v} [3%] NU

[3] εις τους **f**^{35} (90.1%) RP,HF,OC,TR,CP [2 (1.9%)] ¦ τουτο ℵA,B,C,048 (7.4%) NU ¦ two other variants (0.6%) (Is the reading of the eclectic text not inferior?)

[4] ονοματος *rell* ¦ 1 αυτου [15%] (AV's TR)

[5] εθνων **f**^{35} (88.3%) RP,HF,TR,CP ¦ εθνικων ℵA,B(C)048 (11.7%) OC,NU

[6] απολαμβανειν **f**^{35} (91.8%) RP,HF,OC,TR,CP ¦ υπολαμβανειν ℵA,B,C,048 (7.2%) NU ¦ λαμβανειν (0.6%) ¦ two other variants (0.4%)

[7] γινωμεθα *rell* ¦ γενωμεθα 048 [30%] CP ¦ γινομεθα C [3%]

[8] εγραψα **f**^{35} C [88%] RP,HF,OC,TR,CP ¦ 1 τι ℵA(B) [2%] NU ¦ 1 αν 048 [10%]

[9] υπομνησω *rell* ¦ υπομνησων CP

[10] εκ *rell* ¦ --- ℵ048 [20%]

[11] δε **f**^{35} [25%] TR ¦ --- ℵA,B,C,048 [75%] RP,HF,OC,CP,NU (Would not John, a Jew, be more likely to write the conjunction?)

[12] ὑπ **f**^{35} A,B,048 [99%] RP,HF,OC,TR,CP ¦ υπο ℵC [1%] NU

[13] οιδαμεν **f**^{35} (23%) CP ¦ οιδατε (61.5%) RP,HF,OC,TR ¦ οιδας ℵA,B,C,048 (15.1%) NU ¦ οιδα (0.4%) (Soden mentions **K**^{r} once in 2 John but not at all in 3 John, when he definitely should have. In 3 John 12 *TuT* lists **ALL** 78 basic **f**^{35} MSS (±0 to ±3) for οιδαμεν, but Soden does not mention **K**^{r} in support of this variant. Since he doesn't mention **K**^{r} anywhere in 3 John, we should not trust his silence. The first person was unexpected and was changed to the expected second person—in the context I would say that the singular is a 'better' correction than the plural.)

[14] γραφειν **f**^{35} [85%] RP,HF,OC,TR,CP ¦ γραψαι σοι ℵA,B,C(048^{v}) [11%] NU ¦ 1 σοι [4%]

[15] σοι γραψαι **f**^{35} [85%] RP,HF,OC,TR,CP ¦ 1 γραφειν ℵB,C [3%] NU ¦ ~ γραφειν 1 A,048 [8%] ¦ ~ 21 [4%]

[16] ιδειν σε **f**^{35} ℵ (95%) RP,HF,OC,TR,CP ¦ ~ 21 A,B,C,048 (4.8%) NU ¦ 1 (0.2%)

[17] λαλησομεν *rell* ¦ λαλησωμεν [20%] ¦ λαλησαι [1%] ¦ λαλησαι σοι [2%]

15 Εἰρήνη σοι. Ἀσπάζονταί σε οἱ φίλοι. Ἄσπάζου τοὺς φίλους κατ᾽ ὄνομα.[1]

[1] ονομα *rell* ¦ 1 αμην [13%] CP [For the list of collated MSS, please see the last footnote in Jude.]

ΙΟΥΔΑ

Salutation

1 Ἰούδας, Ἰησοῦ Χριστοῦ[1] δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν Θεῷ Πατρὶ ἡγιασμένοις[2] καὶ Ἰησοῦ Χριστῷ[3] τετηρημένοις, κλητοῖς· **2** Ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη.

Why he is writing

3 Ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας,[4] ἀνάγκην ἔσχον γράψαι ὑμῖν παρακαλῶν ἐπαγωνίζεσθαι τῇ[5] ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. **4** Παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρῖμα· ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν χάριν[6] μετατιθέντες εἰς ἀσέλγειαν καὶ τὸν μόνον Δεσπότην Θεόν, καὶ[7] Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἀρνούμενοι.

Examples from ancient history

5 Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς[8] ἅπαξ τοῦτο, ὅτι ὁ Κύριος[9] λαὸν ἐκ γῆς Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν. **6** Ἀγγέλους τε[10] τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν, ἀλλ'[11] ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν. **7** Ὡς Σόδομα καὶ Γόμορρα, καὶ αἱ περὶ αὐτὰς πόλεις—τὸν ὅμοιον τούτοις τρόπον[12] ἐκπορνεύσασαι καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας—πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην ὑπέχουσαι.

Evil men are in the church

8 Ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσιν, κυριότητα δὲ ἀθετοῦσιν, δόξας δὲ βλασφημοῦσιν. **9** Ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος—διελέγετο περὶ τοῦ Μωσέως[13] σώματος—οὐκ ἐτόλμησεν κρίσιν ἐπενεγκεῖν[14] βλασφημίας, ἀλλ'[15] εἶπεν, «Ἐπιτιμήσαι σοι[16] Κύριος.» **10** Οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασιν βλασφημοῦσιν, ὅσα δὲ φυσικῶς ὡς τὰ ἄλογα ζῷα ἐπίστανται—ἐν τούτοις φθείρονται. **11** Οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ

---

[1] ιησου χριστου **f**[35] **𝔓**[72]א,A,B (65.2%) RP,HF,OC,TR,NU ¦ ~ 21 (34.4%) CP ¦ 2 (0.4%)

[2] ηγιασμενοις **f**[35] (90.8%) RP,HF,OC,TR,CP ¦ αγαπημενοις **𝔓**[72]א,A,B (9.2%) NU [Is the Alexandrian variant not inferior?]

[3] χριστω rell ¦ χριστου (26.8%) ¦ --- (3%)

[4] σωτηριας **f**[35] (85.2%) RP,HF,OC,TR,CP ¦ ημων 1 **𝔓**[72]A,B (10.6%) NU ¦ υμων 1 (2.6%) ¦ ημων ζωης (0.4%) ¦ υμων ζωης (0.4%) ¦ ημων 1 και ζωης א (0.4%) ¦ two others (0.4%) ¦ א has a conflation [The addition of the pronoun was a 'natural', but not necessary.]

[5] τη rell ¦ --- CP

[6] χαριν **f**[35] אC (99.2%) RP,HF,OC,TR,CP ¦ χαριτα **𝔓**[72]A,B (0.8%) NU [Another inferior Alexandrian variant; the proper form of the accusative is χαριν, occurring over 40 times in the NT. Χαριτα occurs only as an Alexandrian variant and even so only here and in Acts 24:27 (where they just dropped the sigma).]

[7] χαριν **f**[35] אC (99.2%) RP,HF,OC,TR,CP ¦ χαριτα **𝔓**[72]A,B (0.8%) NU [Another inferior Alexandrian variant; the proper form of the accusative is χαριν, occurring over 40 times in the NT. Χαριτα occurs only as an Alexandrian variant and even so only here and in Acts 24:27 (where they just dropped the sigma).]

[8] υμας **f**[35] אB (81.2%) RP,HF,OC,TR,CP,[N]U ¦ --- **𝔓**[72]A,C (17.2%) ¦ ημας (1.6%) (N-A uses brackets, but UBS does not [corrected in the 4th ed.].)

[9] απαξ τουτο οτι ο κυριος **f**[35] (79.4%) RP,HF,OC,TR,CP ¦ 1235 (4.8%) ¦ ~ 21345 (5.4%) ¦ 1234 θεος (0.6%) ¦ ~ παντα 3451 (3%) [NU] ¦ ~ παντα 351 א (0.4%) ¦ ~ παντα 34 ιησους 1 (0.4%) ¦ ~ παντα 3 ιησους 1 (2%) ¦ ~ παντα 34 θεος 1 (1.2%) ¦ 1 παντα 3 ιησους A,B (0.8%) N-A[28] ¦ 1 παντα 34 θεος (1%) ¦ 1 παντα 3 θεος χριστος **𝔓**[72] ¦ five other variants (1%) [The Alexandrians really had fun with this one.]

[10] τε rell ¦ δε A (10.2%)

[11] αλλ **f**[35] C [50%] ¦ αλλα **𝔓**[72]א,A,B [50%] RP,HF,OC,TR,CP,NU

[12] τουτοις τροπον **f**[35] (88.6%) RP,HF,OC,TR,CP ¦ ~ 21 **𝔓**[72]א,A,B,C (9%) NU ¦ 1 (0.4%) ¦ 2 (1.6%) ¦ --- (0.4%)

[13] μωσεως **f**[35] A (60%) HF,OC,TR ¦ μωυσεως **𝔓**[72]אB,C (38.8%) RP,NU ¦ μωυσεος CP ¦ ambiguous (1.2%)

[14] επενεγκειν rell ¦ υπενεγκειν (11.4%) ¦ εξενεγκειν (0.4%)

[15] αλλ rell ¦ αλλα **𝔓**[72]A,B (1%) NU

[16] σοι rell ¦ σε (4.4%) CP

ἀπώλοντο.

12 Οὗτοί εἰσιν[1] ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες, συνευωχούμενοι ἀφόβως,[2] ἑαυτοὺς ποιμαίνοντες· νεφέλαι ἄνυδροι, ὑπὸ ἀνέμων παραφερόμεναι·[3] δένδρα φθινοπωρινά, ἄκαρπα, δίς ἀποθανόντα[4] (ἐκριζωθέντα)· **13** κύματα ἄγρια θαλάσσης, ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας· ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς[5] αἰῶνα τετήρηται.

14 Προεφήτευσεν δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδάμ, Ἐνώχ,[6] λέγων· «Ἰδού, ἦλθεν Κύριος ἐν ἁγίαις μυριάσιν[7] αὐτοῦ **15** ποιῆσαι κρίσιν κατὰ πάντων καὶ ἐλέγξαι[8] πάντας τοὺς ἀσεβεῖς[9] αὐτῶν[10] περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν, καὶ περὶ πάντων τῶν σκληρῶν[11] ὧν ἐλάλησαν κατ᾽ αὐτοῦ—ἁμαρτωλοὶ ἀσεβεῖς.» **16** Οὗτοί εἰσιν γογγυσταί, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας ἑαυτῶν[12] πορευόμενοι· καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα ὠφελείας χάριν.

Exhortation

17 Ὑμεῖς δέ, ἀγαπητοί, μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· **18** ὅτι ἔλεγον ὑμῖν ὅτι[13] ἐν ἐσχάτῳ χρόνῳ[14] ἔσονται ἐμπαῖκται κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας[15] πορευόμενοι τῶν ἀσεβειῶν. **19** Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες,[16] ψυχικοί, πνεῦμα μὴ ἔχοντες.

20 Ὑμεῖς δέ, ἀγαπητοί, τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτούς,[17] ἐν Πνεύματι Ἁγίῳ προσευχόμενοι,[18] **21** ἑαυτοὺς ἐν ἀγάπῃ Θεοῦ τηρήσατε, προσδεχόμενοι τὸ ἔλεος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ζωὴν αἰώνιον.

22 Καὶ οὓς μὲν ἐλεεῖτε,[19] διακρινόμενοι·[20]

---

[1] εισιν **f**[35] ℵ (85.4%) RP,HF,OC,TR,CP ¦ 1 οι **𝔓**[72]A,B (14.6%) NU [Is the Alexandrian variant not inferior?]

[2] αφοβως rell ¦ υμιν 1 C (12.2%) CP

[3] παραφερομεναι **f**[35] ℵA,C (87.6%) RP,HF,OC,CP,NU ¦ παραφερομενοι **𝔓**[72]B (3.8%) ¦ περιφερομεναι (4.6%) TR ¦ φερομεναι (3%) ¦ four other variants (1%)

[4] αποθανοντα rell ¦ 1 και (15.8%)

[5] εις **f**[35] **𝔓**[72]ℵA,B,C (65%) RP,HF,CP,NU ¦ 1 τον (35%) OC,TR

[6] ἐνωχ **f**[35] [70%] OC,TR,CP ¦ ἑνωχ [30%] RP,HF,NU

[7] αγιαις μυριασιν **f**[35] A,B (90.2%) RP,HF,OC,CP,NU ¦ ~ 21 C (5.2%) TR ¦ 12 αγγελων (2%) ¦ ~ 2 αγιων αγγελων ℵ (2%) ¦ αγιων αγγελων 2 **𝔓**[72] ¦ two other variants (0.4%)

[8] ελεγξαι **f**[35] **𝔓**[72]ℵA,B,C (89.6%) RP,HF,OC,CP,NU ¦ εξελεγξαι (10.4%) TR

[9] παντας τους ασεβεις **f**[35] A,B,C (95.8%) RP,HF,OC,TR,CP ¦ 13 (1.4%) ¦ 23 (0.6%) ¦ πασαν ψυχην **𝔓**[72]ℵ1852 (alone) NU ¦ part of a larger omission (1.6%) [The reading chosen by NU is bad. Certain very evil persons have been rather graphically described in verses 4, 8 and 10-13. In verse 14 Jude introduces a prophecy "about these men", the same ones he has been describing, and the quotation continues to the end of verse 15. Verse 16 continues the description of their perversity, but verse 17 draws a clear distinction between them and the believers that Jude is addressing. So, Enoch cannot be referring to "every soul"—the NU reading is clearly wrong, introducing an aberration on the flimsiest of evidence. In fact, Nestle[25] and UBS[2] stayed with the Majority, reading "all the ungodly". UBS[3] changes to "every soul", without comment! Is this not a curious proceeding? The UBS editors reverse an earlier position, following just three MSS and the Sahidic version, and do not even mention it in their apparatus.]

[10] αυτων **f**[35] (80%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**[72]ℵA,B,C (18.2%) NU ¦ part of a larger omission (1.8%)

[11] σκληρων rell ¦ 1 λογων ℵC (14%)

[12] εαυτων **f**[35] C (49.4%) NU ¦ αυτων ℵA,B (49.6%) RP,HF,OC,TR,CP ¦ part of a larger omission **𝔓**[72] (1%)

[13] οτι **f**[35] **𝔓**[72]A,C (98.4%) RP,HF,OC,TR,CP,[N]U ¦ --- ℵB (1.6%) N-A[28]

[14] εν εσχατω χρονω **f**[35] (80.1%) RP,HF,OC,TR,CP ¦ 12 χρονων (0.6%) ¦ 12 τω 3 (1.2%) ¦ επ 23 (0.4%) ¦ επ εσχατου χρονου **𝔓**[72]B,C (1.4%) NU ¦ επ εσχατου του χρονου ℵ(A) (5.2%) ¦ επ εσχατου των χρονων (4.2%) ¦ επ εσχατων των χρονων (5.8%) ¦ three other readings (1%)

[15] εαυτων επιθυμιας rell ¦ αυτων 2 (3.4%) ¦ ~ 21 (5.8%) CP ¦ ~ 2 αυτων ℵ (3.4%) ¦ two other variants (0.6%)

[16] αποδιοριζοντες rell ¦ 1 εαυτους C (18.4%)

[17] τη αγιωτατη υμων πιστει εποικοδομουντες εαυτου **f**[35] (79.8%) RP,HF,OC,TR ¦ 12 ημων 456 (5.6%) CP ¦ 12456 (1.2%) ¦ ~ 561234 ℵA,B (10.2%) NU ¦ ~ 5612 ημων 4 C (3%) ¦ ~ 1 εαυτων 24 ανοικοδομεισθε **𝔓**[72]

[18] προσευχομενοι rell ¦ 1 εαυτοις **𝔓**[72] (10%) (basically this same group omits the immediately following εαυτους)

[19] ελεειτε **f**[35] (89.8%) RP,HF,OC,TR,CP ¦ ελεατε ℵB (2%) NU ¦ ελεγχετε A,C (8%) ¦ --- (**𝔓**[72])

[20] διακρινομενοι **f**[35] (89.8%) RP,HF,OC,TR,CP ¦ διακρινομενους (**𝔓**[72])ℵA,B,C (10.2%) NU [If the accusative were

23 οὓς δὲ ἐν φόβῳ σῴζετε, ἐκ πυρὸς ἁρπάζοντες,[1] μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα.

Doxology

24 Τῷ δὲ δυναμένῳ φυλάξαι αὐτοὺς[2] ἀπταίστους,[3] καὶ στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει—**25** μόνῳ σοφῷ[4] Θεῷ,[5] Σωτῆρι ἡμῶν,[6] δόξα καὶ[7] μεγαλωσύνη, κράτος καὶ ἐξουσία,[8] καὶ[9] νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας. Ἀμήν.[10]

---

original, who would change it to nominative? Why? The Alexandrians either didn't understand, or didn't like, the original nominative and changed it to suit.]

[1] εν φοβω σωζετε εκ (+του 10.4% OC,TR,CP) πυρος αρπαζοντες **f**[35] (81%) RP,HF(OC,TR,CP) ¦ ~ 345612 C (2%) ¦ 3456 (1.4%) ¦ ~ 3456 ους δε ελεατε (ελεειτε 1.6%; ελεγχετε 3.6%) 12 ℵA,B (10.4%) NU ¦ a variety of conflations (4.4%) ¦ four other variants **𝔓**[72] (1%) (OC is in small print.) [Is the Alexandrian variant not inferior?]

[2] αυτους **f**[35] (67.6%) RP,HF,OC,TR,CP ¦ υμας ℵB(C) (29.8%) (the AV's TR)NU ¦ ημας A (1%) ¦ --- (1.4%) ¦ --- **𝔓**[72] is wild (Virtually all versions in English read 'you', but in the context 'them' makes good sense. Jude is assuring his readers that it is worth the effort to snatch people from the very jaws of hell (v. 23), because God is able to secure them (one's natural tendency would be to doubt that). In commenting the parable of the lost sheep, the Lord Jesus affirmed that "there will be more joy in heaven over one sinner who repents than over ninety-nine just persons who need no repentance." It seems that God gets special pleasure out of cheating the Lake. If υμας were original, who would change it to αυτους?)

[3] απταιστους rell ¦ 1 και ασπιλους C (11.4%) ¦ --- **𝔓**[72] is wild

[4] σοφω **f**[35] (92%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**[72]ℵA,B,C (8%) NU [Is the Alexandrian variant not inferior?]

[5] θεω rell ¦ --- (5.6%) CP

[6] ημων **f**[35] (78.4%) RP,HF,OC,TR,CP ¦ 1 δια ιησου χριστου του κυριου 1 (**𝔓**[72])ℵA^{v},B,C (21.6%) NU

[7] και **f**[35] **𝔓**[72] (88%) RP,HF,OC,TR,CP ¦ --- ℵA,B,C (12%) NU

[8] εξουσια **f**[35] (78.8%) RP,HF,OC,TR,CP ¦ 1 προ παντος του αιωνος ℵA,B,C (13%) NU ¦ 1 προ παντος αιωνος (8%) ¦ --- **𝔓**[72] [Is not the Alexandrian gloss obviously infelicitous?]

[9] και rell ¦ --- (12.1%)

[10] The citation of **f**[35] for 2 & 3 John and Jude is based on forty-seven MSS—18, 35, 141, 149, 201, 204, 328, 386, 394, 432, 444, 604, 664, 757, 824, 928, 986, 1072, 1075, 1100, 1247, 1248, 1249, 1503, 1548, 1628, 1637, 1725, 1732, 1754, 1761, 1768, 1855, 1858, 1864, 1865, 1876, 1892, 1897, 2221, 2352, 2431, 2466, 2554, 2587, 2626 and 2723—all of which I collated myself. 141, 204, 386, 824, 928, 1072, 1075, 1100, 1637, 1855, 1864, 2221, 2554 and 2723 are very pure representatives of **f**[35] in these three books, with not a single variant, and so for the exemplars of fourteen others. For all those MSS to have no variants after all the centuries of transmission is surely an eloquent demonstration of the faithfulness and accuracy of that transmission. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Athens, Meteora, Sparta, Ochrida, Mt. Athos [nine different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

For Jude I used Tommy Wasserman's complete collation of over 500 MSS (*The Epistle of Jude: Its Text and Transmission*, Almqvist & Wiksell International, 2006), so I imagine the percentages given are very close to the true picture. For 2&3 John I used *ECM*, extrapolating from a comparison with *TuT*, which presumably allows a reasonably close approximation. So I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±10%. However, I guarantee the witness of **f**[35], that represents around 17% of the total of extant MSS for these books. Please see the last footnote for Matthew for further information.

ΑΠΟΚΑΛΥΨΙΣ

Introduction

1:1 Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ Θεὸς δεῖξαι τοῖς δούλοις αὐτοῦ—ἃ δεῖ γενέσθαι ἐν τάχει. Καὶ ἐσήμανεν, ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ, **2** ὃς ἐμαρτύρησεν τὸν λόγον τοῦ Θεοῦ, καὶ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ—ὅσα[1] εἶδεν, καὶ ἅτινά εἰσιν καὶ ἃ χρὴ γενέσθαι μετὰ ταῦτα.[2] **3** Μακάριος ὁ ἀναγινώσκων καὶ οἱ ἀκούοντες τοὺς λόγους τῆς προφητείας, καὶ τηροῦντες τὰ ἐν αὐτῇ γεγραμμένα· ὁ γὰρ καιρὸς ἐγγύς.

4 Ἰωάννης, ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ· Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ[3] ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, καὶ ἀπὸ τῶν ἑπτὰ Πνευμάτων ἃ ἐστιν[4] ἐνώπιον τοῦ θρόνου αὐτοῦ, **5** καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ ὁ μάρτυς ὁ πιστός, ὁ πρωτότοκος ἐκ[5] τῶν νεκρῶν, καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς.

Τῷ ἀγαπήσαντι[6] ἡμᾶς καὶ λούσαντι[7] ἡμᾶς ἀπὸ[8] τῶν ἁμαρτιῶν ἡμῶν ἐν τῷ αἵματι αὐτοῦ—**6** καὶ ἐποίησεν ἡμᾶς βασιλείαν,[9] ἱερεῖς τῷ Θεῷ καὶ Πατρὶ αὐτοῦ—αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

7 Ἰδού, ἔρχεται μετὰ τῶν νεφελῶν, καὶ ὄψεται αὐτὸν πᾶς ὀφθαλμός, καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν. Καὶ κόψονται ἐπ᾽ αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Ναί, ἀμήν.

8 «Ἐγώ εἰμι τὸ Ἄλφα[10] καὶ τὸ Ὦ,»[11] λέγει Κύριος ὁ Θεός,[12] «Ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὁ Παντοκράτωρ.»

John is commissioned

1:9 Ἐγὼ Ἰωάννης, ὁ[13] ἀδελφὸς ὑμῶν καὶ κοινωνὸς[14] ἐν τῇ θλίψει καὶ[15] βασιλείᾳ καὶ ὑπομονῇ ἐν Χριστῷ Ἰησοῦ,[16] ἐγενόμην ἐν τῇ νήσῳ τῇ καλουμένῃ Πάτμῳ διὰ τὸν λόγον τοῦ Θεοῦ καὶ διὰ[17]

---

[1] οσα *rell* ¦ 1 τε **M**^{ept} TR

[2] ειδεν και ατινα εισιν και α (ατινα **M**^{d,e}, −α **M**^{g}) χρη γενεσθαι μετα ταυτα (−μ. τ. **M**^{ept}) **f**^{35} **M**$^{a1⁄6,d,e,g}$ CP ¦ 1 **M**$^{a,b,e1⁄6,f,h,i}$ ℵA,C,RP,HF,OC,NU,TR (The long form has attestation from all three main lines of transmission—**f**^{35} is solid, as are **d-e** and **g**; **h** goes with the bulk of the third line for the short form. ειδεν would be 'He saw', referring to Christ—compare 22:20—He is the one passing on the 'revelation'; the whole book is what Jesus Christ is testifying, as an eye witness; I assume that early copyists missed the point, applying ειδεν to John, but then they couldn't make sense of the full text and so proceeded to omit the awkward parts.) [Since modern critics often reason like early copyists, I suspect that this variant at the outset of the book pre-disposed them against **f**^{35} (=**M**^{c}/**K**^{r}).]

[3] απο **f**^{35} **M**$^{d,e2⁄3,g,hpt}$ 𝔓^{18}ℵA,C,CP,NU ¦ 1 θεου **M**$^{a,b,e1⁄3,fpt,hpt,i}$ RP,HF,OC ¦ 1 του **M**^{fpt} TR (OC is in small print.) (I would say that θεου was added to help the reader make the correct association; see the next note.)

[4] α εστιν **f**^{35} **M**$^{d1⁄4,e,g,hpt,ipt}$ CP,TR ¦ 1 **M**^{a,b,f,hpt,ipt} 𝔓^{18}C,RP,HF,OC,NU ¦ των **M**^{d} ℵA (Render 'the seven-fold Spirit that is'; απο ο ων … και απο των επτα … και απο ιησου … presumably refers to the Trinity, so 'the seven-fold Spirit' refers to the Holy Spirit—if the Godhead can be three in one, why may not the Holy Spirit be seven in one? The grammatical anomaly of a plural subject with a singular verb may have given rise to the other variants.)

[5] εκ **f**^{35} **M**$^{d1⁄4,e}$ CP,TR ¦ --- **M**$^{a,b,d,e1⁄4,f,g,h,i}$ 𝔓^{18}ℵA,C,RP,HF,OC,NU (The figure of death as a huge womb was too strong; by omitting the preposition the interpretation becomes ambiguous; 'firstborn' can receive the derived meaning of 'boss', or whatever. However, the point is precisely that Jesus Christ was the first one to be 'born' from that particular 'womb'—but only the first!)

[6] τω αγαπησαντι **f**^{35} **M**^{d,e} CP,TR ¦ 1 αγαπωντι **M**$^{a,f,gpt(pt),h,ipt(pt)}$ 𝔓^{18}(ℵ)A,C,RP,HF,OC,NU ¦ ος ηγαπησεν **M**^{b}

[7] λουσαντι **f**^{35} **M**$^{a,d1⁄4,ept,f,g,hpt,ipt}$ CP,RP,HF,OC,TR ¦ λυσαντι **M**$^{d,ept,g1⁄4,hpt,ipt}$ 𝔓^{18}ℵA,C,NU ¦ ελουσεν **M**^{b}

[8] απο **f**^{35} **M**$^{a,b,e1⁄4,f,g,i}$ CP,RP,HF,OC,TR ¦ εκ **M**^{d,e,h} 𝔓^{18}ℵA,C,NU

[9] βασιλειαν **f**^{35} **M**$^{a,b,e1⁄6,f,g,h,i}$ 𝔓^{18}ℵA,C,CP,RP,HF,OC,NU ¦ βασιλεις και **M**$^{a1⁄6,d,e}$ TR

[10] αλφα **f**^{35} **M**$^{a,b,d2⁄3,e1⁄3,f,h1⁄4,i}$ ℵA,C,CP,RP,HF,NU ¦ A **M**$^{d1⁄3,e2⁄3,g,h}$ OC,TR

[11] Ω **f**^{35} **M**^{a,f,g,h,ipt} A,C,CP,RP,HF,OC,NU ¦ 1 αρχη και τελος **M**$^{b,e,i1⁄4}$ ℵ,TR ¦ 1 η αρχη και το τελος **M**^{d}

[12] κυριος ο θεος *rell* ¦ ~ 21 TR

[13] ο *rell* ¦ 1 και TR

[14] κοινωνος **f**^{35} **M**$^{a,f,g,h1⁄4,i}$ CP,RP,HF ¦ συγκοινωνος **M**$^{a1⁄6,b,d,e,h,i1⁄4}$ A(ℵC)OC,NU,TR

[15] και **f**^{35} **M**^{a,b,d,f,h,i} ℵA,C,CP,RP,HF,OC,NU ¦ 1 εν τη **M**$^{e,g,i1⁄5}$ TR ¦ 1 εν **M**$^{h1⁄5}$

[16] εν χριστω ιησου **f**^{35} **M**$^{a,b,f,g,h1⁄4,i}$ CP,RP,HF ¦ ~ 132 OC ¦ 12 A ¦ ~ 3 χριστου **M**$^{d,e,h1⁄4}$ TR ¦ 13 **M**^{hpt} ℵC,NU

[17] δια **f**^{35} **M**$^{a,e,fpt,g,h1⁄4,i}$ ℵ,CP,RP,HF,OC,TR ¦ --- **M**^{b,d,fpt,h} A,C,NU

τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ.[1] **10** Ἐγενόμην ἐν πνεύματι ἐν τῇ Κυριακῇ ἡμέρᾳ καὶ ἤκουσα φωνὴν ὀπίσω μου, μεγάλην[2] ὡς σάλπιγγος, **11** λεγούσης,[3] «Ὃ βλέπεις γράψον εἰς βιβλίον καὶ πέμψον ταῖς ἑπτὰ[4] ἐκκλησίαις·[5] εἰς Ἔφεσον καὶ εἰς Σμύρναν καὶ εἰς Πέργαμον καὶ εἰς Θυάτειρα[6] καὶ εἰς Σάρδεις καὶ εἰς Φιλαδέλφειαν[7] καὶ εἰς Λαοδίκειαν.» **12** Καὶ ἐκεῖ[8] ἐπέστρεψα βλέπειν τὴν φωνὴν ἥτις ἐλάλει[9] μετ᾽ ἐμοῦ. Καὶ ἐπιστρέψας εἶδον ἑπτὰ λυχνίας χρυσᾶς, **13** καὶ ἐν μέσῳ τῶν ἑπτὰ[10] λυχνιῶν ὅμοιον υἱῷ[11] ἀνθρώπου, ἐνδεδυμένον ποδήρη καὶ περιεζωσμένον πρὸς τοῖς μαζοῖς[12] ζώνην χρυσῆν.[13] **14** Ἡ δὲ κεφαλὴ αὐτοῦ, καὶ αἱ τρίχες, λευκαὶ ὡσεὶ[14] ἔριον, λευκὸν ὡς χιών· καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός· **15** καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ, ὡς ἐν καμίνῳ πεπυρωμένοι·[15] καὶ ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ ὑδάτων πολλῶν· **16** καὶ ἔχων ἐν τῇ δεξιᾷ χειρὶ αὐτοῦ[16] ἀστέρας ἑπτά, καὶ ἐκ τοῦ στόματος αὐτοῦ ῥομφαία δίστομος ὀξεῖα ἐκπορευομένη· καὶ ἡ ὄψις αὐτοῦ ὡς ὁ[17] ἥλιος φαίνει ἐν τῇ δυνάμει αὐτοῦ.

17 Καὶ ὅτε εἶδον αὐτὸν ἔπεσα[18] πρὸς τοὺς πόδας αὐτοῦ ὡς νεκρός. Καὶ ἐπέθηκεν[19] τὴν δεξιὰν αὐτοῦ χεῖρα[20] ἐπ᾽ ἐμὲ λέγων·[21] «Μὴ φοβοῦ. Ἐγώ εἰμι ὁ Πρῶτος καὶ ὁ Ἔσχατος, **18** καὶ ὁ ζῶν— καὶ ἐγενόμην νεκρός, καὶ ἰδού, ζῶν εἰμι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν·[22] καὶ ἔχω τὰς κλεῖς[23] τοῦ Θανάτου καὶ τοῦ Ἅδου.[24] **19** Γράψον οὖν[25] ἃ εἶδες, καὶ ἅ εἰσιν, καὶ ἃ μέλλει γενέσθαι[26] μετὰ ταῦτα. **20** Τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων ὧν[27] εἶδες ἐπὶ τῆς δεξιᾶς μου, καὶ τὰς ἑπτὰ λυχνίας τὰς χρυσᾶς· οἱ ἑπτὰ ἀστέρες ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν εἰσιν, καὶ αἱ ἑπτὰ λυχνίαι[28] ἃς εἶδες ἑπτὰ[29] ἐκκλησίαι εἰσίν.

---

[1] χριστου **f**^{35} **M**^{a,b,dpt,e⅔,f,g,i} CP,RP,HF,OC,TR ¦ --- **M**^{dpt,e⅓,h} ℵA,C,NU

[2] φωνην οπισω μου μεγαλην **f**^{35} **M**^{a,b,f,g,h¼,i} CP,RP,HF,OC ¦ ~ 2314 **M**^{d,e,h} ℵC,NU,TR ¦ ~ 1423 (A)[7 other mss]

[3] λεγουσης **f**^{35} **M**^{a,b,d,e⅙,f,h,i} ℵA,C,CP,RP,HF,OC,NU ¦ 1 εγω το A και το Ω ο πρωτος και ο εσχατος και **M**$^{e,(g)}$ TR

[4] επτα *rell* ¦ --- TR

[5] εκκλησιαις *rell* ¦ 1 ταις εν ασια TR

[6] εις θυατειρα *rell* ¦ 1 θυατηρα [16 assorted mss] ¦ 1 θυατειραν **M**^{b⅗,hpt} ¦ 1 θυατιραν A,C ¦ εν θυατειροις **M**^{ept}

[7] εις θυατειρα *rell* ¦ 1 θυατηρα [16 assorted mss] ¦ 1 θυατειραν **M**^{b⅗,hpt} ¦ 1 θυατιραν A,C ¦ εν θυατειροις **M**^{ept}

[8] εκει **f**^{35} **M**^{a,f,g,h¼,i} CP,RP,HF,OC ¦ --- **M**^{b,d,e,h} ℵA,C,NU,TR (It was at that point that he turned.) (OC is in small print.)

[9] ελαλει *rell* ¦ ελαλησεν **M**^{e⅔,g,h⅕} TR ¦ λαλει A ¦ ελαλη [13 assorted mss]

[10] επτα **f**^{35} **M**^{a,b,e¼,f,g,hpt,i} ℵ,CP,RP,HF,OC,TR ¦ --- **M**^{d,e,hpt} A,C,NU

[11] υιω **f**^{35} **M**^{apt,d,e,h,ipt} A,C,CP,RP,OC,TR ¦ υιον **M**^{apt,b,f,g,ipt} ℵ,HF,NU

[12] μαζοις **f**^{35} **M**^{d} A,CP [**M**^{ept} in comm] ¦ μαστοις **M**^{a,b,e,f,h,i} C,RP,HF,OC,NU,TR ¦ μασθοις **M**^{d⅕,e¼,g} ℵ (It is possible that μαζοις was more commonly used of males, and μαστοις of females; since the figure was clothed, the nipples would not be visible, so the point is presumably to give the position of the belt—across the middle of the chest [see 15:6].)

[13] χρυσην *rell* ¦ χρυσαν ℵA,C,NU ¦ three other spellings [6 mss]

[14] ωσει **f**^{35} **M**$^{d,e⅔(⅓),hpt,ipt}$ C,CP,TR ¦ ως **M**^{apt,f,g,hpt,ipt}ℵA,RP,OC,NU ¦ και ως **M**^{apt,b} HF (Since ως occurs twice immediately following, and twice more in the next verse, there may have been an assimilating influence.)

[15] πεπυρωμενοι *rell* ¦ πεπυρωμενης A,C,NU ¦ πεπυρωμενω ℵ[+12 assorted mss] ¦ six further spellings [11 mss]

[16] χειρι αυτου **f**^{35} **M**^{b,d,e⅓,f,hpt,i¼} ℵA,C,CP,OC,NU ¦ ~ 21 **M**^{a,g,h¼,i} RP,HF,TR ¦ 2 **M**$^{e⅓(¼)h⅓}$

[17] ο *rell* ¦ --- **M**^{a⅙,d¼,e⅓,g¼,h⅓}

[18] επεσα **f**^{35} **M**^{a⅗,b,e⅔,g,hpt,ipt} ℵA,C,CP,RP,HF,OC,NU,TR ¦ επεσον **M**^{a⅖,d,e⅓,f,hpt,ipt}

[19] επεθηκεν **f**^{35} **M**^{d,e,h¼} ℵ,CP,TR ¦ εθηκεν **M**^{a,b,f,g,h,i} A,C,RP,HF,OC,NU

[20] χειρα **f**^{35} **M**^{d,e} CP,OC,TR ¦ --- **M**^{a,b,f,g,h,i} ℵA,C,RP,HF,NU (OC is in small print.)

[21] λεγων *rell* ¦ 1 μοι **M**^{e⅖} TR

[22] αμην **f**^{35} **M**^{a,b,d,e⅓,f,g,hpt,i} CP,RP,HF,TR ¦ --- **M**^{e⅔,hpt} ℵA,C,OC,NU

[23] κλεις **f**^{35} **M**^{a⅓,b,d,e,g,h⅔,ipt} (A,C),RP,OC,NU,TR ¦ κλειδας **M**^{a,e⅙,f,h⅓,ipt} ℵ,CP,HF

[24] θανατου και του αδου **f**^{35} **M**^{a,b,d⅓,ept,f,g,h,i} ℵA,C,CP,RP(HF)OC,NU ¦ ~ 4231 **M**^{d⅔,ept,h¼} TR

[25] ουν r*ell* ¦ --- **M**^{e⅖} TR

[26] γενεσθαι **f**^{35} **M**^{d,ept,fpt,ipt} 𝔓^{98v}ℵC,CP,NU ¦ γινεσθαι **M**^{a,b,ept,fpt,g,h,ipt} RP,HF,OC,TR ¦ γεινεσθαι A

[27] ων **f**^{35} **M**^{a,b,d,f,g,h⅓,i} CP,RP,HF,OC,TR ¦ ους **M**^{d¼,e,h⅔} ℵA,C,NU

[28] αι επτα λυχνιαι **f**^{35} **M**$^{b,d,e⅔(⅓),hpt}$ (ℵ)CP,TR ¦ ~ 1312 **M**^{a,f,g,hpt,i} A(C)RP,HF,OC,NU

[29] ας ειδες επτα **f**^{35}**M**^{a⅙,d,e} CP,TR ¦ 3 **M**^{a,f,g,h,i} ℵA,C,RP,HF,OC,NU ¦ αι 3 **M**^{b,h¼}

The seven letters

To Ephesus

2:1 »Τῷ ἀγγέλῳ τῆς ἐν Ἐφέσῳ[1] ἐκκλησίας γράψον· Τάδε λέγει ὁ κρατῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ, ὁ περιπατῶν ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν· **2** ‹Οἶδα τὰ ἔργα σου, καὶ τὸν κόπον,[2] καὶ τὴν ὑπομονήν σου, καὶ ὅτι οὐ δύνῃ βαστάσαι κακούς. Καὶ ἐπείρασας[3] τοὺς λέγοντας ἑαυτοὺς ἀποστόλους εἶναι[4] καὶ οὐκ εἰσίν, καὶ εὗρες αὐτοὺς ψευδεῖς· **3** καὶ ἐβάστασας καὶ ὑπομονὴν ἔχεις[5] διὰ[6] τὸ ὄνομά μου, καὶ οὐκ ἐκοπίασας.[7]

4 » ›Ἀλλὰ[8] ἔχω κατὰ σοῦ ὅτι τὴν ἀγάπην σου τὴν πρώτην ἀφῆκας.[9] **5** Μνημόνευε οὖν πόθεν ἐκπέπτωκας[10] καὶ μετανόησον, καὶ τὰ πρῶτα ἔργα ποίησον· εἰ δὲ μή, ἔρχομαί σοι ταχὺ[11] καὶ κινήσω τὴν λυχνίαν σου ἐκ τοῦ τόπου αὐτῆς—ἐὰν μὴ μετανοήσῃς. **6** Ἀλλὰ τοῦτο ἔχεις, ὅτι μισεῖς τὰ ἔργα τῶν Νικολαϊτῶν, ἃ κἀγὼ μισῶ.›

7 »Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις. Τῷ νικῶντι δώσω[12] φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, ὅ ἐστιν ἐν μέσῳ τοῦ Παραδείσου[13] τοῦ Θεοῦ μου.[14]

To Smyrna

8 »Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Σμύρνῃ ἐκκλησίας[15] γράψον· Τάδε λέγει ὁ Πρῶτος καὶ ὁ Ἔσχατος, ὃς[16] ἐγένετο νεκρὸς καὶ ἔζησεν· **9** ‹Οἶδά σου τὰ ἔργα καὶ[17] τὴν θλῖψιν καὶ τὴν πτωχείαν (ἀλλὰ πλούσιος[18] εἶ), καὶ τὴν βλασφημίαν[19] τῶν λεγόντων Ἰουδαίους εἶναι ἑαυτοὺς καὶ οὐκ εἰσίν, ἀλλὰ συναγωγὴ τοῦ Σατανᾶ. **10** Μηδὲν φοβοῦ ἃ μέλλεις πάσχειν.[20] Ἰδοὺ δή,[21] μέλλει βαλεῖν[22] ὁ διάβολος ἐξ ὑμῶν[23] εἰς φυλακήν, ἵνα πειρασθῆτε, καὶ ἕξετε θλῖψιν ἡμερῶν[24] δέκα. Γίνου πιστὸς ἄχρι θανάτου καὶ δώσω σοι τὸν στέφανον τῆς ζωῆς.›

11 »Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις. Ὁ νικῶν οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ δευτέρου.

To Pergamos

12 »Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Περγάμῳ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ ἔχων τὴν ῥομφαίαν

---

[1] εν εφεσω *rell* ¦ εφεσινης TR ¦ εφεσιων **M**^{e⅔} ¦ ~ εκκλησιας 2 CP

[2] κοπον **f**^{35} **M**^{d,e¼,i¼} A,C,CP,NU ¦ 1 σου **M**^{a,b,e,f,g,h,i} א,RP,HF,OC,TR

[3] επειρασας *rell* ¦ επειρασω TR

[4] λεγοντας εαυτους αποστολους ειναι *rell* ¦ 123 אA,C[+10 assorted mss]NU ¦ ~ φασκοντας 43 TR

[5] εβαστασας και υπομονην εχεις **f**^{35} **M**$^{d,ept(pt)g,hpt}$ CP,TR ¦ ~ 3421 **M**^{a,b,f,hpt,i} [א]A,C,RP,HF,OC,NU

[6] δια *rell* ¦ και 1 TR

[7] και ουκ εκοπιασας **f**^{35} **M**^{a,b,d,ept,f,gpt,hpt,i} א,CP,RP,HF ¦ 1 ου κεκοπιακες (A)C,NU ¦ 1 ου κεκοπιακας OC ¦ 1 κεκοπιακας **M**^{ept,g⅓} ¦ κεκοπιακας 1 ου κεκμηκας **M**^{hpt} TR

[8] αλλα **f**^{35} **M**^{a,b,f,g¼,h⅓,i⅔} א,CP,RP,HF,OC,NU ¦ αλλ **M**^{b⅓,d,e,g,h⅔,i⅓} A,C,TR

[9] αφηκας *rell* ¦ αφηκες אC,NU

[10] εκπεπτωκας **f**^{35} **M**^{d,e,g,h⅓} CP,TR ¦ πεπτωκας **M**^{a,b,f,h⅔,i} (א)A,C,RP,HF,OC,NU (They had not taken a sudden fall, they had drifted from their moorings, a process so gradual that it may go unnoticed for some time.) [It can happen to us too.]

[11] ταχυ *rell* ¦ --- אA,C[+6 mss]NU ¦ ταχει TR

[12] δωσω **f**^{35} **M**^{e⅓} א,CP ¦ 1 αυτω **M**^{a,b,d,e,f,g,h,i} A,C,RP,HF,OC,NU,TR (The pronoun is redundant.)

[13] μεσω του παραδεισου **f**^{35} **M**^{a⅓,b,d,e,h,i} CP,TR ¦ τω παραδεισω **M**^{a,f,g} (אA,C)RP,HF,OC,NU

[14] μου **f**^{35} **M**^{a,b,f,g,h,i} CP,RP,HF,OC ¦ --- **M**^{d,e,i¼} אA,C,NU,TR

[15] εν σμυρνη εκκλησιας *rell* ¦ 1 σμυρνης 3 A ¦ 1 σμυρνην 3 א^{v} ¦ σμυρναιων 3 **M**^{d⅔} ¦ ~ 3 σμυρναιων TR

[16] ος **f**^{35} **M**^{a¼,b,d,e,f⅗,g,h,i} אA,C,CP,RP,HF,OC,NU,TR ¦ --- **M**^{a,f⅖,h¼}

[17] τα εργα και *rell* ¦ --- A,C,NU

[18] αλλα πλουσιος *rell* ¦ ~ 2 δε TR

[19] βλασφημιαν **f**^{35} **M**^{d,e,g} CP,TR ¦ 1 εκ **M**^{a,b,f,h,i} A,C,RP,HF,OC,NU ¦ 1 την εκ א

[20] πασχειν **f**^{35} **M**^{b,d,e,g,hpt} אA,C,CP,NU,TR ¦ παθειν **M**^{a,f,hpt,i} RP,HF,OC

[21] δη **f**^{35} **M**^{a,e¼,f,i⅔} CP,RP,HF,OC ¦ --- **M**^{b,d,e,g,h,i⅓} אA,C,NU,TR

[22] βαλειν **f**^{35} **M**^{a⅔,d,e⅓,f,g,h,ipt} CP,RP,HF,OC,TR ¦ βαλλειν **M**^{a⅓,b,e⅔,ipt} A(C)NU ¦ βαλλειν βαλιν א

[23] ο διαβολος εξ υμων *rell* ¦ ~ 3412 **M**^{ept} א,TR

[24] ημερων **f**^{35} **M**^{b,d,e,g,hpt} אA,C,CP,RP,NU,TR ¦ ημερας **M**^{a,f,hpt,i} HF,OC

τὴν δίστομον τὴν ὀξεῖαν· **13** ‹Οἶδα τὰ ἔργα σου, καὶ[1] ποῦ κατοικεῖς, ὅπου ὁ θρόνος τοῦ Σατανᾶ. Καὶ κρατεῖς τὸ ὄνομά μου καὶ οὐκ ἠρνήσω τὴν πίστιν μου[2] ἐν ταῖς ἡμέραις ἐν αἷς[3] Ἀντίπας ὁ μάρτυς μου ὁ πιστός,[4] ὃς ἀπεκτάνθη παρ᾽ ὑμῖν, ὅπου ὁ Σατανᾶς κατοικεῖ.[5]

14 »›Ἀλλ᾽[6] ἔχω κατὰ σοῦ ὀλίγα, ὅτι ἔχεις ἐκεῖ κρατοῦντας τὴν διδαχὴν Βαλαάμ, ὃς ἐδίδαξεν[7] τὸν Βαλὰκ[8] βαλεῖν σκάνδαλον ἐνώπιον τῶν υἱῶν Ἰσραήλ,[9] φαγεῖν εἰδωλόθυτα καὶ πορνεῦσαι. **15** Οὕτως ἔχεις καὶ σὺ κρατοῦντας τὴν διδαχὴν τῶν[10] Νικολαϊτῶν ὁμοίως.[11] **16** Μετανόησον·[12] εἰ δὲ μή, ἔρχομαί σοι ταχὺ καὶ πολεμήσω μετ᾽ αὐτῶν ἐν τῇ ῥομφαίᾳ τοῦ στόματός μου.›

17 »Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις. Τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἀπὸ τοῦ μάννα[13] τοῦ κεκρυμμένου. Καὶ δώσω αὐτῷ ψῆφον λευκήν, καὶ ἐπὶ τὴν ψῆφον ὄνομα καινὸν γεγραμμένον, ὃ οὐδεὶς οἶδεν[14] εἰ μὴ ὁ λαμβάνων.

To <u>Thyatira</u>

18 »Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Θυατείροις[15] ἐκκλησίας γράψον· Τάδε λέγει ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ ἔχων τοὺς ὀφθαλμοὺς αὐτοῦ ὡς φλόγα πυρός, καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ· **19** ‹Οἶδά σου τὰ ἔργα—καὶ τὴν ἀγάπην καὶ τὴν πίστιν καὶ τὴν διακονίαν[16]—καὶ τὴν ὑπομονήν σου· καὶ τὰ ἔργα σου[17] τὰ ἔσχατα πλείονα τῶν πρώτων.

20 »›Ἀλλ᾽[18] ἔχω κατὰ σοῦ[19] ὅτι ἀφεῖς[20] τὴν γυναῖκά σου[21] Ἰεζάβελ,[22] ἡ λέγει[23] ἑαυτὴν προφῆτιν καὶ διδάσκει καὶ πλανᾷ τοὺς[24] ἐμοὺς δούλους πορνεῦσαι καὶ φαγεῖν εἰδωλόθυτα.[25] **21** Καὶ ἔδωκα αὐτῇ χρόνον ἵνα μετανοήσῃ, καὶ οὐ θέλει μετανοῆσαι[26] ἐκ τῆς πορνείας αὐτῆς.[27] **22** Ἰδού,[28] βάλλω αὐτὴν εἰς κλίνην, καὶ τοὺς μοιχεύοντας μετ᾽ αὐτῆς εἰς θλῖψιν μεγάλην, ἐὰν μὴ μετανοήσωσιν ἐκ τῶν ἔργων αὐτῆς.[29] **23** Καὶ τὰ τέκνα αὐτῆς ἀποκτενῶ ἐν θανάτῳ· καὶ γνώσονται

---

[1] τα εργα σου και *rell* ¦ ~ 3124 [12 assorted mss] ¦ --- **M**^{hpt} ℵA,C,NU
[2] μου **f**^{35} **M**^{a,b,d,e,f,g,hpt,i} ℵ,CP,RP,HF ¦ 1 και **M**^{hpt} A,C,OC,NU,TR (OC is in small print.)
[3] εν αις **f**^{35} **M**^{b,d,e,g,h⅓} CP,RP,TR ¦ 1 ταις ℵ ¦ 2 **M**^{a,f,h⅓,i} HF,OC ¦ --- **M**^{h⅓} A,C,NU
[4] πιστος *rell* ¦ 1 μου A,C[+5 mss]NU ¦ 1 οτι πας μαρτυς 1 **M**^{e}
[5] ο σατανας κατοικει *rell* ¦ ~ 312 TR
[6] αλλ **f**^{35} **M**^{a⅙,b,d,e⅔,g,h,ipt} ℵA,C,CP,RP,NU,TR ¦ αλλα **M**^{a,e⅓,f,h¼,ipt} HF,OC
[7] εδιδαξεν **f**^{35} **M**^{a,b,e¼,f,g,h¼,i} CP,RP,HF,OC ¦ εδιδασκεν **M**^{d,e,h} ℵA,C,NU,TR
[8] τον βαλακ **f**^{35} **M**^{a,b,d,e¼,f,g,h,i} CP,RP,HF,OC ¦ τω 2 A(C),NU ¦ εν τω 2 **M**^{ept} TR ¦ εν τω βαλααμ 12 **M**^{e⅓} ¦ --- ℵ [βαλααακ **M**^{a⅙,d⅕,e⅓,fpt,gpt,h⅙,i⅓}]
[9] ισραηλ **f**^{35} **M**^{d,e,h} ℵA,C,CP,NU,TR ¦ 1 και **M**^{a,b,f,gpt,h¼,i} RP,HF,OC ¦ 1 του **M**^{a⅙,gpt}
[10] των **f**^{35} **M**^{a⅓,d,e,g,h,i⅓} ℵ,CP,RP,OC[NU]TR ¦ --- **M**^{a,b,f,i⅔} A,C,HF
[11] ομοιως *rell* ¦ ο μισω TR ¦ ην μισω **M**^{e⅓} ¦ 1 ο μισω **M**^{e⅓} ¦ 1 ην μισω **M**^{e⅙} ¦ --- [4 mss]
[12] μετανοησον **f**^{35} **M**^{d,e⅔,hpt} ℵ,CP,TR ¦ 1 ουν **M**^{a,b,e⅓,f,g,hpt,i} A,C,RP,HF,OC,NU
[13] φαγειν απο του μαννα **f**^{35} **M**^{a⅙,d,e,g,h⅓,i⅓} CP,TR ¦ ~ 341 **M**^{b} ¦ 34 **M**^{a,f,h⅔,i⅔} A,C,HF,OC,NU ¦ 1 εκ 34 ℵ [+10 assorted mss] ¦ 134 [4 mss] RP
[14] οιδεν *rell* ¦ εγνω TR ¦ ειδεν [12 assorted mss]
[15] θυατειροις *rell* ¦ θυατειρη **M**^{a⅓,i¼} ¦ θυατηροις **M**^{d⅔,e⅓,i¼} ¦ θυατιροις A,C ¦ θυατηρη **M**^{g½}
[16] την αγαπην και την πιστιν και την διακονιαν *rell* ¦ 1235678 C[+4 mss] ¦ ~ 18342675 **M**^{e¼} ¦ ~ 12348675 TR ¦ 12345 ℵ[+4 mss]
[17] σου *rell* ¦ 1 και TR
[18] αλλ **f**^{35} **M**^{d,e,f,g,h,ipt} ℵC,CP,RP,TR ¦ αλλα **M**^{a,b,h¼,ipt} A,HF,OC,NU
[19] σου **f**^{35} **M**^{a,b,e⅔,f,g,h,i} A,C,CP,RP,HF,NU ¦ 1 πολυ **M**^{e⅓} ℵ ¦ 1 πολλα **M**^{d} ¦ 1 ολιγα OC,TR
[20] οτι αφεις *rell* ¦ 1 αφιης **M**^{bpt,h¼} ¦ 1 εας TR ¦ 1 αφηκας **M**^{e⅕} ¦ --- **M**^{e⅓}
[21] σου **f**^{35} **M**^{a,b,d,e⅕,f,h¼,i⅔} CP,RP,HF,OC ¦ 1 την A ¦ --- **M**^{e,g,h,i⅓} ℵC,NU,TR ("your wife" is presumably the original; which means that the 'messengers' are men, not angels.)
[22] ιεζαβελ *rell* ¦ ιεζαβηλ TR ¦ ιαζαβελ ℵ
[23] η λεγει **f**^{35} **M**^{a,b,d,f,g,h⅓,i} CP,RP,HF,OC ¦ την λεγουσαν **M**^{e,h⅔} TR ¦ 1 λεγουσα ℵA,C,NU
[24] και διδασκει και πλανα τους *rell* ¦ διδασκειν 3 πλανασθαι TR
[25] φαγειν ειδωλοθυτα *rell* ¦ ~ 21 **M**^{e⅕} TR
[26] και ου θελει μετανοησαι *rell* ¦ 1 ουκ ηθελησεν 4 A ¦ --- **M**^{e,h⅓} ℵ,TR
[27] αυτης *rell* ¦ 1 και ου μετενοησεν **M**^{ept} TR ¦ ταυτης ℵ
[28] ιδου *rell* ¦ 1 εγω TR
[29] αυτης **f**^{35} **M**^{a,b,e⅓,f,g,h,i} ℵC,CP,RP,HF,OC,NU ¦ αυτων **M**^{a⅙,d,e⅔,h¼,i¼} A,TR ("<u>her</u>" works—what is involved here is spiritual adultery.)

πᾶσαι αἱ ἐκκλησίαι ὅτι ἐγώ εἰμι ὁ ἐρευνῶν[1] νεφροὺς καὶ καρδίας, καὶ δώσω ὑμῖν ἑκάστῳ κατὰ τὰ ἔργα ὑμῶν.

24 »›Ὑμῖν δὲ λέγω, τοῖς[2] λοιποῖς τοῖς ἐν Θυατείροις—ὅσοι οὐκ ἔχουσιν τὴν διδαχὴν ταύτην,[3] οἵτινες οὐκ ἔγνωσαν τὰ βαθέα[4] τοῦ Σατανᾶ, ὡς λέγουσιν—οὐ βαλῶ[5] ἐφ᾽ ὑμᾶς ἄλλο βάρος· **25** πλὴν ὃ ἔχετε κρατήσατε ἄχρις[6] οὗ ἂν ἥξω.[7] **26** Καὶ ὁ νικῶν καὶ ὁ τηρῶν ἄχρι τέλους τὰ ἔργα μου, δώσω αὐτῷ ἐξουσίαν ἐπὶ τῶν ἐθνῶν· **27** καὶ ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· ὡς τὰ σκεύη τὰ κεραμικὰ[8] συντριβήσεται[9]—**28** ὡς κἀγὼ εἴληφα παρὰ τοῦ Πατρός μου. Καὶ δώσω αὐτῷ τὸν ἀστέρα τὸν πρωϊνόν.›

29 »Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

To Sardis

3:1 »Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας γράψον· Τάδε λέγει ὁ ἔχων τὰ ἑπτὰ[10] πνεύματα τοῦ Θεοῦ καὶ τοὺς ἑπτὰ ἀστέρας· ‹Οἶδά σου τὰ ἔργα, ὅτι[11] ὄνομα ἔχεις ὅτι[12] ζῇς, καὶ νεκρὸς εἶ. **2** Γίνου γρηγορῶν, καὶ στήρισον[13] τὰ λοιπὰ ἃ ἔμελλες ἀποβαλεῖν,[14] οὐ γὰρ εὕρηκά σου τὰ ἔργα πεπληρωμένα ἐνώπιον τοῦ Θεοῦ μου.[15] **3** Μνημόνευε οὖν πῶς εἴληφας καὶ ἤκουσας, καὶ τήρει[16] καὶ μετανόησον· ἐὰν οὖν μὴ γρηγορήσῃς ἥξω ἐπὶ σὲ[17] ὡς κλέπτης, καὶ οὐ μὴ γνῷς[18] ποίαν ὥραν ἥξω ἐπὶ σέ.

4 »›Ἀλλ᾽[19] ὀλίγα ἔχεις ὀνόματα[20] ἐν Σάρδεσιν ἃ[21] οὐκ ἐμόλυναν τὰ ἱμάτια αὐτῶν· καὶ περιπατήσουσιν μετ᾽ ἐμοῦ ἐν λευκοῖς, ὅτι ἄξιοί εἰσιν. **5** Ὁ νικῶν οὕτως[22] περιβαλεῖται[23] ἐν ἱματίοις λευκοῖς, καὶ οὐ μὴ ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ τῆς Βίβλου τῆς Ζωῆς, καὶ ὁμολογήσω[24] τὸ ὄνομα αὐτοῦ ἐνώπιον τοῦ Πατρός μου καὶ ἐνώπιον τῶν ἀγγέλων αὐτοῦ.›

6 »Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

---

[1] ερευνων *rell* ¦ εραυνων A,C,NU
[2] τοις *rell* ¦ 1 εν א ¦ και TR
[3] ταυτην *rell* ¦ 1 και TR
[4] βαθεα **f**^{35} **M**^{a,b,d¼,f,g,h⅔,i} A,C,CP,RP,HF,OC,NU ¦ βαθη **M**^{d,e,h⅓} א,TR
[5] βαλω **f**^{35} א,TR ¦ βαλλω **M**^{a,b,d,e,f,g,h,i} A,C,CP,RP,HF,OC,NU (Representatives of **M**^{a,d,e,h,i} also have the future.)
[6] αχρις [NU] *rell* ¦ αχρι אC,RP ¦ εως A
[7] αν ηξω **f**^{35} **M**^{a⅛,b,d,e,f⅗,g,h,i} אA,C,CP,RP,HF,OC,NU,TR ¦ ανοιξω **M**^{a,f⅖,g¼,h¼,i¼}
[8] κεραμικα *rell* ¦ κεραμεικα **M**^{a⅓,c⅕,d⅕,e⅙,f⅔,h⅙,i¼}
[9] συντριβησεται **f**^{35} **M**^{a,b,d,ept,f,g⅔,hpt,i} CP,RP,HF,OC ¦ συντριβεται **M**^{d⅕,ept,g⅓,hpt} אA,C,NU,TR
[10] επτα *rell* ¦ --- TR
[11] οτι *rell* ¦ 1 το TR
[12] οτι **f**^{35} **M**^{b,d,e,g,h⅔} אA,C,CP,RP,OC,NU,TR ¦ και **M**^{a,f,h⅓,i} HF
[13] στηρισον **f**^{35} **M**^{apt,f,hpt,ipt} A,C,RP,OC,NU ¦ στηριξον **M**^{a⅛,b,d⅓,e} א,CP,TR ¦ στηριζων **M**^{g} ¦ τηρησον **M**^{a⅓,d⅔} HF (The evidence for στηριζω is overwhelming against τηρεω; the aorist is stronger than the future.)
[14] εμελλες αποβαλειν **f**^{35} (CP) ¦ 1 αποβαλλειν **M**^{apt,f,ipt} RP,HF ¦ ημελλες αποβαλλειν **M**^{apt,e⅓} ¦ εμελλον αποθανειν **M**^{b,ept,hpt} (א)A,C,NU ¦ ημελλεν αποθανειν **M**^{g} ¦ εμελλον αποθνησκειν **M**^{d} OC ¦ μελλει αποθανειν TR (‘throw’ is supported by **f**^{35} **M**^{a,e⅓,f,i} [66%]; ‘die’ is supported by **M**^{b,d,ept,g,hpt} אA,C [33%]; ‘throw away’ was possibly thought to be too harsh, but is presumably correct [the verb controls the person: “they die”; “you throw”]. The atticized form of the imperfect, η- [27%], loses to ε- [72%]. The aorist is supported by **f**^{35} **M**^{b,ept,g,hpt} אA,C; the present is supported by **M**^{a,d,ept,f,i}. Putting it all together, **f**^{35} preserves the correct reading.)
[15] μου *rell* ¦ --- **M**^{e} TR
[16] και ηκουσας και τηρει **f**^{35} **M**^{a⅛,b,d⅓,e,g,h,ipt} אA,C,CP,RP,HF,NU,TR ¦ 124 **M**^{d⅔} ¦ --- **M**^{a,f,h¼,ipt} ¦ 123 τηρεν OC (OC is in small print.)
[17] επι σε **f**^{35} **M**^{a,b,ept,f,g,hpt,i} א,CP,RP,HF,OC,TR ¦ --- **M**^{d,ept,hpt} A,C,NU (OC is in small print.)
[18] γνως **f**^{35} **M**^{d,e,f,gpt,h⅓,ipt} A,C,CP,RP,NU,TR ¦ γνωση **M**^{a,b,gpt,h⅔,ipt} א,HF,OC
[19] αλλ **f**^{35} **M**^{a,b,d,ept,f,g,hpt,i} CP,RP,HF ¦ αλλα **M**^{hpt} אA,C,OC,NU ¦ --- **M**^{ept} TR
[20] ολιγα εχεις ονοματα **f**^{35} **M**^{a,b,ept,fpt,g,h⅓,ipt} CP,RP,HF ¦ ~ 213 **M**^{d,ept,h⅔} (א)A,C,OC,NU ¦ ~ 132 **M**^{fpt,i¼} ¦ ~ 213 και TR
[21] α *rell* ¦ οι **M**^{d,e,h⅓}
[22] ουτως **f**^{35} **M**^{a⅓,hpt,i¼} א(A)C,OC,NU ¦ ουτος **M**^{a⅔,b,c⅕,d,e,f,g,hpt,i} CP,RP,HF,TR (ουτως links ‘white’ in verse 5 to ‘white’ in verse 4—the three ancient versions got it right.)
[23] περιβαλειται *rell* ¦ περιβαλλειται CP ¦ περιβαλλεται C ¦ περιβαλειτε A
[24] ομολογησω *rell* ¦ εξομολογησομαι TR [Compare Matthew 10:32.]

To Philadelphia

7 »Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Φιλαδελφείᾳ[1] ἐκκλησίας γράψον· Τάδε λέγει ὁ Ἅγιος, ὁ Ἀληθινός, ὁ ἔχων τὴν κλεῖν[2] τοῦ[3] Δαυίδ, ὁ ἀνοίγων καὶ οὐδεὶς κλείσει[4] αὐτήν, εἰ μὴ ὁ ἀνοίγων,[5] καὶ οὐδεὶς ἀνοίξει·[6] **8** ‹Οἶδά σου τὰ ἔργα. Ἰδού, δέδωκα ἐνώπιόν σου θύραν ἀνεῳγμένην,[7] ἣν[8] οὐδεὶς δύναται κλεῖσαι αὐτήν· ὅτι μικρὰν ἔχεις δύναμιν καὶ ἐτήρησάς μου τὸν λόγον καὶ οὐκ ἠρνήσω τὸ ὄνομά μου. **9** Ἰδού, δίδωμι[9] ἐκ τῆς συναγωγῆς τοῦ Σατανᾶ, τῶν λεγόντων ἑαυτοὺς Ἰουδαίους εἶναι καὶ οὐκ εἰσίν, ἀλλὰ ψεύδονται—ἰδού, ποιήσω αὐτοὺς ἵνα ἥξουσιν[10] καὶ προσκυνήσωσιν[11] ἐνώπιον τῶν ποδῶν σου καὶ γνῶσιν ὅτι[12] ἠγάπησά σε. **10** Ὅτι ἐτήρησας τὸν λόγον τῆς ὑπομονῆς μου, κἀγώ σε τηρήσω ἐκ τῆς ὥρας τοῦ πειρασμοῦ τῆς μελλούσης ἔρχεσθαι ἐπὶ τῆς οἰκουμένης ὅλης, πειράσαι τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς.

11 » ›Ἔρχομαι[13] ταχύ. Κράτει ὃ ἔχεις, ἵνα μηδεὶς λάβῃ τὸν στέφανόν σου. **12** Ὁ νικῶν, ποιήσω αὐτὸν στῦλον ἐν τῷ ναῷ τοῦ Θεοῦ μου, καὶ ἔξω οὐ μὴ ἐξέλθῃ ἔτι. Καὶ γράψω ἐπ᾽ αὐτὸν[14] τὸ ὄνομα τοῦ Θεοῦ μου, καὶ τὸ ὄνομα τῆς πόλεως τοῦ Θεοῦ μου—τῆς καινῆς Ἱερουσαλήμ, ἡ καταβαίνει[15] ἐκ[16] τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ μου—καὶ τὸ ὄνομά μου[17] τὸ καινόν.›

13 »Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

To Laodicea

14 »Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Λαοδικείᾳ ἐκκλησίας[18] γράψον· Τάδε λέγει ὁ Ἀμήν, ὁ μάρτυς ὁ πιστὸς καὶ ἀληθινός, ἡ Ἀρχὴ τῆς κτίσεως τοῦ Θεοῦ· **15** ‹Οἶδά σου τὰ ἔργα, ὅτι οὔτε ψυχρὸς εἶ οὔτε ζεστός. Ὄφελον ψυχρὸς ἦς ἢ ζεστός.[19] **16** Οὕτως, ὅτι χλιαρὸς εἶ, καὶ οὐ[20] ζεστὸς οὔτε ψυχρός,[21] μέλλω σε ἐμέσαι ἐκ τοῦ στόματός μου. **17** Ὅτι λέγεις,[22] «Πλούσιός εἰμι, καὶ πεπλού-

---

[1] φιλαδελφεια **f**^{35} **M**^{apt,b⅔,d,e⅗,f⅔,g¼,hpt,i⅓} CP,RP,HF,OC,NU,TR ¦ φιλαδελφια **M**^{apt,b⅓,d¼,e⅖,f⅓,gpt,hpt,i⅔} ℵC ¦ φιλαδελφιας **M**^{g¼} A

[2] κλειν **f**^{35} **M**^{a,b,f,h⅔,i⅔} CP,RP,HF,OC,NU ¦ κλιν ℵA,C ¦ κλειδα **M**^{d,e,g,h⅓,i⅓} TR

[3] του *rell* ¦ --- A,C [+7 mss] NU

[4] κλεισει **f**^{35} **M**$^{a,b,f(g)h,i}$ CP,RP,HF,OC,NU ¦ κλισει ℵA,C ¦ κλειει **M**^{e} TR ¦ κλειων **M**^{d}

[5] αυτην ει μη ο ανοιγων (+και κλειων **M**^{g}) **f**^{35} **M**^{a,fpt,g,h¼,ipt} CP,RP,HF ¦ και κλειων **M**$^{b,dpt(pt)e,f¼,hpt}$ ℵ,OC,NU ¦ κλειων A ¦ και κλειει **M**^{f¼} C,TR (We are accustomed to the more balanced form, but the basic point remains the same.)

[6] ανοιξει **f**^{35} **M**^{a,b,f,g,h,i} ℵ,CP,RP,HF,OC ¦ ανοιγει **M**^{e} A,C,NU,TR ¦ ανοιγων **M**^{d}

[7] ανεωγμενην *rell* ¦ ηνεωγμενην **M**^{b,e⅓} ℵ,NU

[8] ην *rell* ¦ και **M**^{ept} TR

[9] διδωμι *rell* ¦ διδω A,C,NU ¦ δεδωκα ℵ

[10] ηξουσιν **f**^{35} **M**^{a⅛,d⅔,e⅛,f⅖,h⅓} ℵA,C,CP,OC,NU ¦ ηξωσιν **f**^{35pt} **M**^{a,b,d⅓,e,f⅗,g,h⅔,i} RP,HF,TR (Is it future Indicative, or aorist Subjunctive? One's first impression is that the three verbs controlled by ινα are parallel and should be in the same mode, namely subjunctive—γνωσιν is home free, προσκυνησωσιν has a heavy majority [including **f**^{35}] but with some dissent; with ηξωσιν the dissent becomes stronger, including a slight majority of Family 35 [a preponderance of the better representatives read the indicative]. The generalized splitting suggests that the 'norm' of subjunctive with ινα was at work in the minds of the copyists, the more so since the other two verbs are in that mode; but the indicative is not all that infrequent, and in this case presumably emphasizes certainty—they **will** come. If the exemplar had the subjunctive, why would a copyist change it to indicative? The pressure would be in the opposite direction.)

[11] προσκυνησωσιν **f**^{35} **M**^{a,b,d⅔,e,f,g,h,i⅔} CP,RP,HF,TR ¦ προσκυνησουσιν **M**^{b⅕,d⅓,e⅕,h¼,i⅓} ℵA,C,OC,NU

[12] οτι **f**^{35} **M**^{a,b,f,h¼,i} CP,RP,HF ¦ 1 εγω **M**^{d,e,g,h} ℵA,C,OC,NU,TR

[13] ερχομαι **f**^{35} **M**^{a,b,d⅓,e,f,g,h,i} ℵA,C,CP,RP,HF,OC,NU ¦ ιδου 1 **M**^{d⅔} TR

[14] αυτον *rell* ¦ αυτου CP ¦ αυτω **M**^{d,ept}

[15] καταβαινει **f**^{35} **M**^{a,b,d⅖,e⅓,f,g,h⅓,i} CP,RP,HF,OC ¦ καταβαινουσα **M**^{d⅗,e⅔,h⅔} ℵA,C,NU,TR

[16] εκ **f**^{35} **M**^{a⅓,d,e,h,i⅗} ℵA,C,CP,RP,OC,NU,TR ¦ απο **M**^{a⅔,b,f,g,h¼,i⅖} HF

[17] μου **f**^{35} **M**^{a⅛,b,d,e,hpt,ipt} ℵA,C,CP,RP,HF,OC,NU,TR ¦ --- **M**^{a,e⅙,f,g,hpt,ipt}

[18] εν λαοδικεια (λαοδικια ℵA,C) εκκλησιας *rell* ¦ ~ 3 λαοδικεων TR

[19] οφελον ψυχρος ης η ζεστος *rell* ¦ 12 εις 45 TR ¦ --- **M**^{e⅓} A

[20] ου **f**^{35} **M**^{a,b,e⅓,f,g,hpt,i⅔} CP,RP,HF ¦ ουτε **M**^{d,e⅔,hpt,i⅓} ℵA,C,OC,NU,TR

[21] ζεστος ουτε ψυχρος *rell* ¦ ~ 321 A,TR ¦ ζεστρος 23 ει ℵ

[22] λεγεις **f**^{35} **M**^{a,d¼,e,gpt,h¼,i⅔} ℵ,CP,RP,HF ¦ 1 οτι **M**^{b,d,e⅙,f,gpt,h,i⅓} A,C,OC,NU,TR

τηκα, καὶ οὐδενὸς[1] χρείαν ἔχω,» καὶ οὐκ οἶδας ὅτι σὺ εἶ ὁ ταλαίπωρος—καί, ὁ[2] ἐλεεινὸς καὶ πτωχὸς καὶ τυφλὸς καὶ γυμνός—**18** συμβουλεύω σοι ἀγοράσαι χρυσίον παρ᾽ ἐμοῦ,[3] πεπυρωμένον ἐκ πυρός, ἵνα πλουτήσῃς· καὶ ἱμάτια λευκά, ἵνα περιβάλῃ, καὶ μὴ φανερωθῇ ἡ αἰσχύνη τῆς γυμνότητός σου· καὶ κολλούριον[4] ἔγχρισον ἐπὶ[5] τοὺς ὀφθαλμούς σου, ἵνα βλέπῃς. **19** Ἐγὼ ὅσους ἐὰν φιλῶ ἐλέγχω καὶ παιδεύω· ζήλωσον[6] οὖν καὶ μετανόησον.

20 »›Ἰδού, ἕστηκα ἐπὶ τὴν θύραν καὶ κρούω. Ἐάν τις ἀκούσῃ τῆς φωνῆς μου καὶ ἀνοίξῃ τὴν θύραν, καὶ[7] εἰσελεύσομαι πρὸς αὐτὸν καὶ δειπνήσω μετ᾽ αὐτοῦ, καὶ αὐτὸς μετ᾽ ἐμοῦ. **21** Ὁ νικῶν δώσω αὐτῷ καθίσαι μετ᾽ ἐμοῦ ἐν τῷ θρόνῳ μου, ὡς κἀγὼ ἐνίκησα καὶ ἐκάθισα μετὰ τοῦ Πατρός μου ἐν τῷ θρόνῳ αὐτοῦ.‹

22 »Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις.«

"The things that must happen after these"

4:1 Μετὰ ταῦτα εἶδον καὶ ἰδού—θύρα ἀνεῳγμένη[8] ἐν τῷ οὐρανῷ, καὶ ἡ φωνὴ ἡ πρώτη ἣν ἤκουσα ὡς σάλπιγγος λαλούσης μετ᾽ ἐμοῦ, λέγουσα,[9] «Ἀνάβα ὧδε καὶ δείξω σοι ἃ δεῖ γενέσθαι μετὰ ταῦτα.»

The Throne Room

2 Καὶ[10] εὐθέως ἐγενόμην ἐν πνεύματι καὶ ἰδού, θρόνος ἔκειτο ἐν τῷ οὐρανῷ (καὶ ἐπὶ τοῦ θρόνου[11] καθήμενος) **3** ὅμοιος[12] ὁράσει λίθῳ, ἰάσπιδι καὶ σαρδίῳ,[13] καὶ ἶρις κυκλόθεν τοῦ θρόνου, ὁμοία[14] ὁράσει[15] σμαραγδίνῳ.[16] **4** Καὶ κυκλόθεν[17] τοῦ θρόνου θρόνοι[18] εἴκοσι τέσσαρες,[19] καὶ ἐπὶ

---

[1] ουδενος *rell* ¦ ουδεν **M**^{e¼} A,C,NU

[2] ο **f**^{35} **M**^{a,b,e¼,f,g,h⅔,ipt} A,CP,RP,HF,OC ¦ --- **M**^{a¼,d,e,h⅓,ipt} ℵC,NU,TR

[3] χρυσιον παρ εμου **f**^{35} **M**$^{a.f,g,h⅔,i⅔}$ CP,RP,HF ¦ ~ 231 **M**^{d,e,h⅓,i⅓} ℵA,C,OC,NU,TR ¦ 1 **M**^{b}

[4] κολλουριον **f**^{35} **M**^{d⅕,e¼} A(CP)[NU]TR ¦ κουλουριον **M**^{d⅗} ¦ κολλυριον **M**^{a,b,ept,f,g,h⅔,i} ℵC,RP,HF,OC (There are at least nine variants, but the only real question is whether to read a single vowel or a diphthong after the double lambda: for the diphthong—**f**^{35} **M**^{a⅕,d,ept,f⅙,h⅓} A; for the vowel—**M**^{a,b,ept,f,g,h⅔,i} ℵC.)

[5] εγχρισον επι **f**^{35} CP ¦ 1 **M**^{ept} TR ¦ ινα εγχριση **M**^{a,b,f,ipt} RP,HF,OC ¦ ινα εγχρισαι A,C ¦ εγχρισαι **M**^{gpt} (ℵ)NU (There are over 25 variants; **M**^{d,ept,gpt,h,ipt} are badly splintered; but **f**^{35}**M**^{d,e,g,h} agree in omitting ινα, which takes the subjunctive with it, which leaves the imperative in control.)

[6] ζηλωσον **f**^{35} **M**^{d,e,g,hpt} ℵ,CP,RP,TR ¦ ζηλευε **M**^{a,b,f,hpt,i⅗} A,C,0169,HF,OC,NU

[7] και **f**^{35} **M**^{a,b,f,h¼,i⅔} ℵ,0169,CP,RP,HF,OC[NU] ¦ --- **M**^{d,e,g,h,i⅓} A,TR

[8] ανεωγμενη **f**^{35} **M**^{a,b,d,e⅗,f,g,hpt,i} 0169,CP,RP,HF,OC ¦ ηνεωγμενη **M**^{e⅖,hpt} ℵA,NU,TR

[9] λεγουσα **f**^{35} **M**^{a⅕,d,e,h¼,i⅓} CP,TR ¦ και λεγουσης **M**^{g} ¦ λεγων **M**^{a,b,f,h,i⅔} ℵA,0169,RP,HF,OC,NU (The subject of the verb is 'voice', feminine.)

[10] και **f**^{35} **M**^{b,d,e,g,h⅓,i} CP,RP,OC,TR ¦ --- **M**^{a,f,h⅔,i¼} ℵA,0169,HF,NU (OC is in small print.)

[11] του θρονου **f**^{35} **M**^{d,e,g¼,i⅓} CP,TR ¦ τον θρονον **M**^{a,b,f,g,h,i⅔} ℵA,0169,RP,HF,OC,NU

[12] ομοιος **f**^{35} **M**^{a,b,d,e,f,gpt,hpt,i⅗} CP,RP,HF,OC ¦ και ο καθημενος 1 **M**^{a⅕,gpt,hpt,i⅓} ℵA,0169,NU ¦ και ο καθημενος ην 1 TR (I suppose the parenthetical observation that closes verse 2 got some copyists off the track, but it was the throne, not the One, that was like jasper.)

[13] σαρδιω *rell* ¦ σαρδινω **M**^{e⅔} TR ¦ σαρδειω **M**^{a⅓}

[14] ομοια **f**^{35} **M**^{b,g} CP ¦ ομοιος **M**^{d,e,fpt,hpt,i} A,NU,TR ¦ ομοιως **M**^{a,fpt,hpt} RP,HF,OC (The adjective is modifying 'rainbow'.)

[15] ορασει **f**^{35} **M**^{b,d,e,fpt,g,hpt,ipt} A,CP,NU,TR ¦ ορασις **M**^{a,fpt,hpt,ipt} RP,HF,OC

[16] σμαραγδινω **f**^{35} **M**^{d,e,fpt,g,h,i} A,CP,NU,TR ¦ σμαραγδινων **M**^{a,fpt} RP,HF,OC ¦ σμαραγδω **M**^{b}

[17] και κυκλοθεν **f**^{35} **M**^{a¼,b,e,f⅔,g,h⅔,i⅔} A,CP,RP,OC,NU,TR ¦ 1 κυκλω **M**^{d} ¦ κυκλωθεν **M**^{a,f⅓,h⅓,i⅓} HF (OC is in small print.)

[18] θρονοι *rell* ¦ θρονους **M**^{b,h⅓} NU

[19] εικοσι τεσσαρες **f**^{35¼} **M**^{apt,d⅓,ept,f,hpt,i⅔} CP,RP,HF,OC,NU ¦ κδ΄ **f**^{35} **M**^{apt,bpt,d⅓,ept,gpt,hpt} ¦ 1 και 2 **M**^{bpt,d⅓,gpt} ℵA,TR (The split in virtually every group suggests that some factor other than conviction as to the original form was at work [especially since there is no difference in meaning]; the distribution of MSS to the three variants is roughly 40:50:10% [the abbreviation loses 15 MSS below]; the economic factor behind the use of abbreviated forms for numbers and sacred names would presumably make itself felt when copies began to be proliferated, not when the Autographs were being penned; I conclude that the abbreviation is not original.)

τοὺς θρόνους εἶδον[1] τοὺς[2] εἴκοσι τέσσαρας[3] πρεσβυτέρους καθημένους, περιβεβλημένους ἐν ἱματίοις λευκοῖς, καὶ[4] ἐπὶ τὰς κεφαλὰς αὐτῶν στεφάνους χρυσοῦς. **5** Καὶ ἐκ τοῦ θρόνου ἐκπορεύονται ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταί·[5] καὶ ἑπτὰ λαμπάδες πυρὸς καιόμεναι ἐνώπιον τοῦ θρόνου αὐτοῦ,[6] αἵ εἰσιν[7] ἑπτὰ[8] πνεύματα τοῦ Θεοῦ· **6** καὶ ἐνώπιον τοῦ θρόνου ὡς[9] θάλασσα ὑαλίνη,[10] ὁμοία κρυστάλῳ.[11]

The four living beings

Καὶ ἐν μέσῳ τοῦ θρόνου καὶ κύκλῳ τοῦ θρόνου τέσσαρα ζῷα γέμοντα ὀφθαλμῶν, ἔμπροσθεν καὶ ὄπισθεν. **7** Καὶ τὸ ζῷον τὸ πρῶτον ὅμοιον λέοντι, καὶ τὸ δεύτερον ζῷον ὅμοιον μόσχῳ, καὶ τὸ τρίτον ζῷον ἔχον[12] τὸ πρόσωπον ὡς ἄνθρωπος,[13] καὶ τὸ τέταρτον ζῷον[14] ὅμοιον ἀετῷ πετομένῳ.[15] **8** Καὶ τὰ[16] τέσσαρα ζῷα, ἓν καθ᾽ ἓν αὐτῶν,[17] ἔχον[18] ἀνὰ πτέρυγας ἕξ, κυκλόθεν καὶ ἔσωθεν γέμουσιν[19] ὀφθαλμῶν. Καὶ ἀνάπαυσιν οὐκ ἔχουσιν, ἡμέρας καὶ νυκτός, λέγοντα·[20] «Ἅγιος, ἅγιος, ἅγιος· Ἅγιος, ἅγιος, ἅγιος· Ἅγιος, ἅγιος, ἅγιος·[21] Κύριος ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ ἦν καὶ ὁ ὢν καὶ ὁ ἐρχόμενος.»

---

[1] ειδον **f**^{35} **M**^{i⅓} CP,TR ¦ --- **M**^{a,b,d,e,f,g,h,i⅔} A,RP,HF,OC,NU (Are the elders to receive separate treatment, or not? Given their prominence in what follows, probably so. Verses 2-3 are without an independent verb, so it is about time. Note also that the definite article occurs with the first mention of the elders.)

[2] τους *rell* ¦ --- **M**^{d⅔,e⅔,i⅓}

[3] εικοσι τεσσαρας **f**^{35¼} **M**^{apt,d¼,ept,f,h⅓,ipt} A,CP,RP,HF,OC,NU ¦ κδ΄ **f**^{35} **M**^{apt,b,dpt,e⅓,g} ¦ 1 και 2 **M**^{d¼,e¼,h} TR

[4] και *rell* ¦ 1 εσχον TR

[5] φωναι και βρονται *rell* ¦ ~ 321 TR

[6] αυτου **f**^{35} **M**^{a,b,d,e⅖,f,g⅔,h¼,i} CP,RP,HF ¦ --- **M**^{e⅗,g⅓,h,i¼} ℵA,OC,NU,TR

[7] αι εισιν *rell* ¦ α 2 **M**^{a⅛,e⅓} NU ¦ α εστιν A ¦ ℵ omits ten words

[8] επτα **f**^{35} **M**^{a,b,e⅗,f,g⅔,h⅓,i} CP,RP,HF ¦ τα 1 **M**^{d,e⅖,h⅔} A,OC,NU,TR (Without the article the reference is presumably not to the Holy Spirit.)

[9] ως *rell* ¦ --- **M**^{e⅔} TR ¦ αυτου 1 **M**^{g}

[10] υαλινη *rell* ¦ υελινη **M**^{a⅙,b⅕,c¼,ept,h⅓} CP

[11] κρυσταλω **f**^{35} **M**^{a⅛,e⅙,g⅓,h¼} ¦ κρυσταλλω **f**^{35pt} **M**^{a,b,d,e,f,g⅔,h,i} ℵA,CP,RP,HF,OC,NU,TR (We have alternate spellings of the same word, which is not a proper variant, since neither the meaning nor the identity is touched. However, this one is interesting, for an unusual reason. Although λλ→λ would presumably be easier as a transcriptional error than the reverse, in 21:11 John apparently <u>invented</u> the verb κρυσταλιζω, spelling it with a single ‘λ’ (if you invent a word, you may spell it as you wish)—I take it that he did the same thing with the noun, here and in 22:1, but the unusual spelling led copyists to ‘correct’ him, especially in a matter perceived to be of virtually no consequence, since it did not affect the meaning.)

[12] εχον *rell* ¦ εχων **M**^{a¼,b⅓,d⅕,e⅓,f⅕,g,h⅕,i⅖} A,NU

[13] το (−**M**^{g}) προσωπον ως ανθρωπος **f**^{35} **M**^{d,e,g,h⅔,i⅓} CP,TR ¦ 2 ανθρωπου **M**^{a,b,e⅕,f,h⅓,i⅔} RP,HF ¦ 123 ανθρωπου A,OC,NU ¦ 123 ομοιον ανθρωπω ℵ

[14] ζωον **f**^{35} **M**^{a⅕,d,e,g,h,ipt} ℵA,CP,RP,OC,NU,TR ¦ --- **M**^{a,b,e⅕,f,h¼,ipt} HF

[15] πετομενω *rell* ¦ πετωμενω [15 assorted mss] CP,TR

[16] τα **f**^{35} **M**^{a⅓,b,d,fpt,g,h,i⅗} ℵA,RP,HF,OC,NU ¦ --- **M**^{a⅔,e,fpt,i⅖} CP,TR

[17] εν αυτων **f**^{35} **M**^{d,e⅔,g,hpt,i⅓} ℵA,CP,OC,NU ¦ 12 εστως **M**^{b} ¦ 1 **M**^{a,e⅓,f,i⅔} RP,HF ¦ εαυτο TR ¦ 1 εκαστον **M**^{hpt} ℵ

[18] εχον **f**^{35} **M**^{a,bpt,d⅓,e⅗,f,h¼,i⅗} CP,RP,HF,OC ¦ εχων **M**^{a⅕,bpt,e⅖,g,h⅕,i⅓} A,NU ¦ εχει **M**^{d} ¦ ειχον ℵ,TR ¦ εχοντα **M**^{hpt} (The neuter singular is correct.)

[19] γεμουσιν *rell* ¦ γεμοντα **M**^{h⅓} TR

[20] λεγοντα **f**^{35} **M**^{h⅓} CP,TR ¦ λεγοντες **M**^{a,b,c⅓,d,e,f,g,h⅔,i} ℵA,RP,HF,OC,NU (The Subject of the participle is τα ζωα, neuter, so the neuter form is correct, in spite of the slim attestation. It seems clear from verse 9 that it is only the four living beings who are repeating ‘holy’, but if copyists thought the elders were in chorus with the living beings, they would naturally change the gender to masculine. In spite of the split in **f**^{35}, most of the better representatives of the family attest the first variant.)

[21] αγιος (nine times) **f**^{35} **M**^{a⅔,b,f} (ℵ)CP,HF ¦ αγιος (three times) **M**^{a⅓,d,e,g,h,i} A,RP,OC,NU,TR (Surely it is more likely that ‘nine’ would be changed to ‘three’ than vice versa; in fact, try reading ‘holy’ nine times in a row out loud—it starts to get uncomfortable! Since in the context the living ones are repeating themselves endlessly, the ‘nine’ is both appropriate and effective; three ‘holies’ for each member of the Trinity.)

The twenty-four elders

9 Καὶ ὅταν δῶσιν[1] τὰ ζῷα δόξαν καὶ τιμὴν καὶ εὐχαριστίαν τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου,[2] τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, **10** πεσοῦνται οἱ εἴκοσι τέσσαρες[3] πρεσβύτεροι ἐνώπιον τοῦ καθημένου ἐπὶ τοῦ θρόνου καὶ προσκυνήσουσιν[4] τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, καὶ βαλοῦσιν[5] τοὺς στεφάνους αὐτῶν ἐνώπιον τοῦ θρόνου λέγοντες· **11** «Ἄξιος εἶ, ὁ Κύριος καὶ ὁ Θεὸς ἡμῶν, ὁ Ἅγιος,[6] λαβεῖν τὴν δόξαν καὶ τὴν τιμὴν καὶ τὴν δύναμιν, ὅτι σὺ ἔκτισας τὰ[7] πάντα, καὶ διὰ τὸ θέλημά σού εἰσιν[8] καὶ ἐκτίσθησαν.»

The Lamb takes the scroll

5:1 Καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου ἐπὶ τοῦ θρόνου βιβλίον, γεγραμμένον ἔσωθεν καὶ ἔξωθεν,[9] κατεσφραγισμένον σφραγῖσιν ἑπτά. **2** Καὶ εἶδον ἄγγελον ἰσχυρὸν κηρύσσοντα[10] φωνῇ μεγάλη, «Τίς ἄξιός[11] ἀνοῖξαι τὸ βιβλίον καὶ λῦσαι τὰς σφραγῖδας αὐτοῦ;» **3** Καὶ οὐδεὶς ἐδύνατο[12] ἐν τῷ οὐρανῷ[13] οὐδὲ[14] ἐπὶ τῆς γῆς οὐδὲ[15] ὑποκάτω τῆς γῆς ἀνοῖξαι τὸ βιβλίον οὐδὲ[16] βλέπειν αὐτό. **4** Καὶ ἐγὼ[17] ἔκλαιον πολύ,[18] ὅτι οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι καὶ ἀναγνῶναι[19] τὸ βιβλίον, οὔτε βλέπειν αὐτό.

5 Καὶ εἷς ἐκ τῶν πρεσβυτέρων λέγει μοι· «Μὴ κλαῖε· ἰδού, ἐνίκησεν ὁ λέων ὁ[20] ἐκ τῆς φυλῆς Ἰούδα, ἡ ῥίζα Δαυίδ, ἀνοῖξαι[21] τὸ βιβλίον καὶ[22] τὰς ἑπτὰ σφραγῖδας αὐτοῦ.» **6** Καὶ εἶδον[23] ἐν μέσῳ τοῦ θρόνου καὶ τῶν τεσσάρων ζῴων, καὶ ἐν μέσῳ τῶν πρεσβυτέρων, Ἀρνίον ἑστηκός[24]—ὡς ἐσφαγμένον, ἔχον[25] κέρατα ἑπτὰ καὶ ὀφθαλμοὺς ἑπτά, ἅ[26] εἰσιν τὰ ἑπτὰ[27] πνεύματα τοῦ Θεοῦ[28] ἀποστελλόμενα[29] εἰς πᾶσαν τὴν γῆν. **7** Καὶ ἦλθεν καὶ εἴληφεν[30] ἐκ τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ

---

[1] δωσιν **f**^{35} **M**^{a,b,e⅖,f,h¼,ipt} RP,HF,OC ¦ δωσωσιν **M**^{ept,g} א ¦ δωσουσιν **M**^{a⅛,d,h,ipt} A,NU,TR ¦ δωσει CP

[2] του θρονου *rell* ¦ τω θρονω אA [+6 mss] NU

[3] εικοσι τεσσαρες **f**^{35¼} **M**^{apt,b,d¼,ept,f,g⅓,hpt,ipt} אA,CP,RP,HF,OC,NU ¦ κδ΄ **f**^{35} **M**^{apt,d,ept,g⅔,hpt} ¦ 1 και 2 TR

[4] προσκυνησουσιν *rell* ¦ προσκυνουσιν TR

[5] βαλουσιν *rell* ¦ βαλλουσιν **M**^{e¼,g⅓} א,CP,TR

[6] ο κυριος και ο θεος ημων ο αγιος **f**^{35} **M**^{a,b,e⅕,f,h¼,i⅔} CP,RP,HF ¦ 123456 **M**^{h⅓} A,NU ¦ 12356 א,OC ¦ κυριε 456 **M**^{d,e⅔,g,h⅓} ¦ κυριε TR

[7] τα **f**^{35} **M**^{d,e,h,i⅓} אA,CP,OC,NU,TR ¦ --- **M**^{a,b,e¼,f,g,h¼,i⅔} RP,HF

[8] εισιν **f**^{35} **M**^{b,d,e,g,hpt,i⅓} CP,TR ¦ ησαν **M**^{a,f,hpt,i⅔} אA,RP,HF,OC,NU ¦ ουκ ησαν **M**^{h⅓}

[9] εξωθεν **f**^{35} **M**^{a,b,d,e⅔,f,g,h,i} CP,RP,HF,OC ¦ οπισθεν **M**^{e⅓} (א)A,NU,TR

[10] κηρυσσοντα **f**^{35} **M**^{d,ept,hpt} CP,TR ¦ 1 εν **M**^{a,b,ept,f,g,hpt,i} אA,RP,HF,OC,NU

[11] αξιος **f**^{35} **M**^{ept,h} אA,CP,NU ¦ 1 εστιν **M**^{a,b,d,ept,f,g,i} RP,HF,OC ¦ εστιν 1 TR (Does the absence of the verb emphasize the adjective?)

[12] εδυνατο **f**^{35} **M**^{a,b,d⅓,e⅖,f,g⅓,hpt,ipt} א,CP,RP,HF,OC,NU ¦ ηδυνατο **M**^{d⅔,ept,g⅔,hpt,ipt} A,TR

[13] ουρανω **f**^{35} **M**^{d,e,h⅔} אA,CP,OC,NU,TR ¦ 1 ανω **M**^{a,b,e¼,f,g,h⅓,i} RP,HF

[14] ουδε **f**^{35} **M**^{d,ept,g,h,i⅕} A,CP,NU,TR ¦ ουτε **M**^{a,b,ept,f,h¼,i⅔} א,RP,HF,OC

[15] ουδε **f**^{35} **M**^{d,ept,g,h,i⅕} A,CP,NU,TR ¦ ουτε **M**^{a,b,ept,f,h¼,i⅔} RP,HF,OC ¦ --- **M**^{a⅛} א

[16] ουδε **f**^{35} **M**^{d,ept,hpt} CP,TR ¦ ουτε **M**^{a,b,ept,f,g,hpt,i} אA,RP,HF,OC,NU

[17] εγω *rell* ¦ --- **M**^{ept} א,NU ¦ A omits the whole verse

[18] πολυ *rell* ¦ πολλα TR ¦ A omits the whole verse

[19] και αναγνωναι **f**^{35} **M**^{d⅕,e,g⅓,i⅓} CP,TR ¦ --- **M**^{a,b,d,e⅕,f,g⅔,h,i⅔} א,RP,HF,OC,NU (The clause forces an awkward meaning upon βλεπειν αυτο, which now must really mean ‘look at it’.)

[20] ο *rell* ¦ 1 ων **M**^{e¼} TR ¦ --- **M**^{h⅔} א

[21] ανοιξαι **f**^{35} **M**^{d,e,g,h} אA,CP,OC,NU,TR ¦ ο ανοιγων **M**^{a,b,f,i} RP,HF

[22] και *rell* ¦ 1 λυσαι א,TR

[23] ειδον *rell* ¦ ιδον [22 assorted mss] ¦ 1 και ιδου **M**^{b} CP,TR ¦ ιδου και A

[24] εστηκος *rell* ¦ εστηκως **M**^{b⅖,e⅓,g¼} א

[25] εχον *rell* ¦ εχων **M**^{d⅕,e¼,g,h¼} 𝔓^{24}אA,NU

[26] α **f**^{35} **M**^{a,b,d,f,g,i} CP,RP,HF,OC ¦ οι **M**^{e,h} אA,NU,TR (The gender agrees with ‘horns’, not ‘eyes’, which is unexpected.)

[27] επτα *rell* [NU] ¦ --- **M**^{ept} A

[28] πνευματα του θεου *rell* ¦ ~ 231 **M**^{ept} TR

[29] αποστελλομενα **f**^{35} **M**^{a,b,e¼,f,i¾} CP,RP,HF,OC ¦ τα 1 **M**^{e¼,g,i⅕} ¦ τα απεσταλμενα **M**^{d¾,ept} TR ¦ απεσταλμενα **M**^{hpt} 𝔓^{24}א ¦ απεσταλμενοι A,NU

[30] ειληφεν *rell* ¦ 1 το βιβλιον TR ¦ add το βιβλιον at end of verse **M**^{ept}

τοῦ θρόνου.

A new song

8 Καὶ ὅτε ἔλαβεν τὸ βιβλίον τὰ τέσσαρα[1] ζῷα καὶ οἱ εἴκοσι τέσσαρες[2] πρεσβύτεροι ἔπεσον[3] ἐνώπιον τοῦ Ἀρνίου, ἔχοντες ἕκαστος κιθάρας,[4] καὶ φιάλας χρυσᾶς γεμούσας θυμιαμάτων, αἵ εἰσιν αἱ[5] προσευχαὶ τῶν ἁγίων. **9** Καὶ ᾄδουσιν ᾠδὴν καινὴν λέγοντες· «Ἄξιος εἶ λαβεῖν τὸ βιβλίον καὶ ἀνοῖξαι τὰς σφραγῖδας αὐτοῦ· ὅτι ἐσφάγης, καὶ ἠγόρασας τῷ Θεῷ ἡμᾶς[6] ἐν τῷ αἵματί σου ἐκ πάσης φυλῆς καὶ γλώσσης καὶ λαοῦ καὶ ἔθνους· **10** καὶ ἐποίησας αὐτοὺς[7] τῷ Θεῷ ἡμῶν βασιλεῖς καὶ ἱερεῖς,[8] καὶ βασιλεύσουσιν[9] ἐπὶ τῆς γῆς.»

All the angels

11 Καὶ εἶδον, καὶ ἤκουσα ὡς[10] φωνὴν ἀγγέλων πολλῶν, κύκλῳ[11] τοῦ θρόνου καὶ τῶν ζῴων καὶ τῶν πρεσβυτέρων. Καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν μυριάδες μυριάδων καὶ χιλιάδες χιλιάδων, **12** λέγοντες φωνῇ μεγάλῃ· «Ἄξιόν ἐστιν τὸ Ἀρνίον τὸ ἐσφαγμένον λαβεῖν τὴν δύναμιν καὶ[12] πλοῦτον καὶ σοφίαν καὶ ἰσχὺν καὶ τιμὴν καὶ δόξαν καὶ εὐλογίαν.»

Every creature

13 Καὶ πᾶν κτίσμα ὅ ἐστιν[13] ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς[14] καὶ ὑποκάτω τῆς γῆς, καὶ ἐπὶ τῆς θαλάσσης (ἅ ἐστιν[15] καὶ τὰ ἐν αὐτοῖς)—πάντας[16] ἤκουσα λέγοντας· «Τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου[17] καὶ τῷ Ἀρνίῳ· ἡ εὐλογία καὶ ἡ τιμὴ καὶ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.»[18] **14** (Καὶ τὰ τέσσαρα ζῷα λέγοντα τὸ[19] Ἀμήν.) Καὶ οἱ[20] πρεσβύτεροι ἔπεσον[21] καὶ προσεκύνησαν.[22]

---

[1] τεσσαρα **f**^{35} ⅔ **M**^{a,b,d,e,f,gpt,h,i} CP,RP,HF,OC,NU,TR ¦ τεσσερα ℵA ¦ δ΄ **f**^{35} ⅗ **M**^{gpt}

[2] εικοσι τεσσαρες **f**^{35} ¼ **M**^{a⅓,b,dpt,ept,f,gpt,hpt,i} ℵA,CP,RP,HF,OC,NU,TR ¦ κδ΄ **f**^{35} **M**^{a⅔,dpt,ept,gpt,hpt}

[3] επεσον *rell* ¦ επεσαν **M**^{a¼,e¼,g} ℵA,OC,NU

[4] κιθαρας **f**^{35} **M**^{d⅓,e,g,ipt} CP,TR ¦ κιθαραν **M**^{a,b,d⅔,e¼,f,h,ipt} ℵA,RP,HF,OC,NU

[5] αι **f**^{35} **M**^{a⅓,b⅔,d,e,g,h,ipt} A,CP,OC,NU,TR ¦ --- **M**^{a,b⅗,e¼,f,g¼,ipt} ℵ,RP,HF

[6] τω θεω ημας **f**^{35} **M**^{a,d,e⅔,f,h,i⅗} ℵ,CP,RP,HF,OC,TR ¦ ~ 312 **M**^{b,g,i⅗} ¦ 3 **M**^{e⅓} ¦ 12 A,NU [Why do you suppose NU follows a single MS, of demonstrably inferior quality in Revelation (objectively so), against virtually all others (perhaps six scattered cursives have ‘our’ for ‘us’) plus lat,syr,bo? And why do the editors of modern versions follow their lead? Why? (Hoskier says the word was ‘lost’ in the transition from one column to the next—I don’t have access to a facsimile of the codex to check it, but assuming that Hoskier is correct about the location then the omission was probably inadvertent, one of the many slips that disfigure the MS.)]

[7] αυτους *rell* ¦ ημας TR

[8] βασιλεις και ιερεις *rell* ¦ βασιλειαν 23 **M**^{hpt} A,NU ¦ βασιλιαν 2 ιερατειαν ℵ

[9] βασιλευσουσιν **f**^{35} **M**^{apt,b,d⅗,e⅔,f⅔,g,h⅓,i} ℵ,RP,HF,OC,NU ¦ βασιλευουσιν **M**^{apt,d⅖,e⅓,f⅓,g¼,h⅔} A,CP ¦ βασιλευσομεν TR

[10] ως **f**^{35} **M**^{a,b,d¼,ept,f,g,hpt,i} ℵ,CP,RP,HF,OC ¦ --- **M**^{d,ept,hpt} A,NU,TR

[11] κυκλω *rell* ¦ κυκλοθεν TR

[12] και **f**^{35} **M**^{a⅙,d,e,h} ℵA,CP,NU,TR ¦ 1 τον **M**^{a,b,e⅕,f,g,i} RP,HF,OC (OC is in small print.)

[13] εστιν **f**^{35} **M**^{b,d,e,h¼,i⅓} CP,TR ¦ --- **M**^{a,f,g,h,i⅔} ℵA,RP,HF,OC,NU

[14] επι της γης **f**^{35} **M**^{a,b,e,f,g,h,i} ℵA,CP,RP,HF,OC,NU ¦ 13 **M**^{d,g¼} ¦ εν τη γη **M**^{d½,e¼} TR

[15] α εστιν **f**^{35} **M**^{a⅙,d¼,e,h⅓,ipt} CP,TR ¦ οσα 2 **M**^{b} ¦ 2 **M**^{a,f,g,h⅓,ipt} A,RP,HF,OC ¦ --- **M**^{d,h⅓} ℵ,NU

[16] παντας **f**^{35} **M**^{a⅔,d¼,ept,fpt,g,hpt,i⅗} CP,RP,HF ¦ και 1 **M**^{d⅗} ¦ παντα **M**^{a⅕,ept,fpt,hpt,i⅕} A,OC,NU,TR ¦ παντα και **M**^{b,d⅕} ℵ

[17] του θρονου **f**^{35} **M**^{a⅓,d,e,g⅓,h,i⅔} ℵ,CP,RP,OC,TR ¦ τω θρονω **M**^{a⅔,b,f,g⅔,i⅓} A,HF,NU

[18] αμην **f**^{35} **M**^{a,d,e,f,gpt,hpt,i} CP,RP,HF ¦ --- **M**^{b,e⅙,gpt,hpt} ℵA,OC,NU,TR

[19] λεγοντα το **f**^{35} **M**^{a,f,ipt} CP,RP,HF ¦ ελεγεν 2 **M**^{b} ¦ ελεγον 2 **M**^{g,i¼} ¦ ελεγον **M**^{a¼,d,e,h} ℵA,OC,NU,TR (The participle is controlled by ηκουσα; the article should be read in any case.)

[20] οι *rell* ¦ 1 εικοσι τεσσαρες TR

[21] επεσον **f**^{35} **M**^{a⅔,d,e⅗,f,h,i} CP,RP,HF ¦ επεσαν **M**$^{a⅓,b,e⅖,g,h¼,i2/7}$ ℵA,OC,NU,TR

[22] προσεκυνησαν *rell* ¦ 1 ζωντι εις τους αιωνας των αιωνων TR

The Lamb opens the seals

The first seal

6:1 Καὶ εἶδον ὅτι[1] ἤνοιξεν τὸ Ἀρνίον μίαν ἐκ τῶν ἑπτὰ σφραγίδων,[2] καὶ ἤκουσα ἑνὸς ἐκ τῶν τεσσάρων ζῴων λέγοντος, ὡς φωνὴ[3] βροντῆς, «Ἔρχου.» **2** Καὶ εἶδον καὶ ἰδού,[4] ἵππος λευκός, καὶ ὁ καθήμενος ἐπ᾽ αὐτὸν[5] ἔχων τόξον. Καὶ ἐδόθη αὐτῷ στέφανος· καὶ ἐξῆλθεν νικῶν, καὶ ἵνα νικήσῃ.

The second seal

3 Καὶ ὅτε ἤνοιξεν τὴν δευτέραν σφραγῖδα[6] ἤκουσα τοῦ δευτέρου ζῴου λέγοντος, «Ἔρχου.» **4** Καὶ[7] ἐξῆλθεν ἄλλος ἵππος, πυρρός,[8] καὶ τῷ καθημένῳ ἐπ᾽ αὐτὸν[9] ἐδόθη αὐτῷ λαβεῖν τὴν εἰρήνην ἐκ[10] τῆς γῆς,[11] ἵνα ἀλλήλους σφάξωσιν·[12] καὶ ἐδόθη αὐτῷ μάχαιρα μεγάλη.

The third seal

5 Καὶ ὅτε ἤνοιξεν τὴν σφραγῖδα τὴν τρίτην,[13] ἤκουσα τοῦ τρίτου ζῴου λέγοντος, «Ἔρχου.» Καὶ εἶδον καὶ ἰδού,[14] ἵππος μέλας, καὶ ὁ καθήμενος ἐπ᾽ αὐτὸν[15] ἔχων[16] ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ. **6** Καὶ ἤκουσα[17] φωνὴν ἐν μέσῳ τῶν τεσσάρων ζῴων λέγουσαν· «Χοῖνιξ σίτου δηναρίου, καὶ τρεῖς χοίνικες κριθῆς[18] δηναρίου· καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον μὴ ἀδικήσῃς.»

The fourth seal

7 Καὶ ὅτε ἤνοιξεν τὴν σφραγῖδα τὴν τετάρτην, ἤκουσα φωνὴν[19] τοῦ τετάρτου ζῴου λέγοντος,[20] «Ἔρχου.» **8** Καὶ εἶδον καὶ ἰδού,[21] ἵππος χλωρός, καὶ ὁ καθήμενος ἐπάνω αὐτοῦ, ὄνομα αὐτῷ Θάνατος,[22] καὶ ὁ Ἅδης ἀκολουθεῖ[23] μετ᾽ αὐτοῦ.[24] Καὶ ἐδόθη αὐτῷ[25] ἐξουσία ἐπὶ τὸ τέταρτον τῆς

---

[1] οτι **f**^{35} **M**^{a,b,d¼,e⅓,f,i⅔} CP,RP,HF,OC ¦ οτε **M**^{d,e⅔,g,h,i⅓} ℵA,C,NU,TR (Assimilation to the following seals?)

[2] επτα σφραγιδων **f**^{35} **M**^{a,b,d⅓,ept,f,g,h,i} A,C,CP,RP,HF,OC,NU ¦ 2 **M**^{d⅔,ept} TR ¦ 1 ℵ

[3] φωνη *rell* ¦ φωνης **M**^{e⅔} TR ¦ φωνην ℵ[+12 assorted mss] ¦ --- **M**^{d⅔} transpose

[4] ειδον (ιδον A,C) και ιδου **f**^{35} **M**^{d,ept,h,i⅓} (A,C)CP,OC,NU ¦ ιδε και ιδου **M**^{a,b,e⅓,f,i⅓} RP,HF ¦ βλεπε και ειδον και ιδου TR ¦ ιδε και ειδον (ιδον **M**^{g⅔}) και ιδου **M**^{g,i⅓} ℵ (Note that ℵ conflates the minuscule groups, so they must be older; the "Come!" was directed to the horse, not to John [since he was right there, there would be no need to address him with a thunderous roar]; each of the living beings called out a horse.)

[5] αυτον *rell* ¦ αυτω TR

[6] δευτεραν (β΄ **M**^{dpt}) σφραγιδα **f**^{35} **M**^{a,d,e¼,f,g,h⅔,i} CP,RP,HF,TR ¦ ~ 2 την 1 **M**^{b,e,h⅓} ℵA,C,OC,NU

[7] και *rell* ¦ 1 ιδε 1 ειδον 1 ιδου **M**^{b} ¦ 1 ιδε 1 ιδον 1 ιδου ℵ ¦ 1 βλεπε 1 TR

[8] πυρρος **f**^{35} **M**^{a¼,d⅓,ept,f⅔,hpt,i⅔} ℵC,CP,OC,NU,TR ¦ πυρος **M**^{a,b,c¼,d⅔,ept,f⅓,g,hpt,i⅗} A,RP,HF (πυρρος is the reading of all the more faithful members of **f**^{35}. As an unintentional error, ρρ→ρ would be much easier than ρ→ρρ.)

[9] αυτον *rell* ¦ αυτω **M**^{e} TR

[10] εκ *rell* ¦ απο **M**^{ept} TR ¦ --- **M**^{e⅓,g} A

[11] γης **f**^{35} **M**^{a,d,e⅙,f,g,h¼,i} CP,RP,HF ¦ 1 και **M**^{b,e,h} ℵA,C,OC,NU,TR

[12] σφαξωσιν *rell* ¦ σφαξουσιν A,C[+5 mss]NU ¦ κατασφαξωσιν **M**^{d}

[13] την σφραγιδα την τριτην *rell* ¦ ~ 342 [6 mss]TR ¦ --- **M**^{d} alter and transpose

[14] ειδον (ιδον A) και ιδου **f**^{35} **M**^{d,ept,h,i⅓} (A)C,CP,OC,NU ¦ ιδε 23 **M**^{a,b,e⅓,f,i⅓} RP,HF ¦ βλεπε 2123 TR ¦ ιδε 21 (ιδον **M**^{g⅔}) 23 **M**^{g,i⅓} ℵ (ℵ conflates again.)

[15] αυτον *rell* ¦ αυτω **M**^{e¼} TR

[16] αυτον *rell* ¦ αυτω **M**^{e¼} TR

[17] ηκουσα *rell* ¦ 1 ως **M**^{ept,fpt,h⅓} ℵA,C,OC,NU

[18] κριθης *rell* ¦ κριθων **M**^{e,hpt} ℵA,C,NU

[19] φωνην **f**^{35} **M**$^{d,e⅓(⅓)hpt}$ 𝔓^{24}ℵA,CP,OC,NU,TR ¦ --- **M**^{a,b,e⅓,f,g,hpt,i} C,RP,HF

[20] λεγοντος *rell* ¦ λεγουσαν TR

[21] ειδον (ιδον A,C) και ιδου **f**^{35} **M**^{d,ept,h,i⅓} (A,C)CP,OC,NU ¦ ιδε 23 **M**^{a,b,ept,f,ipt} RP,HF ¦ βλεπε 2123 TR ¦ ιδε 21 (ιδον **M**^{g}) 23 **M**^{g} ℵ (ℵ conflates again.)

[22] θανατος **f**^{35} **M**^{hpt} ℵC,CP ¦ ο 1 **M**^{a,b,d,e,f,g,hpt,i} RP,HF,OC[NU]TR ¦ ο αθανατος A (The Text does not say that Hades was on a horse.)

[23] ακολουθει **f**^{35} **M**^{d,ept} CP,TR ¦ ηκολουθει **M**^{a,b,e¼,f,h,ipt} C,RP,HF,OC,NU ¦ ηκολουθη **M**^{e¼,g,i⅓} ¦ ηκολουθι ℵ(A) (John is stating a fact of human existence: Hades follows death—so it has been for 6000 years.)

[24] μετ αυτου **f**^{35} **M**^{d,ept,g,h⅕} A,C,CP,OC,NU,TR ¦ αυτω **M**^{a,b,ept,f,h⅖,i} ℵ,RP,HF ¦ οπισω αυτου **M**^{h⅖}

[25] αυτω **f**^{35} **M**^{a,b,ept,f,g,h⅓,i⅔} CP,RP,HF,OC ¦ αυτοις **M**^{d,ept,h⅔,i⅓} ℵA,C,NU,TR (It is death that does the killing; Hades just collects the dead.)

γῆς, ἀποκτεῖναι[1] ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ, καὶ ὑπὸ τῶν θηρίων τῆς γῆς.

The fifth seal

9 Καὶ ὅτε ἤνοιξεν τὴν πέμπτην σφραγῖδα, εἶδον ὑποκάτω τοῦ θυσιαστηρίου τὰς ψυχὰς τῶν ἀνθρώπων[2] τῶν ἐσφαγμένων διὰ τὸν λόγον τοῦ Θεοῦ καὶ διὰ τὴν μαρτυρίαν τοῦ Ἀρνίου[3] ἣν εἶχον. **10** Καὶ ἔκραξαν[4] φωνῇ μεγάλῃ,[5] λέγοντες· «Ἕως πότε, ὁ Δεσπότης, ὁ ἅγιος καὶ[6] ἀληθινός, οὐ κρίνεις καὶ ἐκδικεῖς τὸ αἷμα ἡμῶν ἐκ[7] τῶν κατοικούντων ἐπὶ τῆς γῆς;» **11** Καὶ ἐδόθη[8] αὐτοῖς ἑκάστῳ[9] στολὴ λευκή,[10] καὶ ἐρρέθη αὐτοῖς ἵνα ἀναπαύσωνται[11] ἔτι χρόνον,[12] ἕως οὗ[13] πληρώσωσιν[14] καὶ οἱ σύνδουλοι αὐτῶν καὶ οἱ ἀδελφοὶ αὐτῶν,[15] οἱ μέλλοντες ἀποκτένεσθαι[16] ὡς καὶ αὐτοί.

The sixth seal

12 Καὶ εἶδον, καὶ[17] ὅτε ἤνοιξεν τὴν σφραγῖδα τὴν ἕκτην, καὶ[18] σεισμὸς μέγας ἐγένετο· καὶ ὁ ἥλιος μέλας ἐγένετο[19] ὡς σάκκος τρίχινος, καὶ ἡ σελήνη[20] ἐγένετο ὡς αἷμα. **13** Καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔπεσον[21] εἰς τὴν γῆν, ὡς συκῆ βάλλει[22] τοὺς ὀλύνθους αὐτῆς ὑπὸ μεγάλου ἀνέμου[23] σειομένη. **14** Καὶ ὁ οὐρανὸς ἀπεχωρίσθη, ὡς βιβλίον ἑλισσόμενον,[24] καὶ πᾶν ὄρος καὶ νῆσος ἐκ τῶν τόπων αὐτῶν ἐκινήθησαν.

15 Καὶ οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ μεγιστᾶνες καὶ οἱ χιλίαρχοι καὶ οἱ πλούσιοι[25] καὶ οἱ ἰσχυροί,[26] καὶ πᾶς δοῦλος καὶ πᾶς ἐλεύθερος,[27] ἔκρυψαν ἑαυτοὺς εἰς τὰ σπήλαια καὶ εἰς τὰς πέτρας

---

[1] επι το τεταρτον της γης αποκτειναι (C) *rell* ¦ ~ 612345 TR ¦ 123 μερος 456 **M**^{d}

[2] των ανθρωπων **f**^{35} **M**^{e,h⅓} א(CP) ¦ --- **M**^{a,b,d,f,g,h⅔,i} A,C,RP,HF,OC,NU,TR (Mammals also have souls, and they are excluded here.)

[3] του αρνιου **f**^{35} **M**^{a,ept,f,g,i} CP,RP,HF,OC ¦ ιησου χριστου **M**^{b} ¦ --- **M**^{d,ept,h} אA,C,NU,TR

[4] εκραξαν **f**^{35} **M**^{a,b,f,g,i} אA,C,CP,RP,HF,OC,NU ¦ εκραζον **M**^{d,e,h} TR

[5] φωνη μεγαλη **f**^{35} **M**^{a⅕,d,e,g,h,i⅗} אA,C,CP,RP,OC,NU,TR ¦ φωνην μεγαλην **M**^{a,b,f,i⅖} HF

[6] και *rell* ¦ 1 ο [10 assorted mss]OC,TR

[7] εκ **f**^{35} **M**^{a,b,f,hpt,i} אA,C,CP,RP,HF,OC,NU ¦ απο **M**^{d,e,g,hpt} TR

[8] εδοθη *rell* ¦ εδωθη **M**^{g} ¦ εδοθησαν TR

[9] αυτοις εκαστω **f**^{35} **M**^{b,e,g,h,ipt} אA,C,RP,OC,NU ¦ 1 **M**^{a,f,ipt} HF ¦ ~ 2 αυτων **M**^{d} ¦ εκαστοις TR ¦ --- (CP) [homoioteleuton] (OC is in small print.)

[10] στολη λευκη *rell* ¦ στολαι λευκαι TR ¦ --- (CP)

[11] αναπαυσωνται *rell* ¦ αναπαυσονται **M**^{d¼,ept,g⅔} A,NU

[12] ετι χρονον **f**^{35} **M**^{a,b,f,g,i⅗} CP,RP,HF ¦ 12 μικρον **M**^{d,e,h⅗,i⅓} (A)C,OC,NU,TR ¦ επι 2 μικρον א (OC is in small print.)

[13] ου **f**^{35} **M**^{d,e,i⅖} CP,TR ¦ --- **M**^{a,b,f,g,h⅗,i⅗} אA,C,RP,HF,OC,NU ¦ αν **M**^{h⅖}

[14] πληρωσωσιν **f**^{35} **M**^{a,b,d⅓,e,f,g,h,i⅔} RP,HF,OC ¦ πληρωσουσιν **M**^{d⅔,e⅙,h⅕,i⅓} ¦ πληρωθωσιν A,C,CP,NU ¦ πληρωσονται TR

[15] αυτων **f**^{35} **M**^{b,d,e⅔,g,h,i⅓} אA,C,CP,OC,NU,TR ¦ 1 και **M**^{a,e⅓,f,i⅔} RP,HF

[16] αποκτενεσθαι **f**^{35} **M**^{a⅗,d⅔,e¼,fpt,g,h⅓,i⅗} CP,RP,HF ¦ αποκτεννεσθαι **M**^{a¼,b,e⅙,fpt,h⅕,i⅕} אC,OC,NU ¦ αποκτεινεσθαι **M**$^{a⅙,d⅓,ept(e⅙)hpt,i⅕}$ A,TR (The single vowel is clearly stronger than the diphthong, and the single consonant than the double.)

[17] και **f**^{35} **M**^{e⅔} CP ¦ --- **M**^{a,b,d,e⅓,f,g,h,i} אA,C,RP,HF,OC,NU,TR (The second και is emphatic.)

[18] και *rell* ¦ 1 ιδου A,TR

[19] μελας εγενετο **f**^{35} **M**^{a,b,e⅕,f,g,i⅔} א,CP,RP,HF,OC ¦ εγενετο μελας **M**^{a⅙,d,e,h,i⅓} A,C,NU,TR

[20] σελενη **f**^{35} **M**^{a⅙,b,d¼,e,h⅖} CP,TR ¦ 1 ολη **M**^{a,d,e⅙,f,g,h⅗,i} אA,C,RP,HF,OC,NU

[21] επεσον *rell* ¦ επεσαν אA,C,OC,NU,TR

[22] βαλλει **f**^{35} **M**^{e,hpt,ipt} A,C,CP,NU,TR ¦ αποβαλλει **M**^{d} ¦ βαλλουσα **M**^{b,g⅓} א,OC ¦ βαλουσα **M**^{a,e¼,f,gpt} RP,HF (The present is stronger than the aorist.)

[23] μεγαλου ανεμου **f**^{35} **M**^{d,e} CP,TR ¦ ~ 21 **M**^{a,b,d¼,e⅕,f,g,h,i} (א)A,C,RP,HF,OC,NU (A great wind knocks down all figs.)

[24] ελισσομενον **f**^{35} **M**^{a¼,b,gpt,h⅓} A,C,CP,RP,OC,NU ¦ ειλισσομενον **M**^{b¼,d¼,e⅔} TR ¦ ελισσομενος **M**^{a,e¼,f,gpt,hpt,i⅖} א,HF ¦ ειλισσομενος **M**^{d,i⅓} (The Ionic spelling need not detain us, but what of the gender? In the context the participle modifies 'scroll', not 'sky', so the neuter is correct.)

[25] οι χιλιαρχοι και οι πλουσιοι *rell* ¦ ~ 45312 **M**^{ept,h¼} TR

[26] και οι ισχυροι *rell* ¦ 13 א ¦ --- **M**^{e⅓} ¦ 12 δυνατοι TR

[27] πας ελευθερος **f**^{35} **M**^{d,e,hpt,i⅓} CP,TR ¦ 2 **M**^{a,b,f,g,hpt,i⅔} A,C,RP,HF,OC,NU ¦ --- א (Remember Granville Sharp; since 'slave' and 'free' obviously refer to distinct groups, the adjective should be repeated.)

τῶν ὀρέων. **16** Καὶ λέγουσιν τοῖς ὄρεσιν καὶ ταῖς πέτραις· «Πέσετε[1] ἐφ᾽ ἡμᾶς καὶ κρύψατε ἡμᾶς ἀπὸ προσώπου τοῦ καθημένου ἐπὶ τοῦ θρόνου[2] καὶ ἀπὸ τῆς ὀργῆς τοῦ Ἀρνίου· **17** ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀργῆς αὐτοῦ,[3] καὶ τίς δύναται σταθῆναι;»

Parenthesis

The sealed of Israel

7:1 Καὶ[4] μετὰ τοῦτο[5] εἶδον τέσσαρας ἀγγέλους ἑστῶτας ἐπὶ τὰς τέσσαρας γωνίας τῆς γῆς, κρατοῦντας τοὺς τέσσαρας ἀνέμους τῆς γῆς, ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τῆς γῆς, μήτε ἐπὶ τῆς θαλάσσης, μήτε ἐπὶ πᾶν[6] δένδρον. **2** Καὶ εἶδον ἄλλον ἄγγελον ἀναβαίνοντα[7] ἀπὸ ἀνατολῆς ἡλίου, ἔχοντα σφραγῖδα Θεοῦ ζῶντος. Καὶ ἔκραξεν φωνῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγγέλοις, οἷς ἐδόθη αὐτοῖς ἀδικῆσαι τὴν γῆν καὶ τὴν θάλασσαν, **3** λέγων· «Μὴ ἀδικήσητε τὴν γῆν, μήτε τὴν θάλασσαν, μήτε τὰ δένδρα, ἄχρις οὗ[8] σφραγίσωμεν τοὺς δούλους τοῦ Θεοῦ ἡμῶν ἐπὶ τῶν μετώπων[9] αὐτῶν.» **4** Καὶ ἤκουσα τὸν ἀριθμὸν τῶν ἐσφραγισμένων, ἑκατὸν καὶ[10] τεσσαράκοντα τέσσαρες[11] χιλιάδες, ἐσφραγισμένοι[12] ἐκ πάσης φυλῆς υἱῶν Ἰσραήλ· **5** ἐκ φυλῆς Ἰούδα δώδεκα[13] χιλιάδες ἐσφραγισμένοι,[14] ἐκ φυλῆς Ῥουβὶμ[15] δώδεκα[16] χιλιάδες,[17] ἐκ φυλῆς Γὰδ δώδεκα χιλιάδες, **6** ἐκ φυλῆς Ἀσὴρ δώδεκα χιλιάδες, ἐκ φυλῆς Νεφθαλεὶμ[18] δώδεκα χιλιάδες, ἐκ φυλῆς Μανασσῆ δώδεκα χιλιάδες, **7** ἐκ φυλῆς Συμεὼν δώδεκα χιλιάδες, ἐκ φυλῆς Λευὶ δώδεκα χιλιάδες, ἐκ φυλῆς Ἰσάχαρ[19] δώδεκα χιλιάδες, **8** ἐκ φυλῆς Ζαβουλὼν δώδεκα χιλιάδες, ἐκ φυλῆς Ἰωσὴφ δώδεκα χιλιάδες, ἐκ φυλῆς Βενιαμὶν δώδεκα χιλιάδες ἐσφραγισμένοι.[20]

A multitude from the Great Tribulation

9 Μετὰ ταῦτα εἶδον καὶ ἰδού, ὄχλος πολὺς ὃν ἀριθμῆσαι[21] οὐδεὶς ἐδύνατο,[22] ἐκ παντὸς ἔθνους καὶ φυλῶν καὶ λαῶν καὶ γλωσσῶν, ἑστῶτες[23] ἐνώπιον τοῦ Θρόνου καὶ ἐνώπιον τοῦ Ἀρνίου,

---

[1] πεσετε *rell* ¦ πεσατε **M**^{dpt,gpt,h⅓} A,OC ¦ πεσεται **M**^{e⅓,i⅓} ℵC

[2] του θρονου **f**^{35} **M**^{a⅕,d,e,gpt,h,i⅔} A,C,CP,RP,OC,NU,TR ¦ τω θρονω **M**^{a,b,f,gpt,i⅓} ℵ,HF (As far as the speakers are concerned, the One on the throne is leaning forward, taking an active interest in the proceedings [genitive].)

[3] αυτου *rell* ¦ αυτων **M**^{hpt} ℵC,NU

[4] και *rell* ¦ --- **M**^{h¼} A,C,NU

[5] τουτο **f**^{35} **M**^{a,b,f,g,h,i} ℵA,C,CP,RP,HF,OC,NU ¦ ταυτα **M**^{a⅙,d,e,i¼} TR

[6] παν **f**^{35} **M**^{d,e,hpt} ℵ,CP,OC,NU,TR ¦ τι **M**^{a,b,f,g,hpt,i} C,RP,HF ¦ --- A

[7] αναβαινοντα *rell* ¦ αναβαντα TR

[8] αχρις ου **f**^{35} **M**^{a,b,ept,f,g,h,i} CP,HF,OC,TR ¦ 1 αν **M**^{d} ¦ 1 ℵ ¦ αχρι **M**^{ept,h¼} A,C,NU ¦ αχρι 2 RP

[9] μετωπων *rell* ¦ μετοπων **M**^{a⅕,e⅓,h¼,i⅓} CP

[10] εκατον και **f**^{35} **M**^{a⅖,b,f⅗,g¼,hpt,i⅖} C,CP,RP,HF ¦ 1 **M**^{a⅛,d⅓,ept,f¼,gpt,h⅕,i⅕} ℵA,OC,NU ¦ ρ΄ **M**^{a½,d⅔,e⅓,g¼,h⅕,i⅓} TR ¦ --- **M**^{a⅓,e⅙,f⅙}

[11] τεσσαρακοντα τεσσαρες **f**^{35} **M**^{apt,b,d⅓,ept,f,g,h,i⅗} (A)CP,RP,HF,OC ¦ τεσσερακοντα 2 (−2 ℵ) (ℵ)C,NU ¦ μδ΄ **M**^{a½,d⅔,e⅓,g¼,h⅕,i⅓} TR ¦ --- **M**^{a⅓,e⅙,f⅙}

[12] εσφραγισμενοι **f**^{35} **M**^{d⅓,e,h,ipt} ℵA,C,CP,OC,NU,TR ¦ εσφραγισμενων **M**^{apt,b,d⅔,f,g,ipt} RP,HF ¦ --- **M**^{a⅓,e⅙} (The nominative is presumably correct, the genitive being an assimilation to the same form earlier in the verse.)

[13] δωδεκα **f**^{35⅔} **M**^{apt,b,dpt,e⅔,f,hpt,i⅗} ℵA,C,CP,RP,HF,OC,NU ¦ ιβ΄ **f**^{35⅗} **M**^{apt,dpt,e⅓,g,hpt,i⅖} TR

[14] εσφραγισμενοι **f**^{35} **M**^{a⅙,b,d,e,g⅔,h,ipt} ℵA,C,CP,OC,NU,TR ¦ εσφραγισμεναι **M**^{a,e⅙,f,g⅓,ipt} RP,HF

[15] ρουβιμ **f**^{35} **M**^{apt,b¼,d,e,gpt,h⅓,ipt} RP,HF ¦ ρουβειμ **M**^{b¼,c⅓,fpt} ¦ ρουβ(ε)ιν **M**^{a⅙,b⅓,f⅓,h⅓} CP ¦ ρουβην **M**^{a¼,f¼,gpt,h⅓,ipt} ℵA,C,OC,NU,TR (Over half of the **f**^{35⅓} are from one monastery.)

[16] δωδεκα **M**^{a⅓,b,ept,f,hpt,ipt} ℵA,C,CP,RP,HF,OC,NU ¦ ιβ΄ **f**^{35} **M**^{a⅔,d,ept,g,hpt,ipt} TR (A similar statement obtains for all the following tribes.)

[17] χιλιαδες **f**^{35} **M**^{a,b,d,e,f,g,h,i} ℵA,C,CP,RP,HF,OC,NU ¦ 1 εσφραγισμενοι **M**^{a½,e⅙} TR (This statement obtains for all the remaining tribes except the last, Benjamin, with the further exception that **d, e**^{⅓}, **g**^{pt} side with TR for Ruben [only].)

[18] νεφθαλειμ *rell* ¦ νεφθαλιμ [22 assorted mss]A,NU ¦ νεφθαλι ℵ ¦ νεφθαλιν C ¦ νεφθαλημ [20 assorted mss]

[19] ισαχαρ *rell* ¦ ισσαχαρ [21 assorted mss]ℵA,OC,NU

[20] εσφραγισμενοι **f**^{35} **M**^{a⅓,b,d,ept,f¼,g¼,h,i⅗} ℵA,C,CP,OC,NU,TR ¦ εσφραγισμεναι **M**^{a⅔,e⅕,f,g,h¼,i⅖} RP,HF ¦ --- **M**^{e⅓}

[21] αριθμησαι **f**^{35} **M**^{a,b,d,e⅖,f,g,h⅓,i} CP,RP,HF ¦ 1 αυτον **M**^{e⅗,g⅕,h⅔,i⅕} ℵA,C,OC,NU,TR

[22] εδυνατο **f**^{35} **M**^{a,f,g,hpt,i⅗} ℵA,C,CP,RP,HF,OC,NU ¦ ηδυνατο **M**^{b,d,e,hpt,i⅖} TR

[23] εστωτες **f**^{35} **M**^{a⅛,d⅓,e,ipt} ℵA,CP,NU,TR ¦ εστωτας **M**^{a,b,d⅔,f,g,hpt,ipt} RP,HF,OC ¦ εστωτων **M**^{e¼,h⅓} C (The nominative is correct; it agrees with οχλος.)

περιβεβλημένοι[1] στολὰς λευκάς, καὶ φοίνικας[2] ἐν ταῖς χερσὶν αὐτῶν. **10** Καὶ κράζουσιν[3] φωνῇ μεγάλῃ, λέγοντες, «Ἡ σωτηρία τῷ Θεῷ ἡμῶν[4] τῷ καθημένῳ ἐπὶ τῷ θρόνῳ,[5] καὶ τῷ Ἀρνίῳ.»

11 Καὶ πάντες οἱ ἄγγελοι εἱστήκεισαν[6] κύκλῳ τοῦ θρόνου, καὶ τῶν πρεσβυτέρων καὶ τῶν τεσσάρων ζῴων, καὶ ἔπεσον[7] ἐνώπιον τοῦ θρόνου[8] ἐπὶ τὰ πρόσωπα[9] αὐτῶν καὶ προσεκύνησαν τῷ Θεῷ, **12** λέγοντες· «Ἀμήν· ἡ εὐλογία καὶ ἡ δόξα καὶ ἡ σοφία καὶ ἡ εὐχαριστία καὶ ἡ τιμὴ καὶ ἡ δύναμις καὶ ἡ ἰσχὺς τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.»

13 Καὶ ἀπεκρίθη εἷς ἐκ τῶν πρεσβυτέρων, λέγων μοι, «Οὗτοι οἱ περιβεβλημένοι τὰς στολὰς τὰς λευκάς, τίνες εἰσίν, καὶ πόθεν ἦλθον;» **14** Καὶ εἶπον[10] αὐτῷ, «Κύριέ μου,[11] σὺ οἶδας.» Καὶ εἶπέν μοι· «Οὗτοί εἰσιν οἱ ἐρχόμενοι ἐκ τῆς θλίψεως τῆς μεγάλης, καὶ ἔπλυναν[12] τὰς στολὰς αὐτῶν καὶ ἐλεύκαναν αὐτὰς[13] ἐν τῷ αἵματι τοῦ Ἀρνίου. **15** Διὰ τοῦτό εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ, καὶ λατρεύουσιν αὐτῷ ἡμέρας καὶ νυκτὸς ἐν τῷ ναῷ αὐτοῦ. Καὶ ὁ καθήμενος ἐπὶ τῷ θρόνῳ[14] σκηνώσει ἐπ᾽ αὐτούς. **16** Οὐ πεινάσουσιν ἔτι, οὐδὲ διψήσουσιν ἔτι·[15] οὐδ᾽ οὐ[16] μὴ πέσῃ ἐπ᾽ αὐτοὺς ὁ ἥλιος, οὐδὲ πᾶν καῦμα· **17** ὅτι τὸ Ἀρνίον τὸ ἀνὰ μέσον τοῦ θρόνου ποιμαίνει[17]

---

[1] περιβεβλημενοι **f**^{35} **M**^{d⅔,e,h⅓,ipt} CP,TR ¦ περιβεβλημενους **M**^{a,b,d⅓,e¼,f,g,h⅔,ipt} ℵA,C,RP,HF,OC,NU (The nominative is correct; it agrees with οχλος.)

[2] φοινικας **f**^{35} **M**^{a,d,f,g⅗,i} ℵ,RP,HF ¦ φοινικες **M**^{b,d¼,e,g⅖,h} A,C,CP,OC,NU,TR (The accusative is correct, being the direct object of the implicit verb.)

[3] κραζουσιν *rell* ¦ κραζοντες TR

[4] τω θεω ημων *rell* ¦ του θεου 3 A ¦ 23 **M**$^{e2/7}$ ¦ --- TR

[5] τω θρονω **f**^{35} **M**^{a,b,e⅖,f,gpt,hpt,ipt} ℵA,C,RP,HF,NU ¦ του θρονου **M**^{c⅓} OC ¦ του θρονου του θεου ημων **M**$^{a¼,d,e2/7,gpt,hpt,ipt}$ CP,TR ¦ του θρονου θεω ημων **M**$^{e2/7}$ (The Father is firmly seated, dative. Almost all of the **M**^{c⅓} are among the least faithful members of the family, but they are followed by OC.)

[6] ειστηκεισαν *rell* ¦ εστηκεσαν TR ¦ ιστηκεισαν A ¦ εστηκισαν C ¦ ιστηκισαν ℵ ¦ at least 10 further spellings

[7] επεσον *rell* ¦ επεσαν **M**^{a¼,e¼,g} ℵA,C,OC,NU

[8] θρονου **f**^{35} **M**^{a⅙,d,e,h,ipt} ℵA,C,CP,RP,OC,NU,TR ¦ 1 αυτου **M**^{a,b,f,g,ipt} HF (Here is a clear example that **a,b,f,g,i** share a common influence, vouching for an infelicitous gloss.)

[9] τα προσωπα *rell* ¦ προσωπον **M**^{e⅕} TR

[10] ειπον **f**^{35} **M**^{a,b,f,g,hpt,i} CP,RP,HF ¦ ειρηκα **M**^{d,e,hpt} ℵA,OC,NU,TR

[11] μου *rell* ¦ --- **M**^{e⅓} A,TR

[12] επλυναν *rell* ¦ επλατυναν **M**^{a⅔}

[13] αυτας **f**^{35} **M**^{d,e,h,i¼} ℵA,CP,OC,NU ¦ --- **M**^{a,b,f,g,i} RP,HF ¦ στολας αυτων TR (Another clear example of a common influence for **a,b,f,g,i**.)

[14] τω θρονω **f**^{35} **M**$^{a,e2/7,f,g,ipt}$ CP,RP,HF ¦ του θρονου **M**^{a⅙,b,d,e,h,ipt} ℵA,OC,NU,TR (He is still firmly seated, dative.)

[15] ετι *rell* ¦ --- **M**^{b,e⅔,h,i⅓}

[16] ουδ᾽ ου **f**^{35} **M**^{a,b,d¼,e⅔,f,g,h⅔,i⅔} CP,RP,HF,OC ¦ ουδε **M**^{d,e⅓,h⅓,i⅓} ℵA,NU,TR

[17] ποιμαινει **f**^{35} **M**^{a,b,f,i⅖} RP,HF,OC ¦ ποιμανει **f**^{35pt} **M**^{a¼,d,e,g,h,i⅗} ℵA,CP,NU,TR (This one is complicated. Present tense, or future? Verse 17 gives the reason for the blessings described in verse 16, where the verbs are future, as is the last verb in verse 17; so where did the present tense come from? It is because the Lamb shepherds them that they will have the blessings. However, the future tense also makes sense; so much so that if the Text had always been future, the present would not have been used; the pressure of the surrounding verbs is toward the future. The present tense is attested by 15 MSS, plus 15 alternates; but it loses one alternate, so if we follow the alternates, we have 29 to 15 in favor of the present, just the opposite of the result without the alternates. The use of the alternates shows us how seriously the copyists took their task; they were aware of the doubt and conscientiously passed it on to their readers. Everything considered, I take it that the first form reproduces the archetype, although there is doubt. The difference is of only one letter, and the point that is being made is not altered. The better representatives of **f**^{35} have the present tense.)

αὐτοὺς καὶ ὁδηγεῖ[1] αὐτοὺς ἐπὶ ζωῆς[2] πηγὰς ὑδάτων. Καὶ ἐξαλείψει ὁ Θεὸς πᾶν δάκρυον ἐκ[3] τῶν ὀφθαλμῶν αὐτῶν.»

The <u>seventh</u> seal

8:1 Καὶ ὅτε[4] ἤνοιξεν τὴν σφραγῖδα τὴν ἑβδόμην, ἐγένετο σιγὴ ἐν τῷ οὐρανῷ ὡς ἡμιώριον. **2** Καὶ εἶδον τοὺς ἑπτὰ ἀγγέλους οἳ ἐνώπιον τοῦ Θεοῦ ἑστήκασιν, καὶ ἐδόθησαν αὐτοῖς ἑπτὰ σάλπιγγες.

3 Καὶ ἄλλος ἄγγελος ἦλθεν καὶ ἐστάθη ἐπὶ τοῦ θυσιαστηρίου,[5] ἔχων λιβανωτὸν χρυσοῦν. Καὶ ἐδόθη αὐτῷ θυμιάματα πολλὰ ἵνα δώσει[6] ταῖς προσευχαῖς τῶν ἁγίων πάντων ἐπὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν τὸ ἐνώπιον τοῦ θρόνου. **4** Καὶ ἀνέβη ὁ καπνὸς τῶν θυμιαμάτων ταῖς προσευχαῖς τῶν ἁγίων ἐκ χειρὸς τοῦ ἀγγέλου ἐνώπιον τοῦ Θεοῦ. **5** Καὶ εἴληφεν ὁ ἄγγελος τὸν λιβανωτὸν καὶ ἐγέμισεν αὐτὸν ἐκ τοῦ πυρὸς τοῦ θυσιαστηρίου καὶ ἔβαλεν εἰς τὴν γῆν. Καὶ ἐγένοντο φωναὶ καὶ βρονταὶ καὶ ἀστραπαὶ[7] καὶ σεισμός. **6** Καὶ οἱ ἑπτὰ ἄγγελοι οἱ ἔχοντες τὰς ἑπτὰ σάλπιγγας ἡτοίμασαν ἑαυτοὺς[8] ἵνα σαλπίσωσιν.

The <u>first</u> trumpet

7 Καὶ ὁ πρῶτος[9] ἐσάλπισεν, καὶ ἐγένετο χάλαζα καὶ πῦρ μεμιγμένα ἐν[10] αἵματι, καὶ ἐβλήθη εἰς τὴν γῆν, καὶ τὸ τρίτον τῆς γῆς κατεκάη·[11] καί, τὸ τρίτον τῶν δένδρων κατεκάη[12] καὶ πᾶς χόρτος χλωρὸς κατεκάη.

The <u>second</u> trumpet

8 Καὶ ὁ δεύτερος ἄγγελος ἐσάλπισεν, καὶ ὡς ὄρος μέγα[13] καιόμενον ἐβλήθη εἰς τὴν θάλασσαν, καὶ ἐγένετο τὸ τρίτον τῆς θαλάσσης αἷμα. **9** Καὶ ἀπέθανεν τὸ τρίτον τῶν κτισμάτων[14] ἐν τῇ θαλάσσῃ, τὰ ἔχοντα ψυχάς. Καὶ τὸ τρίτον τῶν πλοίων διεφθάρησαν.[15]

---

[1] οδηγει **f**^{35} **M**^{a,b,f,g,i⅖} RP,HF ¦ οδηγησει **f**^{35pt} **M**^{d,e,h,i⅗} ℵA,CP,OC,NU,TR (I consider this to be the most difficult puzzle in the book. Present tense, or future? ‘To guide them’ is linked to ‘to shepherd them’ by ‘and’ and should be in the same tense, unless you put a comma between them. However, the attestation for the future is now 75%, which is normally determinative. Also, the number of alternates drops from 15 to 9—with the alternates the present tense has 20, which is less than half. But again, I ask: where did the present tense come from? Here the future tense makes even better sense than in the prior case; so much so that if the Text had always been future, the present would not have been used (in fact, four MSS switched sides). Also, this verb is still answering the ‘because’ at the beginning of the verse (unless you put a comma between the verb phrases). The ‘thirst’ in verse 16 is presumably physical, and for that you need ordinary water, not ‘waters of life’. Might ‘waters of life’ solve heat and hunger as well? All said and done, we have three options: ‘He shepherds and leads’, ‘He shepherds, and will lead’ or ‘He will shepherd and lead’. Take your choice. I take the first one, but no matter which one we take, the point of the passage remains the same. None of the original wording has been lost. The better representatives of **f**^{35} have the present tense.)

[2] ζωης *rell* ¦ ζωσας **M**^{e⅔,hpt} TR

[3] εκ *rell* ¦ απο **M**^{d} ℵ,TR

[4] οτε *rell* ¦ οταν A,C,NU

[5] του θυσιαστηριου *rell* ¦ το θυσιαστηριον **M**^{ept} A,TR ¦ 1 θυσιαστηριον C

[6] δωσει **f**^{35} **M**^{a⅖,b,d,e⅓,f⅓,h⅓,i⅗} ℵA,HF,OC,NU ¦ δωση **M**^{a⅗,b¼,c¼,d¼,e⅔,f⅔,g,h⅓,i⅖} CP,RP,TR (The generalized splitting suggests that the ‘norm’ of subjunctive with ινα was at work in the minds of the copyists; but the indicative isn’t all that infrequent, and in this case presumably emphasizes certainty.)

[7] φωναι και βρονται και αστραπαι **f**^{35} **M**^{a½,d,e,ipt} CP,TR ¦ ~ 12543 **M**^{gpt} ¦ ~ 32145 **M**^{a,b,f,g⅓,h¼,ipt} 𝔓^{115}ℵ,RP,HF,OC,NU ¦ ~ 32541 **M**^{hpt} A

[8] εαυτους *rell* ¦ αυτους ℵA,NU

[9] πρωτος **f**^{35} **M**^{a,b,e⅓,f,g,hpt,i} ℵA,CP,RP,HF,OC,NU ¦ 1 αγγελος **M**^{d,e⅔,hpt,i¼} TR

[10] εν *rell* ¦ --- **M**^{e} TR

[11] και το τριτον της γης κατεκαη *rell* ¦ --- TR

[12] και το τριτον των δενδρων κατεκαη *rell* ¦ --- [15 assorted mss]CP

[13] μεγα **f**^{35} **M**$^{a,e2/7,f,g,i⅔}$ CP,RP,HF ¦ 1 πυρι **M**^{b,d,e,h,i⅓} ℵA,OC,NU,TR (OC is in small print.)

[14] κτισματων **f**^{35} **M**^{a,d,ept,f,g,h¼,i} CP,RP,HF ¦ 1 των **M**^{b,d⅕,ept,h,i¼} ℵ,OC,NU,TR

[15] διεφθαρησαν **f**^{35} **M**^{d,e⅓,h¼} ℵ(A)CP,NU ¦ διεφθαρη **M**^{a,b,e⅔,f,g,h,i} RP,HF,OC,TR (*ad sensum*, or not?)

The third trumpet

10 Καὶ ὁ τρίτος ἄγγελος ἐσάλπισεν, καὶ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἀστὴρ μέγας, καιόμενος ὡς λαμπάς, καὶ ἔπεσεν ἐπὶ τὸ τρίτον τῶν ποταμῶν καὶ ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων. **11** Καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται ὁ Ἄψινθος.[1] Καὶ ἐγένετο[2] τὸ τρίτον τῶν ὑδάτων εἰς ἄψινθον, καὶ πολλοὶ τῶν ἀνθρώπων ἀπέθανον ἐκ τῶν ὑδάτων ὅτι ἐπικράνθησαν.

The fourth trumpet

12 Καὶ ὁ τέταρτος ἄγγελος ἐσάλπισεν, καὶ ἐπλήγη τὸ τρίτον τοῦ ἡλίου καὶ τὸ τρίτον τῆς σελήνης καὶ τὸ τρίτον τῶν ἀστέρων, ἵνα σκοτισθῇ τὸ τρίτον αὐτῶν· καὶ ἡ ἡμέρα μὴ φαινῇ τὸ τρίτον αὐτῆς,[3] καὶ ἡ νὺξ ὁμοίως.

13 Καὶ εἶδον καὶ ἤκουσα ἑνὸς ἀετοῦ,[4] πετομένου[5] ἐν μεσουρανήματι, λέγοντος φωνῇ μεγάλῃ τρίς·[6] «Οὐαί, οὐαί, οὐαὶ τοῖς κατοικοῦσιν[7] ἐπὶ τῆς γῆς, ἐκ τῶν λοιπῶν φωνῶν τῆς σάλπιγγος τῶν τριῶν ἀγγέλων τῶν μελλόντων σαλπίζειν.»

The **fifth** trumpet

9:1 Καὶ ὁ πέμπτος ἄγγελος ἐσάλπισεν, καὶ εἶδον ἀστέρα ἐκ τοῦ οὐρανοῦ πεπτωκότα εἰς τὴν γῆν. Καὶ ἐδόθη αὐτῷ ἡ κλεὶς τοῦ φρέατος τῆς Ἀβύσσου. **2** Καὶ ἤνοιξεν τὸ φρέαρ τῆς Ἀβύσσου,[8] καὶ ἀνέβη καπνὸς ἐκ τοῦ φρέατος ὡς καπνὸς καμίνου καιομένης·[9] καὶ ἐσκοτίσθη[10] ὁ ἥλιος καὶ ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ τοῦ φρέατος. **3** Καὶ ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες εἰς τὴν γῆν. Καὶ ἐδόθη αὐταῖς ἐξουσία ὡς ἔχουσιν ἐξουσίαν οἱ σκορπίοι τῆς γῆς. **4** Καὶ ἐρρέθη αὐταῖς ἵνα μὴ ἀδικήσωσιν[11] τὸν χόρτον τῆς γῆς οὐδὲ πᾶν χλωρὸν οὐδὲ πᾶν δένδρον, εἰ μὴ τοὺς ἀνθρώπους μόνους[12] οἵτινες οὐκ ἔχουσιν τὴν σφραγῖδα τοῦ Θεοῦ ἐπὶ τῶν μετώπων αὐτῶν.[13] **5** Καὶ ἐδόθη αὐταῖς[14] ἵνα μὴ ἀποκτείνωσιν αὐτούς, ἀλλ᾽ ἵνα βασανισθῶσιν[15] μῆνας πέντε. Καὶ ὁ βασανισμὸς αὐτῶν ὡς βασανισμὸς σκορπίου ὅταν πλήξῃ[16] ἄνθρωπον. **6** Καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ζητοῦσιν[17] οἱ ἄνθρωποι τὸν θάνατον, καὶ οὐ μὴ εὑρήσουσιν[18] αὐτόν· καὶ ἐπιθυμήσουσιν

---

[1] ο αψινθος *rell* ¦ 2 **M**^{e⅔,g⅓} TR ¦ αψινθιον א

[2] εγενετο *rell* ¦ γινεται **M**^{ept} TR ¦ λεγεται και εγενετο א

[3] η ημερα (+ινα **M**^{d}) μη φαινη (ουκ εφαινεν **M**^{b}) (φανη **M**^{h} אA,NU) το τριτον (τεταρτον A) αυτης **f**^{35} **M**^{b,d,e,h,ipt} (א)A)CP(NU)TR ¦ ~ 567 (αυτων **M**^{apt}) μη φανη 12 **M**^{a,f,g,ipt} RP,HF,OC

[4] αετου **f**^{35} **M**^{a,b,e⅓,f,gpt,h,i⅔} **𝔓**^{115}אA,CP,RP,HF,OC,NU ¦ αγγελου **M**^{d,e⅔,gpt,i⅓} TR

[5] πετομενου *rell* ¦ πετωμενου [24 assorted mss] TR

[6] τρις **f**^{35} **M**^{d,e⅙,gpt} CP ¦ --- **M**^{a,b,e,f,gpt,h,i} אA,RP,HF,OC,NU,TR (Who would have added τρις; why?)

[7] τοις κατοικουσιν **f**^{35} **M**^{d,e,g⅔,h⅔,ipt} A,CP,RP,TR ¦ τους κατοικουντας **M**^{a,b,f,g⅓,h⅓,ipt} א,HF,OC,NU (The dative is presumably correct.)

[8] και ηνοιξεν το φρεαρ της αβυσσου **f**^{35} **M**^{b,d,e,g,h,ipt} A,CP,RP,HF,OC,NU,TR ¦ --- **M**^{a,e⅓,f,h¼,ipt} א (OC is in small print.)

[9] καιομενης **f**^{35} **M**^{a,b,f,g,ipt} RP,HF,OC ¦ μεγαλης **M**^{d,e,hpt,ipt} אA,CP,NU,TR ¦ μεγαλης καιομενης **M**^{hpt}

[10] εσκοτισθη *rell* ¦ εσκοτωθη A,0207,NU

[11] αδικησωσιν *rell* ¦ αδικησουσιν A,NU

[12] μονους **f**^{35} CP,TR ¦ --- **M**^{a,b,d,e,f,g,h,i} אA,RP,HF,OC,NU (The adjective emphasizes that it is only those without God's mark; all greenery has already been excluded, and here people with God's mark are expressly excluded.)

[13] αυτων **f**^{35} **M**^{a,b,e⅔,f,g,h,i} CP,RP,HF,OC,TR ¦ --- **M**^{d,e⅓,h¼} אA,NU

[14] αυταις *rell* ¦ αυτοις **M**^{e⅓,gpt} אA,NU

[15] βασανισθωσιν *rell* ¦ βασανισθησονται **M**$^{e⅔(⅙)}$ אA,NU

[16] πληξη **f**^{35} CP ¦ παιση **f**^{35pt} **M**^{a,b,d⅗,e,f,g⅓,h,i} RP,HF,OC,NU,TR ¦ πεση **M**$^{a⅙,b2/7,g⅔,h2/7}$ אA (The verbs are different. It is difficult to imagine medieval monks changing the familiar παιση to πληξη; on what basis would they do so? On the other hand, the unfamiliar πληξη could be changed to παιση (and even πεση), early on. πλησσω having been used with the 2nd aorist in 8:12 above, the 1st aorist, that we have here, would be unexpected. πλησσω is used for sudden, violent strikes, like from lightning or God's wrath; it is used expressly of a scorpion's sting in the 1st century AD [Sammelb. 1267.6]. In this context πληξη is precisely appropriate, although the difference in meaning is slight; a single translation covers both. Besides 23 MSS, the first form has 11 alternates and 2 corrections, which puts it well ahead.)

[17] ζητουσιν **f**^{35} **M**^{a⅓,f⅓} CP ¦ ζητησουσιν **M**^{a⅔,b,c⅕,d,e,f⅔,g,h} אA,RP,HF,OC,NU,TR

[18] ου μη ευρησουσιν **f**^{35} **M**^{a⅔,ept,f,g⅓,h⅓,ipt} א,CP,RP,HF,OC,NU ¦ 12 ευρησωσιν **M**^{a⅕,gpt} ¦ 12 ευρωσιν **M**^{b,d,ept,h⅓,ipt} A ¦ ουχ 3 **M**^{h¼} TR

ἀποθανεῖν, καὶ φεύξεται[1] ἀπ᾽ αὐτῶν ὁ θάνατος.[2]

7 Καὶ τὰ ὁμοιώματα τῶν ἀκρίδων ὅμοια ἵπποις ἡτοιμασμένοις εἰς πόλεμον, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν ὡς στέφανοι χρυσοῖ,[3] καὶ τὰ πρόσωπα αὐτῶν ὡς πρόσωπα ἀνθρώπων. **8** Καὶ εἶχον τρίχας ὡς τρίχας γυναικῶν, καὶ οἱ ὀδόντες αὐτῶν ὡς λεόντων ἦσαν. **9** Καὶ εἶχον θώρακας ὡς θώρακας σιδηροῦς, καὶ ἡ φωνὴ τῶν πτερύγων αὐτῶν ὡς φωνὴ ἁρμάτων ἵππων πολλῶν τρεχόντων εἰς πόλεμον. **10** Καί, ἔχουσιν οὐρὰς ὁμοίας σκορπίοις, καὶ κέντρα, καὶ[4] ἐν ταῖς οὐραῖς αὐτῶν. Ἐξουσίαν ἔχουσιν τοῦ[5] ἀδικῆσαι τοὺς ἀνθρώπους μῆνας πέντε, **11** ἔχουσαι βασιλέα ἐπ᾽ αὐτῶν[6] ἄγγελον τῆς Ἀβύσσου—ὄνομα αὐτῷ Ἑβρα�ϊστὶ Ἀββαδδών,[7] ἐν δὲ[8] τῇ Ἑλληνικῇ ὄνομα ἔχει Ἀπολλύων.

12 Ἡ οὐαὶ ἡ μία ἀπῆλθεν. Ἰδού, ἔρχεται[9] ἔτι δύο οὐαὶ μετὰ ταῦτα.

The sixth trumpet

13 Καὶ ὁ ἕκτος ἄγγελος ἐσάλπισεν, καὶ ἤκουσα φωνὴν μίαν ἐκ τῶν τεσσάρων[10] κεράτων τοῦ θυσιαστηρίου τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ Θεοῦ, **14** λέγουσαν[11] τῷ ἕκτῳ ἀγγέλῳ, ὁ ἔχων[12] τὴν σάλπιγγα, «Λῦσον τοὺς τέσσαρας ἀγγέλους τοὺς δεδεμένους ἐπὶ τῷ ποταμῷ τῷ μεγάλῳ Εὐφράτῃ.» **15** Καὶ ἐλύθησαν οἱ τέσσαρες ἄγγελοι—οἱ ἡτοιμασμένοι εἰς τὴν ὥραν καὶ τὴν ἡμέραν[13] καὶ μῆνα καὶ ἐνιαυτόν—ἵνα ἀποκτείνωσιν τὸ τρίτον τῶν ἀνθρώπων. **16** Καὶ ὁ ἀριθμὸς τῶν[14] στρατευμάτων τοῦ ἵππου[15] μυριάδες[16] μυριάδων (ἤκουσα[17] τὸν ἀριθμὸν αὐτῶν). **17** Καὶ οὕτως εἶδον τοὺς ἵππους ἐν τῇ ὁράσει· καὶ τοὺς καθημένους ἐπ᾽ αὐτῶν, ἔχοντας θώρακας πυρίνους καὶ ὑακινθίνους καὶ θειώδεις· καὶ αἱ κεφαλαὶ τῶν ἵππων ὡς κεφαλαὶ λεόντων· καὶ ἐκ τῶν στομάτων αὐτῶν ἐκπορεύεται πῦρ καὶ καπνὸς καὶ θεῖον. **18** Ἀπὸ[18] τῶν τριῶν πληγῶν τούτων ἀπεκτάνθησαν τὸ τρίτον

---

[1] φευξεται *rell* ¦ φευγει **M**^{e⅔,h⅔} A,NU ¦ φυγη **א**

[2] απ αυτων ο θανατος **f**^{35} **M**^{a,b,f,gpt,i} CP,RP,HF,OC ¦ ~ 3412 **M**^{d,e,h} **א**A,NU,TR ¦ 12 **M**^{gpt}

[3] χρυσοι **f**^{35} **M**^{a,f,g,i} 0207,CP,RP,HF ¦ ομοιοι χρυσω **M**^{b,d,e,h} A,NU,TR ¦ ομοιοι χρυσιω OC ¦ ομοιοι **א**

[4] και **f**^{35} **M**^{a,f,gpt,h⅔,i} **א**A,CP,RP,HF,OC,NU ¦ --- **M**^{a⅙,b,d,e,gpt,h⅓} ¦ ην TR

[5] εξουσιαν εχουσιν του **f**^{35} **M**$^{a,gpt(pt),h⅓,i⅔}$ CP,RP,HF,OC ¦ 12 **M**^{d⅓,f,i⅓} ¦ και 12 **M**^{d⅔} ¦ και η εξουσια αυτων **M**^{e} TR ¦ η εξουσια αυτων **M**^{b,e⅙,h⅔} **𝔓**^{47}**א**A(0207)NU

[6] εχουσαι βασιλεα επ αυτων **f**^{35} **M**$^{a,f,gpt(pt),i}$ CP,RP,HF ¦ εχουσι 234 τον OC ¦ και εχουσιν 234 **M**^{b} ¦ ~ και (**𝔓**^{47}A,NU[and some of the cursives]) εχουσιν 342 τον **M**^{d,e,h,i¼} (**𝔓**^{47}A)(NU) ¦ ~ και εχουσιν εφ 42 τον TR ¦ εχουσιν εαυτων τον 2 τον **א**

[7] αββαδδων **f**^{35} ¦ αββαδων **f**^{35pt} **M**^{a¼,d,e⅔,f} CP,RP,HF ¦ αββααδων **M**^{a⅙,bpt} ¦ αββααδδων **M**^{a¼,g⅓} ¦ αβαδδων **M**^{bpt,e¼,gpt,hpt,ipt} **א**A,OC,NU,TR ¦ βαττων **𝔓**^{47} (There are some 25 variants, half being singular readings. There are three basic questions: how many ‘betas’, ‘alphas’ and ‘deltas’. The evidence looks like this: ββ – **f**^{35}**M**^{apt,bpt,d,e⅔,f,g⅓,h¼,i⅔} VS β – **M**^{apt,bpt,e⅓,g⅔,h,i⅓} **𝔓**^{47}**א**A; αα – **M**^{apt,bpt,g⅓,h¼} VS α – **f**^{35}**M**^{apt,bpt,d,e,f,g⅔,h,i} **𝔓**^{47}**א**A; δδ – **f**^{35⅗}**M**^{a¼,bpt,e¼,g⅔,hpt,ipt} (**𝔓**^{47})**א**A VS δ – **f**^{35⅖}**M**^{a,bpt,d,e,f,g⅓,hpt,ipt}. Putting it all together, the single vowel appears certain; the evidence for the double ‘beta’ is stronger, as also for the single ‘delta’, except that almost all of the better representatives of **f**^{35} have the double delta, while most of the least faithful ones show the single delta, so there is little question but that the family archetype read two deltas, that also have a better geographical distribution. The Hebrew has a double δ but a single β, the reading of OC,NU,TR, but the evidence for ββ is quite strong—probably the archetypal spelling for all three main lines of transmission.)

[8] εν δε **f**^{35} **M**^{a,b,d,f,g,i} CP,RP,HF,OC ¦ ~ και 1 **M**^{e,h} **𝔓**^{47}**א**A,NU,TR

[9] ερχεται **f**^{35} **M**^{a,e⅓,f,g,h⅖,i⅗} **𝔓**^{47}**א**A,CP,RP,HF,NU ¦ ερχονται **M**^{a⅙,b,d,e⅔,h⅗,i⅖} 0207,OC,TR

[10] τεσσαρων *rell* [NU] ¦ --- **M**^{d,h⅓} **𝔓**^{47}A,0207 ¦ **א** omits five words

[11] λεγουσαν **f**^{35} **M**^{a¼,b,d,e,gpt,h⅗,i¼} **𝔓**^{47}0207,CP,RP,TR ¦ λεγοντος **M**^{a,f,gpt,h⅖,i} HF,OC ¦ λεγοντα **א**A,NU

[12] ο εχων *rell* ¦ τω εχοντι **M**^{b} ¦ ος ειχε TR

[13] και την ημεραν **f**^{35} **M**^{d,hpt} ¦ 1 εις 23 **M**^{a,b,f,g,i} RP,HF,OC ¦ 13 **M**^{d¼,e,hpt} **𝔓**^{47}A,NU,TR ¦ --- **א**,CP (For εις we have **a,b,f,g,i**; against we have **f**^{35} **d,e,h**,**𝔓**^{47}**א**A; the evidence for την is tranquil.) (A clear instance of **a,b,f,g,i** working as a group.) (OC is in small print.)

[14] των *rell* ¦ --- TR

[15] ιππου **f**^{35} **M**^{a,b,f⅗,gpt,ipt} CP,RP,HF,OC ¦ ιππικου **M**^{d,e,f⅖,gpt,h,ipt} **𝔓**^{47}**א**A,NU,TR (‘horse’ or ‘horsy’?)

[16] μυριαδες **f**^{35} **M**^{a,b,ept,f⅗,g,h⅔,i} CP,RP,HF ¦ δυο 1 **M**^{d} **𝔓**^{47}(**א**)OC,TR ¦ δις 1 **M**^{ept,f⅖,h⅓} A,NU (Just one hundred million.) (OC is in small print.)

[17] ηκουσα *rell* ¦ και 1 TR

[18] απο *rell* ¦ υπο HF,TR

τῶν ἀνθρώπων—ἐκ[1] τοῦ πυρὸς καὶ[2] τοῦ καπνοῦ καὶ[3] τοῦ θείου τοῦ ἐκπορευομένου ἐκ τῶν στομάτων αὐτῶν. **19** Ἡ γὰρ ἐξουσία τῶν ἵππων[4] ἐν τῷ στόματι αὐτῶν ἐστιν[5]—καὶ ἐν ταῖς οὐραῖς αὐτῶν, αἱ γὰρ οὐραὶ αὐτῶν ὅμοιαι ὄφεσιν,[6] ἔχουσαι κεφαλάς, καὶ ἐν αὐταῖς ἀδικοῦσιν.

20 Καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων, οἳ οὐκ ἀπεκτάνθησαν ἐν ταῖς πληγαῖς ταύταις, οὐ[7] μετενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν, ἵνα μὴ προσκυνήσωσιν[8] τὰ δαιμόνια, καὶ τὰ εἴδωλα,[9] τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ τὰ χαλκᾶ[10] καὶ τὰ λίθινα καὶ τὰ ξύλινα, ἃ οὔτε βλέπειν δύναται[11] οὔτε ἀκούειν οὔτε περιπατεῖν· **21** καὶ οὐ μετενόησαν ἐκ τῶν φόνων αὐτῶν οὔτε ἐκ τῶν φαρμακειῶν[12] αὐτῶν οὔτε ἐκ τῆς πορνείας αὐτῶν οὔτε ἐκ τῶν κλεμμάτων αὐτῶν.

Parenthesis

John eats a little book

10:1 (Καὶ εἶδον[13] ἄγγελον ἰσχυρὸν καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, περιβεβλημένον νεφέλην, καὶ ἡ ἶρις[14] ἐπὶ τῆς κεφαλῆς αὐτοῦ·[15] καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ οἱ πόδες αὐτοῦ ὡς στῦλοι πυρός· **2** καὶ εἶχεν[16] ἐν τῇ χειρὶ αὐτοῦ βιβλιδάριον[17] ἀνεῳγμένον.[18] Καὶ ἔθηκεν τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τῆς θαλάσσης,[19] τὸν δὲ εὐώνυμον ἐπὶ τῆς γῆς,[20] **3** καὶ ἔκραξεν φωνῇ μεγάλῃ, ὥσπερ λέων μυκᾶται. Καὶ ὅτε ἔκραξεν, ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ τὰς ἑαυτῶν φωνάς. **4** Καὶ ὅτε ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ[21] ἔμελλον[22] γράφειν· καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν,[23] «Σφράγισον ἃ ἐλάλησαν αἱ ἑπτὰ βρονταί,» καὶ «Μετὰ ταῦτα γράφεις.»[24] **5** Καὶ ὁ ἄγγελος ὃν εἶδον ἑστῶτα ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς ἦρεν τὴν χεῖρα αὐτοῦ τὴν δεξιὰν[25] εἰς τὸν οὐρανὸν **6** καὶ ὤμοσεν ἐν[26] τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὃς ἔκτισεν τὸν οὐρανὸν καὶ τὰ ἐν αὐτῷ, καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτῇ, ὅτι χρόνος οὐκέτι ἔσται·[27] **7** ἀλλ᾽[28] ἐν

---

[1] εκ **f**[35] **M**[d,e,h] **𝔓**[47]א A,C,CP,OC,NU,TR ¦ απο **M**[a,b,e⅕,f,g,i] RP,HF

[2] και **f**[35] **M**[a,b,d,e¼,f,g,h⅗,i] א A,CP,RP,HF,OC,NU ¦ 1 εκ **M**[e,h⅖] **𝔓**[47],C,TR

[3] και **f**[35] **M**[a,b,e¼,f,g,h⅔,i] א A,C,CP,RP,HF,OC,NU ¦ 1 εκ **M**[d,e,h⅓] **𝔓**[47],TR

[4] η γαρ εξουσια των ιππων *rell* ¦ 1234 τοπων A ¦ ~ ην 21345 **𝔓**[47] ¦ αι 2 εξουσιαι αυτων TR

[5] εστιν *rell* ¦ εισιν TR

[6] οφεσιν **f**[35] **M**[d,e⅗,h,i⅓] **𝔓**[47](א A,C)CP,OC,NU,TR ¦ οφεων **M**[a,b,e⅖,f,g,i⅔] RP,HF (ομοιος normally takes the dative, but the genitive does occur.)

[7] ου **f**[35] **M**[a,b,d,e¼,f,g,h⅖,i] C,CP,RP,HF,OC ¦ ουτε **M**[e,h⅕] A,TR ¦ ουδε **M**[hpt] **𝔓**[47]א,NU

[8] προσκυνησωσιν *rell* ¦ προσκυνησουσιν **𝔓**[47]א A,C,NU

[9] και τα ειδωλα *rell* ¦ 13 TR ¦ --- **𝔓**[47]

[10] και τα χαλκα **f**[35] **M**[b,d,e,hpt] **𝔓**[47](א)A,C,CP,RP,HF,OC,NU,TR ¦ 13 **M**[e⅙,h⅖,i¼] ¦ --- **M**[a,f,g,ipt]

[11] δυναται **f**[35] **M**[a,e¼,f,gpt,i⅓] **𝔓**[47],CP,RP,HF,OC,TR ¦ δυνανται **M**[a¼,b,d,e,gpt,h,i⅔] **𝔓**[85,115]א A,C,NU

[12] φαρμακειων **f**[35] **M**[d,e,h⅔,i] RP,OC,TR ¦ φαρμακιων **M**[d⅕,e¼,gpt] A,CP ¦ φαρμακων **M**[a,b,f,gpt,h⅓] **𝔓**[47]א C,HF,NU

[13] ειδον **f**[35] **M**[a,d,e⅖,f,ipt] CP,RP,HF ¦ 1 αλλον **M**[b,e⅗,g,h,ipt] **𝔓**[47]א A,C,OC,NU,TR (OC is in small print.)

[14] η ιρις **f**[35] **M**[a,b,f,gpt,h⅔,i] **𝔓**[47,115v](A)(C)CP,RP,HF,OC,NU ¦ 2 **M**[e,gpt,h⅓,i¼] TR ¦ ιριν **M**[d] ¦ 1 θριξ א

[15] αυτου *rell* ¦ --- TR

[16] ειχεν **f**[35] **M**[d,e,gpt,h⅖,i⅓] CP,TR ¦ εχων **M**[a,b,f,gpt,h⅗,i⅔] א A,C,RP,HF,OC,NU

[17] βιβλιδαριον **f**[35] **M**[d,e⅓,gpt,h,i⅗] CP ¦ βιβλαριδιον **M**[e⅔] א A,C,NU,TR ¦ βιβλιον **M**[a,b,f,gpt,i⅖] **𝔓**[47],RP,HF,OC

[18] ανεωγμενον **f**[35] **M**[a,d,e¼,f,gpt,h⅔,i] CP,RP,HF,OC,TR ¦ ηνεωγμενον **M**[b,e,gpt,h⅓] **𝔓**[47]א C,NU ¦ --- A

[19] της θαλασσης *rell* ¦ την θαλασσαν TR

[20] της γης *rell* ¦ την γην TR

[21] βρονται *rell* ¦ 1 τας φωνας εαυτων TR

[22] εμελλον **f**[35] **M**[apt,b,d,e⅗,f,g,ipt] א,CP,RP,HF,OC,TR ¦ ημελλον **M**[apt,e⅖,h,ipt] A,C,NU ¦ και ημελλον αυτα **𝔓**[47]

[23] λεγουσαν *rell* ¦ λεγουσης **𝔓**[47] ¦ 1 μοι TR

[24] μετα ταυτα γραφεις **f**[35] **M**[d⅔,e⅗,i¼] CP ¦ μη 2 γραψης **M**[e¼] TR ¦ μη αυτα γραψης **M**[a,b,d⅓,e⅙,f,g,h,i] א A,C, RP,HF,OC,NU (The text has been generally misunderstood since the beginning. Having been told to seal what the thunders uttered, why would John be told he would write it later? So many copyists altered the text, reinforcing the prohibition. However, I take it that the voice was giving two unrelated instructions: not to record the thunders; and to put his notebook aside until later—he is going to be busy interacting with the angel and eating a book, and the voice doesn't want him to be distracted by trying to write at the same time.)

[25] την δεξιαν *rell* ¦ --- **M**[e⅓] A,TR

[26] εν **f**[35] **M**[d,e,f⅔,gpt,h⅖,ipt] A,C,CP,OC,NU,TR ¦ --- **M**[a,b,e2/7,f⅓,gpt,h⅗,ipt] **𝔓**[47]א,RP,HF

[27] ουκετι εσται *rell* ¦ 1 εστιν א ¦ ουκ 2 ετι **M**[e⅓] TR

[28] αλλ *rell* ¦ αλλα TR

ταῖς ἡμέραις τῆς φωνῆς τοῦ ἑβδόμου ἀγγέλου, ὅταν μέλλῃ σαλπίζειν, τελεσθῇ[1] τὸ μυστήριον τοῦ Θεοῦ, ὃ[2] εὐηγγελίσατο[3] τοὺς δούλους αὐτοῦ τοὺς προφήτας.[4]

8 Καὶ ἡ φωνὴ ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ πάλιν λαλοῦσα[5] μετ᾽ ἐμοῦ καὶ λέγουσα·[6] «Ὕπαγε, λάβε τὸ βιβλιδάριον[7] τὸ ἀνεῳγμένον[8] ἐν τῇ χειρὶ τοῦ[9] ἀγγέλου τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς.» **9** Καὶ ἀπῆλθον[10] πρὸς τὸν ἄγγελον λέγων αὐτῷ, «Δός[11] μοι τὸ βιβλιδάριον.»[12] Καὶ λέγει μοι· «Λάβε καὶ κατάφαγε αὐτό· καὶ πικρανεῖ σου τὴν κοιλίαν, ἀλλ᾽ ἐν τῷ στόματί σου ἔσται γλυκὺ ὡς μέλι.» **10** Καὶ ἔλαβον τὸ βιβλιδάριον[13] ἐκ τῆς χειρὸς τοῦ ἀγγέλου καὶ κατέφαγον αὐτό, καὶ ἦν ἐν τῷ στόματί μου ὡς μέλι γλυκύ. Καὶ ὅτε ἔφαγον αὐτὸ ἐπικράνθη ἡ κοιλία μου. **11** Καὶ λέγει[14] μοι, «Δεῖ σε πάλιν προφητεῦσαι ἐπὶ λαοῖς, καὶ ἐπὶ[15] ἔθνεσιν καὶ γλώσσαις καὶ βασιλεῦσιν πολλοῖς.»

The two witnesses

11:1 Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ. Καὶ εἰστήκει ὁ ἄγγελος λέγων·[16] «Ἔγειραι[17] καὶ μέτρησον τὸν ναὸν τοῦ Θεοῦ καὶ τὸ θυσιαστήριον, καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ. **2** Καὶ τὴν αὐλὴν τὴν ἔξωθεν[18] τοῦ ναοῦ ἔκβαλε ἔξωθεν,[19] καὶ μὴ αὐτὴν μετρήσῃς, ὅτι ἐδόθη τοῖς ἔθνεσιν· καὶ τὴν πόλιν τὴν ἁγίαν πατήσουσιν μῆνας τεσσαράκοντα δύο.[20] **3** Καὶ δώσω τοῖς δυσὶν μάρτυσίν μου, καὶ προφητεύσουσιν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα, περιβεβλημένοι σάκκους.»

4 Οὗτοί εἰσιν αἱ δύο ἐλαῖαι, καὶ αἱ δύο λυχνίαι αἱ ἐνώπιον τοῦ Κυρίου[21] τῆς γῆς ἑστῶσαι.[22] **5** Καὶ εἴ τις αὐτοὺς θέλει[23] ἀδικῆσαι, πῦρ ἐκπορεύεται ἐκ τοῦ στόματος αὐτῶν καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν. Καὶ εἴ τις θέλει αὐτοὺς ἀδικῆσαι,[24] οὕτως[25] δεῖ αὐτὸν ἀποκτανθῆναι. **6** Οὗτοι

---

[1] τελεσθη **f**^{35} **M**$^{a1/6,e1/6}$ CP ¦ και 1 **M**$^{d,e,gpt(pt)}$ TR ¦ και ετελεσθη **M**^{a,b,f,h,i} 𝔓^{47}א A,C,RP,HF,OC,NU (The subjunctive is presumably correct; the indicative doesn't fit; the και could be emphatic, otherwise it doesn't fit either.)

[2] ο **f**^{35} **M**$^{d,e1/3}$ CP ¦ ως **M**$^{a,b,e2/3,f,g,h,i}$ 𝔓^{47}א A,C,RP,HF,OC,NU,TR

[3] ευηγγελισατο **f**^{35} **M**^{d} CP ¦ ευηγγελισεν **M**^{a,b,ept,f,g,h,i} א A,C,RP,HF,OC,NU,TR ¦ ευηγγελησε **M**$^{e1/3}$ (I take it that this is an instance of the double accusative with the passive voice [see the related variant sets above and below]; render 'which was announced to His slaves'.)

[4] τους δουλους αυτου τους προφητας **f**^{35} **M**$^{a,b,f,g,h1/3,i2/3}$ CP,RP,HF,OC ¦ ~ τοις 3 δουλοις τοις προφηταις **M**^{d} ¦ ~ 1 εαυτου 245 **M**$^{e2/3,h3/5}$ A,C,NU ¦ ~ 1 εαυτου 2 και 45 𝔓^{47}א ¦ ~ τοις εαυτου δουλοις τοις προφηταις **M**$^{e1/3,i1/3}$ TR

[5] λαλουσα *rell* ¦ λαλουσαν **M**$^{e1/3}$ א A,C,NU

[6] λεγουσα *rell* ¦ λεγουσαν **M**$^{e1/3}$ א A,C,NU

[7] βιβλιδαριον **f**^{35} **M**$^{a,b,d,e1/4,f,g,hpt,i}$ CP,RP,HF,OC ¦ βιβλαριδιον **M**^{e} א,TR ¦ βιβλιον **M**$^{h2/5}$ A,C,NU

[8] ανεωγμενον **f**^{35} **M**$^{a,d,e1/3,f,g,h,i}$ 𝔓^{47},CP,RP,HF,OC ¦ ηνεωγμενον **M**$^{b,e2/3}$ א A,C,NU,TR

[9] του *rell* ¦ --- TR

[10] απηλθον *rell* ¦ απηλθα **M**$^{g1/3}$ 𝔓^{47} A,OC,NU

[11] δος **f**^{35} **M**$^{d,e,h3/5,i1/4}$ CP,TR ¦ δουναι **M**$^{a,b,f,g,h2/5,i}$ 𝔓^{47}א A,C,RP,HF,OC,NU

[12] δος **f**^{35} **M**$^{d,e,h3/5,i1/4}$ CP,TR ¦ δουναι **M**$^{a,b,f,g,h2/5,i}$ 𝔓^{47}א A,C,RP,HF,OC,NU

[13] βιβλιδαριον **f**^{35} **M**$^{d,e1/4,hpt,i3/5}$ CP ¦ βιβλιον **M**$^{a,b,f,g,hpt,i2/5}$ א,RP,HF,OC ¦ βιβλαριδιον **M**^{e} A,C,NU,TR

[14] λεγει **f**^{35} **M**$^{d,e,fpt,gpt,h3/5,ipt}$ CP,TR ¦ λεγουσιν **M**$^{a,b,fpt,gpt,h2/5,ipt}$ 𝔓^{47}א A,RP,HF,OC,NU (Where is the subject for the plural verb?)

[15] επι **f**^{35} **M**^{a,b,d,f,g,ipt} CP,RP,HF ¦ --- **M**$^{a1/6,e,h,ipt}$ 𝔓^{47}א A,C,OC,NU,TR

[16] και ειστηκει ο αγγελος λεγων **f**^{35} **M**^{b} א^{c},CP ¦ 1 φωνη λεγουσα **M**^{d} ¦ 5 **M**^{a,e,f,g,h,i} 𝔓^{47} A,RP,HF,OC,NU,TR ¦ λεγει א (I take it that the angel shifted position, perhaps with both feet on land—his legs had been spread or straddled, now he stands normally.)

[17] εγειραι **f**^{35} **M**$^{apt,b2/3,dpt,e1/3,fpt,h}$ CP,RP,TR ¦ εγειρε **M**$^{apt,b1/3,dpt,ept,fpt,g,i}$ 𝔓^{47}א A,HF,OC,NU ¦ εγειρον **M**$^{e1/6}$

[18] εξωθεν *rell* ¦ εσωθεν **M**$^{b,e1/3}$ א

[19] εξωθεν **f**^{35} **M**$^{b,d,ept,h2/3}$ A,CP,NU ¦ εξω **M**$^{a,ept,f,g,h1/3,i}$ 𝔓^{47},RP,HF,OC,TR ¦ εσω א

[20] τεσσαρακοντα δυο **M**$^{a1/4,b,c1/8,d1/3,e2/5,f1/3,g1/3,h,ipt}$ (א)CP,OC,TR ¦ 1 και 2 **M**$^{a,f2/3,g2/3,h1/4,i1/3}$ (A)RP,HF([NU]) ¦ μβ΄ **f**^{35} **M**$^{d2/3,e3/5,i1/6}$ 𝔓^{47}

[21] κυριου **f**^{35} **M**$^{a,b,e1/4,f,g,h,i}$ א(A)C,CP,RP,HF,OC,NU ¦ θεου **M**$^{d,e,i1/4}$ TR

[22] εστωσαι **f**^{35} **M**$^{a1/3,d,e,g2/3,h,i2/3}$ CP,RP,OC,TR ¦ εστωτες **M**$^{a2/3,b,f,g1/3,i1/3}$ א A,C,HF,NU

[23] αυτους θελει *rell* ¦ ~ 21 **M**^{b} א ¦ 1 θελη TR ¦ 1 θελησει 𝔓^{47}

[24] θελει αυτους αδικησαι **f**^{35} **M**$^{a,b,e1/6,f,g2/3,h1/4,i2/3}$ C,CP,RP,HF,OC ¦ ~ 213 **M**$^{e2/3}$ ¦ ~ 2 θελη 1 **M**$^{e1/4,g1/3}$ TR ¦ 12 αποκτεναι **M**^{d} ¦ θεληση 23 **M**^{h} A,NU ¦ ~ θεληση 32 א(𝔓^{47})

[25] ουτως *rell* ¦ ουτω [30 assorted mss] OC,TR ¦ --- A

ἔχουσιν ἐξουσίαν κλεῖσαι τὸν οὐρανὸν[1] ἵνα μὴ ὑετὸς βρέχῃ τὰς ἡμέρας[2] τῆς προφητείας αὐτῶν·[3] καὶ ἐξουσίαν ἔχουσιν ἐπὶ τῶν ὑδάτων στρέφειν αὐτὰ εἰς αἷμα, καὶ πατάξαι τὴν γῆν ἐν πάσῃ πληγῇ, ὁσάκις ἐὰν θελήσωσιν.[4]

7 Καὶ ὅταν τελέσωσιν τὴν μαρτυρίαν αὐτῶν τὸ Θηρίον τὸ ἀναβαῖνον ἐκ τῆς Ἀβύσσου ποιήσει μετ᾽ αὐτῶν πόλεμον, καὶ νικήσει αὐτοὺς καὶ ἀποκτενεῖ αὐτούς **8**—καὶ τὰ πτώματα[5] αὐτῶν ἐπὶ τῆς πλατείας τῆς πόλεως τῆς μεγάλης (ἥτις καλεῖται πνευματικῶς Σόδομα καὶ Αἴγυπτος), ὅπου καὶ[6] ὁ Κύριος αὐτῶν[7] ἐσταυρώθη.

9 Καὶ βλέπουσιν[8] ἐκ τῶν λαῶν καὶ φυλῶν καὶ γλωσσῶν καὶ ἐθνῶν τὰ πτώματα[9] αὐτῶν ἡμέρας τρεῖς[10] ἥμισυ, καὶ τὰ πτώματα αὐτῶν οὐκ ἀφήσουσιν[11] τεθῆναι εἰς μνῆμα.[12] **10** Καὶ οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς χαίρουσιν [13]ἐπ᾽ αὐτοῖς, καὶ εὐφρανθήσονται[14] καὶ δῶρα πέμψουσιν[15] ἀλλήλοις, ὅτι οὗτοι οἱ δύο προφῆται ἐβασάνισαν τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς.

11 Καὶ μετὰ[16] τρεῖς ἡμέρας καὶ ἥμισυ πνεῦμα ζωῆς ἐκ τοῦ Θεοῦ εἰσῆλθεν ἐπ᾽ αὐτοὺς[17] καὶ ἔστησαν ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ φόβος μέγας ἐπέπεσεν[18] ἐπὶ τοὺς θεωροῦντας αὐτούς. **12** Καὶ ἤκουσα[19] φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ λεγούσης[20] αὐτοῖς, «Ἀνάβητε[21] ὧδε.» Καὶ ἀνέβησαν εἰς τὸν οὐρανὸν ἐν τῇ νεφέλῃ, καὶ ἐθεώρησαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν. **13** Καὶ ἐν[22] ἐκείνῃ τῇ ἡμέρᾳ[23] ἐγένετο σεισμὸς μέγας καὶ τὸ δέκατον τῆς πόλεως ἔπεσεν, καὶ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ ὀνόματα ἀνθρώπων χιλιάδες ἑπτά. Καὶ οἱ λοιποὶ ἔμφοβοι ἐγένοντο καὶ ἔδωκαν δόξαν τῷ Θεῷ τοῦ οὐρανοῦ.)

14 Ἡ οὐαὶ ἡ δευτέρα ἀπῆλθεν. Ἡ οὐαὶ ἡ τρίτη, ἰδού,[24] ἔρχεται ταχύ.

---

[1] εξουσιαν κλεισαι τον ουρανον **f**^{35} **M**$^{d,e,h1/5,i2/5}$ א,CP,TR ¦ την 1234 **M**$^{h3/5}$ 𝔓^{47}(A,C)NU ¦ ~ 3412 **M**$^{a,b,f,g,i3/5}$ RP,HF ¦ ~ 1342 OC

[2] υετος βρεχη τας ημερας **f**^{35} **M**$^{a,b,d2/3,e3/5,f,g,hpt(pt),i2/3}$ 𝔓^{47}אA,C,CP,RP,HF,OC,NU ¦ 1 βρεχει 34 **M**$^{d1/3,i1/3}$ ¦ ~ 21 εν ταις ημεραις **M**$^{e1/4}$ ¦ ~ 21 εν ημεραις TR

[3] της προφητειας αυτων *rell* ¦ ~ 312 **M**^{ept} TR

[4] εν (𝔓^{47},TR) παση πληγη οσακις (ωσακις **M**$^{e1/3}$) εαν (αν **M**$^{h,i1/4}$ C) θελησωσιν (θελησουσιν C; θελωσιν 𝔓^{47}) **f**^{35} **M**$^{d,e,h,i1/4}$ (𝔓^{47})אA(C)CP,OC,NU(TR) ¦ ~ 4 (ωσακις **M**^{gpt}) 56123 **M**^{a,b,f,g,i} RP,HF

[5] τα πτωματα **f**^{35} **M**$^{b,d,e,g1/3,h3/5,ipt}$ 𝔓^{47}א,CP,TR ¦ το πτωμα **M**$^{a,f,g2/3,h2/5,ipt}$ A,C,RP,HF,OC,NU (The plural is presumably correct.)

[6] και **f**^{35} **M**$^{a,d,e1/5,f,g2/3,h,i3/5}$ אA,C,CP,RP,HF,OC,NU,TR ¦ --- **M**$^{b,e,g1/3,i2/5}$ 𝔓^{47}

[7] αυτων *rell* ¦ ημων TR ¦ --- 𝔓^{47}א

[8] βλεπουσιν *rell* ¦ βλεψουσιν TR

[9] τα πτωματα **f**^{35} **M**$^{d,e,h3/5,ipt}$ CP,TR ¦ το πτωμα **M**$^{a,b,f,g,h2/5,ipt}$ 𝔓^{47}א(A)C,RP,HF,OC,NU (The plural is presumably **still** correct.)

[10] τρεις **f**^{35} **M**$^{a,b,e,f,g,h2/5,i}$ CP,RP,HF ¦ 1 και **M**$^{d,e1/5,h3/5}$ 𝔓^{47}א(A,C)OC,NU,TR (ημισυ following a numeral occurs both with and without the intervening και since ancient times.)

[11] αφησουσιν **f**^{35} **M**^{a,b,ept,f,g,hpt,i} CP,RP,HF,OC,TR ¦ αφιουσιν **M**^{d,ept,hpt} אA,C,NU

[12] μνημα *rell* ¦ μνηματα TR ¦ μνημιον C

[13] χαιρουσιν *rell* ¦ χαρουσιν TR

[14] ευφρανθησονται **f**^{35} **M**$^{a,b,e1/4,f,g,hpt,i}$ CP,RP,HF,OC,TR ¦ ευφραινονται **M**^{d,e,hpt} 𝔓^{47}א(A)C,NU

[15] πεμψουσιν **f**^{35} **M**$^{d1/5,e,gpt,h}$ A,C,CP,OC,NU,TR ¦ πεμπουσιν **M**^{d} א ¦ δωσουσιν **M**$^{a,b,e1/6,f,gpt,i}$ RP,HF ('send' is stronger than 'give'.)

[16] μετα **f**^{35} **M**$^{a1/5,d2/5,e3/5,h2/5,i2/5}$ א,CP ¦ 1 τας **M**$^{a,b,d3/5,e2/5,f,g,h3/5,i3/5}$ 𝔓^{47}A,C,RP,HF,OC,NU,TR (One would expect the article, except that it is this resurrection that defines the time the bodies were in the street.)

[17] επ αυτους **f**^{35} **M**$^{a1/6,d1/4,gpt,ipt}$ CP,TR ¦ εις 2 **M**$^{a,b,e1/3,f,gpt,ipt}$ 𝔓^{47}א,RP,HF,OC ¦ εν αυτοις **M**$^{d,e1/6,h1/3}$ A,NU ¦ αυτοις **M**^{ept,hpt} C (επι with the accusative emphasizes that the 'breath' had just arrived.)

[18] μεγας επεπεσεν **f**^{35} **M**$^{a1/3,e1/3,g,hpt,ipt}$ A,C,CP,OC,NU ¦ ~ 21 **M**$^{d2/3}$ ¦ 1 επεσεν **M**$^{a2/3,b,e2/3,f,hpt,ipt}$ 𝔓^{47}א,RP,HF,TR

[19] ηκουσα **f**^{35} **M**^{a,b,d,e,f,g,hpt,i} 𝔓^{47}CP,RP,HF,OC ¦ ηκουσαν אA,C[+4 mss]NU,TR ¦ ακουσονται **M**^{hpt}

[20] φωνης μεγαλης … λεγουσης **f**^{35} **M**$^{d,e,h1/3,i1/5}$ 𝔓^{47}אC,CP,NU ¦ φωνην μεγαλην … λεγουσαν **M**^{a,b,f,g,h,i} 𝔓^{115}A,RP,HF,OC,TR

[21] αναβητε *rell* ¦ αναβατε 𝔓^{47}אA,C,NU

[22] και εν **f**^{35} **M**$^{b,d,e,gpt,h3/5,ipt}$ 𝔓^{47}אA,C,CP,RP,OC,NU,TR ¦ 2 **M**$^{a,f,gpt,h2/5,ipt}$ HF

[23] ημερα **f**^{35} **M**$^{a,b,d,e1/4,f,g,h1/5,i}$ CP,RP,HF,OC ¦ ωρα **M**$^{e,h,i1/4}$ אA,C,NU,TR

[24] η ουαι η τριτη ιδου **f**^{35} **M**$^{a,b,e1/6,f,gpt,i}$ CP,RP,HF,OC ¦ ~ 51234 **M**$^{e1/3,gpt,h}$ (א)A,C,NU,TR ¦ ~ 5342 **M**^{d} ¦ 1234 **M**$^{e1/4}$ ¦ ~ 342 **M**$^{e1/5}$

The seventh trumpet

15 Καὶ ὁ ἕβδομος ἄγγελος ἐσάλπισεν, καὶ ἐγένοντο φωναὶ μεγάλαι ἐν τῷ οὐρανῷ λέγουσαι·[1] «Ἐγένετο ἡ βασιλεία[2] τοῦ κόσμου τοῦ Κυρίου ἡμῶν καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.» **16** Καὶ οἱ εἴκοσι τέσσαρες[3] πρεσβύτεροι, οἱ[4] ἐνώπιον[5] τοῦ Θεοῦ καθήμενοι[6] ἐπὶ τοὺς θρόνους αὐτῶν, ἔπεσον[7] ἐπὶ τὰ πρόσωπα αὐτῶν καὶ προσεκύνησαν τῷ Θεῷ **17** λέγοντες· «Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμε-νος,[8] ὅτι εἴληφας τὴν δύναμίν σου τὴν μεγάλην καὶ ἐβασίλευσας. **18** Καὶ τὰ ἔθνη ὠργίσθησαν, καὶ ἦλθεν ἡ ὀργή σου, καὶ ὁ καιρὸς τῶν νεκρῶν[9] κριθῆναι καὶ δοῦναι τὸν μισθὸν τοῖς δούλοις σου τοῖς προφήταις, καὶ τοῖς ἁγίοις καὶ[10] τοῖς φοβουμένοις τὸ ὄνομά σου, τοῖς μικροῖς καὶ τοῖς μεγάλοις,[11] καὶ διαφθεῖραι τοὺς διαφθείραντας[12] τὴν γῆν.» **19** Καὶ ἠνοίγη[13] ὁ ναὸς τοῦ Θεοῦ[14] ἐν τῷ οὐρανῷ, καὶ ὤφθη ἡ κιβωτὸς τῆς διαθήκης τοῦ Κυρίου[15] ἐν τῷ ναῷ αὐτοῦ. Καὶ ἐγένοντο ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταὶ[16] καὶ χάλαζα μεγάλη.

Parenthesis—partly historical

The woman, the Child, the dragon

12:1 Καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ· γυνὴ περιβεβλημένη τὸν ἥλιον, καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς, καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα. **2** Καὶ ἐν γαστρὶ ἔχουσα[17] ἔκραζεν ὠδίνουσα[18] καὶ βασανιζομένη τεκεῖν.

3 Καὶ ὤφθη ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ· καὶ ἰδού, δράκων μέγας πυρρός,[19] ἔχων κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ἑπτὰ διαδήματα.[20] **4** Καὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ τρίτον τῶν ἀστέρων τοῦ οὐρανοῦ καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν.

Καὶ ὁ δράκων ἕστηκεν ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης τικτεῖν,[21] ἵνα ὅταν τέκῃ τὸ

---

[1] λεγουσαι **f**^{35} **M**^{apt,b,d,e,f,gpt,h,i} **𝔓**^{47,115}**א**C,CP,RP,OC,TR ¦ λεγοντες **M**^{apt,f¼,gpt} A,HF,NU (The subject of the verb is ‘voices’, fem. pl.)

[2] εγενετο η βασιλεια (**א**) *rell* ¦ εγενοντο αι βασιλειαι **M**^{e,g⅓} TR

[3] οι εικοσι τεσσαρες **M**^{apt,b,c⅕,d⅓,e⅔,f,hpt,i} C,CP,RP,HF,OC,NU ¦ 1 κδ΄ **f**^{35} **M**^{apt,d⅔,e⅓,g,h⅓} **𝔓**^{47} ¦ 12 και 3 TR ¦ 23 **א**A

[4] οι *rell* [NU] ¦ --- **M**^{e,gpt,h¼} **𝔓**^{47}A

[5] ενωπιον **f**^{35} **M**^{d,e,h,i⅓} **𝔓**^{47}**א**A,C,CP,NU,TR ¦ 1 του θρονου **M**^{a,b,f,g,i⅔} RP,HF,OC (OC is in small print.)

[6] καθημενοι **f**^{35} **M**^{d,e,f⅕,hpt} **𝔓**^{115}0308,A,CP,RP,NU,TR ¦ οι καθηνται **M**^{a,b,f,g,i} **א**,HF,OC ¦ καθηνται **M**^{hpt} **𝔓**^{47}C

[7] επεσον **f**^{35} **M**^{apt,b⅔,d,ept,f,h,i⅔} CP,RP,HF ¦ επεσαν **M**^{apt,b⅓,ept,g,i⅓} **𝔓**^{47}**א**A,C,OC,NU,TR

[8] και ο ερχομενος **f**^{35} **M**^{d,e⅙,hpt,i⅓} CP,OC,TR ¦ 1 **𝔓**^{47,115}0308,**א**C ¦ --- **M**^{a,b,e,f,g,hpt,i⅔} A,RP,HF,NU (OC is in small print.)

[9] νεκρων *rell* ¦ εθνων **M**^{hpt} OC

[10] και *rell* ¦ --- **M**^{d,e} OC

[11] τοις μικροις και τοις μεγαλοις *rell* ¦ τους μικρους 3 τους μεγαλους (**𝔓**^{47})**א**A,C,NU

[12] διαφθειραντας **f**^{35} **M**^{a⅙,b,d⅕,fpt,gpt,ipt} C,OC ¦ διαφθειροντας **M**^{a,c⅕,d,ept,fpt,gpt,h,ipt} **𝔓**^{47}**א**A,CP,RP,HF,NU,TR ¦ φθειροντας **M**^{ept} (The context calls for the aorist tense, but this verb usually appears in the 2nd aorist, so the unfamiliar 1st aorist was changed to the present, a change of just one letter. The aorist receives some attestation from all nine groups, which means that it was not invented in the middle ages—if the present were original, why would copyists from all traditions change it to an unfamiliar form? Hoskier lists nine variants.)

[13] ηνοιγη **f**^{35} **M**^{b,d,e,gpt,h} **𝔓**^{47}A,C,CP,RP,OC,NU,TR ¦ ηνοιχθη **M**^{a,f,gpt,i} HF ¦ ηνυγη **א**

[14] θεου *rell* ¦ 1 ο **M**^{b,h} A,C,OC,NU

[15] του κυριου **f**^{35} **M**$^{a,f,gpt(pt),i}$ **𝔓**^{47},CP,RP,HF ¦ 1 θεου **M**^{h¼} **א** ¦ αυτου **M**^{b,d,e,hpt} A,C,NU,TR ¦ 2 OC

[16] φωναι και βρονται **f**^{35} **M**^{a,f,g,ipt} CP,RP,HF ¦ 1232 σεισμος **M**^{e,h⅔,ipt} **א**A,C,OC,NU,TR ¦ ~ 3212 σεισμος **M**$^{(b),d,h⅓}$

[17] εχουσα *rell* ¦ 1 και **א**C,NU ¦ εχουσαν και **𝔓**^{47}

[18] εκραζεν (εκραξεν **M**^{a⅕,b⅓,gpt}) ωδινουσα **f**^{35} **M**^{a,b,e¼,f,g,i} (C)CP,RP,HF,OC ¦ κραζει 2 **M**^{d,ept,h} (**𝔓**^{47})**א**(A)(NU)TR ¦ ~ 2 κραζει **M**^{e⅕}

[19] μεγας πυρρος **f**^{35} **M**^{d⅓,e⅓,i⅕} A,CP,NU,TR ¦ 1 πυρος **M**^{d⅔,e⅔,h⅕} ¦ ~ 21 **M**^{a⅙,fpt,gpt,h⅖,i¼} **𝔓**^{47,115} **א**,OC ¦ ~ πυρος 1 **M**^{a,bpt,fpt,gpt,h⅓,ipt} C,RP,HF (All the families have some division; the evidence for the word order looks like this: ‘great, fiery’ **f**^{35} **M**^{a⅛,b⅕,d,e,h⅓,i⅕} A; ‘fiery, great’ **M**^{a,b,e⅙,f,g,h⅔,i} **𝔓**^{47,115}**א**C. The evidence for the spelling looks like this: πυρρος **f**^{35} **M**^{a¼,b⅓,d⅓,e⅖,fpt,gpt,hpt,ipt} **𝔓**^{47,115}**א**A; πυρος **M**^{a,b⅔,d⅔,e⅗,fpt,gpt,hpt,ipt} C.)

[20] επτα διαδηματα *rell* ¦ ~ 21 TR ¦ διαδηματα **M**^{ept}

[21] τικτειν **f**^{35} **M**^{h¼} CP ¦ τεκειν **M**^{a,b,d,e,f,g,h,i} **א**A,C,RP,HF,OC,NU,TR (Representatives of **M**^{a,d,e} join **f**^{35}.)

Τέκνον αὐτῆς καταφάγῃ. **5** Καὶ ἔτεκεν Υἱόν, ἄρρενα,[1] ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη ἐν[2] ῥάβδῳ σιδηρᾷ. Καὶ ἡρπάγη[3] τὸ Τέκνον αὐτῆς πρὸς τὸν Θεόν, καὶ πρὸς[4] τὸν θρόνον αὐτοῦ. **6** Καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον ὅπου ἔχει ἐκεῖ[5] τόπον ἡτοιμασμένον ἀπὸ[6] τοῦ Θεοῦ, ἵνα ἐκεῖ ἐκτρέφωσιν[7] αὐτὴν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα.

Satan excluded from heaven

7 Καὶ ἐγένετο πόλεμος ἐν τῷ οὐρανῷ· ὁ Μιχαὴλ καὶ οἱ ἄγγελοι αὐτοῦ τοῦ πολεμῆσαι[8] μετὰ[9] τοῦ δράκοντος· καὶ ὁ δράκων ἐπολέμησεν, καὶ οἱ ἄγγελοι αὐτοῦ, **8** καὶ οὐκ ἴσχυσεν,[10] οὐδὲ[11] τόπος εὑρέθη αὐτῷ[12] ἔτι ἐν τῷ οὐρανῷ. **9** Καὶ ἐβλήθη ὁ δράκων ὁ μέγας, ὁ ὄφις[13] ὁ ἀρχαῖος, ὁ καλούμενος Διάβολος καὶ[14] Σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην· ἐβλήθη εἰς τὴν γῆν, καὶ οἱ ἄγγελοι αὐτοῦ μετ᾽ αὐτοῦ[15] ἐβλήθησαν. **10** Καὶ ἤκουσα φωνὴν μεγάλην ἐν τῷ οὐρανῷ λέγουσαν·[16] «Ἄρτι ἐγένετο ἡ σωτηρία καὶ ἡ δύναμις, καὶ ἡ βασιλεία τοῦ Θεοῦ ἡμῶν καὶ ἡ ἐξουσία τοῦ Χριστοῦ αὐτοῦ, ὅτι κατεβλήθη[17] ὁ κατήγορος[18] τῶν ἀδελφῶν ἡμῶν, ὁ κατηγορῶν αὐτῶν[19] ἐνώπιον τοῦ Θεοῦ ἡμῶν ἡμέρας καὶ νυκτός. **11** Καὶ αὐτοὶ ἐνίκησαν αὐτὸν διὰ τὸ αἷμα τοῦ Ἀρνίου καὶ διὰ τὸν λόγον τῆς μαρτυρίας αὐτῶν, καὶ οὐκ ἠγάπησαν τὴν ψυχὴν αὐτῶν, ἄχρι θανάτου. **12** Διὰ τοῦτο εὐφραίνεσθε, οἱ[20] οὐρανοί, καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες. Οὐαὶ τῇ γῇ καὶ τῇ θαλάσσῃ,[21] ὅτι κατέβη ὁ διάβολος πρὸς ὑμᾶς ἔχων θυμὸν μέγαν, εἰδὼς ὅτι ὀλίγον καιρὸν ἔχει.»

Satan persecutes the woman

13 Καὶ ὅτε εἶδεν ὁ δράκων ὅτι ἐβλήθη εἰς τὴν γῆν, ἐδίωξεν τὴν γυναῖκα ἥτις ἔτεκεν τὸν ἄρρενα.[22] **14** Καὶ ἐδόθησαν τῇ γυναικὶ[23] δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα πέτηται εἰς τὴν ἔρημον, εἰς τὸν τόπον αὐτῆς, ὅπως τρέφηται[24] ἐκεῖ καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιροῦ, ἀπὸ προσώπου τοῦ ὄφεως. **15** Καὶ ἔβαλεν ὁ ὄφις ἐκ τοῦ στόματος αὐτοῦ ὀπίσω τῆς γυναικὸς[25] ὕδωρ ὡς

---

[1] αρρενα *rell* ¦ αρσεν A,C,NU ¦ αρσενα **M**^{ept,hpt}

[2] εν *rell* ¦ --- **M**^{dpt,ept,h⅓} C

[3] ηρπαγη **f**^{35} **M**^{a½,i¼} א,CP ¦ ηρπασθη **M**^{a,b,d,e,f,g,h,i} **𝔓**^{47}A,C,RP,HF,OC,NU,TR (Both are passive indicative, the choice being between 2nd or 1st aorist.)

[4] προς *rell* ¦ --- **M**^{e} TR

[5] εκει *rell* ¦ --- **M**^{e⅓,hpt} C,TR

[6] απο **f**^{35} **M**^{d¼,e,h} **𝔓**^{47}אA,C,CP,OC,NU,TR ¦ υπο **M**^{a,b,d,f,g,i} RP,HF

[7] εκτρεφωσιν **f**^{35} **M**^{a,f,g,i⅔} CP,RP,HF ¦ τρεφωσιν **M**^{a⅕,b,d,e,h,i⅓} A,OC,NU,TR ¦ τρεφουσιν **M**^{e⅕} אC

[8] του πολεμησαι **f**^{35} **M**^{h⅓,i⅓} A,C,CP,OC,NU ¦ 2 **M**^{a,b,d,e,f,g,h⅔,i⅔} **𝔓**^{47}א,RP,HF ¦ επολεμησαν TR (Render ‘were to fight’; the dragon knew that Michael had received the order, so he decided to get in the first blow.) (OC is in small print.)

[9] μετα *rell* ¦ κατα TR

[10] ισχυσεν **f**^{35} **M**^{a,b,f,g,i} A,CP,RP,HF,OC,NU ¦ ισχυσαν **M**^{a⅙,d,e,h} **𝔓**^{47}C,TR ¦ ισχυσαν προς αυτον א

[11] ουδε *rell* ¦ ουτε **M**^{e} TR

[12] ευρεθη αυτω **f**^{35} **M**^{a,b,e⅕,f,g,h⅕,i⅔} CP,RP,HF,OC ¦ 1 αυτων **M**^{e,h⅗,i⅓} A,C,NU,TR ¦ ~ αυτων 1 **M**^{d,h⅕} **𝔓**^{47} ¦ 1 א

[13] ο μεγας ο οφις *rell* ¦ ~ 3412 **M**^{a⅒,h¼} OC

[14] και **f**^{35} **M**^{a,b,d,e⅙,f,g,h⅕,i⅔} CP,RP,HF ¦ 1 ο **M**^{e,h,i⅓} A,C,OC,NU,TR ¦ ο א (OC is in small print.)

[15] μετ αυτου *rell* ¦ --- **M**$^{(d)e}$

[16] εν τω ουρανω λεγουσαν *rell* ¦ ~ 4123 **M**^{ept} TR

[17] κατεβληθη **f**^{35} **M**^{e,g⅓,i⅓} CP,TR ¦ εβληθη **M**^{a,b,d,f,g⅔,h,i⅔} **𝔓**^{47}אA,C,RP,HF,OC,NU (Since the simple form of the verb has already occurred three times in the verse above, there may have been assimilation to it. If I were that voice I would cheerfully use the heightened form!)

[18] κατηγορος *rell* ¦ κατηγωρ A,NU

[19] αυτων **f**^{35} **M**^{a,b,e⅖,f,g,h⅔,i} אC,CP,RP,HF,OC,TR ¦ αυτους **M**^{d,e⅗,g¼,h⅓} **𝔓**^{47}A,NU

[20] οι **f**^{35} **M**^{a⅙,b¼,d,e⅔,h⅔,ipt} A,CP[NU]TR ¦ --- **M**^{a,b,e⅓,f,g,h⅓,ipt} אC,RP,HF,OC

[21] τη γη και τη θαλασση **f**^{35} **M**^{a,b,e⅓,f,g,hpt,i} CP,RP,HF ¦ την γην 3 την θαλασσαν **M**^{d,e⅖,hpt} (א)C,OC,NU ¦ τοις κατοικουσι την γην 3 την θαλασσαν **M**^{e¼} TR ¦ την αγαπην 3 την θαλασσαν A

[22] αρρενα *rell* ¦ αρσενα **M**^{hpt} אC,NU ¦ αρσεναν A

[23] γυναικι **f**^{35} **M**^{a,b,e⅓,f,gpt,hpt,i} **𝔓**^{47}א,CP,RP,HF,OC,TR ¦ 1 αι **M**^{d,e⅔,gpt,hpt} A,C,NU

[24] οπως τρεφηται **f**^{35} **M**^{a,b,e⅓,f,g,i⅔} CP,RP,HF,OC ¦ οπου τρεφεται **M**^{a⅙,d,e⅔,hpt} **𝔓**^{47}אA,C,NU,TR

[25] εκ του στοματος αυτου οπισω της γυναικος (**𝔓**^{47}) *rell* ¦ ~ 5671234 **M**^{e⅓} TR

ποταμόν, ἵνα αὐτὴν ποταμοφόρητον ποιήσῃ.[1] **16** Καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικί, καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς καὶ κατέπιεν τὸν ποταμὸν ὃν ἔβαλεν ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ. **17** Καὶ ὠργίσθη ὁ δράκων ἐπὶ τῇ γυναικὶ καὶ ἀπῆλθεν ποιῆσαι πόλεμον μετὰ τῶν λοιπῶν τοῦ σπέρματος αὐτῆς, τῶν τηρούντων τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ ἐχόντων τὴν μαρτυρίαν Ἰησοῦ.[2]

Various Vignettes

A beast from the sea

13:1 Καὶ ἐστάθην[3] ἐπὶ τὴν ἄμμον τῆς θαλάσσης, καὶ εἶδον ἐκ τῆς θαλάσσης Θηρίον ἀναβαῖνον, ἔχον κέρατα δέκα καὶ κεφαλὰς ἑπτά,[4] καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα διαδήματα καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ὀνόματα[5] βλασφημίας. **2** Καὶ τὸ Θηρίον ὃ εἶδον ἦν ὅμοιον[6] παρδάλει, καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκτου,[7] καὶ τὸ στόμα αὐτοῦ ὡς στόμα λέοντος. Καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύναμιν αὐτοῦ καὶ τὸν θρόνον αὐτοῦ καὶ ἐξουσίαν μεγάλην. **3** Καὶ[8] μίαν ἐκ[9] τῶν κεφαλῶν αὐτοῦ ὡσεὶ[10] ἐσφαγμένην εἰς θάνατον, καὶ ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ ἐθεραπεύθη. Καὶ ἐθαύμασεν[11] ὅλη ἡ γῆ ὀπίσω τοῦ Θηρίου.

4 Καὶ προσεκύνησαν τῷ δράκοντι[12] τῷ δεδωκότι[13] τὴν[14] ἐξουσίαν τῷ Θηρίῳ· καὶ προσεκύνησαν τῷ Θηρίῳ[15] λέγοντες, «Τίς ὅμοιος τῷ Θηρίῳ, καὶ[16] τίς δυνατὸς[17] πολεμῆσαι μετ᾽ αὐτοῦ;» **5** Καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα, καὶ βλασφημίαν·[18] καὶ ἐδόθη αὐτῷ ἐξουσία πόλεμον ποιῆσαι[19] μῆνας τεσσαράκοντα δύο.[20] **6** Καὶ ἤνοιξεν τὸ[21] στόμα αὐτοῦ εἰς βλασφημίαν[22] πρὸς τὸν Θεόν, βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ καὶ τὴν σκηνὴν αὐτοῦ, τοὺς[23] ἐν τῷ οὐρανῷ σκηνοῦντας. **7** Καὶ ἐδόθη αὐτῷ ποιῆσαι πόλεμον[24] μετὰ τῶν ἁγίων καὶ νικῆσαι αὐτούς. Καὶ ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν φυλὴν[25] καὶ γλῶσσαν καὶ ἔθνος. **8** Καὶ προσκυνήσουσιν αὐτῷ[26] πάντες οἱ

---

[1] αυτην ποταμοφορητον ποιηση *rell* ¦ ~ 312 C ¦ ταυτην 23 **M**^{e} TR

[2] ιησου *rell* ¦ του 1 **M**^{e⅓,gpt} CP ¦ του θεου א ¦ του 1 χριστου TR

[3] εσταθην *rell* ¦ εσταθη **𝔓**^{47}א A,C,NU

[4] κερατα δεκα και κεφαλας επτα *rell* ¦ ~ 45312 TR

[5] ονοματα **f**^{35} **M**^{a,b,e¼,f,g,h⅗,i} A,CP,RP,HF,OC[NU] ¦ ονομα **M**^{d,e,h⅖} **𝔓**^{47}אC,TR

[6] ην ομοιον **f**^{35} **M**^{a,f,g,h,i} אA,C,CP,RP,HF,OC,NU,TR ¦ ~ 21 **M**^{b,d} ¦ 2 **M**^{e} **𝔓**^{47}

[7] αρκτου **f**^{35} **M**^{d⅓,e¼,gpt,hpt,i⅓} CP,TR ¦ αρκου **M**^{a,b,d⅔,e,f,gpt,hpt,i⅔} **𝔓**^{47}אA,C,RP,HF,OC,NU

[8] και *rell* ¦ 1 ειδον TR

[9] εκ *rell* ¦ --- **M**^{e} TR

[10] ωσει **f**^{35} **M**^{a,b,f,g,i⅔} CP,RP,HF ¦ ως **M**^{d,e,h,i⅓} **𝔓**^{47}אA,C,OC,NU,TR

[11] εθαυμασεν **f**^{35} **M**^{a,b,e¼,f,g,h,i} א,CP,RP,HF,OC ¦ εθαυμασθη εν **M**^{d⅔,e} TR ¦ εθαυμασθη **M**^{d⅕} **𝔓**^{47}A,NU ¦ εθαυμαστωθη C

[12] τω δρακοντι *rell* ¦ τον δρακοντα א,TR

[13] τω δεδωκοτι **f**^{35} **M**^{a,e¼,f,g,i} CP,RP,HF,OC ¦ οτι εδωκεν **M**^{b,d,ept,h} **𝔓**^{47}אA,C,NU ¦ ος εδωκεν **M**^{e¼} TR

[14] την *rell* ¦ --- TR

[15] και προσεκυνησαν τω θηριω *rell* ¦ 12 το θηριον **M**^{d} A,TR ¦ --- **M**^{ept} ¦ --- **𝔓**^{47} omits a further four words

[16] και **f**^{35} **M**^{a⅕,b,d,e,h,ipt} **𝔓**^{47}אA,C,CP,RP,NU ¦ --- **M**^{a,f,g,ipt} HF,OC,TR

[17] δυνατος **f**^{35} **M**^{a,f,g,i} CP,RP,HF ¦ δυναται **M**^{a⅕,b,d,e,h} **𝔓**^{47}אA,C,OC,NU,TR

[18] βλασφημιαν **f**^{35} **M**^{a,e⅗,f,gpt,i¼} CP,RP,HF,OC ¦ βλασφημα **M**^{b,d,e⅕,h⅖,i¼} A ¦ βλασφημιας **M**^{a⅟,e⅕,h⅓,ipt} **𝔓**^{47}אC,NU,TR ¦ βλασφημιαι **M**^{g⅓,h⅕}

[19] εξουσια πολεμον ποιησαι **f**^{35} **M**^{a,b,ept,f,g,i⅔} CP,RP,HF,OC ¦ 13 **M**^{d,ept,h,i⅓} **𝔓**^{47}A,C,NU,TR ¦ 3 ο θελει א

[20] τεσσαρακοντα δυο *rell* ¦ τεσσερακοντα 2 אC ¦ 1 και 2 **M**^{gpt} (A)[NU] ¦ μβ΄ **M**^{d,e⅓,h¼} **𝔓**^{47}

[21] το *rell* ¦ --- **M**^{a⅓,fpt}

[22] εις βλασφημιαν *rell* ¦ 1 βλασφημιας **M**^{b} אA,C,NU ¦ βλασφημησαι **𝔓**^{47}

[23] τους **f**^{35} **M**^{a,b,f,g,hpt,ipt} אA,C,RP,HF,OC,NU ¦ και 1 **M**^{a⅕,d,e,hpt,ipt} CP,TR ¦ --- **𝔓**^{47}

[24] ποιησαι πολεμον **f**^{35} **M**^{a,d,e⅙,f,g,h,i} א,CP,RP,HF,NU ¦ ~ 21 **M**^{b} OC,TR ¦ --- **M**^{e} **𝔓**^{47}A,C (These MSS omit the whole first compound clause.)

[25] φυλην **f**^{35} **M**^{e⅔} **𝔓**^{47},CP,TR ¦ 1 και λαον **M**^{a,b,d,e⅓,f,g,h,i} אA(C)RP,HF,OC,NU

[26] αυτω **f**^{35} **M**^{a⅕,d⅕,e,gpt,h⅗,i⅔} א,CP,RP,TR ¦ αυτον **M**^{a,b,d,f,gpt,h⅖,i⅓} **𝔓**^{47}A,C,HF,OC,NU

κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ[1] γέγραπται τὸ ὄνομα[2] ἐν τῷ Βιβλίῳ[3] τῆς Ζωῆς τοῦ Ἀρνίου, τοῦ ἐσφαγμένου ἀπὸ καταβολῆς κόσμου.

9 Εἴ τις ἔχει οὖς, ἀκουσάτω. **10** Εἴ τις ἔχει αἰχμαλωσίαν, ὑπάγει·[4] εἴ τις ἐν μαχαίρᾳ ἀποκτένει,[5] δεῖ αὐτὸν ἐν μαχαίρᾳ[6] ἀποκτανθῆναι. Ὧδέ ἐστιν ἡ ὑπομονὴ καὶ ἡ πίστις τῶν ἁγίων.

A beast from the land

11 Καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, καὶ εἶχεν κέρατα δύο[7] ὅμοια ἀρνίῳ καὶ ἐλάλει ὡς δράκων. **12** Καὶ τὴν ἐξουσίαν τοῦ πρώτου Θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ· καὶ ἐποίει[8] τὴν γῆν καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας[9] ἵνα προσκυνήσωσιν[10] τὸ Θηρίον τὸ πρῶτον, οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ. **13** Καὶ ποιεῖ σημεῖα μεγάλα, καὶ πῦρ ἵνα[11] ἐκ τοῦ οὐρανοῦ καταβαίνῃ[12] ἐπὶ[13] τὴν γῆν ἐνώπιον τῶν ἀνθρώπων. **14** Καὶ πλανᾷ τοὺς ἐμούς,[14] τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς, διὰ τὰ σημεῖα ἃ ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ Θηρίου, λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς ποιῆσαι εἰκόνα τῷ θηρίῳ, ὃ εἶχεν[15] τὴν πληγὴν[16] τῆς μαχαίρας καὶ ἔζησεν.[17] **15** Καὶ ἐδόθη αὐτῷ πνεῦμα δοῦναι[18] τῇ εἰκόνι τοῦ Θηρίου, ἵνα καὶ λαλήσῃ ἡ εἰκὼν τοῦ Θηρίου, καὶ ποιήσῃ[19] ὅσοι[20] ἐὰν[21] μὴ προσκυνήσωσιν τῇ εἰκόνι[22] τοῦ Θηρίου ἵνα[23] ἀποκτανθῶσιν. **16** Καὶ ποιεῖ πάντας—τοὺς μικροὺς καὶ τοὺς μεγάλους, καὶ τοὺς πλουσίους καὶ τοὺς πτωχούς, καὶ τοὺς ἐλευθέρους καὶ τοὺς δούλους—ἵνα δῶσιν[24] αὐτοῖς χαράγματα[25] ἐπὶ τῆς[26] χειρὸς αὐτῶν τῆς δεξιᾶς, ἢ ἐπὶ τῶν μετώπων[27] αὐτῶν, **17** καὶ ἵνα μή τις δύνηται[28] ἀγοράσαι ἢ πωλῆσαι εἰ μὴ ὁ ἔχων τὸ

---

[1] ων ου *rell* ¦ 1 ουτε **M**^{a⅔,g¼} ¦ ου ου C,NU ¦ 1 א ¦ ουαι A

[2] το ονομα **f**^{35} **M**^{a,b,ept,f,g,i} CP,RP,HF,OC ¦ 12 αυτου **M**^{h⅖} A,C,NU ¦ τα ονοματα **M**^{d,ept,i¼} TR ¦ τα ονοματα αυτων **M**^{h⅖} **𝔓**^{47}א

[3] τω βιβλιω **𝔓**^{115} *rell* ¦ 2 C ¦ βιβλω א[+11 assorted mss] ¦ τη βιβλω **M**^{e⅓} **𝔓**^{47v},TR

[4] εχει αιχμαλωσιαν υπαγει **f**^{35} **M**^{a,e⅙,f,gpt,i} CP,RP,HF ¦ εις 23 **M**^{d,ept,h} אC ¦ 2 συναγει **M**^{e⅓} ¦ 2 συναγει εις 23 TR ¦ εις 2 εις 23 A,NU ¦ εις 2 απαγει εις 23 **M**^{b} OC ¦ αιχμαλωτιζει εις 23 **M**^{gpt} ¦ 5 other readings (Render, "if anyone has captivity, he goes away"—anyone who has been appointed to captivity will certainly be taken away; being less than transparent the Text gave rise to evasive action.)

[5] αποκτενει (-εινει **M**^{d⅔} א; -εννει **M**^{bpt,h¼} OC) **f**^{35} **M**^{a⅕,b,d,e,g,h,ipt} (א)C,CP,RP(OC)TR ¦ --- **M**^{a,f,ipt} HF ¦ αποκτανθηναι A,NU (OC is in small print.)

[6] εν μαχαιρα **f**^{35} **M**^{b,d,e,g,h} (א)A,C)CP,RP,OC(NU)TR ¦ --- **M**^{a,f,i} HF

[7] δυο **f**^{35} **M**$^{a¼,b,d,e,g,h,i2/7}$ (**𝔓**^{47})אA,C,CP,RP,HF,OC,NU,TR ¦ --- **M**^{a,f,i} (OC is in small print.)

[8] εποιει **f**^{35} **M**^{a,e⅙,f,g¼,h⅓,ipt} CP,RP,HF ¦ ποιει **M**^{d,e,g,h,ipt} **𝔓**^{47}אA,C,OC,NU,TR ¦ ποιησει **M**^{b}

[9] εν αυτη κατοικουντας *rell* ¦ ~ 312 C,TR

[10] ινα προσκυνησωσιν *rell* ¦ 1 προσκυνησουσιν **𝔓**^{47}A,C,NU ¦ προσκυνιν א

[11] και πυρ ινα **f**^{35} **M**^{a,f,g,i} CP,RP,HF,OC ¦ ~ 312 ποιη **M**^{ept,h} אA(C)NU,TR ¦ ~ 312 ποιει **M**^{ept} ¦ ~ 312 ποιηση **M**^{b} **𝔓**^{47} ¦ ~ 3 εν πλανη ποιη 2 **M**^{d}

[12] εκ του ουρανου καταβαινη **f**^{35} **M**$^{a,f,(g),i}$ CP,RP,HF,OC ¦ 123 καταβηναι **M**^{b} **𝔓**^{47} ¦ 123 καταβαινειν **M**^{d,hpt} A(C)NU ¦ ~ καταβαινειν 123 **M**^{e,hpt} א,TR

[13] επι **f**^{35} **M**^{a,f,g,i} **𝔓**^{47},CP,RP,HF ¦ εις **M**^{b,d,e,h} אA,C,OC,NU,TR

[14] τους εμους **f**^{35} **M**^{a,f,ipt} CP,RP,HF ¦ --- **M**^{b,d,e,g,h,ipt} **𝔓**^{47}אA,C,OC,NU,TR

[15] ο ειχεν **f**^{35} **M**^{a,e⅓,f,h⅓,i} CP,RP,HF ¦ ω 2 **M**^{g} ¦ 1 εχει **M**^{ept,hpt} א,TR ¦ ος εχει **M**^{b,d,e¼} **𝔓**^{47}A,C,NU ¦ ος 2 OC

[16] την πληγην **f**^{35} **M**^{b,d,e,g,h,i⅓} **𝔓**^{47}A,C,CP,RP,OC,NU,TR ¦ 2 **M**^{a,f,i⅔} HF ¦ πληγης א

[17] της μαχαιρας και εζησεν **f**^{35} **M**^{b,d,e,h,i⅓} CP,OC,TR ¦ 1 μαχαιρης 34 (**𝔓**^{47})אA,C,NU ¦ ~ 34 απο 12 **M**^{a,f,gpt,i⅔} RP,HF ¦ ~ 34 απο της πληγης 12 **M**^{gpt}

[18] πνευμα δουναι **f**^{35} **M**^{a,b,e¼,f,g,i⅔} CP,RP,HF,OC ¦ ~ 21 **M**^{d,e,h,i⅓} אA,NU,TR ¦ 1 C

[19] ποιηση *rell* ¦ ποιησει **M**^{bpt,dpt,e⅕,g} א ¦ C omits whole sentence

[20] οσοι *rell* ¦ ινα 1 A[NU]

[21] εαν **f**^{35} **M**^{a,b,f,g,h⅕,i} A,RP,HF,OC,NU ¦ αν **M**^{d,e,hpt} א,TR ¦ --- **M**^{h⅓} CP

[22] τη εικονι *rell* ¦ την εικονα **M**^{ept} A,TR

[23] ινα **f**^{35} **M**^{ept} CP,OC,TR ¦ --- **M**^{a,b,d,ept,f,g,h,i} **𝔓**^{47v}אA,C,RP,HF,NU (OC is in small print.)

[24] δωσιν **f**^{35} **M**$^{b,d2/7,ept,hpt,i¼}$ אA,C,CP,NU ¦ δωσωσιν **M**^{apt,d⅗,f2⅓,g,ipt} RP,HF ¦ δωσουσιν **M**^{a1⅓,e⅙,f1⅓,i⅕} OC ¦ δωση **M**^{e⅓,hpt} TR

[25] χαραγματα **f**^{35} **M**^{a,f,g,ipt} **𝔓**^{47},CP,RP,HF ¦ χαραγμα **M**^{b,d,e,h,ipt} אA,C,OC,NU,TR

[26] της **f**^{35} **M**^{a⅓,b,d,e,g,h,i⅗} **𝔓**^{47}אA,C,CP,RP,HF,OC,NU,TR ¦ --- **M**^{a⅔,f,i⅕}

[27] των μετωπων **f**^{35} **M**^{a⅓,b¼,d,e} **𝔓**^{47}(CP)OC,TR ¦ το μετωπον **M**^{a⅔,b,f,g,h,i} אA,RP,HF,NU ¦ του μετωπου C

[28] δυνηται **f**^{35} **M**^{a⅖,b,d1⅕,e⅕,h⅖,i⅓} **𝔓**^{47}אA,C,CP,OC,NU,TR ¦ δυναται **M**^{a⅗,d,e,f,g,h⅗,i⅔} RP,HF

χάραγμα, τὸ ὄνομα τοῦ Θηρίου[1] ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ. **18** Ὧδε ἡ σοφία ἐστίν· ὁ ἔχων νοῦν[2] ψηφισάτω τὸν ἀριθμὸν τοῦ Θηρίου, ἀριθμὸς γὰρ ἀνθρώπου ἐστίν—καὶ[3] ὁ ἀριθμὸς αὐτοῦ ἐστιν[4] χξς΄.[5]

The Lamb and the 144,000

14:1 Καὶ εἶδον καὶ ἰδού,[6] Ἀρνίον ἑστηκὸς[7] ἐπὶ τὸ Ὄρος Σιών, καὶ μετ᾽ αὐτοῦ[8] ἑκατὸν τεσσαράκοντα τέσσαρες[9] χιλιάδες, ἔχουσαι τὸ ὄνομα αὐτοῦ, καὶ[10] τὸ ὄνομα τοῦ Πατρὸς αὐτοῦ, γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν. **2** Καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῆς μεγάλης· καὶ ἡ φωνὴ ἣν ἤκουσα ὡς[11] κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν. **3** Καὶ ᾄδουσιν[12] ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τῶν τεσσάρων ζῴων καὶ τῶν πρεσβυτέρων· καὶ οὐδεὶς[13] ἐδύνατο[14] μαθεῖν τὴν ᾠδὴν εἰ μὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς. **4** Οὗτοί εἰσιν οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν, παρθένοι γάρ εἰσιν. Οὗτοί εἰσιν[15] οἱ ἀκολουθοῦντες τῷ Ἀρνίῳ ὅπου ἂν[16] ὑπάγῃ. Οὗτοι ὑπὸ Ἰησοῦ[17] ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων, ἀπαρχὴ τῷ Θεῷ καὶ τῷ Ἀρνίῳ. **5** Καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη ψεῦδος,[18,19] ἄμωμοι γάρ[20] εἰσιν.[21]

Three angels

6 Καὶ εἶδον ἄλλον ἄγγελον[22] πετόμενον[23] ἐν μεσουρανήματι, ἔχοντα εὐαγγέλιον αἰώνιον εὐαγγελίσασθαι[24] τοὺς καθημένους[25] ἐπὶ τῆς γῆς—καὶ ἐπὶ[26] πᾶν ἔθνος καὶ φυλὴν καὶ γλῶσσαν

---

[1] το ονομα του θηριου *rell* ¦ η 1234 𝔓47,CP,TR ¦ του ονοματος 34 **M**e⅓ C ¦ ~ 34 η 12 αυτου **M**h⅓ א

[2] νουν *rell* ¦ τον 1 **M**ept TR ¦ ουν 𝔓47 ¦ ους **M**gpt א

[3] και **f**35 **M**a⅙,d,e,h,ipt A,C,CP,RP,OC,NU,TR ¦ --- **M**a,b,(e¼),f,g,ipt (𝔓47א)HF

[4] εστιν **f**35 **M**d,e⅔,h,i⅓ 𝔓47C,CP,RP ¦ --- **M**a,b,e⅓,f,g,i⅔ אA,HF,OC,NU,TR

[5] χξς΄ *rell* ¦ εξακοσια εξηκοντα εξ **M**a⅙,e¼,g,h⅓ RP ¦ εξακοσιοι εξηκοντα εξ (א)A,CP,NU ¦ χξ και ς **M**e¼ ¦ εξακοσιαι δεκα εξ C ¦ χις 𝔓115 (I have argued elsewhere that the economic factor that dictated abbreviated forms for numbers and frequent nouns would not have been present when the Autographs were being penned, but since this particular number has to fit on hands and foreheads—of course a chip under the skin [that some are already receiving] will hold any amount of information—and the middle letter does resemble a snake. Actually, both 𝔓47 and 𝔓115 have the three letters, and the third letter in both is a clear *sigma*, not a *stigma*. However, since *sigma* = 200, it is impossible in this position, so we may assume that a *stigma* was intended, unless the copyist simply did not know Greek.)

[6] ιδου **f**35 **M**b,d⅔,e 𝔓47,CP,TR ¦ 1 το **M**a,d⅓,f,g,h,i אA,C,RP,HF,OC,NU

[7] εστηκος **f**35 **M**a,e¼,f,gpt,i⅔ CP,RP,HF,OC,TR ¦ εστηκως **M**gpt,i⅓ ¦ εστος **M**dpt אA,C,NU ¦ εστως **M**b,dpt,e,h 𝔓47

[8] αυτου **f**35 **M**d,e,h 𝔓47אA,C,CP,OC,NU,TR ¦ 1 αριθμος **M**a,b,e⅕,f,g,i RP,HF

[9] εκατον τεσσαρακοντα τεσσαρες **M**a⅓,b,c⅛,d⅓,ept,g,h⅔,i⅓ CP,RP,OC,TR ¦ 1 τεσσερακοντα 3 אA,C,NU ¦ ρμδ΄ **f**35 **M**a⅔,d⅔,ept,f,h⅓,i⅔ 𝔓47HF (A similar statement obtains in verse 3 below.)

[10] το ονομα αυτου και *rell* ¦ --- TR

[11] η φωνη ην ηκουσα ως **f**35 **M**a,b,e⅙,f,g,h,i⅔ אA,C,CP,RP,HF,OC,NU ¦ φωνην 4 **M**d⅓,e,i⅓ 𝔓47,TR ¦ φωνην 45 **M**d⅔

[12] αδουσιν **f**35 **M**a,b,e⅓,f,g,h⅔,i 𝔓47א,CP,RP,HF,OC ¦ 1 ως **M**d,e⅔,h⅓ A,C[NU]TR

[13] ουδεις *rell* ¦ ουδε εις **M**a⅔,f⅓,i⅓ ¦ ουδις C

[14] εδυνατο **f**35 **M**a⅔,f,g,h⅖,i⅔ 𝔓47אA,C,CP,RP,HF,OC,NU ¦ ηδυνατο **M**a⅓,b,d,e,h⅗,i⅓ TR

[15] εισιν **f**35 **M**a,b,d⅓,e⅓,f,g,i CP,RP,HF,OC,TR ¦ --- **M**d⅔,e⅔,h אA,C,NU

[16] αν **f**35 **M**a⅕,b,d,e,h,i⅓ אA,C,CP,RP,OC,NU,TR ¦ εαν **M**a,f,g,i⅔ HF

[17] υπο ιησου **f**35 **M**a,f,g,i CP,RP,HF ¦ --- **M**b,d,e,h 𝔓47אA,C,OC,NU,TR

[18] εν τω στοματι αυτων ουχ ευρεθη ψευδος **f**35 **M**d,e,gpt,h,i⅓ 𝔓47אA,C,CP(TR)NU ¦ ~ 5612347 **M**a,b,f,gpt,i⅔ RP,HF ¦ ~ 5671234 OC

[19] ψευδος *rell* ¦ δολος **M**e⅓ TR

[20] γαρ *rell* ¦ --- **M**e⅓ A,C,NU

[21] εισιν *rell* ¦ 1 ενωπιον του θρονου του θεου TR

[22] αλλον αγγελον **f**35 **M**b¼,d⅔,h⅗ A,C,CP,OC,NU,TR ¦ ~ 21 **M**b ¦ 2 **M**a,d⅓,e,f,g,h⅖,i 𝔓47א,RP,HF

[23] πετομενον *rell* ¦ πετωμενον TR ¦ πεταμενον א

[24] ευαγγελισασθαι **f**35 **M**b,d,h⅖ 𝔓47(א)CP ¦ ευαγγελισαι **M**a,e,f,g,h⅗,i A,C,RP,HF,OC,NU,TR

[25] τους καθημενους **f**35 **M**a,e⅕,f,g,h⅖,i CP,RP,HF ¦ επι 12 **M**b,h⅗ 𝔓47אC,OC,NU ¦ 1 κατοικουντας **M**d,e⅙ TR ¦ επι 1 κατοικουντας A ¦ κατοικουντας 𝔓115 ¦ 121 κατοικουντας **M**e⅗ [Now there is a proper conflation!]

[26] επι **f**35 **M**a,b,ept,f,g,h,i 𝔓47אA,C,CP,RP,HF,OC,NU ¦ --- **M**d,ept TR

καὶ λαόν—**7** λέγων[1] ἐν φωνῇ μεγάλῃ, «Φοβήθητε τὸν Θεὸν[2] καὶ δότε αὐτῷ δόξαν, ὅτι ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ, καὶ προσκυνήσατε τῷ ποιήσαντι[3] τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν[4] θάλασσαν καὶ πηγὰς ὑδάτων.»

8 Καὶ ἄλλος ἄγγελος, δεύτερος,[5] ἠκολούθησεν λέγων· «Ἔπεσεν, ἔπεσεν,[6] Βαβυλὼν ἡ μεγάλη,[7] ἐκ[8] τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς[9] πεπότικεν πάντα τὰ ἔθνη.»[10]

9 Καὶ ἄλλος ἄγγελος, τρίτος,[11] ἠκολούθησεν αὐτοῖς, λέγων ἐν φωνῇ μεγάλῃ· «Εἴ τις προσκυνεῖ τὸ Θηρίον[12] καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ λαμβάνει[13] χάραγμα ἐπὶ τοῦ μετώπου αὐτοῦ ἢ ἐπὶ τὴν χεῖρα αὐτοῦ, **10** καὶ αὐτὸς πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ Θεοῦ, τοῦ κεκερασμένου ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς αὐτοῦ. Καὶ βασανισθήσεται ἐν πυρὶ καὶ θείῳ ἐνώπιον τῶν ἁγίων ἀγγέλων[14] καὶ ἐνώπιον τοῦ Ἀρνίου.» **11** Καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ αὐτῶν εἰς αἰῶνας αἰώνων ἀναβαίνει·[15] καὶ οὐκ ἔχουσιν ἀνάπαυσιν ἡμέρας καὶ νυκτός, οἱ προσκυνοῦντες τὸ Θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ εἴ τις λαμβάνει τὸ χάραγμα τοῦ ὀνόματος αὐτοῦ.

12 Ὧδε ἡ[16] ὑπομονὴ τῶν ἁγίων ἐστίν, ὧδε[17] οἱ τηροῦντες τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ τὴν πίστιν τοῦ Ἰησοῦ.[18] **13** Καὶ ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ λεγούσης μοι,[19] «Γράψον· ‹Μακάριοι οἱ νεκροί, οἱ ἐν Κυρίῳ ἀποθνήσκοντες ἀπ᾽ ἄρτι› (λέγει «Ναὶ»[20] τὸ Πνεῦμα), ‹ἵνα ἀναπαύσωνται[21] ἐκ τῶν κόπων αὐτῶν, τὰ δὲ[22] ἔργα αὐτῶν ἀκολουθεῖ μετ᾽ αὐτῶν.› »

The earth is harvested

14 Καὶ εἶδον καὶ ἰδού, νεφέλη λευκή, καὶ ἐπὶ τὴν νεφέλην καθήμενος ὅμοιος[23] υἱῷ[24] ἀνθρώπου, ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν, καὶ ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ὀξύ. **15** Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ[25] κράζων ἐν φωνῇ μεγάλῃ[26] τῷ καθημένῳ ἐπὶ τῆς νεφέλης,

---

[1] λεγων *rell* ¦ λεγοντα **𝔓**^{47}[+14 mss]TR ¦ λεγον [4 mss] ¦ --- **א**

[2] θεον **f**^{35} **M**^{d,e,h} **𝔓**^{47}**א**A,C,CP,NU,TR ¦ κυριον **M**^{a,b,f,g,i} RP,HF,OC

[3] τω ποιησαντι **f**^{35} **M**^{b,e,h} **𝔓**^{47}**א**A,C,CP,OC,NU,TR ¦ αυτω 12 **M**^{g} ¦ αυτον τον ποιησαντα **M**^{a,d,f,i} RP,HF

[4] την *rell* ¦ --- **M**^{e⅓,h⅓} A,C,NU,TR

[5] αγγελος δευτερος **f**^{35} **M**^{d,e⅗,h⅓,i⅖} (C)CP,NU ¦ ~ 21 **M**$^{a,b,e2/7,f,g,h⅓,i⅗}$ A,RP,HF,OC ¦ 1 TR ¦ 2 (β΄ **𝔓**^{47}) **M**^{h⅓} **א**

[6] επεσεν επεσεν **f**^{35} **M**^{a⅕,d,e,hpt,i¼} **𝔓**^{47}A,CP,OC,NU,TR ¦ επεσεν **M**^{a,b,d⅕,e¼,f,g,hpt,i} C,RP,HF (An easy case of homoioteleuton, or -arcton, or both.)

[7] βαβυλων η μεγαλη *rell* ¦ ~ 231 **M**^{e⅓} ¦ 12 πολις 23 TR

[8] εκ **f**^{35} **M**^{a,d,e⅖,f,g,h⅕,i⅔} **𝔓**^{47},CP,RP,HF ¦ η 1 **M**^{a⅛,b,h} A,C,OC,NU ¦ οτι 1 **M**^{e⅗,i¼} TR

[9] αυτης **f**^{35} **M**$^{apt,b,d2/7,e,fpt,g⅓,h,i}$ **𝔓**^{47}**א**A,C,CP,RP,HF,OC,NU,TR ¦ ταυτης **M**^{apt,fpt,g⅔,i⅕} ¦ 1 ης **M**^{d}

[10] παντα τα εθνη *rell* ¦ ~ 231 **M**^{d⅔} ¦ 13 OC,TR

[11] αλλος αγγελος τριτος *rell* ¦ ~ 132 **M**^{e¼} ¦ ~ 32 TR

[12] προσκυνει το θηριον (**א**) *rell* ¦ ~ 231 **M**^{ept} TR ¦ 1 τω θηριω C ¦ 12 θυσιαστηριον A

[13] λαμβανει **f**^{35} **M**^{a,d⅕,e,f,g,h,i} **𝔓**^{47}**א**A,C,CP,RP,HF,NU,TR ¦ 1 το **M**^{b,d,h¼,i⅕} OC

[14] των αγιων αγγελων *rell* ¦ ~ 32 **M**^{e⅔,h} **א**C,NU ¦ 13 A

[15] εις αιωνας αιωνων αναβαινει **f**^{35} **M**$^{a,b,e⅕,fpt,h⅗(⅖),i}$ **𝔓**^{47}(**א**)A,CP,RP,HF,OC,NU ¦ ~ 4123 **M**^{gpt} TR ¦ 1 αιωνα 34 **M**^{a½,e¼,fpt,g⅓} ¦ 1 αιωνα αιωνος 4 **M**^{d,e⅕} C ¦ 1 αιωνα αιωνων αναβαινων **M**^{e⅕}

[16] η *rell* ¦ --- **M**^{f⅓,g¼} CP,TR

[17] ωδε **f**^{35} **M**^{d,e,g} CP,TR ¦ --- **M**^{a,b,f,h,i} **𝔓**^{47}(**א**)A,C,RP,HF,OC,NU

[18] του ιησου **f**^{35} CP ¦ 2 **M**^{a,b,e,f,g,h,i} **𝔓**^{47}**א**A,C,RP,HF,OC,NU,TR ¦ 2 χριστου **M**^{d} (του receives votes from four other groups, but they add up to only 12 MSS; it preserves the symmetry in the verse—each genitive noun is preceded by an article.)

[19] μοι **f**^{35} **M**^{d,e,h⅗,i⅓} CP,TR ¦ --- **M**^{a,b,f,g,h⅖,i⅔} **𝔓**^{47}(**א**)A(C)RP,HF,OC,NU

[20] λεγει ναι **f**^{35} **M**^{a,f,ipt} CP,RP,HF ¦ ~ 21 **M**^{b,d,e,g⅓,h,ipt} A,C,OC,NU,TR ¦ 1 **M**^{gpt} **𝔓**^{47}**א**

[21] αναπαυσωνται **f**^{35} **M**^{a,b,d,ept,f,h,ipt} CP,RP,HF,OC,TR ¦ αναπαυσονται **M**$^{b⅕,d2/7,ept,g,ipt}$ C ¦ αναπαησονται **𝔓**^{47}**א**A,NU,[no cursives]

[22] δε *rell* ¦ γαρ **𝔓**^{47}**א**A,C,NU

[23] καθημενος ομοιος **f**^{35} **M**^{d⅓,e⅔,g,ipt} CP,OC,TR ¦ καθημενον ομοιον **f**^{35pt} **M**^{a,b,d⅔,f,h,ipt} **א**A,C,RP,HF,NU ¦ καθημενος ομοιον **𝔓**^{47} (There are some seven further variants, which is why the numbers don't all add up; **𝔓**^{47} would appear to have a rather early conflation; I take it that the grammar calls for the nominative.)

[24] υιω **f**^{35} **M**^{a⅓,b,dpt,e⅔,f⅔,g,h,ipt} **𝔓**^{47}C,CP,RP,OC,TR ¦ υιον **M**^{a⅔,dpt,f⅓,ipt} **א**A,HF,NU ¦ υιος **M**^{e⅓}

[25] ναου **f**^{35} **M**^{a,b,f,h⅔,ipt} A,C,CP,RP,HF,OC,NU,TR ¦ ουρανου **M**^{d,e,g,ipt} ¦ 1 αυτου **M**^{h⅓} **א**

[26] εν φωνη μεγαλη *rell* ¦ ~ 132 TR ¦ 23 **𝔓**^{47}

«Πέμψον τὸ δρέπανόν σου καὶ θέρισον, ὅτι ἦλθεν[1] ἡ ὥρα τοῦ[2] θερίσαι, ὅτι ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς.» **16** Καὶ ἔβαλεν ὁ καθήμενος ἐπὶ τὴν νεφέλην[3] τὸ δρέπανον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ ἐθερίσθη ἡ γῆ.

17 Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ (τοῦ ἐν τῷ οὐρανῷ), ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ. **18** Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν[4] ἐκ τοῦ θυσιαστηρίου (ἔχων[5] ἐξουσίαν ἐπὶ τοῦ πυρός), καὶ ἐφώνησεν κραυγῇ[6] μεγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ ὀξὺ λέγων, «Πέμψον σου τὸ δρέπανον τὸ ὀξὺ καὶ τρύγησον τοὺς βότρυας τῆς ἀμπέλου τῆς γῆς, ὅτι ἤκμασαν αἱ σταφυλαὶ αὐτῆς.»[7] **19** Καὶ ἔβαλεν[8] ὁ ἄγγελος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν καὶ ἐτρύγησεν τὴν ἄμπελον τῆς γῆς, καὶ ἔβαλεν εἰς τὴν ληνὸν τοῦ θυμοῦ τοῦ Θεοῦ, τὸν μέγαν.[9] **20** Καὶ ἐπατήθη ἡ ληνὸς ἔξωθεν[10] τῆς πόλεως, καὶ ἐξῆλθεν αἷμα ἐκ τῆς ληνοῦ ἄχρι τῶν χαλινῶν τῶν ἵππων, ἀπὸ σταδίων χιλίων ἑξακοσίων.[11]

Here come the bowls!

15:1 Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ, μέγα καὶ θαυμαστόν· ἀγγέλους ἑπτὰ ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας, ὅτι ἐν αὐταῖς ἐτελέσθη ὁ θυμὸς τοῦ Θεοῦ.

The song of the victors

2 Καὶ εἶδον ὡς θάλασσαν ὑελίνην[12] μεμιγμένην πυρί, καὶ τοὺς νικῶντας ἐκ τοῦ Θηρίου καὶ ἐκ τῆς εἰκόνος[13] αὐτοῦ καὶ[14] ἐκ τοῦ ἀριθμοῦ τοῦ ὀνόματος αὐτοῦ ἑστῶτας ἐπὶ τὴν θάλασσαν τὴν ὑελίνην,[15] ἔχοντας κιθάρας[16] τοῦ Θεοῦ. **3** Καὶ ᾄδουσιν τὴν ᾠδὴν Μωϋσέος,[17] τοῦ[18] δούλου τοῦ Θεοῦ, καὶ τὴν ᾠδὴν τοῦ Ἀρνίου, λέγοντες· «Μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου, Κύριε, ὁ Θεὸς ὁ Παντοκράτωρ· δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί σου, ὁ Βασιλεὺς τῶν ἐθνῶν.[19] **4** Τίς οὐ μὴ φοβηθῇ σε,[20] Κύριε, καὶ δοξάσῃ[21] τὸ ὄνομά σου; Ὅτι μόνος ἅγιος εἶ·[22] ὅτι πάντα τὰ ἔθνη[23] ἥξουσιν καὶ προσκυνήσουσιν ἐνώπιόν σου, ὅτι τὰ δικαιώματά σου ἐφανερώθησαν.»

---

[1] ηλθεν **f**^{35} **M**$^{a,b,d2/3,e2/5,f,g,h,i}$ ℵA,C,CP,RP,HF,OC,NU ¦ 1 σου **M**$^{d1/3,e3/5}$ ¦ 1 σοι **M**^{g} TR

[2] του **f**^{35} **M**$^{a1/3,e1/3,h,i1/3}$ ℵ,CP,OC,TR ¦ --- **M**$^{a2/3,b,d,e2/3,f,g,i2/3}$ A,C,RP,HF,NU (OC is in small print.)

[3] την νεφελην *rell* ¦ τη νεφελη **M**$^{a,g1/4}$ ¦ της νεφελης **M**$^{hpt,i1/3}$ ℵA,NU

[4] εξηλθεν *rell* [NU] ¦ --- $\mathfrak{P}^{47v}$,A

[5] εχων *rell* ¦ ο 1 A,C[NU]

[6] κραυγη **f**^{35} **M**$^{a1/3,d,e,f1/4,i1/3}$ ($\mathfrak{P}^{47}$)C,CP,RP,OC,TR ¦ εν 1 **M**$^{apt,b,e1/5,f,g,i2/3}$ HF ¦ φωνη **M**^{h} ℵA,NU

[7] ηκμασαν αι σταφυλαι αυτης **f**^{35} **M**^{d,e,h,ipt} $\mathfrak{P}^{47}$ℵ(A)C,CP,RP,NU,TR ¦ ηκμασεν η σταφυλη της γης **M**^{a,b,f,ipt} HF,OC ¦ 123 της γης **M**^{g}

[8] εβαλεν **f**^{35} **M**$^{a1/5,d,e,g2/3,h,ipt}$ $\mathfrak{P}^{47}$ℵA,C,CP,RP,OC,NU,TR ¦ εξεβαλεν **M**$^{a,b,f,g1/3,ipt}$ HF

[9] του θυμου του Θεου τον μεγαν **f**^{35} **M**$^{a,e3/5,f,h1/5,i2/3}$ (A)C,CP,RP,HF,NU ¦ 1234 την μεγαλην **M**$^{c1/5,d,e2/5,g,h2/3}$ ℵ,OC,TR ¦ ~ 561234 **M**^{b} ¦ 1234 του μεγαλου **M**$^{i1/4}$ $\mathfrak{P}^{47}$ (Is 'the great' modifying 'wrath' or 'wine-press'?)

[10] εξωθεν **f**^{35} **M**$^{a,b,f,g,h3/5,ipt}$ $\mathfrak{P}^{47}$A,C,CP,RP,HF,NU ¦ εξω **M**$^{d,e,g1/4,h2/5,ipt}$ ℵ,OC,TR

[11] χιλιων εξακοσιων **f**^{35} **M**$^{a2/5,b,d1/5,ept,g,h2/3,i}$ ($\mathfrak{P}^{47}$)A,C,CP,RP,HF,OC,NU,TR ¦ αχ΄ **M**$^{a3/5,ept,f,h1/3}$ ¦ αχς΄ **M**^{d} ¦ 1 διακοσιων ℵ

[12] υελινην **f**^{35} **M**$^{a1/3,b1/4,d1/5,ept,f1/4,hpt,i1/4}$ $\mathfrak{P}^{47}$,CP ¦ υαλινην **M**$^{a2/3,b,d,ept,f,g,hpt,i}$ ℵA,C,RP,HF,OC,NU,TR (Hellenistic or Attic, which?)

[13] του θηριου και εκ της εικονος **f**^{35} **M**$^{b,d,e,h2/5,ipt}$ A,C,CP,RP,HF,OC,NU,TR ¦ 12356 **M**$^{g,h2/7}$ $\mathfrak{P}^{47v}$ℵ ¦ ~ 563412 **M**$^{a,f,h2/7,ipt}$

[14] και **f**^{35} **M**$^{a,f,gpt(pt),h,ipt}$ $\mathfrak{P}^{47v}$A,C,CP,RP,HF,OC,NU ¦ 1 εκ του χαραγματος αυτου 1 **M**$^{a1/6,b,d,e,f1/5,ipt}$ ¦ 1 εκ του χαραγματος αυτου TR

[15] υελινην **f**^{35} **M**$^{a1/3,b1/4,d1/5,ept,f1/5,g2/3,hpt,i1/4}$ $\mathfrak{P}^{47v}$,CP ¦ υαλινην **M**$^{a2/3,b,d,ept,f,g1/3,hpt,i}$ ℵA,C,RP,HF,OC,NU,TR

[16] κιθαρας **f**^{35} **M**$^{a1/3,d,e,f1/4,h,ipt}$ $\mathfrak{P}^{47}$ℵA,C,CP,RP,NU,TR ¦ τας 1 **M**$^{a2/3,b,f,g,h1/4,ipt}$ HF,OC (OC is in small print.)

[17] μωυσεος **f**^{35} **M**$^{a1/3,d1/5,f1/4,h1/4}$ CP ¦ μωυσεως **M**$^{apt,b,e2/3,f,g,hpt,i}$ ℵA,RP,HF,OC,NU ¦ μωσεως **M**$^{d2/3,e1/4}$ $\mathfrak{P}^{47}$,TR

[18] του *rell* ¦ --- **M**$^{a1/6,b,g,i1/4}$ TR

[19] εθνων **f**^{35} **M**^{a,b,d,e,f,g,hpt,i} A,CP,RP,HF,OC,NU ¦ αιωνων **M**^{hpt} $\mathfrak{P}^{47}$ℵC ¦ αγιων TR (Some modern versions follow the middle reading, an alteration dating to the 2nd century—'king of the nations' would definitely not be politically correct in the Roman empire in those early centuries.)

[20] ου μη φοβηθη σε **f**^{35} **M**$^{a,b,d1/5,e1/5,f,g,i}$ CP,RP,HF,TR ¦ 123 **M**$^{d,e,h1/3,i1/5}$ A,C,OC,NU ¦ ~ 4123 **M**$^{h2/5}$ $\mathfrak{P}^{47}$ ¦ ~ 413 **M**$^{h1/3}$ ℵ

[21] δοξαση **f**^{35} **M**$^{apt,b2/3,d2/7,ept,g1/3,h2/3,i1/3}$ ℵ,CP,RP,HF,OC,TR ¦ δοξασει **M**$^{apt,b1/3,d,ept,f,g2/3,h1/3,i2/3}$ ($\mathfrak{P}^{47}$)A,C,NU

[22] αγιος ει **f**^{35} **M**$^{h1/4,i1/3}$ CP ¦ 1 **M**$^{a,b,e(1/4)f,g,ipt}$ RP,HF ¦ 2 $\mathfrak{P}^{47}$ ¦ οσιος **M**^{d,e,h} ℵA,C,OC,NU,TR (αγιος ει has slight support from four other families as well; the verb, before or after the adjective, is supported by **f**^{35} **M**$^{a1/6,e1/3,hpt,ipt}$ $\mathfrak{P}^{47}$; being the song of Moses and the Lamb, both Jews, we should presumably expect the fuller form.)

[23] παντα τα εθνη **f**^{35} **M**$^{a1/5,d,e,f1/5,h,i1/4}$ $\mathfrak{P}^{47}$ℵA,C,CP,RP,OC,NU,TR ¦ παντες **M**^{a,b,f,g,i} HF

The angels are commissioned

5 Καὶ μετὰ ταῦτα εἶδον, καὶ[1] ἠνοίγη ὁ ναὸς τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ. **6** Καὶ ἐξῆλθον οἱ ἑπτὰ ἄγγελοι, οἱ[2] ἔχοντες τὰς ἑπτὰ πληγάς, ἐκ τοῦ οὐρανοῦ,[3] οἳ ἦσαν[4] ἐνδεδυμένοι λίνον καθαρὸν λαμπρὸν[5] καὶ περιεζωσμένοι περὶ τὰ στήθη ζώνας χρυσᾶς. **7** Καὶ ἓν ἐκ τῶν τεσσάρων ζῴων ἔδωκεν τοῖς ἑπτὰ ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς γεμούσας τοῦ θυμοῦ τοῦ Θεοῦ, τοῦ ζῶντος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. **8** Καὶ ἐγεμίσθη ὁ ναὸς[6] καπνοῦ ἐκ τῆς δόξης τοῦ Θεοῦ καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ, καὶ οὐδεὶς ἠδύνατο[7] εἰσελθεῖν εἰς τὸν ναὸν ἄχρι τελεσθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν[8] ἀγγέλων. **16:1** Καὶ ἤκουσα φωνῆς μεγάλης[9] ἐκ τοῦ ναοῦ[10] λεγούσης τοῖς ἑπτὰ ἀγγέλοις, «Ὑπάγετε,[11] ἐκχέατε τὰς[12] φιάλας τοῦ θυμοῦ τοῦ Θεοῦ εἰς τὴν γῆν.»

The first bowl

2 Καὶ ἀπῆλθεν ὁ πρῶτος[13] καὶ ἐξέχεεν τὴν φιάλην αὐτοῦ ἐπὶ[14] τὴν γῆν, καὶ ἐγένετο ἕλκος κακὸν καὶ πονηρὸν εἰς[15] τοὺς ἀνθρώπους τοὺς ἔχοντας τὸ χάραγμα τοῦ Θηρίου καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ.[16]

The second bowl

3 Καὶ ὁ δεύτερος ἄγγελος[17] ἐξέχεεν τὴν φιάλην αὐτοῦ εἰς τὴν θάλασσαν, καὶ ἐγένετο αἷμα, ὡς νεκροῦ· καὶ πᾶσα ψυχὴ ζῶσα[18] ἀπέθανεν ἐν τῇ θαλάσσῃ.[19]

The third bowl

4 Καὶ ὁ τρίτος ἄγγελος[20] ἐξέχεεν τὴν φιάλην αὐτοῦ εἰς τοὺς ποταμοὺς καὶ[21] τὰς πηγὰς τῶν ὑδάτων, καὶ ἐγένετο αἷμα. **5** Καὶ ἤκουσα τοῦ ἀγγέλου τῶν ὑδάτων λέγοντος· «Δίκαιος[22] εἶ, ὁ ὢν καὶ ὁ ἦν, ὁ[23] Ὅσιος, ὅτι ταῦτα ἔκρινας. **6** Ὅτι αἷμα ἁγίων καὶ προφητῶν ἐξέχεαν, καὶ αἷμα αὐτοῖς

---

[1] και *rell* ¦ 1 ιδου TR

[2] οι *rell* ¦ --- **M**^{dpt,h¼} **𝔓**^{47}א,TR

[3] εκ του ουρανου **f**^{35} CP ¦ 12 ναου **M**^{a⅙,d,e,g,h} **𝔓**^{47}אA,C,RP,OC,NU,TR ¦ --- **M**^{a,b,f,i} HF (At first glance the context seems to call for ναου; so much so that if ουρανου were original some might have omitted while others made the obvious change—if ναου were original, why would anyone omit or change? On the other hand, there are at least three heavens, 2 Cor. 12:2, and they may have come out of the third, into the second. This is the only mention of the tabernacle of the testimony in Revelation, so the throne of God wasn't there and none of the action related by John up to this point took place there—there have been several references to the temple, with angels coming out of it, but I doubt that temple and tabernacle are to be equated.)

[4] οι ησαν **f**^{35} **M**^{a,b,e⅖,f,g,i} CP,RP,HF,OC ¦ --- **M**^{d,e⅗,h} **𝔓**^{47}אA,C,NU,TR

[5] λινον καθαρον λαμπρον *rell* ¦ λινουν 23 **𝔓**^{47} ¦ ~ καθαρους λινους λαμπρους א ¦ λιθον 23 A,C ¦ 12 και 3 TR

[6] ναος **f**^{35} **M**^{d,e,g,h,ipt} אA,C,CP,RP,NU,TR ¦ 1 εκ του **M**$^{a,b,f⅔(⅓),ipt}$ **𝔓**^{47v},HF,OC

[7] ηδυνατο **f**^{35} **M**^{a⅕,b,d,e,g⅕,h⅗,ipt} א,CP,TR ¦ εδυνατο **M**^{a,e⅛,f,g,h⅖,ipt} A,C,RP,HF,OC,NU (Both spellings are known since classical times and apparently don't affect the sense.)

[8] των **f**^{35} **M**^{d,e} CP ¦ 1 επτα **M**^{a,b,e¼,f,g,h,i} אA,C,RP,HF,OC,NU,TR

[9] φωνης μεγαλης *rell* ¦ ~ 21 **M**^{a,f⅔,h⅓} A,C,OC,NU

[10] εκ του ναου **f**^{35} **M**^{b,d,e,h,i⅓} אA,C,CP,RP,HF,OC,NU,TR ¦ --- **M**^{a,f,g,i⅔}

[11] υπαγετε **f**^{35} **M**^{a½,d,ept,g,i⅔} CP ¦ 1 και **M**^{a,b,ept,f,h,i⅗} אA,C,RP,HF,OC,NU,TR

[12] τας **f**^{35} **M**^{d,e,i⅕} CP,TR ¦ 1 επτα **M**$^{a,b,e2/7,f,g,h,i}$ אA,C,RP,HF,OC,NU

[13] πρωτος **f**^{35} **M**^{a,e,f,g,h,i} **𝔓**^{47}אA,C,CP,RP,HF,OC,NU,TR ¦ 1 αγγελος **M**^{b,d}

[14] επι **f**^{35} **M**^{d,e,h⅕,i⅓} א,CP,TR ¦ εις **M**^{a,b,f,g,h,i⅔} **𝔓**^{47}A,C,RP,HF,OC,NU

[15] εις **f**^{35} **M**^{d,e,i⅓} CP,TR ¦ επι **M**^{a,b,e¼,f,g,h,i⅔} **𝔓**^{47}אA,C,RP,HF,OC,NU

[16] τους προσκυνουντας τη εικονι αυτου **f**^{35} **M**^{a,b,ept,f,h,i} **𝔓**^{47}A,C,CP,RP,HF,OC,NU ¦ 2345 **M**$^{d,g⅓(⅔)}$ ¦ ~ 13452 TR ¦ 12 την εικονα 5 **M**^{e⅕} א ¦ ~ 1 την εικονα 25 **M**^{e¼}

[17] αγγελος *rell* ¦ --- **M**^{hpt} A,C,NU

[18] ζωσα **f**^{35} **M**^{d,e,g,h⅔,i⅓} **𝔓**^{47}א,CP,RP,OC,TR ¦ ζωης **M**^{h⅓} (A)C,NU ¦ --- **M**^{a,b,f,i⅔} HF

[19] απεθανεν εν τη θαλασση *rell* ¦ ~ 2341 **M**^{d⅔} ¦ απεθανον 234 **𝔓**^{47} ¦ 1 επι της θαλασσης א ¦ 1 τα 234 A,C,NU

[20] αγγελος **f**^{35} **M**^{b,d,e,h⅓,i⅓} CP,TR ¦ --- **M**^{a,f,g,h⅔,i⅔} **𝔓**^{47}אA,C,RP,HF,OC,NU

[21] και **f**^{35} **M**^{d,e⅓,h} אA,C,CP,NU ¦ 1 εις **M**^{a,b,d⅕,e⅔,f,g,i} RP,HF,OC,TR

[22] δικαιος *rell* ¦ 1 κυριε TR

[23] ο **f**^{35} **M**^{a⅓,d,ept,fpt,h¼,i¼} א,CP,RP,OC,NU ¦ και 1 **M**^{d⅕,e¼,h¼,i¼} TR ¦ και **M**^{e⅙,h¼,i⅓} **𝔓**^{47} ¦ --- **M**^{a⅔,b,fpt,g,h⅕} A,C,HF

ἔδωκας[1] πιεῖν. Ἄξιοί[2] εἰσιν.» **7** Καὶ ἤκουσα[3] τοῦ θυσιαστηρίου λέγοντος· «Ναί, Κύριε ὁ Θεός, ὁ Παντοκράτωρ, ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις σου.»

The fourth bowl

8 Καὶ ὁ τέταρτος ἄγγελος[4] ἐξέχεεν τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ἥλιον, καὶ ἐδόθη αὐτῷ καυματίσαι τοὺς ἀνθρώπους ἐν πυρί.[5] **9** Καὶ ἐκαυματίσθησαν οἱ ἄνθρωποι καῦμα μέγα, καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι[6] τὸ ὄνομα τοῦ Θεοῦ τοῦ ἔχοντος τὴν[7] ἐξουσίαν ἐπὶ τὰς πληγὰς ταύτας. Καὶ οὐ μετενόησαν δοῦναι αὐτῷ δόξαν.

The fifth bowl

10 Καὶ ὁ πέμπτος ἄγγελος[8] ἐξέχεεν τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν θρόνον τοῦ Θηρίου, καὶ ἐγένετο ἡ βασιλεία αὐτοῦ ἐσκοτωμένη· καὶ ἐμασῶντο[9] τὰς γλώσσας αὐτῶν ἐκ τοῦ πόνου. **11** Καὶ ἐβλασφήμησαν τὸν Θεὸν τοῦ οὐρανοῦ ἐκ τῶν πόνων αὐτῶν, καὶ ἐκ τῶν ἑλκῶν αὐτῶν· καὶ οὐ μετενόησαν ἐκ τῶν ἔργων αὐτῶν.

The sixth bowl

12 Καὶ ὁ ἕκτος ἄγγελος[10] ἐξέχεεν τὴν φιάλην αὐτοῦ[11] ἐπὶ τὸν ποταμὸν τὸν μέγαν[12] Εὐφράτην, καὶ ἐξηράνθη τὸ ὕδωρ αὐτοῦ, ἵνα ἑτοιμασθῇ ἡ ὁδὸς τῶν βασιλέων τῶν ἀπὸ ἀνατολῶν[13] ἡλίου. **13** Καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ δράκοντος καὶ ἐκ τοῦ στόματος τοῦ Θηρίου καὶ ἐκ τοῦ στόματος τοῦ Ψευδοπροφήτου πνεύματα τρία ἀκάθαρτα,[14] ὡς βάτραχοι.[15] **14** Εἰσὶν γὰρ πνεύματα δαιμόνων[16] ποιοῦντα σημεῖα, ἃ ἐκπορεύεται[17] ἐπὶ τοὺς βασιλεῖς[18] τῆς οἰκουμένης ὅλης, συναγαγεῖν αὐτοὺς εἰς τὸν[19] πόλεμον τῆς ἡμέρας ἐκείνης τῆς μεγάλης[20] τοῦ Θεοῦ τοῦ Παντοκράτορος. **15** («Ἰδού, ἔρχομαι ὡς κλέπτης. Μακάριος ὁ γρηγορῶν καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ, ἵνα μὴ γυμνὸς περιπατῇ καὶ βλέπωσιν τὴν ἀσχημοσύνην αὐτοῦ.») **16** Καὶ συνήγαγεν αὐτοὺς εἰς τὸν τόπον τὸν καλούμενον Ἑβραϊστὶ Ἀρμαγεδών.[21]

The seventh bowl

17 Καὶ ὁ ἕβδομος ἄγγελος[22] ἐξέχεεν τὴν φιάλην αὐτοῦ εἰς[23] τὸν ἀέρα, καὶ ἐξῆλθεν φωνὴ

---

[1] αυτοις εδωκας *rell* ¦ ~ 21 א ¦ 1 δεδωκας A,C[NU]
[2] αξιοι *rell* ¦ 1 γαρ TR ¦ οπερ 1 א
[3] ηκουσα *rell* ¦ 1 εκ **M**^{ept} CP ¦ 1 αλλου εκ TR
[4] αγγελος **f**^{35} **M**^{a¼,b,d,e,hpt,ipt} א,CP,RP,TR ¦ --- **M**^{a,f,g,hpt,ipt} **𝔓**^{47}A,C,HF,OC,NU
[5] τους ανθρωπους εν πυρι **f**^{35} **M**^{d,e,g⅕,h,i⅖} A,C,CP,NU,TR ¦ 124 א ¦ ~ 3412 **M**^{a,b,e¼,f,g,i⅗} RP,HF,OC
[6] οι ανθρωποι **f**^{35} **M**^{a,b,e¼,f,g,i⅔} CP,RP,HF,OC ¦ --- **M**^{d,e,h,i⅓} אA,C,NU,TR
[7] την **f**^{35} **M**^{d⅕,ept,f⅓,h⅓,i⅓} אA,CP,NU ¦ --- **M**^{a,b,d,ept,f⅔,g,h⅔,i⅔} C,RP,HF,OC,TR
[8] αγγελος **f**^{35} **M**^{b,d,e,h⅓,i¼} CP,TR ¦ --- **M**^{a,f,g,h⅔,i} אA,C,RP,HF,OC,NU
[9] εμασωντο **f**^{35} **M**^{apt,dpt,e⅓,fpt,g⅔,h⅔,ipt} אA,C,RP,HF,OC,NU ¦ εμασσωντο **M**^{apt,b,dpt,e⅔,fpt,g⅓,h⅓,ipt} CP,TR
[10] αγγελος **f**^{35} **M**^{b,d,e⅗,gpt,h⅓,i¼} CP,TR ¦ --- **M**^{a,e⅖,f,gpt,h⅔,i} **𝔓**^{47}אA,C,RP,HF,OC,NU
[11] την φιαλην αυτου *rell* ¦ ~ 312 **M**^{a⅔,f,g⅔}
[12] μεγαν **f**^{35} **M**^{a,e⅖,f,g,hpt,i} א,CP,RP,HF ¦ 1 τον **M**^{b,d,e⅗,hpt,i¼} **𝔓**^{47}A,C,OC,NU,TR (OC is in small print.)
[13] ανατολων **f**^{35} **M**^{a⅕,d,e⅗} A,CP,TR ¦ ανατολης **M**^{a,b,e⅖,f,g,h,i} **𝔓**^{47}אC,RP,HF,OC,NU
[14] τρια ακαθαρτα **f**^{35} **M**^{d,e,g,h,i⅕} **𝔓**^{47}אA,C,CP,OC,NU,TR ¦ ~ 21 **M**^{a,b,f,h⅕,i} RP,HF ¦ 2 **M**^{e⅕}
[15] ως βατραχοι *rell* ¦ ομοια βατραχοις C,TR ¦ ωσει βατραχους **𝔓**^{47} ¦ ειωσει βατραχους א ¦ --- **M**^{e⅓}
[16] δαιμονων **f**^{35} **M**^{d,e,i¼} CP,TR ¦ δαιμονιων **M**^{a,b,f,g,h,i} **𝔓**^{47}אA,RP,HF,OC,NU
[17] α εκπορευεται **f**^{35} **M**^{a,b,d⅕,e⅓,f,hpt,ipt} A,CP,RP,HF,OC,NU ¦ 1 εκπορευονται **M**^{g,i¼} ¦ εκπορευεσθαι **M**^{d,e⅔,hpt,i⅕} **𝔓**^{47}א,TR
[18] βασιλεις *rell* ¦ 1 της γης **M**^{e⅓} ¦ 1 της γης και TR
[19] τον *rell* ¦ --- **M**^{e} **𝔓**^{47},TR
[20] της ημερας εκεινης της μεγαλης *rell* ¦ 1245 א,NU ¦ ~ 452 **𝔓**^{47}A
[21] αρμαγεδων **f**^{35} **M**^{a⅙,b,d¼,e⅔,g,h⅔,ipt} אA,CP,RP,OC,NU ¦ αρμαγεδδων **M**^{e¼} TR ¦ μαγεδων **M**^{a,d⅗,f,ipt} HF ¦ μαγεδδων **M**^{h¼}
[22] αγγελος **f**^{35} **M**^{a½,b,d,e,h⅕,i¼} CP,TR ¦ --- **M**^{a,f,g,h,i} A,RP,HF,OC,NU
[23] εις **f**^{35} **M**^{a½,d,e,h¼,i¼} CP,TR ¦ επι **M**^{a,b,f,g,h,i} אA,RP,HF,OC,NU

μεγάλη ἀπὸ[1] τοῦ ναοῦ τοῦ οὐρανοῦ, ἀπὸ τοῦ θρόνου,[2] λέγουσα, «Γέγονεν.» **18** Καὶ ἐγένοντο ἀστραπαὶ καὶ βρονταὶ καὶ φωναί·[3] καὶ σεισμὸς ἐγένετο[4] μέγας, οἷος οὐκ ἐγένετο ἀφ᾽ οὗ οἱ ἄνθρωποι ἐγένοντο[5] ἐπὶ τῆς γῆς, τηλικοῦτος σεισμός, οὕτως μέγας. **19** Καὶ ἐγένετο ἡ πόλις ἡ μεγάλη εἰς τρία μέρη, καὶ αἱ πόλεις τῶν ἐθνῶν ἔπεσον.[6] Καὶ Βαβυλὼν ἡ μεγάλη ἐμνήσθη ἐνώπιον τοῦ Θεοῦ, δοῦναι αὐτῇ τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς αὐτοῦ. **20** Καὶ πᾶσα νῆσος ἔφυγεν, καὶ ὄρη οὐχ εὑρέθησαν. **21** Καὶ χάλαζα μεγάλη, ὡς ταλαντιαία, καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς ἀνθρώπους. Καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν Θεὸν ἐκ τῆς πληγῆς τῆς χαλάζης, ὅτι μεγάλη ἐστὶν ἡ πληγὴ αὐτῆς[7] σφόδρα.

About Babylon

17:1 Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας καὶ ἐλάλησεν μετ᾽ ἐμοῦ λέγων,[8] «Δεῦρο, δείξω σοι τὸ κρῖμα τῆς πόρνης τῆς μεγάλης τῆς καθημένης ἐπὶ τῶν ὑδάτων τῶν πολλῶν,[9] **2** μεθ᾽ ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ ἐμεθύσθησαν οἱ κατοικοῦντες τὴν γῆν ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς.»[10]

A woman and a beast

3 Καὶ ἀπήνεγκέν με εἰς ἔρημον ἐν[11] πνεύματι. Καὶ εἶδον γυναῖκα καθημένην ἐπὶ θηρίον[12] κόκκινον γέμον ὀνομάτων[13] βλασφημίας, ἔχον[14] κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα. **4** Καὶ ἡ γυνὴ ἦν[15] περιβεβλημένη πορφύραν[16] καὶ κόκκινον,[17] κεχρυσωμένη[18] χρυσῷ[19] καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις, ἔχουσα χρυσοῦν ποτήριον[20] ἐν τῇ χειρὶ αὐτῆς γέμον βδελυγμάτων καὶ τὰ ἀκάθαρτα τῆς πορνείας αὐτῆς.[21] **5** Καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς ὄνομα γεγραμμένον·

ΜΥΣΤΗΡΙΟΝ, ΒΑΒΥΛΩΝ Ἡ ΜΕΓΑΛΗ, Ἡ ΜΗΤΗΡ ΤΩΝ ΠΟΡΝΩΝ
ΚΑΙ ΤΩΝ ΒΔΕΛΥΓΜΑΤΩΝ ΤΗΣ ΓΗΣ.

6 Καὶ εἶδον τὴν γυναῖκα μεθύουσαν ἐκ[22] τοῦ αἵματος τῶν ἁγίων, καὶ[23] ἐκ τοῦ αἵματος τῶν μαρτύρων Ἰησοῦ. Καὶ ἐθαύμασα, ἰδὼν αὐτήν, θαῦμα μέγα.

---

[1] απο *rell* ¦ εκ **M**^{e,h,ipt} ℵA,OC,NU

[2] του ναου του ουρανου απο του θρονου **f**^{35} **M**^{a,b,e⅓,f,g,ipt} CP,RP,HF,OC,TR ¦ 34567 **M**^{d,e⅔,ipt} ¦ 12567 **M**^{h} **𝔓**^{47v}A,0163^{v}(NU) ¦ 123 θεου ℵ ¦ 676 θεου **M**^{a⅕}

[3] αστραπαι και βρονται και φωναι **f**^{35} **M**^{a,b,f,g,h¼,i⅔} **𝔓**^{47},CP,RP,HF ¦ 123 **M**^{ept} ¦ ~ 14523 **M**^{d,h,i⅓} A,0163,OC,NU ¦ ~ 52341 **M**^{e⅓} TR ¦ ~ 3214523 ℵ

[4] εγενετο **f**^{35} **M**^{d,e,h,i¼} **𝔓**^{47}ℵA,CP,OC,NU,TR ¦ --- **M**^{a,b,f,g,i} RP,HF

[5] οι ανθρωποι εγενοντο **f**^{35} **M**^{a,b,e⅗,f,g,i} CP,RP,HF,OC,TR ¦ 23 **M**^{d,e⅖,h⅔,i¼} ℵ ¦ ανθρωπος εγενετο A,NU ¦ εγενετο ανθρωπος **M**^{h⅓} ¦ ανθρωπος 3 **𝔓**^{47v}

[6] επεσον **f**^{35} **M**^{a⅔,b,d⅓,e⅔,f,h,i} CP,RP,HF,TR ¦ επεσαν **M**^{a⅓,d⅔,e⅓,g,h¼} **𝔓**^{47}A,OC,NU ¦ επεσεν ℵ

[7] αυτης **f**^{35} **M**^{apt,bpt,e,g⅓,h,i⅔} **𝔓**^{47v}ℵA,C,CP,RP,NU,TR ¦ αυτη **M**^{apt,bpt,d,e¼,f,g⅔,h¼,i⅓} HF,OC

[8] λεγων **f**^{35} **M**^{a,b,e¼,f,g,h,i} **𝔓**^{47}ℵA,CP,RP,HF,OC,NU ¦ 1 μοι **M**^{d,e} TR

[9] των υδατων των πολλων **f**^{35} **M**^{a,f,g,i} CP,RP,HF,TR ¦ 234 **𝔓**^{47v} ¦ 24 **M**^{b,d,e,h} ℵA,OC,NU

[10] οι κατοικουντες την γην εκ του οινου της πορνειας αυτης (ℵ) *rell* ¦ ~ 56789101234 **M**^{e⅓} TR

[11] εν **f**^{35} **M**^{a¼,b,d,e,f,g,h,i} ℵA,CP,RP,HF,OC,NU,TR ¦ τω **M**^{e¼} ¦ --- **M**^{a}

[12] θηριον **f**^{35} **M**^{a¼,bpt,d,e,f,g,h,i} ℵA,CP,RP,NU,TR ¦ 1 το **M**^{a,bpt} HF ¦ το 1 το OC (OC is in small print.)

[13] γεμον ονοματων **f**^{35} **M**^{b,d,e⅔,f,h⅕,i¼} CP,TR ¦ 1 ονοματα **M**^{a,e⅓,g,hpt,i} RP,HF,OC ¦ γεμοντα ονοματα **M**^{h¼} ℵA[NU]

[14] εχον *rell* ¦ εχων A[+40 assorted mss]NU ¦ εχοντα ℵ

[15] ην *rell* ¦ η TR

[16] πορφυραν **f**^{35} **M**^{bpt,d,e,f,i⅖} CP ¦ πορφυρα TR ¦ πορφυρουν **M**^{a,bpt,g,h,i⅗} ℵA,RP,HF,OC,NU

[17] κοκκινον *rell* ¦ κοκκινω TR

[18] κεχρυσωμενη **f**^{35} **M**^{a,d,e⅔,f,h¼,ipt} CP,RP,HF ¦ περικεχρυσωμενη **M**^{b} ¦ και 1 **M**^{d⅕,e⅓,g,h,ipt} ℵA,OC,NU,TR

[19] χρυσω **f**^{35} **M**^{d,e,h,i⅕} ℵ,CP,TR ¦ χρυσιω **M**^{a,b,d⅕,e⅕,f,g,h⅕,i} A,RP,HF,OC,NU

[20] χρυσουν ποτηριον **f**^{35} **M**^{d,e,hpt,i⅕} CP,TR ¦ ~ 21 **M**^{a,b,f,g,hpt,i} ℵA,RP,HF,OC,NU

[21] αυτης **f**^{35} **M**^{b,d,e,gpt,h⅗,ipt} A,CP,RP,NU(TR) ¦ της γης **M**^{a,f,gpt,h⅖,ipt} HF,OC (ℵ conflates both, which shows that the minuscule families are earlier.)

[22] εκ **f**^{35} **M**^{a⅕,bpt,d,e,f⅕,gpt,h,i} CP,RP,OC,NU,TR ¦ --- **M**^{a,bpt,f,gpt,h¼,i¼} (ℵ)HF

[23] και **f**^{35} **M**^{a⅙,d⅕,e,f⅕,gpt,h,i} ℵA,CP,OC,NU,TR ¦ --- **M**$^{a,b,(d),f,gpt,i⅕}$ RP,HF

The vision explained

7 Καὶ εἶπέν μοι ὁ ἄγγελος· «Διὰ τί ἐθαύμασας; Ἐγὼ σοι ἐρῶ[1] τὸ μυστήριον τῆς γυναικὸς καὶ τοῦ Θηρίου τοῦ βαστάζοντος αὐτήν, τοῦ ἔχοντος τὰς ἑπτὰ κεφαλὰς καὶ τὰ δέκα κέρατα. **8** Τὸ[2] Θηρίον ὃ εἶδες ἦν, καὶ οὐκ ἔστιν, καὶ μέλλει ἀναβαίνειν ἐκ τῆς Ἀβύσσου καὶ εἰς ἀπώλειαν ὑπάγειν.[3] Καὶ θαυμάσονται[4] οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς,[5] ὧν οὐ γέγραπται τὰ ὀνόματα[6] ἐπὶ τὸ Βιβλίον[7] τῆς Ζωῆς ἀπὸ καταβολῆς κόσμου, βλέποντες[8] τὸ Θηρίον ὅτι ἦν[9] καὶ οὐκ ἔστιν καὶ παρέσται.[10] **9** Ὧδε ὁ νοῦς ὁ ἔχων σοφίαν· Αἱ ἑπτὰ κεφαλαὶ ἑπτὰ ὄρη εἰσίν[11] ὅπου ἡ γυνὴ κάθηται ἐπ᾽ αὐτῶν. **10** Καὶ βασιλεῖς ἑπτά εἰσιν·[12] οἱ πέντε ἔπεσον,[13] ὁ[14] εἷς ἐστιν, ὁ ἄλλος οὔπω ἦλθεν. Καὶ ὅταν ἔλθῃ ὀλίγον αὐτὸν δεῖ[15] μεῖναι. **11** Καὶ τὸ Θηρίον ὃ ἦν καὶ οὐκ ἔστιν, καὶ αὐτὸς[16] ὄγδοός ἐστιν, καὶ ἐκ τῶν ἑπτά ἐστιν, καὶ εἰς ἀπώλειαν ὑπάγει. **12** Καὶ τὰ δέκα κέρατα ἃ εἶδες δέκα βασιλεῖς εἰσιν, οἵτινες βασιλείαν οὔπω ἔλαβον, ἀλλ᾽[17] ἐξουσίαν ὡς βασιλεῖς μίαν ὥραν λαμβάνουσιν μετὰ τοῦ Θηρίου. **13** Οὗτοι μίαν γνώμην ἔχουσιν[18] καὶ τὴν δύναμιν καὶ τὴν[19] ἐξουσίαν αὐτῶν[20] τῷ Θηρίῳ διδόασιν.[21] **14** Οὗτοι μετὰ τοῦ Ἀρνίου πολεμήσουσιν, καὶ τὸ Ἀρνίον νικήσει αὐτούς, ὅτι Κύριος κυρίων ἐστὶν καὶ Βασιλεὺς βασιλέων· καὶ οἱ μετ᾽ αὐτοῦ κλητοὶ καὶ ἐκλεκτοὶ καὶ πιστοί.»

15 Καὶ λέγει μοι· «Τὰ ὕδατα ἃ εἶδες, οὗ ἡ πόρνη κάθηται, λαοὶ καὶ ὄχλοι εἰσίν, καὶ ἔθνη καὶ γλῶσσαι. **16** Καὶ τὰ δέκα κέρατα ἃ εἶδες, καὶ[22] τὸ Θηρίον, οὗτοι μισήσουσιν τὴν πόρνην καὶ ἠρημωμένην[23] ποιήσουσιν αὐτὴν καὶ γυμνὴν ποιήσουσιν αὐτὴν[24] καὶ τὰς σάρκας αὐτῆς φάγονται καὶ αὐτὴν κατακαύσουσιν ἐν πυρί. **17** Ὁ γὰρ Θεὸς ἔδωκεν εἰς τὰς καρδίας αὐτῶν ποιῆσαι τὴν γνώμην αὐτοῦ, καὶ ποιῆσαι γνώμην μίαν[25] καὶ δοῦναι τὴν βασιλείαν αὐτῶν τῷ Θηρίῳ, ἄχρι τελεσθήσονται οἱ λόγοι[26] τοῦ Θεοῦ. **18** Καὶ ἡ γυνὴ ἣν εἶδες ἔστιν ἡ πόλις ἡ μεγάλη ἡ ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς[27] γῆς.»

---

[1] σοι ερω **f**^{35} **M**$^{d,e,h1/5,i1/4}$ א,CP,TR ¦ ~ 21 **M**^{a,b,f,g,h,i} A,RP,HF,OC,NU

[2] το *rell* ¦ --- TR

[3] υπαγειν *rell* ¦ υπαγει A,NU

[4] θαυμασονται *rell* ¦ θαυμασθησονται A,NU

[5] επι της γης **f**^{35} **M**$^{bpt,d,e,f,gpt,h,i2/3}$ אA,CP,RP,OC,NU,TR ¦ την γην **M**$^{a,bpt,e1/4,gpt,i1/3}$ HF

[6] τα ονοματα **f**^{35} **M**$^{bpt,d,e,f,gpt,h2/5,i2/3}$ א,CP,RP,TR ¦ το ονομα **M**$^{a,bpt,gpt,h3/5,i1/3}$ A,HF,NU ¦ 1 ονομα OC

[7] επι το βιβλιον **f**^{35} **M**$^{bpt,d1/5,e,f,g1/5,hpt,ipt}$ אA,CP,RP,OC,NU,TR ¦ 1 του βιβλιου **M**^{a,bpt,g,ipt} HF ¦ εν βιβλω **M**^{d} ¦ εν τω βιβλω **M**$^{h2/5}$

[8] βλεποντες **f**^{35} **M**$^{a1/2,d1/5,e1/3,i1/3}$ CP,TR ¦ βλεποντων **M**$^{a,b,d,e2/3,f,g,h,i2/3}$ אA,RP,HF,OC,NU (The subject is nominative.)

[9] το θηριον οτι ην **f**^{35} **M**$^{d,e,h,i1/3}$ אA,CP,OC,NU,TR ¦ ~ 3412 **M**$^{a,b,e1/4,f,g,i2/3}$ RP,HF

[10] και παρεσται **f**^{35} **M**^{a,b,ept,f,g,h,i} A,CP,RP,HF,OC,NU ¦ 1 παρεστιν **M**$^{d,ept,i1/5}$ ¦ 1 παλιν παρεστε א ¦ καιπερ εστιν TR

[11] επτα ορη εισιν *rell* ¦ ~ 231 **M**$^{e1/3}$ TR ¦ ~ 213 OC

[12] επτα εισιν **f**^{35} **M**$^{d,e,h,i2/3}$ (א)A,CP,OC,NU,TR ¦ ~ 21 **M**$^{a,b,f,g,i1/3}$ RP,HF

[13] επεσον **f**^{35} **M**$^{apt,b,d1/3,e2/5,f,gpt,hpt,i2/3}$ CP,RP,HF ¦ επεσαν **f**^{35pt} **M**$^{apt,d2/3,e3/5,gpt,hpt,i1/3}$ אA,OC,NU,TR (We have alternate spellings of the same word, which is not a proper variant, since neither the meaning nor the identity is touched, which may account for the widespread division [involving a single letter].)

[14] ο *rell* ¦ και 1 TR

[15] αυτον δει **f**^{35} **M**$^{d,e3/5,h2/3}$ A,CP,OC,NU,TR ¦ ~ 21 **M**$^{a,b,e2/5,f,g,h1/3,i}$ RP,HF

[16] αυτος **f**^{35} **M**$^{bpt,d,e,f,h3/5,ipt}$ A,CP,RP,OC,NU,TR ¦ ουτος **M**$^{a,bpt,g,h2/5,ipt}$ (א)HF

[17] αλλ *rell* ¦ αλλα אA,NU

[18] γνωμην εχουσιν **f**^{35} **M**$^{d,e,f1/5,h,i1/5}$ אA,CP,OC,NU,TR ¦ ~ 21 **M**$^{a,b,e1/6,f,g,i}$ RP,HF

[19] την **f**^{35} **M**$^{a1/3,bpt,d,e,f1/5,h2/5,ipt}$ א,CP,RP,OC,TR ¦ --- **M**$^{a2/3,bpt,f,g,h3/5,ipt}$ A,HF,NU

[20] αυτων *rell* ¦ εαυτων TR

[21] διδοασιν **f**^{35} **M**^{a,b,e,f,g,h,i} אA,CP,RP,HF,OC,NU ¦ δωσουσιν **M**^{d} ¦ δεδωκασιν **M**$^{e1/5}$ ¦ διαδιδωσουσιν TR

[22] και *rell* ¦ επι TR

[23] ηρημωμενην **f**^{35} **M**$^{a,b,d2/5,ept,f,g,h,i}$ אA,CP,RP,HF,OC,NU,TR ¦ ερημωμενην **M**$^{a1/5,d3/5,ept}$

[24] και γυμνην ποιησουσιν αυτην **f**^{35} **M**$^{a2/3,b,f,g,ipt}$ CP,RP,HF ¦ 12 **M**$^{d,e1/4,h,ipt}$ אA,OC,NU,TR ¦ --- **M**$^{a1/5,e2/3}$

[25] και ποιησαι γνωμην μιαν **f**^{35} **M**$^{a,bpt,e1/6,f,g2/3,i2/3}$ CP,RP,HF ¦ ~ 12 (-σε א) 43 **M**$^{e,g1/3,h3/5}$ (א)OC,NU,TR ¦ 123 αυτων **M**^{bpt} ¦ --- **M**$^{d,i1/5}$ A

[26] τελεσθησονται οι λογοι **f**^{35} **M**^{d,e,hpt} אA,CP,NU ¦ τελεσθωσιν 23 **M**$^{a,b,e1/4,f,g,hpt,i}$ RP,HF,OC ¦ τελεσθη τα ρηματα TR

[27] της **f**^{35} **M**$^{a1/4,b,d,e,f,g1/5,h,i}$ אA,CP,RP,OC,NU,TR ¦ επι 1 **M**$^{a,g1/3,i1/4}$ HF ¦ των επι 1 **M**^{gpt}

Her fall proclaimed

18:1 Καὶ[1] μετὰ ταῦτα εἶδον ἄλλον ἄγγελον[2] καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα ἐξουσίαν μεγάλην, καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς δόξης αὐτοῦ. **2** Καὶ ἔκραξεν ἐν ἰσχυρᾷ φωνῇ[3] λέγων· «Ἔπεσεν, ἔπεσεν,[4] Βαβυλὼν ἡ μεγάλη, καὶ ἐγένετο κατοικητήριον δαιμόνων,[5] καὶ φυλακὴ παντὸς πνεύματος ἀκαθάρτου, καὶ φυλακὴ παντὸς ὀρνέου ἀκαθάρτου καὶ μεμισημένου.[6] **3** Ὅτι ἐκ τοῦ θυμοῦ τοῦ οἴνου[7] τῆς πορνείας αὐτῆς πέπωκεν[8] πάντα τὰ ἔθνη, καὶ οἱ βασιλεῖς τῆς γῆς μετ᾽ αὐτῆς ἐπόρνευσαν, καὶ οἱ ἔμποροι τῆς γῆς ἐκ τῆς δυνάμεως τοῦ στρήνους αὐτῆς ἐπλούτησαν.»

4 Καὶ ἤκουσα ἄλλην φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν· «Ἐξέλθετε[9] ἐξ αὐτῆς, ὁ λαός μου,[10] ἵνα μὴ συγκοινωνήσητε ταῖς ἁμαρτίαις αὐτῆς, καὶ ἐκ τῶν πληγῶν αὐτῆς ἵνα μὴ λάβητε·[11] **5** ὅτι ἐκολλήθησαν[12] αὐτῆς αἱ ἁμαρτίαι ἄχρι τοῦ οὐρανοῦ, καὶ ἐμνημόνευσεν αὐτῆς[13] ὁ Θεὸς τὰ ἀδικήματα αὐτῆς. **6** Ἀπόδοτε αὐτῇ ὡς καὶ αὐτὴ ἀπέδωκεν ὑμῖν,[14] καὶ διπλώσατε αὐτῇ διπλᾶ[15] κατὰ τὰ ἔργα αὐτῆς· ἐν τῷ ποτηρίῳ[16] ᾧ ἐκέρασεν, κεράσατε αὐτῇ διπλοῦν. **7** Ὅσα ἐδόξασεν ἑαυτὴν[17] καὶ ἐστρηνίασεν, τοσοῦτον δότε αὐτῇ βασανισμόν·[18] ὅτι ἐν τῇ καρδίᾳ αὐτῆς λέγει ὅτι[19] ‹Κάθημαι[20] βασίλισσα, καὶ χήρα οὐκ εἰμί, καὶ πένθος οὐ μὴ ἴδω.› **8** Διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ ἥξουσιν αἱ πληγαὶ αὐτῆς—θάνατος καὶ[21] πένθος καὶ λιμός—καὶ ἐν πυρὶ κατακαυθήσεται· ὅτι ἰσχυρὸς Κύριος ὁ Θεὸς ὁ κρίνας[22] αὐτήν.

Her fall lamented

9 »Καὶ κλαύσουσιν[23] καὶ κόψονται ἐπ᾽ αὐτὴν[24] οἱ βασιλεῖς τῆς γῆς οἱ μετ᾽ αὐτῆς πορνεύσαντες καὶ στρηνιάσαντες, ὅταν βλέπωσιν τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς, **10** ἀπὸ μακρόθεν

---

[1] και **f**^{35} **M**$^{b,d,e,gpt,h1/3,ipt}$ CP,TR ¦ --- **M**$^{a,e1/6,f,gpt,h2/3,ipt}$ ℵA,RP,HF,OC,NU

[2] αλλον αγγελον *rell* ¦ ~ 21 **M**$^{bpt,e1/5,f,i1/4}$ ¦ 2 TR

[3] εν ισχυρα φωνη **f**^{35} **M**^{d,hpt} A,CP,OC,NU ¦ 123 μεγαλη **M**$^{e1/5}$ ¦ 123 και μεγαλη **M**$^{i1/4}$ ¦ 23 **M**$^{a3/5,b,d1/5,f,g1/5,h1/5,ipt}$ ℵ,RP,HF ¦ 23 μεγαλη **M**^{ept} ¦ 23 και μεγαλη **M**$^{h1/4}$ ¦ ισχυραν φωνην **M**$^{a1/4,g,i1/5}$ ¦ 1 ισχυι φωνη μεγαλη TR (The only real question is whether or not to read εν.)

[4] επεσεν επεσεν **f**^{35} **M**$^{bpt,d,e,gpt,h,i1/3}$ A,CP,OC,NU,TR ¦ επεσεν **M**$^{a,bpt,f,gpt,i2/3}$ ℵ,RP,HF (An easy case of homoioteleuton [or -arcton, or both]; since the result made good sense, there would be no need to question it.)

[5] δαιμονων *rell* ¦ δαιμονιων ℵA,OC,NU

[6] και φυλακη παντος ορνεου ακαθαρτου και μεμισημενου **f**^{35} **M**$^{a,e1/3,fpt,gpt,hpt,ipt}$ ℵ,CP,RP,HF,OC,TR ¦ 123 θηριου 567 A ¦ 1234567123 θηριου 5 **M**$^{bpt(1/3)}$ ¦ 12345123 θηριου 567 [NU] ¦ 67 **M**$^{d,e2/3,fpt,gpt,h1/4,i1/5}$

[7] του θυμου του οινου **f**^{35} **M**$^{bpt,d,e,i1/5}$ CP ¦ ~ 3412 **M**^{a,bpt,f,g,h,i} ℵ,RP,HF,OC,NU,TR ¦ 12 A

[8] πεπωκεν **f**^{35} **M**^{ept} CP,TR ¦ πεπωκασιν **M**$^{a1/4,b,f,h1/3,i1/3}$ HF ¦ πεποτικεν **M**^{d} ¦ πεπτωκασιν **M**^{a,ept,g,hpt,ipt} ℵ,RP ¦ πεπτωκαν A,C ¦ πεπωκαν OC,NU (For ‘drink’ we have **f**^{35} **M**$^{a1/4,b,(d),ept,f,hpt,ipt}$; for ‘fall’ we have **M**^{a,ept,g,hpt,ipt} ℵA,C.) (Two cursives, 1828 and 2329, save the reading of OC,NU from being a morphological ‘patchwork quilt’.)

[9] εξελθετε **f**^{35} **M**$^{a1/2,d2/3,e,h1/3,ipt}$ CP,TR ¦ εξελθε **M**$^{a,b,f,g,h2/3,ipt}$ C,RP,HF,OC ¦ εξελθατε **M**$^{d1/3}$ A,NU ¦ εξελθαται ℵ

[10] εξ αυτης ο λαος μου *rell* ¦ 45 **M**^{ept} ¦ ~ 34512 ℵC,NU

[11] και εκ των πληγων αυτης ινα μη λαβητε (λαβηται ℵC; βλαβητε **M**$^{d2/3}$) **f**^{35} **M**$^{a,b,d2/3,ept,f,g,h,i}$ (ℵ)A(C)CP,RP,HF,NU ¦ ~ 16782345 TR ¦ ~ 16234578 OC ¦ 678 **M**$^{d1/5,e1/4}$

[12] εκολληθησαν *rell* ¦ ηκολουθησαν TR

[13] αυτης **f**^{35} **M**$^{a2/3,bpt,i1/3}$ CP,HF ¦ --- **M**$^{a1/3,bpt,d,e,f,g,h,i2/3}$ ℵA,C,RP,OC,NU,TR (The pronoun seemed awkward or redundant.)

[14] υμιν **f**^{35} **M**$^{a1/6,d,e,f,g1/4,i1/3}$ CP,TR ¦ --- **M**$^{a,b,g,h,i2/3}$ ℵA,C,RP,HF,OC,NU

[15] αυτη (αυτα **M**^{hpt}) διπλα **f**^{35} **M**$^{b,d,e,f,g,hpt,i2/3}$ CP,RP,OC,TR ¦ τα 2 ℵ(C)NU ¦ τα 2 ως και 1 και **M**$^{a,e1/4,i1/3}$ HF ¦ 2 **M**^{hpt} A

[16] ποτηριω **f**^{35} **M**$^{a1/6,bpt,d,e,f,gpt,h2/3,i2/3}$ A,C,CP,RP,OC,NU,TR ¦ 1 αυτης **M**$^{a,bpt,e1/4,gpt,h1/3,i1/3}$ ℵ,HF

[17] εαυτην **f**^{35} **M**$^{a1/5,b,d,e2/3,f,g1/3,h,i}$ CP,OC,TR ¦ αυτην **M**$^{a,e1/3,f1/5,g2/3,h1/4,i1/4}$ ℵA,C,RP,HF,NU

[18] βασανισμον **f**^{35} **M**^{ept} CP ¦ 1 και πενθος **M**^{a,b,d,ept,f,g,h,i} ℵA,C,RP,HF,OC,NU,TR (The woman’s statement, immediately below, may have suggested the phrase.)

[19] οτι *rell* ¦ --- **M**^{ept,g} TR

[20] καθημαι **f**^{35} **M**$^{a2/7,d,e,f,g,h,i}$ ℵA,C,CP,RP,HF,NU,TR ¦ εγω 1 **M**^{b} ¦ 1 καθω OC ¦ καθως **M**^{a} (OC is in small print.)

[21] και **f**^{35} **M**$^{a1/5,d,e,g,h,ipt}$ ℵA,C,CP,RP,OC,NU,TR ¦ --- **M**^{a,b,f,ipt} HF

[22] κρινας **f**^{35} **M**$^{a,bpt,e2/3,g,h,i2/3}$ (ℵ)(A)C,CP,RP,HF,OC,NU ¦ κρινων **M**$^{bpt,e1/3,f,i1/3}$ TR ¦ παντοκρατωρ ο κρινων **M**^{d}

[23] κλαυσουσιν **f**^{35} **M**^{a,b,f,g,h,ipt} C,CP,RP,HF,NU ¦ 1 αυτην **M**$^{d,e1/3}$ OC ¦ κλαυσονται αυτην **M**$^{e2/3}$ TR ¦ κλαυσονται **M**$^{a1/6,i1/4}$ ℵA

[24] αυτην **f**^{35} **M**$^{a,b,e1/6,f,g2/3,i}$ ℵC,CP,RP,HF,NU ¦ αυτη **M**$^{d,e,g1/3,h}$ A,OC,TR

ἑστηκότες διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς, λέγοντες· ‹Οὐαί, οὐαί,[1] ἡ πόλις ἡ μεγάλη Βαβυλών, ἡ πόλις ἡ ἰσχυρά, ὅτι μιᾷ ὥρᾳ[2] ἦλθεν ἡ κρίσις σου.›

11 »Καὶ οἱ ἔμποροι τῆς γῆς κλαίουσιν καὶ πενθοῦσιν[3] ἐπ᾽ αὐτῇ,[4] ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράζει οὐκέτι· **12** γόμον χρυσοῦ καὶ ἀργύρου, καὶ λίθου τιμίου καὶ μαργαρίτου,[5] καὶ βύσσου[6] καὶ πορφυροῦ[7] καὶ σηρικοῦ καὶ κοκκίνου,[8] καὶ πᾶν ξύλον θύϊνον καὶ πᾶν σκεῦος ἐλεφάντινον καὶ πᾶν σκεῦος ἐκ ξύλου τιμιωτάτου καὶ χαλκοῦ καὶ σιδήρου καὶ μαρμάρου, **13** καὶ κινάμωμον[9] καὶ[10] θυμιάματα καὶ μύρον καὶ λίβανον, καὶ οἶνον καὶ ἔλαιον καὶ σεμίδαλιν[11] καὶ σῖτον, καὶ κτήνη καὶ πρόβατα[12] καὶ ἵππων καὶ ῥαιδῶν,[13] καὶ σωμάτων καὶ ψυχὰς ἀνθρώπων.» **14** (‹Καί, ἡ ὀπώρα τῆς ἐπιθυμίας τῆς ψυχῆς σου[14] ἀπῆλθεν[15] ἀπὸ σοῦ, καὶ πάντα τὰ λιπαρὰ καὶ τὰ λαμπρὰ ἀπώλοντο[16] ἀπὸ σοῦ, καὶ οὐκέτι οὐ μὴ εὑρήσεις αὐτά.›)[17] **15** «Οἱ ἔμποροι τούτων οἱ πλουτήσαντες ἀπ᾽ αὐτῆς, ἀπὸ μακρόθεν στήσονται διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς,[18] κλαίοντες καὶ πενθοῦντες **16** καὶ λέγοντες·[19] ‹Οὐαί, οὐαί,[20] ἡ πόλις ἡ μεγάλη, ἡ περιβεβλημένη βύσσινον[21] καὶ πορφυροῦν καὶ κόκκινον, καὶ κεχρυσωμένη ἐν χρυσῷ[22] καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις·[23] **17** ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦτος πλοῦτος.›

»Καὶ πᾶς κυβερνήτης καὶ πᾶς ὁ ἐπὶ τῶν πλοίων πλέων[24]—καὶ ναῦται καὶ ὅσοι τὴν θάλασσαν ἐργάζονται—ἀπὸ μακρόθεν ἔστησαν **18** καὶ ἔκραζον, βλέποντες[25] τὸν καπνὸν τῆς πυρώσεως

---

[1] ουαι ουαι *rell* ¦ ουαι ουαι ουαι **M**^{b} ¦ ουαι **M**^{ept}

[2] μια ωρα *rell* ¦ μιαν ωραν A ¦ εν 12 **M**^{ept,hpt} TR

[3] κλαιουσιν (κλεουσιν C) και πενθουσιν **f**^{35} **M**^{e,h} ℵA(C)CP,NU,TR ¦ κλαυσουσιν 2 πενθησουσιν **M**$^{a,b,f,g1/3,i}$ RP,HF,OC ¦ κλαυσονται **M**$^{d1/4}$ ¦ κλαυσουσιν **M**$^{d1/5}$ ¦ 1 **M**$^{dpt,g2/3}$

[4] επ αυτη **f**^{35} **M**$^{a,bpt,e1/4,f,gpt,h,i2/3}$ CP,RP,HF,OC,TR ¦ εν 2 A ¦ 1 αυτην **M**$^{b1/3,gpt,i1/5}$ ℵC,NU ¦ εφ εαυτους **M**$^{e1/3}$ ¦ εφ εαυτοις **M**$^{e2/5}$ ¦ εν εαυτοις **M**^{d} ¦ four further readings

[5] μαργαριτου *rell* ¦ μαργαριτων **M**^{bpt,hpt} ℵ,NU ¦ μαργαριτας C ¦ μαργαριταις A

[6] βυσσου **f**^{35} **M**$^{a1/6,d,e,ipt}$ CP,TR ¦ βυσσινου **M**^{a,b,f,g,h,ipt} A,C,RP,HF,OC,NU ¦ βυσσινων ℵ

[7] και πορφυρου **f**^{35} **M**$^{a,d,e2/3,f,ipt}$ CP,RP,HF ¦ 1 πορφυρας **M**$^{b,e1/3,g,h,ipt}$ ℵC,OC,NU,TR ¦ --- A (The use of the adjective as a noun was not appreciated, but it preserves the effect of a sequence of ου.)

[8] σηρικου και κοκκινου *rell* ¦ σιρικου 23 ℵA,C,NU ¦ ~ 32 συρικου **M**$^{e1/3}$

[9] κιναμωμον **f**^{35} **M**$^{a2/3,b,d,e2/3,fpt,g1/4,h1/4,i2/3}$ ℵ,CP,RP,HF,OC,TR ¦ κινναμωμον **M**$^{b1/5,e1/6,h1/4}$ A,C,NU ¦ κιναμωμου **M**$^{a1/4,e1/6,fpt,g,hpt,i1/4}$

[10] και **f**^{35} **M**$^{a,d1/3,e,f,g,hpt,i}$ CP,RP,HF,TR ¦ 1 αμωμον 1 **M**$^{b,d2/3,e1/4,f1/4,hpt,i1/4}$ ℵA,C,OC,NU

[11] οινον και ελαιον (ελεον C) και σεμιδαλιν **f**^{35} **M**$^{a1/5,b1/5,d,e,h,ipt}$ ℵA(C)CP,RP,HF,OC,NU,TR ¦ ~ 54123 **M**$^{b1/3}$ ¦ ~ 32145 **M**$^{bpt,f,i1/4}$ ¦ 345 **M**$^{a,g,i1/5}$

[12] κτηνη και προβατα **f**^{35} **M**^{d,e,h} ℵA,C,CP,OC,NU,TR ¦ ~ 321 **M**^{a,b,f,g,i} RP,HF

[13] ραιδων **f**^{35} **M**^{apt,bpt,f,g,h,i} CP,RP,HF ¦ ρεδων **M**^{apt,bpt,d,e} ℵA,C,OC,NU,TR

[14] της επιθυμιας της ψυχης σου *rell* ¦ ~ 51234 **M**$^{h1/4}$ ℵA,C,NU ¦ 512345 **M**$^{bpt,h1/4}$

[15] απηλθεν *rell* ¦ απωλετο OC

[16] απωλοντο **f**^{35} **M**$^{bpt,g,i1/4}$ ℵ,CP ¦ απωλετο **M**$^{a,bpt,f,h,i2/3}$ A,C,RP,HF,NU ¦ απηλθεν **M**$^{a1/4,d,e}$ OC,TR (The plural is presumably correct.)

[17] ου μη ευρησεις αυτα **f**^{35} **M**$^{ept,i1/5}$ CP ¦ ~ 1243 OC ¦ 12 ευρησης 4 **M**$^{a1/5,ept,h2/5}$ TR ¦ 12 ευρης 4 **M**$^{d,f(h1/3)i1/3}$ ¦ 12 ευρησουσιν 4 **M**^{bpt} ¦ ~ 124 ευρησουσιν **M**$^{bpt,h1/4}$ ℵA,NU ¦ ~ 412 ευρης **M**$^{a3/4,e1/4,gpt(pt)i1/3}$ RP,HF ¦ ~ 412 ευρησουσιν C (The evidence for the word order is adequate [**f**^{35}**M**$^{a1/5,bpt,d,e,f,hpt,ipt}$]; in vs 14 an unidentified speaker addresses Babylon, so the verb must be 2nd sing.; the plural forms support the indicative; although ου μη usually takes the subjunctive, on occasion it takes the volitive future when the certainty of the statement is being emphasized, as here.)

[18] αυτης **f**^{35} **M**$^{a1/4,b,d,e,f,g1/4,h,i}$ ℵA,C,CP,RP,OC,NU,TR ¦ 1 και **M**^{a,g} HF

[19] και λεγοντες **f**^{35} **M**$^{a2/5,b,d,ept,f1/4,g1/3,h2/3,i}$ CP,RP,HF,TR ¦ 2 **M**$^{apt,f,h1/4}$ ℵA,C,OC,NU ¦ --- **M**$^{e1/3,gpt}$

[20] ουαι ουαι **f**^{35} **M**^{d,e,f,gpt,h,ipt} ℵA,C,CP,RP,HF,OC,NU,TR ¦ ουαι ουαι ουαι **M**^{b} ¦ ουαι **M**^{a,gpt,ipt}

[21] βυσσινον **f**^{35} **M**$^{a1/6,b,d,e,f,gpt,h,i1/3}$ ℵA,C,CP,RP,OC,NU,TR ¦ βυσσον **M**$^{a,e1/6,gpt,i2/3}$ HF

[22] εν χρυσω **f**^{35} **M**$^{d,e,h1/3}$ ℵ,CP,TR ¦ 1 χρυσιω C,OC[NU] ¦ χρυσιω **M**$^{a,b,f,g,h1/3,i}$ A,RP,HF ¦ 2 **M**$^{h1/3}$

[23] μαργαριταις *rell* ¦ μαργαριτη **M**^{hpt} ℵA,C,NU

[24] ο επι των πλοιων πλεων **f**^{35} **M**$^{b1/3,i1/3}$ CP ¦ 2345 **M**$^{d2/3,ept,f}$ ¦ 234 ομιλος **M**$^{e1/4}$ ¦ ~ 2341 ομιλος TR ¦ 12 τοπον 5 **M**^{a,bpt,g,hpt,ipt} A,C,RP,HF,OC,NU ¦ 12 τον τοπον 5 **M**^{hpt} ℵ (ο επι is the best attested, by far [**f**^{35},**a**,**b**,**g**,**h**,**i** ℵA,C against **d**,**e**,**f**]; των πλοιων has better attestation than τοπον; the sequence πλοιων πλεων presumably gave rise to evasive action.)

[25] βλεποντες *rell* ¦ ορωντες TR

αὐτῆς λέγοντες, ‹Τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ;› **19** Καὶ ἔβαλον χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν καὶ ἔκραζον, κλαίοντες καὶ πενθοῦντες καὶ[1] λέγοντες· ‹Οὐαί, οὐαί, ἡ πόλις ἡ μεγάλη, ἐν ᾗ ἐπλούτησαν πάντες οἱ ἔχοντες τὰ[2] πλοῖα ἐν τῇ θαλάσσῃ, ἐκ τῆς τιμιότητος αὐτῆς, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη.›

Her doom is final

20 »Εὐφραίνου ἐπ᾽ αὐτῇ,[3] Οὐρανέ, καὶ οἱ ἅγιοι καὶ οἱ[4] ἀπόστολοι καὶ οἱ προφῆται, ὅτι ἔκρινεν ὁ Θεὸς τὸ κρῖμα ὑμῶν ἐξ αὐτῆς.» **21** Καὶ ἦρεν εἷς ἄγγελος ἰσχυρὸς λίθον ὡς μύλον[5] μέγαν καὶ ἔβαλεν εἰς τὴν θάλασσαν λέγων·[6] «Ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ μεγάλη πόλις, καὶ οὐ μὴ εὑρεθῇ ἔτι. **22** Καὶ φωνὴ κιθαρῳδῶν καὶ μουσικῶν καὶ αὐλητῶν καὶ σαλπιστῶν οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι. Καὶ πᾶς τεχνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι. Καὶ φωνὴ μύλου οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι.[7] **23** Καὶ φῶς λύχνου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι.[8] Καὶ φωνὴ νυμφίου καὶ νύμφης οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι. Ὅτι[9] οἱ ἔμποροί σου ἦσαν οἱ μεγιστᾶνες τῆς γῆς, ὅτι ἐν τῇ φαρμακείᾳ[10] σου ἐπλανήθησαν πάντα τὰ ἔθνη.» **24** Καὶ ἐν αὐτῇ αἵματα[11] προφητῶν καὶ ἁγίων εὑρέθη, καὶ πάντων τῶν ἐσφαγμένων ἐπὶ τῆς γῆς.

Her fall celebrated

19:1 Καὶ[12] μετὰ ταῦτα ἤκουσα ὡς[13] φωνὴν ὄχλου πολλοῦ, μεγάλην,[14] ἐν τῷ οὐρανῷ λεγόντων·[15] «Ἀλληλούϊα· ἡ σωτηρία καὶ ἡ δύναμις καὶ ἡ δόξα[16] τοῦ Θεοῦ[17] ἡμῶν· **2** ὅτι ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις αὐτοῦ, ὅτι ἔκρινεν τὴν πόρνην τὴν μεγάλην ἥτις διέφθειρεν[18] τὴν γῆν ἐν τῇ πορνείᾳ αὐτῆς· καὶ ἐξεδίκησεν τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ[19] χειρὸς αὐτῆς.» **3** Καὶ δεύτερον εἴρηκεν·[20] «Ἀλληλούϊα· καὶ ὁ καπνὸς αὐτῆς ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.» **4** Καὶ ἔπεσαν[21] οἱ πρεσβύτεροι οἱ εἴκοσι τέσσαρες[22,23] καὶ τὰ τέσσαρα ζῷα καὶ προσεκύνησαν τῷ Θεῷ

---

[1] κλαιοντες και πενθουντες και **f**^{35} **M**$^{a,bpt,d1/5,e,f,g,i}$ CP,RP,HF ¦ 123 **M**$^{bpt,d,e1/5,h}$ ℵC,OC,NU,TR ¦ --- A

[2] τα **f**^{35} **M**$^{a,bpt,e2/5,g,h,i}$ ℵA,C,CP,RP,HF,OC,NU ¦ --- **M**$^{bpt,d,e3/5,f}$ TR

[3] επ αυτη **f**^{35} **M**$^{a,bpt,d1/5,f,g,h,ipt}$ ℵC,CP,RP,HF,OC,NU ¦ 1 αυτην **M**$^{a1/6,bpt,d,e,h1/4,i1/3}$ TR ¦ εν 2 A

[4] και οι *rell* ¦ --- **M**$^{ept,h1/4}$ C,TR

[5] μυλον *rell* ¦ μυλινον A,NU ¦ μυλικον C ¦ λιθον ℵ

[6] λεγων **f**^{35} ¦ 1 ουτως *rell*

[7] και φωνη μυλου ου μη ακουσθη (φανη **M**$^{b1/3,f}$) εν σοι ετι **f**^{35} **M**$^{a2/3,bpt,d,e,f,g,h,i}$ A,C,CP,RP,HF,OC,NU,TR ¦ --- **M**$^{a1/3,bpt,e1/4,i1/4}$ ℵ

[8] και φως λυχνου ου μη φανη (ακουσθη **M**^{gpt}, ευρεθη **M**$^{e1/5}$) εν σοι ετι **f**^{35} **M**$^{a,b2/3,d2/5,e,f,g,h,i}$ ℵ(C)CP,RP,HF,OC,NU,TR ¦ --- **M**$^{b1/3,d3/5}$ A

[9] οτι **f**^{35} **M**$^{a1/4,b,d,e,f,g,h,i}$ ℵA,C,CP,RP,OC,NU,TR ¦ --- **M**$^{a,i1/4}$ HF

[10] φαρμακεια *rell* ¦ φαρμακια **M**$^{b1/3,ept,gpt}$ ℵA,C

[11] αιματα **f**^{35} **M**$^{a,b,e,f,g,h1/4,i}$ CP,RP,HF,OC ¦ αιμα **M**$^{d,h,i1/4}$ ℵA,C,NU,TR

[12] και **f**^{35} **M**$^{a1/6,d,e,h1/3,i1/4}$ CP,TR ¦ --- **M**$^{a,b,f,g,h2/3,i}$ ℵA,C,RP,HF,OC,NU

[13] ως *rell* ¦ --- **M**^{e,g} TR

[14] φωνην οχλου πολλου μεγαλην **f**^{35} **M**$^{g1/5}$ CP,TR ¦ ~ 1423 **M**$^{a,b,f,g,h,i2/3}$ ℵA,C,RP,HF,OC,NU ¦ 1 (φωνης **M**$^{d,e1/6}$) 23 **M**$^{b1/5,d,e}$ (The emphatic use of μεγαλην was not understood—some omitted while others ‘corrected’ the order; the reading of **f**^{35} gets isolated support from four further families.)

[15] λεγοντων *rell* ¦ λεγοντος TR

[16] η δυναμις και η δοξα **f**^{35} **M**$^{a,b,f,g,i2/3}$ CP,RP,HF ¦ ~ 45312 **M**$^{d,e1/4,h}$ A,C,OC,NU ¦ ~ 4531 τιμη 312 **M**$^{e2/3,i1/3}$ TR ¦ 12 ℵ

[17] του θεου *rell* ¦ κυριω τω θεω **M**$^{e1/3}$ TR ¦ τω θεω **M**$^{e1/5,i1/3}$

[18] διεφθειρεν **f**^{35} **M**$^{a,bpt,e1/5,f,g,i}$ CP,RP,HF,OC ¦ εφθειρεν **M**$^{bpt,d,e3/5,g1/5,h}$ (ℵ)C,NU,TR ¦ εκρινεν A ¦ --- **M**$^{e1/5}$

[19] εκ **f**^{35} **M**^{a,b,f,gpt,h,i} (ℵ)A,C,CP,RP,HF,OC,NU ¦ 1 της **M**$^{d,e,gpt,i1/4}$ TR

[20] δευτερον ειρηκεν **f**^{35} **M**$^{a,e1/6,f,g,i}$ CP,RP,HF ¦ 1 ειρηκαν **M**$^{d,e3/5}$ ℵA,OC,NU,TR ¦ 1 ειπαν C ¦ 1 ειπον **M**$^{h1/3}$ ¦ εκ 1 ειρηκαν **M**^{bpt} ¦ εκ 1 ειρηκασιν **M**^{bpt} ¦ 1 ειρηκασιν **M**$^{a1/6,e1/6,hpt}$

[21] επεσαν **f**^{35} **M**$^{a1/3,dpt,e2/5,(g),h1/4,i1/3}$ ℵA,C,OC,NU,TR ¦ επεσον **M**$^{a2/3,b,c2/7,dpt,e3/5,f,h,i2/3}$ CP,RP,HF (There being no difference in meaning, evidently, the spelling fluctuated.) (Although a significant minority of the **f**^{35} representatives read επεσον, the quality and geographic distribution of those reading επεσαν is sufficiently superior so that these presumably reflect the archetype.)

[22] εικοσι τεσσαρες **f**$^{35\frac{1}{4}}$ **M**$^{a1/3(1/6),b,(d1/3),ept,f,g2/3,hpt,ipt}$ ℵ(A)C,CP,RP,HF,NU ¦ κδ΄ **f**^{35} **M**$^{a1/3(1/2),(dpt),e1/3,g1/4,h1/3}$ ¦ 1 και 2 **M**$^{e1/6}$ (OC)TR

[23] πρεσβυτεροι οι εικοσι τεσσαρες *rell* ¦ ~ 23 και 41 OC

τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου[1] λέγοντες· «Ἀμήν· Ἀλληλούϊα.» **5** Καὶ φωνὴ ἐκ[2] τοῦ θρόνου ἐξῆλθεν, λέγουσα, «Αἰνεῖτε τὸν Θεὸν[3] ἡμῶν, πάντες οἱ δοῦλοι αὐτοῦ καὶ[4] οἱ φοβούμενοι αὐτόν,[5] οἱ μικροὶ καὶ οἱ μεγάλοι.»

The wedding of the Lamb

6 Καὶ ἤκουσα ὡς[6] φωνὴν ὄχλου πολλοῦ καὶ ὡς φωνὴν ὑδάτων πολλῶν καὶ ὡς φωνὴν βροντῶν ἰσχυρῶν λέγοντας·[7] «Ἀλληλούϊα· ὅτι ἐβασίλευσεν Κύριος ὁ Θεὸς ἡμῶν,[8] ὁ Παντοκράτωρ. **7** Χαίρωμεν καὶ ἀγαλλιώμεθα[9] καὶ δῶμεν[10] τὴν δόξαν αὐτῷ,[11] ὅτι ἦλθεν ὁ γάμος τοῦ Ἀρνίου, καὶ ἡ γυνὴ αὐτοῦ ἡτοίμασεν ἑαυτήν.» **8** Καὶ ἐδόθη αὐτῇ ἵνα περιβάληται βύσσινον λαμπρὸν καὶ καθαρόν,[12] τὸ γὰρ βύσσινον τὰ δικαιώματα τῶν ἁγίων ἐστίν.[13]

9 Καὶ λέγει μοι, «Γράψον· ‹Μακάριοι οἱ εἰς τὸ[14] δεῖπνον τοῦ γάμου τοῦ Ἀρνίου κεκλημένοι.› » Καὶ λέγει μοι, «Οὗτοι οἱ λόγοι ἀληθινοί εἰσιν τοῦ Θεοῦ.»[15] **10** Καὶ ἔπεσον[16] ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ προσκυνῆσαι αὐτῷ. Καὶ λέγει μοι· «Ὅρα μή· σύνδουλός σού εἰμι καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν μαρτυρίαν[17] Ἰησοῦ. Τῷ Θεῷ προσκύνησον· ἡ γὰρ μαρτυρία τοῦ[18] Ἰησοῦ ἐστιν τὸ πνεῦμα τῆς προφητείας.»

The battle of Armageddon

11 Καὶ εἶδον τὸν οὐρανὸν ἀνεῳγμένον,[19] καὶ ἰδού, ἵππος λευκός, καὶ ὁ καθήμενος ἐπ᾽ αὐτόν, καλούμενος Πιστὸς καὶ Ἀληθινός,[20] καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ. **12** Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ[21] φλὸξ πυρός, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδήματα πολλά, ἔχων ὀνόματα γεγραμμένα, καὶ[22] ὄνομα γεγραμμένον ὃ οὐδεὶς οἶδεν εἰ μὴ αὐτός· **13** καὶ περιβεβλημένος ἱμάτιον βεβαμμένον[23] αἵματι, καὶ καλεῖται[24] τὸ ὄνομα αὐτοῦ, Ὁ Λόγος τοῦ Θεοῦ. **14** Καὶ τὰ στρατεύματα τὰ[25]

---

[1] του θρονου **f**^{35} **M**^{a¼,d,e,g⅔,h¼,ipt} CP,RP,TR ¦ τω θρονω **M**^{a,b,f,g⅓,h,ipt} ℵA,C,HF,OC,NU

[2] εκ **f**^{35} **M**^{d,e,f,ipt} (ℵ)CP,TR ¦ απο **M**^{a,b,g,h,ipt} A,C,RP,HF,OC,NU

[3] τον θεον *rell* ¦ τω θεω **M**^{d⅓,e⅙} ℵA,C,NU

[4] και *rell* [NU] ¦ --- ℵC

[5] αυτον *rell* ¦ 1 και **M**^{d⅕,e⅕} TR

[6] ως **f**^{35} **M**^{a,bpt,d,e⅓,fpt,g,h,i} ℵA,CP,RP,HF,OC,NU,TR ¦ --- **M**^{bpt,e⅔,fpt}

[7] λεγοντας **f**^{35} **M**^{a¼,e,gpt} TR ¦ λεγοντες **M**^{a,bpt,fpt,gpt,i⅓} RP,HF ¦ λεγοντων **M**^{bpt,d,fpt,h,i⅔} A,CP,OC,NU ¦ λεγουσων ℵ (The accusative is correct, modifying the direct object of the main verb.)

[8] κυριος ο θεος ημων *rell* [NU] ¦ 123 A,OC,TR ¦ 23214 ℵ ¦ 234 **M**^{ept}

[9] αγαλλιωμεθα **f**^{35} **M**^{a,bpt,d⅕,e⅓,f,g,i} CP,RP,HF,OC,TR ¦ αγαλλιωμεν **M**^{bpt,d,e⅔,h} ℵA,NU

[10] δωμεν **f**^{35} **M**^{a,b,d⅖,e⅗,f,g,h,i} ℵ,CP,RP,HF,OC,TR ¦ δωσωμεν **M**^{dpt,e¼} NU ¦ δωσομεν **M**^{e⅙} A

[11] αυτω **f**^{35} **M**^{a,bpt,d,ept,f⅗,g,h,i} A,CP,RP,HF,OC,NU,TR ¦ αυτου **M**^{bpt,ept,f⅖} ¦ αυτων ℵ

[12] λαμπρον και καθαρον **f**^{35} **M**^{a,b,f,g¼,i⅔} CP,RP,HF ¦ 13 **M**^{g⅔,h⅔} ℵA,OC,NU ¦ ~ 31 **M**^{d,e⅔} ¦ ~ 321 **M**^{e⅗} TR

[13] των αγιων εστιν *rell* ¦ ~ 312 **M**^{ept} TR

[14] το **f**^{35} **M**^{a⅔,bpt,d,e,f,g⅔,h⅔,ipt} (ℵA)CP,RP,OC,NU,TR ¦ τον **M**^{a⅓,bpt,e⅕,g⅓,h⅓,ipt} HF (All lexicons that mention the masculine form say it was a late arrival; if it didn't exist in the first century it can't be original, and so in verse 17 below.)

[15] εισιν του Θεου **f**^{35} **M**^{d,e,g¼,h⅓} ℵ,CP,TR ¦ ~ 231 **M**$^{a,b,f,g,h⅓(⅓),i}$ A,RP,HF,OC,NU

[16] επεσον **f**^{35} **M**^{apt,bpt,d⅖,e⅖,f,h⅓,i} CP,TR ¦ επεσα **f**^{35pt} **M**^{apt,bpt,d⅗,e⅗,g,h⅔,i¼} ℵA,RP,HF,OC,NU (These are evidently alternate forms of the first person, so there is no difference in meaning. There being no difference in meaning, the form fluctuated.)

[17] μαρτυριαν *rell* ¦ 1 του TR

[18] του **f**^{35} **M**^{a,b,d⅕,e⅓,f,g,i} CP,RP,HF,OC,TR ¦ --- **M**^{a½,d,e⅔,h} ℵA,NU

[19] ανεωγμενον *rell* ¦ ηνεωγμενον ℵA,NU

[20] καλουμενος πιστος και αληθινος **f**^{35} **M**^{a,b,e⅙,g,h,i} CP,RP,HF,OC[NU]TR ¦ 234 **M**^{d,e⅗,f,i¼} (A) ¦ ~ 2341 **M**^{e¼} ¦ ~ 2134 ℵ

[21] αυτου **f**^{35} **M**^{a,d,e,f,g,hpt,i} ℵ,CP,RP,HF ¦ 1 ως **M**$^{b,e2/7,hpt}$ A,OC[NU]TR

[22] ονοματα γεγραμμενα και **f**^{35} **M**$^{a,b,d¼,e⅗,(gpt),h⅓,ipt}$ (ℵ)CP,RP,HF,OC ¦ --- **M**^{a⅕,d,e⅖,f,gpt,h⅔,ipt} A,NU,TR (The shorter form would be an easy omission, but to explain the longer form as an addition is difficult.) (OC is in small print.)

[23] βεβαμμενον *rell* ¦ 1 εν **M**^{b⅓,f,i¼} OC (OC is in small print.)

[24] καλειται **f**^{35} **M**^{a½,bpt,d,e,f,g,h¼,ipt} CP,RP,TR ¦ κεκληται **M**^{a,bpt,h,ipt} (ℵ)A,HF,OC,NU

[25] τα **f**^{35} **M**^{a⅗,bpt,d¼,fpt,h⅓,ipt} CP,RP,HF,OC[NU] ¦ --- **M**^{a⅖,bpt,d,e,fpt,g,h⅔,ipt} ℵA,TR

ἐν τῷ οὐρανῷ ἠκολούθει αὐτῷ ἐπὶ ἵπποις λευκοῖς,[1] ἐνδεδυμένοι βύσσινον λευκὸν[2] καθαρόν. **15** Καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται ῥομφαία δίστομος[3] ὀξεῖα, ἵνα ἐν αὐτῇ πατάξῃ[4] τὰ ἔθνη. Καὶ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ. Καὶ αὐτὸς πατεῖ τὴν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ τῆς[5] ὀργῆς τοῦ Θεοῦ, τοῦ Παντοκράτορος. **16** Καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ τὸν μηρὸν αὐτοῦ[6] ὄνομα γεγραμμένον·

ΒΑΣΙΛΕΥΣ ΒΑΣΙΛΕΩΝ ΚΑΙ ΚΥΡΙΟΣ ΚΥΡΙΩΝ.

A feast for vultures

17 Καὶ εἶδον ἕνα[7] ἄγγελον ἑστῶτα ἐν τῷ ἡλίῳ· καὶ ἔκραξεν φωνῇ[8] μεγάλῃ, λέγων πᾶσιν τοῖς ὀρνέοις τοῖς πετομένοις[9] ἐν μεσουρανήματι, «Δεῦτε, συνάχθητε[10] εἰς τὸ[11] δεῖπνον τὸ μέγα τοῦ[12] Θεοῦ, **18** ἵνα φάγητε σάρκας βασιλέων καὶ σάρκας χιλιάρχων καὶ σάρκας ἰσχυρῶν καὶ σάρκας ἵππων καὶ τῶν καθημένων ἐπ᾽ αὐτῶν, καὶ σάρκας πάντων, ἐλευθέρων τε[13] καὶ δούλων καὶ μικρῶν τε[14] καὶ μεγάλων.»

19 Καὶ εἶδον τὸ Θηρίον καὶ τοὺς βασιλεῖς τῆς γῆς καὶ τὰ στρατεύματα αὐτῶν συνηγμένα ποιῆ-σαι πόλεμον[15] μετὰ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου καὶ μετὰ τοῦ στρατεύματος αὐτοῦ. **20** Καὶ ἐπιάσθη τὸ Θηρίον, καὶ μετ᾽ αὐτοῦ ὁ[16] Ψευδοπροφήτης, ὁ ποιήσας τὰ σημεῖα ἐνώπιον αὐτοῦ (ἐν οἷς ἐπλάνησεν τοὺς λαβόντας τὸ χάραγμα τοῦ Θηρίου καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ). Ζῶντες ἐβλήθησαν οἱ δύο εἰς τὴν λίμνην τοῦ πυρὸς τὴν καιομένην[17] ἐν[18] θείῳ. **21** Καὶ οἱ λοιποὶ ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, τῇ ἐξελθούσῃ[19] ἐκ τοῦ στόματος αὐτοῦ. Καὶ πάντα τὰ ὄρνεα ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν.

The Millennium

Satan bound

20:1 Καὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα τὴν κλεῖν[20] τῆς Ἀβύσσου καὶ ἅλυσιν μεγάλην ἐπὶ τὴν χεῖρα αὐτοῦ. **2** Καὶ ἐκράτησεν τὸν δράκοντα, τὸν ὄφιν τὸν ἀρχαῖον,[21] ὅς ἐστιν[22] διάβολος καὶ ὁ[23] Σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην,[24] καὶ ἔδησεν αὐτὸν χίλια ἔτη· **3** καὶ ἔβαλεν αὐτὸν εἰς τὴν Ἄβυσσον καὶ ἔκλεισεν[25] καὶ ἐσφράγισεν ἐπάνω αὐτοῦ ἵνα μὴ πλανᾷ[26]

---

[1] επι ιπποις λευκοις **f**^{35} **M**^{a,b,d¼,f,i} CP,RP,HF,OC ¦ εφ 23 **M**^{e⅔,g,h} ℵA,NU,TR ¦ εφ ιπποι πολλοι **M**^{d⅗,e¼}

[2] βυσσινον λευκον *rell* ¦ ~ 21 A ¦ 12 και **M**^{e⅔,g⅓} ℵ,TR

[3] διστομος **f**^{35} **M**^{a,b,d¼,ept,f,g,h⅓,i} CP,RP,HF ¦ --- **M**^{d,ept,h⅔} ℵA,NU,TR ¦ ~ οξεια 1 OC (OC is in small print.)

[4] παταξη *rell* ¦ πατασση OC,TR ¦ παταξει **M**^{g} ℵ

[5] της **f**^{35} **M**^{a,b,f,g,h,i} (ℵ)A,CP,RP,HF,OC,NU ¦ και 1 **M**^{d,e,i¼} TR

[6] αυτου *rell* ¦ 1 το **M**^{e⅓} TR

[7] ενα **f**^{35} **M**^{a⅙,e,gpt,h⅔,i⅖} A,CP,OC,NU,TR ¦ 1 αλλον **M**^{b} ¦ αλλον **M**^{h⅙,i⅕} ℵ ¦ --- **M**^{a,d,e⅙,f,gpt,h⅙,i⅖} RP,HF

[8] φωνη **f**^{35} **M**^{a¼,bpt,d,e,f,g⅔,h,i⅔} A,CP,RP,TR ¦ εν 1 **M**^{a,bpt,g⅓,i⅓} ℵ,HF,OC[NU]

[9] πετομενοις *rell* ¦ πετωμενοις **M**^{i⅓} [+20 assorted mss]TR

[10] συναχθητε *rell* ¦ και συναγεσθε TR ¦ --- **M**^{ept}

[11] το **f**^{35} **M**^{a⅔,d⅓,e,gpt,hpt,ipt} (ℵA)CP,RP,OC,NU,TR ¦ τον **M**^{a⅓,b,d⅔,f,gpt,hpt,ipt} HF

[12] το μεγα του **f**^{35} **M**^{a⅔,e⅕,gpt,hpt,i⅗} ℵA,CP,RP,OC,NU ¦ τον μεγαν 3 **M**^{a¼,b,f,gpt,hpt} HF ¦ του μεγαλου **M**^{d,e} TR

[13] τε *rell* ¦ --- **M**^{ept} TR (OC is in small print.)

[14] τε **f**^{35} **M**^{a,e¼,g,h⅓,i} CP,RP,HF,OC ¦ --- **M**^{b,d,e,f,h⅔,i⅕} ℵA,NU,TR (OC is in small print.)

[15] πολεμον **f**^{35} **M**^{a⅓,b,d,e,f,g¼,h,i⅔} CP,RP,TR ¦ τον 1 **M**^{a⅔,f¼,g,h¼,i⅓} ℵA,HF,OC,NU

[16] μετ αυτου ο **f**^{35} **M**^{d,ept,hpt} ℵ,CP,NU ¦ οι 123 A ¦ μετα τουτου 3 **M**^{ept} TR ¦ ~ 312 **M**^{a,b,f,g,hpt,i} RP,HF,OC

[17] την καιομενην *rell* ¦ της καιομενης A,NU ¦ της κεομενης ℵ

[18] εν **f**^{35} **M**^{a,e⅓,f⅖,g,h,i} ℵA,CP,RP,HF,OC,NU ¦ 1 τω **M**^{b,d,e⅔,f⅗,i⅕} TR

[19] εξελθουση *rell* ¦ εκπορευομενη TR

[20] κλειν *rell* ¦ κλιν ℵA ¦ κλειδα **M**^{ept,gpt} TR

[21] τον οφιν τον αρχαιον *rell* ¦ ο οφις ο αρχαιος A,NU

[22] εστιν *rell* ¦ 1 ο **M**^{a⅛,c¼,d,h,ipt} ℵ

[23] ο **f**^{35} **M**^{apt,b,d,f,h,i⅖} ℵA,CP,RP,HF,OC,NU ¦ --- **M**^{apt,d¼,e,g,h¼,i⅗} TR (OC is in small print.)

[24] ο πλανων την οικουμενην ολην **f**^{35} **M**^{a,b,fpt,g,i} CP,RP,HF ¦ 1234 OC ¦ --- **M**^{d,e,fpt,h} ℵA,NU,TR (Since most versions are based on TR or NU, very few contain this important clause.) (OC is in small print.)

[25] εκλεισεν **f**^{35} **M**^{a,b,d¼,e⅗,f,g,h,i} ℵA,CP,RP,HF,OC,NU ¦ εδησεν **M**$^{d,e2/7}$ ¦ 1 αυτον TR

[26] πλανα **f**^{35} **M**^{a,b,d⅕,e⅖,f,g,i} CP,RP,HF,OC ¦ πλανηση **M**^{d,e⅗,h} A,NU,TR ¦ πλανησει ℵ

ἔτι τὰ ἔθνη[1] ἄχρι τελεσθῇ τὰ χίλια ἔτη. Καὶ[2] μετὰ ταῦτα δεῖ αὐτὸν λυθῆναι[3] μικρὸν χρόνον.

Saints reign

4 Καὶ εἶδον θρόνους, καὶ ἐκάθισαν ἐπ᾽ αὐτούς, καὶ κρῖμα ἐδόθη αὐτοῖς, καὶ τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ τὴν μαρτυρίαν Ἰησοῦ καὶ διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ οἵτινες οὐ προσεκύνησαν τῷ Θηρίῳ[4] οὔτε[5] τῇ εἰκόνι[6] αὐτοῦ καὶ οὐκ ἔλαβον τὸ χάραγμα ἐπὶ τὸ μέτωπον αὐτῶν[7] καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν. Καὶ ἔζησαν καὶ ἐβασίλευσαν μετὰ τοῦ[8] Χριστοῦ χίλια[9] ἔτη. **5** (Καὶ οἱ λοιποὶ τῶν νεκρῶν οὐκ ἔζησαν ἄχρι τελεσθῇ τὰ χίλια ἔτη.)[10] Αὕτη ἡ ἀνάστασις ἡ πρώτη. **6** Μακά-ριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ· ἐπὶ τούτων ὁ δεύτερος θάνατος[11] οὐκ ἔχει ἐξουσίαν, ἀλλ᾽ ἔσονται ἱερεῖς τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ, καὶ βασιλεύσουσιν μετ᾽ αὐτοῦ[12] χίλια[13] ἔτη.

The final rebellion

7 Καὶ ὅταν τελεσθῇ[14] τὰ χίλια ἔτη λυθήσεται ὁ Σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ, **8** καὶ ἐξελεύ-σεται πλανῆσαι τὰ ἔθνη τὰ ἐν ταῖς τέσσαρσιν γωνίαις τῆς γῆς, τὸν Γὼγ καὶ τὸν[15] Μαγώγ, συναγα-γεῖν[16] αὐτοὺς εἰς τὸν[17] πόλεμον, ὧν ὁ ἀριθμὸς[18] ὡς ἡ[19] ἄμμος τῆς θαλάσσης. **9** Καὶ ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς καὶ ἐκύκλευσαν[20] τὴν παρεμβολὴν τῶν ἁγίων καὶ τὴν πόλιν τὴν ἠγαπημένην. Καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ[21] καὶ κατέφαγεν αὐτούς. **10** Καὶ ὁ Διάβολος, ὁ πλανῶν αὐτούς, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρὸς καὶ[22] θείου, ὅπου καὶ[23] τὸ Θηρίον καὶ ὁ Ψευδο-προφήτης. Καὶ βασανισθήσονται ἡμέρας καὶ νυκτὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

The Great White Throne

11 Καὶ εἶδον θρόνον μέγαν λευκὸν[24] καὶ τὸν καθήμενον ἐπ᾽ αὐτόν,[25] οὗ ἀπὸ[26] προσώπου

---

[1] ετι τα εθνη *rell* ¦ ~ 231 TR ¦ 23 **M**^{ept}

[2] και **f**^{35} **M**^{a1⅙,b⅗,d,e,f,ipt} CP,RP,TR ¦ --- **M**^{a,b⅖,g,h,ipt} ℵA,HF,OC,NU

[3] αυτον λυθηναι **f**^{35} **M**^{bpt,d,e,f⅔,h⅓,ipt} ℵ,CP,RP,OC,TR ¦ ~ 21 **M**^{a,bpt,f⅓,g,h⅔,ipt} A,HF,NU

[4] τω θηριω **f**^{35} **M**^{a¼,bpt,e,f⅔,g,h⅖,ipt} CP,TR ¦ το θηριον **M**^{a,bpt,d,f⅓,g¼,h⅗,ipt} ℵA,RP,HF,OC,NU

[5] ουτε **f**^{35} **M**^{a⅙,bpt,d,e,f⅔,ipt} CP,OC,TR ¦ ουδε **M**^{a,bpt,f⅓,g,h,ipt} ℵA,RP,HF,NU

[6] τη εικονι **f**^{35} **M**^{e⅗,g,h⅖,i⅓} CP ¦ την εικονα **M**^{a,b,d,e⅖,f,g¼,h⅗,i⅔} ℵA,RP,HF,OC,NU,TR

[7] το μετωπον αυτων **f**^{35} **M**^{d⅕,e⅗,f⅕} CP,OC,TR ¦ των μετωπων 3 **M**^{d,e⅕,i⅕} ¦ 12 **M**^{a,b,e⅕,f,h,i} ℵA,RP,HF,NU ¦ των μετωπων **M**^{g,h¼}

[8] του *rell* ¦ --- **M**^{e⅔} TR

[9] χιλια **f**^{35} **M**^{bpt,d,e,f⅗,h⅖,i⅓} ℵA,CP,OC,NU ¦ τα 1 **M**^{a,bpt,d⅕,e⅕,f⅖,g,h⅗,i⅔} RP,HF,TR

[10] και (A,TR) οι (+δε **M**^{g¼},TR) λοιποι των νεκρων (ανθρωπων **M**^{bpt}) ουκ εζησαν αχρι (ανεστησαν αχρι **M**$^{e2/7}$; ανεζησαν εως **M**^{g¼},TR)(εως OC) τελεσθη (τελεσθωσιν **M**^{d}; τελεσθηναι **M**^{hpt}) τα χιλια ετη **f**^{35} **M**^{a¼,b,d,e,f,g¼,h,i⅔} (A)CP,RP,HF(OC)NU(TR) ¦ omit sentence **M**^{a,g,i⅓} ℵ

[11] ο δευτερος θανατος **f**^{35} **M**^{a,b,ept,f,g,h,i} ℵA,CP,RP,HF,OC,NU ¦ ~ 1312 **M**^{d,ept,g¼} TR

[12] μετ αυτου **f**^{35} **M**$^{a2/7,b,d,e,f⅔,g⅗,h,i}$ ℵA,CP,RP,HF,OC,NU,TR ¦ μετα ταυτα **M**^{a,f⅓,g⅖,i⅕}

[13] χιλια *rell* ¦ τα 1 ℵ[NU]

[14] οταν τελεσθη **f**^{35} **M**^{b,d,e⅓,f,h,ipt} (ℵ)A,CP,RP,OC,NU,TR ¦ οτε ετελεσθησαν **M**^{e⅓} ¦ οτε 2 **M**^{e⅕} ¦ μετα **M**$^{a,f2/7,g,ipt}$ HF

[15] τον **f**^{35} **M**^{a,b,d¼,e⅖,f,g,h,i} CP,RP,HF,OC,TR ¦ --- **M**$^{d,e⅗,f2/7,h¼}$ ℵA,NU

[16] συναγαγειν **f**^{35} **M**$^{a,b⅗,e⅖,f2/7,g,h,i}$ A,CP,RP,HF,OC,NU,TR ¦ και 1 **M**^{b⅖,d,e⅗,f,i⅕} ℵ

[17] τον **f**^{35} **M**^{a,bpt,g,h,i} ℵA,CP,RP,HF,OC,NU ¦ --- **M**^{bpt,d,e,f} TR

[18] αριθμος **f**^{35} **M**^{a1⅙,bpt,d,e,f,i⅓} CP,RP,TR ¦ 1 αυτων **M**^{a,bpt,g,h,i⅔} ℵA,HF,OC,NU

[19] ως η **f**^{35} **M**$^{apt,b,d,e⅗,f5/7,h,i}$ CP,RP,HF,OC,NU,TR ¦ ωσει **M**$^{apt,e⅖,f2/7,g,h¼,i⅕}$

[20] εκυκλευσαν **f**^{35} **M**^{a,h¼,i⅕} A,CP,HF,OC,NU ¦ εκυκλωσαν **M**^{a¼,b,d,e,f,g,h,i} ℵ,RP,TR (The two verbs are quite similar in form and apparently virtually identical in meaning.)

[21] πυρ εκ του ουρανου απο του θεου **f**^{35} **M**$^{a,b,d⅕,e⅕,f,(g⅖),i}$ CP,RP,HF,OC ¦ 1234 **M**$^{d,h¼(⅛)}$ A,NU ¦ ~ 127534 **M**^{e⅕} ¦ ~ 1267534 **M**^{e¼} ¦ ~ 2671534 **M**^{e⅕} ¦ ~ 1567234 **M**^{g⅖,h⅗} TR ¦ --- ℵ

[22] και **f**^{35} **M**^{a,e,f,ipt} (A)CP,RP,HF,NU,TR ¦ 1 του **M**^{b,d,e⅕,h,ipt} (ℵ)OC ¦ του **M**^{g}

[23] και *rell* ¦ --- **M**^{e,ipt} ℵ,TR

[24] μεγαν λευκον **f**^{35} **M**$^{a,bpt,f2/7,g,h⅔,i}$ ℵA,CP,RP,HF,OC,NU ¦ ~ 21 **M**^{a⅕,bpt,d,e,f,h⅓,i⅕} TR

[25] επ αυτον *rell* ¦ 1 αυτου A,TR ¦ επανω αυτου ℵ ¦ 1 αυτω OC

[26] απο *rell* ¦ 1 του ℵA,NU

ἔφυγεν ὁ οὐρανὸς καὶ ἡ γῆ.[1] Καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς. **12** Καὶ εἶδον τοὺς νεκρούς, τοὺς μεγάλους καὶ τοὺς μικρούς, ἑστῶτας[2] ἐνώπιον τοῦ θρόνου,[3] καὶ βιβλία ἀνεῴχθησαν.[4] Καὶ ἄλλο Βιβλίον ἀνεῴχθη,[5] ὅ ἐστιν τῆς Ζωῆς. Καὶ ἐκρίθησαν οἱ νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις, κατὰ τὰ ἔργα αὐτῶν. **13** Καὶ ἔδωκεν ἡ θάλασσα τοὺς ἐν αὐτῇ νεκρούς,[6] καὶ ὁ Θάνατος καὶ ὁ Ἅδης ἔδωκαν τοὺς ἐν αὐτοῖς νεκρούς.[7] Καὶ ἐκρίθησαν ἕκαστος κατὰ τὰ ἔργα αὐτῶν.[8] **14** Καὶ ὁ Θάνατος καὶ ὁ Ἅδης ἐβλήθησαν εἰς τὴν λίμνην τοῦ πυρός. Οὗτός ἐστιν ὁ θάνατος ὁ δεύτερος,[9] ἡ λίμνη τοῦ πυρός.[10] **15** Καὶ εἴ τις οὐχ εὑρέθη ἐν τῇ Βίβλῳ[11] τῆς Ζωῆς γεγραμμένος ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός.

New heaven, new earth

21:1 Καὶ εἶδον οὐρανὸν καινὸν καὶ γῆν καινήν, ὁ γὰρ πρῶτος οὐρανὸς καὶ ἡ πρώτη γῆ παρῆλθεν·[12] καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι. **2** Καὶ[13] τὴν πόλιν τὴν ἁγίαν, Ἰερουσαλὴμ Καινήν, εἶδον[14] καταβαίνουσαν ἀπὸ τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ,[15] ἡτοιμασμένην ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς. **3** Καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ[16] λεγούσης· «Ἰδού, ἡ σκηνὴ τοῦ Θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ σκηνώσει μετ᾽ αὐτῶν, καὶ αὐτοὶ λαὸς[17] αὐτοῦ ἔσονται, καὶ αὐτὸς ὁ Θεὸς ἔσται μετ᾽ αὐτῶν.[18] **4** Καὶ ἐξαλείψει πᾶν[19] δάκρυον ἀπὸ[20] τῶν ὀφθαλμῶν αὐτῶν, καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι, οὔτε πένθος οὔτε κραυγὴ οὔτε πόνος—οὐκ ἔσται ἔτι, ὅτι τὰ πρῶτα[21] ἀπῆλθον.»[22]

---

[1] ο ουρανος και η γη **f**^{35} CP ¦ ~ 45312 **M**^{a,b,d,e,f,g,h,i} ℵA,RP,HF,OC,NU,TR (Representatives of **M**^{a,d,e,h} join **f**^{35}.)

[2] τους μεγαλους και τους μικρους εστωτας **f**^{35} **M**^{bpt,d,e,g,h,ipt} A,CP,RP,HF,OC,NU ¦ ~ 645312 **M**$^{bpt,f,i1/3}$ ¦ ~ 323456 ℵ ¦ ~ 5326 **M**$^{f1/3}$ TR ¦ 6 **M**$^{a,i1/3}$

[3] ενωπιον του θρονου *rell* ¦ 12 θεου **M**$^{d1/3,e1/4}$ TR ¦ 123 του θεου **M**$^{e1/4}$ ¦ επι 23 ℵ

[4] ανεωχθησαν **f**^{35} **M**$^{h1/4}$ CP ¦ ηνεωχθησαν **M**$^{e,g2/3,h1/3,i1/3}$ RP,TR ¦ ηνοιχθησαν **M**$^{b,d,f,h1/4,i2/3}$ A,OC,NU ¦ ηνεωχθη ℵ ¦ ηνοιξαν **M**$^{a,(g3/3),i1/3}$ HF (Apparently we have alternate spellings that do not affect the meaning.)

[5] ανεωχθη **f**^{35} **M**$^{f1/4,h1/4}$ CP ¦ ηνεωχθη **M**$^{a,b1/3,e1/3,f,g,hpt,i}$ RP,HF(TR) ¦ ηνοιχθη **M**^{bpt,d,ept} A,OC,NU ¦ --- ℵ

[6] εν αυτη νεκρους **f**^{35} **M**$^{a1/6,e}$ CP,TR ¦ εαυτης 3 **M**$^{e1/4}$ ¦ ~ 3 τους 12 **M**^{a,b,d,f,g,h,i} ℵA,RP,HF,OC,NU (The dead have already been introduced, emphatically, in verse 12, so here the unmarked form is appropriate.)

[7] εν αυτοις νεκρους **f**^{35} **M**$^{a1/4,e}$ TR ¦ εαυτων 3 **M**$^{g1/3}$ CP ¦ ~ 3 τους 12 **M**^{a,b,d,f,gpt,h,i} ℵA,RP,HF,OC,NU

[8] αυτων **f**^{35} **M**$^{apt,d,e,f2/7,g,h}$ ℵA,CP,RP,OC,NU,TR ¦ αυτου **M**^{apt,b,f,i} HF

[9] εστιν ο θανατος ο δευτερος **f**^{35} CP ¦ ~ 1453 **M**$^{a1/4,e1/4,h1/3,ipt}$ TR ¦ ~ 23451 **M**$^{apt,b,e1/4,f,gpt,h1/4,ipt}$ A,RP,HF,OC,NU ¦ ~ 2351 **M**^{d} ¦ --- **M**$^{a1/6,ept}$ ¦ ~ 4531 **M**$^{h1/3}$ ℵ

[10] η λιμνη του πυρος *rell* ¦ --- **M**$^{apt,e2/3,h1/4,ipt}$ OC,TR

[11] εν τη βιβλω **f**^{35} **M**$^{(d),e,g2/7,h,i1/3}$ ℵA,CP,OC,NU,TR ¦ 1 τω βιβλιω **M**$^{a,b,f,g3/3,i2/3}$ RP,HF ¦ εις την βιβλον **M**$^{e1/3}$

[12] παρηλθεν **f**^{35} **M**$^{d,e,g,h1/6}$ CP,TR ¦ απηλθεν **M**$^{bpt,i1/3}$ ¦ απηλθον **M**^{a,bpt,f,h,ipt} RP,HF,OC ¦ απηλθαν ℵA,NU (The earth with its atmosphere is treated as a unit.)

[13] και *rell* ¦ 1 εγω ιωαννης ειδον TR

[14] ειδον *rell* ¦ --- TR

[15] απο του θεου εκ του ουρανου **f**^{35} **M**^{d,e} CP,TR ¦ ~ 456123 **M**$^{a,b,e1/3,f,g,h,i}$ ℵA,RP,HF,OC,NU

[16] ουρανου *rell* ¦ θρονου ℵA,NU

[17] λαος **f**^{35} **M**$^{a,b,e1/3,f,g,i}$ CP,RP,HF,OC ¦ λαοι **M**$^{d,e2/3,h}$ ℵA,NU,TR

[18] εσται μετ αυτων **f**^{35} **M**$^{a1/6,bpt,e3/3}$ ℵ,CP,RP ¦ ~ 231 **M**$^{a,bpt,f2/7,g,i1/3}$ HF,OC ¦ 123 θεος 3 **M**$^{d,e2/3,f,h1/4(pt),i2/3}$ TR ¦ ~ 2313 θεος A[NU]

[19] παν **f**^{35} **M**$^{bpt,d,e1/3,f,g,h,ipt}$ ℵ,CP,RP,NU ¦ ο θεος 1 **M**$^{e3/3}$ A,TR ¦ απ αυτων 1 **M**^{a,bpt,ipt} HF ¦ απ αυτων ο θεος 1 OC (OC is in small print)

[20] απο *rell* ¦ εκ ℵA,NU

[21] οτι τα πρωτα **f**^{35} **M**^{a,b,e,f,g,i} CP,RP,HF,OC[NU]TR ¦ 2 γαρ 3 **M**^{d} ¦ 23 **M**$^{e1/3,h}$ A ¦ 2 προβατα ℵ

[22] απηλθον **f**^{35} **M**$^{a1/4,bpt,d,e,gpt,h1/4,ipt}$ CP,RP,OC,TR ¦ απηλθεν **M**^{a,bpt,f,gpt,h,ipt} ℵ,HF ¦ απηλθαν A,NU

5 Καὶ[1] εἶπεν ὁ καθήμενος ἐπὶ τοῦ θρόνου,[2] «Ἰδού, καινὰ ποιῶ πάντα.»[3] Καὶ λέγει μοι,[4] «Γράψον, ὅτι οὗτοι οἱ λόγοι ἀληθινοὶ καὶ πιστοί[5] εἰσιν.»[6] **6** Καὶ εἶπέν μοι· «Γέγονα[7] τὸ Ἄλφα[8] καὶ τὸ Ὦ, Ἀρχὴ καὶ Τέλος.[9] Ἐγὼ τῷ διψῶντι δώσω[10] ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς δωρεάν. **7** Ὁ νικῶν κληρονομήσει ταῦτα[11] καὶ ἔσομαι αὐτῷ Θεός, καὶ αὐτὸς ἔσται μοι υἱός.[12] **8** Τοῖς δὲ δειλοῖς[13] καὶ ἀπίστοις καὶ ἀμαρτωλοῖς καὶ[14] ἐβδελυγμένοις καὶ φονεῦσιν καὶ πόρνοις καὶ φαρμακοῖς[15] καὶ εἰδωλολάτραις, καὶ πᾶσιν τοῖς ψευδέσιν, τὸ μέρος αὐτῶν ἐν τῇ λίμνῃ τῇ καιομένῃ[16] πυρὶ καὶ θείῳ, ὅ ἐστιν ὁ θάνατος ὁ δεύτερος.»[17]

The New Jerusalem

9 Καὶ ἦλθεν[18] εἷς ἐκ[19] τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας γεμούσας τῶν[20] ἑπτὰ πληγῶν τῶν ἐσχάτων, καὶ ἐλάλησεν μετ᾽ ἐμοῦ λέγων, «Δεῦρο, δείξω σοι τὴν γυναῖκα τὴν νύμφην τοῦ Ἀρνίου.»[21] **10** Καὶ ἀπήνεγκέν με ἐν Πνεύματι ἐπ᾽[22] ὄρος μέγα καὶ ὑψηλόν, καὶ ἔδειξέν μοι τὴν πόλιν τὴν μεγάλην, τὴν ἁγίαν[23] Ἰερουσαλήμ, καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ[24] τοῦ Θεοῦ, **11** ἔχουσαν τὴν δόξαν τοῦ Θεοῦ. Ὁ[25] φωστὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ ἰάσπιδι

---

[1] και *rell* ¦ --- **M**^{a⅔}

[2] επι του θρονου **f**^{35} **M**^{a1⅘,ept,hpt,ipt} CP,TR ¦ 1 τω θρονω **M**^{a,bpt,ept,f,g,hpt,ipt} ℵA,RP,HF,OC,NU ¦ εν τω θρονω **M**$^{bpt(d)}$ (Is the Creator relaxed on His throne [dative], a little bored or sad, saying, "Well, you know, I guess I'll have to start over," or is He sitting on the edge of His chair [genitive], excited, saying, "Hey, I'm going to make everything new!"? We know that as an eye witness John was good at observing detail [Jn. 19:34]; I imagine that it looked to John like He was going to get up and start right then!)

[3] καινα ποιω παντα **f**^{35} **M**^{bpt,e¼,h,i⅓} (ℵ)A,CP,OC,NU ¦ καινοποιω 3 **M**^{d,e⅕} ¦ ~ 132 **M**^{ept} TR ¦ ~ 312 **M**^{a,bpt,f,g,i⅔} RP,HF

[4] μοι **f**^{35} **M**^{a⅓,bpt,d,e,f,h⅔,i⅔} ℵ,CP,RP,OC,TR ¦ --- **M**^{a⅔,bpt,g,h⅓,i⅓} A,HF,NU (OC is in small print.)

[5] αληθινοι και πιστοι **f**^{35} **M**^{a½,bpt,d,e,f} CP,RP,TR ¦ ~ 321 **M**$^{a,bpt,f2/7,g,h,i}$ ℵA,HF,OC,NU

[6] εισιν **f**^{35} **M**^{a⅛,d,e,h,i¼} ℵA,CP,RP,OC,NU,TR ¦ 1 του θεου **M**^{bpt,f,i¼} ¦ του θεου 1 **M**$^{a,bpt,f2/7,g,ipt}$ HF

[7] γεγονα **f**^{35} **M**^{a,ept,gpt,i⅓} CP,RP,HF ¦ γεγονε **M**^{a⅛,e¼} ¦ 1 εγω **M**^{a⅛,b,d,e⅓,f,gpt,h¼,i⅓} ℵ ¦ γεγονεν εγω OC ¦ γεγοναν εγω ειμι A[NU] ¦ γεγονε εγω ειμι TR ¦ γεγονασιν εγω ειμι **M**^{hpt,i⅓}

[8] αλφα *rell* ¦ A OC,TR

[9] αρχη και τελος **f**^{35} **M**^{ept,f} CP ¦ η 12 το 3 **M**^{a¼,b,d,g,h,i} ℵA,RP,OC,NU,TR ¦ 2 η 12 το 3 **M**^{a,e¼} HF (The absence of the article emphasizes the inherent quality of the nouns.)

[10] δωσω **f**^{35} **M**^{d,e,g,h,i} ℵA,CP,RP,OC,NU,TR ¦ 1 αυτω **M**^{a,b,f} HF

[11] κληρονομησει ταυτα **f**^{35} **M**^{a⅛,d,e⅔,gpt,h,i⅓} (ℵ)A,CP,RP,NU ¦ εσται ουτω 2 OC ¦ 1 παντα **M**^{e⅓} TR ¦ δωσω αυτω 2 **M**^{a,b,f,gpt,i⅔} HF

[12] αυτος εσται μοι (μου **M**^{a¼}) υιος **f**^{35} **M**^{a,b,e¼,f,g,hpt,i} ℵ,CP,RP,HF,OC,NU ¦ 234 **M**^{hpt} A ¦ 123 ο 4 TR ¦ αυτοι εσονται 3 υιοι **M**^{d,ept}

[13] τοις δε δειλοις *rell* ¦ ~ 32 **M**^{ept} TR ¦ 12 ως διλοις ℵ^{v}

[14] και αμαρτωλοις και **f**^{35} **M**^{a,b,ept,f,g,i} CP,RP,HF ¦ 1 **M**^{d⅓,e⅕,h} ℵA,OC,NU,TR ¦ --- **M**$^{d⅔,e2/7}$

[15] φαρμακοις *rell* ¦ φαρμακευσι TR

[16] καιομενη *rell* ¦ 1 εν OC

[17] ο θανατος ο δευτερος **f**^{35} **M**^{a,b,f⅗,g,h⅗,i} ℵA,CP,RP,HF,OC,NU ¦ 24 **M**^{dpt,h⅓} ¦ 234 **M**^{a½,f⅖} ¦ ~ 142 **M**^{ept} ¦ ~ 42 **M**^{d⅓,e½} TR ¦ --- **M**^{e⅕}

[18] ηλθεν *rell* ¦ 1 προς με TR

[19] εκ **f**^{35} **M**^{a,bpt,f,g,hpt,i} ℵA,CP,RP,HF,NU ¦ --- **M**^{a½,bpt,d,e,hpt} OC,TR

[20] γεμουσας των **f**^{35} **M**$^{bpt,e2/7,f,gpt,i⅓}$ CP,RP,HF ¦ τας 12 **M**^{dpt,e⅖,gpt,hpt,i⅖} OC,TR ¦ 1 **M**^{a} ¦ 2 γεμοντων 2 **M**^{e⅕,hpt,i⅕} ℵA,NU ¦ 2 γεμοντων **M**^{dpt} ¦ τας εχουσας 2 **M**^{bpt}

[21] την γυναικα την νυμφην του αρνιου **f**^{35} **M**^{a,f,g,i⅔} CP,RP,HF ¦ ~ 341256 **M**^{b,h} ℵA,OC,NU ¦ ~ 345612 **M**^{d,e,i⅓} TR

[22] επ *rell* ¦ επι **M**^{bpt,hpt} ℵA,NU

[23] την μεγαλην την αγιαν **f**^{35} **M**^{e⅙} CP,RP,TR ¦ 12 και 4 **M**^{bpt,d,e,f⅗,ipt} ¦ 34 **M**$^{a,bpt,f2/7,g,h,ipt}$ ℵA,HF,OC,NU ("the great" [**f**^{35},a⅙,b^{pt},d,e,f,i^{pt}] has better attestation than 'omit' [a,b^{pt},**f**$^{2/7}$,g,h,i^{pt},ℵA], and "the holy" [**f**^{35},a,b^{pt},e¼,**f**⅖,g,h,i^{pt},ℵA] than "and holy" [b^{pt},d,e,**f**⅗,i^{pt}]; so **f**^{35} preserves the original.)

[24] απο **f**^{35} **M**^{a¼,d,e,gpt,h,i⅔} ℵA,CP,RP,OC,NU,TR ¦ και 1 **M**^{e⅕} ¦ εκ **M**$^{a,bpt(pt),f⅖(⅗),gpt,i⅓}$ HF

[25] ο **f**^{35} **M**$^{a,bpt,d,e2/7,f,g,hpt,i⅔}$ ℵ(A)CP,RP,HF,OC,NU ¦ και 1 **M**^{bpt,e,g¼,hpt,i⅓} TR

κρυσταλίζοντι,[1] **12** ἔχουσα[2] τεῖχος μέγα καὶ ὑψηλόν, ἔχουσα[3] πυλῶνας δώδεκα καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους δώδεκα,[4] καὶ ὀνόματα ἐπιγεγραμμένα, ἅ ἐστιν[5] τῶν δώδεκα φυλῶν τῶν υἱῶν[6] Ἰσραήλ· **13** ἀπὸ[7] ἀνατολῶν[8] πυλῶνες τρεῖς, καὶ ἀπὸ βορρᾶ[9] πυλῶνες τρεῖς, καὶ ἀπὸ νότου[10] πυλῶνες τρεῖς, καὶ ἀπὸ δυσμῶν[11] πυλῶνες τρεῖς. **14** Καὶ τὸ τεῖχος τῆς πόλεως ἔχον[12] θεμελίους δώδεκα, καὶ ἐπ᾽ αὐτῶν[13] δώδεκα[14] ὀνόματα τῶν δώδεκα ἀποστόλων τοῦ Ἀρνίου. **15** Καὶ ὁ λαλῶν μετ᾽ ἐμοῦ εἶχεν μέτρον,[15] κάλαμον χρυσοῦν, ἵνα μετρήσῃ τὴν πόλιν καὶ τοὺς πυλῶνας αὐτῆς.[16] **16** Καὶ ἡ πόλις τετράγωνος κεῖται, καὶ τὸ μῆκος αὐτῆς ὅσον[17] τὸ πλάτος. Καὶ ἐμέτρησεν τὴν πόλιν[18] τῷ καλάμῳ ἐπὶ σταδίους[19] δώδεκα[20] χιλιάδων δώδεκα.[21] Τὸ μῆκος καὶ τὸ πλάτος καὶ τὸ ὕψος αὐτῆς ἴσα ἐστίν. **17** Καὶ ἐμέτρησεν[22] τὸ τεῖχος αὐτῆς, ἑκατὸν τεσσαράκοντα τεσσάρων[23] πηχῶν, μέτρον ἀνθρώπου (ὅ ἐστιν ἀγγέλου). **18** Καὶ ἦν[24] ἡ ἐνδόμησις[25] τοῦ τείχους αὐτῆς ἴασπις· καὶ ἡ πόλις χρυσίον καθαρόν, ὅμοιον[26] ὑέλῳ[27] καθαρῷ· **19** καὶ[28] οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως παντὶ λίθῳ τιμίῳ κεκοσμημένοι· ὁ θεμέλιος ὁ πρῶτος ἴασπις, ὁ δεύτερος σάπφειρος,[29] ὁ

---

[1] κρυσταλιζοντι **f**[35] **M**[a1⅓,b3⅗,d,e3⅗,f3⅗,g3⅗,h,i3⅗] CP ¦ κρυσταλλιζοντι **M**[a2⅔,b2⅗,d1⅗,e2⅗,f2⅗,g2⅗,h¼,i2⅗] ℵA,RP,HF,OC,NU,TR (It would appear that John invented this verb, so he could spell it as he wished. Each of the MS groups has some division, but the single consonant has the edge in all except **a**. Since the noun is spelled with a double consonant, there would be an obvious pressure to 'correct' John's invention; if the verb started out with a double consonant who would want to change it?)

[2] εχουσα **f**[35] **M**[a,bpt,d,e3⅗,f,g,h,i] A,RP,HF,OC,NU ¦ εχουσαν **M**[bpt] CP ¦ 1 τε **M**[e2⅗] ¦ εχουσαν τε TR ¦ εχοντι ℵ

[3] εχουσα *rell* ¦ εχουσαν **M**[bpt] TR ¦ εχοντας ℵ

[4] δωδεκα **f**[35] **M**[a¼,bpt,d,e3⅗,f,h,i2⅔] CP,RP,OC,NU,TR ¦ δεκαδυο **M**[a,bpt,g,i⅓] HF ¦ ιβ ℵ ¦ --- **M**[e2/7] A

[5] εστιν **f**[35] **M**[d,e] ℵ,CP,TR ¦ 1 ονοματα **M**[a,bpt,f,g,hpt,i2⅔] RP,HF,OC ¦ 1 τα ονοματα **M**[bpt,h1⅓,i⅕] A[NU] (OC is in small print.)

[6] των υιων **f**[35] **M**[a¼,e2⅔,gpt,h2⅖] CP,RP,OC,TR ¦ του **M**[a½,d,e1⅓,i⅕] ¦ 2 **M**[a3⅖,b,f,gpt,h3⅗,i2⅔] ℵA,HF,NU (The reading of ℵA is an easy instance of homoioteleuton, -ΩN -ΩN -ΩN, wherein they dropped the middle one.)

[7] απο *rell* ¦ απ **M**[e⅓] OC,TR

[8] ανατολων **f**[35] **M**[a,b,e¼,f,g,i2⅔] CP,RP,HF,OC ¦ ανατολης **M**[d,e,h,i⅓] ℵA,NU,TR

[9] και απο βορρα **f**[35] **M**[a2⅔,b,d1⅕,f,g,h,i] ℵA,CP,RP,HF,OC,NU ¦ 23 **M**[a½,d,e,h¼] TR ¦ 12 δυσμων **M**[a½]

[10] και απο νοτου **f**[35] **M**[a2⅔,b,d,f,g,h,i⅕] CP,RP,HF,OC,NU ¦ 23 **M**[a⅛,ept] TR ¦ 12 δυσμων **M**[i⅓] A ¦ 2 δυσμων **M**[e⅖] ¦ 12 βορρα **M**[a⅛] ℵ

[11] και απο δυσμων **f**[35] **M**[a2⅔,b,d,f,g,h,i2⅔] CP,RP,HF,OC,NU ¦ 23 **M**[a⅛,ept] TR ¦ 12 νοτου **M**[a⅛,i⅓] ℵA ¦ 2 μεσημβριας **M**[e¼]

[12] εχον *rell* ¦ εχων **M**[c½,d¼,e⅓,g⅓,ipt] A,NU ¦ --- ℵ

[13] επ αυτων *rell* ¦ εν αυτοις TR

[14] δωδεκα **f**[35] **M**[a,b,dpt,e3⅗,f,g,hpt,i2⅔] ℵA,CP,RP,HF,OC,NU ¦ ιβ΄ **M**[a¼,d1⅕,e¼,h¼] ¦ --- **M**[d1⅓,h1⅕,i¼] TR

[15] μετρον **f**[35] **M**[a,b,d¼,e2/7,fpt,g,h,i] ℵA,CP,RP,HF,OC,NU ¦ --- **M**[d,e,fpt] TR

[16] αυτης **f**[35] **M**[a,g] CP ¦ 1 και το τειχος 1 **M**[b,d,e,f,h,i] ℵA,RP,HF,OC,NU,TR (The city didn't have a free standing wall outside the main structure; it was like a modern high-rise.)

[17] οσον *rell* ¦ και **M**[e⅔] ¦ 1 και A,OC[NU] ¦ τοσουτον εστιν 1 και TR (OC is in small print.)

[18] πολιν **f**[35] **M**[a,fpt,g,h,i] ℵA,CP,RP,HF,NU,TR ¦ 1 εν **M**[b,d,e,fpt] OC (OC is in small print.)

[19] σταδιους **f**[35] **M**[a,bpt,f,g,h] A,CP,RP,HF,OC ¦ σταδιων **M**[bpt,d,e,i] ℵ,NU,TR

[20] δωδεκα **f**[35] **M**[bpt,d,e,gpt,h,i] ℵA,CP,RP,OC,NU,TR ¦ δεκαδυο **M**[a,bpt,f] HF ¦ ιβ΄ [24 assorted mss]

[21] δωδεκα **f**[35] **M**[a,bpt,f,gpt] CP,RP,HF ¦ --- **M**[bpt,e,h,i] ℵA,OC,NU,TR ¦ αυτης **M**[d] (A delightful bit of detailed accuracy; the gates [12] were 1,000 stadia apart and each gate was a stadium wide, so the circumference was precisely 12,012 stadia!)

[22] εμετρησεν **f**[35] **M**[d,e,g,h,i] ℵA,CP,RP,OC,NU,TR ¦ --- **M**[a,b,f] HF

[23] εκατον τεσσαρακοντα τεσσαρων **M**[a1⅓,b,c⅛,d,e,f,gpt,hpt,ipt] CP,RP,HF,OC(NU)TR ¦ ρμδ΄ **f**[35] **M**[a2⅔,d1⅕,e2/7,f⅕,gpt,hpt,ipt] ¦ 1 μδ΄ ℵ ¦ Δ και 12 A

[24] ην *rell* ¦ --- **M**[e¼,h¼] A,NU

[25] η ενδομησις *rell* ¦ 1 ενδωμησις A,NU ¦ εν δωμασι ℵ

[26] ομοιον **f**[35] **M**[a,b,d1⅓,e⅛,f,gpt,h,i] ℵA,CP,RP,HF,OC,NU ¦ ομοια **M**[d2⅔,e,gpt] TR (The adjective modifies 'gold', neuter.)

[27] υελω **f**[35] **M**[apt,b¼,d1⅕,ept,g2⅕,hpt,ipt] CP,RP,HF ¦ υαλω **M**[apt,b,d,ept,f,g3⅕,hpt,ipt] ℵA,OC,NU,TR (In the same standoff in verse 21 below, the attestation for the *epsilon* is clearly stronger.)

[28] και **f**[35] **M**[a⅙,b2⅕,d,e,gpt,h¼,ipt] ℵ,CP,TR ¦ --- **M**[a,b3⅕,f,gpt,h,ipt] A,RP,HF,OC,NU

[29] σαπφειρος *rell* ¦ σαπφιρος NU

τρίτος χαλκηδών,[1] ὁ τέταρτος σμάραγδος, **20** ὁ πέμπτος σαρδώνυξ,[2] ὁ ἕκτος σάρδιος,[3] ὁ ἕβδομος χρυσόλιθος, ὁ ὄγδοος βήρυλλος, ὁ ἔνατος[4] τοπάζιον, ὁ δέκατος χρυσόπρασος,[5] ὁ ἑνδέκατος ὑάκινθος,[6] ὁ δωδέκατος ἀμέθυσος.[7] **21** Καὶ οἱ δώδεκα πυλῶνες δώδεκα μαργαρῖται—ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου. Καὶ ἡ πλατεῖα τῆς πόλεως χρυσίον καθαρόν, ὡς ὕελος[8] διαυγής.[9]

Her glory

22 Καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ, ὁ γὰρ Κύριος ὁ Θεὸς ὁ Παντοκράτωρ ναὸς αὐτῆς ἐστιν, καὶ τὸ Ἀρνίον. **23** Καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου οὐδὲ τῆς σελήνης ἵνα φαίνωσιν ἐν[10] αὐτῇ, ἡ γὰρ δόξα[11] τοῦ Θεοῦ ἐφώτισεν αὐτήν, καὶ ὁ λύχνος αὐτῆς τὸ Ἀρνίον. **24** Καὶ περιπατήσουσιν τὰ ἔθνη διὰ τοῦ φωτὸς αὐτῆς,[12] καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσιν τὴν δόξαν καὶ τὴν τιμὴν αὐτῶν εἰς αὐτήν.[13] **25** Καὶ οἱ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας (νὺξ γὰρ οὐκ ἔσται ἐκεῖ). **26** Καὶ οἴσουσιν τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν εἰς αὐτήν.[14] **27** Καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινὸν[15] καὶ ποιοῦν[16] βδέλυγμα καὶ ψεῦδος, εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ Βιβλίῳ τῆς Ζωῆς τοῦ Ἀρνίου.

Her river

22:1 Καὶ ἔδειξέν μοι ποταμὸν καθαρὸν[17] ὕδατος ζωῆς, λαμπρὸν ὡς κρύσταλον,[18] ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ Θεοῦ καὶ τοῦ Ἀρνίου, **2** ἐν μέσῳ τῆς πλατείας αὐτῆς· καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐντεῦθεν[19] ξύλον ζωῆς ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆνα ἕκαστον ἀποδιδοὺς[20] τὸν καρπὸν αὐτοῦ. Καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θεραπείαν τῶν ἐθνῶν. **3** Καὶ πᾶν κατάθεμα[21] οὐκ

---

[1] χαλκηδων *rell* ¦ χαλκιδων **M**^{ept} ¦ χαλκεδων **M**^{h⅓} ¦ καρχηδων **M**^{bpt} ¦ at least six further spellings

[2] σαρδωνυξ **f**^{35} **M**^{a⅙,b⅗,d,f⅔,h¼,i¼} CP ¦ σαρδιωνυξ A ¦ σαρδονυξ **M**^{a,b⅖,c⅖,e,f⅓,g,h,i} ℵ,RP,HF,OC,NU,TR (If the *omega* is not original, one wonders where it came from, unless some identified the stone with Sardinia [Σαρδω]. But there is a stone called σαρδω, and we may be missing some relevant information that would clean up the mystery. That representatives of almost all groups, plus A, have the *omega* suggests that it may be original. Why would copyists change a common, expected form to an uncommon one?)

[3] σαρδιος **f**^{35}**M**^{d,e,gpt,hpt,i⅔} CP,TR ¦ σαρδιον **M**^{a,b,f,gpt,hpt,i⅓} ℵA,RP,HF,OC,NU

[4] ενατος **f**^{35} **M**^{a⅔,b,dpt,e⅕,f,g⅔,h⅗,i⅗} A,CP,RP,HF,OC,NU,TR ¦ εννατος **M**^{a⅓,dpt,e⅔,f¼,g⅓,i⅖} ¦ θ΄ **M**^{h¼} ℵ

[5] χρυσοπρασος *rell* ¦ χρυσοπασος **M**^{a⅓} ¦ χρυσοπρασον A ¦ at least twelve further spellings

[6] υακινθος *rell* ¦ υακινθινος CP

[7] αμεθυσος **f**^{35} **M**^{a,bpt,d,e,f,g,hpt,i} RP,HF ¦ αμεθυστος **M**^{bpt,d¼,hpt} A,CP,OC,NU,TR ¦ αμεθυστινος ℵ

[8] υελος **f**^{35} **M**^{a,bpt,e⅓,f¼,g,h⅔,ipt} CP,RP,HF ¦ υαλος **M**^{bpt,d,e⅔,f,h⅓,ipt} ℵA,OC,NU,TR

[9] διαυγης *rell* ¦ διαφανης TR

[10] εν **f**^{35} **M**^{a⅙,d,ept,h⅓} CP,TR ¦ --- **M**^{a,b,ept,f,g,h⅔,i} ℵA,RP,HF,OC,NU (A not very difficult case of homoioteleuton; since the resulting reading made good sense, there was no reason to question it.)

[11] η γαρ δοξα **f**^{35} **M**^{a⅙,b,d,e,f,h,i} ℵA,CP,RP,OC,NU,TR ¦ ~ 213 **M**^{a,f¼,g} HF

[12] περιπατησουσιν τα εθνη δια του φωτος αυτης *rell* ¦ ~ 23 των σωζομενων εν τω φωτι 71 TR ¦ ~ 23 των σωζομενων τω φωτι 71234567 **M**^{e⅓}

[13] την δοξαν και την τιμην αυτων εις αυτην **f**^{35} **M**^{a⅙,e⅕,gpt,ipt} CP,OC,TR ¦ 12678 **M**^{d,ept,h} ℵA,NU ¦ 12345 των εθνων 78 **M**^{b} ¦ αυτω 235 των εθνων 78 **M**^{a,f,gpt,ipt} RP,HF (την has stronger attestation than αυτω, and αυτων than των εθνων; **f**^{35} preserves the original.)

[14] αυτην **f**^{35} **M**^{a⅙,b,d,e,gpt,h,ipt} ℵA,CP,RP,OC,NU,TR ¦ 1 ινα εισελθωσιν **M**^{a,e¼,f,gpt,h¼,ipt} HF

[15] κοινον *rell* ¦ κοινουν TR

[16] ποιουν **f**^{35} **M**^{a¼,b⅔,d,e,f,h⅓,ipt} CP,RP,TR ¦ ποιων **M**^{b⅓,h⅓} A ¦ ο ποιων **M**^{a,g,h⅓,ipt} ℵ^{v},HF,OC[NU] (OC is in small print.)

[17] ποταμον καθαρον **f**^{35} **M**^{bpt,d,e,f,gpt,h⅓,ipt} CP,RP ¦ ~ 21 TR ¦ 1 **M**^{a,bpt,gpt,h⅔,ipt} ℵA,HF,OC,NU

[18] κρυσταλον **f**^{35} **M**^{a⅙,b⅓,d⅕,e⅖,gpt,ipt} ¦ κρυσταλλον **f**^{35pt} **M**^{a,b⅔,d,e⅗,f,gpt,h,ipt} ℵA,CP,RP,HF,OC,NU,TR (Having spelled the verb with just one 'l', John handles the noun the same way; the unusual spelling led copyists to 'correct' him.)

[19] εντευθεν **f**^{35} **M**^{a⅙,bpt,d,e,hpt,ipt} CP,TR ¦ εκειθεν **M**^{a,bpt,f,g,hpt,ipt} A,RP,HF,OC,NU

[20] εκαστον αποδιδους **f**^{35} **M**^{dpt,e⅕} ℵ,CP,RP ¦ 1 αποδιδον **M**^{bpt,fpt} ¦ 1 αποδιδουν **M**^{d⅓,e⅔,h⅓} A,OC,NU,TR ¦ ~ 21 **M**^{a⅖,bpt,f⅓,gpt} HF ¦ αποδιδους εκαστος **M**^{a⅓,gpt} [i is badly splintered] (-δους [**f**^{35},a,b^{pt},d^{pt},e^{¼},**f**^{⅓},g,h^{pt},i^{pt},ℵ] has stronger attestation than both -δουν [a^{½},d^{⅓},e,h^{⅓},A] and -δον [b^{pt},**f**^{pt}]; and ε. α. [**f**^{35},b^{pt},d,e,**f**^{⅔},h,i^{pt},ℵA] than α. ε. [a,b^{pt},**f**^{⅓},g]; so **f**^{35} has the correct reading.)

[21] καταθεμα *rell* ¦ καταναθεμα TR ¦ καταγμα ℵ

ἔσται ἐκεῖ,[1] καὶ ὁ θρόνος τοῦ Θεοῦ καὶ τοῦ Ἀρνίου ἐν αὐτῇ ἔσται, καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν[2] αὐτῷ. **4** Καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ, καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν. **5** Καὶ νὺξ οὐκ ἔσται ἐκεῖ[3] καὶ χρείαν οὐκ ἔχουσιν[4] λύχνου καὶ φωτὸς ἡλίου,[5] ὅτι Κύριος ὁ Θεὸς φωτιεῖ[6] αὐτούς. Καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Conclusion

22:6 Καὶ λέγει[7] μοι· «Οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί. Καὶ[8] Κύριος ὁ Θεὸς τῶν πνευμάτων τῶν[9] προφητῶν ἀπέστειλεν τὸν ἄγγελον αὐτοῦ δεῖξαι τοῖς δούλοις αὐτοῦ[10] ἃ δεῖ γενέσθαι ἐν τάχει. **7** Ἰδού,[11] ἔρχομαι ταχύ. Μακάριος ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου.»

8 Κἀγὼ[12] Ἰωάννης, ὁ ἀκούων καὶ βλέπων ταῦτα,[13] καὶ ὅτε ἤκουσα καὶ ἔβλεψα,[14] ἔπεσον[15] προσκυνῆσαι ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέλου τοῦ δεικνύντος[16] μοι ταῦτα. **9** Καὶ λέγει μοι· «Ὅρα μή· σύνδουλός σού[17] εἰμι καὶ τῶν ἀδελφῶν σου τῶν προφητῶν, τῶν[18] τηρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου. Τῷ Θεῷ προσκύνησον.» **10** Καὶ λέγει μοι· «Μὴ σφραγίσῃς τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου, ὅτι ὁ καιρὸς[19] ἐγγύς ἐστιν. **11** Ὁ ἀδικῶν ἀδικησάτω ἔτι, καὶ ὁ ῥυπαρὸς ῥυπαρευθήτω ἔτι,[20] καὶ ὁ δίκαιος δικαιοσύνην ποιησάτω[21] ἔτι, καὶ ὁ ἅγιος ἁγιασθήτω ἔτι.»

Jesus' final word

12 «Ἰδού,[22] ἔρχομαι ταχύ, καὶ ὁ μισθός μου μετ᾽ ἐμοῦ, ἀποδοῦναι ἑκάστῳ ὡς τὸ ἔργον ἔσται αὐτοῦ.[23] **13** Ἐγὼ[24] τὸ Ἄλφα[25] καὶ τὸ Ὦ, Ἀρχὴ καὶ Τέλος, ὁ Πρῶτος καὶ ὁ Ἔσχατος.»[26] **14** (Μακάριοι οἱ ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ,[27] ἵνα ἔσται ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον τῆς ζωῆς, καὶ τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν. **15** Ἔξω[28] οἱ κύνες καὶ οἱ φαρμακοὶ καὶ οἱ πόρνοι καὶ οἱ φονεῖς καὶ οἱ εἰδωλολάτραι, καὶ πᾶς φιλῶν καὶ ποιῶν[29] ψεῦδος.) **16** «Ἐγὼ Ἰησοῦς, ἔπεμψα τὸν ἄγγελόν

---

[1] εκει **f**[35] **M**[bpt,d,e,f,gpt,hpt,ipt] CP ¦ ετι **M**[a,bpt,gpt,hpt,ipt] A,RP,HF,OC,NU,TR ¦ --- א

[2] λατρευσουσιν **f**[35] **M**[a⅗,b⅔,d,e⅔,f⅔,g⅔,h⅔,i] אA,CP,RP,OC,NU,TR ¦ λατρευουσιν **M**[a⅖,b⅓,e⅓,f⅓,g⅓,h⅓] HF

[3] εκει **f**[35] **M**[a¼,bpt,d,e,f,g,hpt,i] CP,RP,TR ¦ ετι **M**[bpt,hpt] אA,OC,NU ¦ --- **M**[a] HF

[4] χρειαν ουκ εχουσιν **f**[35] **M**[a¼,b,d,e,f,i] CP,RP,TR ¦ ~ 231 **M**[h,i¼] א(A)NU ¦ ου χρεια **M**[a,g] OC,HF

[5] λυχνου και φωτος (φως **M**[dpt,e¼,f]) ηλιου **f**[35] **M**[a¼,bpt,dpt,e,f,i⅔] CP,RP,OC,TR ¦ φως 12 φως 4 **M**[dpt,hpt] ¦ ~ 31234 **M**[hpt,i⅓] א(A)NU ¦ 123 **M**[a,g] HF ¦ 34 **M**[bpt]

[6] φωτιει **f**[35] **M**[a,bpt,d¼,e,g,h⅔,i⅓] א,CP,RP,HF,OC ¦ φωτιζει **M**[bpt,d,e⅙,f,i⅓] TR ¦ φωτισει **M**[h⅓,i⅓] A,NU

[7] λεγει **f**[35] **M**[a,bpt,g] CP,RP,HF,OC ¦ ειπεν **M**[a⅕,bpt,d,e,f,h,i] אA,NU,TR

[8] και *rell* ¦ 1 ο אA,NU

[9] πνευματων των **f**[35] **M**[a,f,g,h,ipt] אA,CP,RP,HF,OC,NU ¦ 12 αγιων **M**[b] ¦ αγιων **M**[a⅕,d,e,g¼,ipt] TR

[10] δειξαι τοις δουλοις αυτου **f**[35] **M**[a¼,b,e,f,g,h,i] (א)A,CP,RP,HF,OC,NU,TR ¦ διδαξαι 234 **M**[d] ¦ --- **M**[a⅔]

[11] ιδου **f**[35] **M**[a⅕,bpt,e,f,g¼,hpt,ipt] CP,TR ¦ και 1 **M**[a,bpt,d,g,hpt,ipt] אA,RP,HF,OC,NU

[12] καγω **f**[35] **M**[a,bpt,e⅕,gpt,hpt,ipt] אA,CP,RP,HF,OC,NU ¦ και εγω **M**[a⅙,bpt,d,e,f,gpt,hpt,ipt] TR

[13] ακουων και βλεπων ταυτα **f**[35] **M**[a,bpt,e⅕,g,hpt,ipt] A,CP,RP,HF,OC,NU ¦ ~ 3214 **M**[bpt,d,e,f,hpt] א ¦ ~ 3421 **M**[a⅙,ipt] TR

[14] εβλεψα **f**[35] **M**[a¼,bpt,d,e,f,h,ipt] א,CP,RP,OC,NU,TR ¦ εβλεπον **M**[h¼] A ¦ οτε ειδον **M**[a⅗,g,ipt] HF ¦ ειδον **M**[a⅙,bpt]

[15] επεσον **f**[35] **M**[a,bpt,d,e⅗,f,g,hpt,i] CP,RP,HF ¦ επεσα **M**[a⅕,bpt,e⅖,hpt,i¼] אA,OC,NU,TR

[16] δεικνυντος **f**[35] **M**[apt,f⅓,g,h⅔] (א)(CP)HF ¦ δεικνυοντος **M**[apt,b,d,e,f⅔,h⅓,i] (A)RP,OC,NU,TR

[17] σου *rell* ¦ 1 γαρ TR

[18] των **f**[35] **M**[a⅙,e,f⅔] CP ¦ και 1 **M**[a,b,d,e¼,f⅓,g,h,i] אA,RP,HF,OC,NU,TR

[19] οτι ο καιρος **f**[35] **M**[a¼,e,f¼,ipt] CP,TR ¦ ~ 23 γαρ **M**[a,b,fpt,gpt,h,ipt] אA,RP,HF,OC,NU ¦ ~ 2 γαρ 3 **M**[d,h⅙] ¦ 23 **M**[f¼,gpt]

[20] και ο ρυπαρος ρυπαρευθητω ετι *rell* ¦ 123 ρυπανθητω 5 א,NU ¦ 2 ρυπων ρυπωσατω 5 TR ¦ --- **M**[b] A

[21] δικαιοσυνην ποιησατω *rell* ¦ δικαιωθητω **M**[d] TR

[22] ιδου *rell* ¦ και 1 **M**[ept] TR

[23] ως το εργον εσται αυτου **f**[35] **M**[a,bpt,gpt,hpt,ipt] CP,RP,HF,OC ¦ ~ 12354 **M**[a¼,bpt,d⅓,e,f,gpt,hpt,ipt] TR ¦ 123 εστιν 5 אA,NU ¦ κατα τα εργα 5 **M**[d⅔]

[24] εγω *rell* ¦ 1 ειμι TR

[25] αλφα **f**[35] **M**[a,b,d⅓,e⅙,f,gpt,ipt] אA,CP,RP,HF,NU ¦ A **M**[a¼,c⅕,d⅔,e,gpt,h,ipt] OC,TR

[26] αρχη και τελος ο πρωτος και ο εσχατος **f**[35] **M**[a⅙,d,e,f,h¼,ipt] CP,TR ¦ ~ 45678123 OC ¦ 45678 **M**[e⅙] ¦ ~ 45678 η 12 το 3 **M**[a,b,g,h⅔,ipt] א,RP,HF,NU ¦ ~ 568 η 12 το 3 A

[27] ποιουντες τας εντολας αυτου *rell* ¦ πλυνοντες 2 στολας αυτων אA,NU

[28] εξω *rell* ¦ 1 δε TR

[29] φιλων και ποιων **f**[35] **M**[a,gpt,hpt] A,CP,RP,NU ¦ ~ 321 א ¦ ο 123 **M**[a¼,d,e,gpt,hpt,i] HF,OC,TR ¦ ~ ο 321 **M**[bpt,f] ¦ ~ ο 32 ο 1

μου μαρτυρῆσαι ὑμῖν ταῦτα ἐπὶ ταῖς ἐκκλησίαις. Ἐγώ εἰμι ἡ Ῥίζα καὶ τὸ Γένος[1] Δαυίδ, ὁ[2] Ἀστὴρ ὁ λαμπρὸς ὁ πρωϊνός.[3] **17** Καὶ τὸ Πνεῦμα καὶ ἡ νύμφη λέγουσιν, ‹Ἔρχου.›[4] Καὶ ὁ ἀκούων εἰπάτω, ‹Ἔρχου.› Καὶ ὁ διψῶν ἐρχέσθω.[5] Ὁ θέλων, λαβέτω[6] ὕδωρ ζωῆς δωρεάν.

A serious warning[7]

18 »Μαρτυρῶ ἐγὼ[8] παντὶ[9] ἀκούοντι τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου· Ἐάν τις ἐπιθῇ ἐπ᾽ αὐτά,[10] ἐπιθήσαι[11] ἐπ᾽ αὐτὸν ὁ Θεὸς[12] τὰς ἑπτὰ[13] πληγὰς τὰς γεγραμμένας ἐν τῷ[14] βιβλίῳ τούτῳ· **19** καὶ ἐάν τις ἀφέλῃ[15] ἀπὸ τῶν λόγων τοῦ βιβλίου τῆς προφητείας ταύτης,[16] ἀφέλοι[17] ὁ Θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ τοῦ ξύλου[18] τῆς ζωῆς καὶ ἐκ τῆς πόλεως τῆς ἁγίας,[19] τῶν γεγραμμένων ἐν τῷ[20] βιβλίῳ τούτῳ.»

John signs off

20 Λέγει ὁ μαρτυρῶν ταῦτα, «Ναί, ἔρχομαι ταχύ.» Ἀμήν. Ναί,[21] ἔρχου, Κύριε Ἰησοῦ.[22]
21 Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ[23] μετὰ πάντων τῶν ἁγίων.[24] Ἀμήν.[25,26]

M^{bpt}

[1] γενος *rell* ¦ 1 του TR

[2] ο **f**^{35} **M**^{a,e⅓,f,gpt,h,i} ℵA,CP,RP,HF,OC,NU,TR ¦ και 1 **M**^{b,d,e⅔,gpt,h¼}

[3] ο πρωινος *rell* ¦ και 12 (A) ¦ και 2 **M**^{h¼} ¦ 121 αυτος **M**^{e¼} ¦ και ορθρινος TR ¦ ~ 121 λαμπρος **M**^{f⅔}

[4] Instead of ερχου twice, TR has ελθε twice. Only 3 MSS—Gregory 296, 2049, 2075—have ελθε, all three being XVI century and under suspicion of having copied Erasmus' printed edition. No one knows where Erasmus got ελθε, but certainly it wasn't from John.

[5] ερχεσθω *rell* ¦ 1 και OC,TR

[6] λαβετω *rell* ¦ λαβειν **M**^{e⅓} ¦ λαμβανετω το TR

[7] [I find it to be curious that in spite of the serious warning contained in verses 18 and 19, a warning issued by the glorified Christ Himself, the Apocalypse suffered more textual alteration than any other New Testament book. I suppose that the explanation one gives will depend on his presuppositions.]

[8] μαρτυρω εγω *rell* ¦ μαρτυρομαι 2 **M**^{bpt,f} ¦ η 12 ℵ ¦ συμμαρτυρομαι γαρ TR

[9] παντι **f**^{35} **M**^{a⅕,dpt,ept,f⅕,i¼} CP,TR ¦ 1 τω **M**^{a,b,dpt,ept,f,g,h,i} ℵA,RP,HF,OC,NU

[10] επιθη επ αυτα *rell* ¦ επιθηση 23 **M**^{dpt} ¦ επιτιθη προς ταυτα TR ¦ 1 επι ταυτα OC ¦ --- ℵ

[11] επιθησαι **f**^{35} **M**^{a,gpt,ipt} CP,RP,HF ¦ επιθησει **M**^{bpt,d⅔,e⅔,f,gpt,h⅔,i⅓} ℵA,OC,NU,TR ¦ επιθηση **M**^{d⅓} ¦ επιθησεται **M**^{bpt}

[12] επ αυτον ο Θεος **f**^{35} **M**$^{bpt(d)ept,f,ipt}$ ℵ,CP ¦ ~ 3412 **M**^{a,bpt,g,h,ipt} RP,HF,OC,NU,TR ¦ ~ 34 αυτω **M**^{e¼} ¦ 34 A

[13] επτα **f**^{35} **M**^{a⅙,bpt,e,f,ipt} CP ¦ --- **M**^{a,bpt,d,g,h,ipt} ℵA,RP,HF,OC,NU,TR

[14] τω *rell* ¦ --- TR

[15] αφελη *rell* ¦ αφεληται **M**^{e¼} ¦ αφαιρη TR

[16] του βιβλιου της προφητειας ταυτης **f**^{35} **M**^{a,b,e⅗,f,g,h,i} A,CP,RP,HF,OC,NU ¦ βιβλου 345 TR ¦ τουτων 12345 ℵ ¦ ~ 3412 τουτου **M**^{d,e¼}

[17] αφελοι **f**^{35} **M**^{a⅗,bpt,e⅙,h⅓,i⅓} CP,RP,HF ¦ αφελει **M**^{bpt,d,e⅔,f,gpt,h⅔,ipt} A,OC,NU ¦ αφελαι **M**^{a⅙,gpt} ¦ αφελι ℵ ¦ αφαιρησει **M**^{a¼,e⅙} TR

[18] του ξυλου *rell* ¦ βιβλου TR

[19] αγιας *rell* ¦ 1 και TR

[20] τω *rell* ¦ --- TR

[21] ναι **f**^{35} **M**^{a,bpt,d,e⅕,g,h⅕,i⅔} CP,RP,HF,OC,TR ¦ --- **M**^{bpt,e⅔,f,h⅔,i⅓} ℵA,NU

[22] ιησου **f**^{35} **M**^{a,b,g,hpt,ipt} ℵA,CP,RP,HF,OC,NU,TR ¦ 1 χριστε **M**^{a¼,d,e,f,hpt,ipt}

[23] ιησου χριστου rell ¦ 1 ℵA,NU ¦ ημων 12 TR

[24] παντων των αγιων rell ¦ 23 ℵ ¦ 1 A,NU ¦ 1 υμων TR

[25] αμην **f**^{35} **M**^{a,b,dpt,e⅔,f,g,h,i} ℵ,CP,RP,HF,OC,TR ¦ --- **M**^{dpt,e⅓} A,NU

[26] The statements of evidence are based almost entirely on Herman C. Hoskier's monumental work, *Concerning the Text of the Apocalypse* (London: Bernard Quaritch, Ltd., 1929; 2 vols.). I follow H-F in using **M**$^{a-e}$. **M**$^{f-i}$ are my invention—**M**^{f} was included by Hodges in his M^{a} and he ignored **M**$^{g-i}$ (H-F is also based on Hoskier). I myself have collated the following twenty-six family representatives, not counting the fragment: (35), 432, 757, 824, 986, 1072, 1075, 1248, 1328, 1503, 1551, 1637, 1652^{frag}, 1746, 1768, 1774, 1864, 1865, 2041, 2323, 2352, 2431, 2434, 2554, 2669, 2723, 2821. For the composition of the **M** families see the Appendix. Many minor variants have not been included in the apparatus, which is why the fractions for a family do not always add up to 100%. Where a fraction is ¼ or less I show the family without fraction for the other variant. The citation of **f**^{35} is based on the 32 MSS that Hoskier assigned to **M**^{c} (his "Complutensian") [but he did not cite 243, and 231 (GA 1652) is a mere fragment containing only the first two verses, but has the diagnostic reading at the end of verse 2]. To these the following twelve MSS should be added: 1064, 1768, 1903 [his 243], 2201, 2323, 2431, 2434, 2554,

2656, 2669, 2723 and 2926. After determining that they belonged to the family, by checking a list of diagnostic readings, I then checked them individually at the ±110 places where three or more family members share a variant. At the 40 or so places where the dissent involved seven or more MSS I re-checked most of the MSS done by Hoskier [I had to make a number of corrections, but nothing serious]. I have taken account of every extant MS that belongs to Family 35, so far as I know. Please see the last footnote for Matthew for further information.

APPENDIX I

MSS of Revelation—Gregory

This list is based on Hoskier's groupings of MSS, but giving the Gregory numbers (with additions and changes as noted).

Odd Uncials—𝔓[18] 𝔓[24] 𝔓[43] 𝔓[47] 𝔓[85] 𝔓[98] 𝔓[115] א, A, C, 025, 051, 0163, 0169, 0207, 0308[1]

MS Count: 16

M[c]—(35)[2], 432, 757[1:1–21:9], 824, 986, 1064[3], 1072, 1075, 1248, 1328, (1384)[4], 1503, 1551, 1617, 1637, 1652[frag], (1732), 1733, 1740, 1745, 1746, 1768, 1771, (1773), 1774, 1864, 1865, 1894[3:12–22:21], 1903[5:12–22:21], 1957, 2023, 2035, 2041, 2061, 2196, 2201, 2323, 2352, 2431, 2434, 2554, (2656), 2669, 2723[5], 2821, {61, 69, 2351}

MS Count: {3} + 45

M[d]—88, 1854, 1876, 2014, 2015, 2030 [2034][6] 2036, 2037, 2042[11:1–22:21], 2043, 2046, 2047, 2074, 2082

MS Count: (14) 15

M[e]—181 [205, 205[abs]] 209, 598, 1894[1:1–3:12], 2022, 2026, 2028 [2029] 2031, 2033, 2038, 2044, 2045, 2049, 2052, 2054, 2056, 2057, 2059, 2060, 2065, 2068, 2069, 2081, 2083, 2091, 2186, 2286, 2302, 2814 {522, 743, 2042[1:1–10:11], 2051, 2055, 2064, 2067, 2087}

MS Count: {7} + (28) 31

M[h]—052, 911, 1006, 1611, 1678, 1778, 1841, 2020, 2050, 2053, 2062, 2080, 2329

MS Count: 13

M[b]—172, 250, 424, 616, 1828, 1862, 1888, 2018, 2032, 2084

MS Count: 10

M[f]—91, 175, 242, 314, 617, 664, 1094, 1934, 2016 (2070-2305[1:1–11:19]) 2075, 2077

MS Count: 11

---

[1] Hoskier does not have 𝔓43, 47, 85, 98, 115, 0207, 0308, of course.

[2] The MSS within ( ) are marginal members of the family.

[3] 1064, 1903, 2201, 2323, 2431, 2434, 2554, 2656, 2669 and 2723 are not in Hoskier's collation.

[4] Josef Schmid assigned 1384 to **M**[c] and I agree; Hoskier assigned it to **M**[d]. Hoskier also assigned 1732 to **M**[d], but I have changed it to **M**[c] (it has a curious mixture of the two profiles).

[5] I have done a thorough collation of 2723—it is a very high quality representative of the family in the 11th century.

[6] I have enclosed in [ ] MSS indicated by Hoskier as copies of other extant MSS. Thus, in **M**[d] cursive 2034 is a copy of 2036; in **M**[e] cursive 2029 is a copy of 2028, and both 205 and 205[abs] are copies of 209; in **M**[a]-**M**[b] cursive 2258 is a copy of 2076; in **M**[i] cursive 2078 is a copy of 2436. If we ignore these known duplicates, **M**[d] comes out with 14 MSS, **M**[e] with 28, **M**[a]-**M**[b] with 16, and **M**[i] with 10. The sub-groups within { } are related to the main group, but not totally aligned.

M[g]—104, 336, 459, 582, 620, 628, 680, 922, 1918

MS Count: 9

M[a]—046, 82, 93, 141, 218, 254, 632, 919, 1719, 1893, 1955, 2004, 2024, 2073, 2079, 2200, 2254, 2824

MS Count: 18

M[a]-**M**[b]—18, 177, 180, 337, 498, 920, 1704, 1859, 2027, 2039, 2058 (2070-2305[12:1–22:21]) 2076, 2138, 2256 [2258]

MS Count: (16) 17

M[a]-**M**[c]—42, 367, 468, 757[s][21:10–22:21], 1626

MS Count: 4

M[a]-**M**[d]—149, 201, 203, 368, 386, 452, 467, 506, 935, 1597, 1728, 1734, 1849, 1948, 2021, 2025

MS Count: 16

M[a]-**M**[e]—385, 429, 808, 2325(?)

MS Count: 4

M[a]-**M**[g]—110, 325, 456, 517, 627, 2048

MS Count: 6

M[i]—94, 241, 256, 469, 792, 1852, 2017, 2019, 2071 [2078] 2436

MS Count: (10) 11

---

misc.—296, 699, 1775, 1777, 1903[1:1–5:11]

MS Count: 4

Total MS Count: 240

Stemma—Ἀποκαλύψις



Comment: As illustrated by this stemma, I posit three main lines of transmission. It follows that if **h** agrees with **f**[35] against **d, e** (and **a, b, f, g, i**) then in 150 we could have two lines against one. Similarly, if **g** or **b** agrees with **f**[35] against the rest, then in 150 we could have two lines against one. In such an event there would have to be comparison going on—in the first case either **h** assimilated to **f**[35] (if the rest have the true reading) or **d, e** assimilated to **a, b, f, g, i** (or **f**[35] did the assimilating).

APPENDIX II

Where to Place a 'Comma'—Acts 12:25

Since Acts was written at least two years after Paul arrived in Rome in chains, it would not have been 'published' until into the 60s. When Jerusalem was destroyed in 70, it disappeared from the Christian map for centuries—the center of gravity of the Church was now Asia Minor. Although Luke himself was no doubt very fluent in Greek, for most Christians in Asia Minor it would be a second language. If this was also true of most people who made copies of NT books (especially in the early decades), and since those books were written without punctuation (or even spaces between words), it was predictable that now and again someone would put a 'comma' in the wrong spot. I imagine that it would have been just such an event that gave rise to the peculiar set of variants that we encounter in Acts 12:25.

Throughout the NT there are numerous places where there is a more or less serious split within Family 35, with two competing readings (usually involving just one letter). But this is the **only** place (yes, only) in the whole NT where the family splinters—there are no fewer than seven variants, five of them being of some consequence. Instead of "Barnabas and Saul returned to Antioch, having fulfilled their mission", someone (or several someones) put the comma after 'returned', resulting in "Barnabas and Saul returned, having fulfilled their mission to Antioch"—but with that punctuation 'Antioch' must be changed to 'Jerusalem'. (Having done that, we have two ways of saying essentially the same thing—if you get the 'comma' right!) Following that hypothesis, that change must have occurred rather early on, and in circumstances that resulted in that change dominating the transmission of Acts down through the years. To see what I mean we need to have the evidence before us:

1) υπεστρεψαν εις αντιοχειαν	(**f**^{35} =27.8%) (5.1%)
2) υπεστρεψαν απο ιερουσαλημ	(**f**^{35} =8.9%) D (10.9%)
3) υπεστρεψαν απο ιερουσαλημ εις αντιοχειαν	(**f**^{35} =12.7%) (7.3%)
4) υπεστρεψαν εξ ιερουσαλημ	(**f**^{35} =1.3%) A (3.6%) OC,TR
5) υπεστρεψαν εξ ιερουσαλημ εις αντιοχειαν	(**f**^{35} =11.4%) (12.2%) CP
6) υπεστρεψαν εις ιερουσαλημ	(**f**^{35} =36.7%) B (60%)RP,HF,NU
7) υπεστρεψαν εις ιερουσαλημ εις αντιοχειαν	(**f**^{35} =1.3%) (0.6%) [not a conflation, being nonsense; the copyist was aware of both, and didn't know how to choose]

It is evident that variants 2) - 5) were created deliberately; the copyists were reacting to the meaning of the whole phrase within the context (in this situation it will not do to consider the name of each city in isolation; the accompanying preposition must also be taken into account). But they were reacting to variant 6), not variant 1). However, once they were created, and as they became exemplars, those who made copies would see no problem and simply reproduce what was in front of them [so we may not add the percentages for 2) - 6) and say that Jerusalem has over 90% of the vote]. Having myself collated at least one book in over 100 MSS (and over 30 entire MSS), I have observed repeatedly that the copyist faithfully reproduced a nonsensical reading—